ΕΥΕΡΓΕΤΙΝΟΣ

ἤτοι

ΣΥΝΑΓΩΓΗ

ΤΩΝ ΘΕΟΦΘΟΓΓΩΝ ΡΗΜΑΤΩΝ ΚΑΙ ΔΙΔΑΣΚΑΛΙΩΝ

ΤΩΝ ΘΕΟΦΟΡΩΝ ΚΑΙ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ:—

Ἀπὸ πάσης Γραφῆς θεοπνεύστου συναθροισθεῖσα

ΟἸΚΕΙΩΣ ΤΕ ΚΑῚ ΠΡΟΣΦΟΡΩΣ ἘΚΤΕΘΕΙΣΑ ΠΑΡΑ

ΠΑΥΛΟΥ ΤΟΥ ὉΣΙΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ

καὶ κτήτορος Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Εὐεργέτιδος,

ΚΑῚ ΕΥ̓ΕΡΓΕΤΙΝΟΥ ἘΠΙΚΑΛΟΥΜΕΝΟΥ

Ἐκδιδομένη τὸ πρῶτον μετὰ πλήρους ἑρμηνείας εἰς τὴν ἁπλὴν Ἑλληνικὴν τῶν ἐμπεριεχομένων κειμένων

Εἰκονογραφημένη κατὰ τὴν παράδοσιν

Πεπλουτισμένη διὰ πλείστων ὑπομνημάτων:



Ἔκδοσις ἕκτη

ΤΟΜΟΣ ΤΡΙΤΟΣ


ἐκδίδεται

ἀναλώμασι καὶ ἐπιμελείᾳ

ὑπὸ τοῦ Ἐπισκόπου Οἰνόης


ΜΑΤΘΑΙΟΥ ΛΑΓΓΗ

αϡπε Ἀθῆναι 1985



Ο ΤΙΜΙΟΣ ΠΡΟΔΡΟΜΟΣ

«Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ» (ὁ Κύριος διὰ τὸν Πρόδρομον) (Ματθ. ια', 11).
«Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν Οὐρανῶν». (Ματθ. γ', 2).
«Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας». (Ματθ. γ', 8).



ΑΠΟ ΤΗΝ ΖΩΗΝ ΤΩΝ ΑΣΚΗΤΙΚΩΝ ΠΑΤΕΡΩΝ

« Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς»· (Ἑβρ. ια', 37).



Ὑπόθεσις Ϥ΄

Ὅτι οὐ δεῖ ἐξ ὑπονοιῶν κατακρίνειν ἢ ὅλως πιστεύειν ταῖς ὑπονοίαις.

Δὲν πρέπει ἀπὸ ὑπονοίας νὰ κατακρίνῃ κανείς, οὔτε ἀκόμη καὶ νὰ δίδῃ ἐμπιστοσύνην εἰς τὰς ὑπονοίας.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος.

ΜΟΝΑΧΟΣ ΤΙΣ κατ' ἐκεῖνο καιροῦ, κόρην εὐειδῆ ἐπαγόμενος, περιῄει τὴν Ἀλεξάνδρειαν· καί τινες τῶν τῆς Ἐκκλησίας θεασάμενοι τοῦτον ὡς ἐπὶ σκανδάλῳ δῆθεν τῶν πολλῶν περιάγοντα, εἰσηγοῦνται τῷ Μακαρίῳ Ἰωάννῃ καὶ ὅς, τοῖς ἐκείνων ὑπαχθεὶς λόγοις, ἅτε κατὰ ζῆλον θεῖον οἠθεὶς αὐτοὺς τὴν ὑπόμνησιν πεποιεῖσθαι, αὐτόν τε καὶ τὴν κόρην κελεύει τυφθῆναι σφοδρῶς· εἶθ' οὕτως ἐν φυλακαῖς διαιρεθέντας κατακλεισθῆναι. Ὡς δὲ γέγονε τὸ κελευσθέν, καὶ αἱ φυλακαὶ τούτους ἐλάμβανον, νύξ τε ἤδη παρῆν, ὄναρ τῷ Πατριάρχῃ ὁ Μοναχὸς ἐφίσταται, τὸν νῶτον ὑποδεικνύων κατεστιγμένον, λέγων τε πρὸς αὐτόν, ἁπλῶς οὕτω καὶ ἀφελῶς· «Τί δέ; ἀρέσκει σοι ταῦτα, δέσποτα; πίστευσον ταύτην γοῦν τὴν μίαν, ἠπάτησαι καὶ αὐτὸς ὡς ἄνθρωπος». Ἀνεθεὶς δὲ τοῦ ὕπνου μεταστέλλεται παραχρῆμα τὸν Μοναχόν, ἐξάγων ἀπὸ τῆς φυλακῆς, μόλις βαδίζειν δυνάμενον ὑπὸ τῶν πληγῶν, εἶτα ἐπιβαλὼν αὐτοῦ τῇ ὄψει τοὺς ὀφθαλμούς, ἐπέγνω τοῦτον εἶναι τὸν ὁραθέντα· βουλόμενός τε μαθεῖν εἰ καὶ τοσαύτας πληγὰς ὅσας δὴ καὶ κατὰ τοὺς ὕπνους φέρων ἐδείκνυτο, κελεύει λεντίῳ διαζωσάμενον, τὸν νῶτον ὑπο-

γυμνῶσαι· κρείττονι δὲ τάχα προνοίᾳ τοῦ λεντίου διαλυθέντος, ἐξεκαλύφθη τὰ κεκρυμμένα μόρια, καὶ ὤφθη ὁ Μοναχὸς ἀπόκοπος ὀλίγου καὶ τὴν αἰδῶ πεπηρωμένος· εἰ καὶ διὰ τὴν τῆς ἡλικίας ἀκμὴν πρότερον οὐκ ἀπελέλυτο ὑπονοίας· εὐθέως οὖν τοὺς κατειπόντας αὐτοῦ τῶν οἰκείων ἐξώσας βαθμῶν, ἐπὶ τρισὶ χρόνοις ἀπείργει τῆς Ἐκκλησίας· τῷ δὲ θεοφιλεῖ Μοναχῷ ἀπελογεῖτο τὰ προσήκοντα, καὶ συγγνῶναι αὐτῷ ἠξίου, τοῦ κατὰ ἄγνοιαν ἁμαρτήματος· πλήν, τοῦτο μόνον οὐκ ἔχω, ἔλεγεν, ἐπαινεῖν, τὸ ἀφυλάκτως ἐν ταῖς πόλεσιν αὐτὸν περιάγειν, Μοναχὸν ὄντα, καὶ νέον οὕτως ὁρώμενον, γυναῖκά τε ἐπισύρεσθαι καὶ πολλοῖς ἀφορμὴν εἶναι σκανδάλου.

Ὁ δὲ μετὰ τῆς προσηκούσης αἰδοῦς τε καὶ μετριότητος, εὐλογητὸς Κύριος, δέσποτα, εἶπεν, οὐ ψεύδομαι· οὐ πολλαῖς πρότερον ἡμέραις κατὰ τὴν Γάζαν μοι γενομένῳ, κἀκεῖθεν εἰς προσκύνησιν τῶν Ἁγίων Κύρου καὶ Ἰωάννου ἐπειγομένῳ, συναντᾷ μοι πρὸς ἑσπέραν ἡ κόρη αὕτη· καὶ τοῖς ποσὶ τοῖς ἐμοῖς προσπίπτει, συνοδεῦσαί μοι δεομένη, τῷ βούλεσθαι γενέσθαι Χριστιανήν, Ἑβραία γὰρ ἦν. Ἔγωγε οὖν τὸ ἀπὸ Θεοῦ δείσας κατάκριμα, εἰρηκότος μή τινος καταφρονεῖν τῶν μικρῶν, ὑπακούσας παρεδεξάμην τὴν συνοδίαν· ἄλλως τε καὶ θαῤῥήσας ὅτι μοι μελῶν οὕτως ἔχοντι, οὐκ ἂν εἴη τῷ ἐχθρῷ ῥᾴδιον πειρασμόν μοι ἐπισκευάσαι· ἐκεῖσε μέντοι γενόμενος, ἤτοι ἐν τοῖς Ἁγίοις, καὶ τὰς εὐχὰς ἀποδούς, κατηχηθῆναί τε ταύτην πεποίηκα· καὶ τὸ ἀπὸ τοῦδε, καρδίας ἁπλότητι περιάγω, καὶ προσαιτῶν τρέφω, σπεύδων, εἰ δυνατὸς γενοίμην, καὶ παρθενῶνι αὐτὴν ἐγκατατάξαι.

Ταῦτα ἀκούσαντα τὸν Μακάριον, βαβαὶ πόσοι φάναι κρύφιοι τῷ Θεῷ δοῦλοι, κἂν ἡμῖν οὗτοι τυγχάνουσιν ἄγνωστοι· τὸν μέντοι Μοναχὸν νομίσμασιν ἑκατὸν δωρουμένου, ἐκεῖνος οὐ παρεδέξατο· ὁ Μοναχός, εἰπών, εἰ ἔχει πίστιν, οὐ δεῖται χρημάτων· εἰ δὲ χρημάτων ὅλως ἐρᾷ, πίστεως πάντως ἐστὶν ἔρημος. Ταῦτα εἰπὼν καὶ προσκύνησιν ποιησάμενος ἀπιὼν ᾤχετο.

2. Ὁ δὲ Μακάριος τοῖς συνοῦσι παρῄνει ἐκκλίνειν παντάπασι τὰς κατὰ τῶν Μοναχῶν κατηγορίας, τὸ ἀξιοζήλωτον ἐκεῖνο ῥῆμα Κωνσταντίνου τοῦ ἐν Βασιλεῦσιν ἀοιδίμου ἐπιφθεγγόμενος, ὃς ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ λιβέλλους κατηγοριῶν κατά τινων Ἐπισκόπων ἐπιδιδομένους οὐ παρεδέξατο, εἰρηκώς, ὅτι κἂν πορνεύοντι Ἐπισκόπῳ ἢ Μοναχῷ περιέτυχον, τὴν χλαμύδα τὴν ἐμὴν ἀνασχών, ἐπέθηκα ἂν αὐτῷ, ὥστε μὴ ὑπό τινος ὀφθαλμοῦ ὀφθῆναι· εὖ εἰδὼς ἐκεῖνος, ὅτι τὰ τῶν τοιούτων ἀνδρῶν ἐλαττώματα δῆλα τοῖς πολλοῖς καθιστάμενα, οὐ μόνον τὰ αἰδοῦς ἄξια καὶ τιμῆς καταφρονεῖσθαι παρασκευάζουσιν, ἀλλὰ καὶ πολλὴ παράκλησις εἰς κακίαν καὶ ἀφορμὴν γίνονται. Διὸ δὴ καὶ ὁ θαυμάσιος ἀνάγραπτον καὶ εἰς τὸ ἑξῆς τὸ τοῦ ἀποκόπου Μοναχοῦ καὶ πρὸ ὀμμάτων τιθέμενος, καὶ τοῖς κατὰ τοῦ Μεγάλου Βιταλίου λεγομένοις, οὐδαμῶς προσεῖχεν.

Ὃς οὗτος αὐτὸς Βιτάλιος πρότερον τῇ τοῦ Μοναχοῦ Σερίδωνος ἐφησυχάσας μονῇ, κατὰ τὸν καιρὸν ἐκεῖνον εἰς Ἀλεξάνδρειαν παρεγένετο, ἔνθα δὴ καὶ πολιτείαν μέτεισιν, ἐν Ἀλεξανδρείᾳ δηλαδή, πρὸς μὲν ἀνθρώπους καὶ λίαν εὐδιάβλητον, πρὸς δὲ Θεόν, καὶ σφόδρα κεχαρισμένην, ὡς τὸ τέλος ἔδειξεν.

Εἰσελθὼν γὰρ τὴν πόλιν ὁ γέρων, ἑξηκοστὸν ἤδη ἔτος ὑπερβεβηκώς, ἔργον ἔσχεν ἐπιμελές, τὰς ἐν τοῖς χαμαιτυπείοις πάσας ἀπογράψασθαι πόρνας, ἄρχεται δὲ καὶ μισθοῦ δουλεύειν ὁμολογήσας, δώδεκα τῆς ἡμέρας ὀβολοὺς λαμβάνειν, ὧν τοῦ μὲν ἑνὸς θέρμους ὠνούμενος, τούτοις μετὰ δυσμὰς ἐπεσιτεῖτο ἡλίου, τοὺς δὲ λοιποὺς κατὰ μίαν τῶν νυκτῶν εἰς μίαν τῶν πορνῶν πορευόμενος ἐδίδου, λάβε ταυτὶ λέγων, καὶ τήρησόν μοι τῇ νυκτὶ τῇ δε σεαυτὴν ἀμόλυντον. Καὶ οὕτω ποιῶν, διετέλει παρ' ὅλην τὴν νύκτα πρὸς τῇ γωνίᾳ τοῦ καταγωγίου τῆς γυναικὸς ἐκείνης ἱστάμενος, γόνυ τε κλίνων, καὶ τὴν γλῶσσαν ἄπαυστον τοῖς ψαλμοῖς ἐπιτρέπων, καὶ χεῖρας ἱκεσίους αἴρων ὑπὲρ αὐτῆς πρὸς Θεόν, ἕωθεν δὲ ἐξιὼν ὅρκοις αὐτὴν κατελάμβανε, μηδενὶ τοῦτο ποιῆσαι καταφανές.

Μίαν τοίνυν περιφρονῆσαι τοὺς ὅρκους τολμήσασαν, καὶ δῆλα τὰ ἀπόῤῥητα θέσθαι, δαίμονι κάτοχον διὰ προσευχῆς ὁ γέρων ποιεῖ, ὥς μηκέτι τῶν ἄλλων μηδὲ μίαν τολμῆσαι, ἔκφορα τὰ κατὰ τὸν αὐτοῦ βίον ποιῆσαι· αὐτὸς γὰρ πρὸς ἓν ἑώρα μόνον, τὴν τῶν ψυχῶν σωτηρίαν, τοῖς δὲ τὴν γλῶτταν κατ' αὐτοῦ κινοῦσι, καὶ συγγνώμην μᾶλλον τῆς ἁμαρτίας προσηύχετο· πολλοῖς δὲ σωτηρίας αἴτιον τὸ ἐπιτήδευμα τοῦτο κατέστη τοῦ γέροντος· ὁρῶσαι γὰρ αἱ γυναῖκες τήν τε παννύχιον αὐτοῦ στάσιν καὶ τὴν τὰ θεῖα διὰ παντὸς ᾄδουσαν γλῶσσαν αὐτήν τε τὴν ὑπὲρ τῆς μεταβολῆς αὐτῶν καὶ τοῦ σωθήσεσθαι διηνεκῆ προσευχήν, τῶν φαύλων ἀφιστάμεναι πράξεων, σωφροσύνης ἐπεμελοῦντο καὶ αἱ μὲν νομίμοις συνήπτοντο· αἱ δέ, οὕτως ἔμενον, ἀποστάσαι τῶν πονηρῶν πράξεων· αἱ δὲ καὶ τέλεον τῷ κόσμῳ ἀποτασσόμεναι, τὸν τῶν Μοναχῶν εἵλοντο βίον· οὐδεὶς μέντοι διέγνω τὴν ἐν τῷ ἀφανεῖ κατὰ Θεὸν αὐτοῦ πολιτείαν, ἄχρι καὶ τῷ βίῳ περιὼν ἦν.

Διαδὴ τοῦτο καὶ ἐξιόντι ποτὲ τοῦ καταγωγίου τῆς τῶν πορνῶν πρωτευούσης συναντᾷ τις τῶν ἀκολάστων ἐπ' αὐτὸ τοῦτο εἰσιὼν ἐκεῖνος, ὥς τε βδελυρίαν ἑαυτῷ πρίασθαι, καὶ παίει τὸν ὅσιον κατὰ κόῤῥης, ὅλῃ χειρί, ἕως τίνος, εἰπών, χριστεμπαῖκτα, τῶν φαύλων οὐκ ἀποστήσῃ πράξεων; πρὸς ταῦτα τὸν γέροντα φάναι· ταπεινέ, μέλλει σοι ἐπικροτηθῆναι ῥάπισμα, ὥς μικροῦ πᾶσαν τὴν Ἀλεξάνδρειαν πρὸς τὰς σὰς ἐπισυναχθῆναι κραυγάς.

Χρόνος τῷ μεταξὺ ἱκανός, καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ πρὸς Κύριον ἐκδημεῖ, ἔν τινι σμικροτάτῳ κελλίῳ ὤν, ὃ κατὰ τὴν λεγομένην Ἡλιούπολιν κτισάμενος ἦν, καθ' ἣν μικρόν τι εὐκτήριον ἐκ γειτόνων ἔχων, πολλὰς ἐν αὐτῷ συνάξεις ἐποίει.

Κοιμηθέντος οὖν αὐτοῦ καὶ μηδενὸς αἰσθομένου, ἐφίσταταί τις παραχρῆμα δύσμορφος αἰθίοψ τῷ ῥαπίσαντι αὐτὸν ἀκολάστῳ, καὶ παίει βαρύ τι καὶ ἔντονον αὐτῷ κατὰ τῶν παρειῶν ῥάπισμα, οὕτως ἰσχυρῶς, ὥς τὸν κρότον ἄχρι καὶ μηκίστου διαστήματος ἀκουστὸν γενέσθαι, ἐπειπεῖν τε αὐτῷ· δέξαι τουτὶ τὸ ῥάπισμα, ὅπερ ὁ Μοναχός σοι Βιτάλιος πέπομφεν, ὥς προεῖπεν.

Αὐτίκα γοῦν ὁ ἄθλιος ἐκυλίετο δαιμονῶν, καὶ συνηθροίσθησαν ἐπ' αὐτῷ μικροῦ πᾶσα ἡ Ἀλεξάνδρεια, κατὰ τὴν τοῦ δικαίου πρόῤῥησιν· μόλις γοῦν ποτε μετὰ πολλὴν ὕστερον τὴν ὥραν ἑαυτοῦ γενόμενος, ῥήγνυσι τὰ ἱμάτια, καὶ διαναστάς, δρόμῳ πρὸς τὸν τοῦ ἁγίου οἰκίσκον ἐχώρει, ἐλέησόν με, κράζων, δοῦλε τοῦ Θεοῦ Βιτάλιε, μεγάλα εἰς Θεὸν καὶ εἰς σὲ ἁμαρτήσαντα.

Πάντων οὖν ὁρώντων ὅσοι παρόντες ἔτυχον, ὥς τῷ οἰκίσκῳ τοῦ γέροντος ἤγγισε, ῥίψαν αὐτὸν τὸ δαιμόνιον, καὶ σπαράξαν, ἀφῆκεν· ἐπεὶ οὖν ταῦτα εἶδον, ἔσω τοῦ οἰκίσκου γενόμενοι εὗρον τὸν ὅσιον ἐπὶ γόνυ κλιθέντα, καὶ Θεῷ διὰ προσευχῆς τὴν ψυχὴν παραθέμενον, εἶτα τῷ ἐδάφει προσκύψαντες, γραφὴν ὁρῶσιν ἔχουσαν οὕτως.

«Ἄνδρες Ἀλεξανδρεῖς, μὴ πρὸ καιροῦ τι κρίνετε ἕως ἂν ἔλθῃ ὁ Κύριος»· ἐξωμολογεῖτο τοιγαροῦν ἐπὶ πάντων ὁ τοῦ δαίμονος ἀνεθείς, ἅτε εἴργασται κατὰ τοῦ δικαίου, καὶ ἅπερ ἤκουσε προφητικῶς παρ' αὐτοῦ ῥηθέντα, ἃ δὴ καὶ πέπονθεν.

Ἀνηγγέλη οὖν ταῦτα παραχρῆμα τῷ Πατριάρχῃ, καὶ αὐτὸς ἅμα παντὶ τῷ κλήρῳ παραγενόμενος, ὥς ἀνέγνω τὴν ἐπὶ τοῦ ἐδάφους γραφήν, παρ' ὀλίγον, εἶπεν, εἰ τοῖς λόγοις τῶν ἐνδιαβαλλόντων ὑπαχθεὶς ἦν, ἐμοὶ ἂν ἐκεῖνο ἐπεκροτήθη τὸ ῥάπισμα.

Τότε συναθροίζονται καὶ τὸ τῶν πορνῶν ἅμα σμῆνος πρὸς τὴν τοῦ τιμίου σώματος κηδείαν, προεκόμιζόν τε αὐτὸ ἀρώμασι καὶ λαμπάσι, τὴν στέρησιν ἐκθύμως ἀποκλαιόμεναι, τῆς πολὺ τὸ ὠφέλιμον ῥεούσης αὐτοῦ διδαχῆς· ἐξηγοῦν τότε τὸν αὐτοῦ βίον, ὥς οὐ κατά τι πονηρὸν τὴν εἰς αὐτὰς εἴσοδον ἐποιεῖτο, οὔτε μὴν ὀφθείη ποτὲ μιᾶς αὐτῶν, οὐδὲ χειρὶ χεῖρας προσβαλών, ἢ ἐπὶ πλευρὰν ὅλως κατακλιθείς.

Πρὸς μέντοι τοὺς ἐγκαλοῦντας ταύταις τὴν σιωπήν, καὶ ὅτι πολλοῖς ἐντεῦθεν σκανδάλου γεγόνασιν αἴτιαι τὴν ἐκείνου παραγγελίαν εἰς ἀπολογίαν προέ-

τειναν, καὶ τὴν ὑπὸ δαίμονος ἐπισκήψασαν εἰς παιδείαν τῇ παρακουσάσῃ μάστιγα. Αὐτὸς δὲ ὁ τὸ ῥάπισμα δεδωκὼς καὶ ἀντιλαβών, οὐ διέλιπε ποτὲ ἀπὸ τοῦδε, τῷ τάφῳ προσεδρεύων τοῦ Μακαρίου, θησαυρῷ πολλῶν χαρισμάτων ἀποδειχθέντι, τὴν μνήμην τὴν ἐκείνου, κατὰ τὸ ἔθος διὰ ψαλμῳδίας ποιούμενος, εἶτα καὶ χρόνοις ὀλίγοις ὕστερον, τῇ μονῇ τοῦ Μοναχοῦ Σερίδωνος ἀποκείρεται, καὶ τὸ τοῦ θείου Βιταλίου κελλίον κατὰ τὴν πολλὴν πρὸς αὐτὸν πίστιν ἐγχειρισθεὶς διετέλεσεν οὕτω τὸν ἡσύχιον βίον ἐκεῖσε μετιὼν ἄχρι καὶ τελευτῆς.

Ἔτι γε μὴν καὶ ὁ Πατριάρχης πολλὰς ὡμολόγει τῷ Θεῷ χάριτας, παρ' ὃ μὴ συγχωρηθείη ἀνάξιόν τι φθέγξασθαι ἢ ἐννοῆσαι τῆς μακαρίας ἐκείνης καὶ ἀοιδίμου ψυχῆς, πολλοί τε τῶν Ἀλεξανδρέων τὰ μεγάλα ἐβελτιώθησαν, προχείρως περὶ τὸ κρίνειν ἔχοντες, καὶ τὴν πονηρὰν ταύτην ἀπομαθόντες συνήθειαν. Ἔλεγε δὲ καὶ πρός τινας ὁ Πατριάρχης, ὅτι δεῖ ἀδελφοὶ προσέχειν ὑμᾶς μὴ εὐκόλους εἶναι πρὸς τὴν κατάκρισιν· ἐγὼ γάρ ποτε βίον τινὸς τῶν μεγάλων Πατέρων ἀναγινώσκων, τοιούτῳ τινὶ ὠφελείας μεστῷ διηγήματι περιέτυχον. Εἶχε δὲ οὕτως.

3. Εἰς Τύρον τὴν πόλιν Μοναχοὶ δύο διακονίαν δήπου πληροῦντες ἀφίκοντο. Θατέρῳ δὲ τούτων εἰς τόπον παριόντι τινά, μία τῶν πορνῶν, ἧς τοὔνομα Πορφυρία, εἵπετο κράζουσα· Πάτερ τίμιε, σῶσόν με, οἷα τὴν πόρνην Ἰησοῦς ὁ Χριστός. Ὁ δὲ μηδὲν τῶν ἀνθρωπίνων ὑπολογισάμενος λαβόμενος αὐτῆς τῆς χειρός, ὑπὸ πολλῶν ὁρώντων τοῖς ὀφθαλμοῖς, διὰ μέσης τῆς πόλεως ἔξεισι· φήμη τοιγαροῦν πανταχοῦ διέρρευσεν ὡς εἴη ὁ Μοναχὸς ἐκεῖνος, εἰς γυναῖκα τὴν Πορφυρίαν λαβών, διϊοῦσι τε ἡ πόρνη σὺν αὐτῷ πόλεις τε καὶ κώμας, βρέφει περιτυγχάνει χαμαὶ κειμένῳ, ὅπερ ἐπὶ τὸ ἀναθρέψαι φιλανθρώπως ἀνελομένη, βαστάζουσα ἦν.

Χρόνῳ δέ τινι ὕστερον, Τύριοι καταλαβόντες ἔνθα οὗτοι διέτριβον, καὶ τὸ παιδίον ὑπό γε τῆς πόρνης ἰδόντες ἠγκαλισμένον, ὥς περ ἐγγελῶντες, καὶ τοῦ γενναίου τοῦδε ἀνδρὸς κατειρωνευόμενοι, ἀληθῶς, ἔλεγον πρὸς αὐτήν, οὐχ ἥμαρτες τοῦ σκοποῦ, καλὸν γάρ σοι τὸ ἐκ τοῦ Μοναχοῦ τέκνον ἀποκεκύηται. Οἳ καὶ εἰς Τύρον ἐπανελθόντες, λόγον ἁπανταχοῦ διέσπειρον, ἐκ τοῦ Μοναχοῦ ταύτην παιδίον ἀποτεκεῖν, σαφεῖς ἐκείνου διασῷζον τοὺς χαρακτῆρας.

Οὕτω σχεδὸν οἱ ἄνθρωποι ἕτοιμοι πιστεῦσαι ταῖς ὑπονοίαις, καὶ μάλιστα φαῦλοι καὶ μοχθηροὶ ὄντες, καὶ οἴκοθεν ἔχειν τὰς τοῦ πιστεύειν ἀφορμὰς δυνάμενοι· εὐθὺς γὰρ ὥς περ ἑαυτοὺς ἐκ τοῦ ἐγγυτάτου λαμβάνοντες μάρτυρας, κατηγοροῦσι τῶν ἄλλων ῥᾳδίως, ἅμα μὲν τοῖς τοιούτοις νοήμασί τε καὶ ῥήμασιν ἐντρυφᾷν βουλόμενοι, ἅμα δέ, καὶ ἑτέρους εἰς μοχθηρίας ὁμοίους ἔχειν ἐπιθυμοῦντες, καὶ οὕτω φεύγειν σπουδάζοντες τὰς ἐκ τοῦ συνειδότος πληγάς.

Ὁ μέντοι Μοναχὸς ἐκεῖνος ὁ τίμιος ἀποκείρας τὴν Πορφυρίαν, καὶ τὸ τῶν Μοναχῶν αὐτῇ σχῆμα περιθείς, Πελαγίαν μετονομάζει, καὶ εἰς Παρθενῶνα δίδωσιν ἡσυχάζειν. Ἐπεὶ δὲ προέγνω τὴν ἡμέραν τῆς ἑαυτοῦ τελευτῆς, παραλαβὼν κἀκείνην ἐπάνεισι πρὸς τὴν Τύρον, ἣν δὲ καὶ τὸ παιδίον αὐτῇ συνεπόμενον, ἑπτὰ χρόνων σχεδὸν γεγονός.

Διεδόθη δὲ αὐτῶν εἰς πάντας ἡ ἄφιξις, ὡς ἡ Πορφυρία μετά γε τοῦ Μοναχοῦ ἀνδρὸς αὐτῆς ἐπανήκει· εἶθ' οὕτως νοσήσαντι καὶ πρὸς θάνατον ἀφορῶντι τῷ Μοναχῷ, πλεῖστοι τῶν οἰκητόρων ἐπισκέψεως χάριν αὐτῷ προσέβαλον, ὧν ἐπ' ὄψεσι θυμιατήριον ἐνεχθῆναι κελεύσας ἀνθράκων πλῆρες πυρός, καὶ εἰς ἀκοὰς πάντων, εὐλογητὸς Κύριος, ἔφη, ὁ πάλαι τὴν βάτον τηρήσας ἄφλεκτον, οὗτός μοι εἴη μάρτυς πιστός, ὅτι ὥς περ οὐχ ἥψατο τῶν ἐμῶν ἱματίων ἡ καυστικὴ αὕτη τοῦ πυρὸς δύναμις, οὕτως οὐδὲ ἐγὼ γυναικὸς ἡψάμην παρ' ὅλον τὸν τῆς ζωῆς μου χρόνον.

Τοῦτο πάντες ἀκούσαντες κατεπλάγησαν, δόξαν τῷ Θεῷ διδόντες, ὅς γε τοιαῦτα τοὺς ἐν κρυπτῷ αὐτοῦ θεράποντας, φανερῶς οἶδε δοξάζειν.

Ταῦτα ποιήσας τε καὶ λέξας ὁ Μοναχός, εἰς χεῖρας Θεοῦ τὴν ψυχὴν παρατί-

θεται. Διὰ δὴ ταῦτα, παρεγγυῶμαι πᾶσι, τέκνα πνευματικά, καθὰ δὴ καὶ προέφην, μὴ προχείρους ὑμᾶς πρὸς τὸ κατακρίνειν, ἀλλ' ἑαυτοὺς ὁπόση δύναμις ἀσφαλίζεσθαι.

Ἑρμηνεία

ΕΝΑΣ Μοναχὸς τὸν καιρὸν ἐκεῖνον διερχόμενος ἀπὸ τὴν Ἀλεξάνδρειαν εἶχε μαζί του καὶ μίαν ὡραιοπρόσωπον κόρην· μερικοὶ τότε ἀπὸ τοὺς ἀνθρώπους τῆς Ἐκκλησίας τὸν εἶδον καὶ καταγγέλλουν εἰς τὸν Μακάριον Ἰωάννην τὸ περιστατικόν, ὅτι δῆθεν ἡ συντροφιὰ τοῦ Μοναχοῦ καὶ τῆς κόρης πολλοὺς σκανδαλίζει. Αὐτὸς δὲ παρασυρθεὶς ἀπὸ τοὺς λόγους των καὶ νομίσας, ὅτι κάνουν αὐτὴν τὴν ὑπόμνησιν κινούμενοι ἀπὸ θεῖον ζῆλον, διατάσσει νὰ συλλάβουν τὸν Μοναχὸν καὶ τὴν κόρην καὶ νὰ τοὺς δείρουν σκληρότατα· κατόπιν δὲ νὰ τοὺς κλείσουν χωριστὰ εἰς τὴν σκοτεινοτέραν φυλακήν.

Ἀφοῦ δὲ ἐξετελέσθη ἡ διαταγὴ καὶ ἐφυλακίσθησαν ὁ Μοναχὸς μετὰ τῆς κόρης, καὶ τὸ σκότος τῆς νυκτὸς ἐκάλυψε τὴν πόλιν τῆς Ἀλεξανδρείας, κατὰ τὰ μεσάνυκτα ἕνα τρομακτικὸν ὄνειρον κατετάραξε τὸν Πατριάρχην· παρουσιάζεται ὁ Μοναχὸς ἀποκαλύπτων τὸ καταπληγωμένον σῶμά του καὶ λέγει ἀπευθυνόμενος πρὸς αὐτὸν μὲ ἁπλότητα καὶ ἀφέλειαν· «Τί λοιπόν; σοῦ ἀρέσουν αὐτά, Δέσποτα; Πίστευσε, ὅτι αὐτὴν ἐδῶ τοὐλάχιστον τὴν φορὰν ἔχεις ἀπατηθῆ καὶ σὺ ὡς ἄνθρωπος».

Ἐγερθεὶς ὁ Πατριάρχης ἐκ τοῦ ὕπνου ἀμέσως στέλλει καὶ καλεῖ πλησίον του τὸν Μοναχόν, ἀφοῦ τὸν ἐξήγαγεν ἀπὸ τὴν φυλακήν· οὗτος δὲ μόλις ἠδύνατο νὰ βαδίζῃ ἀπὸ τὰ πολλὰ τραύματα. Ὁ Πατριάρχης τὸν ἐκοίταξε μετὰ προσοχῆς καὶ ἀνεγνώρισεν εἰς τὸ πρόσωπόν του τὸν Μοναχὸν τὸν ὁποῖον εἶδεν εἰς τὸν ὕπνον του!

Ἐπιθυμῶν δὲ νὰ μάθῃ, ἐάν, πράγματι, τόσας πληγὰς εἶχε, ὅσας ἔφερε καὶ κατὰ τὴν ἐμφάνισιν εἰς τὸ ὄνειρον, διατάσσει νὰ ἀπογυμνωθῇ, ἀφοῦ καλύψῃ τὰ ἀπόκρυφα μέλη του μὲ μίαν πετσέταν. Κατὰ θείαν ὅμως οἰκονομίαν ἐλύθη ἡ πετσέτα καὶ ἀπεκαλύφθησαν τὰ ἀπόκρυφα μέλη του. Καὶ τότε, ἐνῷ ὁ Μοναχὸς εἶχε γίνει κατακόκκινος ἀπὸ τὴν ἐντροπήν, ἀπεδείχθη, ὅτι ἦτο ἀνίκανος διὰ τὴν ἁμαρτίαν, ἐπειδὴ ἦτο εὐνοῦχος· ἂν καὶ λόγῳ τοῦ νέου τῆς ἡλικίας, δὲν ἦτο δυνατὸν ἐνωρίτερον νὰ ἀπαλλαγῇ πάσης ὑπονοίας. Ἀμέσως λοιπὸν ὁ Πατριάρχης, κατάπληκτος ἀπὸ τὰ γεγονότα, ἀπεμάκρυνε τοὺς κατηγόρους τοῦ Μοναχοῦ ἀπὸ τὰ ἐκκλησιαστικά των ἀξιώματα καὶ τοὺς ἐπέβαλε τὴν ποινὴν τῆς τριετοῦς ἀργίας. Εἰς δὲ τὸν θεοφιλῆ Μοναχὸν ἀπελογεῖτο δεόντως καὶ ἐζήτει παρ' αὐτοῦ συγχώρησιν διὰ τὸ κακόν, ποὺ τοῦ ἐπροξένησε, χωρὶς νὰ γνωρίζῃ τὴν κατάστασίν του. Ἀλλὰ δὲν δύναμαι, ἔλεγεν, ὁ Πατριάρχης πρὸς τὸν Μοναχόν, νὰ ἐπαινέσω καὶ τὴν ἰδικήν σου ἐνέργειαν, καθ' ἥν, ἐνῷ εἶσαι Μοναχὸς καὶ φαίνεσαι τόσον νέος, περιφέρεσαι εἰς τὰς πόλεις καὶ σύρεις πλησίον σου μίαν γυναῖκα, σκανδαλίζων τοιουτοτρόπως τοὺς περισσοτέρους.

Ἐκεῖνος δὲ μὲ τὴν ἁρμόζουσαν ἐντροπὴν καὶ μετριότητα ἀπήν-

τησεν· «Ἂς εἶναι εὐλογητὸς ὁ Κύριος, Δέσποτα· σὲ διαβεβαιῶ, ὅτι δὲν ψεύδομαι. Πρὸ ὀλίγων ἡμερῶν εὑρισκόμουν εἰς Γάζαν, καὶ ἀπὸ ἐκεῖ, ἐνῷ ἐπήγαινα νὰ προσκυνήσω τοὺς Ἁγίους Κῦρον καὶ Ἰωάννην, μὲ συναντᾷ κατὰ τὸ ἑσπέρας ἡ κόρη αὐτή· ἀμέσως μὲ σεβασμὸν πίπτει ἔμπροσθεν τῶν ποδῶν μου παρακαλοῦσά με νὰ τὴν συνοδεύσω, διότι ἐπεθύμει νὰ γίνῃ Χριστιανή· ἡ κόρη αὐτὴ ἦτο Ἑβραία. Ἐγὼ λοιπόν, φοβηθεὶς τὴν τιμωρίαν τοῦ Θεοῦ, ὁ ὁποῖος διέταξε νὰ μὴ περιφρονῶμεν κανένα ἀπὸ τὰ ἀσήμαντα πλάσματά του, μετὰ προθυμίας ἀκούσας τὴν παράκλησιν αὐτήν, ἀπεφάσισα νὰ τὴν συνοδεύσω. Δὲν εἶχον ἄλλωστε λόγον νὰ φοβηθῶ πειρασμικὴν ἐνέργειαν, διότι εὑρίσκομαι εἰς τὴν κατάστασιν τῆς σωματικῆς ἀναπηρίας. Ἀφοῦ λοιπὸν ἔφθασα ἐκεῖ, δηλαδὴ εἰς τὸν Ναὸν τῶν Ἁγίων Ἀναργύρων, καὶ ἐπραγματοποίησα τὸ τάξιμόν μου, ἐδίδαξα εἰς αὐτὴν τὴν Χριστιανικὴν Πίστιν. Ἔκτοτε μὲ αἰσθήματα ἁγνὰ τὴν ἔχω μαζί μου διὰ νὰ τὴν προστατεύω καὶ τὴν συντηρῶ μὲ τὰ ἐλέη τῶν Χριστιανῶν, φροντίζω δέ, ἐὰν δυνηθῶ, νὰ τὴν κατατάξω εἰς γυναικεῖον Μοναστήριον».

Μόλις ἤκουσεν αὐτὰ ὁ Μακάριος ἐκεῖνος Πατριάρχης ἀνεφώνησε κατάπληκτος· «Βαβαί! Πόσοι δοῦλοι τοῦ Θεοῦ ζοῦν χωρὶς θόρυβον καὶ ἐπιδείξεις, ἔστω καὶ ἐὰν παραμένουν εἰς ἡμᾶς ἄγνωστοι!» Ἀμέσως δὲ προσφέρει ὡς δῶρον εἰς τὸν Μοναχὸν ἑκατὸν νομίσματα· ἐκεῖνος ὅμως ἠρνήθη νὰ τὰ δεχθῇ ἀπαντῶν· «Ἐὰν ὁ Μοναχὸς ἔχῃ πίστιν, δὲν χρειάζεται χρήματα· ἐὰν πάλιν ἀγαπᾷ τὰ χρήματα, τότε ἡ ψυχή του εἶναι ἔρημος ἀπὸ πίστιν». Ἀφοῦ εἶπεν αὐτὰ καὶ ἠσπάσθη τὴν χεῖρα τοῦ Πατριάρχου ἀνεχώρησε.

2. Τότε ὁ Πατριάρχης συνεβούλευσε τοὺς παρευρισκομένους νὰ ἀποφεύγουν τὰς ἐναντίον τῶν Μοναχῶν κατηγορίας· ἐπανέλαβε δὲ καὶ μίαν ὑπέροχον φράσιν τοῦ ἀοιδίμου βασιλέως Ἁγίου Κωνσταντίνου, τὴν ὁποίαν ἀπηύθυνε πρὸς μερικούς, ποὺ τοῦ ἐπέδωσαν λιβέλλους ἐναντίον Ἐπισκόπων, κατὰ τὴν πρώτην ἐν Νικαίᾳ Οἰκουμενικὴν Σύνοδον· ἀπορρίπτων τὰς κατηγορίας ἐκείνας ὁ Μέγας Κωνσταντῖνος εἶπε· «Ἐὰν συνήντων πορνεύοντα Ἐπίσκοπον ἢ Μοναχόν, ἐκβάλλων τὴν βασιλικήν μου χλαμύδα, θὰ ἔρριπτα αὐτὴν ἐπάνω του, ὥστε νὰ τὸν καλύψω διὰ νὰ μὴ τὸν ἴδῃ κανεὶς ἁμαρτάνοντα». Καὶ συνέχισεν ὁ Πατριάρχης· ἐγνώριζε καλῶς ἐκεῖνος, ὅτι τὰ ἐλαττώματα τῶν τοιούτων ἀνδρῶν (Μοναχῶν καὶ Ἐπισκόπων), ὅταν φανερωθοῦν εἰς τοὺς πολλούς, ὄχι μόνον προκαλοῦν ἀνυποληψίαν τῶν ἀξίων τιμῆς καὶ σεβασμοῦ ἐκκλησιαστικῶν ἀξιωμάτων, ἀλλὰ διὰ τῶν τοιούτων κακῶν παραδειγμάτων δικαιολογοῦν τὰς παρεκτροπάς των οἱ ζητοῦντες ἀφορμήν.

Ἐξ αἰτίας λοιπὸν τοῦ περιστατικοῦ τοῦ εὐνούχου Μοναχοῦ, τὸ ὁποῖον διετήρησε ζωηρὸν εἰς τὴν ψυχήν του, δὲν ἔδωσεν οὐδεμίαν προσοχὴν εἰς τὰς συκοφαντίας ἐναντίον τοῦ Μεγάλου Βιταλίου ὁ ἀείμνηστος ἐκεῖνος Πατριάρχης Ἰωάννης ὁ Ἐλεήμων.

Τί συνέβη μὲ τὸν Βιτάλιον;

Αὐτὸς προηγουμένως ἐφησύχαζεν εἰς τὴν Μονὴν τοῦ Ὁσίου Σερίδωνος· ἀναχωρήσας δὲ ἀπὸ τὴν Μονὴν ἐγκατεστάθη εἰς Ἀλεξάνδρειαν, ὅπου ἐπολιτεύθη τοιουτοτρόπως, ὥστε οἱ ἄνθρωποι εὐκόλως νὰ τὸν κατηγοροῦν, ὁ Θεὸς ὅμως εἰς τὸ ἔπακρον νὰ τὸν δοξάσῃ, ὅπως ἀπεδείχθη ἐκ τῶν ὑστέρων.

Ὁ Γέρων Βιτάλιος λοιπόν, ὅταν ἦλθεν εἰς τὴν Ἀλεξάνδρειαν, εἶχεν ὑπερβῆ τὸ ἑξηκοστὸν ἔτος τῆς ἡλικίας του· ἀμέσως μὲ ἐπιμέλειαν ἤρχισε νὰ καταγράφῃ ὅλας τὰς πόρνας, ποὺ εὑρίσκοντο εἰς τὰ χαμαιτυπεῖα. Ἐν τῷ μεταξὺ ἀνέλαβεν ἐργασίαν, ἐκ τῆς ὁποίας ἐλάμβανεν ὡς μισθὸν δώδεκα ὀβολοὺς τὴν ἡμέραν. Ἀπὸ αὐτὰ τὰ χρήματα διέθετεν ἕνα ὀβολόν, διὰ νὰ ἀγοράζῃ λούπινα, τὰ ὁποῖα ἔτρωγε μετὰ τὴν δύσιν τοῦ ἡλίου· τοὺς ὑπολοίπους δὲ ὀβολοὺς διέθετε κατὰ τὸν ἀκόλουθον τρόπον: Καθ' ἑκάστην νύκτα μετέβαινε καὶ εἰς ἕνα καταγώγιον τῆς ἁμαρτίας καὶ συνήντα ἁμαρτωλὸν γυναῖκα· πρὸς αὐτὴν προσφέρων τὰ χρήματα ἔλεγε· «Πάρε αὐτὰ τὰ χρήματα καὶ σὲ παρακαλῶ αὐτὴν τὴν νύκτα μὴ διαπράξῃς, πρὸς χάριν μου, τὴν ἁμαρτίαν». Ἐκεῖνος δὲ παρέμενεν ὅλην τὴν νύκτα εἰς μίαν γωνίαν τοῦ καταγωγίου, ὅπου γονυπετὴς δὲν ἔπαυε νὰ προσεύχεται θερμῶς ὑπὲρ τῆς ψυχῆς τῆς ἁμαρτωλοῦ ἀπαγγέλλων μέχρι πρωΐας Ψαλμούς. Μόλις δὲ ἤρχιζε νὰ χαράζῃ ἀνεχώρει, ἀφοῦ προηγουμένως ἐξώρκιζε τὴν γυναῖκα τῆς ἁμαρτίας νὰ μὴ ἀποκαλύψῃ εἰς οὐδένα τὸ διάβημα αὐτό.

Καὶ πράγματι τὸ γεγονὸς αὐτὸ διετηρεῖτο μυστικόν. Μόνον μία ἐξ αὐτῶν κάποτε ἐτόλμησε νὰ περιφρονήσῃ τοὺς δοθέντας ὅρκους καὶ νὰ ἀποκαλύψῃ τὸ ἔργον τοῦ γέροντος· ἐδαιμονίσθη ὅμως ἀμέσως μὲ τὴν προσευχήν του, ὥστε αἱ ἄλλαι νὰ φοβηθοῦν καὶ καμμία νὰ μὴ τολμήσῃ πλέον νὰ φανερώσῃ κάτι ἀπὸ τὸν βίον του. Ὁ δοῦλος τοῦ Θεοῦ Βιτάλιος εἰς ἓν μόνον ἀπέβλεπεν, τὴν σωτηρίαν τῶν ψυχῶν τῶν ἁμαρτωλῶν ἐκείνων γυναικῶν· ἐναντίον δὲ τῶν κατ' αὐτοῦ φλυαρούντων δὲν ἠγανάκτει, ἀλλὰ προσηύχετο νὰ τοὺς συγχωρήσῃ ὁ Θεὸς διὰ τὰς συκοφαντικάς των κρίσεις. Τὸ ἔργον δὲ αὐτὸ ἐγένετο ἀφορμὴ εἰς πολλὰς νὰ σωθοῦν· διότι βλέπουσαι αἱ ἁμαρτωλαὶ γυναῖκες τὴν ὁλονύκτιον ἀγρυπνίαν τοῦ γέροντος, τὸ ἀκατάπαυστον τῆς ψαλμῳδίας καὶ τὴν ἐπίμονον προσευχήν του διὰ τὴν μεταβολήν των, συνεκινοῦντο ἀπομακρυνόμεναι τῶν αἰσχρῶν πράξεων καὶ φροντίζουσαι μὲ ἐπιμέλειαν διὰ τὴν σωφροσύνην· καὶ ἄλλαι μὲν ἐξ αὐτῶν ἐλάμβανον νόμιμον σύζυγον διὰ τοῦ Μυστηρίου τοῦ γάμου, ἄλλαι ἀπεμακρύνοντο ὁριστικῶς τοῦ ἐπονειδίστου ἐπαγγέλματος, ἄλλαι δὲ πάλιν τελείως ἀποτασσόμεναι τὸν κόσμον προετίμων τὸν ἀνώτερον βίον τῶν Μοναχῶν. Πάντως κανείς, ἐν ὅσῳ ἔζη, δὲν ἀντελήφθη τὸν θεάρεστον καὶ φιλάνθρωπον αὐτοῦ βίον, τὸν ὁποῖον ἀθορύβως μετήρχετο.

Κάποτε ὅμως, ἐνῷ ἐξήρχετο ἀπὸ τὴν κακόφημον συνοικίαν τῆς πρωτευούσης, συνηντήθη μὲ ἕνα ἀκόλαστον καὶ διεφθαρμένον

ἄνθρωπον, ὁ ὁποῖος εἰσήρχετο πρὸς τὸν σκοπὸν τῆς ἁμαρτίας εἰς τὴν περιοχὴν τοῦ καταγωγίου· οὗτος λοιπὸν ἠγανάκτησε, δῆθεν, ἀπὸ ἀηδίαν πρὸς τὸν γέροντα καὶ τοῦ καταφέρει μὲ ὅλην τὴν δύναμιν τῆς χειρός του κτύπημα εἰς τὸν αὐχένα λέγων συγχρόνως· «Πότε πλέον θὰ ἀπομακρυνθῇς τῶν αἰσχρῶν σου πράξεων, χριστοκάπηλε;». Ὁ γέρων εἰς τὴν ἐπίθεσιν αὐτὴν ἀπήντησε: «Πτωχὲ ἄνθρωπε, πρόκειται νὰ σοῦ καταφερθῇ ἠχηρότατον ῥάπισμα, τὸ ὁποῖον θὰ σοῦ προξενήσῃ τόσον πόνον, ὥστε εἰς τὰς κραυγάς σου θὰ συγκεντρωθῇ σχεδὸν ὅλη ἡ Ἀλεξάνδρεια».

Μετὰ ἀπὸ ἀρκετὸν χρόνον ὁ ἄνθρωπος ἐκεῖνος τοῦ Θεοῦ Βιτάλιος ἀπέρχεται πρὸς Κύριον· εὑρίσκετο δὲ τότε εἰς ἐξοχικήν τινα συνοικίαν καλουμένην Ἡλιούπολιν, κατοικῶν εἰς μικρότατον κελλίον, τὸ ὁποῖον ἔκτισεν ὁ ἴδιος πλησίον ἑνὸς μικροῦ οἰκίσκου, τὸν ὁποῖον παρεχώρησαν οἱ γείτονες καὶ ἐγένοντο θρησκευτικαὶ συνάξεις.

Τὸν θάνατόν του καίτοι οὐδεὶς ἀντελήφθη ὡς ἑξῆς ἐγνώσθη· συγχρόνως μὲ τὴν εἰς Κύριον ἐκδημίαν τοῦ Ὁσίου ἐμφανίζεται εἰς τὸν διεφθαρμένον ἐκεῖνον ἄνθρωπον, ποὺ ἐρράπισε τὸν Ὅσιον, ἕνας ἀπαίσιος καὶ φοβερὸς αἰθίοψ· κτυπᾷ δὲ αὐτὸν τόσον ἔντονα καὶ ἠχηρῶς εἰς τὰς παρειάς, ὥστε ὁ κρότος νὰ γίνῃ αἰσθητὸς εἰς ἀρκετὴν ἀπόστασιν· καὶ τοῦ λέγει· «Λάβε αὐτὸ τὸ ῥάπισμα, τὸ ἔχει στείλει διὰ σὲ ὁ Μοναχὸς Βιτάλιος, ὅπως προεῖπεν». Ἀμέσως δὲ ὁ δυστυχὴς ἐδαιμονίσθη καὶ ἐκυλίετο εἰς τὸν δρόμον· τόσον δὲ μεγίστη ὑπῆρξεν ἡ ἐντύπωσις τοῦ κόσμου ἀπὸ τὸ περιστατικὸν αὐτό, ὥστε προσέτρεξαν ὅλοι σχεδὸν οἱ κάτοικοι τῆς Ἀλεξανδρείας, ὅπως ἀκριβῶς εἶχε προείπει ὁ Ἅγιος. Ἀφοῦ συνῆλθε μετὰ ἀπὸ ἀρκετὴν ὥραν, ἔσχιζε τὰ ἐνδύματά του καὶ τρέχων δρομαίως πρὸς τὸ κελλίον τοῦ Ἁγίου, ἐφώναζε σπαρακτικά· «Ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ Βιτάλιε, διότι πάρα πολὺ ἡμάρτησα ἐνώπιον τοῦ Θεοῦ καὶ ἀπέναντί σου».

Ἐν τῷ μεταξὺ προσέτρεξαν ἀρκετοί· ὅταν δὲ ἔφθασαν ἔξωθι τοῦ κελλίου τοῦ Ὁσίου ἐνώπιον πάντων κατελήφθη καὶ πάλιν ὑπὸ τοῦ δαίμονος, καὶ ἀφοῦ ἐπὶ πολὺ τὸν ἐσπάραξε, τὸν ἀφῆκε. Βλέποντες αὐτὰ μερικοὶ ἀπὸ τοὺς παρατυχόντας εἰσῆλθον εἰς τὸ κελλίον τοῦ γέροντος, διὰ νὰ τοῦ ἀναγγείλουν τὸ γεγονός. Ἔμειναν ὅμως κατάπληκτοι· ὁ Ὅσιος εἶχε παραδώσει εἰς τὸν Θεὸν τὴν μακαρίαν ψυχήν του, καθ' ἣν στιγμὴν γονατιστὸς προσηύχετο· εἰς τὴν στάσιν αὐτὴν τὸν εἶδον οἱ εἰσελθόντες. Ἐν συνεχείᾳ κύπτοντες εἰς τὸ ἔδαφος παρετήρησαν, ὅτι εἶχον γραφῆ τὰ ἑξῆς ἐπ' αὐτοῦ· «Ἄνδρες Ἀλεξανδρεῖς, μὴ κρίνετε τίποτε πρόωρως, ἕως οὗ ἔλθῃ ὁ Κύριος». Τότε καὶ ὁ δαιμονισθεὶς ἐξωμολογεῖτο ἐνώπιον ὅλων καὶ ὅσα ἐναντίον τοῦ δικαίου ἔκαμε καὶ ὅσα προφητικὰ λόγια παρ' ἐκείνου ἤκουσε, τὰ ὁποῖα τώρα προσφάτως ἐξεπληρώθησαν εἰς αὐτόν.

Ἀμέσως ἐπληροφόρησαν τὸν Πατριάρχην περὶ ὅλων αὐτῶν· ἐκεῖνος τότε, χωρὶς ἀναβολήν, καταφθάνει συνοδευόμενος ἀπὸ ὅλον

τὸν Κλῆρόν του. Μόλις δὲ ἀνέγνωσε τὴν περίεργον ἐπὶ τοῦ ἐδάφους γραφήν, ἀνεφώνησεν ἔκπληκτος· «Ἐὰν ἔδιδα σημασίαν εἰς τοὺς λόγους τῶν κατηγόρων τοῦ μακαρίου αὐτοῦ ἀνθρώπου, εἰς τὸ πρόσωπον τὸ ἰδικόν μου θὰ κατεφέρετο τὸ ἠχηρὸν ἐκεῖνο ράπισμα». Πληροφορηθεῖσαι τὴν εἴδησιν τοῦ θανάτου καὶ αἱ πρῴην διεφθαρμέναι γυναῖκες τῆς πόλεως, τὰς ὁποίας ὁ Ὅσιος εἶχεν ὁδηγήσει εἰς μετάνοιαν, συνεκεντρώθησαν ὅλαι διὰ νὰ παρακολουθήσουν τὴν κηδείαν τοῦ τιμίου σώματος· ἐναποθέτουσαι δὲ εἰς αὐτὸ ἀρώματα μετὰ θρήνου ἔκλαιον τὴν στέρησίν του, διηγούμεναι ἐν τῷ μεταξὺ πόσον εἶχον ὠφεληθῆ ἀπὸ τὴν διδασκαλίαν του. Ἀνέφερον τὴν ἐνάρετον ζωήν, τὴν ὁποίαν ἔζη, ὥστε ὄχι μόνον δὲν ἐκοιμήθη εἰς τὸ πλευρὸν μιᾶς ἐξ αὐτῶν, ἢ ἔκαμε ἀναιδῆ χειρονομίαν, ἀλλ' οὔτε κἂν ἐσήκωσε τοὺς ὀφθαλμούς του διὰ νὰ παρατηρήσῃ μίαν ἀπὸ αὐτάς.

Εἰς τὰς ἀφηγήσεις αὐτὰς μερικοὶ κατηγόρουν τὰς γυναῖκας, διότι δὲν ἀπεκάλυπτον αὐτὰ καὶ ἐγένοντο τοιουτοτρόπως πρόξενοι ὥστε καὶ ὁ κόσμος νὰ σκανδαλίζεται, ἀλλὰ καὶ ὁ μακάριος ἐκεῖνος νὰ συκοφαντῆται. Πρὸς αὐτοὺς ἀπολογούμεναι ἔλεγον· «Εἶχε δώσει εἰς ἡμᾶς τοιαύτην παραγγελίαν καὶ μᾶς εἶχε δεσμεύσει μὲ ἐπιτίμια νὰ τὴν σεβασθῶμεν». Χαρακτηριστικῶς δὲ διηγοῦντο τὸ ὑπὸ τοῦ δαίμονος πάθημα ἐκείνης, ἡ ὁποία ἠθέτησε τὴν ὑπόσχεσίν της.

Ὁ δὲ ῥαπισθεὶς ὑπὸ τοῦ Αἰθίοπος τόσον θαυμαστῶς, ὅστις ὡς γνωστὸν μὲ θρασύτητα εἶχε προηγουμένως ῥαπίσει τὸν Ὅσιον, ἀφοῦ συνῆλθε καὶ ἐθεραπεύθη, δὲν ἔπαυσε, μετὰ τὸν ἐνταφιασμόν, νὰ ἐπισκέπτεται συνεχῶς τὸν τάφον τοῦ Ὁσίου, ἀναδειχθέντα πηγὴν πολλῶν θαυμάτων, καὶ ἐπετέλει κατ' ἔτος διὰ ψαλμῶν τὴν μνήμην αὐτοῦ. Μάλιστα δὲ μετὰ ἀπὸ ὀλίγα ἔτη ἐκάρη Μοναχὸς εἰς τὴν Μονὴν τοῦ Ἀββᾶ Σερίδωνος, ὅπου παρέμεινε μέχρι τοῦ θανάτου του εἰς τὸ κελλίον τοῦ Ὁσίου Βιταλίου, τὸν ὁποῖον ηὐλαβεῖτο πάρα πολύ.

Ὁ Πατριάρχης Ἅγιος Ἰωάννης ὁ Ἐλεήμων ηὐχαρίστει πάρα πολὺ τὸν Θεόν, διότι συνεκρατήθη καὶ δὲν ἐσκέφθη ἢ δὲν εἶπε λόγον ἀνάξιον καὶ προσβλητικὸν διὰ τὸν μακάριον καὶ ἀοίδιμον ἐκεῖνον Ὅσιον. Ἀλλὰ καὶ πολλοὶ κάτοικοι τῆς Ἀλεξανδρείας, οἱ ὁποῖοι μὲ εὐκολίαν κατέκριναν, διωρθώθησαν καὶ τὴν πονηρὰν αὐτὴν συνήθειαν ἀπέβαλον.

Λαμβάνων δὲ ἀφορμὴν ὁ Πατριάρχης ἔλεγεν, ὅτι πρέπει νὰ προσέχωμεν νὰ μὴ εἴμεθα εὔκολοι εἰς τὴν κατάκρισιν· ἀνέφερε δὲ καὶ τὸ κατωτέρω ὠφέλιμον περιστατικόν, τὸ ὁποῖον ἀνέγνωσεν εἰς τὸν βίον ἑνὸς ἐκ τῶν μεγάλων Πατέρων. Εἶναι δὲ τοῦτο τὸ ἑξῆς.

3. Εἰς τὴν πόλιν Τύρον ἔφθασαν δύο Μοναχοὶ δι' ὑπηρεσίαν τινά. Ἐνῷ δὲ ὁ εἷς ἐξ αὐτῶν διήρχετο ἀπὸ ἕνα σημεῖον τῆς πόλεως, τὸν συναντᾷ μία πόρνη, ὀνομαζομένη Πορφυρία, καὶ ἡ ὁποία ἔκραξε· «Τίμιε

πάτερ, σῶσόν με, ὅπως ἔσωσε τὴν πόρνην καὶ ὁ Χριστός». Ἐκεῖνος δέ, χωρὶς νὰ λάβῃ ὑπ' ὄψιν του τοὺς ἀνθρώπους καὶ τὰς κρίσεις των, τὴν ἐπῆρεν ἀπὸ τὸ χέρι ἐνώπιον ὅλων καὶ ἐξῆλθε μετ' αὐτῆς ἀπὸ τὴν πλατεῖαν τῆς πόλεως. Ἀμέσως λοιπὸν διεδόθη ἡ φήμη, ὅτι ὁ Μοναχὸς ἐκεῖνος ἔλαβε τὴν Πορφυρίαν ὡς γυναῖκά του. Διερχομένη δὲ μετ' αὐτοῦ τὰς πόλεις καὶ τὰ χωρία συναντᾷ κάποτε τυχαίως ἕνα ἐγκαταλελειμμένον βρέφος, τὸ ὁποῖον παρέλαβεν ἀπὸ φιλανθρωπίαν νὰ τὸ ἀναθρέψῃ.

Μετὰ ἀπὸ ὀλίγον καιρὸν ἔρχονται μερικοὶ Τύριοι εἰς τὸ μέρος, ὅπου παρέμενον ὁ Μοναχὸς μὲ τὴν ἄλλοτε κοινὴν αὐτὴν γυναῖκα· μόλις δὲ εἶδον νὰ ἔχῃ εἰς τὴν ἀγκάλην της τὸ βρέφος, ἤρχισαν νὰ γελοῦν καὶ νὰ εἰρωνεύωνται πικροχόλως τὸν γενναῖον ἐκεῖνον ἄνδρα καὶ περιπαίζοντες ἔλεγον πρὸς αὐτήν· «Δὲν ἔπεσες ἔξω εἰς τοὺς ὑπολογισμούς σου· ὡραῖον τέκνον ἔχεις γεννήσει ἐκ τοῦ Μοναχοῦ». Ἐπανελθόντες δὲ εἰς Τύρον διέδιδον παντοῦ, ὅτι ἡ Πορφυρία ἀπέκτησε τέκνον ἐκ τοῦ Μοναχοῦ, τὸ ὁποῖον ὁμοιάζει καταπληκτικῶς πρὸς αὐτόν.

Οἱ ἄνθρωποι εἶναι πάντοτε πρόθυμοι νὰ πιστεύουν τὰς διαδόσεις· καὶ τοῦτο διότι εἶναι διεφθαρμένοι καὶ κακοί. Ἐξ ἰδίων δὲ κρίνοντες καὶ τὰ ἀλλότρια, νομίζουν καὶ τοὺς ἄλλους ὁμοίους αὐτῶν, εὑρίσκοντες δὲ καὶ ἄλλους προθύμους εἰς τὸ νὰ συκοφαντοῦν, ἀρχίζουν εὐκόλως νὰ κατηγοροῦν τοὺς ἄλλους, καὶ διότι εὐχαριστοῦνται εἰς τὰς τοιαύτας ὑποψίας καὶ τοὺς συκοφαντικοὺς λόγους, ἀλλὰ καὶ διότι ἐπιθυμοῦν νὰ ἔχουν καὶ ἄλλους μὲ τοὺς ὁποίους νὰ ὁμοιάζουν εἰς τὴν κακίαν, ὥστε τοιουτοτρόπως νὰ ἀποφεύγουν τοὺς ἐλέγχους τῆς συνειδήσεως αὐτῶν.

Ὁ συκοφαντηθεὶς τίμιος ἐκεῖνος Μοναχὸς ἔκαμε τὴν Πορφυρίαν Μοναχὴν καὶ τὴν μετωνόμασε εἰς Πελαγίαν ὁδηγήσας αὐτὴν εἰς Παρθενῶνα διὰ νὰ μονάσῃ. Μετὰ δὲ ἀπὸ καιρόν, προγνωρίσας τὴν ἡμέραν τοῦ θανάτου του, ἀφοῦ παρέλαβε καὶ ἐκείνην, ἐπιστρέφουν εἰς Τύρον συνοδευόμενοι καὶ ἀπὸ τὸ παιδίον, τὸ ὁποῖον ἦτο τότε ἑπτὰ περίπου ἐτῶν.

Ἀμέσως διεδόθη, ὅτι ἔφθασαν εἰς τὴν πόλιν ἡ Πορφυρία μετὰ τοῦ συζύγου της Μοναχοῦ! Ἐν τῷ μεταξὺ ὁ Μοναχὸς ἠσθένησε καὶ ἐπρόκειτο νὰ ἀποθάνῃ. Πληροφορηθέντες αὐτὸ πολλοὶ κάτοικοι προσῆλθον εἰς τὴν οἰκίαν, ὅπου διέμενε, διὰ νὰ τὸν ἐπισκεφθοῦν. Τότε ὁ Μοναχὸς παραγγέλλει νὰ τοῦ φέρουν θυμιατήριον γεμᾶτον μὲ ἀνημμένους ἄνθρακας· ὑπὸ τὰ βλέμματα δὲ ὅλων ἤγγισεν εἰς τὸ θυμιατήριον τὰς χεῖράς του καὶ τὰ ἐνδύματά του, χωρὶς νὰ καῇ. Εἰς τοὺς καταπλήκτους θεατὰς εἶπε· «Ἂς εἶναι εὐλογημένος ὁ Κύριος, ὁ ὁποῖος κατὰ τὸν παλαιὸν καιρὸν διετήρησε τὴν βάτον ἄφλεκτον· αὐτὸν ἐπικαλοῦμαι ὡς ἀξιόπιστον μάρτυρα, ὅτι ὅπως ἀκριβῶς ἡ δύναμις τοῦ πυρὸς αὐτοῦ δὲν κατακαίει τὰ ἐνδύματά μου, τοιουτοτρόπως καὶ ἐγὼ δὲν ἤγγισα καθόλου γυναῖκα εἰς ὅλην μου τὴν ζωήν».

Ὅταν ἤκουσαν αὐτὸ ὅλοι οἱ παριστάμενοι κατεπλάγησαν, δο-

ξάζοντες τὸν Θεόν, ὁ ὁποῖος διὰ τοιούτων θαυμάτων γνωρίζει νὰ δοξάζῃ φανερῶς τοὺς ἐργάτας του, ποὺ ἐργάζονται κρυπτῶς καὶ ἀθορύβως τὴν ἀρετήν.

Μετὰ ἀπὸ αὐτὰ ποὺ εἶπε καὶ ἔκαμεν ὁ Μοναχὸς παρέθεσε εἰς χεῖρας Θεοῦ τὴν μακαρίαν ψυχήν του. Δι' αὐτὸ λοιπὸν συμβουλεύω ὅλα μου τὰ πνευματικὰ τέκνα, ὅπως προεῖπον, νὰ μὴ εἶναι εὔκολοι εἰς τὴν κατάκρισιν, ἀλλ' ὅσον δύνανται νὰ περιφρουροῦν τοὺς ἑαυτούς των ἀπὸ αὐτὸ τὸ ἔγκλημα.

Β'. Τοῦ Ἀββᾶ Ἡσαΐου.

ΑΔΕΛΦΕ, ἐὰν θέλῃς τίποτε λαβεῖν, καὶ χρείαν αὐτοῦ ἔχῃς, μὴ γογγύσῃς κατὰ τοῦ ἀδελφοῦ σου, λέγων, ὅτι διατὶ οὐκ ἐνόησε δοῦναί μοι αὐτὸ ἀφ' ἑαυτοῦ; ἀλλ' εἰπὲ ἐν παῤῥησίᾳ, ἐν ἁπλότητι, ὅτι ποίησον ἀγάπην, δός μοι τό δε, ὅτι χρείαν αὐτοῦ ἔχω· αὕτη γάρ ἐστιν ἡ ἁγνεία ἐν καρδίᾳ ἡ ἁγία· ἐὰν γὰρ μὴ εἴπῃς, γογγύσῃς δὲ καὶ μέμψῃ ἐν τῇ καρδίᾳ σου, ἔχεις τὸ κρῖμα.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ἐὰν ἐπιθυμῇς νὰ λάβῃς ἕνα πρᾶγμα, τοῦ ὁποίου ἔχεις ἀνάγκην, μὴ ἀγανακτήσῃς ἐναντίον τοῦ ἀδελφοῦ σκεπτόμενος, ὅτι διατὶ δὲν τὸ ἀντελήφθη νὰ τὸ προσφέρῃ εἰς ἐμὲ μόνος του· ἀλλὰ μὲ αὐθόρμητον ἀδελφικὸν θάρρος εἰπὲ πρὸς αὐτόν· «Κάμε ἀγάπην καὶ δὸς εἰς ἐμὲ αὐτὸ τὸ ἀντικείμενον, διότι τὸ χρειάζομαι». Αὐτὸ εἶναι ἡ ἁγία ἁγνότης τῆς καρδίας· ἐὰν ὅμως δὲν ἐκφράσῃς τὴν ἐπιθυμίαν σου φανερῶς, ἀλλὰ γογγύσῃς ἐσωτερικῶς καὶ κατηγορήσῃς τὸν ἀδελφόν σου, τότε ἔσφαλες.

Γ'. Τοῦ Ἁγίου Μαξίμου

ΟΤΑΣ τῶν ἄλλων ἁμαρτίας περιεργαζόμενος, ἢ ἐξ ὑπονοίας τὸν ἀδελφὸν κατακρίνων, οὔπω ἔβαλε ἀρχὴν μετανοίας, οὐδὲ ἐρευνᾷ τοῦ γνῶναι τὰς ἑαυτοῦ ἁμαρτίας, ἐν ἀληθείᾳ βαρυτέρας οὔσας μολύβδου πολυταλάντου, οὐδὲ ἔγνω πόθεν γίνεται ὁ ἄνθρωπος βαρυκάρδιος, ἀγαπῶν ματαιότητα, καὶ ζητῶν ψεῦδος· διὰ τοῦτο ὡς ἄφρων καὶ ἐν σκότει διαπορευόμενος, ἀφεὶς τὰς ἑαυτοῦ ἁμαρτίας τὰς τῶν ἄλλων φαντάζεται, ἢ οὔσας, ἢ νομιζομένας ἐξ ὑπονοίας.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ὁ ὁποῖος ἐκ περιεργείας ἀσχολεῖται μὲ τὰς ἁμαρτίας τῶν ἄλλων καὶ κατακρίνει τὸν ἀδελφόν του, διότι τὸν ὑποψιάζεται, ἀκόμη δὲν ἤρχισε τὸ ἔργον τῆς μετανοίας, ἀλλ' οὔτε καὶ ἀπεφάσισε νὰ ἐλέγξῃ τὰς ἰδικάς του ἁμαρτίας, αἱ ὁποῖαι πραγματικῶς εἶναι βαρύτεραι καὶ ἀπὸ τὴν μεγαλυτέραν ποσότητα μολύβδου· οὔτε ἀντελήφθη ὁ ἄνθρωπος αὐτὸς ἀπὸ ποίαν αἰτίαν καθίσταται ὁ

ἄνθρωπος βαρυκάρδιος, ἀγαπῶν τὴν ματαιότητα καὶ ζητῶν τὸ ψεῦδος. Ἐξ ἀφορμῆς δὲ αὐτῶν, ὡς ἀπερίσκεπτος καὶ προχωρῶν διὰ μέσου πνευματικοῦ σκότους, ἐγκαταλείπει τὴν φροντίδα διὰ τὰς ἰδικάς του ἁμαρτίας, ὥστε νὰ ἀπαλλαγῇ αὐτῶν, καὶ ἀσχολεῖται διὰ τῆς φαντασίας του μὲ τὰς ἁμαρτίας τῶν ἄλλων, ἀνεξαρτήτως ἐὰν ἔχουν γίνει πραγματικῶς ἢ νομίζῃ αὐτός, ἐξ ὑπονοίας, ὅτι ἔχουν γίνει.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ πιστεύων ταῖς ὑπονοίαις αὐτοῦ, πολεμηθεὶς δὲ καὶ ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, ἀπῆλθε πρός τινα γέροντα, λέγων, ὅτι οἱ δύο ἀδελφοὶ ἐκεῖνοι μετ' ἀλλήλων εἰσίν· ἔγνω δὲ ὁ γέρων ὅτι ὑπὸ δαιμόνων χλευάζεται, καὶ βουλόμενος ἐλέγξαι αὐτόν, πέμψας ἐφώνησεν αὐτοὺς καὶ ἐλθόντας, ἀνέπαυσε. Καὶ ὅτε ὀψὲ ἐγένετο, ἔθηκε ψίαθον τοῖς δύο ἀδελφοῖς, καὶ ἐσκέπασεν αὐτοὺς ἐνὶ στρώματι, λέγων ὅτι τὰ τέκνα τοῦ Θεοῦ ἅγια εἰσί. Καλέσας δὲ τὸν μαθητὴν αὐτοῦ, ἐκέλευσε λαβεῖν ἐκεῖνον τὸν ἀδελφὸν κατ' αὐτῶν, καὶ ἀποκλεῖσαι εἰς κελλίον παρὰ μέρος· αὐτὸς γάρ, φησιν, ἔχει τὸ πάθος ἐν ἑαυτῷ καὶ διὰ τοῦτο καὶ περὶ ἄλλων τὰ ὅμοια λογίζεται.

2. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· γέγραπται, ἃ εἶδον οἱ ὀφθαλμοί σου, ταῦτα διαμαρτύρου· ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ἐὰν ψηλαφήσητε ταῖς χερσὶν ὑμῶν μὴ μαρτυρήσετε· ἀδελφὸς γάρ τις ἐχλευάσθη ἔν τινι τοιούτῳ, ἔχων πονηρὰς ὑπονοίας κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ· ἐν μιᾷ ὡς εἶδε δῆθεν αὐτὸν ὡς μετὰ γυναικὸς ἁμαρτάνοντα καὶ ταραχθείς, καὶ σφόδρα πολεμηθείς, ἀπελθὼν ἔνυξεν αὐτοὺς τῷ ποδὶ αὐτοῦ λέγων· παύσασθε λοιπόν, ἕως πότε; καὶ ἰδοὺ εὑρέθησαν θαλοὶ σίτου, τοῦ ἑνὸς τῷ ἑτέρῳ ἐπικειμένου· διὰ τοῦτο εἶπον ὑμῖν, ὅτι καὶ ἐὰν ψηλαφήσητε ταῖς χερσὶν ἡμῶν, μὴ ἑτοίμως ἐλέγχετε.

3. Εἶπε γέρων· μὴ θήσῃς εἰς τὴν καρδίαν σου κατὰ τοῦ ἀδελφοῦ σου κατηγορίαν, περὶ οἵου δή τινος πράγματος.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ ἀδελφός, ὁ ὁποῖος ἔδιδε προσοχὴν εἰς τοὺς λογισμούς του, συνέβη νὰ πολεμηθῇ καὶ ὑπὸ τοῦ δαίμονος τῆς πορνείας· ἀμέσως λοιπὸν ἀπῆλθεν εἰς ἕνα γέροντα καὶ εἶπεν εἰς αὐτόν, ὅτι δύο γνωστοί των Μοναχοὶ ἀσχημονοῦν μεταξύ των. Ὁ γέρων ἀντελήφθη, ὅτι τὸν περιπαίζουν οἱ δαίμονες καὶ ἠθέλησε νὰ τὸν ἐλέγξῃ· πρὸς τοῦτο ἔστειλε καὶ ἐκάλεσε πλησίον του τοὺς συκοφαντηθέντας ἀδελφούς, τοὺς ὁποίους, μόλις ἦλθον, περιεποιήθη.

Ὅταν δὲ ἐνύκτωσεν, ἔστρωσε ψάθαν διὰ τοὺς δύο ἐκείνους ἀδελφούς, καὶ τοὺς ἐσκέπασε, καὶ τοὺς δύο, μὲ ἕνα σκέπασμα, λέγων, ὅτι τὰ τέκνα τοῦ Θεοῦ εἶναι ἅγια. Ἀφοῦ ἐφώναξε δὲ τὸν ὑποτακτικόν του, τὸν διέταξε νὰ παραλάβῃ τὸν ἀδελφὸν ἐκεῖνον, ποὺ εἶπεν ἐναντίον τῶν δύο Μοναχῶν, καὶ νὰ τὸν ἀποκλείσῃ εἰς πλησίον κελλίον· διότι, ἐπεξήγησεν ὁ γέρων, ὁ ἴδιος ἔχει τὸ πάθος μέσα εἰς τὴν ψυχήν του, διὰ τοῦτο καὶ ἐξ ἰδίων σκέπτεται τὰ ὅμοια διὰ τοὺς ἄλλους.

2. Εἶπε κάποτε ὁ Ἀββᾶς Ποιμήν· εἶναι γεγραμμένον· αὐτά, τὰ

ὁποῖα εἶδον οἱ ὀφθαλμοί σου, δι' αὐτὰ νὰ εἶσαι βέβαιος· ἐγὼ σᾶς λέγω, ὅτι καὶ ἐὰν ἀκόμη ψηλαφήσετε μὲ τὰς χεῖράς σας, νὰ μὴ σπεύσετε δημοσίως νὰ ἐπικυρώσητε οὐδέν, διότι κάποιος ἀδελφὸς κατέστη καταγέλαστος διὰ τοῦ τρόπου αὐτοῦ. Ἰδού πως· Διετήρει πονηροὺς λογισμοὺς ἐναντίον ἑνὸς ἀδελφοῦ του· κάποτε λοιπὸν βλέπει αὐτὸν νὰ ἁμαρτάνῃ, δῆθεν, μετὰ γυναικός. Ἐταράχθη καὶ πάρα πολὺ ἐπολεμήθη· ἀμέσως δὲ πλησιάζει πρὸς τὸ σύμπλεγμα τῆς νομιζομένης ἁμαρτίας καὶ σκουντᾷ μὲ τὸν πόδα του, λέγων μὲ ὀργήν· «Παύσατε λοιπόν, ἕως πότε θὰ ἀσχημονεῖτε;» Τί νομίζετε τότε, ὅτι συνέβη; Ἀντὶ νὰ ἁμαρτάνουν ἄνθρωποι, ὅπως ἐνόμισε τὸ θῦμα τῶν λογισμῶν του, ἦσαν δύο δεμάτια σίτου, τὸ ἕνα ἐπάνω εἰς τὸ ἄλλο. Δι' αὐτὸ σᾶς λέγω, συνέχισεν ὁ Ἀββᾶς Ποιμήν, καὶ ἐὰν ἀκόμη ψηλαφήσητε μὲ τὰς χεῖράς σας, νὰ μὴ σπεύδετε πρὸς ἔλεγχον.

3. Εἶπεν ἕνας γέρων Μοναχός· μὴ συλλάβῃς εἰς τὴν καρδίαν σου οὐδεμίαν κατηγορίαν ἐναντίον τοῦ ἀδελφοῦ σου, δι' ὅ,τι δήποτε πρᾶγμα.



ὙΠΟΘΕΣΙΣ Β΄

"Οτι οὐδὲ τὸν προφανῶς ἁμαρτάνοντα δεῖ κατακρίνειν οὐδὲ ἐξουθενεῖν τινα, ἀλλὰ προσέχειν ἑαυτῷ, καὶ μὴ περιεργάζεσθαι τὰ ἀλλότρια· ὁ γὰρ προσέχων τοῖς ἰδίοις κακοῖς, τὸν πλησίον κατακρίνειν οὐ δύναται.

Δὲν πρέπει κανεὶς οὔτε τὸν ἀποδεδειγμένως ἁμαρτάνοντα νὰ κατακρίνῃ καὶ νὰ ἐξευτελίζῃ, ἀλλὰ νὰ προσέχῃ τὸν ἑαυτόν του, καὶ νὰ μὴ ἀσχολῆται φιλοπεριέργως μὲ ξένας ὑποθέσεις· διότι ἀσφαλῶς ἐκεῖνος, ὁ ὁποῖος προσέχει τὰ ἰδικά του σφάλματα, δὲν δύναται νὰ κατακρίνῃ τὸν πλησίον.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΝΕΟΣ ΤΙΣ, ἀκολάστοις ὁρμαῖς χρώμενος, ἀνὰ τὴν πόλιν περιϊὼν Ἀλεξάνδρειαν, παρθένον τινὰ τῶν τὸν μοναχικὸν βίον ἀσπασαμένων, τῆς εὐθείας ἀποπλανήσας, εἶτα ἐντρύφημα τῆς ἑαυτοῦ θέμενος ἀσελγείας, μετ' ὀλίγον εἰς τὸ Βυζάντιον σὺν αὐτῇ ἀπέδρα· ὅπερ μαθόντι τῷ θεσπεσίῳ Ἰωάννῃ, λύπης κατέστη πολλῆς αἴτιον, καὶ τὸ τοῦ λόγου, λίθον πάντα ἐκίνει, σπεύδων αὐτοὺς ὅτι τάχος τοῦ πτώματος ἀναλαβεῖν. Χρόνου δὲ τῷ μεταξὺ διαγενομένου διήγησιν πρός τινα τῶν ἐκ τοῦ κλήρου ψυχωφελῆ τοῦ Μακαρίου διηγουμένου καὶ ἡ περὶ τοῦ νέου ἐκείνου καὶ νεωτερικὰ δράσαντος ἔτυχεν οὕτω παρενεχθῆναι, ὃν εὐθὺς οἱ τότε παρόντες ὡς ἐκ μιᾶς ἅπαντες γλώττης κατέκρινόν τε καὶ ἀπεκήρυττον· οὐ δύο μόνον ἀπώλειαν ψυχῶν τὸ φαινόμενον ὀφλεῖν αὐτὸν λέγοντες, ἀλλὰ καὶ πολλῶν ἑτέρων, οἷς εἰς πονηρὸν κατέστη παράδειγμα.

Τούτους οὖν τῆς προχείρου ταύτης κατακρίσεως ἐπιμεμφόμενος ὁ Μακάριος, μὴ οὕτως, εἶπεν, ὦ τέκνα, μὴ εὔκολοι ἐστὲ τὴν γλῶτταν πρὸς τὸ κατηγορεῖν τοῦ πλησίον, ἐπεὶ καὶ ὑμεῖς δυσὶ κακοῖς μέλλετε περιπίπτειν, ἑνὶ μέν, τοῦ μὴ πρὸ καιροῦ τι κρίνειν διακελευομένου τὴν ἐντολὴν παραβαίνοντες, ὃς καὶ ἐν ᾧ κρίματι τὸν ἀδελφὸν κρίνομεν, κριθήσεσθαι ἀποφαίνεται, ἑτέρῳ δὲ ὅτι τὸ νῦν γινόμενον ἀγνοοῦντες κριτὰς ἑαυτοὺς ἐκείνου κατὰ πολλὴν καθίζετε τὴν εὐχέρειαν· ἄδηλον γὰρ πάντως εἴτε εἰς δεῦρο τῷ ἁμαρτήματι παραμένουσιν, εἴτε μετεβάλλοντο πρὸς διόρθωσιν. Διὸ παραινῶ ὑμῖν, τῷ τὰ πάντα εἰδότι Θεῷ παραχωρεῖν τὴν τοῦ πλησίον κρίσιν· ἔστι γὰρ ὅτε καὶ συμβαίνει, τὴν μὲν τοῦ πεπορνευκότος ἢ ἄλλο τι πεπλημμεληκότος ἁμαρτίαν ἐν τῷ φανερῷ πραχθεῖσαν εἰδέναι, τὴν δὲ μετάνοιαν κατὰ τὸ κρυπτὸν τελεσθεῖσαν ἀγνοεῖν, καὶ ὃν ἡμεῖς ὡς πόρνον κατακρίνομεν· οὗτος λοιπὸν ὡς σώφρων παρὰ Θεῷ δεδικαίωται.

Ἑρμηνεία

ΕΝΑΣ νέος ἐλαυνόμενος ἀπὸ ἀκολάστους ὁρμὰς περιήρχετο κάποτε τὴν Ἀλεξάνδρειαν. Ἀφοῦ δὲ ἀπεπλάνησε μίαν παρθένον, προοριζομένην νὰ ἐνταχθῇ εἰς τὸν μοναχικὸν βίον, κατέστησεν αὐτὴν ἐπαίσχυντον ἀντικείμενον τῆς ἀσελγοῦς ἀπολαύσεως του. Μετὰ ἀπὸ ὀλίγον φεύγει κρυφίως ὁ νέος μετὰ τῆς ἀποπλανηθείσης εἰς τὸ Βυζάντιον. Αὐτὸ τὸ περιστατικὸν μόλις τὸ ἔμαθεν ὁ θεσπέσιος Ἰωάννης ἐλυπήθη πάρα πολὺ καί, κατὰ τὴν παροιμίαν, πάντα λίθον ἐκίνει φροντίζων μετὰ σπουδῆς καὶ ὅσον τὸ δυνατὸν συντομώτερον νὰ ἀναστήσῃ τὰ δύο ἐκεῖνα πλάσματα ἀπὸ τὸν ἠθικὸν θάνατον

Μετὰ παρέλευσιν ἀρκετοῦ χρόνου διηγεῖτο ὁ Μακάριος μίαν ψυχωφελῆ ἱστορίαν εἰς κάποιον κληρικόν· συμπτωματικῶς δὲ ἀνέφερε καὶ τὴν ὑπόθεσιν τοῦ νέου ἐκείνου, ὅστις ἔδρασεν ὡς ὄργανον τῶν νεανικῶν του ἐπιθυμιῶν. Μόλις ἤκουσαν αὐτὸ μερικοὶ ἐκ τῶν παρευρισκομένων, ὡς ἀπὸ συμφώνου μὲ ἕνα στόμα κατηγόρουν καὶ ἀπεδοκίμαζον, ἰσχυριζόμενοι, ὅτι αὐτὸ τὸ ἁμαρτωλὸν φαινόμενον τοῦ νέου μετὰ τῆς ἄλλοτε παρθένου, ὄχι μόνον τὴν ἀπώλειαν τῶν δύο ψυχῶν ἐπέφερε, ἀλλὰ καὶ πολλῶν ἄλλων, εἰς τοὺς ὁποίους κατέστη κακὸν παράδειγμα.

Αὐτοὺς λοιπὸν ἐπιτιμῶν ὁ Μακάριος, ἐξ αἰτίας τῆς εὐκόλου αὐτῆς κατακρίσεως, ἔλεγε: «Μὴ πράττετε οὕτω, εὐλογημένα μου τέκνα, μὴ κινεῖτε εὐκόλως τὴν γλῶσσαν διὰ νὰ κατηγορῆτε τὸν πλησίον, διότι τοιουτοτρόπως πράττοντες εἶναι ἐνδεχόμενον νὰ περιπέσητε εἰς δύο κακά· τὸ πρῶτον εἶναι ἡ παράβασις τῆς ἐντολῆς Ἐκείνου, ὅστις διέταξε νὰ μὴ καταδικάζωμεν, πρὶν ἔλθῃ ἡ ὡρισμένη ὥρα, οὐδένα, καὶ ὁ ὁποῖος εἶπεν ἐπὶ πλέον ὅτι «ἐν ᾧ γὰρ κρίματι κρίνετε, κριθήσεσθε» (Ματθ. Ζ', 2), τὸ δὲ δεύτερον κακὸν εἶναι, ὅτι, ἐνῷ ἀγνοεῖτε τὴν παροῦσαν κατάστασιν τοῦ συνανθρώπου σας, μὲ μεγάλην εὐκολίαν τὸν καταδικάζετε διὰ παρελθόντα ἁμαρτήματα, χωρὶς ἀσφαλῶς νὰ γνωρίζετε ἐὰν ἐξακολουθῇ νὰ παραμένῃ εἰς τὴν ἁμαρτίαν, διὰ τὴν ὁποίαν τὸν κατακρίνετε, ἢ ἐὰν διωρθώθη. Δι' αὐτὸ σᾶς συμβουλεύω νὰ ἀφίνετε τὴν κρίσιν τοῦ πλησίον εἰς τὸν Παντογνώστην Θεόν, διότι συμβαίνει ἐνίοτε νὰ γνωρίζωμεν μὲν τὴν ἁμαρτίαν ἐκείνου, ὅστις ἔχει πορνεύσει ἢ περιέπεσεν εἰς ἄλλο σφάλμα, ἐπειδὴ ἐτελέσθη φανερῶς, νὰ ἀγνοοῦμεν ὅμως τὴν ἐν κρυπτῷ πραγματοποιηθεῖσαν μετάνοιαν, εἰς τρόπον ὥστε αὐτός, τὸν ὁποῖον ἡμεῖς κατακρίνομεν ὡς πόρνον, νὰ ἔχῃ δικαιωθῇ ἐνώπιον τοῦ Θεοῦ καὶ νὰ εἶναι πλέον σώφρων.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός· ὅτι ἄλλη ἀρετὴ οὐκ ἔστιν, ὡς τὸ μὴ ἐξουθενεῖν.

2. Ἀδελφός τις ἠρώτησε τὸν Ἀββᾶν Ἰωσὴφ λέγων· τί ποιήσω ὅτι οὔτε κα-

κοπαθῆσαι δύναμαι, οὔτε ἐργάσασθαι καὶ δοῦναι ἀγάπην. Λέγει αὐτῷ ὁ γέρων· εἰ οὐ δύνασαι τούτων οὐδὲ ἓν ποιῆσαι, κἂν τήρησον τὴν συνείδησίν σου μὴ λογίσασθαί τι κατὰ τοῦ πλησίον σου κακὸν καὶ ἐξουθενῆσαι αὐτὸν καὶ σωθήσῃ.

3. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· πῶς δύναται ἄνθρωπος ἐκφυγεῖν τὸ κατακρίνειν τὸν πλησίον; καὶ ἀπεκρίθη ὁ γέρων· ἡμεῖς καὶ οἱ ἀδελφοὶ ἡμῶν δύο εἰκόνες ἐσμέν· ᾗ δ' ἂν ὥρᾳ ὁ ἄνθρωπος ἑαυτῷ προσέχῃ καὶ μέμφηται, εὑρίσκεται ἔντιμος παρ' αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· ὅτε δὲ ἑαυτῷ φαίνηται καλός, εὑρίσκει τὸν ἀδελφὸν αὐτοῦ κακὸν ἐνώπιον αὐτοῦ.

4. Καὶ ἕτερος ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν γέροντα λέγων· ταράσσομαι, καὶ θέλω ἀφεῖναι τὸν τόπον μου· λέγει αὐτῷ ὁ γέρων· οὐκ εἰσιν ἀληθῆ ἃ ἤκουσας· λέγει αὐτῷ ὁ ἀδελφός· ναί, Πάτερ· καὶ γὰρ ὁ εἰπών μοι ἀδελφὸς πιστός ἐστι· λέγει ὁ γέρων· οὐχί, τέκνον· οὐκ ἔστι πιστός· εἰ γὰρ ἦν πιστός, οὐκ ἂν ἔλεγέ σοι ταῦτα· εἰ γὰρ ἀκούσας ὁ Θεὸς τῆς φωνῆς τῶν Σοδόμων, οὐκ ἐπίστευσεν, εἰ μὴ εἶδε τοῖς ὀφθαλμοῖς, οὐδὲ ἡμεῖς ὀφείλομέν ποτε πιστεῦσαι τοῖς λεγομένοις. Ἔφη ὁ ἀδελφός· κἀγὼ εἶδον τοῖς ὀφθαλμοῖς μου· ἀκούσας δὲ ὁ γέρων προσέσχεν ἐν τῇ γῇ καὶ λαβὼν μικρὸν κάρφος, λέγει τῷ ἀδελφῷ· τί ἐστι τοῦτο; ἀπεκρίθη ὁ ἀδελφός· κάρφος ἐστίν· εἶτα προσέσχεν ὁ γέρων εἰς τὴν στέγην τοῦ κελλίου, καὶ εἶπε· τί ἐστιν ἐκεῖνο; ἔφη ὁ ἀδελφός· δοκός ἐστι. Λέγει αὐτῷ ὁ γέρων· θὲς εἰς τὴν καρδίαν σου ὅτι ὡς τὸ μικρὸν κάρφος τοῦτο εἰσὶν αἱ ἁμαρτίαι τοῦ ἀδελφοῦ σου, αἱ δὲ οἰκεῖαί σου ὡς ἡ δοκὸς αὕτη· εἰ οὖν προσέχεις ταῖς σαῖς, οὐδὲν τὰς ἐκείνου λογίσῃ.

5. Εἶπεν ὁ αὐτός, ὅτι ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Μωϋσῆν λέγων· ποίῳ τρόπῳ νεκροῖ ὁ ἄνθρωπος ἑαυτὸν ἀπὸ τοῦ πλησίον; καὶ ἀπεκρίθη ὁ γέρων· ἐὰν μὴ θῇ ὁ ἄνθρωπος ἐν τῇ καρδίᾳ αὐτοῦ ὅτι ἤδη τριετίαν ἔχει ἐν τῷ μνημείῳ, οὐ φθάνει εἰς τὸν λόγον τοῦτον.

6. Ἦλθον ποτὲ ἀδελφοὶ δύο πρὸς τὸν Ἀββᾶν Παμβὼ καὶ ἠρώτησεν αὐτὸν ὁ εἷς λέγων· Ἀββᾶ, ἐγὼ ζευγάρια νηστεύω, καὶ ζεῦγος ψωμίων ἐσθίω· ἆρα σῴζομαι ἢ πλανῶμαι; εἶπε δὲ καὶ ὁ ἄλλος· Ἀββᾶ, ἐγὼ καταλύω ἐκ τοῦ ἐργοχείρου μου δύο κερατίων τὴν ἡμέραν, καὶ κρατῶ διὰ τὴν τροφήν μου μικρὰ νουμία, τὰ δὲ ἄλλα εἰς ἀγάπην δίδωμι· ἆρα σῴζομαι ἢ πλανῶμαι; ὁ δὲ γέρων οὐκ ἀπεκρίθη αὐτοῖς, καίπερ πολλὰ παρακαλοῦσι. Μετὰ δὲ τέσσαρας ἡμέρας ἠβουλήθησαν ἀναχωρῆσαι· οἱ δὲ κληρικοὶ παρεκάλουν αὐτοὺς λέγοντες· μὴ θλιβῆτε, ἀδελφοί, ὁ Θεὸς παρέχει ὑμῖν τὸν μισθόν· οὕτως ἐστὶν ἡ συνήθεια τοῦ γέροντος· οὐ ταχέως λαλεῖ, ἂν μὴ πληροφορήσῃ αὐτὸν ὁ Θεός. Εἰσῆλθον οὖν οἱ ἀδελφοὶ πρὸς τὸν γέροντα καὶ εἶπον αὐτῷ· Ἀββᾶ, εὖξαι ὑπὲρ ἡμῶν· ὁ δὲ εἶπεν αὐτοῖς· ἀπελθεῖν θέλετε; ἀπεκρίθησαν, ναί· καὶ ἀναλαβὼν τὰς πράξεις αὐτῶν ἐν ἑαυτῷ, γράφων ἐπὶ τὴν γῆν ἔλεγε· Παμβώ, δύο νηστεύων, καὶ ζεῦγος ψωμίων ἐσθίων· ἆρα ἐν τούτῳ γίνεται Μοναχός; οὐχί· καὶ Παμβώ, ἐργάζεται δύο δύο κερατίων καὶ δίδωσιν αὐτὰ ἀγάπην· ἆρα ἐν τούτῳ γίνεται Μοναχός; οὔπω· εἶπε δὲ αὐτοῖς· καλαὶ μὲν αἱ πράξεις· ἐὰν δὲ φυλάξῃς τὴν συνείδησιν ἀπὸ τοῦ πλησίον σου, οὕτω σῴζῃ· καὶ πληροφορηθέντες ἀπῆλθον μετὰ χαρᾶς.

7. Ἔλεγεν ἡ Μακαρία Συγκλητική, ὅτι ὁ στήκων βλεπέτω μὴ πέσῃ· ὁ μὲν γὰρ πεσών, μίαν ἔχει φροντίδα· τοῦ ἀναστῆναι· ὁ δὲ στήκων, φυλασσέσθω τοῦ μὴ πεσεῖν· καὶ γὰρ τὰ παραπτώματα διάφορα· καὶ ὁ μὲν πεσών, τοῦ μὲν στήκειν ἐστέρηται· κείμενος δὲ οὐ πάνυ τι ἐβλάβη· ὁ δὲ ἑστὼς μὴ εὐτελιζέτω, μὴ πεσὼν εἰς κατώτερον κατενεχθῇ βόθρον, καὶ τελείως διαφθαρῇ· εἰκὸς γὰρ ὑπὸ τοῦ βάθους τοῦ βόθρου καὶ τὴν κραυγὴν ἡττηθεῖσαν καὶ ἀποκρυβεῖσαν, μηδὲ

δύνασθαι βοήθειαν αἰτῆσαι, καθά φησι καὶ ὁ Μέγας Δαβίδ· «Μὴ καταπιέτω με βυθός· μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ». Ὁ πρῶτος πεσών, ἔμεινεν· ὅρα σὺ μὴ καταπεσών, βρῶμα γένῃ θηρίων· ὁ πεσὼν οὐκ ἀσφαλίζεται τὴν θύραν, σὺ δὲ μηδόλως νυστάξῃς, ἀλλ' ἀεὶ τὸ θεῖον ἐκεῖνο μελῴδει ῥητόν, τὸ φάσκον· «φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον».

8. Ἀνὴρ Ἅγιος θεωρήσας τινὰ ἁμαρτήσαντα, κλαύσας πικρῶς εἶπεν· οὗτος σήμερον, κἀγὼ πάντως αὔριον, καὶ οὗτος μὲν πάντως μετανοεῖ, ἐγὼ δὲ οὐ πάντως μετανοῶ.

Ἑ ρ μ η ν ε ί α

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός· δὲν ὑπάρχει ἄλλη ἀρετὴ εὐγενεστέρα, ὅπως ἐκείνη, τὴν ὁποίαν πραγματοποιεῖ ὅποιος δὲν ἐξευτελίζει τὸν πλησίον.

2. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἰωσήφ· τί νὰ κάνω, διότι οὔτε νὰ κακοπαθήσω διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ ἠμπορῶ, ἀλλ' οὔτε καὶ νὰ ἐργασθῶ καὶ νὰ δώσω ἐλεημοσύνην. Εἰς ἀπάντησιν ὁ γέρων τοῦ λέγει· «Ἐὰν δὲν ἠμπορῇς νὰ κάνῃς τίποτε ἀπὸ αὐτά, τοὐλάχιστον διατήρησον τὴν συνείδησίν σου καθαρὰν ἀπὸ λογισμοὺς κατακρίσεως ἐναντίον τοῦ ἀδελφοῦ σου καὶ ἀπόφευγε νὰ τὸν ταπεινώνῃς. Τοιουτοτρόπως ἀσφαλῶς θὰ σωθῇς».

3. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα· «Πῶς ἠμπορεῖ ἕνας ἄνθρωπος νὰ ἀποφύγῃ τὴν κατάκρισιν τοῦ πλησίον;» Ὁ γέρων ἀπήντησεν ὡς ἑξῆς: «Ἡμεῖς καὶ οἱ ἀδελφοί μας ἀποτελοῦμεν δύο εἰκόνας. Ἐφ' ὅσον δὲ ὁ ἄνθρωπος προσέχει τὸν ἐσωτερικόν του βίον καὶ αὐτοκατηγορεῖται, τότε βλέπει καλὸν καὶ ἔντιμον τὸν ἀδελφόν του· ἐφ' ὅσον ὅμως αὐτοκολακεύεται καὶ θεωρεῖ τὸν ἑαυτόν του καλόν, τότε εὑρίσκει, ὅτι ὁ ἀδελφός του εἶναι κακός».

4. Ἕνας ἄλλος ἀδελφὸς ἠρώτησε τὸν ἴδιον γέροντα· «Ταράσσομαι καὶ θέλω νὰ ἐγκαταλείψω τὸν τόπον μου». Τοῦ ἀπαντᾷ ὁ γέρων· «Δὲν εἶναι ἀληθῆ αὐτά, ποὺ ἤκουσας ἐναντίον τοῦ πλησίον σου· μὴ φεύγῃς λοιπόν». Ὁ ἀδελφὸς ἐπαναλαμβάνει· «Καὶ ὅμως εἶναι ἀληθῆ, γέροντα, διότι ὁ ἀδελφὸς ποὺ μὲ ἐπληροφόρησεν εἶναι ἀξιόπιστος καὶ ἔχει φόβον Θεοῦ». Ἀπαντᾷ πάλιν ὁ γέρων· «Ὄχι, τέκνον μου, δὲν εἶναι πιστός· διότι ἐὰν ἦτο πιστὸς δὲν θὰ σοῦ ἔλεγεν αὐτὰ τὰ πράγματα· ὁ ἴδιος ὁ Θεὸς δὲν ἔδωσεν ἐμπιστοσύνην ἀκούσας τὰς αἰσχρὰς κραυγὰς τῶν κατοίκων τῶν Σοδόμων, ἀλλ' ἐπείσθη μόνον ἐφ' ὅσον εἶδε τὴν κατάστασιν μὲ τοὺς ὀφθαλμούς του· πῶς λοιπὸν ἡμεῖς νὰ βασιζώμεθα εἰς τὰ λεγόμενά τινος;» Εἶπεν ὁ ἀδελφός· «Καὶ ἐγὼ εἶδον μὲ τοὺς ὀφθαλμούς μου τὸν ἀδελφὸν αὐτὸν νὰ ἁμαρτάνῃ».

Μόλις ἤκουσεν αὐτὸ ὁ γέρων ἔρριψε τὸ βλέμμα του πρὸς τὴν γῆν καὶ ἀφοῦ ἔλαβεν ἕνα μικρὸ ξυλαράκι, τὸ ἐπέδειξεν εἰς τὸν ἀδελφὸν καὶ

τοῦ λέγει· «Τί εἶναι αὐτό;» Ὁ ἀδελφὸς ἀπήντησε· «Ξυλαράκι». Ἐν συνεχείᾳ ὁ γέρων ἔρριψε τὸ βλέμμα του πρὸς τὴν στέγην τοῦ κελλίου καὶ ὑποδεικνύων μίαν δοκόν, λέγει· «Αὐτὸ τί εἶναι;» Ὁ ἀδελφὸς ἀπήντησε, «Δοκός». Καὶ τότε ἀπαντᾷ διδακτικώτατα ὁ γέρων· «Πίστευσε εἰλικρινῶς, ὅτι ὡς αὐτὸ τὸ μικρὸ ξυλαράκι εἶναι αἱ ἁμαρτίαι τοῦ ἀδελφοῦ σου, αἱ δὲ ἰδικαί σου ὅπως αὐτὴ ἡ δοκός. Ἐὰν λοιπὸν προσέχῃς τὰς προσωπικάς σου ἁμαρτίας, καθόλου δὲν θὰ σκέπτεσαι τὰς ἁμαρτίας ἐκείνου».

5. Ὁ ἴδιος πάλιν εἶπεν, ὅτι ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Μωϋσῆ· «Κατὰ ποῖον τρόπον ἀπονεκρώνεται ὁ ἄνθρωπος ἀπὸ τὸν πλησίον, ὥστε νὰ μὴ ὑπάρχῃ δι' αὐτόν;» Καὶ ἀπήντησεν ὁ Ἀββᾶς Μωϋσῆς· «Ἐὰν ὁ ἄνθρωπος δὲν βάλῃ εἰς τὴν καρδίαν του τὴν σκέψιν, ὅτι εὑρίσκεται νεκρὸς τριετίαν ὁλόκληρον εἰς τὸν τάφον, δὲν φθάνει ποτὲ εἰς τὴν κατάστασιν αὐτήν».

6. Ἦλθον κάποτε δύο ἀδελφοὶ εἰς τὸν Ἀββᾶν Παμβώ· τότε ὁ εἷς ἐξ αὐτῶν ἠρώτησεν· «Ἐγὼ νηστεύω δύο ἡμέρας ἐν συνεχείᾳ καὶ τὴν τρίτην τρώγω δύο μικρὰ ψωμάκια· ἄραγε μὲ τὴν τακτικήν μου αὐτὴν ὑπάρχει ἐλπὶς νὰ σωθῶ ἢ πλανῶμαι;» Ἐν συνεχείᾳ καὶ ὁ ἄλλος ἠρώτησεν· «Ἐγώ, Ἀββᾶ, συντηροῦμαι ἀπὸ τὸ κέρδος τοῦ ἐργοχείρου μου ἐκ τοῦ ὁποίου κερδίζω δύο κεράτια [1] τὴν ἡμέραν, καὶ κρατῶ διὰ τὴν τροφήν μου μικρὰ νομίσματα, τὰ δὲ ὑπόλοιπα τὰ δίδω εἰς τοὺς ἀδελφοὺς ἐλεημοσύνην· ἄραγε διὰ τοῦ τρόπου αὐτοῦ σῴζομαι, ἢ εὑρίσκομαι εἰς τὴν πλάνην;» Ὁ γέρων ὅμως οὐδόλως ἀπήντα εἰς τὰς ἐρωτήσεις αὐτάς, μ' ὅλον ὅτι πολὺ τὸν παρεκάλουν. Μετὰ λοιπὸν ἀπὸ τέσσαρας ἡμέρας, ἀφοῦ παρέμειναν ἄπρακτοι, ἀπεφάσισαν οἱ ἀδελφοὶ νὰ ἀναχωρήσουν.

Τὰ μέλη τῆς συνοδίας τοῦ γέροντος, οἱ κληρικοί, παρηγόρουν τοὺς ἀδελφούς· «Μὴ στενοχωρηθῆτε, ἀδελφοί, ἔλεγον· ὁ Θεὸς θὰ σᾶς προσφέρῃ τὴν ἀμοιβὴν διὰ τὸν κόπον σας ἐκ τῆς ἐπισκέψεως αὐτῆς· αὐτὴ εἶναι ἡ συνήθεια τοῦ γέροντος, νὰ μὴ ἀπαντᾷ ἀμέσως δι' ὅσα ζητήματα τὸν ἐρωτοῦν, ἐὰν προηγουμένως δὲν τὸν πληροφορήσῃ περὶ τούτων ὁ Θεός».

Ἀφοῦ μὲ αὐτοὺς τοὺς λόγους ἠρέμησαν οἱ ἐπισκέπται εἰσῆλθον εἰς τὸ κελλὶ τοῦ γέροντος, διὰ νὰ τὸν ἀποχαιρετήσουν καὶ τοῦ εἶπον: «Ἀββᾶ, νὰ εὔχεσαι καὶ δι' ἡμᾶς». Ὁ γέρων τοὺς ἠρώτησε· «Θέλετε νὰ φύγετε;» «Μάλιστα» ἀπήντησαν ἐκεῖνοι. Σκεφθεὶς τότε ὁ Ἀββᾶς τὰ ἔργα τῶν δύο ἐκείνων ἀδελφῶν ἤρχισε νὰ ὁμιλῇ, ἐνῷ συγχρόνως ἔγραφεν ἐπὶ τοῦ ἐδάφους· ἰδοὺ δὲ τί ἔλεγε μόνος του· «Παμβώ, νὰ νηστεύῃ κανεὶς δύο ἡμέρας συνεχῶς καὶ νὰ τρώγῃ ἐν συνεχείᾳ τὴν τρίτην δύο

---

1) Τὸ κεράτιον ἦτο μικρὸν ἀργυροῦν νόμισμα τῆς ἐποχῆς τοῦ Μεγάλου Κωνσταντίνου, ἴσον πρὸς τὸ 1]18 τῆς δραχμῆς τῆς ἐποχῆς ἐκείνης.

μικρὰ ψωμάκια, ἄραγε διὰ τοῦ τρόπου αὐτοῦ καθίσταται τέλειος Μοναχός; Ὄχι ἀκόμη!» Καὶ πάλιν ἠρώτησε· «Παμβώ, ὅταν ἐργάζεται κανεὶς καὶ κερδίζῃ δύο κεράτια, προσφέρῃ δὲ αὐτὰ ἐξ ἀγάπης πρὸς τὸν πλησίον του ὡς ἐλεημοσύνην, ἄραγε διὰ τοῦ τρόπου αὐτοῦ καθίσταται κανεὶς τέλειος Μοναχός; Ὄχι ἀκόμη!»

Τότε, ὡς νὰ συνήρχετο ἀπὸ ἔκστασιν, ἀπευθύνεται πρὸς τοὺς ἀδελφοὺς καὶ λέγει· «Καλὰ καὶ θεάρεστα τὰ ἔργα· ἐὰν ὅμως κατορθώσῃ κανεὶς νὰ διατηρήσῃ καὶ τὴν συνείδησίν του καθαρὰν ἀπὸ φθόνον καὶ ἄλλας κακίας ἀπέναντι τοῦ ἀδελφοῦ του, ἀσφαλῶς διὰ τοῦ τρόπου αὐτοῦ θὰ σωθῇ». Οἱ ἀδελφοὶ πλήρεις χαρᾶς διὰ τὴν πληροφορίαν, ποὺ ἐδέχθησαν εἰς τὴν ψυχήν των, ἀνεχώρησαν!

7. Ἡ μακαρία Συγκλητικὴ ἔλεγεν· «Ἐκεῖνος, ὁ ὁποῖος ἵσταται εἰς τὴν ἀρετήν, ἂς προσέχῃ μὴ πέσῃ. Ἐκεῖνος, ὁ ὁποῖος ἔπεσεν εἰς τὴν ἁμαρτίαν, μίαν φροντίδα ἔχει, νὰ ἀναστηθῇ πάλιν διὰ τῆς μετανοίας· αὐτὸς ὅμως ποὺ παραμένει, πρέπει νὰ φυλάγεται διαρκῶς, διὰ νὰ μὴ πέσῃ, διότι καὶ τὰ παραπτώματα, εἰς τὰ ὁποῖα εἶναι ἐνδεχόμενον νὰ πέσῃ, εἶναι διάφορα. Αὐτός, ποὺ περιέπεσεν εἰς τὴν ἁμαρτίαν, ἐστερήθη τῆς χαρᾶς νὰ ἵσταται εἰς τὸ ὕψος τῆς ἀρετῆς· παραμένων δὲ τραυματισμένος δὲν ἐζημιώθη πάρα πολύ.

Ἐκεῖνος ὅμως, ὅστις παραμένει εἰς τὸ ἐπίπεδον τῆς ἀρετῆς ὄρθιος, ἐὰν δὲν αὐτομηδενίζεται, ἐὰν δὲν ταπεινοῦται, εἶναι ἐνδεχόμενον νὰ καταπέσῃ εἰς βόθρον βαθύτερον καὶ νὰ διαφθαρῇ καθ' ὁλοκληρίαν· διότι εἶναι φυσικὸν τὸ βάθος τοῦ βόθρου (δηλαδὴ ἡ πτῶσις) νὰ νικᾷ οἱανδήποτε γοερὰν ἐπίκλησιν βοηθείας καὶ νὰ τὴν ἀποκρύπτῃ, ὥστε νὰ μὴ δύναται νὰ ζητήσῃ βοήθειαν, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Δαβίδ· «Μὴ καταπιέτω με βυθός· μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ». (Ψαλμ. ξη' 16). Ἐκεῖνος, ποὺ ἔπεσε πρῶτος ἀπὸ σέ, παρέμεινεν εἰς τὴν κατάστασιν αὐτὴν καὶ δὲν ἐχειροτέρευσεν ἡ θέσις του· πρόσεξε σὺ μὴ τυχόν, ὅταν καταπέσῃς, γίνῃς τροφὴ τῶν νοητῶν θηρίων. Ἐκεῖνος ποὺ ἔπεσε δὲν φρουρεῖ τὴν θύραν τῆς ψυχῆς του (δηλ. δὲν προσέχει τοὺς λογισμούς του)· σὺ ὅμως καθόλου μὴ νυστάξῃς, μὴ μετριάσῃς τὴν προσοχήν σου, ἀλλὰ πάντοτε νὰ ὑποψάλῃς τὸ θεῖον ἐκεῖνο ῥητόν, ποὺ λέγει· «φώτισον τοὺς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον» (Ψαλμ. ιβ' 3) (¹).

8. Ἕνας Ἅγιος Ἀσκητὴς μόλις ἀντελήφθη κάποιον, ὁ ὁποῖος

1) Τὸ νόημα τῶν συστάσεων τῆς Ἁγίας αὐτῆς Ἀσκητρίας εἶναι τὸ ἑξῆς· ὁ ἄνθρωπος ὀφείλει νὰ ἀγρυπνῇ ἐπὶ τοῦ ἑαυτοῦ του, διότι εἶναι ἐνδεχόμενον, ἐξ ἀμελείας ἢ ἀπροσεξίας, νὰ περιπέσῃ εἰς κατάστασιν πνευματικῆς ναρκώσεως, τῆς ὁποίας ὁ κίνδυνος εἶναι φοβερώτερος ἀπὸ οἱανδήποτε κατακόρυφον πτῶσιν εἰς τὴν ἁμαρτίαν. Τοῦτο συνιστᾷ καὶ ὁ Ἀπόστολος Παῦλος· «Ὥστε ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ» (Α' Κορινθ. α', 12).

...μάρτησεν, ἔκλαυσε πικρῶς καὶ εἶπεν· «Αὐτὸς ἔπεσε σήμερον, ἐγὼ δὲν ἀποκλείεται νὰ πέσω αὔριον. Καὶ αὐτὸς μὲν ὁπωσδήποτε μετανοεῖ, ἐγὼ ὅμως δὲν εἶμαι βέβαιος, ὅτι ἀσφαλῶς θὰ μετανοήσω».

Γ'. Ἀντιόχου τοῦ Παντέκτου

ΤΟ κατακρίνειν τὸν πλησίον χεῖρον πάντων ἐστὶ τῶν παθῶν· οὐ μόνον γὰρ ἔνοχον βαρυτάτης κολάσεως τὸν κατακρίνοντα ἀπεργάζεται, ὡς τὴν τοῦ Θεοῦ ἀξίαν προαρπάζοντα, καὶ ἀντίθεον ὡς εἰπεῖν ἐν τούτῳ γενόμενον, ἀλλὰ καὶ εἰς ἐκεῖνο, εἰς ὃ τὸν ἕτερον κατακρίνει καὶ ἑαυτὸν περιπεσεῖν, τῆς τοῦ Θεοῦ σκέπης καὶ βοηθείας, διὰ τὸ κατακρίνειν, γυμνούμενος· καὶ ὁ μὲν κατακρινόμενος ἐλαφροῦται τοῦ βάρους, εἰ οὐ δυσανασχετεῖ πρὸς τὸν κατακρίναντα· ὁ δὲ κατακρίνων εἰς ἑαυτὸν ἐπισπᾶται τὸ ἐκείνου φορτίον, καθὰ ἡμῖν ὁ Φαρισαῖος καὶ ὁ Τελώνης ὑπέδειξαν τοῦτο σαφέστατα.

Ἑρμηνεία

Η ΚΑΤΑΚΡΙΣΙΣ τοῦ πλησίον εἶναι χειροτέρα ἀπὸ ὅλα τὰ πάθη· ὄχι μόνον διότι καθιστᾷ τὸν κατακρίνοντα ἔνοχον αὐστηροτάτης τιμωρίας, ἐνώπιον τοῦ Θεοῦ, ἐπειδὴ οὗτος μετὰ θράσους ἁρπάζει ἐκ τῶν προτέρων τὸ ἀξίωμα τοῦ Θεοῦ ὡς Δικαστοῦ, τὸ ὁποῖον μόνον Ἐκεῖνος ἔχει καὶ καθίσταται, τρόπον τινά, εἰς τὴν περίπτωσιν αὐτὴν ἀντίθεος, ἀλλὰ καὶ διότι, ἀπογυμνούμενος τῆς Σκέπης καὶ τῆς βοηθείας τοῦ Θεοῦ, ἐξ αἰτίας τῆς κατακρίσεως, εἶναι ἐνδεχόμενον νὰ περιπέσῃ καὶ ὁ ἴδιος εἰς τὸ σφάλμα, διὰ τὸ ὁποῖον κατακρίνει τὸν ἀδελφόν του. Καὶ ἐκεῖνος, ποὺ κατακρίνεται, ἐὰν δὲν γογγύζῃ κατὰ τοῦ κατακρίνοντος, ὠφελεῖται ψυχικῶς, διότι μετριάζεται τὸ βάρος τῆς ἁμαρτίας ἐξ ἀφορμῆς τῆς περιφρονητικῆς εἰς βάρος του κατακρίσεως· αὐτὸς ὅμως ποὺ κατακρίνει, ἀναλαμβάνει ἐπάνω του καὶ τὸ φορτίον τῆς ἁμαρτίας τοῦ κατακρινομένου, ὅπως ἀκριβῶς δηλοῦται τοῦτο σαφέστατα εἰς τὴν παραβολὴν τοῦ Τελώνου καὶ Φαρισαίου.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΝΘΡΩΠΟΣ ἐν πολλοῖς ὢν κόποις, ἐὰν ἴδῃ τινὰ ἐν πάσῃ ἁμαρτίᾳ ἢ ἀμελείᾳ ὄντα, καὶ ἐξουδενώσῃ αὐτόν, εἰς μάτην ἐστὶ πᾶσα ἡ μετάνοια αὐτοῦ, ὅτι ἀπέῤῥιψε μέλος Χριστοῦ, κρίνας αὐτό, καὶ μὴ ἐάσας τὸ κρῖμα τῷ κριτῇ καὶ Θεῷ, μηδὲ προσχὼν ταῖς οἰκείαις ἁμαρτίαις. Πάντες γὰρ ἐν τῷ παρόντι βίῳ, ὡς ἐν ἰατρείῳ ἐσμέν, ὁ μὲν πονῶν τὸν ὀφθαλμόν, ὁ δὲ τὴν χεῖρα, ὁ δὲ σύριγγα ἔχων καὶ ὅσα εἰσὶ τῶν ἀσθενημάτων· καὶ εἰσὶν ἐξ αὐτῶν τραύματα ἤδη θεραπευθέντα· ἀλλ' ὅταν φάγῃ τι τῶν βλαπτόντων ὁ δὲ ταῦτα θεραπευθείς, πάλιν ἀναλύεται. Οὕτως ἐστὶ καὶ ὁ ἐν μετανοίᾳ ὤν, καὶ κρίνων ἢ ἐξουθενῶν τινα, πάλιν γὰρ ἀναλύει τὴν μετάνοιαν αὐτοῦ· τῶν γὰρ ἐν ἰατρείῳ ὄντων, διάφορα ἀσθενήματα ἐχόντων, ἐὰν ὁ εἷς περὶ τοῦ οἰκείου πάθους βοᾷ, μή τι ἕτερος ἐρεῖ, διατί βοᾷς; Οὐχὶ ἕκαστος περὶ τοῦ ἰδίου ἐννοεῖ; Οὕτως εἰ ἦν πάθος τῶν ἁμαρτιῶν μου, οὐκ ἂν ἔβλεπον εἰς ἄλλον ἁμαρτάνοντα· πάντες γὰρ οἱ ἐν ἰατρείῳ ἀνακείμενοι, πρὸς τὸν ἰατρὸν ἕκαστος φυλάττει ἑαυτόν, μὴ ἐσθίων τὸ βλάπτον τὸ τραῦμα αὐτοῦ· τίς δ' ἔστιν ὁ μὴ ἔχων τραῦμα;

2. Πᾶς γὰρ ὁ μετὰ τὸ Ἅγιον Βάπτισμα ἁμαρτήσας, οὐ δύναται ἀμεριμνῆσαι,

ὑπὸ μετάνοιαν ὤν, καὶ κἂν ποιήσῃ δυνάμεις μεγάλας καὶ ἰάσεις, καὶ ἀναστήσῃ νεκρούς, καὶ ἔχῃ πᾶσαν τὴν γνῶσιν, ἐφ' ὅσον ἥμαρτεν, οὐ δύναται ἀμεριμνῆσαι, ὅτι ὑπὸ μετάνοιάν ἐστι. Τί δέ ἐστι τὸ ἥμαρτεν; ἢ ἐμπεσὼν τῷ σώματι εἰς πορνείαν, εἴτε κατὰ φύσιν, εἴτε παρὰ φύσιν, ἢ τῷ ὀφθαλμῷ σῶμα ἐμπαθῶς ἐθεάσατο, ἢ κλέψας, ἢ ἔν τινι κλαπεὶς τῶν λοιπῶν ἁμαρτημάτων, ἢ καὶ μέχρι τοῦ γεύσασθαί τινος λάθρα, περιβλεπόμενος τοῦ μὴ ὁρᾶσθαι ὑπό τινος, ἢ ἑτέρου θέντος τὸ μηλωτάριον αὐτοῦ περιεργασάμενός τι ἔχει, ὁ γὰρ ταῦτα ποιῶν, τὸν Ἰησοῦν ὑβρίζει. Καὶ εἶπεν αὐτῷ· τίς, τοσαύτην ἔχει ἀκρίβειαν, Πάτερ; καὶ ἀπεκρίθη· ὃν τρόπον ὁ διορυγὴν ποιήσας εἰς τοῖχον καὶ χρήματα λαβών, ἠπατήθη ὑπὸ τοῦ ἐχθροῦ, τὸν αὐτὸν τρόπον καὶ οὗτος· ὁ γὰρ ἐκεῖνον νικήσας, καὶ τοῦτον ἐνίκησεν· ὁ γὰρ ἐν μικροῖς ἡττώμενος, καὶ ἐν μεγάλοις ἡττᾶται.

3. Ἐὰν ἴδῃς πρόσκομμα τοῦ ἀδελφοῦ σου, μὴ ἐξουδενώσῃς αὐτόν, ἵνα μὴ ἐμπέσῃς εἰς χεῖρας τῶν ἐχθρῶν σου· πρόσεχε μήποτε ὀνειδίσῃς τινὰ διὰ σχῆμα αὐτοῦ, καὶ βλάψῃς τὴν ψυχήν σου.

4. Τῷ Ἁγίῳ Πέτρῳ τῷ Ἀποστόλῳ ἔδειξεν ὁ Θεὸς μηδένα ἄνθρωπον ἡγεῖσθαι κοινὸν ἢ ἀκάθαρτον, ἐπειδὴ ἡγιάσθη αὐτοῦ ἡ καρδία, διὰ τοῦτο ἡγιάσθη ὅλος ὁ ἄνθρωπος· τῷ δὲ ἔχοντι τὴν καρδίαν εἰς τὰ πάθη, οὐδεὶς παρ' αὐτῷ ἡγίασται, ἀλλὰ κατὰ τὰ πάθη τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ, νομίζει πάντα ἄνθρωπον εἶναι καὶ κἂν εἴπῃ αὐτῷ τις, ὅτι ὁ δεῖνα ὁ ἄνθρωπος καλός ἐστιν, εὐθέως ὀργίζεται· ὑμεῖς δὲ ἀγαπητοί, φυλάξατε ἑαυτοὺς μὴ ψέξαι τινά, μήτε ἐν τῷ στόματι, μήτε ἐν τῇ καρδίᾳ ὑμῶν.

5. Ἐὰν ἡ ἐξουδένωσις πολεμῇ τὴν καρδίαν σου τοῦ ἐξουδενῶσαι τὸν πλησίον, μνήσθητι ὅτι διὰ τοῦτο ὁ Θεὸς παραδίδωσί σε εἰς χεῖρας τῶν ἐχθρῶν σου, καὶ ἀναπαύῃ· τοῦτο γὰρ γίνωσκε, ὅτι ἄνθρωπος ἔχων κατηγορίαν κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, μακράν ἐστιν ἀπὸ τοῦ ἐλέους τοῦ Θεοῦ.

Ἑρμηνεία

ΕΑΝ ἕνας ἄνθρωπος, εὑρισκόμενος εἰς ἀξιέπαινον μέτρον πνευματικῆς προσπαθείας, ἴδῃ κάποιον νὰ εὑρίσκεται εἰς τὴν ἁμαρτίαν ἢ νὰ εἶναι ἀμελὴς καὶ περιφρονήσῃ ἢ προσβάλῃ τὸν τοιοῦτον, αὐτὸς κατέστρεψεν ὅλον τὸ ἔργον τῆς ἰδικῆς του μετανοίας, διότι ἀπέταξεν ἕνα μέλος ἀπὸ τὸ Σῶμα τοῦ Χριστοῦ καταδικάσας αὐτὸ καὶ μὴ ἀφίσας τὸ δικαίωμα τῆς κρίσεως εἰς τὸν ἀδέκαστον Κριτὴν καὶ Θεόν, οὔτε ἐνδιαφερθεὶς διὰ τὰς ἰδικάς του ἁμαρτίας. Διότι ὅλοι, κατὰ τὴν περίοδον τῆς παρούσης ζωῆς, εἴμεθα ὅπως οἱ ἀσθενεῖς εἰς τὴν αἴθουσαν ἀναμονῆς ἰατρείου· ἄλλος ὑποφέρει ἀπὸ τὸν ὀφθαλμόν του, ἄλλου πονεῖ ἡ χείρ, ἄλλος ἔχει συρίγγιον, καὶ ἐν γένει ἀπὸ ὅσας ἀσθενείας ὑπάρχουν, ὑποφέρουν οἱ ἀσθενεῖς αὐτοί· μερικὰ ἀπὸ τὰ τραύματα αὐτὰ ἔχουν πλέον θεραπευθῆ· ἀλλ' ὅταν ὅμως ἐκεῖνος, ποὺ ἐθεραπεύθη ἀπὸ αὐτά, φάγῃ κάτι ἐκ τῶν ὅσων βλάπτουν, τότε ὁ ἀσθενὴς ἐπανέρχεται εἰς τὴν προτέραν του κατάστασιν.

Τοιουτοτρόπως συμβαίνει καὶ μὲ ἐκεῖνον, ὁ ὁποῖος εὑρίσκεται εἰς κατάστασιν μετανοίας, καὶ κατακρίνει ἢ περιφρονεῖ κάποιον· ὁ τοιοῦτος καταστρέφει πάλιν τὴν μετάνοιαν αὐτοῦ· διότι ἐάν, μεταξὺ τῶν εὑρισκομένων εἰς ἰατρεῖον καὶ μαστιζομένων ὑπὸ διαφόρων ἀσθενειῶν,

ἀναστενάξῃ κάποιος διὰ τὸ προσωπικόν του πάθος, θὰ τοῦ εἴπῃ ὁ ἄλλος διατὶ ἀναστενάζεις; Μήπως ὁ καθεὶς τὴν προσωπικήν του ἀσθένειαν δὲν σκέπτεται; Τοιουτοτρόπως θὰ ἔπρεπε νὰ πράττω καὶ διὰ τὰ πάθη τῶν ἁμαρτιῶν μου, ὁπότε δὲν θὰ ἦτο δυνατὸν νὰ παρατηρῶ ἄλλον ἁμαρτάνοντα· διότι ὅλοι οἱ ἀναμένοντες εἰς ἰατρεῖον, πρὸς τὸν ἰατρὸν ἐπιφυλάσσονται νὰ ὁμιλήσουν καὶ νὰ ἐκθέσουν τὴν ἀσθένειάν των, χωρίς, ἐν τῷ μεταξύ, οὐδεὶς ἐξ αὐτῶν νὰ τρώγῃ αὐτό, ποὺ βλάπτει τὴν πληγήν του. Ποῖος δὲ εἶναι ἐκεῖνος, ποὺ δὲν ἔχει τραῦμα;

2. Ὁ καθεὶς λοιπόν, ποὺ ἡμάρτησε μετὰ τὸ Ἅγιον Βάπτισμα, δὲν δύναται νὰ ἀδιαφορῇ, διότι εὑρίσκεται ὑπὸ μετάνοιαν· καὶ ἐὰν ἀκόμη πραγματοποιήσῃ μεγάλα θαύματα, καὶ θεραπεύσῃ ἀσθενεῖς, καὶ ἀναστήσῃ νεκρούς, καὶ ἀποκτήσῃ ὅλην τὴν θείαν γνῶσιν, ἐφ' ὅσον ἡμάρτησε, δὲν δύναται νὰ ἀδιαφορήσῃ, διότι τελεῖ ὑπὸ τὴν θεραπείαν τῆς μετανοίας. Τί σημαίνει δέ, ὅτι ἡμάρτησεν; Ἢ ὅτι περιέπεσε διὰ τοῦ σώματός του εἰς τὴν πορνείαν, (εἴτε ἁμαρτάνων κατὰ τοὺς ὅρους τῆς φύσεως εἴτε ἀσελγῶν παρὰ φύσιν), ἢ ὅτι διὰ τοῦ ὀφθαλμοῦ φιληδόνως παρετήρησε τὸ σῶμα ἄλλου ἀνθρώπου, ἢ ὅτι ἔκλεψε, ἢ ὅτι παρεσύρθη εἰς ἓν ἐκ τῶν ὑπολοίπων ἁμαρτημάτων, ἢ ὅτι ἀκόμη ἐδοκίμασε κρυφίως φαγητόν, προσέχων νὰ μὴ γίνῃ ἀντιληπτὸς ὑπὸ οὐδενός, ἢ ὅτι περιειργάσθη τί ἔχει τὸ ἐπανωφόρι ἄλλου, τὸ ὁποῖον ἐκεῖνος εἶχε κάπου τοποθετήσει· αὐτὸς λοιπόν, ποὺ κάνει αὐτά, ὑβρίζει τὸν Ἰησοῦν.

Ἀκούων ἐκ τῶν ἀκροατῶν κάποιος ἠρώτησεν αὐτόν· «Ποῖος, πάτερ μου, τηρεῖ τόσην ἀκρίβειαν εἰς τὴν ζωήν του;» Ὁ γέρων τότε ἀπήντησεν· «ὅπως ἀκριβῶς ἐνικήθη ὑπὸ τοῦ ἐχθροῦ ἐκεῖνος, ὁ ὁποῖος ἤνοιξε τρύπαν εἰς τοῖχον καὶ ἔκλεψε χρήματα, τοιουτοτρόπως νικᾶται καὶ αὐτὸς ποὺ δὲν τηρεῖ ἀκρίβειαν εἰς τὴν ζωήν του· διότι ὁ ἴδιος ὁ Διάβολος ἐνίκησε καὶ ἐξηπάτησε καὶ τὸν πρῶτον καὶ τὸν δεύτερον. Αὐτὸς δέ, ποὺ νικᾶται εἰς μικρὰ σφάλματα, θὰ νικηθῇ καὶ εἰς μεγαλύτερα, διότι δὲν συνηθίζει νὰ ἀνθίσταται».

3. Ἐὰν ἀντιληφθῇς ἐλάττωμα τοῦ ἀδελφοῦ σου, μὴ περιφρονήσῃς καὶ προσβάλῃς αὐτόν, διὰ νὰ μὴ περιπέσῃς εἰς τὰς χεῖρας τῶν ἐχθρῶν σου (τοῦ διαβόλου). Πρόσεχε μήπως εἰρωνευθῇς κανένα διὰ τὴν ἐμφάνισίν του καὶ βλάψῃς τοιουτοτρόπως τὴν ψυχήν σου.

4. Εἰς τὸν Ἅγιον Ἀπόστολον Πέτρον ἐφανέρωσεν ὁ Θεός, ὅτι κανένα ἄνθρωπον δὲν πρέπει νὰ νομίζῃ μεμολυσμένον ἢ ἀκάθαρτον· ἐφ' ὅσον ἡγιάσθη ἡ καρδία του, ὁλόκληρος ὁ ἄνθρωπος ἔχει ἁγιασθῆ. Ἐκεῖνος δέ, τοῦ ὁποίου ἡ καρδία ὑπηρετεῖ τὰ πάθη, νομίζει κάθε ἄνθρωπον ὅμοιόν του, διότι τὸν κρίνει κατὰ τὸ περιεχόμενον τῆς καρδίας του. Ὁ τοιοῦτος ἄνθρωπος, φθάνει μέχρι τοῦ σημείου νὰ ὀργισθῇ, ἐὰν κάποιος τοῦ εἴπῃ· «Αὐτὸς ὁ ἄνθρωπος εἶναι καλός». Σεῖς δὲ

ἀγαπητοί μου, προσέξατε μὴ κατηγορήσητε κανένα, ὄχι μόνον διὰ λόγου, ἀλλὰ οὔτε καὶ κατὰ διάνοιαν ἀκόμη.

5. Ἐὰν πολεμῆσαι ἀπὸ τὸν λογισμὸν τῆς περιφρονήσεως τοῦ ἀδελφοῦ σου καὶ ἐπιθυμῆς νὰ τὸν προσβάλῃς, νὰ ἐνθυμῆσαι τότε, ὅτι δι' αὐτὸ σὲ παραδίδει ὁ Θεὸς εἰς τοὺς ἐχθρούς σου· ἡ σκέψις αὐτὴ θὰ σὲ ἡσυχάζῃ. Διότι αὐτὸ μόνον γνώριζε, ὅτι ὁ ἄνθρωπος, ποὺ κατηγορεῖ τὸν ἀδελφόν του, εὑρίσκεται μακρὰν ἀπὸ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ (δηλ. εἶναι ἀνάξιος νὰ τὸν λυπηθῇ διὰ τὰ σφάλματά του ὁ Θεός).

Ε'. Τοῦ Ἀββᾶ Μάρκου

ΑΔΕΛΦΕ, ὅταν ἀκούσῃς τὴν παράβασιν τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, ἐν ἀρχῇ μέν, εἰδικῶς ἐπ' ἐκείνοις γεγενημένην πίστευε, νυνὶ δὲ νοητῶς ἐπ' ἐμοὶ καὶ σοὶ γενομένην εὑρήσεις· ἰδοὺ γὰρ διὰ τοῦ Βαπτίσματος τῆς Ἐκκλησίας ἀναγεννηθέντες, καὶ ἐν τῷ Παραδείσῳ ταύτης τεθέντες, τὴν ἐντολὴν τοῦ ἀναγεννήσαντος ἡμᾶς παρέβημεν· καθότι τοῦ Κυρίου κελεύσαντος πάντας τοὺς ὁμοπίστους ἀγαπᾶν, καὶ τὸν ἐκ πάντων ἐρχόμενον καρπὸν ὡς ἀγαθὸν δι' ὑπομονῆς ἐσθίειν, κατὰ τὸ εἰρημένον· «ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ» ἡμεῖς τοῖς τοῦ ὄφεως λογισμοῖς χρησάμενοι, τοὺς μὲν ὡς καλοὺς ἠγαπήσαμεν, τοὺς δὲ ὡς πονηροὺς ἐμισήσαμεν· ὅπερ ἐστὶ τὸ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, δηλονότι μὴ ὑποφέροντες τὸν πλησίον ἐν τοῖς ἡττήμασιν, ἀλλ' ἐν ταῖς τροπαῖς ἕκαστον ἐφευρίσκοντες· καὶ ἐν μὲν τοῖς δοκοῦσι καλοῖς ἀγαπῶντες, ἐν δὲ τοῖς νομιζομένοις κακοῖς μισοῦντες. Τούτου τοῦ ξύλου ἀπογευσάμενος ὁ νοῦς, εὐθέως περιπίπτει τοῖς αὐτοῖς ἡττήμασι, καὶ εὑρίσκει τὴν αὐτοῦ γύμνωσιν διὰ τῆς πονηρᾶς ἐφευρέσεως, ἣν πρῶτον οὐκ ἠπίστατο, διὰ συμπαθείας ἐπικεκαλυμμένην· ἐκ τούτου ἀκολούθως καὶ κατὰ διάνοιαν θανατούμεθα, οὐχὶ τοῦ Θεοῦ τὸν θάνατον ποιήσαντος, ἀλλὰ τοῦ ἀνθρώπου τὸν πλησίον μισήσαντος· ὁ Θεὸς γὰρ θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, οὔτε κινεῖται πάθει ὀργῆς, οὔτε ἐπινοεῖ πρᾶγμα εἰς ἄμυναν, οὔτε ἀλλοιοῦται πρὸς τὴν ἑκάστου ἀξίαν· ἀλλὰ πάντα ἐν σοφίᾳ ἐποίησεν, ὑπὸ νόμου πνευματικοῦ κρίνεσθαι προορίσας. Διὰ τοῦτο οὐ λέγει τῷ Ἀδάμ, «ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἐγὼ θανατώσω ὑμᾶς»· ἀλλὰ ἀσφαλιζόμενος, τὸν τῆς δικαιοσύνης προλέγει νόμον, καί φησιν· «ᾗ δ' ἂν ἡμέρᾳ φάγητε θανάτῳ ἀποθανεῖσθε»· καὶ οὕτω δὲ ἑκάστῳ πράγματι καλῷ τε καὶ κακῷ φυσικῶς ἐπακολουθεῖν τὸ δέον ἀπένειμεν, καὶ οὐκ ἐπινοητικῶς ὥς τινες νομίζουσιν, οἱ τὸν πνευματικὸν ἀγνοοῦντες νόμον.

2. Ἡμεῖς δὲ οἱ μερικῶς τοῦτον ἐπιστάμενοι, γινώσκειν ὀφείλομεν, ὅτι εἴ τινα τῶν ὁμοπίστων ὡς κακὸν μισήσωμεν, καὶ ἡμεῖς ὡς κακοὶ ὄντες, ὑπὸ Θεοῦ μισηθησόμεθα· καὶ εἴ τινα ὡς ἁμαρτωλὸν τῆς μετανοίας ἀποβάλλομεν, καὶ ἡμεῖς ὡς ἁμαρτωλοὶ ὄντες, τῆς μετανοίας ἀποβληθησόμεθα· καὶ εἰ οὐκ ἀφίωμεν τῷ πλησίον τὰ ἁμαρτήματα, οὐδὲ ἡμῖν ἀφεθήσεται.

3. Τοῦτον τὸν νόμον καὶ ὁ νομοθέτης Χριστὸς φανεροποιῶν, εἴρηκε· «μὴ κρίνετε, ἵνα μὴ κριθῆτε, καὶ μὴ καταδικάσητε, ἵνα μὴ καταδικασθῆτε· ἄφετε καὶ ἀφεθήσεται ὑμῖν». Τοῦτον καὶ ὁ Ἅγιος Παῦλος εἰδὼς ἔλεγεν· «ὁ κρίνων τὸν ἕτερον, ἑαυτὸν κατακρίνει»· ὁμοίως καὶ ὁ προφήτης «σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»· καὶ ἕτερος Προφήτης ὡς ἐκ προσώπου τοῦ Θεοῦ· «ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω λέγει Κύριος». Καὶ ἁπλῶς εἰπεῖν, πᾶσα γραφὴ παλαιά τε καὶ καινή, σαφῶς ὑμῖν τοῦτον ὑποδείκνυσι τὸν νόμον· ὅπως πνευματικὸν αὐτὸν εὑρόντες καὶ

μυστικῶς προωρισμένον, ἐπὶ πάσῃ ἡμῶν τῇ τροπῇ φοβηθέντες, οὐ μόνον προφανῶς, ἀλλὰ καὶ κρυπτῶς ἀγαπᾶν τοὺς ἀδελφοὺς σπεύσωμεν· οὐ γάρ ἐστι Μωσαϊκὸς νόμος τὰ φανερὰ κρίνων, ἀλλὰ πνευματικὸς καὶ τὰ κρυπτὰ ἐλέγχων· ὃς καὶ τὸν παλαιὸν ἐπλήρωσε κατὰ τὸν λόγον τοῦ Κυρίου εἰπόντος· «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι».

4. Ἕνα οὖν σκοπὸν ἔχειν ὀφείλομεν ἐν παντὶ καιρῷ καὶ τόπῳ, καὶ πράγματι, τό, ὑπὸ ἀνθρώπων διαφόρως ἀδικούμενοι, χαίρειν καὶ μὴ λυπεῖσθαι· χαίρειν δέ, οὐχ ἁπλῶς οὐδὲ ἀκόπως, ἀλλ' ὅτι εὕρομεν ἀφορμὴν ἀφιέναι τῷ ἁμαρτήσαντι, καὶ λαβεῖν ἄφεσιν τῶν ἡμετέρων ἁμαρτιῶν· αὕτη γάρ ἐστιν ἡ ἀληθὴς θεογνωσία, καὶ πάσης γνώσεως περιεκτικωτάτη, δι' ἧς δυνάμεθα παρακαλεῖν τὸν Θεὸν καὶ εἰσακούεσθαι· αὕτη ἐστὶν ἡ τῆς προσευχῆς καρποφορία, διὰ ταύτης ἡ εἰς Χριστὸν πίστις ἀναδείκνυται, διὰ ταύτης γὰρ ἐξ ὅλης καρδίας ἀγαπᾶν τὸν Θεόν, καὶ τὸν πλησίον ὡς ἑαυτοὺς δυνάμεθα, διὰ ταύτην ὀφείλομεν μετὰ ἀγρυπνίας καὶ πάσης κακουχίας τὸν Θεὸν παρακαλεῖν, ὅπως τὰ σπλάγχνα καὶ ἡ καρδία ἀνοιγέντα εἰσδέξωνται αὐτὴν καὶ μὴ ἀποβάλωσι. Τότε γὰρ καὶ τὴν κρυπτῶς δεδομένην ἡμῖν χάριν διὰ τοῦ Ἁγίου Βαπτίσματος, οὐκέτι ἀδήλως, ἀλλ' ἐν πάσῃ πληροφορίᾳ καὶ αἰσθήσει ἐνεργοῦσαν εὑρήσομεν, διὰ τοῦ ἀφιέναι τοῦ πλησίον τὰ ἁμαρτήματα. Ταύτης δὲ τῆς ἀρετῆς κωλυτικαί εἰσι κακίαι δύο, ἡδονὴ συμμιγεῖσα τῷ σώματι, καὶ κενοδοξία, ἃς χρὴ πρότερον κατὰ νοῦν παραιτεῖσθαι, καὶ οὕτως τὴν ἀρετὴν ταύτην κρατῆσαι.

5. Ταύταις οὖν ἑαυτοὺς προδοῦντες, μηδένα αἰτιώμεθα μήτε τὸν Σατανᾶν, μήτε τοὺς ἀνθρώπους, ἀλλὰ πολεμήσωμεν τῷ θελήματι, καὶ μὴ καταφρονήσωμεν· ἐμφύλιος γάρ ἐστιν ὁ πόλεμος, καὶ ἔνδοθέν ἐστι, καὶ οὐδεὶς τῶν ἔξωθεν δύναται συμπολεμῆσαι ἡμῖν· ἕνα ἔχομεν σύμμαχον, τὸν μυστικῶς ἡμῖν διὰ τοῦ Βαπτίσματος ἐγκεκρυμμένον Χριστόν, ἀνίκητον καὶ ἀλάθητον· συμμαχήσει δὲ ἡμῖν ἐὰν τὰς ἐντολὰς αὐτοῦ κατὰ δύναμιν ποιήσωμεν· ταῦτα δὲ τὰ δύο πολεμοῦντα ἡμῖν, τὴν Εὔαν ἠπάτησαν καὶ τὸν Ἀδὰμ ἐπλάνησαν.

6. Ἡ μὲν ἡδονὴ ἔδειξε τὸ ξύλον ὡς καλὸν εἰς βρῶσιν καὶ ὡραῖον τοῦ κατανοῆσαι, ἡ δὲ κενοδοξία, τὸ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. Καθάπερ οὖν ὁ Πρωτόπλαστος Ἀδὰμ καὶ ἡ Εὔα ᾐσχύνοντο ἀλλήλους, οὕτω καὶ ἡμεῖς τὴν ἀκακίαν τῶν νοερῶν ὀφθαλμῶν ἀποβαλόντες, καὶ ἑαυτοὺς γυμνοὺς ὁρῶντες ἀλλήλους κατὰ συνείδησιν αἰσχυνόμεθα· καὶ ἰδοὺ φύλλα συκῆς συῤῥάπτομεν, ἐξωτέροις ῥήμασι καὶ σχήμασι, καὶ νοήμασι, καὶ δικαιολογίαις ἐνδύοντες. Ὁ δὲ Κύριος κατασκευάζει ἡμῖν τὸ ἐκ δερμάτων ἔνδυμα καὶ λέγει· «Ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν»· καὶ τὰ ἀκόλουθα παραινεῖ λέγων· Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, τουτέστιν ἐν μνησικακίᾳ, ἢ ἄλλῃ ἁμαρτίᾳ, οὗτος ἀπολέσει αὐτήν, καὶ ὁ ἐνταῦθα ἀπολέσας αὐτήν, τουτέστι σταυρώσας, εἰς ζωὴν αἰώνιον εὑρήσει αὐτήν.

7. Ὁ ἔχων τι χάρισμα, καὶ συμπάσχει τοῖς μὴ ἔχουσι, διὰ τῆς συμπαθείας φυλάττει τὸ δώρημα· ὁ δὲ ἀλαζών, ἀπολέσει αὐτὸ τοῖς τῆς ἀλαζονείας πειρασμοῖς περικρουόμενος.

8. Τὰ σὰ περιεργάζου καὶ μὴ τὰ ἀλλότρια· καὶ οὐ μὴ συληθῇ σου τὸ νοερὸν ἐργαστήριον.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ὅταν ἀκούσῃς διὰ τὴν παράβασιν τοῦ Ἀδὰμ καὶ τῆς Εὔας, πρέπει νὰ πιστεύσῃς, ὅτι πραγματικῶς εἶχε γίνει τότε ἀπὸ ἐκείνους· τὸ γεγονὸς ὅμως αὐτὸ τῆς παραβά-

σεως ἐπαναλαμβάνεται μετὰ ταῦτα ἀπὸ μένα, ἀπὸ σένα, ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ὄχι βεβαίως κατὰ τρόπον πραγματικόν, ἀλλὰ νοητόν· καὶ ἰδοὺ πῶς: διὰ τοῦ Ἁγίου Βαπτίσματος ἀνεγεννήθημεν καὶ ἐτοποθετήθημεν εἰς τὸν νοητὸν Παράδεισον τῆς Ἐκκλησίας. Εἰς αὐτὸν ὅμως τὸν Παράδεισον εὑρεθέντες παρέβημεν τὴν ἐντολὴν τοῦ Θεοῦ, ὁ ὁποῖος μᾶς ἀνεγέννησε διὰ τοῦ Ἁγίου Βαπτίσματος. Ἀλλὰ ποίαν ἐντολὴν παρέβημεν; Ὁ Κύριος διέταξε νὰ ἀγαπῶμεν ὅλους τοὺς ὁμοπίστους ἀδελφούς· νὰ θεωρῶμεν δὲ διὰ τῆς ἀγογγύστου ὑπομονῆς τὰ ἔργα των ὡς καλὸν καρπόν, τὸν ὁποῖον εὐχαρίστως νὰ ἐσθίωμεν, συμφώνως πρὸς ἐκεῖνο, ποὺ εἶχεν εἰπεῖ ὁ Θεὸς εἰς τοὺς πρωτοπλάστους· «ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ». (Γενεσ. β', 16). Ἡμεῖς ὅμως παρασυρόμενοι ἀπὸ τοὺς λογισμούς, ποὺ ἐμβάζει εἰς ἡμᾶς ὁ νοητὸς ὄφις, ἄλλους μὲν ἐκ τῶν ἀδελφῶν ἡμῶν ἐχαρακτηρίσαμεν καλοὺς καὶ τοὺς ἠγαπήσαμεν, ἄλλους, ἐξ ἀντιθέτου, ἐθεωρήσαμεν κακοὺς καὶ τοὺς ἐμισήσαμεν. Αὐτὴ ἀκριβῶς ἡ διάκρισις καὶ ὁ διαχωρισμὸς εἰς κακοὺς καὶ καλοὺς εἶναι τὸ δένδρον τῆς γνώσεως τοῦ καλοῦ καὶ τοῦ πονηροῦ. Αὐτὸ δὲ ὀφείλεται εἰς τὴν ἄρνησιν νὰ ὑπομείνωμεν τὰ σφάλματα τοῦ πλησίον ἡμῶν, ἐξετάζοντες μετὰ προσοχῆς τὴν διαγωγὴν ἑνὸς ἑκάστου. Ὅσοι δὲ φαίνονται καλοὶ τοὺς ἀγαπῶμεν· ὅσους δὲ νομίζομεν, ὅτι εἶναι κακοί, τοὺς μισῶμεν.

Τοὺς καρποὺς αὐτοῦ τοῦ δένδρου μόλις δοκιμάσῃ ὁ νοῦς (δηλαδὴ μόλις σχηματίσωμεν τὰς σκέψεις αὐτὰς διὰ τὸν πλησίον), ἀμέσως τότε περιπίπτει εἰς τὰ ἴδια ἐκεῖνα σφάλματα, τὰ ὁποῖα κατέκρινε καὶ τότε βλέπει τὴν γύμνωσίν του, ἡ ὁποία προέκυψεν ἀπὸ τὴν πονηρὰν ἀνακάλυψιν τῶν ἐλαττωμάτων τοῦ ἀδελφοῦ. Αὐτὴν τὴν γύμνωσιν δὲν τὴν ἀντελαμβάνετο προηγουμένως, διότι ἦτο σκεπασμένος μὲ τὴν φιλάδελφον συμπάθειαν. Ἐξ αἰτίας δὲ τῆς ἀπογυμνώσεως αὐτῆς κατὰ φυσικὴν συνέπειαν θανατοῦται ἡ διάνοια ἡμῶν, ὄχι διότι ὁ Θεὸς ἐπέβαλε τὸν θάνατον, ἀλλὰ διότι ὁ ἄνθρωπος ἐμίσησε τὸν πλησίον. Διότι ὁ Θεὸς δὲν ἔκαμε τὸν θάνατον, οὔτε εὐχαριστεῖται εἰς τὴν ἀπώλειαν τῶν ζώντων, οὔτε κινεῖται ἀπὸ τὸ πάθος τῆς ὀργῆς, οὔτε σκέπτεται νὰ ἀμυνθῇ κατὰ τοῦ κακοῦ, οὔτε μεταβάλλεται ἡ διάθεσίς του ἀπὸ τὴν ἀξίαν ἢ ἀναξιότητα τῶν ἀνθρώπων, ἀλλὰ ὅλα τὰ ἐδημιούργησε μὲ σοφίαν καὶ ἐκανόνισεν ὥστε νὰ ρυθμίζωνται ἀπὸ τὸν νόμον τοῦ πνεύματος, δηλαδὴ τὸν ἠθικόν. Δι' αὐτὸ δὲν λέγει εἰς τὸν Ἀδάμ, «κατὰ τὴν ἡμέραν, ποὺ θὰ γευθῆτε τοῦ ἀπηγορευμένου καρποῦ, ἐγὼ θὰ σᾶς θανατώσω», ἀλλὰ ἑδραιώνων τὸ θεῖον αὐτὸ καθεστὼς τῆς ἠθικῆς νομοθεσίας, προεξαγγέλλει τὸν νόμον τῆς θείας Δικαιοσύνης προειδοποιῶν· «Ἧ δ' ἂν ἡμέρᾳ φάγητε, θανάτῳ ἀποθανεῖσθε». (Γενεσ. β', 17). Τοιουτοτρόπως συνέδεσε τὸ καλὸν μὲ τὴν ἀμοιβὴν καὶ τὸ κακὸν μὲ τὴν τιμωρίαν, ὥστε κατὰ τρόπον φυσικὸν νὰ ἀντιστοιχῇ ἡ ἀμοιβὴ πρὸς τὴν ἀρετὴν καὶ ἡ τιμωρία πρὸς τὴν κακίαν, χωρὶς νὰ παρίσταται ἀνάγκη εἰς ἑκάστην περίπτωσιν ὁ ἴδιος νὰ τὸ ἐπινοῇ,

ὅπως, ἐσφαλμένως, νομίζουν ὅσοι ἀγνοοῦν τοὺς ἠθικοὺς νόμους.

2. Ἡμεῖς ὅμως, οἱ ὁποῖοι γνωρίζομεν, ἔστω καὶ ἀτελῶς, τοὺς νόμους αὐτούς, πρέπει νὰ ἔχωμεν ὑπ' ὄψιν ἡμῶν, ὅτι ἐὰν μισήσωμεν κάποιον ἀπὸ τοὺς ὁμοπίστους ἀδελφούς μας, διότι εἶναι κακός, ἀσφαλῶς θὰ μᾶς μισήσῃ ὁ Θεός, ἐπειδὴ καὶ ἡμεῖς εἴμεθα κακοί. Ἐπίσης καὶ ἐὰν κάποιον τὸν κρίνωμεν μὲ αὐστηρότητα ὡς ἁμαρτωλὸν καὶ δὲν τὸν θεωρήσωμεν ἄξιον μετανοίας, τότε καὶ ὁ Θεὸς ὁμοίως θὰ μᾶς κρίνῃ καὶ δὲν θὰ μᾶς ἀξιώσῃ τῆς μετανοίας. Τέλος ἐὰν δὲν συγχωρήσωμεν εἰς τὸν πλησίον τὰ ἁμαρτήματά του, οὔτε καὶ ὁ Θεὸς θὰ συγχωρήσῃ ἡμᾶς. Αὐτὰ πρέπει νὰ ἔχωμεν πάντοτε ὑπ' ὄψιν μας.

3. Τὸν νόμον αὐτὸν ὁ Χριστός, ὡς νομοθέτης, ἐπικυρῶν εἶχεν εἴπει· Μὴ κρίνετε, διὰ νὰ μὴ κριθῆτε, μὴ καταδικάσητε, διὰ νὰ μὴ καταδικασθῆτε ὑπὸ τοῦ Θεοῦ· συγχωρεῖτε τοὺς συνανθρώπους σας, διὰ νὰ σᾶς συγχωρήσῃ ὁ Θεός. Τὸν νόμον αὐτὸν καὶ ὁ Ἀπόστολος Παῦλος ἐγνώριζε, δι' αὐτὸ καὶ ἔλεγε· Ἐκεῖνος ὁ ὁποῖος κρίνει τὸν ἄλλον, τὸν ἑαυτόν του κατακρίνει. Μὲ τὸ αὐτὸ πνεῦμα ὡμίλησε παλαιότερον καὶ ὁ Προφητάναξ Δαβίδ· Σύ, Θεέ μου, θὰ ἀποδώσῃς εἰς ἕκαστον ἄνθρωπον τὴν ἀμοιβὴν ἢ τὴν τιμωρίαν, ἀναλόγως τῆς ἠθικῆς ποιότητος τῶν ἔργων του». Καὶ ἕνας ἄλλος Προφήτης, ὡς ἐκπρόσωπος τοῦ Θεοῦ, ἔλεγεν· Εἰς ἐμὲ ἀνήκει τὸ δικαίωμα νὰ ἐπιβάλλω τὴν δικαίαν τιμωρίαν, ἐγὼ θὰ ἀποδώσω ἀναλόγως τῶν ἔργων εἰς ἕκαστον ἄνθρωπον, λέγει ὁ Κύριος. Καὶ διὰ νὰ εἴπωμεν συντόμως, τόσον ἡ Παλαιὰ Διαθήκη, ὅσον καὶ ἡ Καινὴ μὲ σαφήνειαν μᾶς ὑποδεικνύουν τὸν νόμον αὐτόν, ὥστε νὰ ἀντιληφθῶμεν, ὅτι εἶναι πνευματικός, καὶ ἀναφέρεται εἰς τὸν ἐσωτερικὸν ἄνθρωπον. Δι' αὐτό, χωρὶς ἀναβολήν, πρέπει εἰς ὅλας τὰς περιστάσεις νὰ σεβασθῶμεν τὸν νόμον αὐτὸν καὶ νὰ ἀγαπήσωμεν τοὺς ἀδελφούς μας ὄχι μόνον μὲ ἐξωτερικὰς ἐκδηλώσεις, ἀλλὰ μὲ ἐσωτερικὴν εἰλικρίνειαν, διότι ὁ νόμος αὐτὸς δὲν ὁμοιάζει μὲ τὸν Μωσαϊκόν, ποὺ ἔκρινε μόνον τὰ φανερῶς γινόμενα, ἀλλ' ὡς πνευματικὸς ἐλέγχει καὶ τὰς ἀπραγματοποιήτους σκέψεις τῶν ἀνθρώπων. Ἄλλωστε μὲ αὐτὸν τὸν πνευματικὸν νόμον ὁ Κύριος συνεπλήρωσε τὸν Μωσαϊκόν, ὅπως καὶ ὁ ἴδιος εἶπε· «Οὐκ ἦλθον καταλῦσαι [τὸν Νόμον], ἀλλὰ πληρῶσαι» (Ματθ. ε', 17).

4. Ἕνα λοιπὸν σκοπὸν ὀφείλομεν νὰ ἐπιδιώκωμεν παντοῦ καὶ πάντοτε καὶ ὑπὸ οἱασδήποτε συνθήκας· νὰ χαιρώμεθα καὶ νὰ μὴ λυπούμεθα, ὁσάκις ἀδικούμεθα διαφοροτρόπως ἀπὸ τοὺς ἀνθρώπους. Νὰ χαιρώμεθα δὲ οὐχὶ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ διότι μᾶς δίδεται ἡ ἀφορμὴ νὰ συγχωρήσωμεν αὐτόν, ὁ ὁποῖος μᾶς ἐλύπησεν, ὥστε νὰ λάβωμεν καὶ ἡμεῖς ὑπὸ τοῦ Θεοῦ ἄφεσιν ἁμαρτιῶν. Αὐτή, ἡ πρὸς τὸν λυπήσαντα ἡμᾶς ἀδελφὸν ἀνεξικακία, ἐξασφαλίζει τὴν πραγματικὴν γνῶσιν τοῦ Θεοῦ καὶ περιέχει ἡ γνῶσις αὐτὴ ὅλα ὅσα ὀφείλει νὰ γνωρίζῃ ὁ ἄν-

θρωπος· συγχρόνως δὲ παρέχει εἰς τὸν ἄνθρωπον τὴν δύναμιν, ὁσάκις παρακαλεῖ τὸν Θεόν, νὰ εἰσακούεται ἀπὸ Αὐτόν. Αὐτή, ἡ ἐκ τῆς ἀνεξικακίας θεογνωσία, εἶναι ὁ ὡραῖος καὶ πολύτιμος καρπὸς τῆς προσευχῆς· δι' αὐτῆς φανερώνεται ἡ πίστις, ποὺ ἔχομεν πρὸς τὸν Χριστόν, διότι δι' αὐτῆς ἀποκτῶμεν τὴν δύναμιν νὰ ἀγαπῶμεν τὸν Θεὸν ἐξ ὅλης τῆς καρδίας μας καὶ τὸν πλησίον μας ὅπως τὸν ἑαυτόν μας. Διὰ τὴν ἀπόκτησιν αὐτῆς τῆς θεογνωσίας ὀφείλομεν μὲ ἀγρυπνίας καὶ σωματικὰς κακουχίας νὰ παρακαλῶμεν τὸν Θεόν, ὥστε νὰ ἀνοίξῃ ἀπὸ συγκίνησιν ἡ καρδιά μας νὰ τὴν δεχθῇ καὶ νὰ μὴ τὴν ἀποδιώξῃ.

Τότε, ὅταν ἀποκτήσωμεν τὴν ἀρετὴν αὐτήν, καὶ τὴν χάριν τῆς υἱοθεσίας, ἡ ὁποία μᾶς ἐδόθη διὰ τοῦ Ἁγίου Βαπτίσματος, κατὰ μυστικὸν τρόπον, θὰ τὴν αἰσθανθῶμεν νὰ ἐνεργῇ εἰς ἡμᾶς, οὐχὶ ἀφανῶς, ἀλλὰ μὲ κάθε πληροφορίαν καὶ ἐσωτερικὴν αἴσθησιν· καὶ τοῦτο διότι εἴχομεν τὴν δύναμιν νὰ συγχωρήσωμεν τὰς ἁμαρτίας τοῦ πλησίον.

Αὐτὴ ἡ ἀρετὴ δύο κακίας ἔχει ἀντιθέτους, ποὺ τὴν ἐμποδίζουν νὰ ἐκδηλωθῇ· τὴν σαρκικὴν ἡδονὴν καὶ τὴν κενοδοξίαν. Ἀπὸ αὐτὰς τὰς κακίας πρέπει νὰ ἀπομακρυνθῶμεν ἐνωρίτερον κατὰ τὴν διάνοιαν, καὶ ἐλεύθεροι πλέον νὰ ἐπιδιώξωμεν νὰ ἀποκτήσωμεν τὴν ἀρετὴν αὐτήν.

Ὅταν λοιπὸν εἰς αὐτὰς τὰς κακίας προδώσωμεν τοὺς ἑαυτούς μας (τὰς ψυχάς μας), ἂς μὴ θεωρῶμεν ὑπεύθυνον κανένα, οὔτε τὸν σατανᾶν, οὔτε τοὺς ἀνθρώπους, ἀλλὰ ἂς πολεμήσωμεν ἐναντίον τοῦ κακοῦ θελήματος καὶ ἂς μὴ ὑπερηφανευώμεθα. Ὁ πόλεμος εἶναι μεταξὺ τῶν λογισμῶν ἡμῶν, ἐσωτερικός, καὶ κανείς, ἐκτὸς τοῦ ἐσωτερικοῦ μας ἀνθρώπου, δὲν θὰ δυνηθῇ νὰ συμμαχήσῃ μαζί μας εἰς τὸν πόλεμον αὐτόν. Ἕνα μόνον σύμμαχον ἔχομεν, τὸν Χριστόν, ὁ ὁποῖος, μετὰ τὸ Ἅγιον Βάπτισμα, εὑρίσκεται κρυμμένος κατὰ τρόπον ἀνεξιχνίαστον, μυστικόν, ἐντὸς ἡμῶν. Αὐτὸς πράγματι εἶναι ἀνίκητος καὶ ἀλάνθαστος, θὰ συμμαχήσῃ δὲ μὲ ἡμᾶς εἰς τὸν ἐμφύλιον πόλεμον αὐτόν, ἐάν, ὅσον δυνάμεθα, ἐκτελέσωμεν τὰς ἐντολὰς αὐτοῦ.

Αὐταὶ δὲ αἱ δύο κακίαι, ποὺ μᾶς πολεμοῦν, καὶ τὴν Εὔαν ἐξηπάτησαν καὶ τὸν Ἀδὰμ παρεπλάνησαν.

Ἐκ τῶν δύο αὐτῶν κακιῶν ἡ μὲν ἡδονὴ παρουσίασε τὸ δένδρον ὡς κατάλληλον διὰ νὰ φάγουν τὸν καρπόν του, καὶ ὡς ὡραῖον ἔργον τὴν βαθυτέραν γνῶσιν τῶν πραγμάτων· ἡ δὲ κενοδοξία ἐκέντρισε τοὺς πρωτοπλάστους μὲ τὴν σκέψιν, ὅτι θὰ εἶναι τάχα θεοί, ἀφοῦ θὰ γνωρίζουν τὸ καλὸν καὶ τὸ κακόν.

Ὅπως λοιπὸν ἀκριβῶς οἱ πρωτόπλαστοι, ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ἐντρέποντο βλέποντες ἀλλήλους γυμνούς, τοιουτοτρόπως καὶ ἡμεῖς, ὅταν ἀποβάλωμεν τὴν ἀκακίαν τῶν νοερῶν ὀφθαλμῶν καὶ ἀντικρύζωμεν γυμνὰς τὰς ψυχάς μας, ἡ συνείδησίς μας θὰ μᾶς κάμῃ νὰ ἐντρεπώμεθα. Καὶ τότε θὰ ῥάβωμεν φύλλα συκῆς, δηλαδὴ θὰ προσπαθῶμεν νὰ ἀποκρύψωμεν τὴν ψυχικὴν ἡμῶν γυμνότητα μὲ περίεργα λόγια, μὲ σκέψεις, μὲ σχήματα, μὲ δικαιολογίας. Τότε ὁ Κύριος θὰ κα-

τασκευάση καὶ θὰ μᾶς προσφέρη ἔνδυμα ἀπὸ δέρμα λέγων εἰς ἡμᾶς· «ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ἡμῶν»· (Λουκ. κβ', 19) καὶ συμβουλεύων ἡμᾶς ὡς ἑξῆς· ἐκεῖνος ὁ ὁποῖος θὰ ἀντιληφθῇ, ὅτι ἡ ψυχή του εὑρέθη εἰς τὴν μνησικακίαν ἢ εἰς ἄλλην ἁμαρτίαν, αὐτὸς θὰ πρέπη διὰ τῆς ἀσκήσεως νὰ τὴν παιδαγωγήσῃ· ἐκεῖνος δὲ ὁ ὁποῖος ἀνοικτιρμόνως θὰ παιδεύσῃ αὐτὴν εἰς τὸν παρόντα βίον, αὐτὸς ἀσφαλῶς θὰ τὴν κερδήσῃ εἰς τὴν αἰώνιον ζωήν.

Ἐκεῖνος ὁ ὁποῖος, ἂν καὶ ἔχῃ κάποιο χάρισμα, ὅμως συμπάσχει μὲ αὐτοὺς ποὺ δὲν ἔχουν, αὐτὸς μὲ τὴν συμπάθειαν αὐτὴν διαφυλάσσει τὴν δωρεὰν τοῦ Θεοῦ. Ὁ ἀγέρωχος καὶ ὁ ὑπερήφανος θὰ χάσῃ τὴν δωρεὰν αὐτὴν τοῦ Θεοῦ, διότι κτυπᾶται ἀπὸ τοὺς πειρασμοὺς τῆς ἀλαζονείας.

Τὰ σφάλματά σου καὶ τὰς ἀτελείας σου νὰ περιεργάζεσαι καὶ ὄχι τὰς ξένας ὑποθέσεις, διὰ νὰ μὴ κυριευθῇ ὑπὸ τοῦ διαβόλου τὸ ἐργαστήριον τῆς διανοίας σου.

ς'. Τοῦ Ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου

Ἐρώτησις

ΠΟΙΩ τρόπῳ δυνησόμεθα μὴ κρίνειν τὸν προφανῶς ἁμαρτάνοντα;

Ἀπόκρισις

Μνημονεύοντες τοῦ Κυρίου λέγοντος· «Μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε, μὴ καταδικάζετε καὶ οὐ μὴ καταδικασθῆτε». Καὶ τοῦ Ἀποστόλου παραινοῦντος καὶ φάσκοντος· «Ὁ δοκῶν ἑστᾶναι, βλεπέτω μὴ πέσῃ». Καὶ πάλιν· «Ὁ κρίνων τὸν ἕτερον, σεαυτὸν κατακρίνεις»· οὐδεὶς γὰρ οἶδε τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ Πνεῦμα τὸ ἐνοικοῦν ἐν αὐτῷ κατὰ τὴν τοῦ Σωτῆρος φωνήν.

Πολλοὶ γὰρ πολλάκις ἐνώπιον ἀνθρώπων ἁμαρτάνοντες, εἶτα κρυπτῶς τῷ Θεῷ ἐξομολογούμενοι, τὴν ἄφεσιν ἐκομίσαντο, καὶ εὐαρεστήσαντες Πνεῦμα Ἅγιον ἔλαβον. Καὶ οἱ παρ' ἡμῖν νομιζόμενοι ἁμαρτωλοί, εἰσὶ παρὰ τῷ Θεῷ δίκαιοι. Τὴν μὲν γὰρ ἁμαρτίαν ἐθεασάμεθα, τὰς δὲ ἀγαθοεργίας, ἃς κρυπτῶς εἰργάσαντο, οὐκ ἔγνωμεν. Διὸ οὐκ ὀφείλομέν τινα κατακρίνειν, κἂν αὐτοῖς τοῖς ὀφθαλμοῖς ἡμῶν ἴδωμεν αὐτὸν ἁμαρτάνοντα.

Δέκα γὰρ βήματα ὑπαναχωρήσαντος ἡμῶν τοῦ ἁμαρτήσαντος, οὐκ οἴδαμεν τὴν ἐν κρυπτῷ ἐργασίαν αὐτοῦ τί ἐποίησε μετ' αὐτοῦ ὁ Θεός. Ἰούδας ὁ προδότης, διαφευγούσης τῆς Πέμπτης, σὺν τῷ Χριστῷ καὶ τοῖς μαθηταῖς ἦν· ὁ δὲ ληστής, ἐν τοῖς κακούργοις καὶ ἀνδροφόνοις. Καταλαβούσης δὲ τῆς Παρασκευῆς, ὁ μὲν Ἰούδας ἀπῆλθεν εἰς τὸ σκότος τὸ ἐξώτερον, ὁ δὲ ληστὴς τὸν Παράδεισον ᾤκησε σὺν τῷ Χριστῷ.

Διὰ γοῦν τὰς τοιαύτας αἰφνιδίους μεταβολάς, καλὸν τὸ μὴ κρῖναι ἄνθρωπον ἕως ἂν ἔλθῃ ὁ Χριστός, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, καὶ ἀνακαλύπτων τὰ κρυπτὰ τῶν καρδιῶν· πᾶσαν γὰρ τὴν κρίσιν δέδωκεν ὁ Πατὴρ τῷ Υἱῷ, ὥστε ὁ κρίνων τὸν ἕτερον ἤτοι τὸν πλησίον τὸ ἀξίωμα τοῦ Κριτοῦ ἥρπασε, καὶ ἀντίχριστος ὁ τοιοῦτός ἐστιν· ἄλλως τε εἰσί τινες, οἳ διὰ ποικίλων πειρασμῶν τὴν ἄφεσιν τῶν ἁμαρτημάτων λαμβάνουσιν, οὓς ἡμεῖς οὐ γινώσκομεν· ἄλλοι διὰ σωματικῆς ἀσθενείας καὶ μακρονοσίας καθαίρονται. «Παιδεύων γάρ, φησιν, ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με».

Καὶ ὁ Ἀπόστολος· «κρινόμενοι ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ

κόσμῳ κατακριθῶμεν»· ὅπερ καὶ ἐπὶ τοῦ πορνεύσαντος ἐποίησεν, ἐπιτρέψας παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· δι' οὗ μανθάνομεν, ὅτι καὶ οἱ δαιμονῶντες, ἐὰν μετ' εὐχαριστίας ὑπομένωσι, σῴζονται διὰ τῆς παιδείας· ἕτεροι καὶ ἐν αὐτῇ τῇ ἐπιθανάτῳ αὐτῶν νόσῳ διὰ θερμῶν δακρύων τὸν Θεὸν ἐδυσώπησαν, καὶ ἐλέους ἔτυχον, ὡς Ἐζεκίας ὁ βασιλεύς.

Ἄλλοι κρυπτῶς μεταξὺ ἑαυτῶν καὶ τοῦ Θεοῦ διαθήκας καὶ μετανοίας ποιησάμενοι, ἐντὸς ὀλίγων ἡμερῶν τοῦ βίου μεταστάντες ἐσώθησαν. Ἐν ᾧ γὰρ εὑρεθῇ ὁ ἄνθρωπος, ἐν αὐτῷ καὶ κρίνεται, εἴτε ἐν τῷ ἀγαθῷ, εἴτε ἐν τῷ πονηρῷ. Καθὼς διὰ Ἰεζεκιὴλ τοῦ Προφήτου ἀπεφήνατο ὁ Θεὸς εἰπών· Ἐὰν ποιήσῃ ἄνθρωπος πάσας τὰς ἀδικίας, καὶ ἀποστραφεὶς ποιήσῃ δικαιοσύνην, τῶν ἀνομιῶν αὐτοῦ οὐ μὴ μνησθῶ· ἐν ᾧ γὰρ εὕρω αὐτόν, ἐν αὐτῷ καὶ κρινῶ αὐτόν.

Εἰσὶ δέ τινες οἳ καὶ διὰ δικαίων ἀνδρῶν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐκομίσαντο. Θέλημα γὰρ τῶν φοβουμένων αὐτὸν ποιήσει ὁ Κύριος. Καὶ τούτου μάρτυς ἡ θεία Γραφή Καὶ γὰρ Ἀαρών, δι' εὐχῶν τοῦ Μωϋσέως συνεχωρήθη, ποιήσας τὸν μόσχον τῷ Ἰσραὴλ ἐν Χωρήβ. Ὁμοίως καὶ ἡ ἀδελφὴ αὐτοῦ Μαριὰμ τῆς λέπρας ἐκαθαρίσθη, τοῦ Μωϋσέως ὑπὲρ αὐτῆς τὸν Θεὸν δυσωπήσαντος. Καὶ ὁ Ναβουχοδονόσορ δέ, δι' εὐχῶν τοῦ Προφήτου Δανιήλ, ἐλέους παρὰ Θεοῦ ἔτυχε.

Πολλάκις δὲ καὶ οἱ Ἅγιοι Ἄγγελοι, ἅτε Θεοῦ θεράποντες γνήσιοι, καὶ πολλὴν τὴν παῤῥησίαν πρὸς Αὐτὸν ἔχοντες, ὡς μηδαμῶς εἰς Αὐτὸν ἁμαρτάνοντες, ἔστιν ὅτε αἰτοῦντες παρ' αὐτοῦ, ὁ μὲν τοῦδε τοῦ ἀνθρώπου τὴν σωτηρίαν, ὁ δὲ τοῦδε, καὶ παρέχει αὐτοῖς ὁ Θεός, ὁ νυκτὸς καὶ ἡμέρας λατρευόμενος ὑπ' αὐτῶν καὶ εὐαρεστούμενος, τὰ αἰτήματα αὐτῶν, ὥσπερ καὶ οἱ ἐπίγειοι βασιλεῖς ἔστιν ὅτε ἀξίους θανάτου χαρίζονται τοῖς γνησίοις φίλοις αὐτῶν, ὑπ' αὐτῶν παρακαλούμενοι. Οἱ γὰρ Ἅγιοι Ἄγγελοι λίαν εἰσὶ φιλάνθρωποι καὶ συμπαθεῖς πρὸς τὸ γένος ἡμῶν. Ἐπειδὴ διὰ τῆς ἡμετέρας σαρκὸς ἠξιώθησαν ἰδεῖν τὸν Θεὸν Λόγον, ὡς ἐξ αἰῶνος ἰδεῖν ἐπεθύμουν. Καὶ μαρτυροῦσι τῷ λόγῳ Πέτρος καὶ Παῦλος οἱ κορυφαῖοι· ὁ μὲν Πέτρος λέγων, ὅτι ἐχαρίσατο ἡμῖν ὁ Θεὸς ἀγαθά, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγγελοι παρακύψαι· τουτέστι τὸν Θεὸν οὕτω τρανῶς θεωρῆσαι, ὃν ἡμεῖς πρὸ τῶν Ἀγγέλων ἡνίκα ἐσαρκώθη ἑωράκαμεν. Ὁ δὲ Παῦλος περὶ τῆς Ἀναλήψεως Χριστοῦ βοᾷ λέγων· Νυνὶ δὲ ἀνῆλθεν ὁ Χριστὸς ὀφθῆναι ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας. Διὰ ταύτην τὴν αἰτίαν λίαν εἰσὶ φιλάνθρωποι οἱ Ἅγιοι Ἄγγελοι, διὸ καὶ ὁ Κύριος ἔφη· «Χαρὰ γίνεται καὶ ἑορτὴ παρ' αὐτοῖς ἐν οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι». Ὅθεν καὶ ἑκάστῳ τῶν πιστῶν, ἡνίκα βαπτισθῇ, Ἄγγελος ὑπὸ Θεοῦ δίδοται φύλαξ καὶ ὁδηγός, καὶ διδάσκαλος. «Ὁρᾶτε γάρ, φησιν ὁ Κύριος πρὸς τοὺς Ἰουδαίους, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ· λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου ἐν τοῖς οὐρανοῖς».

Ὁ οὖν εἰς φυλακὴν τοῦ ἀνθρώπου δοθεὶς Ἄγγελος, ἐὰν εὕρῃ τὸν ἄνθρωπον, ὃν ἐνεπιστεύθη, ἀγαπῶντα τὸ ἀγαθόν, καὶ βιαζόμενον ἑαυτὸν κατὰ δύναμιν ποιῆσαι αὐτό, συνεργεῖ αὐτῷ, δυσωπῶν ὑπὲρ αὐτοῦ τὸν φιλάνθρωπον Θεόν, καὶ αἰτούμενος χαρίσασθαι αὐτῷ τὴν σωτηρίαν καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ δίδωσιν αὐτῷ ὁ Θεὸς τὴν αἴτησιν αὐτοῦ.

Εἰ γὰρ ἄνδρες δίκαιοι, ὡς εἶπον, αἰτησάμενοι τὸν Θεὸν πολλάκις ἔσωσαν ἁμαρτωλούς, πόσῳ γε μᾶλλον οἱ Ἅγιοι Ἄγγελοι τοῦτο ἰσχύουσι.

Μὴ τοίνυν κατακρίνωμεν ἄνθρωπον, κἂν προφανῶς αὐτὸν ἁμαρτάνοντα ἴδωμεν, ἀλλὰ μᾶλλον νουθετήσωμεν ἐν ταπεινώσει καὶ ὑπὲρ αὐτοῦ εὐξώμεθα· εἰ δὲ μὴ ἀρκεῖ τὰ ῥηθέντα εἰς πίστωσιν προσθήσωμεν καὶ ἕτερα.

Εἰπὲ γάρ μοι, ἀγαπητέ, τίς ἐπίστευσεν ἂν ὁρῶν Ῥαὰβ τὴν πόρνην ἐν Ἱεριχῷ προφανῶς πορνεύουσαν, ὅτι συνεχώρησεν αὐτὴν ὁ Θεὸς πάσας τὰς πορνείας αὐτῆς, καὶ ἐδικαίωσεν αὐτήν, διὰ τὴν ὑποδοχὴν τῶν κατασκόπων τοῦ Ἰσραήλ;

ἢ Τελώνην, τὸν ἅρπαγα καὶ ἄδικον τὸν μετὰ Φαρισαίου προσευχόμενον, ὅτι δι' ἑνὸς στεναγμοῦ ἱλεώσατο τὸν Θεόν, καὶ κατέβη δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ; ἢ τὸν Σαμψὼν τὸν διαχειρησάμενον ἑαυτόν, ὅτι ἐν τοῖς Ἁγίοις τὴν μερίδα ἔχει, καθὼς ὁ Παῦλος μαρτυρεῖ; ἢ τὸν Μανασσῆ τὸν ἐπὶ πεντήκοντα ἔτη καὶ δύο τοῖς εἰδώλοις λατρεύσαντα, καὶ ὅλον τὸν λαὸν τοῦ Ἰσραὴλ παρανομεῖν ποιήσαντα καὶ ἀποστήσαντα τοῦ Θεοῦ, τοῦτον τίς ἂν ἐνόμισεν ὅτι ἐν μιᾷ ὥρᾳ διὰ μικρᾶς προσευχῆς συγχωρήσεως ἔτυχε, καθὼς ἡ γραφὴ ἱστορεῖ; ἀποκλεισθεὶς γὰρ εἰς ζῴδιον χαλκοῦν ὑπὸ τοῦ βασιλέως τῶν Ἀσσυρίων, καὶ ἔνδον ὢν τοῦ ζῳδίου, προσηύξατο τῷ Θεῷ τὴν οἰκείαν προσευχήν, καὶ θείᾳ δυνάμει διεῤῥάγη τὸ ζῴδιον, καὶ μετήγαγεν αὐτὸν Ἄγγελος Κυρίου εἰς Ἱερουσαλήμ, ὡς διηγοῦνται οἱ ἱστοριογράφοι, καὶ ἔζησε λοιπὸν ἐν μετανοίᾳ. Καὶ ἵνα τὰ παλαιὰ παραδράμω, τοῦ Ἁγίου λῃστοῦ τοῦ ἐν τῷ σταυρῷ ἐπιμνησθείς, καταπαύσω τὸν λόγον. Ἆρα γὰρ εἰ κρυπτῶς ἐπράχθη τὸ ἐπ' αὐτῷ μυστήριον, ἐπίστευσεν ἂν ὅλως ἄνθρωπος τῶν ἐπὶ τῆς γῆς; ὅτι ἐκεῖνος ὁ μιαρός, ὁ πολλοὺς συλήσας καὶ ἀποκτείνας μικρούς τε καὶ μεγάλους, δικαίους τε καὶ ἀδίκους, ὁ καὶ ἄλλους τὴν λῃστρικὴν διδάξας παρανομίαν, οὗτος δι' ἑνὸς ῥήματος, ἐν τῷ τέλει τοῦ βίου ἐδικαιώθη, καὶ πρὸ πάντων τὸν παράδεισον ᾤκησε;

Ταῦτα οὐ μάτην μακρολογήσας διεξῆλθον, ἀλλ' εἰδὼς τὴν τῶν πολλῶν γλῶσσαν ὑπὲρ πᾶσαν μάχαιραν δίστομον ὀξεῖαν οὖσαν εἰς τὸ κατακρίνειν τὰ ἀλλότρια, οἵτινες κἂν μυρία ἀγαθὰ ἐν ἀνθρώπῳ ἴδωσι, θεάσωνται δέ τι καὶ ἐλάττωμα παρ' αὐτῷ ὡς ἀνθρώπῳ, οὐδεὶς γάρ φησιν ἀναμάρτητος, εἰμὴ μόνον ὁ Θεός, καταλιμπάνοντες καὶ παρορῶντες τὰ μυρία ἐκεῖνα κατορθώματα, ἐκεῖνο μόνον τὸ βραχὺ ἐλάττωμα διηνεκῶς φέρουσι καὶ πρὸς τοὺς λοιποὺς ἀνθρώπους διαφημίζουσιν, οἷς καὶ ἀξίως ἡ παρὰ Θεοῦ ἐλεύσεται τιμωρία, οὐ μόνον τῆς ἑαυτῶν ἕνεκα, ἀλλὰ καὶ τῆς τῶν ἄλλων βλάβης καὶ ἀπωλείας.

Ἑρμηνεία

Ἐρώτησις

ΚΑΤΑ ποῖον τρόπον θὰ δυνηθῶμεν νὰ μὴ κρίνωμεν τὸν ὀφθαλμοφανῶς ἁμαρτάνοντα;

Ἀπάντησις

Θὰ τὸ ἐπιτύχωμεν αὐτό, ἐφ' ὅσον θὰ ἐνθυμούμεθα, ὅτι ὁ Κύριος λέγει· «Μὴ κρίνετε ἵνα μὴ κριθῆτε», (Ματθ. ζ', 1), μὴ καταδικάζετε διὰ νὰ μὴ καταδικασθῆτε. Ἐπίσης νὰ ἐνθυμούμεθα καὶ τὸν Ἀπόστολον, ὁ ὁποῖος συμβουλεύει καὶ λέγει· «Ὁ δοκῶν ἑστᾶναι, βλεπέτω μὲ πέσῃ». (Α' Κορινθ. ι' 12). Εἰς ἄλλο δὲ πάλιν μέρος· «Πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις»· (Ρωμ. β', 1). Διότι οὐδεὶς γνωρίζει τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ πνεῦμα τὸ κατοικοῦν εἰς αὐτόν, ὅπως εἶπε ὁ Κύριος ἡμῶν.

Διότι πολλοὶ ἄνθρωποι, ἐνῷ ἁμαρτάνουν πολλὰς φορὰς ἐνώπιον τῶν ἀνθρώπων, μετὰ ἐξομολογοῦνται κρυπτῶς ἐνώπιον τοῦ Θεοῦ καὶ συγχωροῦνται ὑπ' Αὐτοῦ εὐαρεστοῦντες Αὐτὸν καὶ λαμβάνοντες Ἅγιον Πνεῦμα. Καὶ ἐκεῖνοι, ποὺ ἀπὸ ἡμᾶς θεωροῦνται ἁμαρτωλοί, διότι δὲν γνωρίζομεν τὴν μετάνοιάν των, ἔχουν δικαιωθῆ ἀπέναντι τοῦ Θεοῦ. Καὶ τοῦτο διότι ἡμεῖς οἱ ἄνθρωποι εἴδομεν μετὰ προσοχῆς τὴν ἁμαρτίαν, τὴν ὁποίαν διέπραξεν ὁ συνάνθρωπός μας, τὰς ἀγαθοεργίας ὅμως, τὰς ὁποίας κρυφίως ἐπετέλεσε, δὲν γνωρίζομεν. Δι' αὐτὸ δὲν πρέπει κα-

νένα νὰ κατακρίνωμεν, ἔστω καὶ ἐὰν μὲ τοὺς ὀφθαλμοὺς ἡμῶν τὸν ἀντελήφθημεν νὰ ἁμαρτάνῃ.

Μόλις ἀπομακρυνθῶμεν ἀπὸ τὸν ἁμαρτήσαντα δέκα βήματα, δὲν εἴμεθα εἰς θέσιν νὰ γνωρίζωμεν οὔτε τί ἔκαμε κρυφίως ὁ ἁμαρτωλός, ἀλλ' οὔτε τί ἐνήργησε δι' αὐτὸν ὁ Θεός. Ὁ Ἰούδας ὁ προδότης πρὸς τὸ βράδυ τῆς Μεγάλης Πέμπτης ἦτο μαζὶ μὲ τὸν Χριστὸν καὶ τοὺς μαθητάς, ἐνῷ ὁ λῃστὴς μὲ κακούργους καὶ δολοφόνους· καὶ ὅμως μόλις ἦλθεν ἡ Παρασκευὴ ὁ μὲν Ἰούδας ἐκολάσθη, διότι ἐπρόδωσε τὸν Κύριον, ἐνῷ ὁ λῃστής, διότι μετενόησεν ἐπὶ τοῦ Σταυροῦ, κατῴκησεν εἰς τὸν Παράδεισον μαζὶ μὲ τὸν Χριστόν.

Δι' αὐτὰς λοιπὸν τὰς αἰφνιδίους μεταβολὰς καλὸν εἶναι ὁ ἄνθρωπος νὰ μὴ κρίνῃ, μέχρις ὅτου ἔλθῃ ὁ Χριστός, ὁ ὁποῖος γνωρίζει καλῶς τὴν διάνοιαν καὶ τὰς σκέψεις τοῦ ἀνθρώπου καὶ ὡς καρδιογνώστης δὲν τοῦ διαφεύγει τίποτα ἀπὸ τὰ κρυφὰ τῶν καρδιῶν. Ἐκτὸς αὐτὸ ὅλην τὴν ἐξουσίαν τοῦ Δικαστοῦ παρεχώρησεν ὁ Πατὴρ εἰς τὸν Υἱόν, ὥστε ἐκεῖνος, ὅστις κρίνει τὸν πλησίον, νὰ ὑποκλέπτῃ τὸ ἀξίωμα τοῦ Δικαστοῦ καὶ νὰ καθίσταται τοιουτοτρόπως ἀντίχριστος. Ἄλλωστε μερικοὶ συγχωροῦνται ὑπὸ τοῦ Θεοῦ ἀφοῦ περιέπεσαν προηγουμένως εἰς πολλὰς θλίψεις καὶ ποικίλους πειρασμούς, χωρὶς ἡμεῖς νὰ γνωρίζωμεν αὐτό. Ἄλλοι πάλιν καθαρίζονται ἀπὸ τὴν ἁμαρτίαν διὰ μέσου σωματικῆς ἀσθενείας καὶ μακρᾶς νόσου. Μήπως δὲν λέγει εἰς τὴν Ἁγίαν Γραφήν, ὅτι «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με;» (Ψαλμ. ριζ' (117), 18). Δηλαδή, ὁ Κύριος μὲ διορθώνει ὡς καλὸς Παιδαγωγὸς μὲ διαφόρους θλίψεις, ἀλλ' ὅμως δὲν μὲ θανατώνει διὰ τοῦ αἰωνίου τῆς ἁμαρτίας θανάτου.

Σχετικῶς καὶ ὁ Ἀπόστολος λέγει· «Κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν» (Α' Κορινθ. ια', 32). Αὐτὸ ἔκανε καὶ διὰ τὸν πορνεύσαντα τῆς Κορίνθου, ὅπως μᾶς διηγεῖται ὁ Ἀπόστολος Παῦλος, παραχωρήσας νὰ παραδοθῇ αὐτὸς εἰς τὸν Σατανᾶν διὰ τὴν ὁλοσχερῆ τιμωρίαν τῆς ἁμαρτησάσης σαρκός, προκειμένου νὰ σωθῇ ἡ ψυχή του κατὰ τὴν ἡμέραν τῆς Δευτέρας Παρουσίας. Ἀπὸ τὸ περιστατικὸν αὐτὸ μανθάνομεν, ὅτι καὶ οἱ δαιμονιζόμενοι, ἐὰν ἀγογγύστως ὑπομείνωσι τὴν δοκιμασίαν των αὐτήν, σῴζονται μὲ αὐτὴν τὴν τιμωρίαν. Μερικοὶ ἄλλοι, ὅπως ὁ Ἐζεκίας, κατώρθωσαν μὲ τὰ θερμά των δάκρυα νὰ ἐκδυσωπήσουν τὸν Θεὸν καὶ νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὴν τιμωρίαν τῆς ἐπιθανατίου νόσου, εὐσπλαγχνιζόμενος αὐτοὺς ὁ Θεός.

Ἄλλοι πάλιν, χωρὶς νὰ τὸ γνωρίζουν οἱ ἄνθρωποι, ἀφοῦ συνεφιλιώθησαν μὲ τὸν Θεὸν καὶ ἐξετέλεσαν κανόνα μετανοίας, εἰς ὀλίγας ἡμέρας ἀναχωρήσαντες ἐκ τοῦ βίου τούτου ἐσώθησαν. Διότι ὁ ἄνθρωπος κρίνεται ὑπὸ τοῦ Θεοῦ εἰς οἱανδήποτε ψυχικὴν κατάστασιν θὰ εὑρεθῇ κατὰ τὴν στιγμὴν ἐκείνην, εἴτε καλὴν εἴτε κακήν. Τὴν ἀλήθειαν αὐτὴν διεκήρυξεν ὁ ἴδιος ὁ Θεὸς διὰ στόματος τοῦ Προφήτου Ἰεζε-

κιὴλ εἰπὼν μεταξὺ ἄλλων· Ἐὰν ποιήση ἄνθρωπος πάσας τὰς ἀδικίας, καὶ ἀποστραφεὶς ποιήσει δικαιοσύνην, δὲν θέλω ἐνθυμηθεῖ τὰς ἀνομίας αὐτοῦ διότι εἰς ὁποίαν κατάστασιν εὕρω αὐτόν, εἰς αὐτὴν καὶ θὰ τὸν κρίνω.

Ὑπάρχουν καὶ μερικοί, οἱ ὁποῖοι συνεχωρήθησαν ἀπὸ τὰς ἁμαρτίας των, διότι προσηυχήθησαν ὑπὲρ αὐτῶν δίκαιοι καὶ εὐσεβεῖς ἄνδρες· ὁ Θεὸς πάντοτε πραγματοποιεῖ τὰς εὐσεβεῖς ἐπιθυμίας ὅσων σέβονται αὐτόν. Αὐτὸ ἀποδεικνύεται ἀπὸ τὴν Ἁγίαν Γραφήν· ὁ Ἀαρὼν συνεχωρήθη διὰ τὴν ἁμαρτίαν τῆς κατασκευῆς τοῦ χρυσοῦ μόσχου ἐν Χωρὴβ διὰ νὰ τὸν προσκυνήσουν ὡς εἴδωλον οἱ Ἑβραῖοι, ἐπειδὴ προσηυχήθη δι' αὐτὸν ὁ Μωϋσῆς. Ἀλλὰ καὶ ἡ ἀδελφή του ἡ Μαριὰμ ἐκαθαρίσθη ἀπὸ τὴν λέπραν, διότι ὁ Μωϋσῆς παρεκάλεσε τὸν Θεὸν δι' αὐτήν. Καὶ ὁ Ναβουχοδονόσωρ χάρις εἰς τὴν προσευχὴν τοῦ Προφήτου Δανιὴλ ἐφείλκυσε τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ.

Πολλὰς φορὰς καὶ οἱ Ἅγιοι Ἄγγελοι δύνανται νὰ ζητήσουν κάτι ἀπὸ τὸν Θεόν, τὴν σωτηρίαν διαφόρων ἀνθρώπων, διότι εἶναι εἰλικρινεῖς ὑπηρέται τοῦ Θεοῦ καὶ ἔχουν ἀπέναντί Του θάρρος, ἐπειδὴ ποτὲ δὲν ἁμαρτάνουν ἐνώπιόν του. Καὶ ὁ Θεός, ὁ ὁποῖος ἡμέραν καὶ νύκτα λατρεύεται ἀπὸ αὐτοὺς καὶ εὐχαριστεῖται, ἱκανοποιεῖ ἀμέσως τὴν ἐπιθυμίαν των καὶ πραγματοποιεῖ τὰ αἰτήματά των.

Συμβαίνει δηλαδὴ μὲ τοὺς Ἁγίους Ἀγγέλους ὅ,τι ἀκριβῶς καὶ εἰς τοὺς εἰλικρινεῖς φίλους τῶν ἐπιγείων βασιλέων, ποὺ ἀπὸ ἀγάπην πρὸς αὐτούς, χαρίζουν τὴν ζωὴν εἰς ὅσους καταδίκους ἐκεῖνοι τὸν παρακαλέσουν. Οἱ Ἅγιοι Ἄγγελοι ἀγαποῦν πάρα πολὺ τοὺς ἀνθρώπους καὶ συμπαθοῦν τὸ γένος μας, ἐπειδὴ καὶ ὁ ἀπερίγραπτος Θεὸς Λόγος ἔγινεν ἄνθρωπος καὶ τοιουτοτρόπως ἠξιώθησαν νὰ τὸν ἴδουν, ὅπως ἀπὸ καταβολῆς κόσμου ἐπεθύμουν. Αὐτὸ δὲ τὸ ἐπιβεβαιώνουν μὲ τὴν διδασκαλίαν τους οἱ κορυφαῖοι Πέτρος καὶ Παῦλος· καὶ ὁ μὲν Πέτρος λέγει, ὅτι ὁ Θεὸς ἐχάρισεν εἰς ἡμᾶς τοιαῦτα ἀγαθά, τὰ ὁποῖα οἱ Ἅγιοι Ἄγγελοι ἐπιθυμοῦν ἀμυδρῶς μόνον νὰ ἴδουν· δηλαδὴ νὰ ἴδουν τόσον μεγαλοπρεπῶς τὸν Θεόν, τὸν ὁποῖον ἡμεῖς ἠξιώθημεν νὰ ἴδωμεν πρὸ τῶν Ἀγγέλων, ἀπὸ τὴν στιγμὴν τῆς διὰ σαρκὸς Γεννήσεώς του. Ὁ δὲ Παῦλος ἀναφερόμενος εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου διακηρύσσει μὲ ἐνθουσιασμόν· τώρα μόλις ἀνῆλθεν ὁ Χριστὸς εἰς τοὺς οὐρανούς, διὰ νὰ τὸν ἴδουν αἱ Ἀρχαὶ καὶ αἱ Ἐξουσίαι διὰ μέσου τῆς Ἐκκλησίας. Ἐξ αἰτίας λοιπὸν αὐτῆς τῆς προσφορᾶς τοῦ ἀνθρωπίνου γένους οἱ Ἅγιοι Ἄγγελοι ἀγαποῦν πάρα πολὺ τοὺς ἀνθρώπους. Δι' αὐτὸ καὶ ὁ Χριστὸς λέγει· «Χαρὰ ἔσται ἐν τῷ οὐρανῷ, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι». (Λουκ. ιε' 7). Εἰς ἕκαστον ἀπὸ τοὺς πιστούς, μόλις βαπτισθῇ, δίδεται ἀπὸ τὸν Θεὸν ἕνας Ἄγγελος ὡς φύλαξ αὐτοῦ ὁδηγὸς καὶ διδάσκαλος. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Κύριος εἶπε πρὸς τοὺς Ἰουδαίους· «Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων (τῶν πιστευόντων εἰς ἐμέ), λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν ἐν οὐρα-

νοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς». (Ματθ. ιη', 10) Ὁ Ἄγγελος λοιπόν, ὁ ὁποῖος ἐδόθη ὑπὸ τοῦ Θεοῦ διὰ νὰ περιφρουρῇ τὸν ἄνθρωπον, ἐὰν ἀντιληφθῇ, ὅτι αὐτὸς ποὺ τοῦ ἐνεπιστεύθη ὁ Θεὸς ἀγαπᾷ τὸ ἀγαθὸν καὶ καταβάλλει σκληρὰν προσπάθειαν νὰ τὸ πραγματοποιήσῃ, τὸν βοηθεῖ καὶ παρακαλεῖ χάριν αὐτοῦ τὸν Θεόν, ὥστε ἀφοῦ τοῦ συγχωρήσῃ τὰς ἁμαρτίας, νὰ τὸν σώσῃ· καὶ ὁ φιλάνθρωπος Θεὸς εὐχαρίστως πραγματοποιεῖ τὴν αἴτησιν αὐτὴν τοῦ Ἀγγέλου.

Διότι, ὅπως εἶπον προηγουμένως, πολλὰς φορὰς ἄνδρες δίκαιοι καὶ εὐσεβεῖς ἐζήτησαν ἀπὸ τὸν Θεὸν τὴν συγχώρησιν τῶν ἁμαρτωλῶν καὶ τὸ ἐπέτυχον· δὲν ἔχουν λοιπὸν τὴν δύναμιν νὰ ἐπιτύχουν αὐτὸ οἱ Ἅγιοι Ἄγγελοι;

Ἂς μὴ κατακρίνωμεν λοιπὸν κανένα ἄνθρωπον, ἔστω καὶ ἐὰν τὸν ἴδωμεν νὰ ἁμαρτάνῃ ὀφθαλμοφανῶς· εἶναι προτιμότερον μὲ ταπείνωσιν νὰ συμβουλεύσωμεν αὐτὸν καὶ νὰ προσευχηθῶμεν χάριν αὐτοῦ. Ἐὰν δὲ ὅσα ἐλέχθησαν ἀνωτέρω δὲν θεωροῦνται ἀρκετὰ νὰ πείσουν τὸν ἀναγνώστην διὰ τὴν ὑπόθεσιν αὐτήν, θὰ ἀναφέρωμεν ἀκόμη καὶ ἄλλα.

Εἰπέ μου σὲ παρακαλῶ· ποῖος, ὅταν θὰ ἔβλεπεν εἰς τὴν Ἱεριχὼ τὴν Ῥαὰβ τὴν πόρνην νὰ ἁμαρτάνῃ ἀπροσχηματίστως, θὰ ἐπίστευεν ὅτι ὁ Θεὸς τὴν συνεχώρησε δι' ὅλας τὰς ἁμαρτίας της καὶ τὴν ἐδικαίωσεν, διότι ὑπεδέχθη καὶ ἐβοήθησε τοὺς κατασκόπους τοῦ Ἰσραήλ; Ἢ ποῖος θὰ ἠδύνανο νὰ φαντασθῇ, ὅτι ὁ ἄδικος καὶ κλέπτης Τελώνης, ποὺ προσηυχήθη μαζὶ μὲ τὸν Φαρισαῖον εἰς τὸν Ναόν, κατεπράϋνε τὴν δικαίαν κατ' αὐτοῦ ὀργὴν τοῦ Θεοῦ καὶ συνεχωρήθη ἀναχωρήσας ἐξηγνισμένος ἀπὸ τὰς ἁμαρτίας εἰς τὴν οἰκίαν του, ἐξ ἀφορμῆς ἑνὸς εἰλικρινοῦς καὶ βαθυτάτου στεναγμοῦ πρὸς τὸν Θεόν; Ἀλλὰ μήπως λησμονεῖ κανείς, ὅτι ὁ Σαμψών, παρ' ὅλον ὅτι ηὐτοκτόνησεν, ἐν τούτοις εὑρίσκεται μεταξὺ τῶν Ἁγίων, ὅπως ἐπιβεβαιώνει ὁ Παῦλος; Δὲν εἶναι ἄραγε σπουδαία καὶ ἀξιομνημόνευτος ἡ περίπτωσις τοῦ Μανασσῆ, ὁ ὁποῖος καίτοι ἐλάτρευεν εἰς τὰ εἴδωλα πενῆντα δύο ἔτη καὶ τοιουτοτρόπως ἔγινεν ἀφορμὴ νὰ παρανομήσῃ καὶ νὰ ἀποστατήσῃ ὁ Ἰσραηλιτικὸς λαός, μέσα εἰς μίαν ὥραν διὰ μιᾶς μικρᾶς εἰλικρινοῦς προσευχῆς συνεχωρήθη ἀπὸ τὸν Θεόν, ὅπως διηγεῖται ἡ Ἁγία Γραφή; Ὅπως εἶναι γνωστὸν ἀπὸ τὰς ἀφηγήσεις τῶν ἱστορικῶν τῆς Ἁγίας Γραφῆς, ὁ βασιλεὺς τῶν Ἀσσυρίων περιώρισε τὸν Μανασσῆ εἰς χάλκινον ὁμοίωμα ζῴου· εὑρισκόμενος λοιπὸν εἰς τὸν φρικτὸν αὐτὸν περιορισμὸν προσηυχήθη μὲ πόνον ψυχῆς εἰς τὸν Θεὸν καὶ ἀπηύθυνε τὴν γνωστὴν ἐκείνην ἰδικήν του προσευχήν· καί, ὢ τοῦ θαύματος! μὲ τὴν δύναμιν τοῦ Θεοῦ ἔσπασε τὸ χάλκινον ὁμοίωμα τοῦ ζῴου καὶ ὡδήγησεν αὐτὸν Ἄγγελος Κυρίου εἰς Ἱεροσόλυμα, ὅπου ἔζησε τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς του ἐν μετανοίᾳ. Καὶ διὰ νὰ ἀφήσω τὰ παλαιὰ παραδείγματα, ὑπενθυμίζω τὴν περίπτωσιν τοῦ Ἁγίου λῃστοῦ εἰς τὸν Σταυρόν, ὁ ὁποῖος

ἐσώθη εἰς μίαν στιγμὴν εἰλικρινοῦς μετανοίας. Μὲ τὸ παράδειγμα δὲ αὐτὸ θὰ σταματήσω τὸν λόγον.

Κανεὶς ἄνθρωπος ἀπὸ ὅσους εὑρίσκονται εἰς τὴν γῆν δὲν θὰ ἠδύνατο νὰ πιστεύσῃ εἰς τὴν μεταστροφὴν τοῦ λῃστοῦ, ἐφ' ὅσον τὸ μυστήριον τῆς μετανοίας ἐπραγματοποιήθη κατὰ τρόπον κρυπτὸν καὶ ἀθόρυβον!

Πῶς εἶναι δυνατόν, θὰ διηρωτῶντο, ἐκεῖνος ὁ ἀπαίσιος, ποὺ ἐλῄστευσε πολλοὺς καὶ ἐφόνευσε μικροὺς καὶ μεγάλους, δικαίους καὶ ἀδίκους, αὐτὸς ποὺ ἐδίδαξε καὶ ἄλλους νὰ παρανομοῦν καὶ νὰ εἶναι λῃσταί, πῶς εἶναι δυνατὸν ἕνας τοιοῦτος ἄνθρωπος μὲ μίαν μόνον φράσιν, τὸ «Μνήσθητί μου, Κύριε» (Λουκ. κγ', 42), νὰ δικαιωθῇ εἰς τὸ τέλος τῆς ζωῆς του, νὰ σωθῇ ὑπὸ τοῦ Θεοῦ, καί, τὸ κυριώτερον, νὰ γίνῃ ὁ πρῶτος οἰκιστὴς τοῦ Παραδείσου;

Ὅλα αὐτά, ποὺ ἀνέφερα, ἐπεκταθεὶς μάλιστα εἰς τὴν ἀφήγησίν μου, τὰ ἀνέφερα, διότι γνωρίζω πάρα πολὺ καλὰ ὅτι ἡ γλῶσσα πολλῶν ἀνθρώπων, ὅταν κατακρίνῃ τοὺς ἄλλους, εἶναι περισσότερον κοφτερὴ ἀπὸ κάθε ἄλλη δίστομον μάχαιραν. Αὐτοὶ οἱ ἄνθρωποι, καὶ ἐὰν ἀκόμη ἰδοῦν ἄπειρα καλὰ νὰ κάνῃ ἕνας ἄνθρωπος, μόλις ἀντιληφθοῦν ἕνα ἐλάττωμα εἰς τὸν χαρακτῆρά του (διότι κανεὶς δὲν εἶναι ἀναμάρτητος, παρὰ μόνον ὁ Θεὸς) ἀμέσως λησμονοῦν καὶ παραβλέπουν ὅλα τὰ ἄλλα κατορθώματά του, καὶ ἐκεῖνο τὸ παραμικρὸν ἐλάττωμα πάντοτε παρουσιάζουν καὶ μὲ χαιρεκακίαν τὸν διαπομπεύουν μεταξὺ τῶν ἀνθρώπων. Εἰς τὰς κεφαλὰς λοιπὸν τῶν ἀνθρώπων αὐτῶν, τῶν συκοφαντῶν καὶ κατηγόρων, δικαίως θὰ ἐκσπάσῃ ἡ τιμωρία τοῦ Θεοῦ, ὄχι μόνον ἐξ ἀφορμῆς τῶν ἰδικῶν των ἁμαρτιῶν, ἀλλὰ καὶ διότι μὲ τὴν κατάκρισιν καὶ τὴν συκοφαντίαν των πολλοὺς παρέβλαψαν ψυχικῶς καὶ κατέστρεψαν.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου

ΟΥΚ ἔστι φρῖξαι καὶ ἐκπλαγῆναι καὶ ἐκστῆναι τῇ διανοίᾳ, ὅτι ὁ μὲν Θεὸς καὶ Πατὴρ κρίνει οὐδένα, πᾶσαν δὲ τὴν κρίσιν δέδωκε τῷ Υἱῷ; Ὁ δὲ Υἱὸς αὐτοῦ κράζει· μὴ κρίνετε, ἵνα μὴ κριθῆτε; Ὁ δὲ Παῦλος ὁμοίως, μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος. καὶ ἐν ᾧ κρίματι κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις; Οἱ δὲ ἄνθρωποι ἀφέντες τὰς ἑαυτῶν ἁμαρτίας, ἦραν τὴν κρίσιν ἀπὸ τοῦ Υἱοῦ, καὶ καταδικάζουσιν αὐτούς; Καὶ ὁ μὲν οὐρανὸς ἐξέστη ἐπὶ τοῦτο, ἡ γῆ δὲ ἔφριξεν, αὐτοὶ δὲ οὐκ αἰσχύνονται ἀναισθητοῦντες.

Ἑρμηνεία

ΕΙΝΑΙ δυνατὸν νὰ μὴ φρίξῃς, νὰ μὴ καταπλαγῇς, νὰ μὴ σαλεύσῃ τὸ μυαλό σου, ὅταν σκεφθῇς, ὅτι ὁ Θεὸς καὶ Πατὴρ κανένα δὲν κρίνει, ἀλλὰ παρεχώρησε τὴν ἐξουσίαν τοῦ κριτοῦ εἰς τὸν Υἱόν; ὁ Υἱὸς πάλιν κραυγάζει πρὸς τοὺς ἀνθρώπους· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» (Ματθ. ζ', 1)· τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Ἀπόστολος Παῦλος παρομοίως τονίζει· «Μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος» (Α' Κορινθ. δ', 5)· καὶ «Ἐν ᾧ κρίματι κρίνεις τὸν

ἕτερον, σεαυτὸν κατακρίνεις» (Ρωμ. β', 1) καὶ ὅλως ἀντιθέτως πρὸς τὴν ἐνέργειαν τοῦ Πατρός, τὴν ἐντολὴν τοῦ Υἱοῦ καὶ τὴν γνώμην τοῦ Ἀποστόλου Παύλου, οἱ ἄνθρωποι, ἐγκαταλείψαντες τὰς ἁμαρτίας των, ὑπέκλεψαν τὴν ἐξουσίαν τοῦ Κριτοῦ ἀπὸ τὸν Υἱόν, καί, ὡς ἀναμάρτητοι δῆθεν, δικάζουν καὶ καταδικάζουν τοὺς συνανθρώπους των!!!

Διὰ τὸ θράσος αὐτὸ ὁ οὐρανὸς ἐξέστη, ἡ γῆ ἔφριξε, αὐτοὶ ὅμως οἱ κατάλαλοι καὶ συκοφάνται παραμένουν ἀναίσθητοι καὶ δὲν ἐντρέπονται.

Η'. Ἐν τῷ Γεροντικῷ

ΓΕΡΟΝΤΟΣ τινος πλησίον ᾤκει ἀδελφὸς ἀμελέστερος, μικρὸν ἐν τῇ ἀσκήσει ὑπάρχων· τούτῳ μέλλοντι ἀποθνήσκειν παρεκάθηντό τινες τῶν ἀδελφῶν, καὶ θεωρῶν αὐτὸν ὁ γέρων ἱλαρῶς καὶ μετὰ χαρᾶς ἐκδημοῦντα τοῦ σώματος, βουλόμενος οἰκοδομῆσαι τοὺς παρακαθημένους ἀδελφούς, λέγει αὐτῷ· «Ἀδελφέ, πάντες γινώσκομεν, ὅτι οὐ πάνυ σπουδαίως ἐγένου εἰς τὴν ἄσκησιν, καὶ πόθεν οὕτω προθύμως πορεύῃ;» καὶ ἀπεκρίθη ὁ ἀδελφός· «Πίστευσον, Πάτερ, ἀλήθειαν λέγεις· πλὴν ἀφ' ἧς ἐγενόμην Μοναχός, οὐκ οἶδα ὅτι ἔκρινα ἄνθρωπον, ἢ ἐμνησικάκησά τινί, ἀλλ' εἴ ποτε συνέβη διαφορά πρός τινα, τῇ αὐτῇ ὥρᾳ διηλασσόμην αὐτῷ. Βούλομαι οὖν εἰπεῖν τῷ Θεῷ· Δέσποτα, σὺ εἶπας μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε· καὶ ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν·» Ἔφη οὖν αὐτῷ ὁ γέρων· «Εἰρήνη σοι, τέκνον, ὅτι καὶ δίχα κόπου ἐσώθης».

2. Ὁ Ἀββᾶς Ἀγάθων ὅτ' ἔβλεπε πρᾶγμα, ἤτοι σφάλμα παρά τινος γενόμενον, καὶ ἤθελεν ὁ λογισμὸς αὐτοῦ κατακρῖναι, ἔλεγεν ἑαυτῷ· «Ἀγάθων, πρόσεχε σὺ μὴ ποιήσῃς αὐτό»· καὶ οὕτως ὁ λογισμὸς αὐτοῦ ἡσύχαζεν.

3. Εἶπε ποτὲ τῷ Ἀββᾷ Ἀμμωνᾷ ὁ Ἀββᾶς Ἀντώνιος προφητεύων, ὅτι ἔχεις προκόψαι εἰς τὸν φόβον τοῦ Θεοῦ· ἐξήγαγε δὲ αὐτὸν ἔξω τοῦ κελλίου, καὶ δείξας αὐτῷ λίθον, εἶπεν· «Ὕβρισον τοῦτον καὶ τύψον αὐτόν». Ὁ δὲ ἐποίησεν οὕτως. Καὶ λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀντώνιος· οὕτω καὶ σὺ καταλαβεῖν μέλλεις τὸ μέτρον τοῦτο. Ὃ καὶ ἐγένετο. Ἐπὶ τοσαύτην γὰρ ἀνεξικακίαν καὶ ἀγαθότητα ὁ Ἀββᾶς Ἀμμωνᾶς προέκοψεν, ὡς καὶ ἀγνοῆσαι ὅλως τὴν κακίαν. Καὶ γὰρ γενομένῳ αὐτῷ Ἐπισκόπῳ, προσήνεγκάν τινα παρθένον διαφθαρεῖσαν ὑπό τινος καὶ λαβοῦσαν ἐν γαστρί, ἅμα δὲ καὶ τὸν αὐτὴν διαφθείραντα, καὶ λέγουσι τῷ Ἐπισκόπῳ· Δὸς αὐτοῖς ἐπιτίμιον. Ὁ δὲ σφραγίσας τὴν κοιλίαν τῆς γυναικός, ἐκέλευσε δοθῆναι αὐτῇ ἓξ ζυγὰς σινδονίων, εἰπών· «Μήποτε, ὡς ἀπέρχεται γεννῆσαι, ἀποθάνῃ, ἢ αὐτὴ ἢ τὸ παιδίον, καὶ οὐ μὴ εὕρῃ κηδευθῆναι». Οἱ δὲ κατ' αὐτῆς ἐντυχόντες, ἰδόντες τὸ γεγονός, λέγουσιν αὐτῷ· «Τί τοῦτο ἐποίησας; δὸς αὐτοῖς ἐπιτιμίαν»· ὁ δὲ ἔφη αὐτοῖς· «Βλέπετε, ἀδελφοί, ὅτι ἐγγύς ἐστι τοῦ θανάτου· καὶ τί ἔχω ἐγὼ ποιῆσαι;» καὶ τοῦτο εἰπὼν ἀπέλυσεν αὐτήν, καὶ οὐκ ἐτόλμησεν ὁ γέρων κρῖναι αὐτήν.

4. Ὁ αὐτὸς ἦλθε ποτὲ εἴς τινα τόπον γεύσασθαι, καὶ ἦν τις ἐκεῖ ἀδελφὸς ἔχων φήμην κακήν, ἤγουν πόρνου· συνέβη δὲ τότε καὶ τὴν γυναῖκα μεθ' ἧς ὁ ἀδελφὸς ἔπασχε παρεῖναι ἐν τῷ κελλίῳ αὐτοῦ. Οἱ οὖν ἐν τῷ τόπῳ ἐκείνῳ οἰκοῦντες, γνόντες οὖσαν τὴν γυναῖκα ἐν τῷ κελλίῳ τοῦ ἀδελφοῦ, ὥρμησαν διῶξαι αὐτὸν ἐκ τοῦ κελλίου αὐτοῦ· μαθόντες δὲ ὅτι ὁ Ἐπίσκοπος Ἀμμωνᾶς πλησίον αὐτῶν ἐστιν, ἐλθόντες παρεκάλεσαν αὐτόν, ὅπως παραγένηται σὺν αὐτοῖς, καὶ ἐνώπιον αὐτοῦ ἐλεγχθέντος τοῦ ἀδελφοῦ, ἐκδιώξωσιν αὐτόν. Ὁ δὲ ἀδελφὸς νοήσας, προλαβὼν ἔκρυψε τὴν γυναῖκα εἰς πίθον μέγαν, τὴν ὀπὴν κατὰ τὸ ἄνω μέρος

έχοντα. Έγνω δὲ ὁ Ἀββᾶς Ἀμμωνᾶς ὃ ἐποίησεν ὁ ἀδελφός, καὶ ὡς παραγενόμενος εἰσῆλθεν εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ, ἐκάθισεν ἐπάνω τοῦ πίθου, καὶ ἐκέλευσε ζητηθῆναι τὸ κελλίον, ἤτοι ἐρευνηθῆναι περὶ τῆς γυναικός.

Ὡς οὖν ψηλαφήσαντες ἀκριβῶς πανταχοῦ καὶ οὐχ εὑρέθη ἡ γυνή, εἶπεν αὐτοῖς ὁ Ἀββᾶς Ἀμμωνᾶς· Ὁ Θεὸς συγχωρῆσαι ἡμῖν· καὶ εὐξάμενος ἐποίησε πάντας ἀναχωρῆσαι. Εἶτα κατασχὼν τὴν χεῖρα τοῦ ἀδελφοῦ, ἔφη αὐτῷ· «Πρόσεχε σεαυτῷ ἀδελφέ»· καὶ τοῦτο εἰπὼν ἀπῆλθεν.

5. Ἀδελφός τις ἁμαρτήσας, ἐχωρίζετο τῆς ἀδελφότητος ὑπὸ τοῦ Πρεσβυτέρου, ἀναστὰς δὲ ὁ Ἀββᾶς Βησσαρίων συνεξῆλθεν αὐτῷ, λέγων, ὅτι κἀγὼ ἁμαρτωλός εἰμι.

6. Εἶπεν ὁ Ἀββᾶς Ἡσαΐας· «Ἐὰν ἔλθῃ σοι λογισμὸς τοῦ κρῖναι τὸν πλησίον ἐπί τινι ἁμαρτήματι, πρῶτον λογίζου καθ' ἑαυτόν, ὅτι πλεῖον ἁμαρτωλὸς ὑπάρχεις, καὶ ἃ νομίζεις πράττειν καλά, μὴ πίστευε ὅτι ἤρεσαν τῷ Θεῷ, καὶ οὐ τολμήσεις κρῖναι τὸν πλησίον».

7. Εἶπε πάλιν· «Τὸ μὴ κρῖναι τὸν πλησίον, καὶ τὸ ἐξουθενεῖν ἑαυτόν, τρόπος ἐστὶν ἀναπαύσεως τῆς συνειδήσεως».

8. Γέρων τις εἶδε τινὰ ἀδελφὸν συμφθειρόμενον τινί, καὶ οὐκ ἤλεγξεν αὐτόν, εἰπὼν πρὸς ἑαυτόν· «Εἰ ὁ Θεὸς ὁ πλάσας αὐτοὺς βλέπων οὐ καίει αὐτούς, ἐγὼ τίς εἰμι ἵνα ἐλέγξω αὐτούς;».

9. Παρέβαλεν ὁ Ἀββᾶς Ἰσαὰκ ὁ Θηβαῖος εἰς Κοινόβιον, καὶ ἰδὼν ἀδελφὸν σφαλέντα, κατέκρινεν αὐτόν. Εἶτα ἀναχωρήσας τοῦ Κοινοβίου, ἐξῆλθε πάλιν εἰς τὴν ἔρημον. Ἄγγελος Κυρίου ἐλθὼν ἔστη ἔμπροσθεν τῆς θύρας τοῦ κελλίου αὐτοῦ καὶ οὐ συνεχώρει αὐτῷ εἰσελθεῖν. Ὁ δὲ γέρων παρεκάλει λέγων· τί ἐστι τὸ πρᾶγμα, ἢ τὸ αἴτιον; καὶ φησὶν ὁ Ἄγγελος πρὸς αὐτόν· «Ὁ Θεὸς ἀπέστειλέ με λέγων σοι· ποῦ κελεύεις βάλω τὸν σφαλέντα ἀδελφόν, ὃν ἔκρινας;» καὶ ἀκούσας ὁ γέρων μετενόησεν εὐθὺς λέγων· «Ἡμάρτηκα, συγχώρησόν μοι»· καὶ εἶπεν ὁ Ἄγγελος. «Ἔγειραι. Συνεχώρησέ σοι ὁ Θεός. Φύλαξε δὲ τοῦ λοιποῦ μὴ κρῖναι τινά, ἕως οὗ ἔλθῃ ὁ Κύριος».

10. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μακαρίου τοῦ Μεγάλου, ὅτι γέγονε, καθὼς ἐστι γεγραμμένον, Θεὸς ἐπίγειος· ὥσπερ γάρ ἐστιν ὁ Θεὸς σκέπων τὸν κόσμον, οὕτω καὶ ὁ Ἀββᾶς Μακάριος σκέπων ἦν τὰ ἐλαττώματα [τῶν ἀνθρώπων] ἃ ἔβλεπεν, ὡς μὴ βλέπων, καὶ ἃ ἤκουεν, ὡς μὴ ἀκούων.

11. Ἀδελφὸς ἐσφάλη ποτὲ εἰς Σκῆτιν, καὶ γενομένου συνεδρίου, ἀπέστειλαν πρὸς τὸν Ἀββᾶν Μωϋσῆν. Ὁ δὲ οὐκ ἤθελεν ἐλθεῖν. Πάλιν ἀπέστειλεν ὁ Πρεσβύτερος πρὸς αὐτὸν λέγων· «Ἐλθέ, ὅτι σὲ ὁ λαὸς περιμένει». Ὁ δὲ ἀναστὰς καὶ λαβὼν σπυρίδα τετριμμένην καὶ γεμίσας ἄμμου ἐβάσταζε καὶ οὕτως ἦλθεν. Οἱ οὖν Πατέρες ἐξελθόντες εἰς ἀπάντησιν αὐτοῦ καὶ ἰδόντες αὐτὸν σπυρίδα ἐπὶ τοῦ ὤμου βαστάζοντα, ἠρώτησαν αὐτὸν λέγοντες. «Τί ἐστι τοῦτο, Πάτερ;» καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων· «Αἱ ἁμαρτίαι μού εἰσιν ὀπίσω μου καταρρέουσαι, καὶ οὐ βλέπω αὐτάς, καὶ ἦλθον ἐγὼ σήμερον ἁμαρτήματα κρῖναι ἀλλότρια». Οἱ δὲ ἀκούσαντες, οὐδὲν ἐλάλησαν τῷ ἀδελφῷ, συγχωρήσαντες αὐτῷ.

12. Ὁ αὐτὸς εἶπεν· «Ὅτι ὀφείλει ὁ ἄνθρωπος ἀποθανεῖν ἀπὸ παντὸς ἀνθρώπου, τοῦ μὴ κρῖναι τινὰ ἔν τινι. Ὅτε γὰρ ἡ χεὶρ Κυρίου ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου οὐκ ἦν οἶκος, ἐν ᾧ οὐκ ἦν τεθνηκώς». Λέγει αὐτῷ τις ἀδελφός· «Τίς ἐστιν οὗτος ὁ λόγος, Πάτερ;» καὶ ἀπεκρίθη ὁ γέρων· «Ὅτι ἐὰν ἐάσωσιν ἡμᾶς ἰδεῖν τὰς ἁμαρτίας ἡμῶν, οὐ μὴ ἴδωμεν τὰς ἁμαρτίας τοῦ πλησίον

ἡμῶν. Μωρία γάρ ἐστιν ἀνθρώπῳ ἔχοντι τὸν ἑαυτοῦ νεκρόν, ἀφεῖναι αὐτόν, καὶ ἀπελθεῖν κλαῦσαι τὸν τοῦ πλησίον· τὸ δὲ ἀποθανεῖν ἀπὸ τοῦ πλησίον, τοῦτο ἐστί, τὸ βαστάσαι σου τὰς ἁμαρτίας, καὶ ἀμεριμνεῖν ἀπὸ παντὸς ἀνθρώπου τοῦ μὴ εἰπεῖν· Οὗτος κακός· καὶ μὴ ποιῆσαι κακὸν μηδενὶ ἀνθρώπῳ· καὶ μὴ λογίζεσθαι πονηρὸν ἐν τῇ καρδίᾳ τινά· μηδ' ἐξουθενῶσαι τινά, ποιοῦντα κακόν· μηδὲ πεισθῆναι τῷ κακοποιοῦντι τῷ πλησίον αὐτοῦ, ἢ συγχαρῆναι αὐτῷ. Ὁμοίως δὲ καὶ τῷ καταλαλοῦντι, μηδὲ ἔχειν ἔχθραν μετά τινος ἀνθρώπου, ἢ μισῆσαι τινά, καὶ αὕτη ἐστὶν ἡ εἰρήνη· ἐν τούτοις ἑαυτόν, ἀδελφέ, παρακάλει καὶ ἀσφάλιζε, εἰδὼς ὅτι πρὸς ὀλίγον χρόνον ὁ κάματος καὶ εἰς ἀεὶ ἡ ἀνάπαυσις».

13. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· «Εἰπέ μοι πῶς γένωμαι Μοναχός;» καὶ ἀπεκρίθη ὁ γέρων· «Εἰ θέλεις εὑρεῖν ἀνάπαυσιν καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι αἰῶνι, ἐπὶ παντὶ πράγματι, λέγε· ἐγὼ τίς εἰμί; καὶ μὴ κρίνε τινά».

14. Ἤκουσέ ποτε ὁ Πρεσβύτερος τοῦ Πηλουσίου περί τινων ἀδελφῶν, ὅτι συνεχῶς εἰς τὴν πόλιν ἀπέρχονται, καὶ λούονται καὶ ἀμελοῦσιν ἑαυτῶν. Καὶ ὡς ἦλθον εἰς τὴν σύναξιν, ἦρεν ἀπ' αὐτῶν τὸ σχῆμα. Μετὰ δὲ τοῦτο ἔνυψεν αὐτὸν ἡ συνείδησις αὐτοῦ, καὶ μετημελήθη καὶ ἦλθε πρὸς τὸν Ἀββᾶν Ποιμένα μεθύων τοῖς λογισμοῖς, βαστάζων καὶ τοὺς λεβήτονας τῶν ἀδελφῶν, καὶ ἀναγγέλλει τὸ πρᾶγμα τῷ γέροντι. Καὶ εἶπεν αὐτῷ ὁ γέρων· Οὐκ ἔχεις σὺ τίποτε τοῦ παλαιοῦ ἀνθρώπου; Καὶ λέγει αὐτῷ ὁ γέρων ὅμοιον τοῦ Ἀποστόλου. «Ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις, τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων· ἰδοὺ οὖν καὶ σὺ ὡς οἱ ἀδελφοί, εἰ γὰρ καὶ μικρὸν μετέχεις τῆς παλαιότητος, ὑπόκεισαι πάντως τῇ ἁμαρτίᾳ». Ὑποστρέψας οὖν ὁ Πρεσβύτερος ἐκάλεσε τοὺς ἀδελφούς, ἕνδεκα ὄντας, καὶ μετενόησεν αὐτοῖς, καὶ ἐνδύσας αὐτοὺς τὸ Μοναχικὸν σχῆμα πάλιν, ἀπέλυσεν.

15. Ἠρώτησεν ἀδελφὸς τὸν Ἀββᾶν Ποιμένα λέγων· Ἐὰν ἴδω πταῖσμα τοῦ ἀδελφοῦ μου, καλόν ἐστι σκεπάσαι αὐτό; Καὶ ἀπεκρίθη ὁ γέρων· Ἐν ᾗ ἂν ὥρᾳ σκεπάσωμεν τὸ τοῦ ἀδελφοῦ ἡμῶν πταῖσμα καὶ ὁ Θεὸς σκεπάζει τὸ ἡμέτερον καὶ ἐν ᾗ ἂν ὥρᾳ ἐκφάνωμεν τοῦ ἀδελφοῦ, καὶ ὁ Θεὸς ἐκφαίνει τὸ ἡμέτερον. Ἀδελφὸν ἐνταῦθα οὐ τὸν συζῶντα καὶ ἐν τῷ αὐτῷ Κοινοβίῳ διάγοντά φησιν, ἀλλ' ἢ τὸν πλησίον οἰκοῦντα, ἢ καὶ συνοικοῦντα μέν, μὴ τὸν ὑπ' αὐτὸν δὲ ὄντα Πατέρα· τοῦ γὰρ τοιούτου κρύπτειν καὶ παραβλέπειν ἄξιόν τι ἁμάρτημα, τὸ ἑαυτοῦ σκοπούμενον ἕκαστον. Τοῖς γὰρ κοινὸν ἕλκουσι βίον, ἅτε διαφόροις σώμασιν ἑνὸς σώματος φροντίζειν ἀλλήλων ὡς οἰκείων μελῶν οἱ τῶν Πατέρων θεσμοὶ ἐγκελεύονται, καὶ ὑπομιμνήσκειν ἀλλήλων ἐν ταπεινώσει τὰ δέοντα, εἴπου σφαλλομένους τοὺς ἑαυτῶν ἀδελφοὺς ἴδωσιν, εἰ δὲ μὴ πείθονται διορθώσασθαι ἐκ τῆς ὑπομνήσεως, ἀναφέρειν περὶ τούτων τῷ προεστῶτι, καὶ οὕτω τὴν πρὸς τοὺς ἀδελφοὺς ἀγάπην ἀφοσιοῦν.

16 Ἕτερος ἀδελφὸς ἠρώτησε τὸν αὐτὸν λέγων· Ἐὰν ἴδω ἀδελφόν, περὶ οὗ ἤκουσα πταῖσμα, οὐ θέλω εἰσενεγκεῖν αὐτὸν εἰς τὸ κελλίον μου· ἐὰν δὲ ἴδω καλόν, χαίρω μετ' αὐτοῦ· ἀπεκρίθη αὐτῷ ὁ γέρων· εἰ ποιεῖς τῷ καλῷ μικρὸν ἀγαθόν, διπλασίασον αὐτὸ μετ' ἐκείνου οὗ ἤκουσας· οὗτος γάρ ἐστιν ὁ ἀσθενῶν, καὶ ποιεῖ καὶ μετὰ σοῦ ἔλεος ὁ Θεός.

17. Ἦν γάρ τις ἐν Κοινοβίῳ ὀνόματι Τιμόθεος· ὁ δὲ ἡγούμενος ἀκούσας φήμην περί τινος τῶν ἐκεῖ ἀδελφῶν περὶ πειρασμοῦ, ἤτοι ἁμαρτίας, ἠρώτησε τὸν Τιμόθεον περὶ αὐτοῦ· ὁ δὲ συνεβούλευσεν αὐτῷ ἐκβαλεῖν τὸν ἀδελφόν. Ὡς οὖν ἐξέβαλεν αὐτόν, εὐθέως ἐτέθη ὁ τοῦ ἀδελφοῦ πειρασμὸς ἐπάνω τοῦ Τιμοθέου, ἕως οὗ ἐκινδύνευσεν. Ἔκλαιεν οὖν ὁ Τιμόθεος ἐνώπιον τοῦ Θεοῦ λέγων· Ἡμάρτηκα, συγχώρησόν μοι· καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· Τιμόθεε, μὴ νομίσῃς ὅτι ταῦτά σοι

δι' ἄλλο τι συνέβη, ἢ ὅτι παρεῖδες τὸν ἀδελφόν σου ἐν καιρῷ πειρασμοῦ αὐτοῦ.

18. Ἐσφάλη ποτὲ ἀδελφὸς ἐν Κοινοβίῳ. Ἦν δὲ ἐν τοῖς τόποις ἐκείνοις ἀναχωρητής, καὶ πολλῷ χρόνῳ οὐ προῆλθεν· ἐλθὼν οὖν πρὸς αὐτὸν ὁ Ἀββᾶς τοῦ Κοινοβίου, ἀνήγγειλεν αὐτῷ περὶ τοῦ σφαλέντος ἀδελφοῦ. Ὁ δὲ εἶπε· διώξατε αὐτόν. Καὶ ἐκβληθεὶς ὁ ἀδελφὸς ἐκ τοῦ Κοινοβίου, εὑρὼν χαράδραν εἰσῆλθεν ἐν αὐτῇ, καὶ ἔμενε κλαίων. Εὐκαίρησαν δὲ ἀδελφοὶ ἐκ τοῦ Κοινοβίου καὶ ἀπήρχοντο πρὸς τὸν Ἀββᾶν Ποιμένα, καὶ διερχόμενοι ἤκουσαν τοῦ ἀδελφοῦ ἐκ τῆς χαράδρας κλαίοντος· καὶ εἰσελθόντες, εὗρον αὐτὸν ἐν μεγάλῳ πόνῳ, καὶ παρεκάλεσαν αὐτὸν ἆραι πρὸς τὸν γέροντα, καὶ οὐκ ἤθελε, λέγων· Ὧδε ἀποθανοῦμαι. Ὡς οὖν ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Ποιμένα, διηγήσαντο αὐτῷ περὶ τοῦ ἀδελφοῦ, καὶ παρεκάλεσεν αὐτοὺς ὁ γέρων ὑποστρέψαντας εἰπεῖν τῷ ἀδελφῷ ὅτι ὁ Ἀββᾶς Ποιμὴν φωνεῖ σε. Καὶ ἀκούσας ὁ ἀδελφὸς ἦλθε πρὸς τὸν γέροντα καὶ ἰδὼν αὐτὸν ὁ γέρων τεθλιμμένον, ἀναστὰς ἠσπάσατο καὶ χαριεντιζόμενος παρεκάλεσε γεύσασθαι· ἔπειτα ἀπέστειλεν ὁ Ἀββᾶς Ποιμὴν τινὰ τῶν μετ' αὐτοῦ πρὸς τὸν ἀναχωρητὴν λέγων· ἐκ πολλῶν ἐτῶν ἐπεθύμουν σε ἰδεῖν, ἀκούων τὰ περὶ σοῦ, καὶ ἀπὸ ὀκνηρίας ἀμφοτέρων οὐ συνετύχομεν ἀλλήλοις· ὁ δὲ ἀναχωρητής, καίτοι ἐκ τοῦ κελλίου μὴ ἐξερχόμενος, ἀκούσας εἶπεν· εἰ μὴ ὁ Θεὸς ἐπληροφόρησε τὸν γέροντα, οὐκ ἂν ἔπεμψε πρός με· καὶ ἀναστὰς ἦλθε πρὸς αὐτόν· καὶ ἀσπασάμενοι ἀλλήλους, μετὰ χαρᾶς ἐκάθισαν. Εἶπε δὲ αὐτῷ ὁ Ἀββᾶς Ποιμήν· Δύο ἄνθρωποι ἦσαν ἐν τόπῳ τινί· καὶ ἀμφότεροι νεκροὺς εἶχον, ἀφῆκε δὲ ὁ εἷς τὸν νεκρὸν αὐτοῦ, καὶ ἀπῆλθε κλαῦσαι τὸν τοῦ ἑτέρου. Ἀκούσας δὲ ὁ γέρων κατενύγη ἐπὶ τῷ λόγῳ, ἀναλογισάμενος ὃ ἐποίησεν εἰς τὸν ἀδελφόν, καὶ εἶπε· Ποιμὴν ἄνω εἰς τὸν οὐρανόν, ἐγὼ δὲ κάτω εἰς τὴν γῆν.

19. Ἠρώτησάν τινες τῶν Πατέρων τὸν Ἀββᾶν Ποιμένα λέγοντες· ἐὰν ἴδωμεν τινὰ ἀδελφὸν ἁμαρτάνοντα, θέλεις ἐλέγξωμεν αὐτόν; ἀπεκρίθη ὁ γέρων· ἐγὼ τέως ἐὰν ἔχω χρείαν παρελθεῖν διὰ τῶν ἐκεῖ, καὶ ἴδω αὐτὸν ἁμαρτάνοντα, ὑπερβαίνω αὐτὸν καὶ οὐκ ἐλέγχω.

20. Πάλιν ἠρώτησαν αὐτὸν λέγοντες· πῶς οὕτως ἠνέσχετο ὁ Ἀββᾶς Νισθερῶ τοῦ μαθητοῦ αὐτοῦ; καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων· εἰ ἐγὼ ἤμην, καὶ τὸ κερβικάριον ἐτίθουν πρὸς κεφαλὴν αὐτοῦ. Λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀνούβ· καὶ τί εἶχες εἰπεῖν τῷ Θεῷ; ἔφη αὐτῷ ὁ Ἀββᾶς Ποιμήν· ἐρῶ, ὅτι, Δέσποτα, σὺ εἶπας πρῶτον ἔκβαλε τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

21. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· τί ποιήσω; καὶ ἀπεκρίθη ὁ γέρων· γέγραπται· «τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου».

22. Ἐλθόντος ποτὲ τοῦ Ἀββᾶ Ποιμένος εἰς τὰ μέρη τῆς Αἰγύπτου οἰκῆσαι, πλησίον αὐτοῦ τις ἀδελφὸς ἔμενεν ἔχων γυναῖκα, καὶ οὐδέποτε ἤλεγξεν αὐτόν. Συνέβη δὲ αὐτὴν ἐν νυκτὶ γεννῆσαι, καὶ νοήσας ὁ γέρων, ἐκάλεσε τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον λέγων· λάβε μετὰ σοῦ ἓν κνίδιον οἴνου, καὶ δὸς τῷ γείτονι ὅτι χρῄζει σήμερον· καὶ οὐκ ᾔδεισαν οἱ μετὰ τοῦ Ἀββᾶ Ποιμένος ἀδελφοὶ τὸ πρᾶγμα· ὁ δὲ ἐποίησε, καθὼς συνέταξεν αὐτῷ ὁ γέρων. Δεξάμενος δὲ τὸν οἶνον ὁ ἀδελφός, καὶ κατανυγείς, ἀπέλυσε τὴν γυναῖκα μετ' ὀλίγας ἡμέρας, δοὺς αὐτῇ εἴ τι εἶχε· καὶ προσελθὼν τῷ γέροντι εἶπεν· ἐγὼ ἀπὸ τῆς σήμερον μετανοῶ· καὶ ἐπεστήριξεν αὐτῷ ὁ γέρων. Καὶ ἀπελθὼν ὁ ἀδελφὸς ᾠκοδόμησε πλησίον ἕτερον τοῦ γέροντος ἑαυτῷ κελλίον· καὶ δι' αὐτοῦ εἰσήρχετο πρὸς τὸν γέροντα, καὶ ἐφωταγώγει αὐτὸν ὁ γέρων τὴν ὁδὸν τοῦ Θεοῦ, καὶ οὕτως ἐκέρδησε τὸν ἀδελφόν.

23. Ἐγένετό ποτε συνέδριον εἰς Σκῆτιν περὶ σφαλέντος ἀδελφοῦ, καὶ ἐλάλουν

οἱ Πατέρες, ὁ δὲ Ἀββᾶς Πίωρ ἐσιώπα· ὕστερον δὲ ἀναστὰς ἐξῆλθε, καὶ λαβὼν σάκκον ἐπλήρωσε ψάμμου, καὶ ἐβάσταζεν εἰς τὸν ὦμον αὐτοῦ ὄπισθεν, λαβὼν δὲ καὶ μαλάκιον μικρὸν ἔβαλεν ἐν αὐτῷ ὀλίγην καὶ ἐβάσταζεν ἔμπροσθεν, καὶ οὕτως εἰσῆλθεν εἰς τὸ συνέδριον. Ἐπερωτηθεὶς δὲ παρὰ τῶν Πατέρων τί ἂν εἴη τοῦτο, εἶπεν· Οὗτος ὁ σάκκος, ὁ τὴν πολλὴν ἔχων ψάμμον, τὰ ἐμά ἐστι πλημμελήματα, ἃ πολλὰ ὄντα καὶ ἀναρίθμητα, ἀφῆκα αὐτὰ ὀπίσω, τοῦ μὴ βλέπειν αὐτά, καὶ πονῆσαι περὶ αὐτῶν καὶ κλαῦσαι· καὶ ἰδοὺ ταῦτα τὰ μικρὰ τοῦ ἀδελφοῦ μου, ἔμπροσθέν μου ἔβαλον, καὶ εἰς αὐτὰ ἀδολεσχῶν κρίνω αὐτόν. Οὐ χρὴ δὲ οὕτω ποιεῖν, ἀλλὰ μᾶλλον τὰ ἐμὰ ἔμπροσθέν μου ἐνεγκεῖν, καὶ παρακαλεῖν τὸν Θεὸν συγχωρῆσαί μοι· καὶ ἀναστάντες εἶπον· ὄντως αὕτη ἐστὶν ἡ τῆς σωτηρίας ὁδός.

24. Εἶπεν ὁ Ἀββᾶς Παφνούτιος· ὁδεύων ἐν μιᾷ ἐπλανήθην, καὶ γέγονα πλησίον κώμης, καὶ εἶδον τινὰς ὁμιλοῦντας ἀλλήλοις, ἤγουν ἄνδρα μετὰ γυναικός, καὶ εὐθέως ἔστην δεόμενος ὑπὲρ τῶν ἁμαρτιῶν μου, καὶ ἰδοὺ παρέστη μοι Ἄγγελος κατέχων ῥομφαίαν καὶ λέγει μοι· Παφνούτιε, πάντες οἱ κρίνοντες τοὺς ἀδελφοὺς αὐτῶν ἐν ταύτῃ τῇ ῥομφαίᾳ ἀπολοῦνται· σὺ δὲ ὅτι οὐκ ἔκρινας, ἀλλ' ἐταπείνωσας ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ, ὡς σὺ τὴν ἁμαρτίαν ποιήσας, διὰ τοῦτο τὸ ὄνομά σου γέγραπται ἐν βίβλῳ ζώντων.

25. Εἶπε γέρων· μὴ κρίνῃς τὸν πόρνον, ἐὰν αὐτὸς ὑπάρχῃς σώφρων· ὡσαύτως γὰρ τὸν νόμον παραβαίνεις· ὁ γὰρ εἰπὼν μὴ πορνεύσῃς, εἶπε καὶ μὴ κρίνῃς.

26. Ἔλεγον περί τινος γέροντος, ὅτι ἐκάθητο ἐν Αἰγύπτῳ ἐν μονοκελλίῳ, εἶχε δὲ ἔθος τις ἀδελφὸς παραβάλλειν αὐτῷ καὶ μία παρθένος. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν συνέβη αὐτοὺς ἀπαντῆσαι πρὸς τὸν γέροντα, ἦν δὲ ὀψία· καὶ μὴ δυνάμενος ἀπολῦσαι αὐτούς, ἔθηκε τὸ ψιάθιον καὶ ἐκοιμήθη μέσον αὐτῶν. Ἐπηρείᾳ δὲ τοῦ ἐχθροῦ, πολεμηθέντες ἑκάτεροι, ἐτέλεσαν τὴν ἁμαρτίαν· αἰσθανθεὶς δὲ ὁ γέρων, οὐδὲν ἐλάλησεν αὐτοῖς· πρωΐας δὲ γενομένης προέπεμψεν αὐτούς, μηδὲ μίαν αὐτοῖς δείξας στυγνότητα· οἱ δὲ πορευόμενοι ἤρξαντο ἐπὶ τῇ ἁμαρτίᾳ μεταμέλεσθαι καὶ ὀδυνᾶσθαι σφόδρα· καὶ ὑποστρέψαντες πρὸς τὸν γέροντα, μετενόησαν αὐτῷ εἰπόντες μετὰ δακρύων· Ἀββᾶ, οὐκ ἐννόησας πῶς ἐχλεύασεν ἡμᾶς ὁ σατανᾶς, καὶ ἁμαρτῆσαι πεποίηκεν; ὁ δὲ ἔφη, ναί· οἱ δὲ λέγουσιν αὐτῷ· καὶ ποῦ ἦν ὁ λογισμός σου κατ' ἐκείνην τὴν ὥραν, ὅτι οὐκ ἀνέκοψας ἡμᾶς τῆς μυσαρᾶς ἐκείνης καὶ αἰσχρᾶς πράξεως, δι' ἣν ἄρτι τῇ λύπῃ φλέγονται ἡμῶν αἱ καρδίαι; καὶ ἀπεκρίθη ὁ γέρων· ὁ ἐμὸς λογισμὸς κατ' ἐκείνην τὴν ὥραν, ὅπου ἐσταυρώθη ὁ Χριστός, ἐκεῖ ἦν στήκων καὶ κλαίων. Καὶ λαβόντες διάταξιν μετανοίας ἀπὸ τοῦ γέροντος ἀπῆλθον, καὶ ἐγένοντο σκεύη ἐκλογῆς.

27. Ἦν τις γέρων καθ' ἡμέραν ἐσθίων τρεῖς παξαμάτας, παρέβαλε δὲ αὐτῷ ἀδελφός· καὶ ὡς ἐκάθισαν γεύσασθαι, παρέθηκεν ὁ γέρων τῷ ἀδελφῷ τρεῖς παξαμάτας· εἶτα ἑωρακὼς αὐτὸν χρῄζοντα, ἤνεγκεν αὐτῷ ἄλλας τρεῖς· ὡς οὖν ἐκορέσθησαν καὶ ἀνέστησαν, κατέκρινεν ὁ γέρων τὸν ἀδελφόν, καὶ λέγει αὐτῷ· οὐ χρή, ἀδελφέ, ὑπουργεῖν τῷ σαρκίῳ· ὁ δὲ μετενόησε τῷ γέροντι, καὶ ἐξῆλθε· τῇ οὖν ἑξῆς ὡς ἦλθεν ἡ ὥρα τοῦ γεύσασθαι τὸν γέροντα ἔθηκεν ἑαυτῷ κατὰ τὸ ἔθος τρεῖς παξαμάτας, καὶ φαγὼν αὐτοὺς ἔτι ἐπείνα· καὶ ἐπέσχεν ἑαυτὸν καὶ τῇ ἑξῆς πάλιν τὸ αὐτὸ ὑπέστη· καὶ ὡς πεινῶν ἐπεῖχεν ἑαυτὸν διὰ τὸ μὴ θέλειν τὴν συνήθειαν ὑπερβῆναι, ἤρξατο ἀδυνατεῖν καὶ ἔγνω ὁ γέρων ὅτι ἐγκατάλειψις τοῦ Θεοῦ ἐγένετο αὐτῷ· καὶ ῥίψας ἑαυτὸν εἰς ἔδαφος, ἐδέετο τοῦ Θεοῦ μετὰ δακρύων, περὶ τῆς γινομένης εἰς αὐτὸν ἐγκαταλείψεως, τίνος ἕνεκεν ταύτην ὑπέστη; καὶ παραστὰς αὐτῷ Ἄγγελος εἶπε· τοῦτό σοι συνέβη, διότι κατέκρινας τὸν ἀδελφόν σου· ἵνα μάθῃς ὅτι ὁ δυνάμενος ἐγκρατεύεσθαι ἢ ἄλλο τι ἀγαθὸν ποιῆσαι, οὐκ ἐξ ἰδίας δυνάμεως ποιεῖ, ἀλλ' ἡ ἀγαθότης τοῦ Θεοῦ ἐστίν, ἡ ἐνισχύουσα αὐτόν.

28. Ἀνὴρ Ἅγιος θεωρήσας τινὰ ἁμαρτάνοντα, δακρύσας εἶπεν· οὗτος σήμερον, κἀγὼ πάντως αὔριον.

29. Εἶπεν ὁ αὐτός· κἂν ὅπως τις ἁμάρτῃ ἐπὶ παρουσίᾳ σου μὴ κρίνῃς αὐτόν, ἀλλ' ἔχε ἑαυτὸν ἁμαρτωλότερον, κἂν κοσμικὸς εἴη.

30. Εἰπέ τις τῶν Πατέρων· οὐκ ἔστιν ἔθνος ὑπὸ τὸν οὐρανόν, ὡς τὸ τῶν Χριστιανῶν· καὶ οὐκ ἔστιν ἐν αὐτῷ πάλιν, ὡς ἡ τάξις τῶν Μοναχῶν· ταῦτα δὲ μόνα εἰσὶ τὰ μεγάλως αὐτοὺς βλάπτοντα, ἡ πρὸς ἀλλήλους μνησικακία καὶ ἡ κατάκρισις, ἃς ὁ ἀποβάλλων τῆς ἑαυτοῦ καρδίας, Ἀγγελικὸν ἐπὶ τῆς γῆς βίον βιοῖ.

31. Ἐγένοντο ἀδελφοὶ δύο ἐν Κοινοβίῳ μεγάλοι· καὶ κατηξιώθησαν τοῦ ὁρᾶν ἑκάτερος χάριν τινὰ ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ· ποτὲ οὖν εἷς ἐξ αὐτῶν διά τινα χρείαν ἔξω τοῦ Κοινοβίου γενόμενος ἐν ἡμέρᾳ Παρασκευῇ, εἶδε τινά, πρωΐας ἔτι οὔσης, ἐσθίοντα καὶ εἶπεν αὐτῷ· ἐν ταύτῃ τῇ ὥρᾳ ἐσθίεις; καὶ τοῦτο ἐν Παρασκευῇ; Ἐγένετο δὲ τῇ ἑξῆς σύναξις κατὰ τὸ ἔθος· καὶ ἀτενίσας ὁ ἕτερος ἀδελφὸς ἐπ' αὐτῷ, οὐκ εἶδε τὴν χάριν ὡς σύνηθες, καὶ ἐλυπήθη· καὶ ὡς ἐπανῆλθον εἰς τὸ κελλίον, λέγει αὐτῷ· τί ἐποίησας, ἀδελφέ; οὐ γὰρ εἶδον ἐπὶ σοὶ τὴν χάριν τοῦ Θεοῦ. Ὁ δὲ εἶπεν· ἐγὼ οὔτε ἐν πράξει, οὔτε ἐν λογισμῷ σύνοιδά τι πονηρὸν ἐν ἐμαυτῷ· λέγει αὐτῷ ὁ ἀδελφὸς αὐτοῦ· οὔτε λόγον τινὶ ἐλάλησας; καὶ μνησθεὶς ἐκεῖνος εἶπε· χθὲς ἔξω τοῦ Κοινοβίου εἶδον τινὰ ἐσθίοντα πρωΐ, καὶ εἶπον αὐτῷ· ἐν ταύτῃ τῇ ὥρᾳ ἐσθίεις ἐν Παρασκευῇ; αὕτη ἐστὶν ἡ ἁμαρτία μου· ἀλλὰ συγκοπίασόν μοι δύο ἑβδομάδας καὶ παρακαλέσωμεν τὸν Θεὸν ἵνα συγχωρήσῃ μοι καὶ ἐποίησαν οὕτως· καὶ μετὰ τὰς δύο ἑβδομάδας εἶδεν ὁ ἀδελφὸς πάλιν τὴν χάριν τοῦ Θεοῦ ἐλθοῦσαν εἰς τὸν ἀδελφὸν αὐτοῦ, καὶ παρεκλήθησαν εὐχαριστήσαντες τῷ Κυρίῳ.

32. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἐὰν ἀπέλθω πρός τινα τῶν γερόντων καὶ ἐρωτήσω αὐτὸν ὅτι θέλω μεῖναι πρὸς τὸν δεῖνα, οἶδε δέ, ὅτι οὐ συμφέρει μοι, τί ἔχει ἀποκριθῆναι μοι; ἐὰν γὰρ εἴπῃ μοι μὴ ἀπέλθῃς, οὐ κατακρίνει αὐτὸν τῷ λογισμῷ; καὶ ἀπεκρίθη ὁ γέρων· ταύτην τὴν λεπτότητα οὐ πολλοὶ ἔχουσιν, ἤτοι τὴν πανουργίαν καὶ ὀξύτητα· ἐὰν μὲν οὖν ἔχῃ ἡ κίνησις πάθος, ἤγουν ἐξ ἐμπαθείας λέγει μισῶν ἢ διαβάλλων τὸν ἄνδρα, ἑαυτὸν βλάπτει καὶ οὐδὲ ὁ λόγος ἔχει δύναμιν, καὶ συμφέρον ἦν αὐτῷ εἰπεῖν οὐκ οἶδα, καὶ ἑαυτὸν ἐλευθερῶσαι· εἰ δὲ ἐλευθέρωται ἀπὸ πάθους, οὐ κατακρίνει τινά· ἑαυτὸν δὲ αἰτιώμενος λέγει· φύσει ἐγὼ ἀσύστροφός εἰμι, καὶ τάχα οὐ συμφέρει σοι· καὶ ἐὰν ὁ ἐρωτῶν συνετός, οὐκ ἔτι ὑπάγει πρὸς ἐκεῖνον τὸν ἄνδρα περὶ οὗ ἠρώτησε τὸν γέροντα· οὐ γὰρ διὰ κακίαν εἶπεν ὁ γέρων, ἀλλ' ἵνα τὸ μὴ αὐξηθῇ κακόν· τουτέστι, προνοούμενος τῆς τοῦ ἐρωτήσαντος σωτηρίας ἐλάλησε, διὸ καὶ δυνατός ἐστιν ὁ λόγος πληροφορῆσαι τὸν ἀκούοντα· εἴ γε κἀκεῖνος συνετὸς ὢν ἐν πίστει δέχεται, καὶ τῆς πληροφορίας αἰσθανθεὶς τὸ συμβουλευθὲν ἐκπληροῖ.

33. Ἤκουσέ τις τῶν Ἁγίων, ὅτι ἀδελφός τις ἐνέπεσεν εἰς πορνείαν, καὶ εἶπεν· ὢ! κακῶς ἐποίησε. Μετὰ οὖν ὀλίγας ἡμέρας ἐκοιμήθη ὁ ἀδελφός· καὶ ἦλθεν Ἄγγελος τοῦ Θεοῦ μετὰ τῆς ψυχῆς τοῦ ἀδελφοῦ πρὸς τὸν γέροντα, καὶ λέγει αὐτῷ· ἴδε ὃν ἔκρινας, ἐκοιμήθη· ποῦ οὖν κελεύεις βάλω αὐτόν; εἰς βασιλείαν ἢ εἰς κόλασιν; καὶ ἔμεινεν ὁ γέρων ἕως τελευτῆς αὐτοῦ δεόμενος τοῦ Θεοῦ συγγνώμης τυχεῖν περὶ τούτου μετὰ δακρύων πολλῶν καὶ πόνων μεγάλων.

34. Εἶπε γέρων· ἐὰν ἴδῃς τινὰ γελῶντα ἢ ἐσθίοντα πολλά, μὴ κρίνῃς αὐτόν, ἀλλὰ μᾶλλον εἰπέ· μακάριός ἐστιν οὗτος, ἁμαρτίας μὴ ἔχων, καὶ διὰ τοῦτο χαίρει ἡ ψυχὴ αὐτοῦ.

35. Εἶπε γέρων· ἐὰν ἴδῃς τοῖς ὀφθαλμοῖς σου τινὰ πίπτοντα, εὐθὺς εἰπέ· ἀνάθεμά σοι σατανᾶ· οὗτος γὰρ πρᾶγμα οὐκ ἔχει· καὶ ἀσφάλισαι τὴν καρδίαν σου

τοῦ μὴ κρῖναι τὸν ἀδελφόν σου, ἐπεὶ ἀναχωρεῖ τὸ Πνεῦμα τὸ Ἅγιον ἀπὸ σοῦ· λέγε δὲ πάλιν πρὸς ἑαυτόν· ὡς οὗτος ἡττήθη, οὕτω κἀγὼ καὶ κλαῖε καὶ ζήτει βοήθειαν τοῦ Θεοῦ, καὶ συμπάθει τῷ ἀκουσίως παθόντι· οὐδεὶς γὰρ θέλει ἁμαρτῆσαι εἰς Θεόν, ἀλλὰ πάντες ἀπατώμεθα.

36. Διηγήσατό τις γέρων· ὅτι καθεζομένῳ μοι ποτὲ ἐν ἀκροτάτῃ ἐρήμῳ, παρέβαλέ τις ἀδελφὸς ἐκ Κοινοβίου ἐπισκέψεως χάριν· ἠρώτων οὖν αὐτόν· πῶς ἔχουσιν οἱ Πατέρες; Καὶ λέγει μοι· καλῶς διὰ τῶν εὐχῶν σου· εἶτα ἠρώτησα καὶ περί τινος ἀδελφοῦ, κακὴν φήμην ἔχοντος, καὶ εἶπέ μοι· πίστευσον, Πάτερ, οὔπω ἠλλάγη τῆς φήμης ἐκείνης· ἐγὼ δὲ ὡς ἤκουσα εἶπον· οὔφ· καὶ ἅμα τῷ εἰπεῖν τοῦτο καταφέρομαι εἰς ὕπνον, καὶ γέγονα ἐν ἐκστάσει, καὶ θεωρῶ ἐμαυτὸν ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου ἱστάμενον, καὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μέσον τῶν δύο λῃστῶν ἐσταυρωμένον, καὶ ὥρμησα προσκυνῆσαι, καὶ ὡς γέγονα πλησίον, ἐπέτρεψε τοῖς παρεστῶσιν Αὐτῷ Ἁγίοις Ἀγγέλοις μεγάλῃ τῇ φωνῇ λέγων· βάλετε αὐτὸν ἔξω ὅτι ἀντίχριστός μοι ἐστί· πρὶν ἢ γὰρ κρίνω, αὐτὸς κατέκρινε τὸν ἀδελφὸν αὐτοῦ. Ὡς οὖν διωκόμενος ἦλθον ἐξελθεῖν, ἐκρατήθη τὸ παλλίον μου ἐν τῇ θύρᾳ, ἀσφαλισθείσῃ αἰφνιδίως, καὶ ἐάσας αὐτὸ ἐκεῖ ἐξῆλθον, καὶ εὐθέως διϋπνίσθην. Συμβαλὼν δὲ τὰ ὁραθέντα μοι λέγω τῷ παραβάλλοντι ἀδελφῷ· πονηρὰ αὕτη ἡ ἡμέρα ἐμοί· ὁ δὲ εἶπε· τίνος ἕνεκα, Πάτερ; καὶ τότε διηγησάμην αὐτῷ ἃ εἶδον· καὶ εἶπον· τὸ παλλίον μου, ἡ σκέπη τοῦ Θεοῦ ἦν ἡ ἐπ' ἐμοί, καὶ ἐστερήθην αὐτῆς, καὶ ἔκτοτε ἐπὶ Κυρίου τῆς δόξης, ἑπτὰ ἔτη ἐποίησα πελαζόμενος εἰς τὰς ἐρήμους, μὴ ἄρτου γευσάμενος, μὴ ὑπὸ στέγην ἐλθών, μὴ ἀνθρώπῳ συντυχών, ἕως οὗ πάλιν εἶδον τὸν Κύριόν μου ἐπὶ τοῦ Κρανίου ὁμοίως ἐπιτρέψαντά μοι ἀποδοθῆναι τὸ παλλίον μου.

37. Ἠρώτησέ τις γέροντα λέγων· διατί οὐ δύναμαι οἰκῆσαι μετὰ ἀδελφῶν; καὶ ἀπεκρίθη ὁ γέρων· διότι τὸν Θεὸν οὐ φοβῇ· εἰ γὰρ ἐμνημόνευες τοῦ γεγραμμένου ὅτι ἐν Σοδόμοις ἐσώθη ὁ Λὼτ μηδένα κατακρίνας, καὶ σὺ ἂν εἰς μέσον θηρίων ἔβαλες ἑαυτὸν οἰκῆσαι.

38. Εἶπε γέρων· ὅτι εἴκοσιν ἔτη ἔμεινα πρὸς ἕνα λογισμὸν πολεμῶν καὶ δεόμενος τοῦ Θεοῦ ἵνα πάντας ἀνθρώπους ὡς ἕνα βλέπω.

Ἑρμηνεία


ΠΛΗΣΙΟΝ εἰς ἕνα Γέροντα κατοικοῦσε ἕνας ἀδελφός, ὀλίγον χρόνον ἔχων εἰς τὴν ἄσκησιν· αὐτὸς δὲν ἐφρόντιζεν ὅσον ἔπρεπε διὰ τὰ μοναχικά του καθήκοντα. Ὅταν δὲ ἐπρόκειτο νὰ ἀποθάνῃ, εὑρισκόμενος εἰς τὰς τελευταίας στιγμὰς τῆς ζωῆς του, προσῆλθον κοντά του μερικοὶ ἐκ τῶν ἄλλων Μοναχῶν, διὰ πνευματικὴν συντροφιὰ καὶ παρηγορίαν. Ὁ Γέρων ἔβλεπε μὲ εὐχάριστον κατάπληξιν, ὅτι τὸ πρόσωπον τοῦ μελλοθανάτου δὲν εἶχε τὴν ἀγριότητα, ποὺ διακρίνει συνήθως τὸν ἄνθρωπον, ὅταν ἀποθνήσκει· ἀπ' ἐναντίας ἦτο χαρούμενος ὁ Μοναχὸς αὐτὸς καὶ γελαστός. Τότε ὁ συνετὸς Γέρων, διὰ νὰ ὠφελήσῃ πνευματικῶς τοὺς παρευρισκομένους, λέγει εἰς αὐτόν· «Ἀδελφέ μου, ὅλοι γνωρίζομεν, ὅτι δὲν ἐπέδειξες τόσον σπουδαῖον καὶ ἀξιόλογον ἀγῶνα εἰς τὴν μοναχικὴν ἄσκησιν· πῶς λοιπὸν ἑτοιμάζεσαι νὰ ταξιδεύσῃς τὸ φρικτὸν αὐτὸ ταξίδιον μὲ τόσον εὐχάριστον διάθεσιν;»

Εἰς τὴν ἐρώτησιν αὐτὴν ἀπήντησεν ὁ Μοναχός· «Πραγματικῶς, Πάτερ μου, ἀλήθειαν λέγεις· ἤμουν ἀμελὴς εἰς τὰ καθήκοντα τῆς μοναχικῆς πολιτείας· ἀλλὰ ἀπὸ τότε, ποὺ ἔγινα Μοναχός, δὲν κατέκρινα κανένα ἄνθρωπον, δὲν ἐκράτησα κακίαν μὲ κανένα, ἀλλὰ καὶ ἐὰν κάποτε προέκυψε μικρὰ φιλονεικία μὲ συνάνθρωπόν μου, ἐπεδίωξα τὴν ἰδίαν ὥραν νὰ συμφιλιωθῶ μαζί του. Σκέπτομαι λοιπὸν νὰ εἰπῶ εἰς τὸν Θεόν· Σὺ εἶπες, μὴ κατακρίνετε διὰ νὰ μὴ κατακριθῆτε· συγχωρήσατε τοὺς συνανθρώπους σας καὶ θὰ σᾶς συγχωρήσῃ ὁ Θεός»· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» (Ματθ. ζ', 1) καὶ «Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος» (Ματθ. ϛ', 14). Κινῶν τότε τὴν κεφαλήν του ὁ Γέρων εἶπεν· «Ἡ εἰρήνη τοῦ Θεοῦ ἂς εἶναι μαζί σου, τέκνον μου, διότι καὶ χωρὶς τὸν κόπον τῆς μοναχικῆς ἀσκήσεως ἐσώθης, ἐπειδὴ ἀπέφυγες τὴν κατάκρισιν».

2. Ὁ Ἀββᾶς Ἀγάθων, ὅταν ἔβλεπε κάποιον νὰ σφάλλῃ καὶ τὸν παρεκίνει ὁ λογισμός του νὰ τὸν κατακρίνῃ, ἔλεγεν εἰς τὸν ἑαυτόν του· «Ἀγάθων, πρόσεχε σὺ μὴ κάνῃς τὸ ἴδιον»· καὶ τότε ἡ σκέψις του ἠρεμοῦσε.

3. Ὁ Ἀββᾶς Ἀντώνιος προεφήτευσε διὰ τὸ μέλλον τοῦ Ἀββᾶ Ἀμμωνᾶ καὶ τοῦ εἶπε· «Σύ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, θὰ εὐδοκιμήσῃς εἰς τὴν ἄσκησιν καὶ θὰ πληρωθῇ ἡ ψυχή σου ἀπὸ τὸν φόβον τοῦ Θεοῦ». Ἐξῆλθον δὲ τοῦ κελλίου καὶ ἀφοῦ ὑπέδειξεν εἰς αὐτὸν μίαν πέτραν τοῦ εἶπε· «Ὕβρισε καὶ κτύπησε αὐτὴν τὴν πέτραν». Ὁ Ἀββᾶς Ἀμμωνᾶς προθύμως ἐξετέλεσε τὴν ἐντολὴν αὐτήν, χωρὶς βεβαίως νὰ δεχθῇ ἀπάντησιν ἢ παράπονον ἀπὸ τὴν πέτραν. Τότε ὁ Ἀββᾶς Ἀντώνιος τοῦ λέγει· «Καὶ σὺ εἰς τὸ ἴδιον μέτρον τῆς ἀπαθείας πρόκειται νὰ φθάσῃς, ὥστε, ὅπως ἡ πέτρα αὐτή, νὰ μὴ ἐνοχλῆσαι ἀπὸ τὰς ἀδίκους ἐπιθέσεις καὶ τὴν κακίαν τῶν ἀνθρώπων». Πράγματι αὐτὸ καὶ ἔγινε. Τόσον πολὺ προώδευσεν εἰς τὴν ἀνεξικακίαν καὶ τὴν καλωσύνην, ὥστε νὰ μὴ σκέπτεται καθόλου τὸ κακόν.

Ὁ Ἀββᾶς Ἀμμωνᾶς ἔγινε μετὰ ταῦτα Ἐπίσκοπος. Συνέβη δὲ τότε τὸ ἑξῆς χαρακτηριστικὸν περιστατικόν· ἔφεραν ἐνώπιόν του μίαν παρθένον, ἡ ὁποία εἶχε διαφθαρῆ καὶ καταστῆ ἔγκυος· μαζὶ μὲ αὐτὴν ὡδήγησαν ἐνώπιον τοῦ Ἐπισκόπου καὶ τὸν διαφθορέα της καὶ λέγουν οἱ συνοδοὶ εἰς τὸν Ἐπίσκοπον· «Σεβασμιώτατε, νὰ ἐπιβάλῃς εἰς αὐτοὺς αὐστηρὰν ποινήν». Πρὸς κατάπληξιν ὅλων ὁ Ἐπίσκοπος ἐσφράγισε τὴν κοιλίαν τῆς γυναικὸς μὲ τὸ σημεῖον τοῦ Σταυροῦ, διέταξε δὲ νὰ δοθοῦν εἰς αὐτὴν ἓξ ζευγάρια σεντόνια, λέγων· «Χρειάζονται αὐτά, διότι εἶναι ἐνδεχόμενον τώρα ποὺ θὰ φύγῃ νὰ γεννήσῃ καὶ νὰ ἀποθάνῃ ἢ ἡ ἰδία ἢ τὸ βρέφος καὶ νὰ μὴ εὑρεθοῦν ἐκείνην τὴν στιγμὴν τὰ ἀπαραίτητα σάβανα».


Ο ΟΣΙΟΣ
ΑΓΑΘΩΝ

Ἐκεῖνοι ποὺ κατήγγειλαν τὴν γυναῖκα, μόλις εἶδον τὴν γενναιοδωρίαν τοῦ Ἐπισκόπου, λέγουν εἰς αὐτόν· «Διατί κάμεις αὐτὸ τὸ πρᾶγμα; Πρέπει νὰ ἐπιβάλῃς εἰς αὐτὴν αὐστηρὰν τιμωρίαν». Τότε μὲ γλυκύτητα ἀπαντᾷ πρὸς τοὺς κατηγόρους ὁ Ἐπίσκοπος· «Βλέπετε, ἀδελφοί μου, ὅτι ἡ γυναῖκα αὐτή, λόγῳ τῆς ἐπιτόκου καταστάσεώς της, εὑρίσκεται πολὺ πλησίον εἰς τὸν θάνατον· τί δύναμαι ἐγὼ νὰ κάμω;» Λέγων δὲ τοὺς λόγους αὐτοὺς ἔδωσεν ἐντολὴν εἰς αὐτὴν νὰ φύγῃ, χωρὶς νὰ τολμήσῃ νὰ τὴν κρίνῃ.

4. Κάποτε πάλιν προσεκλήθη καὶ ἦλθεν εἰς ἕνα μέρος διὰ νὰ φάγῃ. Εἰς τὸ μέρος ἐκεῖνο ἔζη κάποιος Μοναχός, διὰ τὸν ὁποῖον ὑπῆρχε διάχυτος ἡ φήμη ὅτι ἦτο πόρνος. Κατὰ σύμπτωσιν μάλιστα, τὴν ἡμέραν ἐκείνην τῆς ἐπισκέψεως τοῦ Ἐπισκόπου, παρευρίσκετο εἰς τὸ κελλίον καὶ ἡ γυναῖκα, μετὰ τῆς ὁποίας ἐλέγετο ὅτι ἡμάρτανε. Οἱ κάτοικοι λοιπὸν τῆς περιοχῆς ἐκείνης, μόλις ἀντελήφθησαν τὴν παρουσίαν εἰς τὸ κελλίον τοῦ Μοναχοῦ τῆς ὑπόπτου γυναικός, ἐσκέφθησαν νὰ εἰσέλθουν βιαίως εἰς τὸ κελλίον τοῦ Μοναχοῦ διὰ νὰ τὴν ἀποδιώξουν. Ἐν τῷ μεταξὺ πληροφορηθέντες, ὅτι εὑρίσκετο μεταξύ των καὶ ὁ Ἐπίσκοπος Ἀμμωνᾶς, ἦλθον καὶ τὸν παρεκάλεσαν, ἀφοῦ ἐξέθεσαν τὴν κατάστασιν, νὰ μεταβοῦν ἀπὸ κοινοῦ εἰς τὸ κελλίον τοῦ Μοναχοῦ, διὰ νὰ τὸν ἐλέγξῃ σφοδρότατα ὁ Ἐπίσκοπος καὶ ἐν συνεχείᾳ νὰ ἐκδιώξῃ ἀπὸ τὴν περιοχὴν τὸ ζεῦγος τῆς ἁμαρτίας.

Ὁ Μοναχὸς ἀντιληφθεὶς τί ἡτοιμάζετο ἐναντίον του ἐπρόλαβεν ἐγκαίρως καὶ ἀπέκρυψε τὴν γυναῖκα εἰς ἕνα μεγάλο πιθάρι, τὸ ὁποῖον εἶχε τὸ στόμιον εἰς τὸ ἄνω μέρος.

Ὁ Ἀββᾶς Ἀμμωνᾶς, ὡς προορατικὸς ποὺ ἦτο, ἐγνώριζε τὴν πρᾶξιν αὐτὴν τοῦ Μοναχοῦ καὶ μόλις ἔφθασε καὶ εἰσῆλθεν εἰς τὸ κελλίον, ἐκάθισε μὲ τρόπον ἐπάνω εἰς τὸ πιθάρι καὶ διέταξε νὰ γίνῃ συστηματικὴ ἔρευνα εἰς τὸ κελλίον διὰ νὰ ἀνευρεθῇ ἡ γυναῖκα τῆς ἁμαρτίας.

Λεπτομερέστατα ἔψαξαν ὅλα τὰ σημεῖα τοῦ κελλίου, χωρὶς νὰ δυνηθοῦν νὰ ἀνεύρουν τὴν γυναῖκα. Μετὰ τὴν ἄκαρπον αὐτὴν ἔρευναν εἶπεν ὁ Ἀββᾶς Ἀμμωνᾶς· «Βλέπετε; ὁ Θεὸς νὰ σᾶς συγχωρήσῃ». Καὶ ἀφοῦ ηὐχήθη δι' ὅλους, διέταξε τοὺς ἐπισκέπτας νὰ φύγουν. Ὅταν δὲ ἔμεινε μόνος εἰς τὸ κελλίον, ἔπιασε ἀπὸ τὴν χεῖρα τὸν Μοναχὸν καὶ ἐνῷ μὲ τὸ βλέμμα του τοῦ ἔδωσε νὰ καταλάβῃ, ὅτι ἀντελήφθη τὰ πάντα, τοῦ εἶπε γεμᾶτος στοργήν· «Πρόσεχε σεαυτῷ, ἀδελφέ». Χωρὶς νὰ εἴπῃ δὲ τίποτε ἄλλο ἀνεχώρησε.

5. Ἕνας Μοναχός, ἐπειδὴ ἡμάρτησε, ἀπεπέμπετο ἀπὸ τὴν ἀδελφότητα ὑπὸ τοῦ Πρεσβυτέρου. Κατόπιν τῆς ἐνεργείας αὐτῆς ὁ Ἀββᾶς Βησσαρίων ἐσηκώθη καὶ ἔφυγε μαζὶ μὲ τὸν ἀδελφὸν λέγων· «Καὶ ἐγὼ εἶμαι ἁμαρτωλός».

6. Ὁ Ἀββᾶς Ἠσαΐας ἔδωσε τὴν ἑξῆς συμβουλὴν εἰς τοὺς μαθητάς του· «Ἐὰν σὲ ἐνοχλήσῃ ὁ λογισμὸς νὰ κατακρίνῃς τὸν πλησίον δι' ἁμαρτίαν, τὴν ὁποίαν ἔκανε, πρῶτον καὶ κύριον νὰ σκεφθῇς, ὅτι σὺ εἶσαι περισσότερον ἁμαρτωλὸς ἐκείνου· ἔπειτα νὰ εἶσαι βέβαιος, ὅτι καὶ ὅσα καλὰ νομίζεις ὅτι ἔπραξες, δὲν ἦσαν ἀρεστὰ εἰς τὸν Θεόν. Μὲ τὰς σκέψεις αὐτὰς ἀσφαλῶς δὲν θὰ ἔχῃς τὴν τόλμην νὰ κατακρίνῃς τὸν πλησίον σου».

7. Ὁ ἴδιος πάλιν εἶπεν· «Ὁ καλύτερος τρόπος νὰ ἀναπαύσῃς τὴν συνείδησίν σου εἶναι νὰ μὴ κατακρίνῃς τὸν πλησίον καὶ νὰ ταπεινώνῃς τὸν ἑαυτόν σου».

8. Ἕνας Γέρων Μοναχὸς εἶδεν ἕνα ἀδελφὸν νὰ αἰσχρουργῇ μὲ κάποιον ἄλλον, χωρὶς νὰ τὸν ἐλέγξῃ. Δὲν τὸν ἤλεγξε δέ, διότι ἐσκέφθη· «Ἂν ὁ Θεός, ποὺ τοὺς ἔπλασε, τοὺς βλέπει καὶ δὲν τοὺς καίει, ποῖος εἶμαι ἐγὼ διὰ νὰ τοὺς ἐλέγξω;»

9. Ὁ Ἀββᾶς Ἰσαὰκ ὁ Θηβαῖος ἦλθεν εἰς ἕνα Κοινόβιον, ὅπου εἶδεν ἕνα ἀδελφὸν νὰ σφάλλῃ καὶ τὸν κατέκρινε. Μετ' ὀλίγον καιρόν, ἀφοῦ ἐτελείωσε τὴν ἐργασίαν, διὰ τὴν ὁποίαν ἦλθεν εἰς τὸ Κοινόβιον, ἀνεχώρησεν ἐξ αὐτοῦ καὶ ἐβγῆκε πάλιν εἰς τὴν ἔρημον. Μόλις ὅμως ἐπλησίασεν εἰς τὸ κελλίον του καὶ ἡτοιμάζετο νὰ ἀνοίξῃ διὰ νὰ εἰσέλθῃ, ἕνας Ἄγγελος Κυρίου ἐνεφανίσθη ἔμπροσθεν τῆς θύρας καὶ δὲν τοῦ ἐπέτρεπε νὰ εἰσέλθῃ. Ὁ Γέρων τότε μὲ γλυκύτητα καὶ ταπεινοφροσύνην τὸν παρεκάλει λέγων· «Τί ἔκανα, διὰ ποίαν αἰτίαν δὲν μοῦ ἐπιτρέπεις τὴν εἴσοδον;» Καὶ ὁ Ἄγγελος τοῦ Κυρίου ἀπαντᾷ· «Μὲ ἔστειλεν ὁ Θεὸς διὰ νὰ σὲ ἐρωτήσω, ποῦ διατάσσεις νὰ βάλω τὸν ἀδελφόν τοῦ Κοινοβίου ποὺ ἔσφαλε καὶ τὸν κατέκρινες;»

Μόλις ἤκουσεν αὐτὸ τὸ πρᾶγμα ὁ Γέρων καὶ ἀντιληφθεὶς τὴν αἰτίαν, μετενόησε διὰ τὴν κατάκρισιν τοῦ ἀδελφοῦ του, εἰς τὴν ὁποίαν προέβη καὶ ἀμέσως εἶπε· «Πραγματικῶς ἔχω ἁμαρτήσει· συγχώρησόν με». Καὶ ὁ Ἄγγελος μὲ γλυκύτητα τοῦ ἀπήντησε. «Σήκω· ὁ Θεὸς σὲ συνεχώρησε· πρόσεξε ὅμως ἀπ' ἐδῶ καὶ ἐμπρὸς νὰ μὴ κατακρίνῃς κανένα, ἕως ὅτου ἔλθῃ ὁ Κύριος, εἰς τὸν ὁποῖον μόνον ἀνήκει ἡ ἐξουσία νὰ κρίνῃ τοὺς πάντας».

10. Ὁ Ἀββᾶς Μακάριος ὁ Μεγάλος, καθὼς ἔλεγον αὐτοὶ ποὺ τὸν ἐγνώρισαν, κατώρθωσε νὰ γίνῃ ἐπίγειος θεός, σύμφωνα μὲ τὸ ῥητὸν «Ἐγὼ εἶπα, θεοί ἐστε» (Ἰωάνν. ι', 34). Τὸ ἐπέτυχε δὲ αὐτό, διότι, ὅπως ὁ Θεὸς σκεπάζει τὸν κόσμον καὶ τὸν προστατεύει μὲ τὴν καλωσύνην του, τοιουτοτρόπως καὶ ὁ Ἀββᾶς Μακάριος, ὅταν ἔβλεπεν ἐλαττώματα εἰς τοὺς ἀνθρώπους ἢ ἤκουεν, ὅτι σφάλλουν, τοὺς ἐσκέπαζεν ἀπὸ καλωσύνην, ὡς νὰ μὴ εἶδε καὶ ἤκουσε τίποτα.

11. Κάποτε εἰς μίαν σκήτην ἔσφαλε κάποιος ἀδελφὸς καὶ οἱ Πατέρες ἔκαμαν σύναξιν, διὰ νὰ τὸν δικάσουν. Μεταξὺ τῶν ἄλλων ἐκάλεσαν εἰς τὴν σύναξιν καὶ τὸν Ἀββᾶν Μωϋσῆν. Ἐκεῖνος ὅμως δὲν ἤθελε νὰ ἔλθῃ. Καὶ πάλιν ὁ προϊστάμενος τῆς συνάξεως τὸν ἐκάλεσεν ἐκ νέου λέγων· «Ἔλα, διότι σὲ ἀναμένουν ὅλοι οἱ Πατέρες». Τότε ὁ Ἀββᾶς Μωϋσῆς ἐξεκίνησεν, ἀφοῦ ἐγέμισεν ἕνα τρύπιο ζεμπίλι μὲ ἄμμον καὶ τὸ ἔβαλεν εἰς τοὺς ὤμους του. Μὲ τὸ φορτίον δὲ αὐτὸ ἦλθεν εἰς τὸν τόπον τῆς συνάξεως.

Οἱ Πατέρες, σεβόμενοι τὸν Ἀββᾶν Μωϋσῆν, μόλις ἐπληροφορήθησαν, ὅτι ἔρχεται, ἐβγῆκαν διὰ νὰ τὸν προϋπαντήσουν. Ἀλλὰ καθὼς τὸν εἶδαν μὲ τὸ περίεργον ἐκεῖνο φορτίον, τοῦ ζεμπιλιοῦ δηλαδή, ἀπὸ τὶς τρύπες τοῦ ὁποίου ἔτρεχεν ἡ ἄμμος, κατάπληκτοι τὸν ἠρώτησαν· «Τί εἶναι αὐτό, Πάτερ;» Καὶ ὁ Γέρων ἀπήντησεν εἰς αὐτούς· «Εἶναι αἱ ἁμαρτίαι μου, ποὺ γλυστροῦν ἀπὸ πίσω μου χωρὶς νὰ βλέπω αὐτάς· καὶ ὅμως μὲ τέτοιο φορτίον ἁμαρτιῶν ἦλθον ἐγὼ σήμερον ἐδῶ, διὰ νὰ δικάσω ξένα ἁμαρτήματα». Οἱ Πατέρες, ποὺ ἀπετέλουν τὴν σύναξιν, μόλις ἤκουσαν τὰ λόγια αὐτά, ἀντελήφθησαν τὴν σημασίαν των. Δι᾽ αὐτὸ τίποτε δὲν εἶπον εἰς τὸν ἀδελφόν, ποὺ ἐπρόκειτο νὰ δικάσουν, ἀλλὰ τὸν συνεχώρησαν.

12. Ὁ ἴδιος, ὁ Ἀββᾶς Μωϋσῆς, εἶπε κάποτε εἰς μίαν σύναξιν ἀδελφῶν· «Πρέπει ὁ ἄνθρωπος νὰ ἀποθάνῃ, καθ᾽ ὅσον ἀφορᾷ τὸν συνάνθρωπόν του, ὥστε νὰ μὴ κατακρίνῃ κανένα διὰ τίποτε. Διότι ὅταν ὁ Κύριος ἐφόνευσε τὰ πρωτότοκα τέκνα τῶν Αἰγυπτίων, δὲν ὑπῆρχε σπίτι Αἰγυπτίου, ποὺ νὰ μὴ ἔχῃ νεκρόν». Κάποιος ἀδελφὸς ἀπὸ τοὺς ἀκούοντας ἐρωτᾷ· «Τί θέλεις νὰ εἰπῇς μὲ αὐτά, Πάτερ;» Καὶ ὁ Γέρων Μωϋσῆς ἀπήντησεν· «Ἐὰν ἠμπορέσωμεν νὰ ἴδωμεν τὰς ἁμαρτίας μας, ἀσφαλῶς δὲν θὰ ἔχωμεν τὴν δύναμιν νὰ παρατηρήσωμεν τὰς ἁμαρτίας τῶν συνανθρώπων μας. Διότι εἶναι πραγματικῶς τρέλλα δι᾽ ἕνα ἄνθρωπον, ποὺ ἔχει λείψανον εἰς τὸ σπίτι του, νὰ τὸ ἀφήσῃ καὶ νὰ μεταβῇ εἰς γειτονικὸνν σπίτι διὰ νὰ κλαύσῃ τὸν νεκρὸν τοῦ πλησίον, ἀντὶ νὰ κλαύσῃ εἰς τὸ σπίτι του τὸν ἰδικόν του νεκρόν.

Τὸ δὲ νὰ ἀποθάνῃς ἀπὸ τὸν πλησίον σημαίνει νὰ σηκώσῃς τὸ βάρος τῶν ἁμαρτιῶν σου καὶ νὰ μὴ ἐνδιαφέρεσαι διὰ τὸ τί κάνει ὁ κάθε ἄνθρωπος καὶ νὰ λέγῃς, κατακρίνων, αὐτὸς εἶναι κακός· ἐπίσης νὰ μὴ κάνῃς κακὸν εἰς οὐδένα ἄνθρωπον, οὔτε νὰ σκεφθῇς μέσα σου πονηρὰ διὰ κάποιον, οὔτε νὰ ντροπιάσῃς μὲ σκληρότητα ἐκεῖνον ποὺ ἔκανε κακόν, οὔτε νὰ πιστεύσῃς τοὺς ἰσχυρισμοὺς ἐκείνου ποὺ ἐκακοποίησε μὲ ὁποιονδήποτε τρόπον τὸν πλησίον του καὶ νὰ τὸν δικαιώσῃς δι᾽ αὐτὸ ποὺ ἔκανε, δίδων εἰς αὐτὸν συγχαρητήρια, οὔτε νὰ δώσῃς προσοχὴν εἰς ἐκεῖνον, ποὺ κατηγορεῖ τὸν πλησίον του, οὔτε νὰ ἔχῃς ἔχθραν μὲ κανένα, ἢ νὰ μισῇς ἄλλον· ὅλα αὐτὰ ἐξασφαλίζουν εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου τὴν εἰρήνην. Αὐτὰ νὰ ἐπιδιώκῃς, ἀδελφέ

μου, καὶ μὲ αὐτὰ νὰ διασφαλίζης τὴν ψυχήν σου, ἔχων ὑπ' ὄψιν σου, ὅτι ὁ κόπος διὰ τὴν ἐπιτυχίαν αὐτῶν διαρκεῖ ὀλίγον χρόνον, ὅσον ἡ ἐπίγειος ἡμῶν ζωή, ἐνῷ ἡ ἀνάπαυσις θὰ εἶναι παντοτεινή, ἀρχίζουσα ἀπ' ἐδῶ καὶ συνεχιζομένη εἰς τὴν αἰωνιότητα».

13. Ἕνας ἀδελφὸς ἠρώτησε κάποτε τὸν Ἀββᾶν Ποιμένα· «Δὲν μοῦ λέγεις, Γέροντα, πῶς θὰ ἠμπορέσω νὰ γίνω τέλειος Μοναχός;» Εἰς ἀπάντησιν ὁ Γέρων τοῦ εἶπεν· «Ἐὰν θέλῃς νὰ ἀπολαύσῃς ἐσωτερικὴν γαλήνην καὶ ἀνάπαυσιν καὶ ἐδῶ καὶ εἰς τὴν μέλλουσαν ζωήν, εἰς κάθε περίπτωσιν νὰ λέγῃς μὲ ταπείνωσιν: ποῖος εἶμαι ἐγώ; καὶ νὰ μὴ κατακρίνῃς κανένα».

14. Ἐπληροφορήθη κάποτε ὁ Πρεσβύτερος τοῦ Πηλουσίου, ὅτι μερικοὶ Μοναχοὶ καταβαίνουν συχνὰ εἰς τὴν πόλιν καὶ λούονται εἰς τὰ δημόσια λουτρὰ καὶ δὲν φροντίζουν διὰ τὰ πνευματικά των καθήκοντα. Μόλις δὲ ἦλθεν εἰς τὴν σύναξιν τῶν Μοναχῶν, ἀμέσως, ἐνώπιον ὅλων, ἀφήρεσεν ἀπὸ τοὺς ἀπροσέκτους αὐτοὺς Μοναχοὺς τὸ μοναχικὸν σχῆμα, ὡς τιμωρίαν διὰ τὰς πράξεις των. Μετὰ ὅμως ἀπὸ αὐτὸ τὸν ἔτυπτεν ἡ συνείδησίς του καὶ μετενόησε διὰ τὴν διαπόμπευσιν τῶν ἀδελφῶν ἐκείνων. Σὰν μεθυσμένος δὲ ἀπὸ τὴν πάλην τῶν λογισμῶν ἦλθε πρὸς τὸν Ἀββᾶν Ποιμένα, μεταφέρων καὶ τὰ μοναχικὰ ἐνδύματα τῶν ἀποσχηματισθέντων, ἀδελφῶν ἐξιστορῶν εἰς αὐτὸν τὴν ὑπόθεσιν.

Ἀφοῦ τὸν ἤκουσε μετὰ προσοχῆς ὁ Γέρων, τὸν ἠρώτησε· «Δὲν ἔχεις σὺ τίποτε ἀπὸ τὸν παλαιὸν ἄνθρωπον; τελείως τὸν ἔχεις ἀποβάλει;» Ὁ Πρεσβύτερος ἀπήντησεν· «Ἀκόμη διατηρῶ τὸν παλαιὸν ἄνθρωπον». Τότε ὁ Γέρων ἐπαναλαμβάνει αὐτούσιον τὸ ῥητὸν τοῦ Ἀποστόλου· «Ἐνῷ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις, τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων» (Ρωμ. β΄ 1)· καὶ μετὰ τὸ ῥητὸν προσέθεσε· «Νὰ λοιπόν, ὅτι καὶ σύ, ὅπως καὶ οἱ ἀδελφοί, ὑπόκεισαι ὁπωσδήποτε ὑπὸ τὸ κράτος τῆς ἁμαρτίας, ἔστω καὶ ἐὰν μόνον ὀλίγον μετέχῃς τοῦ παλαιοῦ ἀνθρώπου». Κατόπιν τοῦ διαλόγου αὐτοῦ ἐγύρισεν ὁ Πρεσβύτερος καὶ ἀμέσως ἐκάλεσε τοὺς ἀδελφούς, ἕνδεκα τὸν ἀριθμόν. Ἀφοῦ δὲ ἐξεδήλωσεν ἐνώπιόν των τὴν μετάνοιάν του, τοὺς ἐνέδυσε καὶ πάλιν μὲ τὸ μοναχικὸν σχῆμα, καὶ ἐν συνεχείᾳ τοὺς ἀπέλυσε.

15. Ἄλλος πάλιν ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα· «Γέροντα, ἐὰν ἀντιληφθῶ τὸ πταῖσμα τοῦ ἀδελφοῦ μου, εἶναι καλὸν νὰ τὸ σκεπάσω;» Ὁ Γέρων ἀπήντησεν· «Ὁσάκις σκεπάζομεν τὸ πταῖσμα τοῦ ἀδελφοῦ μας, σκεπάζει καὶ ὁ Θεὸς τὰς ἁμαρτίας μας· καὶ ὁσάκις τὸ φανερώνομεν, φανερώνει καὶ ὁ Θεὸς τὰς ἁμαρτίας μας. Ἀδελφὸν δὲ ἐννοοῦμεν εἰς τὴν περίπτωσιν αὐτὴν ἐκεῖνον, ὁ ὁποῖος κατοικεῖ πλησίον μας, ἢ συγκατοικεῖ μαζί μας, ἀλλὰ δὲν ἔχει τὸν ἴδιον πνευμα-

τικὸν πατέρα· αὐτοῦ ἀξίζει νὰ σκεπάζωμεν καὶ νὰ παραβλέπωμεν τὸ ἁμάρτημα, διότι ὁ καθεὶς πρέπει νὰ ἐξετάζῃ μετὰ προσοχῆς τὰς προσωπικάς του ἁμαρτίας.

Δι' ἐκείνους ὅμως ποὺ ἀνήκουν εἰς τὴν αὐτὴν ἀδελφότητα ὑπὸ τὸν ἴδιον πνευματικὸν πατέρα, οἱ θεσμοὶ τῶν πατέρων μᾶς διατάσσουν, ὅτι πρέπει νὰ φροντίζουν ὁ ἕνας διὰ τὸν ἄλλον, ὅπως ὁ καθεὶς φροντίζει διὰ τὰ μέλη τοῦ σώματός του, ἐπειδὴ ἡ ζωή των εἶναι κοινή, ἔστω καὶ ἐὰν ὑπάρχουν πολλὰ σώματα. Εἰς τὴν περίπτωσιν αὐτὴν ὀφείλει ὁ καθεὶς νὰ ὑπενθυμίζῃ μὲ ταπείνωσιν εἰς ἐκεῖνον ποὺ σφάλλει τὰ πρέποντα· ἐὰν δὲ δὲν διορθωθοῦν οἱ σφάλλοντες μὲ τὰς ἀδελφικὰς αὐτὰς ὑπομνήσεις, τότε νὰ ἀναφέρουν δι' αὐτοὺς εἰς τοὺς προεστῶτας καὶ τοιουτοτρόπως, διὰ τοῦ ἀδελφικοῦ αὐτοῦ ἐνδιαφέροντος, νὰ ἐξαγιάζουν τὴν μεταξύ των ἀγάπην».

16. Ἕνας ἄλλος ἀδελφὸς ἠρώτησε τὸν ἴδιον, τὸν Ἀββᾶν Ποιμένα· «Ἐὰν συναντήσω κάποιον ἀδελφόν, διὰ τὸν ὁποῖον ἤκουσα, ὅτι περιέπεσεν εἰς ἁμάρτημα, δὲν θέλω νὰ τὸν βάλω εἰς τὸ κελλί μου· ἐὰν ὅμως συναντήσω ἄλλον καλόν, ποὺ ἔχει ἀγαθὴν φήμην, εὐχαριστοῦμαι μαζί του». Ὁ Γέρων τότε τοῦ ἀπαντᾷ· «Ἐὰν προσφέρῃς μικρὰν καλωσύνην πρὸς τὸν καλόν, ὀφείλεις νὰ διπλασιάσῃς αὐτὴν χάριν ἐκείνου, ποὺ ἤκουσες, ὅτι ἔσφαλε, διότι αὐτὸς εἶναι ὁ ἄρρωστος καὶ τότε θὰ σὲ ἐλεήσῃ καὶ σὲ ὁ Θεός».

17. Εἰς κάποιον Κοινόβιον ἐμόναζεν ἕνας Μοναχός, ποὺ ἐλέγετο Τιμόθεος. Εἰς τὸ Κοινόβιον αὐτὸ διεδόθη μία κακὴ φήμη εἰς βάρος ἑνὸς ἄλλου Μοναχοῦ, ὅτι δηλαδὴ οὗτος ἡμάρτησε. Τότε ὁ Ἡγούμενος ἐζήτησε τὴν γνώμην τοῦ Τιμοθέου τί νὰ κάμῃ καὶ ὁ Τιμόθεος τὸν συνεβούλευσε νὰ τὸν ἐκδιώξῃ ἐκ τοῦ Κοινοβίου. Πράγματι λοιπὸν τὸν ἐξεδίωξεν. Ἀλλ' ἰδοὺ τί συνέβη μετὰ τὸ περιστατικὸν αὐτό! Ὁ Τιμόθεος ἠνωχλήθη ἐπικινδύνως ἀπὸ τὸν πειρασμὸν τοῦ ἐκδιωχθέντος ἀδελφοῦ καὶ παρ' ὀλίγον νὰ περιπέσῃ εἰς τὴν ἰδίαν ἁμαρτίαν! Ἐν τῇ ἀπελπισίᾳ του ὁ Τιμόθεος ἤρχισε νὰ κλαίῃ καὶ νὰ κραυγάζῃ· «Θεέ μου, συγχώρησέ με».

Εἰς τὴν κατάστασιν αὐτὴν εὑρισκόμενος ἀκούει μίαν θαυμαστὴν φωνὴν νὰ τοῦ λέγῃ· «Τιμόθεε, ὅλα αὐτὰ τὰ παθαίνεις, διότι περιεφρόνησες καὶ ἐγκατέλειψες τὸν ἀδελφόν σου κατὰ τὴν στιγμὴν τοῦ πειρασμοῦ του».

18. Κάποτε εἰς ἕνα Κοινόβιον περιέπεσεν εἰς σφάλμα ἕνας ἀδελφός. Εἰς τὴν περιοχὴν τοῦ Κοινοβίου καὶ εἰς μικρὰν ἀπ' αὐτοῦ ἀπόστασιν ἔζη κάποιος ἀσκητής, ὁ ὁποῖος ἐπὶ πολλὰ ἔτη δὲν ἐξῆλθε τοῦ κελλίου του. Πρὸς αὐτὸν λοιπὸν ἦλθεν ὁ Ἡγούμενος τοῦ Κοινοβίου καὶ τοῦ ἀνέφερε τὴν περίπτωσιν τοῦ ἀδελφοῦ ποὺ ἔσφαλε. Ὁ Α-

σκητής, μόλις ἤκουσε, συνέστησε νὰ τὸν ἐκδιώξουν ἀπὸ τὸ Κοινόβιον. Πράγματι λοιπὸν τὸν ἐξεδίωξαν καὶ ἐκεῖνος κατῆλθεν εἰς μίαν βαθεῖαν χαράδραν καὶ παρέμενεν εἰς αὐτὴν κλαίων καὶ θλιβόμενος.

Κατὰ σύμπτωσιν τὰς ἡμέρας ἐκείνας μερικοὶ ἀδελφοὶ τοῦ Κοινοβίου, μεταβαίνοντες πρὸς συνάντησιν τοῦ Ἀββᾶ Ποιμένος, διῆλθον ἀπὸ τὴν χαράδραν τῆς ὀδύνης καὶ τῶν δακρύων τοῦ ἐκδιωχθέντος ἀδελφοῦ. Ἀπὸ εὐσπλαγχνίαν κατῆλθον εἰς τὴν χαράδραν καὶ συνήντησαν τὸν δυστυχῆ ἐκεῖνον νὰ εἶναι συντετριμμένος ἀπὸ τὸν πόνον καὶ τὴν θλῖψιν. Μὲ στοργὴν δὲ καὶ γλυκύτητα τὸν παρεκάλεσαν νὰ τοὺς ἀκολουθήσῃ καὶ νὰ μεταβοῦν ὅλοι μαζὶ εἰς τὸν Ἀββᾶν Ποιμένα. Ὁ δυστυχὴς ὅμως ἐκεῖνος ἠρνεῖτο καὶ κλαίων ἔλεγε· «Ἀφήσατέ με νὰ ἀποθάνω ἐδῶ». Ἀφοῦ δὲν ἠδυνήθησαν νὰ τὸν μεταπείσουν, ἀνεχώρησαν καὶ μετέβησαν εἰς τὸν Ἀββᾶν Ποιμένα, πρὸς τὸν ὁποῖον καὶ ἐξιστόρησαν λεπτομερῶς τὴν περίπτωσιν τοῦ ἀδελφοῦ. Συγκινηθεὶς ἀπὸ τὴν ἀφήγησιν αὐτὴν ὁ Ἀββᾶς Ποιμὴν παρεκάλεσε τοὺς ἀδελφοὺς νὰ ἐπιστρέψουν εἰς τὴν χαράδραν καὶ νὰ εἰποῦν εἰς τὸν ἀδελφόν· «Σὲ καλεῖ ὁ Ἀββᾶς Ποιμὴν νὰ ἔλθῃς εἰς τὸ κελλί του».

Κατόπιν αὐτοῦ ὁ ἀδελφὸς ἦλθεν ἐπὶ τέλους πλησίον τοῦ Ἀββᾶ Ποιμένος. Μόλις τὸν εἶδεν ἀπὸ μακρὰν ὁ Ἀββᾶς Ποιμὴν ἦλθε κοντά του, τὸν ἠσπάσθη, τοῦ γλυκομίλησε, διότι ἦτο πολὺ θλιμμένος, καὶ τὸν παρεκάλει, χαριεντιζόμενος, νὰ φάγῃ ὀλίγον. Ἀφοῦ δὲ ἀνέπαυσε καὶ ἠρέμησε τὸν Μοναχὸν ἔστειλεν ἕνα ὑποτακτικόν του πρὸς τὸν Ἀσκητὴν καὶ τοῦ ἐμήνυσε τὰ ἑξῆς: «Ἀπὸ πολὺν καιρὸν εἶχον ἐπιθυμίαν νὰ σὲ γνωρίσω, διότι ἤκουον πολλὰ τὰ καλὰ διὰ σέ. Ἀλλὰ καὶ οἱ δύο μας, ἀπὸ ἀμέλειαν, δὲν κατωρθώσαμεν νὰ συναντηθῶμεν μέχρι σήμερον».

Ὁ Ἀναχωρητής, ἂν καὶ δὲν ἐξήρχετο τοῦ κελλίου του, ἤκουσε τὴν πρόσκλησιν καὶ εἶπε· «Διὰ νὰ μοῦ στείλῃ τὴν εἴδησιν αὐτὴν ὁ Γέρων κάτι τὸν ἔχει πληροφορήσει ὁ Θεός». Ἀμέσως λοιπὸν ἔφυγεν ἀπὸ τὸ μέρος, ποὺ ἐκάθητο, διὰ νὰ συναντήσῃ τὸν Ἀββᾶν Ποιμένα.

Μόλις συνηντήθησαν, ἀντήλλαξαν τὸν ἀδελφικὸν ἀσπασμὸν καὶ ἤρχισαν χαρούμενοι νὰ συζητοῦν.

Εἰς μίαν στιγμὴν λέγει πρὸς τὸν Ἀσκητὴν ὁ Ἀββᾶς Ποιμήν· «Δύο ἄνθρωποι ἔζων εἰς ἕνα χωρίον· ἔξαφνα μίαν ἡμέραν ἀπέθανον καὶ τῶν δύο αὐτῶν γειτόνων συγγενεῖς καὶ οὕτω ὁ καθεὶς εἶχεν εἰς τὸ σπίτι του νεκρόν· ὁ ἕνας ὅμως ἐξ αὐτῶν ἐγκατέλειψε τὸν νεκρὸν στὸ σπίτι του καὶ ἔφυγε διὰ νὰ κλαύσῃ τὸν νεκρὸν τοῦ γείτονός του!!» Μόλις ἤκουσε τὴν διήγησιν αὐτὴν ὁ Ἀσκητὴς συνεκινήθη καὶ ἀνελογίσθη, ὅτι εἰς αὐτὸν ἁρμόζει ἡ ἱστορία, ἐξ αἰτίας τῆς συμπεριφορᾶς του πρὸς τὸν ἐκδιωχθέντα ἀδελφὸν τοῦ Κοινοβίου, δι' αὐτὸ καὶ ἀνεφώνησεν· «Ὁ Ποιμὴν εὑρίσκεται εἰς τὸν οὐρανόν, ἐνῶ ἐγὼ κάτω εἰς τὴν γῆν».

19. Ἠρώτησαν μερικοὶ Πατέρες τὸν Ἀββᾶν Ποιμένα· «Θέλεις, Ἀβ-

βᾶ, νὰ ἐλέγξωμεν ὅποιον προσωπικῶς ἀντιληφθῶμεν, ὅτι ἁμαρτάνει;» Μὲ ἠρεμίαν τότε ὁ Ἀββᾶς τοὺς ἀπαντᾷ· «Πάντως ἐγώ, ἐὰν παραστῇ ἀνάγκη νὰ περάσω ἀπὸ τὸ μέρος, ποὺ εὑρίσκεται κάποιος καὶ τὸν ἰδῶ προσωπικῶς νὰ ἁμαρτάνῃ, θὰ προσπεράσω χωρὶς νὰ τὸν ἐλέγξω».

20. Πάλιν τὸν ἠρώτησαν· «Πῶς ὁ Ἀββᾶς Νισθερὼ ὑπέμεινε μὲ τόσην πρᾳότητα τὸν μαθητήν του;» Ὁ Ἀββᾶς Ποιμὴν τοὺς ἀπήντησε· «Ἐὰν ἤμουν ἐγὼ θὰ ἐτοποθέτουν καὶ τὸ μαξιλάρι ὑπὸ τὴν κεφαλήν του». Εἰς αὐτὸ παρετήρησεν ὁ Ἀββᾶς Ἀνούβ· «Πῶς ὅμως θὰ ἠμποροῦσες νὰ δικαιολογήσῃς τὴν συμπεριφοράν σου αὐτὴν εἰς τὸν Θεόν;» Ὁ Ἀββᾶς Ποιμὴν τοῦ ἐξήγησεν· «Θεέ μου—θὰ τοῦ εἰπῶ—Σὺ διέταξες πρῶτον νὰ βγάλῃ ὁ ἄνθρωπος τὸ δοκάρι ἀπὸ τὸν ὀφθαλμόν του καὶ τότε, ἀφοῦ ἰδῇ καθαρά, νὰ βγάλῃ τὸ μικρὸ ἀχυράκι ἀπὸ τὸν ὀφθαλμὸν τοῦ ἀδελφοῦ του» («Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου» Ματθ. ζ', 5).

21. Ἕνας ἄλλος ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα, τί νὰ κάμῃ· καὶ ὁ Ἀββᾶς Ποιμὴν τοῦ ἀπήντησε· «Τὸ τί πρέπει νὰ κάμῃς ἔχει γραφῇ εἰς τὸν ψαλμὸν τοῦ Δαβὶδ—«Τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου»—(Ψαλμὸς λζ' (37), 19).

22. Ὁ Ἀββᾶς Ποιμὴν ἦλθε κάποτε εἰς τὰ μέρη τῆς Αἰγύπτου, διὰ νὰ κατοικήσῃ. Πλησίον του διέμενεν ἀδελφὸς ἔχων συνείσακτον γυναῖκα. Τὸν ἀδελφὸν αὐτὸν οὐδέποτε ἤλεγξε διὰ τὴν παράβασιν αὐτήν. Μίαν νύκτα ἐγέννησεν ἡ γυναῖκα ἐκείνη. Ἀμέσως ὁ Ἀββᾶς Ποιμὴν ἀντελήφθη περὶ τίνος πρόκειται. Ἀντὶ ὅμως νὰ ἐλέγξῃ σκληρῶς τὸν ἁμαρτήσαντα μὲ τοιαύτην ἁμαρτίαν ἀδελφόν, ἀπ' ἐναντίας ἐκάλεσε τὸν ἀδελφὸν αὐτοῦ τὸν μικρότερον καὶ τοῦ εἶπε· «Πάρε μαζί σου ἕνα κνίδιον (μικρὸν πήλινον δοχεῖον) κρασὶ καὶ πρόσφερέ το εἰς τὸν γείτονα, διότι ἔχει ἀνάγκην σήμερον». Οἱ ἄλλοι ὑποτακτικοὶ τοῦ Ἀββᾶ Ποιμένος δὲν ἀντελήφθησαν τίποτε ἀπὸ ὅλα αὐτά. Ὁ ἀδελφὸς ἔκαμε αὐτὸ ποὺ τὸν διέταξεν ὁ Ἀββᾶς Ποιμήν.

Ὁ ἀδελφός, ποὺ ἡμάρτησε, μόλις ἐδέχθη τὸ δῶρον τῆς ἀγάπης καὶ τῆς καλωσύνης, ἐνῷ ἀνέμενεν ἐλέγχους καὶ περιφρόνησιν, κατενύγη, ἔνοιωσε τὸ ἁμάρτημά του καὶ μετ' ὀλίγας ἡμέρας ἀπεμάκρυνε τὴν γυναῖκα, ἀφοῦ τῆς ἔδωσε, διὰ συντήρησίν της, ὅ,τι εἶχε. Κατόπιν, συντετριμμένος, προσῆλθεν εἰς τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ εἶπε· «Ἐγὼ ἀπὸ σήμερα μετανοῶ». Ὁ Ἀββᾶς Ποιμὴν μὲ γλυκύτητα καὶ στοργὴν ἤρχισε νὰ τὸν ἐπιστηρίζῃ εἰς τὴν μετάνοιαν. Ἔκτισε δὲ ὁ ἀδελφὸς αὐτὸς καὶ ἕνα ἄλλο κελλάκι πλησίον τοῦ γέροντος καὶ ἀπὸ ἐκεῖ ἐπεκοινώνει τακτικὰ μὲ τὸν Ἀββᾶν Ποιμένα. Ἐκεῖνος δὲ μὲ τὴν συνετὴν διδασκαλίαν του ἐφώτιζε καὶ καθωδήγει αὐτὸν εἰς τὸν δρόμον τοῦ Θεοῦ,

πού ἔπρεπε νὰ ἀκολουθῇ. Καὶ τοιουτοτρόπως μὲ τὴν συμπεριφορὰν αὐτὴν ἐκέρδισεν ὁ Ἀββᾶς Ποιμὴν τὸν ἁμαρτήσαντα ἀδελφόν.

23. Εἰς μίαν Σκήτην συνεδρίαζον οἱ Πατέρες τῆς Σκήτης δι' ἕνα ἀδελφόν, ὁ ὁποῖος εἶχε σφάλει. Ὅλοι οἱ πατέρες ὡμίλουν καὶ ἕκαστος ἔλεγε τὴν γνώμην του· μόνον ὁ Ἀββᾶς Πίωρ ἐσιώπα καὶ ἦτο σκεπτικός. Χωρὶς δὲ νὰ γίνῃ ἀντιληπτὸς ἐξῆλθεν, ἐπῆρεν ἕνα σακκὶ καὶ τὸ ἐγέμισεν ἄμμον. Τὸ σακκὶ αὐτὸ τὸ ἐσήκωσεν εἰς τὸν ὦμόν του ὀπίσω. Συγχρόνως δὲ ἐγέμισεν ἕνα μικρὸν ὄστρακον μὲ ἄμμο καὶ τὸ ἐκρατοῦσεν εἰς τὰς χεῖρας του. Ἔτσι δὲ καθὼς ἦτο, μὲ τὸν βαρὺν σάκκον ὀπίσω εἰς τὴν πλάτην του καὶ τὸ μικρὸν ὄστρακον εἰς τὰς χεῖρας του, εἰσῆλθεν εἰς τὸ Συνέδριον.

Ἰδόντες τὸ θέαμα αὐτὸ οἱ Πατέρες τὸν ἠρώτησαν τί σημαίνουν αὐτά. Ἐκεῖνος τότε ἀπήντησε· «Τὸ σακκὶ αὐτὸ μὲ τὴν πολλὴν ἄμμον εἶναι τὰ πλημμελήματά μου, τὰ ὁποῖα, ἐπειδὴ εἶναι πολλὰ καὶ ἀναρίθμητα, ἔρριξα ὀπίσω μου, διὰ νὰ μὴ τὰ βλέπω, καὶ νὰ μὴ κουρασθῶ διὰ τὴν ἐξάλειψίν των καὶ νὰ κλαύσω δι' αὐτά. Καὶ ἰδοὺ τώρα! Ἔχω τοποθετήσει ἔμπροσθέν μου τὰ ἐλάχιστα πλημμελήματα τοῦ ἀδελφοῦ μου καὶ εἰς αὐτὰ ἀπασχολοῦμαι φλυαρῶν καὶ κατακρίνων τὸν ἀδελφόν μου. Δὲν πρέπει ὅμως νὰ κάμω ἔτσι· ἀπ' ἐναντίας πρέπει νὰ φέρω ἔμπροσθέν μου τὰ προσωπικά μου ἁμαρτήματα καὶ νὰ παρακαλῶ τὸν Θεὸν νὰ μὲ συγχωρήσῃ δι' αὐτά». Εἰς τὸ ἄκουσμα τῶν βαθυστοχάστων αὐτῶν λόγων, κατανυγέντες οἱ Πατέρες ἠγέρθησαν καὶ ἀνεφώνησαν· «πράγματι αὕτη εἶναι ἡ ὁδὸς τῆς σωτηρίας»!

24. Ὁ Ἀββᾶς Παφνούτιος ἀνέφερε τὸ ἑξῆς περιστατικόν· κάποτε —λέγει—ἐνῷ ἐβάδιζα, ἔχασα τὸν δρόμον καὶ περιεπλανήθην, εὑρεθεὶς πλησίον ἑνὸς χωρίου. Ἔξαφνα συνήντησα δύο ἄτομα, ἕνα ἄνδρα καὶ μίαν γυναῖκα, νὰ εὑρίσκωνται μεταξύ των εἰς στάσιν ἀπρεπῆ. Ἀμέσως τότε ἤρχισα νὰ προσεύχωμαι διὰ τὰς ἁμαρτίας μου, διὰ νὰ μὴ μοῦ μείνῃ εὐκαιρία νὰ κατακρίνω καὶ τοιουτοτρόπως ἀπεμακρύνθην. Καθ' ὁδὸν ἐνεφανίσθη ἐνώπιόν μου Ἄγγελος μὲ μίαν ῥομφαίαν εἰς τὴν χεῖρα καὶ μοῦ λέγει· «Παφνούτιε, ὅλοι οἱ κατακρίνοντες τοὺς ἀδελφούς των, μὲ αὐτὴν τὴν ῥομφαίαν (τὸ σπαθὶ) φονεύονται. Σὺ ὅμως, ἐπειδὴ δὲν κατέκρινες, ἀλλ' ἐταπεινώθης ἀπέναντι τοῦ Θεοῦ, ὡς νὰ ἦσουν σύ, ποὺ ἔπραξες τὴν ἁμαρτίαν, διὰ τοῦτο τὸ ὄνομά σου ἀνεγράφη εἰς τὸ βιβλίον τῆς ζωῆς».

25. Ἕνας Γέρων Ἀσκητὴς ἔλεγε· «Μὴ κατακρίνῃς τὸν πόρνον, ἐὰν σὺ διατηρῆσαι σώφρων· διότι τοιουτοτρόπως καὶ σὺ γίνεσαι παραβάτης νόμου. Ὁ ἴδιος—δηλαδὴ ὁ Θεὸς—ποὺ εἶπε μὴ πορνεύσῃς, εἶπε καὶ μὴ κατακρίνῃς».

26. Διηγοῦντο τὸ ἑξῆς περιστατικόν, δι' ἕνα ἅγιον Γέροντα, ποὺ

παρέμενεν εἰς τὴν Αἴγυπτον. Οὗτος εἶχε ἕνα μόνον μικρὸ κελλάκι, εἰς τὸ ὁποῖον εἶχεν συνήθειαν νὰ προσέρχεται, διὰ νὰ ὠφεληθῇ, ἕνας ἀδελφός· τὴν αὐτὴν συνήθειαν εἶχε καὶ μία παρθένος.

Μίαν ἡμέραν συνηντήθησαν καὶ οἱ δύο εἰς τὸ μικρὸ κελλάκι τοῦ Γέροντος. Ἐν τῷ μεταξὺ ἐβράδυασε καὶ ἦτο ἀδύνατον νὰ ἀναχωρήσουν. Ὁ Γέρων τότε ἔστρωσε τὴν ψάθα καὶ ἐκοιμήθησαν καὶ οἱ τρεῖς μαζί, μὲ τὸν Γέροντα εἰς τὸ μέσον αὐτῶν. Τὴν νύκτα, ὑπὸ τὴν ἐπήρειαν τοῦ δαίμονος, ἐπολεμήθησαν ὁ ἀδελφὸς καὶ ἡ παρθένος καὶ διέπραξαν ἁμαρτίαν. Ὁ Γέρων, καίτοι ἀντελήφθη τὸ συμβάν, ἐν τούτοις τίποτε δὲν εἶπεν εἰς αὐτούς. Ἀπ' ἐναντίας τὸ πρωῒ μὲ καλωσύνην τοὺς κατευώδωσε, χωρὶς νὰ ἐπιδείξῃ πρὸς αὐτοὺς οὐδεμίαν σκληρότητα. Ἐκεῖνοι δὲ ἐνῷ ἐπροχώρουσαν πρὸς τὴν πόλιν ἤρχισαν νὰ δοκιμάζουν σκληρὰς τύψεις τῆς συνειδήσεως, νὰ μετανοοῦν δι' ὅσα ἔκαμαν καὶ νὰ ὑποφέρουν πάρα πολύ.

Ἀντὶ λοιπὸν νὰ συνεχίσουν τὴν πορείαν των πρὸς τὴν πόλιν, ἐγύρισαν ὀπίσω πρὸς τὸν Γέροντα, μετενόησαν καὶ ἤρχισαν μετὰ δακρύων νὰ ἐξομολογοῦνται πρὸς αὐτόν· «Ἀββᾶ—τοῦ λέγουν—δὲν ἐπῆρες εἴδησιν πῶς μᾶς διεπόμπευσεν ὁ σατανᾶς καὶ μᾶς ἔκαμνε νὰ ἁμαρτήσωμεν;» «Τὸ ἀντελήφθην», ἀπήντησεν ὁ Γέρων. Τότε καὶ οἱ δύο κατάπληκτοι τὸν ἐρωτοῦν· «καὶ ποῦ ἦτο ὁ νοῦς σου αὐτὴν τὴν ὥραν καὶ δὲν μᾶς ἐμπόδισες ἀπὸ τὴν βδελυρὰν καὶ αἰσχρὰν ἐκείνην πρᾶξιν, διὰ τὴν ὁποίαν τώρα φλογίζονται ἀπὸ τὴν λύπην καὶ μεταμέλειαν αἱ καρδίαι μας;» Εἰς ἀπάντησιν ὁ Γέρων μὲ συγκίνησιν τοὺς λέγει· «Ἐκείνην τὴν ὥραν ὁ νοῦς μου εὑρίσκετο ἔμπροσθεν τοῦ Γολγοθᾶ, ὅπου ἐσταυρώθη ὁ Χριστὸς καὶ ἐκεῖ παρέμενε κλαίων». Ἀφοῦ δὲ ἔλαβον τὸν κανόνα τῆς μετανοίας των ἀπὸ τὸν Γέροντα, ἀνεχώρησαν ἀναδειχθέντες σκεύη ἐκλογῆς.

27. Εἰς ἐκείνους τοὺς χρόνους ἔζη ἕνας Γέρων Μοναχός, ὁ ὁποῖος ἔτρωγε τρία μόνον παξιμάδια τὴν ἡμέραν. Κάποτε τὸν ἐπεσκέφθη ἕνας ἀδελφός. Ὅταν ἦλθεν ἡ ὥρα τοῦ φαγητοῦ, ὁ Γέρων παρέθηκεν εἰς τὸν ἀδελφὸν τρία παξιμάδια. Μετά, ἐπειδὴ ἀντελήφθη ὅτι πεινᾷ ἀκόμη, τοῦ ἔφερεν ἄλλα τρία. Ἀφοῦ λοιπὸν ἐχόρτασαν καὶ ἠγέρθησαν ἐκ τῆς τραπέζης, ὁ Γέρων ἐπετίμησε τὸν ἐπισκέπτην του καὶ τοῦ εἶπε· «Δὲν πρέπει, ἀδελφέ μου, νὰ φροντίζῃς τόσον πολὺ διὰ τὸ σαρκίον». Ὁ ἐπισκέπτης ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα καὶ ἀνεχώρησε.

Τὴν ἐπομένην ἡμέραν, κατὰ τὴν ὥραν τοῦ φαγητοῦ, ἔφαγε, κατὰ τὴν συνήθειαν, τὰ τρία παξιμάδια ὁ Γέρων, ἀλλ' ἤρχισε νὰ πεινᾷ. Πάντως συνεκράτει τὸν ἑαυτόν του. Τὸ ἴδιον πάλιν συνέβη καὶ τὴν ἐπομένην ἡμέραν. Κατεχόμενος ἀπὸ ἰσχυρὸν αἴσθημα πείνης ὑπέφερε τρώγων τὰ τρία μόνον παξιμάδια, ἀλλὰ καὶ δὲν ἀπεφάσιζε νὰ παραβῇ τὴν συνήθειάν του. Τοῦτο εἶχεν ὡς ἀποτέλεσμα νὰ ἀδυνατίσῃ. Ἐπειδὴ ὅμως τὸ φαινόμενον αὐτὸ δὲν εἶχε συμβῆ ἐπὶ τόσα ἔτη ἀσκήσεως,

ἀλλὰ μόνον τώρα τελευταίως, ἀντελήφθη ὁ Γέρων ὅτι τοῦτο ἦτο ἐγκατάλειψις Θεοῦ. Ἤρχισε τότε μετὰ δακρύων καὶ γονυκλισιῶν νὰ παρακαλῇ τὸν Θεὸν νὰ τοῦ φανερώσῃ διὰ ποίαν αἰτίαν τὸν ἐγκατέλειψεν, ὥστε νὰ μετανοήσῃ. Παρουσιασθεὶς τότε Ἄγγελος Κυρίου τοῦ εἶπε· «Αὐτὸ σοῦ συνέβη, διότι κατέκρινες τὸν ἀδελφόν σου καὶ διὰ νὰ μάθῃς, ὅτι ἐκεῖνος, ποὺ ἐγκρατεύεται, ἢ πραγματοποιεῖ ἄλλην ἀρετήν, δὲν τὸ ἐπιτυγχάνει ἐξ ἰδίας δυνάμεως, ἀλλ' ἡ ἀγαθότης καὶ ἡ Χάρις τοῦ Θεοῦ τὸν ἐνισχύει».

28. Ἕνας ἅγιος ἄνθρωπος, μόλις εἶδε κάποιον νὰ ἁμαρτάνῃ, εἶπε μὲ δάκρυα· «αὐτὸς ἡμάρτησε σήμερα καὶ ἐγὼ ὁπωσδήποτε αὔριο».

29. Ὁ ἴδιος πάλιν εἰς ἄλλην περίπτωσιν εἶπεν· «Ἐὰν κανεὶς μὲ ὁποιονδήποτε τρόπον ἁμαρτήσῃ ἐνώπιόν σου, μὴ τὸν κατακρίνῃς, ἀλλὰ νὰ θεωρῇς τὸν ἑαυτόν σου ἁμαρτωλότερον ἀπὸ ἐκεῖνον, ἔστω καὶ ἐὰν πρόκειται περὶ κοσμικοῦ».

30. Ἕνας ἀπὸ τοὺς ἀσκητικοὺς πατέρας εἶπε τὸ ἑξῆς· «Δὲν ὑπάρχει κάτω ἀπὸ τὸν οὐρανὸν γένος καλύτερον ἀπὸ τοὺς Χριστιανούς, οὔτε μεταξὺ τῶν Χριστιανῶν τάξις καλυτέρα ἀπὸ τοὺς Μοναχούς. Ἐκεῖνα τὰ ὁποῖα βλάπτουν καὶ τοὺς Χριστιανοὺς καὶ τοὺς Μοναχοὺς περισσότερον ἀπὸ κάθε ἄλλο, εἶναι ἡ μεταξύ των μνησικακία καὶ ἡ κατάκρισις, τὰ ὁποῖα ἐφ' ὅσον δυνηθῇ κανεὶς καὶ ἀπομακρύνῃ ἀπὸ τὴν καρδίαν του, θὰ ζήσῃ πραγματικῶς ἀγγελικὸν βίον ἐπάνω εἰς τὴν γῆν».

31. Εἰς ἕνα Κοινόβιον ἔζων δύο ἀδελφοὶ ἀπὸ νεαρᾶς ἡλικίας, ἕως ὅτου ἐμεγάλωσαν εἰς τὸν μοναχικὸν βίον. Οὗτοι ἠξιώθησαν ὑπὸ τοῦ Θεοῦ νὰ βλέπῃ ὁ ἕνας εἰς τὸ πρόσωπον τοῦ ἄλλου ἕνα ὁρατὸν ἐξωτερικὸν σημεῖον Χάριτος. Κάποτε λοιπὸν ἕνας ἀπ' αὐτοὺς ἐβγῆκεν ἀπὸ τὸ Κοινόβιον διὰ μίαν ὑπηρεσίαν· ἦτο ἡμέρα Παρασκευή. Κατὰ σύμπτωσιν πρωῒ-πρωῒ εἶδε κάποιον νὰ τρώγῃ καὶ νὰ μὴ σέβεται τὴν ἡμέραν. Τότε ὁ Μοναχὸς τὸν ἤλεγξε, διότι χωρὶς νὰ λάβῃ ὑπ' ὄψιν του τὴν ἐπιβεβλημένην νηστείαν τῆς Παρασκευῆς ἔτρωγε πρωῒ-πρωΐ.

Ἀφοῦ ἐξεπλήρωσε τὴν ἀποστολήν του ἐπανῆλθεν εἰς τὸ Κοινόβιον ὁ Μοναχός. Κατὰ τὴν καθιερωμένην λοιπὸν σύναξιν εἶδε κατὰ πρόσωπον τὸν ἐπιστρέψαντα Μοναχὸν ὁ ἀδελφὸς αὐτοῦ καὶ δὲν διέκρινε τὸ σημεῖον τῆς Χάριτος, ὡς συνήθως, καὶ ἐλυπήθη. Ἀφοῦ δὲ ἐπέστρεψαν εἰς τὸ κελλίον, περίλυπος τὸν ἐρωτᾷ:

—Τί ἔκαμες, ἀδελφέ μου, καὶ δὲν ἐμφανίζεται εἰς τὸ πρόσωπόν σου τὸ σημεῖον τῆς Χάριτος τοῦ Θεοῦ;

— Εἰλικρινῶς σοῦ λέγω, ὅτι ἡ συνείδησίς μου δὲν μὲ ἐλέγχει οὔτε διὰ πονηρὰν πρᾶξιν, ἀλλ' οὔτε καὶ δι' αἰσχρὸν λογισμόν.

— Μήπως εἶπες τίποτε εἰς κανένα;

Ἀφοῦ λοιπὸν ἐσκέφθη καλῶς ὁ Μοναχός, ἐνεθυμήθη τὴν περίπτωσιν ἐκείνου, ποὺ ἔτρωγε τὸ πρωῒ τῆς Παρασκευῆς, καὶ εἶπε· «Χθὲς ἔξω τοῦ Κοινοβίου εἶδον τινὰ τρώγοντα καὶ εἶπον εἰς αὐτόν· σήμερον Παρασκευὴν τρώγεις ἀπ' αὐτὴν τὴν ὥραν;». Αὐτὴ λοιπὸν εἶναι ἡ ἁμαρτία μου, συνεπέρανε. Καὶ τότε παρεκάλεσε τὸν ἀδελφὸν λέγων· «Ἔλα λοιπὸν νὰ συγκοπιάσωμεν εἰς μετάνοιαν δύο ἑβδομάδας καὶ νὰ παρακαλέσωμεν τὸν Θεὸν νὰ μὲ συγχωρήσῃ».

Πράγματι λοιπὸν ἔτσι ἔκαμαν καὶ μετὰ δύο ἑβδομάδας εἶδε καὶ πάλιν ὁ ἀδελφὸς τὸ ὁρατὸν σημεῖον εἰς τὸ πρόσωπον τοῦ ἑτέρου, ἀπόδειξις, ὅτι ἦλθε καὶ πάλιν ἡ Χάρις τοῦ Θεοῦ εἰς αὐτόν. Μὲ αὐτὸ παρηγορήθησαν καὶ ηὐχαρίστησαν τὸν Θεόν.

32. Ἕνας ἀδελφὸς ἠρώτησε Γέροντα·—Ἐὰν μεταβῶ εἰς διακριτικὸν Γέροντα, διὰ νὰ τὸν ἐρωτήσω, ἐὰν πρέπει νὰ παραμείνω εἰς κάποιον, καὶ ἐκεῖνος γνωρίζει, ὅτι αὐτὸ τὸ πρᾶγμα δὲν εἶναι συμφέρον τῆς ψυχῆς μου, τί πρέπει νὰ μοῦ ἀπαντήσῃ; Ἐὰν μοῦ εἴπῃ, μὴ πηγαίνεις, δὲν τὸν κατέκρινε τότε μὲ τὸν λογισμόν του;

— Αὐτὴν τὴν λεπτολόγον διάθεσιν, δηλαδὴ τὴν λεπτομερῆ ἀνίχνευσιν τῶν σκέψεων, ὀλίγοι μόνον τὴν διαθέτουν, ἀπήντησεν ὁ Γέρων· πάντως ἐὰν ἡ ἐνέργειά του ὀφείλεται εἰς πάθος, δηλαδὴ ἀπὸ ἐμπάθειαν καὶ μῖσος ἀπαντήσῃ δυσμενῶς δι' ἕνα ἄνθρωπον ἢ τὸν κατηγορήσῃ, τὸν ἑαυτόν του βλάπτει, διότι ὁ λόγος του δὲν ἔχει καμμίαν ἀξίαν. Πάντως τὸ συμφέρον τῆς ψυχῆς του ἀπαιτεῖ, εἰς τὴν περίπτωσιν αὐτήν, νὰ ἀπαντήσῃ, ὅτι δὲν γνωρίζω νὰ σὲ πληροφορήσω δι' αὐτό, ποὺ ζητεῖς καὶ νὰ ἐλευθερώσῃ τὸν ἑαυτόν του ἀπὸ τὸ πάθος. Ἐφ' ὅσον δὲ ἐλευθερωθῇ ἀπὸ τὸ πάθος, κανένα δὲν κατακρίνει πλέον, ἀλλὰ κατακρίνων τὸν ἑαυτόν του προφασίζεται ἄγνοιαν τοῦ περὶ οὗ ἐρωτᾶται, λέγων· «Ἐκ φύσεως, ἀδελφέ μου, εἶμαι ἀκοινώνητος καὶ δὲν συναναστρέφομαι κανένα· μὴ μὲ ἐρωτᾷς λοιπόν».

Ἐφ' ὅσον δὲ ὁ ἐρωτῶν εἶναι συνετὸς δὲν πηγαίνει εἰς τὸ πρόσωπον ἐκεῖνο, διότι ἀντελήφθη τὸ νόημα τοῦ Γέροντος καὶ τὴν ἀγαθήν του πρόθεσιν, ὅτι μεριμνῶν διὰ τὴν ἰδικήν του σωτηρίαν ὡμίλησεν οὕτως. Διὰ τοῦτο καὶ ὁ λόγος τοῦ συμβουλεύοντος εἶναι δυνατὸς νὰ πληροφορήσῃ τὸν ἀκούοντα, ὥστε νὰ ἐφαρμόσῃ τὴν συμβουλήν.

33. Ἐπληροφορήθη κάποτε ἕνας Ἅγιος Ἀσκητής, ὅτι ἕνας ἀδελφὸς περιέπεσεν εἰς πορνείαν καὶ εἶπε· ὤ, ἄσχημα ἔκανε!

Μετὰ ἀπὸ ὀλίγας ἡμέρας ἀπέθανεν ἐκεῖνος ὁ ἀδελφός. Ἀμέσως λοιπὸν ἐνεφανίσθη εἰς τὸν Γέροντα ἕνας Ἄγγελος Κυρίου, συνοδεύων τὴν ψυχὴν τοῦ κοιμηθέντος ἀδελφοῦ καὶ τοῦ λέγει μὲ αὐστηρότητα:

— Κοίταξε αὐτὸν ποὺ κατέκρινες, ἐκοιμήθη! Ποῦ διατάσσεις λοιπὸν νὰ τὸν τοποθετήσω, εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν ἢ εἰς τὴν κόλασιν;

Ὁ Γέρων μετὰ τὴν ὀπτασίαν αὐτὴν παρέμεινεν ἕως τὸ τέλος τῆς ζωῆς του, παρακαλῶν τὸν Θεόν, μετὰ δακρύων πολλῶν καὶ σκληρῶν ἀγώνων μετανοίας, νὰ τὸν συγχωρήσῃ διὰ τὸ ἁμάρτημα αὐτό.

34. Ἕνας Γέρων εἶπε κάποτε· ἐὰν ἰδῇς κανένα νὰ τρώγῃ πολὺ καὶ ἀδιακρίτως ἢ νὰ γελᾷ ἀδιαφόρως, μὴ τὸν κατακρίνῃς· εἰπέ, καλύτερα, εὐτυχὴς ὁ ἄνθρωπος αὐτός, διότι δὲν ἔχει ἁμαρτίας καὶ δι' αὐτὸ χαίρεται ἡ ψυχή του.

35. Ἕνας Ἅγιος Γέρων Ἀσκητὴς εἶπεν· ἐὰν ἰδῇς κάποιον μὲ τὰ μάτια σου νὰ πίπτῃ εἰς τὴν ἁμαρτίαν, ἀμέσως νὰ εἰπῇς· ἀνάθεμα εἰς ἐσένα, σατανᾶ [1]. Μὲ τὸν τρόπον δὲ αὐτὸν περιφρουρεῖς τὴν καρδίαν σου ἀπὸ τὴν κατάκρισιν καὶ δὲν ἀναχωρεῖ ἀπὸ σὲ τὸ Πνεῦμα τὸ Ἅγιον. Ἐν συνεχείᾳ δὲ νὰ λέγῃς εἰς τὸν ἑαυτόν σου· ὅπως αὐτὸς ἐνικήθη ὑπὸ τοῦ ἐχθροῦ, τοιουτοτρόπως εἶναι ἐνδεχόμενον νὰ νικηθῶ καὶ ἐγώ. Μὲ δάκρυα δὲ νὰ ζητῇς τὴν βοήθειαν τοῦ Θεοῦ καὶ νὰ συμπαθῇς αὐτόν, ποὺ χωρὶς τὴν θέλησίν του ἔπαθε, διότι, πράγματι, κανεὶς δὲν θέλει νὰ ἁμαρτήσῃ ἐνώπιον τοῦ Θεοῦ, ἀλλὰ ὅλοι, ὁσάκις ἁμαρτάνομεν, ἐξαπατώμεθα ὑπὸ τοῦ Διαβόλου.

36. Ἕνας ἄλλος Ἀσκητὴς διηγήθη τὸ ἑξῆς περιστατικόν. Κάποτε παρέμενα εἰς ἕνα ἀπομακρυσμένον σημεῖον τῆς ἐρήμου. Μὲ ἐπεσκέφθη λοιπὸν μίαν φορὰν ἕνας γνωστὸς ἀδελφὸς ἀπὸ τὸ Κοινόβιον.

— Τί κάμουν—τοῦ λέγω—οἱ Πατέρες;

— Δι' εὐχῶν σου εἶναι καλὰ καὶ ὑγιαίνουν, μοῦ ἀπαντᾷ.

Κατόπιν τὸν ἠρώτησα καὶ διὰ κάποιον ἀδελφὸν ἔχοντα κακὴν φήμην καὶ μοῦ λέγει:

— Σὲ διαβεβαιῶ, Γέροντά μου, ὁ ἴδιος εἶναι πάντοτε, εἰς τίποτε δὲν ἤλλαξεν. Εἰς τὴν πληροφορίαν αὐτὴν δὲν εἶπα τίποτα, ἁπλῶς μία λέξις ἐξέφυγε ἀπὸ τὰ χείλη μου, ὡς αὐθόρμητος πόνος.

— Οὔφ! ἔκαμα.

Καὶ ὅμως ἰδοὺ τί μοῦ συνέβη. Μόλις εἶπα αὐτό, ἀμέσως κατελήφθην ἀπὸ τὴν ἀνάγκην τοῦ ὕπνου καὶ περιέπεσα εἰς ἔκστασιν, καὶ βλέπω ὅτι εὑρέθην ἐπάνω εἰς τὸν Ἅγιον τόπον τοῦ Κρανίου τοῦ Γολγοθᾶ καὶ ἐπ' αὐτοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐσταυρωμένον μεταξὺ τῶν δύο λῃστῶν. Ἀπὸ πόνον καὶ συγκίνησιν ὥρμησα νὰ προσκυνήσω τὸν Κύριόν μας. Μόλις ὅμως ἐπλησίασα, ὁ Κύριος ἐστράφη πρὸς τοὺς παρισταμένους πλησίον του Ἁγίους Ἀγγέλους καὶ μὲ ἰσχυρὰν φωνὴν τοὺς διατάσσει.

— Ἐκδιώξατέ τον αὐτόν, διότι εἶναι δι' ἐμὲ ἀντίχριστος· πρὶν ἐγὼ δικάσω, αὐτὸς κατέκρινε τὸν ἀδελφόν του.

---

1) Ἡ φράσις αὐτὴ δὲν θεωρεῖται βλασφημία, διότι ὁ σατανᾶς οὕτως ἢ ἄλλως εἶναι κατηραμένος ἀπὸ τὸν Θεόν.

Ἐνῷ δὲ ἐξεδιωκόμην βιαίως ἀπὸ τὸν θαυμαστὸν ἐκεῖνον χῶρον, κλείει ἔξαφνα ἡ θύρα καὶ μοῦ πιάνει τὸ ῥάσον μου. Ἐγὼ τὸ ἄφησα καὶ ἔφυγα καὶ ἀμέσως ἐξύπνησα.

Ἐμβαθύνων δὲ καὶ ἐξηγῶν τὰ ὅσα εἶδα, λέγω εἰς τὸν ἐπισκέπτην ἀδελφόν.

— Αὐτὴ ἡ ἡμέρα εἶναι δι' ἐμὲ πονηρὰ καὶ ἁμαρτωλή.

— Διατί, πάτερ; μὲ ἐρωτᾷ ὁ ἀδελφός. Τότε τοῦ ἐξιστόρησα τὸ ὅραμά μου. Τὸ πλέον θαυμαστόν, ἀλλὰ καὶ δι' ἐμὲ ὀδυνηρόν, ὑπῆρξεν ἡ στέρησις τοῦ ῥάσου, τὸ ὁποῖον συμβολίζει τὴν σκέπην τοῦ Θεοῦ, καὶ τὸ ὁποῖον ἐκρατήθη ἀπὸ τὴν θαυμαστὴν ἐκείνην θύραν.

Ἀπὸ τότε, ἐπὶ ἑπτὰ ἔτη περιεπλανώμην ἐνώπιον τοῦ Κυρίου τῆς Δόξης εἰς τὰς ἐρήμους, χωρὶς νὰ γεύωμαι ἄρτου, χωρὶς νὰ παραμένω ὑποκάτω στέγης, χωρὶς νὰ συναναστρέφωμαι μὲ ἀνθρώπους. Καὶ τότε μόνον ἡσύχασα, ὅταν εἶδον καὶ πάλιν τὸν Κύριόν μου εἰς τὸν Κρανίου τόπον, ὅπως καὶ τὴν πρώτην φοράν, καὶ ἐπέτρεψε νὰ μοῦ ἐπιστραφῇ τὸ ῥάσον, δεῖγμα τῆς ἐπανόδου εἰς ἐμὲ τῆς σκέπης τοῦ Θεοῦ.

37. Κάποιος ἠρώτησεν ἕνα Γέροντα.

— Διατὶ δὲν ἠμπορῶ νὰ συγκατοικήσω μὲ ἀδελφούς;

— Διότι—τοῦ ἀπήντησε ὁ Γέρων—δὲν φοβεῖσαι τὸν Θεόν. Ἐὰν εἶχες ὑπ' ὄψιν σου—συνέχισε—τὴν γραφήν, ποὺ ἀναφέρει, ὅτι ὁ Λὼτ ἐσώθη μέσα εἰς τὰ Σόδομα, ἐπειδὴ δὲν κατέκρινε κανένα, τότε καὶ σὺ θὰ ἠμποροῦσες καὶ μὲ θηρία ἀκόμη νὰ συγκατοικήσης χωρὶς κανένα φόβον.

38. Ἕνας Ἀσκητὴς διηγεῖτο, ὅτι ἐπὶ εἴκοσιν ἔτη ἐπέμεινε ἀγωνιζόμενος δι' ἕνα μόνον λογισμὸν καὶ παρακαλῶν τὸν Θεὸν νὰ τοῦ δώσῃ τὴν δύναμιν νὰ θεωρῇ ὅλους τοὺς ἀνθρώπους ὡς ἕνα, χωρὶς διακρίσεις.

Θ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΗ ἐξουθένει κοσμικόν, Μοναχέ, ἐν τῇ διανοίᾳ σου· μόνον γὰρ ὁ Κύριος γινώσκει τὰ κρύφια τῆς καρδίας· τίμα δὲ πάντας διὰ τὸν Κύριον ὅπως καὶ σὲ τιμήσῃ ὁ πάντων Κύριος.

Ἑρμηνεία

ΜΟΝΑΧΕ, νὰ μὴ ἐκμηδενίζῃς τὸν κοσμικὸν εἰς τὴν σκέψιν σου, διότι μόνον ὁ Κύριος γνωρίζει τὰ κρύφια τῆς καρδίας τῶν ἀνθρώπων. Διὰ τὴν ἀγάπην τοῦ Θεοῦ ὅλους νὰ τιμᾷς, ὥστε νὰ τιμήσῃ καὶ σὲ ὁ Κύριος τῶν ὅλων.

Ι'. Τοῦ Πατρὸς

ΘΑΥΜΑΣΙΩΣ ὁ Πατὴρ τὸ ἐν τῇ διανοίᾳ σου προσέθηκεν· ἔστι γάρ ποτε τοὺς κοσμικοὺς ἅπαντας τῇ γλώττῃ συμφερόντως ἐξουθενεῖν διὰ τοὺς φιλοκόσμους τῶν Μοναχῶν, ἢ τοὺς τῇ ἀπογνώσει ἐγγίζοντας, καθὰ καὶ αὐτὸς οὕτως ἐν ἄλλῳ διαφόρως ἐδίδαξεν.

Ἑρμηνεία

ΠΑΡΑ πολὺ ὡραῖα ὁ Ὅσιος Πατὴρ Ἐφραὶμ ἐτοποθέτησεν εἰς τὴν ἀνωτέρω συμβουλήν του τὰς λέξεις καὶ τὴν ἔννοιαν «ἐν τῇ διανοίᾳ σου»· διότι εἶναι δυνατὸν νὰ ἐξουθενῇ κανεὶς τοὺς κοσμικούς, διὰ τῆς γλώσσης του μόνον, χωρὶς νὰ μετέχῃ καὶ ἡ διάνοιά του, πρὸς τὸ συμφέρον Μοναχῶν τινῶν, οἵτινες αἰσθάνονται ἀγάπην καὶ κλίσιν πρὸς τὸν κόσμον, ἢ κινδυνεύουν νὰ περιπέσουν, ἀπὸ ἐλέγχους τῆς συνειδήσεως, εἰς ἀπόγνωσιν, ὅπως ἄλλωστε καὶ ὁ ἴδιος ὁ Ἅγιος Ἐφραὶμ εἰς ἄλλην περίπτωσιν οὕτως ἐδίδαξεν.



ὙΠΟΘΕΣΙΣ Γʹ

Ὅτι οὐ δεῖ τινα ἐν τοῖς μὴ κατ' ἐντολὴν σκανδαλίζειν· καὶ τί δύναται τὸ τοῦ σκανδάλου ὄνομα· καὶ ὅτι οὐ δεῖ σκανδαλίζεσθαι· τοὺς δὲ σκανδαλιζομένους θεραπεύειν.

Δὲν πρέπει κανεὶς νὰ σκανδαλίζῃ μὲ πράξεις, ἐκτελουμένας χωρὶς ἐντολήν. Καὶ τί ἠμπορεῖ νὰ κάμῃ τὸ σκάνδαλον. Δὲν πρέπει κανεὶς νὰ σκανδαλίζεται· Νὰ θεραπεύῃ δὲ τοὺς σκανδαλιζομένους.

Αʹ Ἐν τῷ Γεροντικῷ

ἈΔΕΛΦΟΙ ἀπὸ Κοινοβίου ἐξελθόντες, παρέβαλον εἰς τὴν ἔρημον πρὸς Ἀναχωρητήν· ὁ δὲ ἐδέξατο αὐτοὺς μετὰ χαρᾶς, καὶ ὡς ἔθος ἐστὶ τοῖς ἐρημίταις, ἰδὼν αὐτοὺς ἀπὸ κόπου, παρέθηκε τράπεζαν παρὰ τὴν ὥραν, καὶ εἴ τι εἶχε παρέθηκεν αὐτοῖς, καὶ ἀνέπαυσεν αὐτούς· ὅτε δὲ ὀψὲ ἐγένετο, ἔβαλον τοὺς δώδεκα ψαλμούς, ὁμοίως καὶ τὴν νύκτα· ὡς δὲ ὁ γέρων κατὰ μόνας ἠγρύπνει, ὡς ἤκουσεν αὐτῶν κοινολογουμένων πρὸς ἀλλήλους καὶ λεγόντων ὅτι οἱ Ἀναχωρηταὶ εἰς τὴν ἔρημον ἀναπαύονται πλεῖον ἡμῶν τῶν ἐν Κοινοβίοις, καὶ μελλόντων αὐτῶν ὑπάγειν πρωῒ πρὸς τὸν γέροντα, τὸν γείτονα αὐτοῦ, εἶπεν αὐτοῖς· ἀσπάσασθε αὐτὸν ἐξ ἐμοῦ καὶ εἴπατε αὐτῷ· μὴ ποτίσῃς τὰ λάχανα· ὁ δὲ ἀκούσας ἐνόησε τὸ ῥῆμα, καὶ ἐκράτησεν αὐτοὺς ἕως ἑσπέρας ἐργαζομένους νήστεις· ὡς ἐγένετο ὀψέ, ἐποίησε μεγάλην σύναξιν καὶ εἶπε· καταλύσωμεν ὅτι ἀπὸ κόπου ἐστέ· καὶ εἶπε πάλιν· οὐκ ἔχομεν ἔθος καθ' ἡμέραν ἐσθίειν, δι' ὑμᾶς δὲ γευόμεθα μικρόν· καὶ παρέθηκεν αὐτοῖς ἄρτον ξηρὸν καὶ ἅλας εἰπών· χρεία ἐστὶ δι' ὑμᾶς ἑορτὴν ποιῆσαι· καὶ ἔβαλεν ὀλίγον ἅλας εἰς τὸ ὄξος, καὶ ἀναστάντες μετὰ τὸ φαγεῖν, ἔβαλον σύναξιν ἕως μεσονυκτίου καὶ λέγει αὐτοῖς· οὐ δυνάμεθα δι' ὑμᾶς τελέσαι ὅλον τὸν κανόνα, ἵνα ἀναπαύσησθε μικρόν· πρωΐας δὲ γενομένης, ἤθελον ἀπελθεῖν· ὁ δὲ παρεκάλει αὐτοὺς λέγων· μείνατε χρόνον μεθ' ἡμῶν· εἰ δὲ μή, κἂν διὰ τὴν ἐντολὴν κατὰ τὸ ἔθος τῆς ἐρήμου τρεῖς ἡμέρας· οἱ δὲ ἰδόντες ὅτι οὐκ ἀπολύει αὐτούς, ἀναστάντες ἔφυγον λάθρα.

2. Κατῆλθόν ποτε δύο Μοναχοὶ ἀπὸ Αἰγύπτου εἰς Σκῆτιν, καὶ παρέβαλον τοῖς γέρουσι καὶ μετὰ τὸ συντυχεῖν, ὡς ἐκαθέσθησαν φαγεῖν, εἶδον τοὺς σκητιώτας λαύρως ἐσθίοντας ὡς ἀπὸ λιμοῦ τῆς αὐτῶν ἀσκήσεως, καὶ ἐσκανδαλίσθησαν· μαθὼν δὲ τοῦτο ὁ Πρεσβύτερος, ἠθέλησε θεραπεῦσαι αὐτούς, καὶ ἐκήρυξεν ἐν τῇ Ἐκκλησίᾳ λέγων τοῖς ἀδελφοῖς· νηστεύσατε, καὶ τείνατε τὴν πολιτείαν τῆς ἀσκήσεως ὑμῶν, ἀδελφοί· ἤθελον δὲ οἱ παραβαλόντες Αἰγύπτιοι ἀναχωρῆσαι καὶ ὁ Πρεσβύτερος οὐ συνεχώρησε.

Μείναντες οὖν εἰς τὴν πρώτην ἐνήστευσαν καὶ ἐσκοτίσθησαν· ἐποίησε δὲ αὐτοὺς νηστεύειν δύο δύο, οἱ δὲ σκητιῶται ἐνήστευον τὴν ἑβδομάδα· καὶ γενομένου τοῦ Σαββάτου, ἐκάθησαν φαγεῖν οἱ Αἰγύπτιοι μετὰ τῶν γερόντων· θορυβουμένων δὲ τῶν Αἰγυπτίων φαγεῖν, εἷς τις τῶν γερόντων ἐκράτησε τὰς χεῖρας αὐτῶν λέγων· μετ' ἐπιστήμης φάγετε ὡς Μοναχοί· ὁ δὲ εἷς ἐξ αὐτῶν ὤθησεν αὐτοῦ τὴν χεῖρα, ἀπόλυσόν με λέγων, ἀποθνήσκω γὰρ ὅλην τὴν ἑβδομάδα ἕψημα μὴ φαγών· εἰ οὖν ὑμεῖς διὰ δύο νηστεύοντες οὕτως ἐξελίπετε, πῶς εἰς τοὺς ἀδελφοὺς ἐσκανδαλίσθητε, οἵτινες διαπαντὸς ταύτην τὴν ἄσκησιν ἐπιτελοῦσι; καὶ μετενόησαν αὐτοῖς, καὶ ὠφεληθέντες ἀπῆλθον μετὰ χαρᾶς.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ἀδελφοὶ ἀπὸ ἕνα Κοινόβιον ἐξῆλθον εἰς τὴν ἔρημον, διὰ νὰ ἐπισκεφθοῦν ἕνα Ἀσκητήν. Ὁ Ἀσκητὴς τοὺς ὑπεδέχθη μὲ μεγάλην χαράν, καὶ καθὼς συνηθίζουν οἱ Ἀσκηταί, ἐπειδὴ τοὺς εἶδε κουρασμένους ἀπὸ τὴν πορείαν, τοὺς ἔστρωσε τραπέζι ἐνωρίτερον τῆς ὡρισμένης ὥρας καὶ τοὺς ἐφίλευσε μὲ ὅ,τι εἶχεν εἰς τὸ πτωχόν του ἀσκητήριον. Τοιουτοτρόπως τοὺς ηὐχαρίστησε.

Μόλις ἐβράδυασεν ἐκ τῆς ὅλης ἀκολουθίας μόνον δώδεκα ψαλμοὺς ὥρισεν· ὁμοίως καὶ τὴν νύκτα μέρος τῆς ἀκολουθίας διέταξε, χάριν τῶν ἀδελφῶν. Κατὰ τὰ μεσάνυκτα, ἐνῷ ὁ Ἀσκητὴς ἠγρύπνει μόνος του, ἤκουσε τοὺς ἐπισκέπτας του νὰ σιγοσυζητοῦν μεταξύ των καὶ νὰ λέγουν, ὅτι οἱ Ἀναχωρηταὶ ἀναπαύονται εἰς τὴν ἔρημον περισσότερον ἀπὸ ἡμᾶς εἰς τὰ Μοναστήρια.

Τὸ πρωῒ οἱ ἐπισκέπται Μοναχοὶ ἡτοιμάζοντο νὰ ἐπισκεφθοῦν ἕνα γείτονα τοῦ Ἀσκητοῦ· ὁ Γέρων λοιπὸν τοὺς λέγει.

— Χαιρετίσατέ τον ἐκ μέρους μου καὶ εἰδοποιήσατέ τον, σᾶς παρακαλῶ, νὰ μὴ ποτίσῃ τὰ λάχανα.

Πράγματι μετεβίβασαν εἰς τὸν Ἀσκητὴν τοὺς χαιρετισμοὺς καὶ τὴν εἴδησιν τοῦ Ἀσκητοῦ. Ἐκεῖνος ἀμέσως ἀντελήφθη τὸ βαθύτερον νόημα τῆς πληροφορίας καὶ δι' αὐτὸ ἄφησε τοὺς ἐπισκέπτας του νὰ ἐργάζωνται νηστικοὶ μέχρι τὸ βράδυ.

Μόλις ἐνύκτωσεν, ἐπραγματοποίησε σύναξιν μεγάλην καὶ εἶπε πρὸς τοὺς ἐπισκέπτας του.

— Καίτοι ἔχομεν κανόνα νηστείας, ἂς φάγωμεν, διότι ἔχετε κοπιάσει. Ὡς γνωστόν, ἡμεῖς ἔχομεν συνήθειαν νὰ νηστεύωμεν ὅλην τὴν ἑβδομάδα, ἀλλὰ πρὸς χάριν ὑμῶν θὰ φάγωμεν ὀλίγον.

Λέγων δὲ αὐτὰ ἔστρωσε τραπέζι μὲ ὀλίγον ξηρὸν ἄρτον καὶ ἁλάτι. Καὶ ἀπευθυνόμενος πρὸς τοὺς ἐπισκέπτας του προσέθεσε:

— Πρέπει νὰ ἑορτάσωμεν τὴν ἐπίσκεψίν σας.

Ὡς ἑορτάσιμον δὲ φαγητὸν προσέθεσεν ὀλίγον ἁλάτι εἰς ξίδι.

Ἀφοῦ δὲ ἠγέρθησαν, ὁ Ἀσκητὴς ἐκάλεσε τοὺς ἀδελφοὺς διὰ τὴν καθιερωμένην νυκτερινὴν ἀκολουθίαν. Τὸ μεσονύκτιον διέκοψε τὴν ἀκολουθίαν καὶ εἶπεν εἰς τοὺς ἐπισκέπτας.

— Ἀπὸ ἀγάπην πρὸς ὑμᾶς δὲν ἐτελέσαμεν ὁλόκληρον τὸν κα-

νόνα τῆς νυκτερινῆς ἀκολουθίας, διὰ νὰ μὴ κουρασθῆτε καὶ νὰ ἀναπαυθῆτε ὀλίγον.

Τὸ πρωῒ οἱ ἐπισκέπται ἐζήτουν τὴν εὐλογίαν τοῦ Ἀσκητοῦ διὰ νὰ φύγουν. Ἐκεῖνος ὅμως τοὺς παρεκάλει νὰ παραμείνουν ὀλίγον χρόνον, ἢ τοὐλάχιστον, σύμφωνα μὲ τὴν ἐντολήν, τρεῖς ἡμέρας, ὅσας συνηθίζουν νὰ φιλοξενοῦν τοὺς ἐπισκέπτας των οἱ ἐρημῖται.

Οἱ ἐπισκέπται, ἀφοῦ εἶδον, ὅτι δὲν τοὺς δίδει τὴν εὐλογίαν νὰ ἀναχωρήσουν ἔφυγαν κρυφίως διὰ τὸ Κοινόβιον.

2. Δύο Μοναχοὶ κατῆλθον ἀπὸ τὴν Αἴγυπτον εἰς Σκήτην, διὰ νὰ ἐπισκεφθοῦν τοὺς Γέροντας. Ἀφοῦ λοιπὸν συνωμίλησαν ἐπ' ὀλίγον, ἐκάθησαν νὰ φάγουν. Κατὰ τὸ φαγητὸν ἔβλεπον τοὺς ἀδελφοὺς τῆς Σκήτης νὰ τρώγουν μὲ μεγάλην βουλιμίαν, σὰν πεινασμένοι, ἐξ αἰτίας τῆς ἀσκήσεώς των. Αὐτὴ ἡ κατάστασις ἐσκανδάλισε τοὺς ἐξ Αἰγύπτου ἐπισκέπτας. Μόλις ἀντελήφθη αὐτὸ τὸ πρᾶγμα ὁ Πρεσβύτερος τῆς Σκήτης ἠθέλησε νὰ ἐπαναπαύσῃ τὴν σκανδαλισθεῖσαν συνείδησίν των.

Δι' αὐτό, ὅταν μετέβησαν εἰς τὴν Ἐκκλησίαν, ἐφώναξε κοντά του τοὺς ἀδελφοὺς καὶ τοὺς λέγει:

— Νὰ νηστεύσητε καὶ νὰ ἐντείνετε τὰς προσπαθείας τῆς ἀσκήσεώς σας, ἀδελφοί μου. Δὲν ἐπέτρεψε δὲ εἰς αὐτοὺς νὰ ἀναχωρήσουν, καίτοι οὗτοι ἤθελον.

Ἀφοῦ λοιπὸν παρέμειναν, ἐνήστευσαν τελείως τὴν πρώτην ἡμέραν καὶ ἤρχισαν νὰ ζαλίζωνται. Ὑπεχρέωσε δὲ αὐτοὺς νὰ νηστεύουν δύο συνεχεῖς ἡμέρας καὶ εἰς τὸ τέλος τῆς δευτέρας νὰ τρώγουν. Οἱ ἀδελφοὶ τῆς Σκήτης ἐνήστευον μίαν συνεχῆ ἑβδομάδα. Μόλις ἦλθε τὸ Σάββατον, κατὰ τὴν καθιερωμένην ὥραν τοῦ φαγητοῦ, παρεκάθησαν εἰς τὴν τράπεζαν οἱ Γέροντες τῆς Σκήτης μαζὶ μὲ τοὺς ἐπισκέπτας τῆς Αἰγύπτου,

Τότε οἱ Αἰγύπτιοι ἤρχισαν μὲ θορυβώδεις κινήσεις νὰ τρώγουν ἀτάκτως, κατευθυνόμενοι ἀπὸ τὴν μεγάλην τους πεῖναν. Κάποιος ἀπὸ τοὺς Γέροντας, ποὺ παρέμεναν εἰς τὴν Σκήτην, τοὺς ἐκράτησεν ἀπὸ τὰς χεῖρας, ὑποδεικνύων εἰς αὐτούς, ὅτι ὁ τρόπος αὐτὸς τοῦ φαγητοῦ δὲν ἁρμόζει εἰς Μοναχούς, οἱ ὁποῖοι πρέπει νὰ τρώγουν μὲ εὐπρέπειαν καὶ σύνεσιν.

Ἕνας ἐκ τῶν δύο Αἰγυπτιωτῶν τοῦ ἔσπρωξε βιαίως τὴν χεῖρα καὶ τοῦ εἶπε:

— Ἄφησέ με, διότι πεθαίνω ἀπὸ τὴν πεῖνα· ὅλην τὴν ἑβδομάδα δὲν ἔφαγα φαγητὸν μαγειρευμένον.

Τότε, λίαν ἐπικαίρως, τοὺς λέγει ἕνας ἐκ τῶν Γερόντων.

— Ἐὰν σεῖς, νηστεύοντες μόνον δύο συνεχεῖς ἡμέρας, καὶ τὴν τρίτην τρώγοντες, ἔχετε ἀφανισθῆ ἀπὸ τὴν πεῖναν, διατί ἐσκανδαλίσθητε διὰ τοὺς ἀδελφούς, οἱ ὁποῖοι τόσον σκληρὰν ἄσκησιν ἐκτελοῦν

νηστεύοντες πάντοτε ὁλόκληρον τὴν ἑβδομάδα;

Μὲ τὴν συνετὴν αὐτὴν παρατήρησιν ὠφελήθησαν οἱ Αἰγύπτιοι καὶ μετενόησαν, διότι ἐσκανδαλίσθησαν ἀδίκως, ἀναχωρήσαντες περιχαρεῖς ἀπὸ τὴν Σκήτην.

Β'. Τοῦ Ἁγίου Βαρσανουφίου

Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· ἐὰν ποιῶ τι πρᾶγμα ὡς νομίζω μετὰ λόγου, καὶ διορθοῦταί μέ τις εἰς αὐτὸ οὐ κατὰ λόγον, ἀπολογήσωμαι αὐτῷ, ἢ σιωπήσω φεύγων τὴν κενοδοξίαν; ἀπεκρίθη ὁ γέρων· ἐὰν οὐκ ἔχῃ ἀνάγκην ἡ ἀπολογία, σιώπα· ἐὰν δὲ τὸ πρᾶγμα παρέχῃ λογισμὸν τῷ ἀδελφῷ σου, ἀντίλεξον τῇ κενοδοξίᾳ καὶ θεράπευσον αὐτόν· ἔφη ὁ ἀδελφός· ἐὰν πρᾶγμα ποιῶ τῶν μέσων, ἤτοι εἰς ὃ οὐκ ἔστιν ἁμαρτία, καὶ οἶδα ὅτι ἐὰν καταλάβῃ με ὁ δεῖνα ἀδελφὸς ποιοῦντα αὐτὸ σκανδαλίζεται εἰς ἐμὲ καὶ κρύπτω αὐτὸ ἀπὸ κενοδοξίας, αἰσχύνομαι γὰρ ἐὰν ἴδῃ με, ἄρα ὀφείλω διὰ τὴν κενοδοξίαν μὴ κρύψαι; ἢ κρύψαι διὰ τὸ σκάνδαλον; εἰ δὲ καὶ μὴ οἶδα ἀκριβῶς ὅτι σκανδαλίζεται, ἀλλ' ὑπονοῶ, τί ποιήσω; ἀπεκρίθη ὁ γέρων· ἐὰν καταγινώσκῃ σου ἡ καρδία ὅτι σκανδαλίζεται ὁ ἀδελφός σου, σκέπασον, καὶ μὴ δώσῃς αὐτῷ λογισμόν, ἐὰν δὲ ἀκριβῶς οὐκ οἶδας, ἀλλ' ὑπονοεῖς, μὴ φροντίσῃς.

2. Ἠρώτησεν ὁ ἀδελφός· ἐὰν εἴπω τινὶ ῥῆμα κεντοῦν αὐτὸν καὶ μὴ νοήσῃ τὸν λόγον, ἄρα ὀφείλω μετανοῆσαι αὐτῷ ἢ σιωπῆσαι, καὶ μὴ δοῦναι αὐτῷ λογισμόν; ἀπεκρίθη ὁ γέρων· ἐὰν μὴ νοήσῃ ὁ ἀδελφὸς ὅτι ἐκέντησας αὐτόν, σιώπα καὶ οὐ ταράσσεις αὐτόν, ἀλλὰ σπούδασον τῷ Θεῷ βαλεῖν μετάνοιαν ὑπὲρ τούτου· ἔφη ὁ ἀδελφός· εἰπέ μοι, δέσποτα, ποταπή ἐστιν ἡ ἐν τοῖς πράγμασιν ἐλευθερία, καὶ πῶς δεῖ αὐτῇ κεχρῆσθαι.

3. Ἀπεκρίθη ὁ γέρων· ἐλευθερία ἐστὶν ἡ φανερῶς λεγομένη ἀλήθεια· τυχὸν γὰρ χρήζει τις τροφῆς ἢ ἐνδύματος ἢ καθόλου οἱουδήποτε πράγματος, καὶ ὀφείλει καθαρῶς λέγειν τῷ δυναμένῳ παρασχεῖν, οὐ γὰρ πρὸς πάντα ἄνθρωπον χρὴ τῇ ἐλευθερίᾳ κεχρῆσθαι, ἀλλ' ἐπιτετηρημένως πρὸς πρόσωπα τὰ δυνάμενα τὴν ἐλευθερίαν ἀσκανδαλίστως δέξασθαι.

4. Ὁ μὲν γὰρ ἔχων διάκρισιν οἰκοδομεῖται καὶ χαίρει ἐν αὐτῇ· ὁ δὲ μὴ ὢν τοιοῦτος, σκανδαλίζεται, καὶ αὐτὸς δὲ ὁ κεχρημένος αὐτῇ ὀφείλει μὴ ἐμπαθῶς κεχρῆσθαι πρὸς τὸ θεραπεῦσαι τὸ ἐνοχλοῦν αὐτῷ πάθος, ἀλλὰ πρὸς τὴν χρείας συμπλήρωσιν· εἰ οὖν οὔτε πρόσωπον σκανδαλίζεται, οὔτε πάθος ὑπόκειται, δεῖ κεχρῆσθαι τῇ ἐλευθερίᾳ.

5. Εἰ δέ τις ἐν αὐτῇ σκανδαλίζεται, δεῖ οἰκονομεῖν καὶ μὴ ἀφυλάκτως κεχρῆσθαι καὶ σκανδαλίζειν τὸν πλησίον· τυχὸν γὰρ ἔστι τις ἀπὸ κόπου καὶ θέλει ταχύτερον γεύσασθαι· ἄλλος δέ τις ἀκούων ἢ ὁρῶν τοῦτον, τοῦτο θέλοντα ἢ ποιοῦντα, σκανδαλίζεται, ἢ καὶ περὶ πράγματος αἰτεῖς καὶ οὐκ οἰκοδομεῖται ὁ ἀδελφός· προσήκει οὖν ἰδίᾳ ῥηθῆναι περὶ τοῦ ζητουμένου τῷ δυναμένῳ παρασχεῖν καὶ φυλάξαι τὸν λογισμὸν τοῦ ἀδελφοῦ ἀβλαβῆ· ὡς οὖν εἴρηται, καλή ἐστιν ἡ ἐλευθερία ἐν φόβῳ Θεοῦ γινομένη.

6. Διαφθείρεις δὲ αὐτὴν οὕτως· ἐὰν χρήζων πράγματος μὴ εἴπῃς τῷ δυναμένῳ σοι τοῦτο παρασχεῖν, περιμένων ἐκεῖνον ἀφ' ἑαυτοῦ τοῦτο ποιῆσαι, καὶ συμβαίνει ὅτι ἐκεῖνος μὲν ἀγνοεῖ ὧν χρήζεις, ἢ καὶ εἰδὼς ἐπελάθετο, ἢ καὶ δοκιμάσαι σε θέλων τοῦτο ποιεῖ, εἰ ἔχεις ὑπομονήν, σὺ δὲ εὑρίσκῃ κατ' αὐτοῦ γογγύζων ἢ σκανδαλιζόμενος, εἰς αὐτὸν ἁμαρτάνεις.

7. Εἰ οὖν χρήσῃ τῇ ἐλευθερίᾳ, καὶ φανερῶς εἴπῃς αὐτῷ, οὐδὲν τούτων γίνεται· προευτρέπισον δὲ τὸν λογισμόν σου, ἵνα ἐάν, αἰτήσας ὅπερ ζητεῖς, μὴ λάβῃς, μὴ θλιβῇς ἢ σκανδαλισθῇς ἢ γογγύσῃς· ἀλλ' εἰπὲ τῷ λογισμῷ, ἢ οὐ δύναταί μοι

παρασχεῖν, ἢ οὐκ εἰμι ἄξιος, οὐδὲ συμφέρει μοι, καὶ διὰ τοῦτο ὁ Θεὸς οὐ συνεχώρησε δοῦναί μοι, καὶ βλέπε μὴ ἀφορῶν εἰς τὴν γενομένην ἀποτυχίαν, διὰ ταύτην κόψῃς τὴν πρὸς αὐτὴν ἐλευθερίαν· ἀλλ' ὅταν σοι ἡ χρεία ὁτιοῦν ἀπαιτῇ, πάλιν αἴτησαι παρ' αὐτοῦ, φυλάττων ὡς εἴρηται πανταχοῦ ἑαυτὸν ἐπὶ τῇ ἀποτυχίᾳ ἀτάραχον.

8. Ὁμοίως δὲ καὶ ἐάν τις ἀφ' ἑαυτοῦ ἐρωτήσῃ σε περὶ πράγματος οὗ χρήζεις, εἰπὲ τὴν ἀλήθειαν· εἰ δὲ συναρπαγεὶς εἴπῃς, ὅτι οὐ χρήζω, μὴ αἰδεσθῇς, ἀλλὰ ἀνάλαβε σεαυτὸν καὶ εἰπέ· συγχώρησόν μοι, ὅτι ἠκοντίσθην εἰπὼν μὴ χρήζειν, χρήζω γὰρ τοῦ λαβεῖν.

9. Ἔφη ὁ ἀδελφός· ὅτε δὲ οὐ πεπληροφόρημαι, ἀλλ' ἀμφιβάλλω τὸ πρόσωπον πρὸς ὃ ἔχω τὸ πρᾶγμα, εἰ σκανδαλίζεται ἢ οὔ, ἐπὶ τῇ τοιαύτῃ ἐλευθερίᾳ, τί ποιήσω; ἀπεκρίθη ὁ γέρων· δύνασαι διὰ δοκιμῆς γνῶναι αὐτὸ εἰ σκανδαλίζηται ἢ μή· τυχὸν γὰρ ἐὰν χρήζεις φαγεῖν, μὴ εἴπῃς αὐτῷ δός μοι, ἀλλ' εἰπέ· βλέπω ἐμαυτὸν πεινῶντα διὰ τήνδε τὴν αἰτίαν, καὶ ἀκούων ἐκεῖνος φανερὸς γίνεται, καὶ ἐκ τούτου μανθάνεις αὐτοῦ τὴν διάθεσιν εἰ σκανδαλίζεται ἢ μή· εἶπεν ὁ ἀδελφός· καὶ πῶς λέγεις, Πάτερ, ὅτι τὸ αἰτεῖν φανερῶς οὗ χρήζω ἐλευθερία ἐστί; καὶ πῶς ἐρωτηθεὶς ὁ μέγας γέρων παρὰ τοῦ ἀδελφοῦ Ἰωάννου, εἰ ὀφείλει κόψαι τρώγειν τὰς ὀπώρας, ἐπέτρεψεν αὐτῷ μεταλαμβάνειν τῶν παρεχομένων αὐτῷ, μὴ μέντοι αἰτεῖν, ἵνα λάβῃ, δοκεῖν οὖν ἐνταῦθα κωλύειν αὐτὸν τῆς ἐλευθερίας;

10. Ἀπεκρίθη ὁ γέρων· Ὁ λογισμὸς ἐπετίθετο τῷ Ἰωάννῃ παντελῶς μὴ φαγεῖν, καὶ ἐρωτηθεὶς ὁ μέγας γέρων εἶπεν, ὅτι τοῦτο ἐκ τῶν δαιμόνων ὑπεβλήθη, καὶ βουλόμενος διελέγξαι αὐτούς, εἶπεν· ἀφ' ἑαυτοῦ μὴ ζητήσῃς, καὶ νοήσεις τὴν κακίαν τῶν ἐχθρῶν, ὁ γὰρ λέγων σοι μὴ δ' ὅλως φάγῃς, αὐτὸς ἔχει σοι ὑποθέσθαι γογγύζειν, ἐὰν μικρόν τι σοι δοθῇ ἢ μηδόλως δοθῇ· τούτου οὖν χάριν οὕτως αὐτῷ ἀπεκρίνατο· ἄλλως τε δέ, ἐντολὴν αὐτῷ ταύτην δέδωκεν· ὅπου δὲ οὐκ ἔστιν ἐντολή, τότε συμφέρει ἡ ἐλευθερία.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ὑπέβαλε τὴν ἑξῆς ἐρώτησιν εἰς Γέροντα Ἀσκητήν.

— Ἐὰν ἐκτελῶ μίαν ὑπηρεσίαν, τὴν ὁποίαν νομίζω ἀπαραίτητον καὶ σύμφωνον μὲ τὴν λογικήν, καὶ κάποιος προσπαθεῖ νὰ μὲ διορθώσῃ, χωρὶς νὰ ἔχῃ δίκαιον, πρέπει νὰ ἀπολογηθῶ καὶ νὰ τοῦ ἐξηγήσω πῶς ἔχει τὸ πρᾶγμα ἢ νὰ μὴ ὁμιλήσω καθόλου, ἀποφεύγων τοιουτοτρόπως τὴν κενοδοξίαν;

Εἰς τὴν παρατήρησιν αὐτὴν ὁ Γέρων ἀπαντᾷ:

— Ἐὰν δὲν ὑπάρχῃ λόγος νὰ ἀπολογηθῇς, μὴ ὁμιλήσῃς· ἐὰν ὅμως ἡ ὑπόθεσις σκανδαλίζῃ τὸν ἀδελφόν σου καὶ τοῦ ἐνοχλῇ τὸν λογισμόν, τότε μὴ φοβηθῇς τὴν κενοδοξίαν, ἀλλὰ νὰ τοῦ δώσῃς τὰς ἀναγκαίας ἐξηγήσεις καὶ νὰ τοῦ ἠρεμήσῃς τὴν συνείδησιν.

Κατόπιν αὐτοῦ ὁ ἀδελφὸς ἠρώτησεν ἐκ νέου τὸν διακριτικὸν Γέροντα.

— Ἐὰν ἐκτελῶ μίαν ἐργασίαν ἠθικῶς ἀδιάφορον, δηλαδὴ οὔτε καλὴν οὔτε κακήν, καὶ ἀντιληφθῶ, ὅτι ἐὰν ἴδῃ τὴν ἐργασίαν αὐτὴν ἕνας ἀδελφὸς θὰ σκανδαλισθῇ μὲ ἐμέ, τότε τί ἐκ τῶν δύο πρέπει νὰ κάμω: νὰ ἀποκρύψω τὴν ἐργασίαν αὐτήν, ἐπειδὴ θὰ ἐντρέπωμαι νὰ μὲ ἴδῃ, ὁπότε θὰ ἔχω ὑποπέσει εἰς τὸ πάθος τῆς κενοδοξίας ἢ νὰ μὴ

ἀποκρύψω τὴν ἐργασίαν, ὁπότε θὰ ἔχω ἀποφύγει τὴν κενοδοξίαν, ὄχι ὅμως καὶ τὸν σκανδαλισμὸν τοῦ ἀδελφοῦ; Ἐὰν πάλιν δὲν εἶμαι βέβαιος διὰ τὴν ψυχικὴν διάθεσιν τοῦ ἀδελφοῦ, ἀλλ' ἁπλῶς ὑποπτεύομαι τὰς ἀντιδράσεις του, τί πρέπει νὰ κάνω;

Ὁ Γέρων ἀπήντησεν:

— Ἐὰν σὲ κατηγορῇ ἡ συνείδησίς σου, ὅτι σκανδαλίζῃς τὸν ἀδελφόν σου μὲ τὴν ἐνέργειάν σου, ἔστω καὶ ἐὰν αὕτη εἶναι ἠθικῶς ἀδιάφορος, ἀπόκρυψέ την καὶ μὴ τὸν ἐμβάλῃς εἰς λογισμούς· ἐὰν ὅμως δὲν εἶσαι βέβαιος περὶ αὐτοῦ, ἀλλ' ἁπλῶς τὸ ὑποπτεύεσαι, τότε μὴ φροντίσῃς δι' αὐτό.

2. Ἄλλος πάλιν ἀδελφὸς ὑπέβαλε τὴν ἑξῆς ἐρώτησιν:

— Ἐὰν εἴπω εἰς κάποιον πειρακτικὸν λόγον καὶ ἐκεῖνος δὲν ἀντιληφθῇ τὸ νόημα, πρέπει νὰ τοῦ ζητήσω συγχώρησιν ἢ εἶναι προτιμότερον νὰ σιωπήσω καὶ νὰ μὴ τὸν ταράξω μὲ λογισμούς;

Ὁ Γέρων ἀπήντησεν:

— Ἐὰν ὁ ἀδελφός σου δὲν ἀντιληφθῇ, ὅτι τὸν ἐκέντησες μὲ τὸν λόγον σου, σιώπησε καὶ μὴ τὸν ἐνοχλήσῃς· προσπάθησε δὲ ἀπὸ τὸν Θεὸν νὰ ζητήσῃς μετάνοιαν δι' αὐτό.

Ἐν συνεχείᾳ ὁ ἴδιος ἀδελφὸς ἠρώτησεν:

— Ἐξήγησέ μου, Δέσποτα, ποία εἶναι ἡ ἐλευθερία εἰς τὸν βίον καὶ πῶς πρέπει κανεὶς νὰ ἐφαρμόζῃ αὐτήν;

3. — Ἐλευθερία εἶναι — ἀπήντησεν ὁ Γέρων — ἡ ἀλήθεια, ὅταν λέγεται χωρὶς δισταγμόν. Ἐὰν π.χ. ἔχῃ ἀνάγκην κανεὶς ἀπὸ τροφήν, ἢ ἀπὸ ἔνδυμα, ἢ ἀπὸ ὅ,τιδήποτε πρᾶγμα, ὀφείλει ἀπεριφράστως νὰ τὸ ζητήσῃ ἐκ μέρους ἐκείνου, ποὺ ἔχει τὴν ἐξουσίαν νὰ τὸ προσφέρῃ· διότι δὲν πρέπει πρὸς οἱονδήποτε ἄνθρωπον νὰ κάμωμεν χρῆσιν τῆς ἐλευθερίας αὐτῆς, ἀλλ' ἀποκλειστικῶς καὶ μόνον ἀπέναντι προσώπων, ποὺ ἔχουν τὴν δύναμιν νὰ σεβασθοῦν τὴν ἐλευθερίαν αὐτὴν καὶ νὰ ἱκανοποιήσουν τὸ αἴτημα, χωρὶς νὰ σκανδαλισθοῦν.

4. Διότι ἐκεῖνος, ὁ ὁποῖος ἔχει διάκρισιν, οἰκοδομεῖται πνευματικῶς καὶ εὐχαριστεῖται, χαίρεται εἰς αὐτὴν τὴν ἐλευθερίαν. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος δὲν ἔχει διάκρισιν, σκανδαλίζεται ἀπὸ τὸ πνεῦμα τῆς ἐλευθερίας. Ὅστις κάνει χρῆσιν τῆς ἐλευθερίας, ὀφείλει νὰ χρησιμοποιῇ αὐτὴν οὐχὶ πρὸς ἱκανοποίησιν ἐνοχλοῦντος αὐτὸν πάθους, ἀλλὰ πρὸς θεραπείαν βιοτικῆς ἀνάγκης. Ἐὰν λοιπὸν δὲν σκανδαλίζεται πρόσωπον, ἀλλ' οὔτε κινούμεθα ἀπὸ πάθος, τότε δυνάμεθα νὰ ἀσκοῦμεν τὸ δικαίωμα τῆς ἐλευθερίας.

5. Ἐὰν κάποιος ἀδελφὸς σκανδαλίζεται ἀπὸ τὴν χρῆσιν τῆς ἐλευθερίας, τὴν ὁποίαν δικαιωματικῶς ἀσκοῦμεν, τότε πρέπει μετὰ συνέσεως νὰ ἐξοικονομοῦμεν τὴν περίστασιν καὶ νὰ φυλασσώμεθα, ὥστε νὰ μὴ σκανδαλίζωμεν τὸν πλησίον ἐκ τῆς ἐξασκήσεως τοῦ δικαιώματος τῆς ἐλευθερίας. Π.χ. εἶναι κάποιος κουρασμένος ἀπὸ τὴν ἐργασίαν καὶ θέλει νὰ φάγῃ ἐνωρίτερον τῶν ἄλλων· ὁ ἄλλος ὅμως, ποὺ

ἀκούει ἢ βλέπει τὰ πράγματα αὐτὰ καὶ αὐτὸν ποὺ θέλει αὐτά, σκανδαλίζεται· ἢ συμβαίνει νὰ ζητῇς κάποιο πρᾶγμα, ἀπὸ τὸ ὁποῖον ὅμως δὲν οἰκοδομεῖται πνευματικῶς ὁ ἀδελφός. Εἰς τὰς περιπτώσεις αὐτὰς πρέπει ἰδιαιτέρως νὰ ἀπευθυνθῇς διὰ τὸ ζητούμενον εἰς ἐκεῖνον, ποὺ ἔχει ἐξουσίαν νὰ σοῦ τὸ δώσῃ, ὥστε τοιουτοτρόπως νὰ μὴ βλάψῃς τὸν λογισμὸν καὶ τὴν συνείδησιν τοῦ ἀδελφοῦ. Ἐξ ὅσων εἴπομεν συμπεραίνομεν, ὅτι εἶναι καλὴ ἡ ἐλευθερία, ἐφ' ὅσον τὴν ἀσκεῖ κανεὶς μὲ φόβον Θεοῦ.

6. Τὴν ἐλευθερίαν τὴν καταστρέφεις κατὰ τὸν ἑξῆς τρόπον: Ἂς ὑποθέσωμεν, ὅτι ἔχεις ἀνάγκην ἑνὸς πράγματος καὶ δὲν ἀπευθύνεσαι εἰς ἐκεῖνον, ὁ ὁποῖος ἔχει τὴν δύναμιν νὰ τὸ προσφέρῃ, ἀλλ' ἀναμένεις μόνος του νὰ μαντεύσῃ τὸν λογισμόν σου καὶ νὰ σοῦ τὸ προσφέρῃ. Συμβαίνει ὅμως ἐκεῖνος ἢ νὰ ἀγνοῇ ποῖα πράγματα ἔχεις ἀνάγκην, ἢ καὶ ἐὰν γνωρίζῃ νὰ λησμονήσῃ, ἤ, ἀκόμη, δὲν ἱκανοποιεῖ τὴν ἐπιθυμίαν σου, ἐπιθυμῶν νὰ σὲ δοκιμάσῃ, ἐὰν ἔχῃς ὑπομονήν. Τοιουτοτρόπως σὺ γογγύζεις κατ' αὐτοῦ, ὅτι δῆθεν σὲ περιφρονεῖ, σκανδαλίζεσαι καὶ ἁμαρτάνεις.

7. Ἐὰν ὅμως κάμῃς χρῆσιν τῆς ἐλευθερίας σου καὶ ἀπεριφράστως διατυπώσῃς τὸ αἴτημά σου, τίποτε ἀπὸ αὐτὰ δὲν συμβαίνει. Πάντως καλὸν θὰ εἶναι νὰ προετοιμασθῇς ψυχικῶς, ὥστε εἰς τὴν περίπτωσιν ποὺ δὲν λάβεις αὐτό, ποὺ ζητεῖς, νὰ μὴ στενοχωρηθῇς, ἢ νὰ μὴ σκανδαλισθῇς, ἢ νὰ μὴ γογγύσῃς. Νὰ εἰπῇς μὲ τὸν νοῦν σου· διὰ νὰ μὴ μοῦ δώσῃ αὐτό, ποὺ ἐζήτησα, ἢ δὲν θὰ ἔχῃ τὴν δύναμιν νὰ μοῦ τὸ προσφέρῃ, ἢ δὲν θὰ εἶμαι ἄξιος, ἢ δὲν θὰ εἶναι συμφέρον τῆς ψυχῆς μου καὶ δι' αὐτὸ δὲν ἐπέτρεψεν ὁ Θεὸς νὰ ἱκανοποιηθῇ τὸ αἴτημά μου. Πρόσεχε δὲ μὴ τυχὸν ἐπηρεαζόμενος ἀπὸ τὴν σημειωθεῖσαν ἀποτυχίαν καταστρέψῃς τὴν ἐπιβαλλομένην ἐλευθερίαν, ὥστε, ἐὰν πάλιν χρειασθῇς κάτι, νὰ τὸ ζητήσῃς ἐλευθέρως ἀπὸ τὸν ἔχοντα τὴν δύναμιν, προετοιμαζόμενος, ὅπως εἶπον, νὰ παραμείνῃς ἀτάραχος εἰς περίπτωσιν ἀποτυχίας.

8. Ἐπίσης ἐὰν κάποιος σὲ ἐρωτήσῃ διὰ πρᾶγμα, τὸ ὁποῖον ἔχεις ἀνάγκην, νὰ εἴπῃς τὴν ἀλήθειαν, ὅτι τὸ χρειάζεσαι. Ἐὰν πάλιν ἐντροπιασθῇς καὶ ἀρνηθῇς πρὸς στιγμήν, μὴ διστάσῃς νὰ εἴπῃς εἰς ἐκεῖνον, ποὺ σὲ ἠρώτησε· συγχώρεσέ με, ἀδελφέ μου, διότι μὲ ἐκέντησεν ἡ ὑπερηφάνεια καὶ σοῦ εἶπα ὄχι· ἀπ' ἐναντίας ἔχω ἀνάγκην νὰ λάβω αὐτὸ τὸ πρᾶγμα, ποὺ μοῦ ἐπρότεινες.

9. Ἀφοῦ ἤκουσε τὴν ὡραίαν αὐτὴν διδαχὴν ὁ ἀδελφός, ἠρώτησεν ἐκ νέου τὸν Γέροντα:

— Ἐὰν δὲν ἔχω ἐσωτερικὴν πληροφορίαν διὰ τὰς ψυχικὰς διαθέσεις τοῦ προσώπου, ποὺ δύναται, καὶ ἀμφιβάλλω, ἐὰν θὰ σκανδαλισθῇ ἢ ὄχι διὰ τὴν ἐλευθερίαν καὶ τὸ θάρρος μου αὐτό, τί πρέπει νὰ κάμω;

Εἰς τὴν νέαν αὐτὴν ὀρθὴν ἀπορίαν ὁ Γέρων ἀπήντησεν.

— Ἠμπορεῖς νὰ τὸν δοκιμάσῃς, ἐὰν σκανδαλίζεται ἢ ὄχι. Ἐάν,

π. χ., ἔχῃς ἀνάγκην φαγητοῦ, μὴ εἴπῃς εἰς αὐτὸν κατ' εὐθεῖαν, δός μου νὰ φάγω· ἀλλὰ διατύπωσε πλαγίως τὸ αἴτημά σου, ὡς ἑξῆς· πεινῶ, διότι ἐκοπίασα πολὺ σήμερον. Ὅταν ἐκεῖνος σὲ ἀκούσῃ, ἀσφαλῶς θὰ ἐκδηλωθῇ, ὁπόταν σὺ θὰ ἀντιληφθῇς τὰς διαθέσεις του, ἐὰν δηλαδὴ σκανδαλίζεται ἢ ὄχι.

Εἰς τὴν ἀπάντησιν αὐτὴν τοῦ Γέροντος παρετήρησεν ὁ ἀδελφός.

— Πάτερ μου, εἶπες, ὅτι τὸ νὰ ζητῶ ἀνεμποδίστως αὐτό, ποὺ ἔχω ἀνάγκην, εἶναι ἐλευθερία· πῶς ὅμως ὅταν ἠρωτήθη ὁ Μέγας Γέρων ἀπὸ τὸν ἀδελφὸν Ἰωάννην, ἐὰν πρέπῃ νὰ κόψῃ ὀπωρικά, διὰ νὰ τρώγῃ, ἐκεῖνος τοῦ ἐπέτρεψε νὰ τρώγῃ μόνον ἀπ' ὅσα τοῦ ἔδιδον, χωρὶς νὰ ζητῇ τίποτε; φαίνεται λοιπόν, ὅτι ἐδῶ τὸν ἐμποδίζει ἀπὸ τὴν ἐλευθερίαν.

10. Εἰς τὴν ἀπορίαν αὐτὴν ἀπήντησεν ὡς ἑξῆς ὁ Γέρων:

— Ὁ ἀδελφὸς Ἰωάννης εἶχε κατὰ νοῦν νὰ μὴ φάγῃ καθόλου. Ὁ διακριτικὸς ὅμως ἐκεῖνος Γέρων ἀντελήφθη, ὅτι ἡ σκέψις αὐτὴ δὲν ἦτο κατὰ Θεόν, ἀλλ' ὑπεβλήθη εἰς τὸν Ἰωάννην ὑπὸ τοῦ δαίμονος καὶ ἐπιθυμῶν νὰ τὸ ἀποδείξῃ εἶπε·, μόνος σου νὰ μὴ ζητήσῃς τίποτε· καὶ τότε θὰ ἀντιληφθῇς τὴν κακίαν τῶν ἐχθρῶν, διότι αὐτός, ποὺ σοῦ ὑποδεικνύει τώρα νὰ μὴ φάγῃς καθόλου, θὰ σὲ κάνῃ νὰ γογγύσῃς, ὅταν σοῦ προσφέρουν ὀλίγον μόνον ἢ δὲν σοῦ προσφέρουν καθόλου. Δι' αὐτὸ λοιπὸν ἀπήντησε τοιουτοτρόπως ὁ μέγας Γέρων, ὅταν τὸν ἠρώτησεν ὁ Ἰωάννης· ἐκτὸς ὅμως αὐτοῦ τοιαύτην ἐντολὴν εἶχε δώσει εἰς τὸν ὑποτακτικόν του. Ἡ ἐλευθερία δὲν συμφέρει, ὅπου δὲν ὑπάρχει ἐντολή.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΑΝ οἰκῇς μετὰ ἀδελφῶν, μὴ γίνου ἀφορμή τινι χωρισθῆναι τῆς ἀδελφότητος, ἵνα μὴ κριθῇς ἐν ἐκείνῳ τῷ κόσμῳ· φυλάσσου δὲ σφόδρα τοῦ μὴ σκανδαλίσαι τινά, καὶ οὐ μὴ ἀφορισθῇς ἐκ Βασιλείας τῶν οὐρανῶν μετὰ τῶν ποιούντων τὰ σκάνδαλα.

Ἑρμηνεία

ΟΤΑΝ συγκατοικῇς μαζὶ μὲ ἄλλους ἀδελφούς, πρόσεξε μὴ γίνῃς αἰτία καὶ φύγῃ κανεὶς ἀπὸ τὴν ἀδελφότητα, διὰ νὰ μὴ κατακριθῇς εἰς τὸν ἄλλον κόσμον. Νὰ προφυλάγεσαι νὰ μὴ σκανδαλίσῃς μὲ τὴν συμπεριφοράν σου κανένα ἐκ τῆς ἀδελφότητος, ὥστε νὰ μὴ ἐκδιωχθῇς ἀπὸ τὴν Βασιλείαν τῶν οὐρανῶν, μαζὶ μὲ ἐκείνους ποὺ κάμνουν σκάνδαλα.



ὙΠΟΘΕΣΙΣ Δ'

Ὅτι δεῖ τὸν Χριστιανὸν αἰχμαλωτίζειν πᾶν νόημα εἰς Χριστόν· οἱ γὰρ πνευματικοί, καὶ ἐξ αὐτῶν τῶν κοσμικῶν ἢ καὶ φαύλων πραγμάτων, εἰς ἀγαθὰς ἐννοίας χειραγωγοῦνται.

Πρέπει ὁ Χριστιανὸς νὰ αἰχμαλωτίζῃ κάθε του σκέψιν εἰς τὸν Χριστόν· διότι οἱ πνευματικοί, καὶ μερικοὶ ἀπὸ τοὺς κοσμικούς, καὶ ἀπὸ αἰσχρὰς ἀκόμη παραστάσεις ἐξάγουν ἀγαθὰς καὶ ὑψηλὰς ἐννοίας,

Α'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Πελαγίας

ΠΟΤΕ τοῦ ἐν Ἀντιοχείᾳ Ἀρχιερέως μετὰ τῶν ὑπ' αὐτὸν Ἐπισκόπων ἔξωθεν τοῦ Ναοῦ τοῦ Μάρτυρος Ἰουλιανοῦ συγκαθημένων, καὶ τὰ ψυχωφελῆ ὁμιλούντων, παρῄει ἡ Πελαγία τῇ συνήθει χρωμένη καὶ σκευῇ καὶ στολῇ, ἐπί τινος ὀχήματος καθημένη, πολλοῖς τε παραπεμπομένη, καὶ τὸν πλησίον ἀέρα χρωννῦσα τε καὶ μυρίζουσα, τὸ μὲν τῇ τῶν μύρων ὀσμῇ, τὸ δὲ τῇ τῶν λίθων καὶ μαργάρων αὐγῇ· ταύτην οὖν παριοῦσαν ἀνερυθριάστως οὕτω καὶ ἰταμῶς ὁ τῶν Ποιμένων ἰδόντες χορός, οἱ μὲν ἄλλοι, ἅτε δὴ μὴ πλέον τῶν ὁρωμένων ἔχοντες ἐνορᾶν, θέαν αὐτῆς κατεγίνωσκον πορνικήν, καὶ οὐδὲ προσιδεῖν ὅλως ὑπέμενον, ἀλλ' ἠρυθρίων καὶ ἀπεστρέφοντο.

2. Νόννος δὲ ἄρα ᾔδει καὶ τἀναντία πολλάκις ἐκ τῶν ἐναντίων καρποῦσθαι, καὶ δι' οὗ κέντρον ἡδονῆς ἄλλος ἂν ἴσως ἐδέξατο τὴν ψυχήν, τοῦτο δὴ οὗτος ἔσχεν ὑπέκκαυμά τι πρὸς ἀρετήν· ἀνθ' ὧν καὶ τῆς πόρνης οὐκ ἀφίστη τὸν ὀφθαλμόν, ἀλλὰ καὶ παρούσης, πρὸς αὐτὴν ἀτενὲς ἑώρα, καὶ ἀπιούσης, αὐτὸς ἐπὶ τῆς θέας εἴχετο.

3. Μέγα δὲ στενάξας, καὶ δακρύων πλησθείς, ἑαυτὸν ὁ μακάριος ἀπεκλαίετο καὶ τὸν ἐκείνης καλλωπισμὸν κατάκρισιν ἔλεγεν ἑαυτοῦ, εἴπερ ἐκείνη σωμάτων ἐρῶσα φθαρτῶν, καὶ ταῦτα ἐπὶ λύμῃ τῇ ἑαυτῆς, καί τι γνήσιον ἔχουσα κάλλος τοῖς μέλεσιν ἐπανθοῦν, ὅμως οὐκ ἀποκνεῖ ἐπιδημιουργοῦσα τῷ φυσικῷ κάλλει καὶ ἐπιτεχνωμένη, καί τισι τοῦτο μηχαναῖς ἐπιλαμπρύνουσα καὶ ὑπογραφαῖς, ἵνα κλέψῃ δούλην πικρὰν ἡδονήν· ἡμεῖς δέ, οἷς μὲν ἀθάνατος ὁ ἐρώμενος, προσθήσω δ' ὅτι καὶ ἐραστής, ἀθάνατος δὲ ὁ νυμφών, ἡ δὲ χάρις, τοῖς ὄντως κεκαλλωπισμένοις μηδὲ γηράσκουσα, τοσοῦτον ἀπέχομεν τὴν ἀθάνατον καλλωπίζειν ψυχήν, ὥς τε καὶ τὸ φυσικὸν αὐτῆς κάλλος αἰσχύνοντες οὐκ ἐπαισχυνόμεθα, ἀλλ' ἐφυβρίζομεν ἑαυτούς, καὶ τῆς ἡδονῆς ἐκείνης τῆς ἀποῤῥήτου καὶ θαυμαστῆς ἐλεεινῶς ἀπειργόμεθα· καὶ ταῦτα μηδὲ τὴν ἀπηρτημένην ἡμῖν ἀγνοοῦντες κόλασιν, καὶ τὰ ἐκεῖθεν δικαστήρια.

4. Οὕτω φησὶν ἐκεῖνος οὐ μόνον πρός γε τὸ παρὸν ἀποβλέπων, ὡς οἶμαι, ἀλλ'


Ἡ ἁγία
Πελαγία

ἤδη καὶ τὸ μέλλον τῷ νῷ προορῶν καὶ εἰδὼς ὡς οὐ μετὰ πολὺ καὶ τοῦ τῆς ψυχῆς αὐτῆς ἡττηθήσονται κάλλους καὶ πόρνης φανοῦνται πρὸς ἀγῶνας πνευματικοὺς δεύτεροι.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀρχιερεὺς τῆς Ἀντιοχείας μὲ τοὺς Ἐπισκόπους του ἐκάθηντο ἔξω ἀπὸ τὸν Ναὸν τοῦ Μάρτυρος Ἰουλιανοῦ καὶ συνωμίλουν διάφορα ψυχωφελῆ ζητήματα. Ἔξαφνα διέρχεται ἔμπροσθέν των ἀναιδέστατα καὶ προκλητικώτατα ἡ Πελαγία, καθισμένη ἐπάνω εἰς ἕνα ὄχημα, μὲ τὴν συνηθισμένην ἐμφάνισιν καὶ στολήν. Ἠκολουθεῖτο ἀπὸ πολλοὺς ἁμαρτωλοὺς θαυμαστάς της· ὁ ἀέρας γύρω ἐμύριζεν ἀπὸ τὰ ἀρώματά της καὶ ἤστραπτεν ἡ περιοχὴ ἀπὸ τὴν λαμπρότητα τῶν πολυτίμων λίθων καὶ τῶν μαργαριταριῶν, ποὺ ἔφερε.

Μόλις εἶδον οἱ ἱεροὶ ἐκεῖνοι Ποιμένες νὰ προσπερνᾷ τόσον ἀδιάντροπα, ἄλλοι μὲν ἐξ αὐτῶν τὴν κατηγόρουν διὰ τὴν πορνικὴν ἐμφάνισιν, μὴ δυνάμενοι νὰ διαβλέψουν κάτι ὑψηλότερον ἀπὸ αὐτὸ τὸ θέαμα τῆς στιγμῆς, χωρὶς νὰ μποροῦν οὔτε ἁπλῶς νὰ τὴν κοιτάξουν· ἄλλοι ἐκοκκίνιζον ἀπὸ ἐντροπὴν καὶ ἐγύριζον τὸ βλέμμά των ἀλλοῦ.

2. Εἷς δὲ ἐκ τῶν Ἐπισκόπων, ὁ Νόννος, ὅστις ἐγνώριζεν ἀκριβῶς τὴν τέχνην νὰ ὠφελῆται πνευματικῶς ἀπὸ τὰς πλέον ἀντιθέτους καταστάσεις, καὶ ἀπὸ ἐκεῖνο ποὺ ἄλλος θὰ ἐδοκίμαζεν εἰς τὴν ψυχήν του τὸ κέντρισμα τῆς ἐφαμάρτου ἡδονῆς, αὐτὸς τὸ ἐχρησιμοποίει ὡς σπινθῆρα διὰ νὰ λάμψῃ ἡ ἀρετή, κατ' ἀντίθεσιν πρὸς τοὺς ἄλλους Πατέρας, δὲν ἐσήκωσε τοὺς ὀφθαλμούς του ἀπὸ τὴν πόρνην, ὅταν ἐνεφανίσθη καὶ ἀφόβως τὴν ἔβλεπε, ὅταν ἐπλησίασε. Καὶ ὅταν ἀκόμη ἀπεμακρύνθη τὴν παρηκολούθει.

3. Τότε ἀνεστέναξε βαθειὰ καὶ ἐγέμισαν οἱ ὀφθαλμοί του δάκρυα· ἤρχισε δὲ νὰ θρηνῇ τὸν ἑαυτόν του ὁ μακάριος ἐκεῖνος Πατήρ.

Ὅταν τὸν ἠρώτησαν οἱ ἄλλοι Πατέρες, αὐτὸς εἶπε τὰ ἑξῆς:

— Ὁ καλλωπισμὸς τῆς ἁμαρτωλῆς αὐτῆς γυναικὸς εἶναι δι' ἐμὲ ἔλεγχος καὶ κατάκρισις. Ἐκείνη, ποὺ ἐρωτεύεται σώματα φθαρτὰ μολύνουσα τὸν ἑαυτόν της, δὲν κουράζεται νὰ ἐνισχύῃ τὴν ὀμορφιά της, ἂν καὶ λόγῳ τῆς ἡλικίας της ἀνθίζει τὸ κάλλος εἰς τὰ μέλη της, καὶ μηχανεύεται διαφόρους τρόπους νὰ ὑπογραμμίζῃ καὶ λαμπρύνῃ αὐτήν, διὰ νὰ ὑποκλέψῃ μίαν δούλην τῆς φθορᾶς, τὴν πικρὰν ἡδονήν. Κατ' ἀντίθεσιν ὅμως πρὸς αὐτὴν ἡμεῖς, ποὺ ἀγαπῶμεν τὸν ἀθάνατον Ἰησοῦν, τὸν καὶ παντοτεινὸν ἐραστὴν τῆς ψυχῆς μας καὶ ποὺ προοριζόμεθα δι' ἀθανάτους καὶ αἰωνίους γάμους καὶ ποὺ ἡ χάρις εἰς τοὺς πραγματικὰ στολισμένους ποτὲ δὲν γηράσκει, τόσον πολὺ ἀμελοῦμεν νὰ στολίζωμεν τὴν ἀθάνατον ψυχήν μας, ὥστε δὲν ἐντρεπόμεθα καὶ ὅταν ἀκόμη καταισχύνωμεν τὸ φυσικὸν αὐτῆς κάλλος. Μὲ τὸν τρόπον αὐτὸν προσβάλλομεν τοὺς ἑαυτούς μας καὶ ἀξιοθρηνήτως ἐμποδιζόμε-

θα ἀπὸ τὴν ἀπόρρητον καὶ θαυμαστὴν ἐκείνην ἡδονὴν τῶν οὐρανῶν. Καὶ ὅλα αὐτὰ τὰ διαπράττομεν, παρ' ὅλον ὅτι γνωρίζομεν καλῶς τὴν προητοιμασμένην διὰ τοὺς ἀμελεῖς κόλασιν καὶ τὰ πέραν τοῦ τάφου δικαστήρια.

4. Αὐτὰ εἶπεν ὁ Ἅγιος ἐκεῖνος Πατήρ, ὁ Νόννος, ἀναφερόμενος ὄχι μόνον εἰς τὸ παρόν, ποὺ τοῦ ἔδωσε τὴν ἀφορμὴν τῶν στοχασμῶν αὐτῶν, ἀλλὰ καί, ὡς προορατικός, ποὺ ἦτο, προφητεύων καὶ τὸ μέλλον τῆς ἁμαρτωλῆς γυναικὸς Πελαγίας. Μὲ τὸν φωτισμὸν δηλαδὴ τοῦ Θεοῦ ἔβλεπε καθαρῶς, ὅτι ἐντὸς ὀλίγου πολλοὶ θὰ νικηθοῦν εἰς τοὺς πνευματικοὺς ἀγῶνας ἀπὸ τὸ ψυχικὸν αὐτῆς κάλλος καὶ θὰ ὑστερήσουν κατὰ πολὺ ἀπὸ τὰς ἀσκητικὰς ἐπιτυχίας μιᾶς πρώην πόρνης.

Β'. Ἐν τῷ Γεροντικῷ

ΔΙΕΡΧΟΜΕΝΟΣ ποτε ὁ Ἀββᾶς Μακάριος μετὰ ἀδελφῶν διὰ τῆς Αἰγύπτου, ἤκουσε παιδίου λέγοντος τῇ μητρὶ αὐτοῦ· Ἀμμᾶ, πλούσιος ἀγαπᾷ με, καὶ μισῶ αὐτόν, καὶ πτωχός μισεῖ με, καὶ ἀγαπῶ αὐτόν· καὶ ἀκούσας ὁ γέρων ἐθαύμασε· καὶ λέγουσιν αὐτῷ οἱ ἀδελφοί· τί ἐστι τὸ ῥῆμα τοῦτο, Πάτερ, ὅτι ἐθαύμασας; καὶ ἀπεκρίθη αὐτοῖς ὁ γέρων· ἀληθῶς ὁ Κύριος ἡμῶν πλούσιός ἐστι καὶ ἀγαπᾷ ἡμᾶς, καὶ οὐ θέλομεν αὐτοῦ ἀκοῦσαι· ὁ δὲ ἐχθρός ἡμῶν διάβολος πτωχός ἐστι καὶ μισεῖ ἡμᾶς, καὶ ἀγαπῶμεν αὐτοῦ τὴν ἀκαθαρσίαν.

2. Ἦλθόν ποτέ τινες τῶν ἀδελφῶν πειρᾶσαι τὸν Ἀββᾶν Ἰωάννην τὸν Κολοβόν, ὅτι οὐκ ἠφίει τὸν λογισμὸν αὐτοῦ ῥεμφθῆναι, οὐδὲ ἐλάλει πρᾶγμα τοῦ αἰῶνος τούτου· καὶ λέγουσιν αὐτῷ· εὐχαριστοῦμεν τῷ Θεῷ, ἔβρεξε γὰρ ἐφέτος πολὺ καὶ ἔπιον οἱ φοίνικες, καὶ ἐκβάλλουσι λευκάδας καὶ εὑρίσκουσιν οἱ ἀδελφοὶ τὸ ἐργόχειρον αὐτῶν· καὶ ἀπεκρίθη αὐτοῖς ὁ Ἀββᾶς Ἰωάννης· οὕτως ἐστὶ τὸ Πνεῦμα τὸ Ἅγιον, ὅταν καταβαίνῃ εἰς τὰς καρδίας τῶν ἀνθρώπων, ἀνανεοῦνται καὶ ἐκβάλλουσι λευκάδας ἐν τῷ φόβῳ Θεοῦ.

3. Ὁ μακάριος Ἀθανάσιος ὁ Ἀρχιεπίσκοπος Ἀλεξανδρείας παρεκάλεσε τὸν Ἀββᾶν Παμβὼ κατελθεῖν ἐκ τῆς ἐρήμου εἰς Ἀλεξάνδρειαν· κατελθὼν οὖν καὶ ἰδὼν γυναῖκα θεατρικήν, ἐγένετο σύνδακρυς· τῶν δὲ παρόντων πυνθανομένων διατί ἐδάκρυσε, δύο με, ἔφη, κεκίνηκεν, ἓν μὲν ἡ ἐκείνης ἀπώλεια, ἕτερον δέ, οὐ τοιαύτην σπουδὴν ἔχω πρὸς τῷ ἀρέσαι τῷ Θεῷ, ὅσον αὐτὴ ἵνα ἀρέσῃ ἀνθρώποις αἰσχροῖς.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἐπερνοῦσεν ὁ Ἀββᾶς Μακάριος μαζὶ μὲ τοὺς ἀδελφοὺς ἀπὸ τὰ μέρη τῆς Αἰγύπτου. Ἕνα παιδὶ ἔλεγε πρὸς τὴν μητέρα του.

— Μητέρα, ἕνας πλούσιος μὲ ἀγαπᾷ, ἀλλ' ἐγὼ τὸν μισῶ· ἀπ' ἐναντίας ἕνα πτωχόν, ποὺ μὲ μισεῖ, τὸν ἀγαπῶ.

Τὴν φράσιν αὐτὴν τὴν ἤκουσεν ὁ Γέρων καὶ ἐθαύμασε.

Μόλις ἀντελήφθησαν τὸν θαυμασμὸν αὐτὸν οἱ συνοδοιπόροι του τὸν ἠρώτησαν:

— Μὰ ποῖον νόημα ἀνεκάλυψες εἰς τὴν φράσιν αὐτὴν τοῦ παιδιοῦ, Πάτερ, καὶ ἐθαύμασες;

Τότε ὁ σοφὸς καὶ Ἅγιος Γέρων ἀπήντησε πρὸς αὐτούς.

— Ἰδοὺ τί μοῦ ὑπενθύμισεν ἡ φράσις αὐτή. Πράγματι ὁ Κύριος μας εἶναι πλούσιος καὶ μᾶς ἀγαπᾷ· καὶ ὅμως ἡμεῖς δὲν θέλομεν νὰ τὸν ἀκούσωμεν καὶ νὰ ἐκτελέσωμεν τὸ θέλημά του. Ἀπ' ἐναντίας ὁ ἐχθρὸς ἡμῶν διάβολος εἶναι πτωχὸς καὶ μᾶς μισεῖ· καὶ ὅμως ἡμεῖς ἀγαπῶμεν αὐτὸν καὶ τὴν ἀκαθαρσίαν του.

2. Μίαν φορὰν ἦλθον μερικοὶ ἀδελφοὶ εἰς τὴν καλύβην τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Κολοβοῦ διὰ νὰ τὸν δοκιμάσουν, ἐπειδὴ δὲν ἄφηνε ποτὲ τὸν λογισμόν του νὰ ρεμβάζῃ ἀσκόπως, ἀλλ' οὔτε καὶ ὡμίλει δι' ὑλικὰ ζητήματα τῆς προσκαίρου αὐτῆς ζωῆς.

Ἀφοῦ λοιπὸν τὸν ἐχαιρέτησαν, τοῦ λέγουν.

—Εὐχαριστοῦμεν τὸν Θεόν, διότι ἐφέτος ἔβρεξε πολὺ καὶ ἐποτίσθησαν ἀρκετὰ τὰ φοινικόδενδρα, ὥστε νὰ πετάξουν λευκὰ βλαστάρια, καὶ νὰ εὕρουν οἱ πατέρες ὑλικὸν διὰ τὸ ἐργόχειρόν των.

Ἀντὶ ἄλλης ἀπαντήσεως, σχετικῶς μὲ τὸ ὑλικὸν αὐτὸ ζήτημα, τοὺς εἶπεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός.

— Τοιαύτη εἶναι, ἀδελφοί μου, καὶ ἡ ἐνέργεια τοῦ Ἁγίου Πνεύματος. Καταβαίνει εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ οὗτοι ἀνανεοῦνται καὶ ἐκβλαστάνουν νέους βλαστοὺς ἀρετῶν, χωρὶς νὰ ὑπερηφανεύωνται δι' αὐτό, σκεπαζόμενοι ἀπὸ τὸν φόβον τοῦ Θεοῦ.

3. Ὁ Μακάριος Ἀθανάσιος, ὁ Πατριάρχης Ἀλεξανδρείας παρεκάλεσε τὸν Ἀββᾶν Παμβὼ νὰ καταβῇ ἀπὸ τὴν ἔρημον εἰς τὴν Ἀλεξάνδρεια. Πράγματι ὁ Ἀββᾶς ὑπήκουσεν.

Ἀφοῦ λοιπὸν κατέβη εἰς Ἀλεξάνδρειαν συνήντησε μίαν γυναῖκα τοῦ θεάτρου, ἠθοποιόν. Μόλις τὴν εἶδεν ἐπλημμύρισαν οἱ ὀφθαλμοί του δάκρυα.

— Διατί, πάτερ, κλαίεις; τὸν ἠρώτησαν οἱ παρευρεθέντες.

— Δύο αἰτίαι μὲ παρεκίνησαν εἰς αὐτό, ἀπήντησεν ὁ Ἀσκητής. Πρῶτον μὲν ἡ ψυχικὴ ἀπώλεια τῆς γυναικὸς αὐτῆς καὶ δεύτερον, διότι δὲν ἔχω ἐγὼ τέτοιο ἄγρυπνον ἐνδιαφέρον νὰ ἀρέσω εἰς τὸν Θεόν, ὅπως αὐτὴ φροντίζει νὰ ἀρέσῃ εἰς αἰσχροὺς ἀνθρώπους.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΓΑΠΗΤΕ· ἐὰν ἡ ψυχή σου εὐθεῖα ὑπάρχῃ πρὸς Κύριον, ἐκ πάντων ὠφεληθήσῃ· ἐὰν ἴδῃς πραγματευτήν, εἰπὲ ἐν σεαυτῷ· ψυχή, οὗτος τῶν προσκαίρων ἐπιθυμῶν, τοσαῦτα κοπιᾷ καὶ ὑπομένει, ἵνα συνάξῃ τὰ μὴ εἰς τέλος αὐτῷ διαμένοντα, σὺ δέ, διατί τῶν ἀϊδίων ἀμελεῖς; ἐὰν θεάσῃ δικαζομένους, πάλιν εἰπὲ πρὸς σεαυτόν· ψυχή, οὗτοι ἐπ' οὐδενὶ δέοντι τοσαύτην σπουδὴν καὶ φιλονεικίαν πρὸς ἀλλήλους ἐνδείκνυνται, σὺ τῶν μυρίων τα-

πάντων ὀφειλέτις οὖσα, οὐ προσπίπτεις τῷ Θεῷ ὡς δεῖ, ἵνα τῆς ἀφέσεως ἐπιτύχῃς;
2. Ἐὰν ἴδῃς οἰκοδομοῦντας, λέξον αὖθις· ψυχή, οὗτοι οἰκίας πηλίνας οἰκοδομοῦντες, σπουδῇ κέχρηνται τελειῶσαι τὸ ἔργον ὅπερ προέθεντο, σὺ δὲ καταφρονεῖς τῶν αἰωνίων μονῶν καὶ οὐκ ἀγωνίζῃ ἀνεγεῖραι ἐν ἑαυτῇ τὸ τοῦ Θεοῦ σκήνωμα ἐκ τῆς συνθέσεως καὶ ἁρμολογίας τῶν ἀρετῶν; καὶ ἵνα μὴ καθ' ἓν λέγοντες μηκύνωμεν τὸν λόγον, εἴ τι ἐὰν ἴδωμεν ἐν τῷ βίῳ, σπουδάσωμεν τοὺς κοσμικοὺς λογισμούς, καὶ τὰ βιοτικὰ φρονήματα εἰς τὰ πνευματικὰ μεταφέρειν, καὶ πάντως ἐκ πάντων ὠφεληθησόμεθα τῆς Χάριτος ἡμῖν συνεργούσης.

Ἑρμηνεία

† ΑΓΑΠΗΤΕ μου, ἐὰν ἡ ψυχή σου εἶναι καθαρὰ καὶ εὐθεῖα ἀπέναντι τοῦ Κυρίου, ἀπὸ ὅλα τὰ πράγματα τοῦ βίου αὐτοῦ θὰ ἠμπορέσῃς νὰ ὠφεληθῇς. Ἐὰν ἴδῃς πραγματευτήν, θὰ εἴπῃς μὲ τὸν νοῦν σου· ψυχή μου, αὐτὸς ἀπὸ ἐπιθυμίαν νὰ κερδίσῃ πρόσκαιρα ὑλικὰ ἀγαθὰ κοπιάζει πάρα πολὺ καὶ πολλὰ ὑπομένει, διὰ νὰ συγκεντρώσῃ πράγματα, ποὺ δὲν παραμένουν εἰς τὴν ἐξουσίαν του μέχρι τέλους· σὺ ὅμως διατὶ δὲν φροντίζεις δι᾽ αὐτά, ποὺ εἶναι αἰώνια καὶ ἄφθαρτα; Ἐὰν πάλιν ἴδῃς αὐτοὺς ποὺ ἀντιδικοῦν δι᾽ ὑλικὰς ἀφορμάς, εἰπέ· ψυχή μου, οὗτοι χωρὶς καμίαν ἀνάγκην ἐπιδεικνύουν τόσον ζῆλον καὶ διαπληκτίζονται τόσον κραυγαλέως μεταξύ των· σὺ ποὺ χρεωστεῖς εἰς τὸν Θεὸν μύρια (=10.000) τάλαντα, διατί δὲν ἱκετεύεις, προσπίπτουσα, ὅπως πρέπει, τὸν Θεὸν διὰ νὰ ἐπιτύχῃς τὴν διαγραφὴν τοῦ χρέους;

2. Ἐὰν ἴδῃς κτίστας νὰ οἰκοδομοῦν οἰκίας, νὰ εἴπῃς πάλιν· ψυχή μου, αὐτοὶ ἐδῶ, ἂν καὶ κτίζουν οἰκίας ἀπὸ λάσπην, ἐν τούτοις ἐπιδεικνύουν μεγάλον ζῆλον, διὰ νὰ τελειώσουν τὸ ἔργον ποὺ ἐσχεδίασαν· σὺ διατί ἀδιαφορεῖς διὰ τὰς αἰωνίους μονὰς καὶ δὲν ἀγωνίζεσαι νὰ ἀνεγείρῃς εἰς τὴν ψυχήν σου τὸ κατοικητήριον τοῦ Θεοῦ, συνθέτουσα καὶ συναρμολογοῦσα διὰ τῆς θελήσεως τὰς ἀρετάς;

Καὶ διὰ νὰ μὴ μακρηγορῶ ἀναφέρων μίαν πρὸς μίαν τὰς διαφόρους περιπτώσεις, πρέπει νὰ φροντίσωμεν τοὺς κοσμικοὺς λογισμοὺς καὶ τὰς σκέψεις, ποὺ γεννῶνται ἀπὸ τὴν ὑλικὴν θέαν τῶν πραγμάτων τῆς παρούσης ζωῆς, νὰ μεταβάλλωμεν εἰς πνευματικούς. Τοιουτοτρόπως ὁπωσδήποτε ἀπὸ ὅλα θὰ ὠφεληθῶμεν μὲ τὴν βοήθειαν καὶ τὴν συμπαράστασιν τῆς θείας Χάριτος.

ὙΠΟΘΕΣΙΣ Ε΄

Περὶ δόλου καὶ πονηρίας, ἁπλότητός τε καὶ ἀκακίας· πόθεν τίκτονται· καὶ τὶς ἡ ἐξ αὐτῶν βλάβη καὶ ὠφέλεια· καὶ περὶ φθόνου.

Περὶ δόλου καὶ πονηρίας, ἁπλότητος καὶ ἀκακίας. Ἀπὸ ποῦ γεννῶνται, καὶ ποία ἡ ἐξ αὐτῶν βλάβη καὶ ὠφέλεια. Καὶ περὶ φθόνου.

Α΄. Τοῦ Ἀββᾶ Ἠσαΐου

Η ΑΠΛΟΤΗΣ καὶ τὸ μὴ μετρεῖν ἑαυτὸν ἁγιάζει τὴν καρδίαν ἀπὸ τοῦ πονηροῦ, ὅς τις δὲ περιπατεῖ μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν πονηρίᾳ οὐ μὴ παρέλθῃ αὐτῷ λύπη καρδίας· ὅς τις λαλεῖ ἄλλο, καὶ ἔχει ἐν τῇ καρδίᾳ αὐτοῦ ἄλλο ἐν πονηρίᾳ, πᾶσα ἡ λειτουργία τοῦ τοιούτου ματαία.

2. Μὴ κολληθῇς τινι τοιούτῳ, ἵνα μὴ σπιλωθῇς ἐκ τοῦ ἰοῦ αὐτοῦ τοῦ μεμιασμένου· περιπάτησον μετὰ τῶν ἀκάκων, ἵνα κοινωνὸς γένῃ τῆς δόξης αὐτῶν καὶ τῆς ἁγνείας· μὴ σχῇς πονηρίαν εἰς ἄνθρωπον, ἵνα μὴ τοὺς κόπους σου ἀργοὺς ποιήσῃς· ἅγνισόν σου τὴν καρδίαν μετὰ πάντων, ἵνα θεωρήσῃς τὴν εἰρήνην τοῦ Θεοῦ ἐν σοί· ὥς περ γὰρ ἐάν τις κρουσθῇ ὑπὸ σκορπίου, ὁ ἰὸς αὐτοῦ περιέρχεται εἰς ὅλον τὸ σῶμα αὐτοῦ καὶ βλάπτει τὴν καρδίαν αὐτοῦ, τοιαύτη ἐστὶν ἡ πρὸς τὸν πλησίον κακία ἐν καρδίᾳ· ὁ γὰρ ἰὸς αὐτῆς κεντεῖ τὴν ψυχήν, κινδυνεύει ἀπὸ τῆς πονηρίας. Ὅς τις οὖν φείδεται τῶν κόπων αὐτοῦ ἵνα μὴ ἀπόλωνται, ταχέως ἐκτινάσσει ἀφ' ἑαυτοῦ τὸν σκορπίον τοῦτον, τουτέστι τὴν πονηρίαν καὶ κακίαν.

3. Ἐὰν ἀδελφὸς παρατίθηταί σοι τι, μὴ ἀνοίξῃς αὐτὸ μαθεῖν τί ἔχει χωρὶς αὐτοῦ· ἐὰν δὲ ἔστιν ἔντιμον σφόδρα τὸ παρατιθέμενόν σοι, εἰπὲ αὐτῷ· δός μοι αὐτὸ εἰς τὰς χεῖράς μου.

4. Ἐὰν ὁ ζῆλός σε θλίβῃ, μνήσθητι ὅτι Χριστοῦ μέλη ἐσμὲν πάντες, καὶ ὅτι ἡ τιμὴ καὶ τὸ ὄνειδος τοῦ πλησίον πάντων ἡμῶν ἐστί, καὶ ἀναπαύῃ.

Ἑρμηνεία

Η ΑΠΛΟΤΗΣ τοῦ χαρακτῆρος καὶ τὸ νὰ μὴ θεωρῇ κανεὶς τὸν ἑαυτόν του σπουδαῖον ἁγιάζουν τὴν καρδίαν τοῦ ἀνθρώπου καὶ τὴν καθιστοῦν ἀπρόσβλητον ἀπὸ τὸν διάβολον. Ὁποιος περιπατεῖ μαζὶ μὲ τὸν ἀδελφόν του καὶ ἔχει πονηρίαν εἰς τὴν καρδίαν του ἐναντίον του, δὲν θὰ φύγῃ ποτὲ ἡ λύπη ἀπὸ τὴν ψυχήν του. Ὁποιος ἄλλα λαλεῖ διὰ τῶν χειλέων, καὶ ἄλλα πονηρὰ πράγματα αἰσθάνεται εἰς τὴν καρδίαν του, ὁ,τιδήποτε κάμνει εἶναι μάταιον καὶ δὲν ἔχει ἀξίαν.

2. Πρόσεξε νὰ μὴ προσκολληθῇς εἰς ἕνα τοιοῦτον, διὰ νὰ μὴ μολυνθῇς ἀπὸ αὐτὸ τὸ δηλητήριον τοῦ ψυχικῶς ἀκαθάρτου. Κάμε συντροφιὰ μὲ τοὺς ἀθώους, διὰ νὰ ἐπικοινωνήσῃς μὲ τὴν δόξαν αὐτῶν καὶ μὲ τὴν ἁγνότητά των. Μὴ πονηρευθῇς ἐναντίον οὐδενὸς ἀνθρώπου, ἐὰν θέλῃς νὰ μὴ χάσουν τὴν ἀξίαν των οἱ πνευματικοί σου κόποι. Καθάρισε τὴν καρδίαν σου ἀπὸ ὅλας τὰς πονηρὰς σκέψεις, ὥστε ὅλους νὰ τοὺς βλέπῃς μὲ ἁπλότητα, καὶ θὰ ἰδῇς τὴν εἰρήνην τοῦ Θεοῦ νὰ βασιλεύῃ εἰς τὴν ψυχήν σου. Ἡ κακία τοῦ ἀνθρώπου ἐναντίον τοῦ πλησίον του ὁμοιάζει μὲ τὸ δηλητήριον, ποὺ χύνει ὁ σκορπιὸς εἰς τὸ σῶμα τοῦ ἀνθρώπου καὶ τὸ ὁποῖον ἀφοῦ διατρέξῃ ὅλον τὸ σῶμα καταστρέφει καὶ τὴν καρδίαν του. Ἀκριβῶς, ὅπως τὸ δηλητήριον τοῦ σκορπίου εἶναι καὶ ἡ κακία, ποὺ αἰσθανόμεθα ἐναντίον τοῦ πλησίον· διότι τὸ δηλητήριον αὐτῆς τῆς κακίας μολύνει τὴν ψυχὴν καὶ τοιουτοτρόπως αὕτη κινδυνεύει νὰ χαθῇ ἀπὸ τὴν πονηρίαν.

Ὅποιος λοιπὸν λυπεῖται τοὺς πνευματικοὺς κόπους του καὶ τὰς προσπαθείας τῆς ἀσκήσεώς του, διὰ νὰ μὴ χάσουν τὴν ἀξίαν των, πετᾷ γρήγορα ἀπ' ἐπάνω του αὐτὸν τὸν ἐπικίνδυνον σκορπιόν, δηλαδὴ τὴν πονηρίαν καὶ τὴν κακίαν.

3. Ὅταν ἕνας ἀδελφὸς σοῦ προσφέρῃ κάτι, μὴ σπεύσῃς νὰ τὸ ἀνοίξῃς διὰ νὰ ἰδῇς τί περιέχει, χωρὶς τὴν ἄδειάν του. Ἐὰν δὲ διαπιστώσῃς, ὅτι τὸ προσφερόμενον εἰς σὲ ἔχει ἀξίαν μεγάλην, τότε εἰπὲ εἰς αὐτόν, νὰ σοῦ τὸ δώσῃ εἰς τὰς χεῖρας.

4. Ἐὰν δοκιμάζῃς φθόνον διὰ τὴν πρόοδον τοῦ πλησίον, σκέψου, ὅτι ὅλοι εἴμεθα μέλη τοῦ Χριστοῦ, καὶ ὅτι τόσον ἡ τιμή, ὅσον καὶ ἡ καταισχύνη τοῦ πλησίον, εἶναι τιμὴ καὶ καταισχύνη ὅλων ἡμῶν. Μὲ τὴν σκέψιν αὐτὴν ἀσφαλῶς θὰ ἀναπαυθῇς.

Β'. Τοῦ Ἁγίου Μαξίμου

ΤΟΥ φθονοῦντος τὴν λύπην κόπῳ στῆσαι, συμφορὰν γὰρ ἰδίαν ἡγεῖται τὸ ἐν σοὶ φθονούμενον, καὶ οὐ δυνατὸν ἄλλως στῆσαι, εἰ μή τι κρύψῃς αὐτό, εἰ δὲ πολλοὺς μὲν ὠφελεῖ, ἐκεῖνον δὲ λυπεῖ, ποίου μέρους περιφρονήσεις;

2. Ἀναγκαῖον οὖν τῆς τῶν πολλῶν γενέσθαι ὠφελείας, κἀκείνου κατὰ δύναμιν μὴ ἀμελεῖν, μηδὲ τῇ τοῦ πάθους πονηρίᾳ συναπαχθῆναι ὡς οὐχὶ τῷ πάθει ἀλλὰ τῷ πάσχοντι ἀμυνόμενος καὶ τῇ ταπεινοφροσύνῃ ἡγεῖσθαι αὐτὸν ὑπερέχοντα ἑαυτοῦ, καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ καὶ πράγματι προτιμᾶν αὐτόν.

3. Τὸν δὲ σὸν φθόνον δύνασαι στῆσαι, ἐὰν ἐν οἷς χαίρει ὁ ὑπὸ σοῦ φθονούμενος συγχαίρῃς καὶ ἐν οἷς λυπῆται συλλυπῇ· πληρῶν τὸ τοῦ Ἀποστόλου, τὸ χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων.

Ἑρμηνεία

ΤΗΝ λύπην, τὴν ὁποίαν αἰσθάνεται ὁ φθονερὸς διὰ τὴν ἀξίαν σου, πρέπει ἔστω καὶ μὲ κόπον μεγάλον νὰ τὴν ἀποδιώξῃς ἀπ' αὐτοῦ· διότι ὁ φθονερὸς θεωρεῖ συμφοράν του

τὸ προτέρημά σου, διὰ τὸ ὁποῖον σὲ φθονεῖ. Δὲν δύνασαι δὲ κατ' ἄλλον τρόπον νὰ τὴν ἀποδιώξῃς, παρὰ ἀποκρύπτων τὸ προτέρημά σου. Ἐὰν ὅμως τὸ προτέρημα αὐτὸ ὠφελῇ πολλοὺς μέν, τὸν φθονερὸν δὲ λυπεῖ, σὺ τί πρέπει νὰ προτιμήσῃς καὶ διὰ ποῖον νὰ ἀδιαφορήσῃς;

2. Εἶναι βεβαίως ἀναγκαιοτέρα ἡ ὠφέλεια τῶν πολλῶν, ἀλλὰ καί, κατὰ δύναμιν, νὰ μὴ ἀδιαφορήσῃς διὰ τὸν φθονερόν, ὥστε νὰ μὴ καταστραφῇ καὶ αὐτὸς ἐξ αἰτίας τοῦ πονηροῦ του πάθους. Θὰ ἀμυνθῇς δὲ ὄχι ἐναντίον τοῦ ἀλόγου καὶ ἀπροσώπου πάθους, ἀλλ' ἐναντίον τοῦ δυστυχοῦς πάσχοντος· μὲ ταπεινοφροσύνην θὰ τὸν θεωρῇς καλύτερον ἀπὸ σένα, παντοῦ δὲ καὶ πάντοτε καὶ εἰς κάθε περίπτωσιν νὰ τὸν προτιμᾷς.

3. Τὸν φθόνον πάλιν, ποὺ δοκιμάζεις σύ, θὰ τὸν ἀναχαιτίσῃς, ὅταν χαίρεσαι δι' ὅσα χαίρεται ὁ φθονούμενος ἀπὸ ἐσένα καὶ ὅταν λυπῆσαι, μαζὶ μὲ τὸν φθονούμενον ἀπὸ ἐσένα, δι' ὅσα τὸν λυποῦν. Μὲ τὸν τρόπον αὐτὸν ἐφαρμόζεις τὴν σύστασιν τοῦ Ἀποστόλου Παύλου· «Χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων». (Ρωμ. ιβ' 15).

Γ'. Τοῦ Ἀββᾶ Μάρκου

ΤΩΝ προφανῶς ἀδικούντων, πονηρότερός ἐστιν ὁ λαθροκακοῦργος, διόπερ ἐκεῖνος καὶ βαρυτέρως κολάζεται.

2. Ὁ δόλους συμπλέκων, καὶ κεκρυμμένως κακοποιῶν, ὄφις ἐστὶ κατὰ τὴν Γραφήν, ἐγκαθήμενος κατὰ τὴν ὁδόν, καὶ δάκνων πτέρναν ἵππου· ὁ ἐν τῷ αὐτῷ εἴς τινα μὲν ἐπαινῶν, εἴς τινα δὲ ψέγων τὸν πλησίον, οὗτος κενοδοξίᾳ καὶ φθόνῳ κεκράτηται, καὶ διὰ μὲν τῶν ἐπαίνων κρύπτειν πειρᾶται τὸν φθόνον, διὰ δὲ τῶν ψόγων, ἑαυτὸν εὐδοκιμώτερον ἐκείνου συνίστησιν.

3. Ὥς περ οὐκ ἔστιν ἐπὶ τὸ αὐτὸ καὶ πρόβατα βόσκειν καὶ λύκους, οὕτως οὐ δυνατὸν ἐλέους τυχεῖν δολοποιοῦντα τὸν πλησίον.

Ἑρμηνεία

ΑΠΟ ἐκείνους, ποὺ ἀδικοῦν τὸν πλησίον φανερῶς, πονηρότερος καὶ πλέον καταχθόνιος εἶναι αὐτὸς ποὺ τὸν βλάπτει κρυφίως· δι' αὐτὸ ἀκριβῶς καὶ βαρύτερον αὐτὸς τιμωρεῖται.

2. Ἐκεῖνος, ποὺ κακοποιεῖ μὲ τὰς δολοπλοκίας καὶ χωρὶς νὰ φανερώνεται ὁ ἴδιος, κατὰ τὴν Ἁγίαν Γραφήν, εἶναι φίδι, ποὺ ἐνεδρεύει εἰς τὸν δρόμον καὶ δαγκώνει τὴν πτέρναν τοῦ ἵππου. «Ὄφις ἐφ' ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου». (Γεν. μθ', 17). Ἐκεῖνος, ποὺ ἄλλοτε μὲν ἐπαινεῖ τὸν πλησίον, ἄλλοτε δὲ τὸν κατηγορεῖ, ἀσφαλῶς ἔχει νικηθῆ ἀπὸ δύο πάθη, τὴν κενοδοξίαν καὶ τὸν φθόνον. Προσπαθεῖ δὲ νὰ ἀποκρύψῃ τὸν φθόνον μὲ τοὺς ἐπαίνους, ἐνῷ μὲ τὰς κατηγορίας ἐναντίον τοῦ πλησίον ἐπιδιώκει νὰ ἐμφανίσῃ τὸν ἑαυτόν του τελειότερον.


3. Ὅπως δὲν εἶναι δυνατὸν νὰ συμβοσκήσουν λύκοι μὲ πρόβατα, τοιουτοτρόπως δὲν ἠμπορεῖ ἐκεῖνος ποὺ καταδολιεύεται τὸν πλησίον νὰ τύχῃ ἐλέους καὶ συμπαθείας (ἐκ μέρους τοῦ Θεοῦ).

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ

Ο ΕΛΕΓΧΟΜΕΝΟΣ καὶ σιωπῶν ἐν πονηρίᾳ, κρύπτει μνησικακίαν ἐν καρδίᾳ, ὁ δὲ ἀπολογούμενος ἐν πραότητι εἰρηνικῇ, ἀμνησίκακός ἐστι.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ, ποὺ ἀπὸ πονηρίαν σιωπᾷ, ὅταν ἐλέγχεται, κρύπτει μνησικακίαν εἰς τὴν καρδίαν του· ἐκεῖνος ὅμως, ποὺ μὲ εἰρήνην καὶ πραότητα ἀπολογεῖται εἰς ὅσα τὸν ἐλέγχουν, αὐτὸς πράγματι εἶναι ἀμνησίκακος.



·ΥΠΟΘΕΣΙΣ Ϛ΄·

Ὅτι οἱ τῶν ἀπλάστων ἀνδρῶν καὶ ἑαυτοὺς ταπεινούντων καταφρονοῦντες καὶ κατειρωνευόμενοι, τὰ μέγιστα ἁμαρτάνουσιν.

Περὶ ἐκείνων, ποὺ εἰρωνεύονται καὶ περιφρονοῦν τοὺς ἀπονηρεύτους καὶ αὐτοταπεινουμένους ἀνθρώπους. Πόσον οὗτοι ἁμαρτάνουν.


Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Γρηγορίου τοῦ θαυματουργοῦ

ΕΠΑΝΙΟΝΤΙ ποτὲ τῷ Μεγάλῳ Γρηγορίῳ ἀπὸ τῆς τῶν Κομάνων ἀστυγείτονος πόλεως ἐπὶ τὴν ἑαυτοῦ πόλιν, ἐπειδὴ ἅπασι πρόδηλον ἦν, ὅτι πρὸ πάντων τῷ ἀνδρὶ τούτῳ διεσπούδαστο τὸ πάντοτε πρὸς τὴν τῶν δεομένων παραμυθίαν βλέπειν, δύο τινὲς ἐκ τῶν Ἑβραίων, εἴτε πρὸς κέρδος ὁρῶντες, εἴτέ τινα καὶ μῶμον κατὰ τοῦ ἀνδρὸς ἐπινοοῦντες, ὡς εὐκόλως πρὸς τὸ ἐξαπατᾶσθαι διακειμένου, παραφυλάσσουσιν αὐτοὶ τὴν ὁδόν, δι᾿ ἧς διέρχεσθαι ἔμελλε, καὶ τούτων ὁ μὲν τεθνάναι δόξας, τεταμένος ἐν ὑπτίῳ τῷ σχήματι κατὰ τὸ πλάγιον τῆς λεωφόρου προέκειτο, ὁ δὲ ἕτερος, ἐπικωκύων δῆθεν τῷ κειμένῳ, τὰς τῶν θρηνούντων φωνὰς ὑπεκρίνετο, καὶ παριόντα τὸν μέγαν ἐπεβοᾶτο λέγων· ἀθρόῳ συσχεθέντα θανάτῳ τὸν δείλαιον τοῦτον, γυμνὸν κεῖσθαι, καὶ πρὸς ταφὴν ἀπαράσκευον, ἐδεῖτό τε τοῦ μεγάλου μὴ περιϊδεῖν ὑπ᾿ αὐτῷ τὴν ὁσίαν; ἀλλ᾿ οἶκτον τινὰ τῆς πενίας λαβόντα, παρασχεῖν ἐκ τῶν ἐνόντων τὸν ἔσχατον κόσμον ἐπιβληθῆναι τῷ σώματι.

2. Ὁ μὲν ταῦτα λέγων καὶ τὰ τοιαῦτα ἱκέτευεν· ὁ δὲ μελήσας οὐδέν, τὴν περικειμένην αὐτῷ διπλοΐδα ἐπιβαλὼν τῷ κειμένῳ τοῦ πρόσω τῆς ὁδοιπορίας εἴχετο· ἐπειδὴ δὲ διαβάντος, ἐφ᾿ ἑαυτῶν ἦσαν οἱ ταῦτα κατ᾿ αὐτοῦ παίξαντες, μεταβαλὼν ἐκεῖνος ὁ ἀπατεὼν τὸν ἐσχηματισμένον θρῆνον εἰς γέλωτα, διανίστασθαι τῷ κειμένῳ παρακελεύετο, ὑφ᾿ ἡδονῆς τῷ ἐκ τῆς ἀπάτης αὐτοῖς προσγενομένῳ κέρδει ἐπικαγχάζων.

3. Ὁ δὲ ἦν ἐν ὁμοίῳ τῷ σχήματι, μηδενὸς ὑπακούων τῶν λεγομένων· τοῦ δὲ γεγονωτέρᾳ τῇ φωνῇ κεχρημένου, καὶ ἅμα τῷ ποδὶ διεγείροντος, οὐδὲν μᾶλλον ὁ κείμενος οὔτε τῆς φωνῆς ἐπήκουσεν, οὔτε τῆς πληγῆς ἐπῃσθάνετο· ἀλλ᾿ ἦν ὁμοίως ἐκτεταμένος τῷ σχήματι· νεκρὸς γὰρ ἦν, ὁμοῦ τῇ ἐπιβολῇ τοῦ ἱματίου, κατ᾿ ἀλήθειαν ἐν τῷ θανάτῳ γενόμενος, ὃν ἐπὶ τῇ ἀπάτῃ τοῦ μεγάλου καθυπεκρίνετο, ὥς τε μὴ ψευσθῆναι τὸν τοῦ Θεοῦ ἄνθρωπον, ἀλλ᾿ οὗ χάριν ἐδόθη παρ᾿ αὐτοῦ τὸ ἱμάτιον, ἐν τούτῳ τοῖς λαβοῦσι γενέσθαι χρήσιμον.

4. Εἰ δὲ σκυθρωπὸν εἶναι δοκεῖ τὸ τοιοῦτον ἔργον τῆς τοῦ μεγάλου πίστεώς τε καὶ δυνάμεως, ξενιζέσθω μηδείς, πρὸς τὸν Ἀπόστολον Πέτρον ὁρῶν· καὶ γὰρ


85
Ο ΑΓΙΟΣ ΓΡΗΓΟΡΙΟΣ
Ο ΘΑΥΜΑΤΟΥΡΓΟΣ
ὁ Νεοκαισαρείας
ΕΥΛΟΓΗΤΟΣ Ο ΘΕΟΣ ΟΣ ΟΥΚ ΕΔΩΚΕΝ ΗΜΑΣ ΕΙΣ ΘΗΡΑΝ ΤΟΙΣ ΟΔΟΥΣΙΝ ΑΥΤΩΝ.
Ράλλης Κοψίδης

ἐκεῖνος, οὐ δι' ὧν εὐηργέτει μόνον τὴν προσοῦσαν ἐπεδείκνυτο δύναμιν, καὶ τῇ σκιᾷ μόνῃ τοῦ σώματος τὰ τῶν ἀῤῥωστούντων πάθη ἰώμενος, ἀλλὰ καὶ τοῦ Ἀνανίου πρὸς τὴν ἐνοικοῦσαν τῷ Ἀποστόλῳ δύναμιν καταφρονητικῶς διατεθέντος καταδικάζει τὸν θάνατον, ὡς ἂν οἶμαι τῷ κατ' ἐκεῖνον φόβῳ πᾶν τὸ καταφρονοῦν ἐν τῷ λαῷ σωφρονέστερον γένηται, τῷ φοβερῷ ὑποδείγματι, πρὸς τὸ μὴ περιπεσεῖν τοῖς ὁμοίοις παιδαγωγούμενον.

5. Εἰκότως οὖν καὶ ὁ μιμητὴς Πέτρου τὸν κατὰ τοῦ Πνεύματος χρήσασθαι τῇ ἀπάτῃ ἐπιχειρήσαντα, ἀληθεῦσαι περὶ τοῦ ψεύδους καὶ ἐν τῷ ἀπατεῶνι τὸ ψεῦδος μεταγαγεῖν εἰς ἀλήθειαν· δικαίως οὖν οἱ τῆς τοῦ μεγάλου δυνάμεως ὡς ἐνόμισαν καταπαίξαντες, παίδευμα τοῖς ἄλλοις ἐγένοντο μὴ κατατολμᾶν τῆς ἀπάτης, ἐφ' ἧς ὁ Θεὸς γίνεται τῶν τολμηθέντων κατήγορος.

Ἑρμηνεία

ΕΙΣ ὅλους ἦτο γνωστόν, ὅτι ὁ Μέγας Γρηγόριος (¹) ἐφρόντιζε πάρα πολὺ νὰ παρηγορῇ καὶ νὰ ἀνακουφίζῃ τοὺς ἔχοντας ἀνάγκην. Κάποτε λοιπὸν ἐπέστρεφεν εἰς τὴν πόλιν του ἀπὸ τὴν γειτονικὴν πόλιν Κόμανα. Μόλις τὸ ἀντελήφθησαν αὐτὸ δύο Ἑβραῖοι, ποὺ ἐγνώριζαν τὸν χαρακτῆρά του, ἐσκέφθησαν νὰ τὸν παραφυλάξουν εἰς τὸν δρόμον, εἴτε διότι ἤθελον νὰ κερδίσουν κάτι ἀπὸ τὴν ἀγαθότητά του, εἴτε διότι ἐπεδίωκον νὰ τὸν διακωμῳδήσουν, ὡς δῆθεν ἀφελῆ καὶ εὐκόλως ἐξαπατώμενον.

Πράγματι λοιπόν, καθὼς τὸν εἶδον νὰ ἔρχεται ἀπὸ μακριά, ὁ ἕνας ἐξάπλωσε πλησίον τοῦ δρόμου καὶ ὑπεκρίνετο τὸν νεκρόν· ὁ ἄλλος πάλιν προσεποιεῖτο, ὅτι δῆθεν ἐπεριποιεῖτο τὸν νεκρὸν καὶ ἔκλαιε, ὅτι τὸν ἐθρήνει. Τὴν στιγμὴν δέ, ποὺ διήρχετο ἔμπροσθέν των ὁ μέγας οὗτος Ἅγιος, ἐκραύγαζε θλιβερῶς:

— Αὐτὸς ὁ δυστυχὴς ἀπέθανεν ἀπὸ αἰφνίδιον θάνατον καὶ παραμένει τώρα γυμνὸς καὶ χωρὶς νὰ ὑπάρχῃ εἰς τὸν ἔρημον αὐτὸν τόπον τίποτε διὰ νὰ τοῦ ἑτοιμάσῃ κανεὶς τὴν ταφήν. Μὲ ὑποκριτικὰ δὲ δάκρυα παρεκάλει τὸν Ἅγιον νὰ μὴ παραβλέψῃ τὸν ἄγραφον νόμον τοῦ σεβασμοῦ πρὸς τὸν νεκρόν, ἀλλὰ νὰ εὐσπλαγχνισθῇ κάπως τὴν προκειμένην πτωχείαν καὶ δυστυχίαν καὶ νὰ δώσῃ κάτι ἀπὸ ὅ,τι ἔχει, διὰ νὰ βάλουν εἰς τὸ νεκρὸν αὐτὸ σῶμα τελευταῖον στολίδι.

2. Καὶ ὁ μὲν ὑποκριτὴς αὐτὸς Ἑβραῖος τοιαῦτα ἔλεγε καὶ μὲ αὐτὰ παρεκάλει. Ὁ δὲ Ἅγιος, χωρὶς νὰ ἐξετάσῃ τίποτε, ἀφοῦ ἔβγαλε τὸν μανδύαν μὲ τὸν ὁποῖον ἦτο ἐνδεδυμένος, τὸν ἔρριψεν εἰς αὐτὸν ποὺ ἦτο ἐμπρός του καὶ ἐξηκολούθησε τὸν δρόμον του.

Μόλις ἐπροσπέρασεν ὁ Ἅγιος καὶ παρέμειναν μόνοι των οἱ περιπαίξαντες αὐτόν, ἀμέσως ὁ ἀπατεὼν ἐκεῖνος ἤλλαξε τὸ ὑποκριτικὸν σχῆμα τοῦ θρήνου, ἤρχισε νὰ γελᾷ καὶ νὰ προκαλῇ τὸν ἐξαπλωμένον

---

1) Πρόκειται περὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας τοῦ θαυματουργοῦ, ἑορταζομένου κατὰ τὴν 17ην Νοεμβρίου. (Βλ. ἡμέτερος «Μέγας Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμος ΙΑ' σελ. 433).

νὰ σηκωθῇ. Εἶχε δὲ ξεκαρδισθῇ ἀπὸ τὰ γέλια καὶ ἦτο ὅλο χαρὰ διὰ τὸ κέρδος, ποὺ τοὺς ἀπέφερεν ἡ ἀπάτη.

3. Τί τρομακτικὸν ὅμως! Ὁ ἄλλος, ὁ συνεταῖρος τῆς ἀπάτης, παρέμενεν ἀκίνητος εἰς τὴν ἰδίαν στάσιν, χωρὶς νὰ ἀκούῃ τίποτα ἀπ' ὅσα ἔλεγεν ἐκεῖνος. Καίτοι δὲ ἐφώναζε δυνατώτερα καὶ τὸν ἐσκουντοῦσε μὲ τὸ πόδι, ἐν τούτοις οὐδὲν ᾐσθάνετο ὁ ἐξαπλωμένος. Παρέμενεν εἰς τὴν ἰδίαν στάσιν, χωρὶς νὰ ἀκούῃ οὔτε τὰς φωνάς, οὔτε νὰ αἰσθάνεται πόνον ἀπὸ τὸ σκούντημα.

Εἶχε πράγματι ἀποθάνει! Μόλις εἶχεν ἀκουμπήσει ἐπάνω του τὸ ἱμάτιον τοῦ Ἁγίου, ἐπῆλθε καὶ ὁ θάνατος, τὸν ὁποῖον ὑπεκρίνετο, διὰ νὰ ἐξαπατήσῃ τὸν Ἅγιον. Τοιουτοτρόπως δὲν ἐξηπατήθη ὁ Ἅγιος, ἀλλ' ἀπέβη χρήσιμον τὸ ἱμάτιον διὰ τὸν σκοπόν, ποὺ τὸ ἐζήτησαν.

4. Τὸ ἀποτέλεσμα τῆς πίστεως καὶ τῆς δυνάμεως τοῦ μεγάλου ἐκείνου ἀνδρὸς φαίνεται θλιβερόν. Ἀλλὰ κανεὶς ἂς μὴ ξαφνιάζεται δι' αὐτό· ἂς ἐνθυμηθῇ τὴν δρᾶσιν τοῦ Μεγάλου Ἀποστόλου Πέτρου. Καὶ ἐκεῖνος λοιπὸν ἐφανέρωνε τὴν μεγάλην δύναμιν, ποὺ τοῦ ἔδωσεν ὁ Θεός, ὄχι μόνον μὲ εὐεργετικὰς θαυματουργίας (ὥστε καὶ μόνον μὲ τὴν σκιὰν τοῦ σώματός του νὰ θεραπεύῃ ἀρρώστους), ἀλλὰ καὶ καταδικάζων εἰς θάνατον τὸν Ἀνανίαν, ποὺ κατεφρόνησε τὴν δύναμιν ἐκείνην. Καίτοι δὲ σκληρὰ ἡ τιμωρία τοῦ Ἀνανίου, ἐν τούτοις ἐνέπνευσεν εὐεργετικὸν φόβον εἰς ὅλους, διὰ νὰ γίνουν σωφρονέστεροι ὅσοι εἶχον διάθεσιν νὰ καταφρονήσουν καὶ νὰ παιδαγωγοῦνται ἀπὸ τὸ φοβερὸν παράδειγμα, διὰ νὰ μὴ περιπέσουν εἰς παρόμοια σφάλματα.

5. Πολὺ φυσικὸν λοιπὸν καὶ ὁ μιμητὴς τοῦ Πέτρου νὰ ἐπιτύχῃ τὸ ἴδιον ἀποτέλεσμα ἐναντίον ἐκείνου, ποὺ ἠθέλησε νὰ ἐξαπατήσῃ τὸ Ἅγιον Πνεῦμα καὶ νὰ πραγματοποιήσῃ εἰς τοὺς ἀπατεῶνας ἐκείνους τὴν ψευδῆ πρᾶξιν, μὲ τὴν ὁποίαν ἐπεδίωξαν νὰ κοροϊδεύσουν τὸν Ἅγιον καὶ νὰ ὠφεληθοῦν ἀπὸ αὐτόν. Δικαίως λοιπὸν μὲ τοιαύτην τιμωρίαν ἐτιμωρήθησαν οἱ δύο ἀσεβεῖς Ἑβραῖοι, ποὺ ἐνόμισαν, ὅτι ἠμποροῦσαν νὰ παίξουν μὲ τὴν δύναμιν τοῦ Μεγάλου αὐτοῦ Ἁγίου καὶ ἔγιναν παράδειγμα εἰς τοὺς ἄλλους νὰ μὴ τολμοῦν νὰ χρησιμοποιήσουν ἀπάτην, τῆς ὁποίας τοὺς τολμηροὺς δράστας ὁ ἴδιος ὁ Θεὸς κατηγορεῖ καὶ τιμωρεῖ.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΑΝ εὑρεθῇ ἄνθρωπος πονικός, καὶ φιλοπονῶν περισσοτέρως εἰς τὰς ἀρετάς, μή τις αὐτὸν ἐξουθενείτω, μᾶλλον δὲ πρέπει προσλαμβάνεσθαι τοὺς τοιούτους· ὅτι καὶ τῷ Θεῷ εὐάρεστοί εἰσι, καὶ τῇ συνοδίᾳ χρήσιμοι, καὶ πειθέτωσαν ὑμᾶς αἱ δύο παρεμβολαί, ἡ τῶν Ἑβραίων καὶ ἡ τῶν ἀλλοφύλων, καὶ Δαβὶδ μονομαχῶν μετὰ Γολιάθ· ἅμα δὲ καὶ οἱ περιπεσόντες ἐν τῷ ναυαγίῳ τῆς θαλάσσης καὶ χάριν τοῦ εὑρεθέντος σὺν αὐτοῖς δικαίου διασωθέντες καθὼς γέγραπται· μὴ φοβοῦ Παῦλε, Καίσαρί σε δεῖ παραστῆναι, καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ.

Ἑρμηνεία

ΕΑΝ εὑρεθῇ ἄνθρωπος ἐργατικὸς καὶ ἐπιμελούμενος τὰς ἀρετὰς περισσότερον ἀπὸ τοὺς ἄλλους, ἂς μὴ τὸν περιφρονήσῃ κανείς. Ἀπ' ἐναντίας, τοὺς ἀνθρώπους αὐτοὺς πρέπει νὰ τοὺς ἔχωμεν πλησίον ἡμῶν καὶ νὰ τοὺς ἀγαπῶμεν στοργικῶς, διότι εἶναι καὶ εἰς τὸν Θεὸν ἀγαπητοὶ καὶ εἰς τὴν συνοδίαν χρήσιμοι. Ὅποιος ἀμφιβάλλει, ἂς παραδειγματισθῇ ἀπὸ τὰ δύο στρατόπεδα τῶν Ἑβραίων καὶ τῶν ἐχθρῶν των καὶ τὴν μονομαχίαν τοῦ Δαβὶδ μὲ τὸν Γολιάθ. Ἐπίσης ἀξίζει νὰ ἐνθυμηθῶμεν ἐκείνους, ποὺ ἐναυάγησαν εἰς τὴν θάλασσαν καὶ ἐσώθησαν ὅλοι ἀξιοθαυμάστως, χάρις εἰς τὸν δίκαιον Παῦλον εἰς τὸν ὁποῖον εἶχεν εἴπει ὁ Θεός· «Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ». (Πραξ. κζ', 24).



ΥΠΟΘΕΣΙΣ Ζ'

Ὅτι δεῖ τὸν πιστὸν ἃ ποιεῖ, καλῷ συνειδότι ποιεῖν καὶ μὴ φαύλῳ· ὁ γὰρ Θεὸς ἑκάστου πρᾶξιν οὐ καθ' ὃ φαίνεται, ἀλλὰ πρὸς τὸν σκοπὸν κρίνει τοῦ πράττοντος.

Πρέπει ὁ πιστὸς ὅ,τι κάνει νὰ τὸ κάνῃ ἀπὸ ἀγαθὴν συνείδησιν καὶ ὄχι ἀπὸ πονηράν, διότι ὁ Θεὸς κρίνει τὰς πράξεις ἑνὸς ἑκάστου ὄχι κατὰ τὸ φαινόμενον αὐτῶν, ἀλλὰ κατὰ τὴν προαίρεσιν καὶ τὸν σκοπὸν τοῦ πράττοντος.

Α'. Γρηγορίου τοῦ Διαλόγου

ΠΟΛΛΑ, Πέτρε, νομίζονται μὲν καλὰ εἶναι, οὐκ εἰσὶ δέ, διότι ἀγαθῇ διαθέσει οὐ γίνονται, τοῦτο δὲ καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ ἔφη· ἐὰν ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται· ἑκάστου γὰρ πράγματος, ἐὰν ἡ ἀρχὴ μετὰ δολιότητος γένηται, πᾶν τὸ ἐπακολουθοῦν ἔργον σκολιὸν εὑρίσκεται.

2. Ἔλεγε Γέρων περὶ τοῦ Μωϋσέως, ὅτι ὅτε ἐπάταξε τὸν Αἰγύπτιον προσέσχεν ὧδε κἀκεῖσε, τουτέστι τοῖς λογισμοῖς αὐτοῦ, καὶ οὐδένα ἔβλεπεν, ἤγουν, εἶδεν ὅτι οὐδὲν κακὸν βλέπει ἑαυτὸν ποιοῦντα, ἀλλὰ διὰ τὸν Θεὸν ἦν ποιῶν, καὶ τότε ἐπάταξε τὸν Αἰγύπτιον.

3. Ἔστι πρᾶγμα προφανῶς ἐπιτελούμενον ὡς καλόν, καὶ ὁ σκοπὸς τοῦ ἐπιτελοῦντος εἰς ἀγαθόν· οὐ μόνον δὲ ἔργα ποιοῦσί τινες, ἀλλὰ καὶ λόγους λαλοῦσι τῷ τρόπῳ ᾧ εἰρήκαμεν· οἱ μὲν γὰρ ἀλλάσσουσι πρᾶγμα κατὰ ἀπειρίαν ἢ ἄγνοιαν, οἱ δὲ ἐναλλάσσουσι κατὰ πρόθεσιν πονηρίας, ἕτεροι δὲ κατὰ σκοπὸν εὐσεβείας.

4. Ὁ ἐν προβολῇ ἐπαίνου ἐγκρύπτων διαβολήν, δυσεύρετός ἐστι τοῖς ἁπλουστέροις· ὅμοιος δὲ τούτῳ ἐστὶν ὁ κενοδοξῶν ἐν ταπεινῷ σχήματι, οἵτινες ἐπὶ πολὺ κατασοφιζόμενοι τὴν ἀλήθειαν, ἐν τῷ ψεύδει παραχωρηθέντες ὕστερον διὰ τῶν πραγμάτων ἐλέγχονται.

5. Ἔστι ποιῶν τι προφανὲς ὡς καλόν, τὸν πλησίον ἀμυνόμενος, καὶ ἔστιν ὁ ἐν τῷ μὴ ποιῆσαι αὐτὸ ὠφεληθεὶς κατὰ διάνοιαν, ἔστιν ἔλεγχος κατὰ κακίαν καὶ ἄμυναν, καὶ ἔστιν ἄλλος κατὰ φόβον Θεοῦ καὶ ἀλήθειαν, κατὰ διάνοιαν ἐπεδείκνυεν ἑαυτὸν τῷ Δεσπότῃ, ἄνθρωπος γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν ὁρᾷ· ἁμαρτάνων λαθραίως, μὴ νόμιζε λανθάνειν· πάντα γὰρ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

6. Ὁ Θεὸς τὰς πράξεις κατὰ τὰς προθέσεις λογίζεται· δῴη γάρ σοι, φησιν, ὁ Κύριος κατὰ τὴν καρδίαν σου· ἔστιν ὁ ποιῶν ἐντολήν, προφανῶς δουλεύων πάθει, καὶ διὰ πονηρῶν λογισμῶν ἀγαθὴν πρᾶξιν ἀφανίζων.

7. Ἄλλο πρᾶξις ἐντολῆς καὶ ἄλλο ἀρετῆς, κἂν ἐξ ἀλλήλων τὰς ἀφορμὰς λαμ-

βάνουσι· πρᾶξις ἐντολῆς λέγεται, ἐν τῷ πρᾶξαι τὸ προστεταγμένον, ἀρετῆς δέ, ἐν τῷ ἀρέσκειν τῇ ἀληθείᾳ τὸ γινόμενον.

8. Ὥσπερ εἷς μέν ἐστιν ὁ αἰσθητὸς πλοῦτος, κατὰ δὲ κτῆσιν πολυμερής, οὕτω μία ἐστὶν ἡ ἀρετή, πολυτρόπους ἔχουσα τὰς ἐργασίας· ὁ θέλων τι πρᾶξαι, καὶ μὴ δυνάμενος, ὡς ποιήσας ἐστὶ παρὰ τῷ καρδιογνώστῃ Θεῷ· τοῦτο καὶ ἐπὶ τοῖς ἀγαθοῖς καὶ ἐπὶ τοῖς κακοῖς νοητέον· ὁ νοῦς ἐκτὸς τοῦ σώματος ἀγαθὰ καὶ κακὰ ἐκτελεῖ πολλά, τὸ δὲ σῶμα ἐκτὸς τοῦ νοὸς οὐδὲν τούτων ἐπιτελέσαι δυνήσεται, διότι ὁ νόμος τῆς ἐλευθερίας πρὸ τῆς πράξεως ἀναγινώσκεται.

9. Πάντων τῶν πραττομένων ὑφ' ἡμῶν τὸν σκοπὸν ζητεῖ ὁ Θεός, εἴτε δι' Αὐτὸν πράττομεν εἴτε δι' ἄλλην αἰτίαν· ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης, ὅτι Σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὐ τὰ παρὰ τὸν ὀρθὸν σκοπὸν γινόμενα, εἰ καὶ δοκεῖ καλὰ εἶναι, ὁ Θεὸς καλὰ ἀποδίδωσιν, ἀλλὰ τὰ κατὰ τὸν ὀρθὸν δηλονότι, οὐ γὰρ εἰς τὰ γινόμενα, ἀλλ' εἰς τὸν σκοπὸν τῶν γινομένων ἡ κρίσις τοῦ Θεοῦ ἀφορᾷ.

10. Εἰσί τινα πολλὰ φύσει καλὰ ὑπὸ τῶν ἀνθρώπων γινόμενα, ἀλλ' οὐ καλὰ πάλιν διά τινα αἰτίαν, οἷον νηστεία καὶ ἀγρυπνία, προσευχὴ καὶ ψαλμῳδία, ἐλεημοσύνη καὶ ξενοδοχία· φύσει οὖν ταῦτα καλὰ ἔργα εἰσίν, ἀλλ' ὅταν διὰ κενοδοξίαν γίνονται, οὐκ ἔστι καλά.

11. Μισθοὶ τῶν πόνων τῆς ἀρετῆς εἰσὶν ἡ ἀπάθεια καὶ ἡ γνῶσις· αὗται γὰρ πρόξενοι γίνονται Βασιλείας οὐρανῶν, ὡς καὶ τὰ πάθη καὶ ἡ ἀγνωσία κολάσεως αἰωνίου· ὁ οὖν τούτους διὰ δόξαν ἀνθρώπων ζητῶν, καὶ μὴ δι' αὐτὸ τὸ καλόν, ἀκούσῃ παρὰ τῆς Γραφῆς λεγούσης· αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε.

Ἑρμηνεία

ΠΟΛΛΑ πράγματα, Πέτρε (1), νομίζονται ἀπὸ τοὺς ἀνθρώπους ὅτι εἶναι καλά, ἐνῷ πράγματι δὲν εἶναι, διότι δὲν πραγματοποιοῦνται ἀπὸ ἀγαθὴν διάθεσιν. Αὐτὸ διεκήρυξε καὶ ὁ Κύριος εἰς τὸ Εὐαγγέλιον· «Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται». (Ματθ. ϛ', 23). Ἐὰν ἡ αἰτία καὶ ἡ ἀφορμὴ μιᾶς πράξεως εἶναι ἡ δολιότης, τότε καὶ ὅλη ἡ πρᾶξις μετὰ τῶν συνεπειῶν της θὰ εἶναι διεστραμμέναι.

2. Ἕνας Γέρων Ἀσκητὴς ἔλεγε τὸ ἑξῆς περὶ τοῦ Μωϋσέως· πρὶν σκοτώσῃ τὸν Αἰγύπτιον εἶδε μετὰ προσοχῆς ἐδῶ καὶ ἐκεῖ· δηλαδὴ ἐξήτασε μὲ λεπτομέρειαν τὰς σκέψεις του, τὴν πρόθεσίν του, ἀφοῦ δὲ διεπίστωσεν, ὅτι κανένα δὲν βλάπτει, ἀλλὰ πρὸς δόξαν Θεοῦ σκέπτεται νὰ κάμῃ ὅ,τι ἀπεφάσισε, τότε ἐκτύπησε τὸν Αἰγύπτιον.

3. Ὑπάρχει πρᾶξις, ἡ ὁποία πράγματι ἐπιτελεῖται ὡς καλή, καθιστᾷ ὅμως αὐτὴν τοιαύτην ὁ σκοπὸς ἐκείνου, ποὺ τὴν ἐπιτελεῖ. Ὄχι μόνον δὲ αἱ πράξεις ἐκτελοῦνται κατὰ τὸν τρόπον αὐτόν, ποὺ προείπομεν, ἀλλὰ μερικοὶ καὶ λόγους διατυπώνουν τοιουτοτρόπως, δηλαδὴ καλοὺς ἢ κακοὺς ἀναλόγως τῆς προθέσεώς των. Πράγματι ἄλλοι ἀν-

---

1) Πέτρος εἶναι τὸ ἕτερον πρόσωπον μετὰ τοῦ ὁποίου πλέκει τοὺς Διαλόγους του ὁ Ἅγιος Γρηγόριος ὁ Πάπας τῆς Ρώμης, ὅστις διὰ τοὺς Διαλόγους τούτους, τοὺς ὁποίους συνέγραψεν, ἀπεκλήθη Διάλογος. Ὁ Πέτρος ἦτο Διάκονος τοῦ Ἁγίου.

θρωποι ἀπὸ ἀπειρίαν ἢ ἄγνοιαν μεταβάλλουν τὰ πράγματα, ἄλλοι πάλιν ἀπὸ πονηρὰν πρόθεσιν, καὶ ἄλλοι, τέλος, ἀπὸ σκοπὸν εὐσεβείας.

4. Δυσκόλως ἀνακαλύπτεται ἀπὸ τοὺς ἀφελεῖς ἐκεῖνος, ποὺ ὑποκρύπτει συκοφαντίαν ἐναντίον τοῦ πλησίον κάτω ἀπό, δῆθεν, ἔπαινον αὐτοῦ. Μὲ τὸν τύπον αὐτὸν ὁμοιάζει ἐκεῖνος ποὺ κάνει τὸν ταπεινὸν ἀπὸ κενοδοξίαν. Καὶ οἱ δύο αὐτοὶ τύποι ξεσκεπάζονται ἀπὸ τὰ πράγματα, ἂν καὶ προσπαθοῦν νὰ συγκαλυφθοῦν μὲ τὸ ψεῦδος, παραποιοῦντες τραγικῶς τὴν ἀλήθειαν.

5. Εἶναι δυνατὸν νὰ κάνῃ κανεὶς δλοφάνερον καλόν, διὰ νὰ ὑπερασπίσῃ τὸν πλησίον· καὶ εἶναι δυνατόν, ἀντιθέτως, νὰ ὠφεληθῇ κανεὶς ψυχικῶς, χωρὶς νὰ πραγματοποιήσῃ τοιοῦτον καλόν. Ὑπάρχουν ἄνθρωποι ποὺ ἐλέγχουν τὸν πλησίον ἀπὸ κακίαν καὶ πρόθεσιν ἐκδικήσεως καὶ ἄλλοι ἀπὸ φόβον Θεοῦ καὶ σεβασμὸν πρὸς τὴν ἀλήθειαν. Τὰς σκέψεις σου καὶ τὰς ἐνθυμήσεις σου φανέρωνε πρὸς τὸν Θεόν· Αὐτὸς γνωρίζει τὸν ἑαυτόν σου, ὁ πάντων Δεσπότης. Ὁ ἄνθρωπος κρίνει τὸν συνάνθρωπόν του ἀπὸ τὰς ἐξωτερικάς του ἐκδηλώσεις, διότι βλέπει τὸ πρόσωπον αὐτοῦ· ὁ Θεὸς ὅμως βλέπει τὴν καρδίαν τοῦ ἀνθρώπου καὶ κατὰ τὰς διαθέσεις αὐτῆς τὸν κρίνει. Ὅταν ἁμαρτάνῃς κρυφά, νὰ μὴ νομίζῃς, ὅτι θὰ ἀποφύγῃς τὸ βλέμμα τοῦ Θεοῦ, διότι ἐνώπιον τοῦ Θεοῦ εἶναι ὅλα γυμνὰ καὶ τετραχηλισμένα. Πρὸς Αὐτὸν ἀνήκει καὶ ἡ ἀπολογία ἡμῶν.

6. Ὁ Θεὸς κρίνει τὰς πράξεις ἡμῶν, ἀναλόγως τῶν προθέσεών μας, διότι λέγει· «Δῴη σοι» ὁ Κύριος, «κατὰ τὴν καρδίαν σου» (Ψαλμ. ιθ', 5). Εἶναι ἐνδεχόμενον νὰ πραγματοποιῇ κανεὶς ἐντολὴν τοῦ Θεοῦ εἰς τὰ μάτια τοῦ κόσμου, καὶ ὅμως νὰ δουλεύῃ πνευματοκτόνον πάθος καὶ μὲ τοὺς πονηροὺς λογισμοὺς νὰ καταστρέφῃ τὴν ἀγαθὴν πρᾶξιν.

7. Διαφέρει ἡ πρᾶξις ποὺ ὀφείλεται εἰς ἐντολήν, ἀπὸ τὴν πρᾶξιν, ποὺ ὀφείλεται εἰς ἀρετήν, καίτοι ἡ μία ἐξαρτᾶται ἀπὸ τὴν ἄλλην. Πρᾶξις ἐντολῆς εἶναι ὅταν ἐκτελῇ κανεὶς αὐτό, ποὺ ἔχει διαταχθῇ· πρᾶξις δὲ ἀρετῆς, ὅταν αὐτὸ ποὺ ἔγινεν εἶναι ἀπολύτως σύμφωνον μὲ τὸ ἀγαθὸν καὶ τὴν ἀλήθειαν.

8. Ὅπως δὲ ἀκριβῶς ἕνας εἶναι ὁ ὑλικὸς πλοῦτος, διαιρεῖται ὅμως κατὰ τὴν κτῆσιν του ὑπὸ τῶν κατόχων εἰς πολλούς, τοιουτοτρόπως μία εἶναι καὶ ἡ ἀρετή, διακρινομένη ὅμως εἰς πολλοὺς τρόπους ἐφαρμογῆς της.

Ἐκεῖνος ὁ ὁποῖος ἐπιθυμεῖ νὰ πράξῃ κάτι, ἀλλὰ δὲν ἔχει τὴν δύναμιν, χαρακτηρίζεται καὶ κρίνεται ἀπὸ τὸν καρδιογνώστην Θεὸν ὡς νὰ ἐπραγματοποίησε τὸ ἐπιθυμητόν. Αὐτό, ὁ χαρακτηρισμὸς δηλαδὴ μιᾶς πράξεως ἐκ τῆς προθέσεως τοῦ ἀνθρώπου, ἰσχύει καὶ διὰ τὰς καλὰς καὶ διὰ τὰς κακὰς πράξεις. Ὁ νοῦς τοῦ ἀνθρώπου ἔχει τὴν δύναμιν νὰ πραγματοποιῇ πολλὰς πράξεις, εἴτε ἀγαθὰς εἴτε κακάς, μακρὰν τοῦ σώματος.

Τὸ σῶμα ὅμως μόνον, χωρὶς τὴν ἐπενέργειαν τοῦ νοός, τίποτε

ἀπὸ αὐτά, εἴτε καλὰ εἴτε κακά, δὲν θὰ δυνηθῇ νὰ πραγματοποιήσῃ· διότι ὁ νόμος τῆς ἐλευθερίας εἶναι πνευματικὸς καὶ συνυπάρχει ἐν τῇ διανοίᾳ πρὸ τῆς πράξεως.

9. Ὁ Θεὸς ἐξετάζει τὸν σκοπὸν ὅλων, ὅσα πράττομεν, εἴτε ἐνεργοῦμεν πρὸς δόξαν Αὐτοῦ, εἴτε ἐπιδιώκομεν ἄλλα πράγματα. Ὅταν λέγῃ ἡ Ἁγία Γραφή· «Ὅτι σὺ ἀποδώσῃς ἑκάστῳ, κατὰ τὰ ἔργα αὐτοῦ» (Ψαλμ. ξα', 13), ἐννοεῖ, ὅτι ὁ Θεὸς ἀποδίδει ἐκεῖνα τὰ ἔργα ποὺ ἐπραγματοποιήθησαν ὡς καλά, πρὸς ἀγαθὸν σκοπὸν καὶ ὄχι ἐκεῖνα, ποὺ ἂν καὶ φαίνωνται ὅτι εἶναι καλά, ἐν τούτοις δὲν ἐπραγματοποιήθησαν ἀπὸ ἀγαθὴν προαίρεσιν. Τοῦτο δὲ διότι ὁ Θεὸς δὲν ἐξετάζει αὐτὰ καθ' ἑαυτὰ τὰ γεγονότα, ἀλλὰ τὸν σκοπὸν τῶν γεγονότων, ἀπὸ τὸν ὁποῖον καὶ κρίνει τὰς πράξεις.

10. Ὑπάρχουν μερικαὶ πράξεις, ποὺ ἐκτελοῦν οἱ ἄνθρωποι, ἐκ φύσεως καλαὶ καὶ ἀγαθαί, καὶ ὅμως αἱ πράξεις αὐταὶ χάνουν τὴν ἀξίαν των, διότι ὁ ἄνθρωπος ἐπιδιώκει δι' αὐτῶν ἄλλους σκοπούς. Π.χ. ἡ νηστεία, ἡ ἀγρυπνία, ἡ προσευχή, ἡ ψαλμῳδία, ἡ ἐλεημοσύνη, ἡ περίθαλψις ξένων καὶ ἄλλα παρόμοια ἔργα εἶναι ἐκ φύσεως καλά· ἐν τούτοις ὅμως τὰ καλὰ αὐτὰ ἔργα χάνουν τὴν ἀξίαν των, ὅταν ὁ ἄνθρωπος τὰ ἐκτελῇ διὰ κενοδοξίαν.

11. Τὸ κέρδος ἐκ τῶν κόπων τῆς ἀρετῆς εἶναι ἡ ἀπάθεια καὶ ἡ ὑψηλὴ πνευματικὴ γνῶσις. Δι' αὐτῶν, τῆς ἀπαθείας καὶ τῆς γνώσεως, ἐξασφαλίζει ὁ ἄνθρωπος τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅπως, πάλιν, τὰ πάθη καὶ ἡ ἀγνωσία γίνονται πρόξενοι τῆς αἰωνίου κολάσεως. Ὁ ἐπιζητῶν λοιπὸν κέρδη ἐκ τῶν καρπῶν τῆς ἀρετῆς διὰ νὰ τὸν ἐπαινέσουν οἱ ἄνθρωποι καὶ ὄχι δι' αὐτὴν ταύτην τὴν ἀξίαν αὐτῶν, θὰ ἀκούσῃ τὴν Γραφὴν νὰ λέγῃ δι' αὐτόν· «Αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε» (Ἰακ. δ' 3).

Β'. Τοῦ Ἁγίου Ἰσαὰκ

ΑΡΕΤΗ ἐστιν οὐχὶ φανέρωσις τῶν πολλῶν καὶ διαφόρων πράξεων, τῶν διὰ τοῦ σώματος ἐπιτελουμένων, ἀλλ' ἡ σοφωτάτη καρδία ἐν τῇ ἐλπίδι αὐτῆς· συνάπτει γὰρ ἐν τοῖς κατὰ Θεὸν ἔργοις ὁ ὀρθὸς σκοπός.

Ἡ μὲν διάνοια δύναται χωρὶς σωματικῶν πράξεων ἐπιτελέσαι τὸ ἀγαθόν, τὸ δὲ σῶμα ἐκτὸς τῆς σοφίας τῆς καρδίας, κἂν ἐργάσηται, οὐ δύναται ὠφεληθῆναι.

Ἑρμηνεία

ΑΡΕΤΗ δὲν εἶναι ἐπίδειξις πολλῶν καὶ διαφόρων πράξεων, ποὺ ἐπιτελοῦνται διὰ μέσου τοῦ σώματος· ἀλλὰ τὸ περιεχόμενον σοφωτάτης καρδίας, τὴν ὁποίαν στηρίζει ἡ ἐλπὶς πρὸς τὸν Θεόν. Τὴν καρδίαν αὐτὴν συνδέει πρὸς τὰ κατὰ Θεὸν ἐπιτελούμενα ἔργα ὁ ὀρθὸς σκοπός.

Ἡ διάνοια δύναται νὰ ἐπιτελέσῃ τὸ ἀγαθὸν καὶ χωρὶς σωματικὰς ἐνεργείας· τὸ σῶμα ὅμως, ἐὰν δὲν κατευθύνεται ἀπὸ σοφὴν καρδίαν, καὶ ὅταν ἀκόμη ἐπιτελῇ ἔργα καλά, δὲν ὠφελεῖται.

ὙΠΌΘΕΣΙΣ Η΄

Ὅτι μέγα ἀγαθὸν ἡμῖν ἐκ Θεοῦ δεδώρηται ἡ συνείδησις καὶ μεγάλα συνεργεῖ τὸν αὐτῆς ὑπακούοντα.

Μέγα ἀγαθὸν ἔχει δωρηθῆ εἰς ἡμᾶς ὑπὸ τοῦ Θεοῦ ἡ συνείδησις. Πάρα πολὺ δὲ βοηθεῖ ἐκεῖνον ποὺ ὑπακούει εἰς αὐτήν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀγάθων, χρὴ τὸν Μοναχὸν μὴ ἐᾶσαι τὴν συνείδησιν αὐτοῦ κατηγορῆσαι αὐτοῦ εἰς οἱονδήποτε πρᾶγμα.

2. Ἔλεγον οἱ Γέροντες, ὅτι ἡ ψυχὴ πηγή ἐστιν· ἐὰν ὀρύξῃς αὐτὴν καθαρίζεται, ἐὰν δε προσχώσῃς ἀφανίζεται· οἶμαι, ψυχὴν τὸ συνειδὸς λέγειν· ὅ, ὁ μὲν ὑπακούων διαφανέστερον δείκνυσιν, ὁ δὲ παρακούων καὶ καταπατῶν ἀμαυροῖ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΑΓΑΘΩΝ εἶπεν, ὅτι ὁ Μοναχὸς πρέπει νὰ μὴ ἀφήσῃ τὴν συνείδησίν του νὰ τὸν κατηγορήσῃ δι᾽ ὅ,τιδήποτε πρᾶγμα.

2. Οἱ ἀσκητικοὶ Πατέρες ἔλεγον, ὅτι ἡ ψυχὴ εἶναι ὡσὰν τὴν πηγήν. Ἐὰν τὴν βαθύνῃς σκάπτων αὐτὴν καθαρίζεται καὶ τὸ ἀναβλῦζον ὕδωρ εἶναι διαυγές· ἐὰν πάλιν τὴν γεμίσῃς χώματα, καταστρέφεται. Νομίζω, ὅτι ψυχὴν ἐννοεῖ τὴν συνείδησιν, τὴν ὁποίαν καθιστᾷ διαυγεστέραν αὐτὸς ποὺ ὑπακούει εἰς αὐτήν· ἀπ᾽ ἐναντίας τὴν καταμαυρίζει ἐκεῖνος ποὺ παρακούει καὶ καταπατεῖ αὐτήν.

Β΄. Τοῦ Ἁγίου Ἡσαΐου τοῦ Ἀναχωρητοῦ

ΑΔΕΛΦΟΙ· ζηλώσωμεν πάντας τοὺς Ἁγίους τοὺς μὴ ὑπακούσαντας τῇ ἁμαρτίᾳ μέχρι θανάτου, ἀλλ᾽ ὑπακούσαντας τῇ ἰδίᾳ συνειδήσει αὐτῶν, καὶ κληρονομήσαντας τὴν οὐράνιον Βασιλείαν· προσέχωμεν οὖν καὶ ἡμεῖς ἐν φόβῳ Θεοῦ τῇ συνειδήσει ἡμῶν, ἕως οὗ καὶ αὐτὴ ἐλευθερώσει ἑαυτὴν μεθ᾽ ἡμῶν, ὅπως γένηται μεταξὺ ἡμῶν καὶ αὐτῆς ἕνωσις.

2. Καὶ λοιπὸν αὐτὴ γίνεται ἡμῖν φύλαξ, δεικνύουσα ἡμῖν ἕκαστον εἰς ὃ ἐκκόπτομεν· ἐὰν δὲ μὴ ὑπακούσωμεν αὐτῆς, ἀποστήσεται ἀφ᾽ ἡμῶν, καὶ καταλίπῃ

ἡμᾶς, καὶ ἐμπεσούμεθα εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, καὶ οὐκέτι ἡμᾶς ἐλεήσουσι, καθὼς ἐδίδαξεν ἡμᾶς ὁ Δεσπότης ἡμῶν λέγων· «γνῶθι τὸν ἀντίδικόν σου ἕως οὗ εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτέ σε παραδῷ τῷ κριτῇ, καὶ ὁ κριτὴς τῷ ὑπηρέτῃ, καὶ βληθῇς εἰς φυλακήν. Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, ἕως οὗ ἀποδῷς τὸν ἔσχατον κοδράντην»· ἀντίδικον λέγουσι τὴν συνείδησιν εἶναι, ὅτι ἀνθίσταται τῷ ἀνθρώπῳ θέλοντι ποιῆσαι τὰ θελήματα τῆς σαρκὸς αὐτοῦ, καὶ ἐὰν μὴ ἀκούσῃ αὐτῆς ὁ ἄνθρωπος παραδίδωσιν αὐτὸν τοῖς ἐχθροῖς αὐτοῦ.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, ἂς φροντίσωμεν μετὰ ζήλου νὰ μιμηθῶμεν ὅλους τοὺς Ἁγίους, οἱ ὁποῖοι ἀντεστάθησαν μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν, ὑπακούσαντες εἰς τὴν συνείδησίν των καὶ κληρονομήσαντες οὕτω τὴν Βασιλείαν τῶν οὐρανῶν. Μὲ φόβον Θεοῦ λοιπὸν ἂς προσέχωμεν τὴν συνείδησιν ἡμῶν, μέχρις ὅτου ἀπελευθερωθῇ καὶ αὐτή, μαζὶ μὲ ἡμᾶς, ἀπὸ τὰς κακὰς ἐπιδράσεις καὶ τὰ πάθη καὶ τοιουτοτρόπως ἐναρμονισθοῦν αἱ πράξεις ἡμῶν μὲ τὰς ὀρθὰς ἐπιταγὰς αὐτῆς, ὥστε νὰ βασιλεύῃ εἰς τὸν ψυχικόν μας κόσμον ἀπόλυτος ἁρμονία σκέψεων, διαθέσεων καὶ ἀγαθῶν πράξεων.

2. Ἐφ' ὅσον θὰ ἐπιτύχωμεν αὐτό, τότε ἡ συνείδησις θὰ καταστῇ ἄγρυπνος φύλαξ εἰς ἡμᾶς, ὑποδεικνύουσα κάθε τι ποὺ πρέπει νὰ ἀποφύγωμεν. Ἐὰν ὅμως δὲν ὑπακούσωμεν εἰς τὰς ἐπιταγὰς αὐτῆς, τότε ὁ φύλαξ αὐτὸς θὰ ἀπομακρυνθῇ ἀπὸ ἡμᾶς καὶ θὰ μᾶς ἐγκαταλείψῃ, ὁπόταν εὐκόλως θὰ περιπέσωμεν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν, δηλαδὴ τῶν παθῶν μας, οἱ ὁποῖοι καθόλου δὲν θὰ μᾶς εὐσπλαγχνισθοῦν. Αὐτὸ ὑπονοεῖ καὶ ὁ Κύριος ἡμῶν, ὅταν διδάσκῃ εἰς τὸ Εὐαγγέλιόν του· «γνῶθι τὸν ἀντίδικόν σου ἕως οὗ εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτε σὲ παραδῷ τῷ κριτῇ καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ καὶ βληθῇς εἰς φυλακήν. Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ ἀποδῷς τὸν ἔσχατον κοδράντην». (Ματθ. ε', 26). Οἱ ἑρμηνευταὶ λέγουν, ὅτι ἀντίδικος εἶναι ἡ συνείδησις τῶν ἀνθρώπων, διότι ἀνθίσταται πρὸς αὐτόν, ὁσάκις θελήσῃ νὰ ἐπιτελέσῃ τὰ θελήματα τῆς σαρκός. Ἐφ' ὅσον δὲ δὲν ἀκούσῃ ὁ ἄνθρωπος, τότε τὸν παραδίδει εἰς τοὺς ἐχθρούς του.

Γ'. Τοῦ Ἁγίου Μάρκου

ΖΗΤΩΝ θεραπείαν, ἐπιμέλησαι τῆς συνειδήσεως, καὶ ὅσα λέγει σοι ποίησον, καὶ εὑρήσεις τὴν ὠφέλειαν.

2. Πολλαὶ συμβουλίαι τοῦ πέλας, πρὸς δὲ τὸ συμφέρον ἑκάστῳ τῆς ἰδίας γνώμης οὐδὲν ἁρμοδιώτερον, εἴπερ τὸ συνειδὸς ἐκκαθαίρεται.

3. Τὰ κρυπτὰ ἑκάστου ὁ Θεὸς οἶδε καὶ ἡ συνείδησις, καὶ διὰ τούτων αὐτῶν λαμβανέτω διόρθωσιν.

4. Ὁ ἐν θεωρίᾳ συνειδήσεως μὴ ἐγκαρτερῶν, οὐδὲ τοὺς σωματικοὺς κόπους ὑπὲρ εὐσεβείας καταδέχεται.

5. Φυσικὴ βίβλος ἐστὶν ἡ συνείδησις· ὁ ἐμπράκτως ἀναγινώσκων αὐτήν, λαμβάνει πεῖραν θείας ἀντιλήψεως.

6. Συνείδησις ἀγαθὴ διὰ προσευχῆς εὑρίσκεται· καὶ προσευχὴ καθαρά, διὰ συνειδήσεως· θἄτερον γὰρ θατέρου κατὰ φύσιν προσδέεται.

Ἑρμηνεία

ΟΤΑΝ ζητῇς θεραπείαν διὰ τὴν ψυχήν σου, φρόντισε τὴν συνείδησίν σου καὶ κάμε αὐτὸ ποὺ σοῦ λέγει· ἀσφαλῶς δὲ θὰ εὕρῃς ὠφέλειαν.

2. Πολλαὶ εἶναι αἱ συμβουλαὶ τῶν τρίτων· δὲν ὑπάρχει ὅμως καταλληλοτέρα, διὰ τὸ συμφέρον τοῦ ἀνθρώπου, ἀπὸ τὴν προσωπικήν του γνώμην, ἐφ' ὅσον βεβαίως ἡ συνείδησις εἶναι καθαρά.

3. Ὁ Θεὸς μόνον γνωρίζει τὰ κρυπτὰ ἑκάστου ἀνθρώπου· αὐτὸς δὲ καὶ ἡ συνείδησις, ἡ ὁποία καὶ αὐτὴ γνωρίζει, δύνανται νὰ διορθώσουν αὐτὰ τὰ κρυπτά.

4. Ὅποιος δὲν ἐρευνᾷ ἐπιμελῶς τὰς ὑποδείξεις τῆς συνειδήσεώς του, αὐτὸς οὔτε τοὺς σωματικοὺς κόπους χάριν τῆς εὐσεβείας θὰ δυνηθῇ νὰ ἐπιτύχῃ.

5. Ἡ συνείδησις εἶναι φυσικὸν βιβλίον· ἐκεῖνος λοιπόν, ποὺ τὸ διαβάζει καὶ πράττει κατὰ τὰς ὑποδείξεις του, ἀποκτᾷ πεῖραν τῆς φροντίδος τοῦ Θεοῦ διὰ τὸν ἄνθρωπον.

6. Ἡ ἀγαθὴ συνείδησις ἀποκτᾶται διὰ τῆς προσευχῆς· ἡ δὲ καθαρὰ προσευχὴ ἐπιτυγχάνεται διὰ τῆς συνειδήσεως. Καὶ ἡ προσευχὴ καὶ ἡ συνείδησις, κατὰ φυσικὸν λόγον, ἔχουν ἀνάγκην ἡ μία τῆς ἄλλης.

Δ'. Τοῦ Ἁγίου Μαξίμου

Μη ἀτιμάσῃς τὴν συνείδησιν, ἄριστά σοι ἀεὶ συμβουλεύουσαν· γνώμην γὰρ θείαν καὶ ἀγγελικὴν σοι ὑποτίθεται, καὶ τῶν κρυπτῶν τῆς καρδίας μολυσμάτων ἐλευθεροῖ, καὶ παῤῥησίαν πρὸς Θεὸν ἐν τῇ ἐξόδῳ τοῦ βίου χαρίζεται.

Ἑρμηνεία

ΜΗ περιφρονήσῃς τὴν συνείδησίν σου, διότι πάντοτε σὲ συμβουλεύει τὸ καλύτερον. Γνώμην θεϊκὴν καὶ ἀγγελικὴν σοῦ προτείνει, σὲ ἀπελευθερώνει ἀπὸ ἐνόχους καὶ ἁμαρτωλὰς σκέψεις, τὰς ὁποίας μόνον αὐτὴ γνωρίζει, καὶ ἐξασφαλίζει εἰς σέ, τὸν ἄνθρωπον, τὴν δυνατότητα νὰ ἴδῃς καὶ νὰ ὁμιλήσῃς ἐλευθέρως πρὸς τὸν Θεόν, κατὰ τὴν στιγμὴν τοῦ θανάτου, διότι θὰ σὲ ἔχῃ διαφυλάξει ἀπὸ τὴν ἁμαρτίαν.

ΥΠΟΘΕΣΙΣ Θ´

Ὅτι δεῖ προσέχειν ἀεὶ καὶ πάντοθεν ἑαυτοὺς ἀσφαλίζεσθαι, ὡς τοῦ ἐχθροῦ πάντοθεν καὶ διὰ πάντων προσβάλλοντος.

Πρέπει πάντοτε νὰ προσέχωμεν καὶ νὰ περιφρουρῶμεν τοὺς ἑαυτούς μας ἀπὸ ὅλα τὰ σημεῖα, ἐπειδὴ ὁ ἐχθρὸς ἀπὸ παντοῦ καὶ δι᾽ ὅλων τῶν μέσων προσβάλλει.

Α´. Ἐν τῷ Βίῳ τῆς Ὁσίας Συγκλητικῆς

ΤΑΙΣ συνελθούσαις Μοναχαῖς ἔλεγεν ἡ Ἁγία Συγκλητική, ὅτι δεῖ ἡμᾶς κατὰ τῶν ἐχθρῶν παντοίως ὁπλίζεσθαι· καὶ γὰρ καὶ ἐκ τῶν ἔξωθεν προσβάλλουσι, καὶ ἐκ τῶν ἔνδοθεν πολεμοῦσι· καὶ ὥς περ ἡ ναῦς, ποτὲ μὲν ὑπὸ τῶν ἐκτὸς τρικυμιῶν καταβαπτίζεται, ποτὲ δὲ ὑπὸ τῆς ἔνδον ἀντλίας ὑποβρύχιος γίνεται, οὕτω καὶ ἡ ψυχὴ ἄλλοτε μὲν διὰ τῶν ἔξωθεν τῶν πνευμάτων προσβολῶν κινδυνεύει, ἄλλοτε δὲ διὰ τῶν ἔνδον λογισμῶν προδίδοται· δεῖ οὖν καὶ τὰς ἔξωθεν τῶν πνευμάτων ἐπιτηρεῖν προσβολὰς καὶ τὰς ἔνδον διὰ τῶν λογισμῶν ἀνιχνεύειν κακίας, καὶ μάλιστα πρὸς τοὺς λογισμοὺς γρηγορεῖν· καὶ γὰρ συνεχῶς ἐφίστανται, καὶ λανθανόντως τῇ ἀπωλείᾳ παραπέμπουσιν.

2. Ἐπὶ μὲν γὰρ ταῖς ἔξωθεν τρικυμίαις βοώντων τῶν ναυτῶν πολλάκις ἡ σωτηρία διὰ τῶν ἐγγυτάτων πλοίων γίνεται, διὰ δὲ τῆς ἀντλίας καὶ κοιμωμένων ἴσως τῶν πλωτήρων καὶ ζάλης μὴ οὔσης εἰσπεσοῦσα ἡ θάλασσα τὸ σκάφος ἐβύθισε. Δεῖ οὖν ἐπιπονωτέραν τὴν προσοχὴν πρὸς τοὺς λογισμοὺς ἐνδείκνυσθαι· ὁ γὰρ ἐχθρὸς καθάπερ οἶκον τὴν ψυχὴν βουλόμενος καθελεῖν, ἢ ἀπὸ τῶν θεμελίων ποιεῖται αὐτῆς τὴν καταστροφήν, ἢ ἀπὸ τῆς ὀροφῆς ἀρχόμενος πᾶσαν αὐτὴν διαφθείρει, ἢ καὶ διὰ τῶν θυρίδων εἰσελθών, πρῶτον τὸν οἰκοδεσπότην δεσμεῖ καὶ οὕτως χειροῦται τὰ πάντα. Θεμέλιος μὲν οὖν ἐστι τὰ καλὰ ἔργα, ὀροφὴ δὲ ἡ πίστις, θυρίδες δὲ αἱ αἰσθήσεις, καὶ διὰ πάντων πολεμεῖ ὁ ἐχθρός.

3. Διὸ πολυόφθαλμον δεῖ εἶναι τὸν σωθῆναι βουλόμενον, οὐκ ἔχομεν δὲ ἐνταῦθα τὸ ἀμέριμνον, λέγει γὰρ ἡ γραφή· βλεπέτω μὴ πέσῃ ὁ δοκῶν ἑστᾶναι· θάλασσα γὰρ ὁ βίος ἡμῶν. Τῆς μὲν θαλάσσης, τὰ μέν ἐστι πετρώδη, τινὰ δὲ καὶ θηρίων γέμει, τινὰ δὲ γαληνά εἰσι καὶ οὐ τοσοῦτον κυμαίνονται· ἡμεῖς δὲ ἐν τοῖς γαληνιῶσι μέρεσι τῆς θαλάσσης ταύτης πλέειν δοκοῦμεν, οἱ δὲ κοσμικοὶ ἐν τοῖς κινδυνώδεσι· καὶ ἡμεῖς μὲν ἡμέρας πλέομεν, ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης ὁδηγούμενοι, ἐκεῖνοι δὲ νυκτὸς ὑπὸ τῆς ἀγνωσίας φερόμενοι· ἀλλ᾽ ἐνδέχεται πολλάκις τὸν κοσμικὸν ἐν σκότει καὶ χειμῶνι τυγχάνοντα βοήσαντα καὶ ἀγρυπνήσαντα σῶσαι τὸ ἑαυτοῦ σκάφος, ἡμᾶς δὲ ἐν γαλήνῃ ὄντας, ὑπὸ ἀμελείας βυθισθῆναι, ἀφέντας τὸ τῆς δικαιοσύνης πηδάλιον· βλεπέτω οὖν ὁ στήκων μὴ πέσῃ· ὁ μὲν γὰρ πεσών, μίαν ἔχει φροντίδα, τοῦ ἀναστῆναι, ὁ δέ γε στήκων βλεπέτω μὴ πεσεῖν.

Ἑρμηνεία

Η ΑΓΙΑ ΣΥΓΚΛΗΤΙΚΗ ἔλεγε πρὸς τὰς συγκεντρωθείσας Μοναχάς:

— Ἀδελφαί, ἡμεῖς ἐπιβάλλεται νὰ ἐξοπλιζώμεθα ἐναντίον τῶν ἐχθρῶν τῆς σωτηρίας μας δι' ὅλων τῶν μέσων. Τοῦτο δὲ διότι οἱ ἐχθροὶ καὶ ἀπ' ἔξω ἐπιτίθενται, ἀλλὰ καὶ ἀπὸ τὸ ἐσωτερικὸν τῆς ψυχῆς μᾶς πολεμοῦν. Ὅπως δὲ ἀκριβῶς τὸ πλοῖον ἄλλοτε μὲν βυθίζεται ἀπὸ τὴν ἐξωτερικὴν τρικυμίαν, ἄλλοτε πάλιν ἀπὸ τὰ ὕδατα ποὺ συγκεντρώνονται εἰς τὸ κύτος αὐτοῦ ἀπὸ ἐσωτερικὰ ρήγματα τοῦ σκάφους, τοιουτοτρόπως καὶ ἡ ψυχὴ ἄλλοτε μὲν διακινδυνεύει ἀπὸ τὰς ἐξωτερικὰς ἐπιθέσεις τῶν πονηρῶν πνευμάτων, ἄλλοτε πάλιν παραδίδεται εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἀπὸ τοὺς ἐσωτερικοὺς λογισμούς. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον πρέπει νὰ παρακολουθῶμεν καὶ τὰς ἐπιθέσεις τῶν πονηρῶν πνευμάτων, ποὺ προέρχονται ἀπ' ἔξω, ἀλλὰ καὶ νὰ ἀνακαλύπτωμεν τὰς κακίας, ποὺ ὀφείλονται εἰς τοὺς ἐσωτερικοὺς λογισμούς· πολὺ δὲ περισσότερον νὰ ἐπαγρυπνῶμεν διὰ τοὺς λογισμούς, διότι καὶ ἀδιακόπως μᾶς ἐνοχλοῦν διὰ τῆς παρουσίας των, ἀλλὰ καὶ διότι χωρὶς νὰ τὸ ὑποπτευθῶμεν μᾶς ὁδηγοῦν εἰς τὴν καταστροφήν.

2. Καὶ ὅταν τὸ πλοῖον κινδυνεύῃ ἀπὸ σφοδρὰν θαλασσοταραχήν, οἱ ναῦται συνήθως κραυγάζουν ἀπεγνωσμένως, καὶ πολλὰς φορὰς σῴζονται μὲ τὴν βοήθειαν τῶν πλοίων, τὰ ὁποῖα εὑρίσκονται κοντὰ εἰς αὐτό· ἐὰν ὅμως ὑποστῇ ἐσωτερικὸν ρῆγμα, καὶ οἱ ναῦται κοιμῶνται ἀμέριμνοι, τότε θὰ πλημμυρίσῃ τὸ κύτος ἀπὸ ὕδατα, ὁπόταν, καὶ ἐὰν ἀκόμη δὲν ὑπάρχῃ τρικυμία, τὸ σκάφος θὰ βυθισθῇ.

Πρέπει λοιπὸν ἡ προσοχὴ ἡμῶν διὰ τὸν ἔλεγχον τῶν λογισμῶν νὰ εἶναι τελείως ἄγρυπνος· διότι ὁ ἐχθρὸς ἐπιθυμῶν νὰ κατακρημνίσῃ τὴν ψυχήν, ὅπως ὁ ληστὴς τὴν οἰκίαν, ἢ τὴν καταστρέφει ἀπὸ τὰ θεμέλια, ἢ ἀρχίζει τὸ ἀπαίσιον ἔργον του ἀπὸ τὴν σκεπήν, ἤ, ἀκόμη, εἰσέρχεται αἰφνιδίως ἀπὸ τὰ παράθυρα καὶ ἀφοῦ δέσῃ τὸν οἰκοδεσπότην, τότε, ἐλεύθερος πλέον, ὑποτάσσει τὰ πάντα. Εἰς τὴν εἰκόνα, ποὺ ἀνέφερα, θεμέλια εἶναι τὰ καλὰ ἔργα· σκεπὴ ἡ πίστις καὶ παράθυρα αἱ αἰσθήσεις. Δι' ὅλων αὐτῶν μᾶς πολεμεῖ ὁ ἐχθρός.

3. Δι' αὐτὸ ἐκεῖνος, ποὺ θέλει νὰ σωθῇ, πρέπει νὰ ἔχῃ τὰ μάτια του δεκατέσσαρα. Εἰς τὴν παροῦσαν ζωὴν δὲν πρέπει νὰ παραμένωμεν ξένοιαστοι, διότι, ὅπως λέγει ἡ Ἁγία Γραφή· «Ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ». (Α' Κορινθ. ι', 12). Ἡ παροῦσα ζωὴ ὁμοιάζει μὲ θάλασσαν, ὅπου εἰς ἄλλα μέρη αὐτῆς ὑπάρχουν ἐπικίνδυνοι ὕφαλοι, ἄλλα εἶναι γεμᾶτα ἀπὸ φοβερὰ θαλάσσια θηρία, καὶ μερικὰ εἶναι γαλήνια καὶ δὲν ἐνοχλοῦνται τόσον πολὺ ἀπὸ θαλασσοταραχήν. Ἡμεῖς οἱ Μοναχοὶ ἔχομεν τὴν γνώμην, ὅτι διαπλέομεν τὴν περιοχὴν τῆς θαλάσσης, ποὺ ἐπικρατεῖ γαλήνη, ἐνῷ οἱ κοσμικοὶ τὴν ὑπὸ τρικυμίας ἐνοχλουμένην θάλασσαν. Ἐπὶ πλέον ἡμεῖς οἱ Μοναχοὶ πλέομεν ὑπὸ τὸ φῶς τῆς πνευματικῆς ἡμέρας, ὁδηγούμενοι ἀπὸ τὸν Ἥλιον τῆς Δι-

καιοσύνης, ἐνῷ ἐκεῖνοι, οἱ κοσμικοί, πλανῶνται μέσα εἰς τὸ ἐπικίνδυνον σκότος, τὴν νύκτα, ποὺ προκαλεῖ ἡ ἀγνωσία των. Παρ' ὅλα ταῦτα συμβαίνει συνήθως νὰ διασώσῃ ὁ κοσμικὸς τὸ σκάφος του, δηλαδὴ τὴν ψυχήν του, ἂν καὶ πλήσσεται ὑπὸ θαλασσοταραχῆς καὶ ταξιδεύει ὑπὸ ἀπειλητικὴν νύκτα, διότι ἐβόησε πρὸς τὸν Θεὸν καὶ ἡ προσοχή του παρέμεινεν ἄγρυπνος· ἐνῷ ὁ Μοναχός, ποὺ εὑρίσκεται εἰς περιοχὴν γαλήνης, ἐβυθίσθη ἀπὸ τὴν ἀμέλειάν του, διότι ἄφησε νὰ τοῦ φύγῃ ἀπὸ τὰς χεῖράς του τὸ πηδάλιον τῆς δικαιοσύνης. Ἂς προσέχῃ λοιπὸν ἐκεῖνος ποὺ στέκει εἰς ἀσφαλὲς μέρος νὰ μὴ πέσῃ. Διότι ἐκεῖνος, ποὺ ἔπεσε, μίαν φροντίδα ἔχει, πῶς νὰ ἀνασηκωθῇ διὰ τῆς μετανοίας, ἀλλ' ὅμως αὐτὸς ποὺ στέκει ἂς μὴ ἐπαναπαύεται καὶ ἂς προσέχῃ διὰ νὰ μὴ πέσῃ.

Β'. Ἐν τῷ Γεροντικῷ

Ο ΑΒΒΑΣ Βησσαρίων ἀποθνήσκων ἔλεγεν, ὅτι ὀφείλει εἶναι ὁ Μοναχὸς ὡς τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ ὅλος ὀφθαλμός.

2. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι οὐ δεόμεθά τινος, εἰμὴ νηφούσης καρδίας.

3. Εἶπε πάλιν· ἡ πονηρία τῶν ἐχθρῶν, ὄπισθεν αὐτῶν ἐστι κεκρυμμένη.

4. Ὁ αὐτὸς εἶπεν, ὅτι ἠρώτησεν ἀδελφὸς τὸν Ἀββᾶν Σίμωνα λέγων· ἐὰν ἐξέλθω ἐκ τοῦ κελλίου μου καὶ εὕρω τὸν ἀδελφόν μου περισπώμενον, κἀγὼ περισπῶμαι μετ' αὐτοῦ καὶ ἐὰν εὕρω αὐτὸν γελῶντα, κἀγὼ γελῶ μετ' αὐτοῦ, καὶ ὅταν εἰσέλθω εἰς τὸ κελλίον μου, οὐκ ἀφίεμαι ἀνάπαυσιν ἔχειν· λέγει αὐτῷ ὁ γέρων· θέλεις ἐὰν ἐξέλθῃς ἐκ τοῦ κελλίου σου καὶ εὕρῃς τοὺς γελῶντας, καὶ συγγελᾶσαι, καὶ τοὺς λαλοῦντας καὶ συλλαλῆσαι, καὶ ὅταν ἔλθῃς εἰς τὸ κελλίον σου εὑρεῖν ἑαυτὸν ὡς ἦς; ἔσω τήρει φυλακήν, καὶ ἔξω τήρει φυλακήν.

5. Παρέβαλέ τις τῶν γερόντων πρὸς ἄλλον γέροντα, καὶ λαλούντων αὐτῶν, εἶπεν ὁ εἷς· ἐγὼ ἀπέθανον τῷ κόσμῳ· λέγει αὐτῷ ὁ ἄλλος· μὴ θαῤῥήσῃς ἑαυτῷ, ἀδελφέ, ἕως ἂν ἐξέλθῃς ἐκ τοῦ σώματος· εἰ γὰρ σὺ λέγεις ὅτι ἀπέθανον, ἀλλ' ὁ Σατανᾶς οὐκ ἀπέθανεν.

6. Ἀνδρὶ ἁγίῳ κατὰ τὴν ὥραν, ἣν ἔμελλε τελευτᾷν, ἐπιστὰς ὁ Σατανᾶς εἶπε, σὺ ἐξείλησάς με· καὶ ἀποκριθεὶς ὁ γέρων εἶπεν· ἀκμὴν οὐκ οἶδα.

7. Ὁ Ἀββᾶς Ἀγάθων μέλλων τελευτᾶν ἔμεινε τρεῖς ἡμέρας ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμούς, ἔνυξαν δὲ αὐτὸν οἱ ἀδελφοὶ λέγοντες· Ἀββᾶ Ἀγάθων, ποῦ εἶ; ὁ δὲ λέγει αὐτοῖς· ἐνώπιον τοῦ κριτηρίου τοῦ Θεοῦ ἵσταμαι· ἠρώτησαν αὐτὸν οἱ ἀδελφοί· καὶ σὺ φοβῇ, Πάτερ; ἀπεκρίθη αὐτοῖς ὁ γέρων· τέως ἐποίησα τὴν δύναμίν μου εἰς τὸ φυλάξαι τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλὰ ἄνθρωπός εἰμι· πόθεν οἶδα εἰ τὸ ἔργον μου ἤρεσε τῷ Θεῷ; λέγουσιν αὐτῷ οἱ ἀδελφοί· οὐκ εἶ πεποιθὼς ἐπὶ τὸ ἔργον σου, ὅτι κατὰ Θεόν ἐστιν; ἔφη ὁ γέρων· οὐ θαῤῥῶ, εἰ μὴ τῷ Θεῷ ἀπαντήσω, ἄλλο γάρ ἐστι τὸ τοῦ Θεοῦ κρῖμα, καὶ ἄλλο τὸ τῶν ἀνθρώπων· ὡς δὲ ἤθελον ἐρωτῆσαι αὐτὸν καὶ ἕτερον λόγον, λέγει αὐτοῖς· ποιήσατε ἀγάπην, μὴ λαλεῖτε ἄρτι μετ' ἐμοῦ, ὅτι ἀσχολοῦμαι, καὶ ἐτελειώθη ἐν χαρᾷ· ἑώρων γὰρ αὐτὸν ἀναγόμενον, ὃν τρόπον ἀσπάζεταί τις τοὺς ἑαυτοῦ φίλους καὶ ἀγαπητούς.

8. Ποτὲ τῷ Ἀββᾷ Μακαρίῳ ἀπιόντι πρὸς βαθυτάτην ἔρημον, ὑπήντησεν αὐτῷ τις γηραιὸς πάνυ, ἀχθοφορῶν, καὶ κατὰ παντὸς τοῦ σώματος περικείμενος ἀγγείων πλῆθος· ἦν δὲ ἐν ἑκάστῳ ἀγγείῳ πτερόν· καὶ ταῦτα ἀντὶ περιβολαίου ἐφόρει· τοῦτον οὖν ἰδὼν ὁ Ἀββᾶς Μακάριος ἔστη, κἀκεῖνος ἠρώτησεν αὐτόν· τί ποιεῖς ἐν τῇ ἐρήμῳ ταύτῃ πλανώμενος; ὁ δὲ ἀπεκρίθη· Θεὸν εὑρεῖν θέλω, φεύγω τὴν πλάνην, σὺ δὲ τίς εἶ, ὦ πρεσβύτα; γνώριζέ μοι· ξένον γάρ σου τὸ σχῆμα ὁρῶ τῆς ἀνθρωπίνης συνηθείας, καὶ τίνα εἰσὶ ταῦτα τὰ περιέχοντά σε.

Ὁ δὲ θείᾳ δυνάμει ἀοράτως ἐκβιαζόμενος, καὶ ἄκων ὡμολόγησεν εἰπών· ἐγώ εἰμι ὃν λέγετε Σατανᾶν καὶ Διάβολον, ταῦτα δὲ τὰ περικείμενά μοί εἰσιν, ἐν οἷς τοὺς ἀνθρώπους ἀποπλανῶν ἕλκω πρὸς ἐμαυτόν, καὶ κατὰ παντὸς μέλους καὶ μέρους τὸ προσφυὲς ἑκάστῳ ἐπάγων δέλεαρ, καὶ πτεροῖς ἐπιθυμιῶν τὰς τούτων καρδίας ἀνακινῶν καὶ καταστρέφων τοὺς πειθομένους μοι, εὐφραίνομαι ἐπὶ τῇ πτώσει τῶν ὑπ' ἐμοῦ ἡττωμένων.

Ἀκούσας δὲ ὁ Ἅγιος Μακάριος καὶ θαρρήσας πρὸς αὐτὸν εἶπε· τοῦ Χριστοῦ σε εἰς παίγνιον παραδεδωκότος τοῖς αὐτοῦ δούλοις, πῶς ἔτι τοιαῦτα μεγαλαυχεῖς; ὅμως φράσον μοι κατ' εἶδος ὧν ἔχεις φαρμάκων τὴν δύναμιν· εἰς τοῦτο γὰρ ἐφάνης, ἵνα μάθωμέν σου τὰς πολυτρόπους μαγγανείας, καὶ μὴ συντιθέμεθά σου τῇ γνώμῃ· ὁ δὲ ἔφη· λέγω σοι καὶ μὴ θέλων τὴν ἐμὴν ἐπιστήμην, ὁ γὰρ ἰδεῖν σε ταῦτα παρασκευάσας, ἐκεῖνος κἀμὲ λέγειν σοι περὶ τούτων βιάζεται· μάνθανε οὖν τὴν αἰτίαν ἑκάστου ἀγγείου.

Ἐὰν εὕρω τινὰ ἐν τῷ νόμῳ Κυρίου ἀδιαλείπτως μελετῶντα, ἐμποδίζειν ἐπιχειρῶ, ἐπιχρίων ἐκ τοῦ περὶ τὴν κεφαλήν μου ἀγγείου, κεφαλαλγίαν αὐτῷ ἐμποιῶν· τὸν δὲ ἀγρυπνεῖν εἰς ὕμνους καὶ εὐχὰς μέλλοντα, λαβὼν ἐκ τοῦ περὶ τὰς ὀφρύας μου ἀγγείου, καὶ τῷ πτερῷ προσχρίσας, εἰς νυσταγμὸν καταφέρω καὶ ὑπνοῦν ἐκβιάζομαι· ἃ δὲ φέρω περὶ τὰς ἀκοὰς ἀγγεῖα, εἰς παρακοήν εἰσιν ηὐτρεπισμένα, καὶ διὰ τούτων πείθω τοὺς θέλοντας σωθῆναι μὴ ἀκούειν τὸν λόγον τῆς ἀληθείας, τὰ δὲ περὶ τὴν ὄσφρησίν μου, μύροις εὐωδίας τοὺς νέους εἰς πορνείαν κινῶ· τοῖς δὲ περὶ τὸ στόμα ἐσκευασμένοις φαρμάκοις δελεάζω τοὺς ἀσκοῦντας δι' ἡδονῆς βρωμάτων καὶ γαστριμαργίας ποιεῖν ἃ θέλω, ἐπιπέμπων αὐτοῖς καὶ τὸ τῆς καταλαλιᾶς εἶδος, καὶ τὸ τῆς αἰσχρολογίας, οἳ καὶ λαβόντες τὰ σπέρματα εἰς πλῆθος ἐμοὶ καρπῶν φίλων ταῦτα γεωργοῦσι.

Ἐκ δὲ τῶν τραχήλων μου ἀγγείων, τοὺς κατ' ἀρετὴν ζῶντας ὑπερηφανίᾳ περιχρίσας, εἰς ὑψηλοφροσύνην ἐπαίρω, καὶ οὕτω καταφέρω αὐτοὺς εἰς ἀπώλειαν, ἑτέρους δὲ εἰς ἀνθρωπαρέσκειαν καὶ δόξαν ἀνθρωπίνην πείθω ἐκμαίνεσθαι καὶ τούτοις δεσμήσας αὐτούς, μακρὰν τοῦ Θεοῦ ἀπάγω· ἃ δὲ περὶ τὸ στῆθός μου βλέπεις, τῶν ἐμῶν [illegible] εἰσι δοχεῖα, ἐξ ὧν ποτίζων τὰς καρδίας τὴν ἐμὴν μέθην τῆς ἀσεβείας, σκοτίζω τὰς εὐσεβεῖς γνώμας τῶν θελόντων ἐνθυμεῖσθαι τὰ μέλλοντα, καὶ τῇ λήθῃ τὴν μνήμην αὐτῶν ἀφανίζω· τὰ δὲ περὶ τὴν κοιλίαν μου ἀγγεῖα ἀναισθησίας εἰσὶ πεπληρωμένα, δι' ὧν ἀλόγως καὶ κτηνωδῶς ζῆν τοὺς ἀνθρώπους παρασκευάζω, τὰ δὲ ὑπὸ τὴν γαστέρα μοι συνόντα πρὸς μίξεις ἀθέους καὶ ἀσελγείας καὶ ἀκολασίας τούτους διερεθίζουσι, τὰ δὲ ἐν χερσίν, εἰς τὴν τῶν φθονούντων καὶ τῶν φόνων ὑπηρεσίαν μοι ηὐτρέπισται, τὰ δὲ περὶ τὸν νῶτον καὶ τοὺς ὤμους ἠρτημένα ὁ γνόφος εἰσὶ τῶν ἐμῶν πειρατηρίων, δι' ὧν ἰσχυρῶς ἐπιβουλεύω τοὺς ἐμὲ πολεμεῖν πειρωμένους, καὶ ποιῶν ἐνέδρας ἐκ τῶν ὀπίσω, ῥάσσω τοὺς δυναστείᾳ πεποιθότας.

Τὰ δὲ περὶ τοὺς μηροὺς καὶ σκέλη καὶ ἕως τῶν ποδῶν ἠρτημένα μοι, παγίδες καὶ βρόχοι ποικίλοι τε καὶ διάφοροι καὶ πολύπλοκοι, ἐξ ὧν ἐπιῤῥαίνων, ταράσσω τὰς ὁδοὺς τῶν εὐθέων καὶ ἐμποδίζω αὐτοὺς τρέχειν τὸν τῆς εὐσεβείας δρόμον, ἐν τῇ ἐμῇ ὁδῷ βαδίζειν αὐτοὺς ἐφελκόμενος· ἐν μέσῳ γὰρ καθήμενος τῶν ὁδῶν τῆς ζωῆς καὶ τοῦ θανάτου, καὶ ἐνισχύω τούτους εἰς τὴν ἐμὴν πορείαν, εἰς ἣν οἱ ἐκκλίνοντες ἀρνοῦνται τὴν ὁδὸν τῆς ἀληθείας παντάπασι· σὺ δὲ οὐκ ἠβου-

λήθης ὅλως ἀκοῦσαί μου κἂν ἅπαξ, ἵνα ἔχω μικρὰν παραμυθίαν, ἀλλὰ φλέγεις με πάντοτε προσιόντα σοι, ὅπλον ἔχων μέγα, διὸ σπεύδω φυγεῖν εἰς τοὺς ἐμοὺς δούλους· σὺ γὰρ ἔχεις καλὸν δεσπότην καὶ οἱ σύνδουλοί σου, πρᾴως ὁμιλοῦντα ἡμῖν καὶ διατηροῦντα ὑμᾶς ὡς ἴδια τέκνα.

Ταῦτα ἀκούσας ὁ γέρων ὁ Ἅγιος ἐσφράγισεν ἑαυτὸν εἰπών· εὐλογητὸς ὁ Θεὸς ὁ παραδιδούς σε εἰς αἰσχύνην τοῖς ἐλπίζουσιν ἐπ' αὐτόν, ὃς κἀμὲ φυλάξαι τελείως ἀπὸ τῆς σῆς ἀπάτης, καὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν, καὶ σὲ καταργῆσαι μακρὰν ἀπελαύνων ἡμῶν· ταῦτα δὲ αὐτοῦ λέγοντος, ἀφανὴς ἐγένετο, καπνὸν ὡσεὶ πυρὸς ἐπιδείξας, ὁ δὲ Ἀββᾶς Μακάριος εὐχαριστήσας τῷ Θεῷ ἀπῄει τὴν ὁδὸν αὐτοῦ χαίρων.

9. Ἔλεγον περί τινος γέροντος, ὅτι ἐδεήθη τοῦ Θεοῦ ἰδεῖν τοὺς δαίμονας καὶ ἀπεκαλύφθη αὐτῷ ὅτι οὐ χρείαν ἔχεις ἰδεῖν αὐτούς· ὁ δὲ γέρων παρεκάλει λέγων· Κύριε, δυνατὸς εἶ σκεπάσαι με τῇ χειρί σου· ὁ δὲ Θεὸς ἀπεκάλυψε τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶδεν αὐτούς, ὅτι ὥς περ μέλισσαι κυκλοῦσι τὸν ἄνθρωπον, βρύχοντες ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτῶν, Ἄγγελος δὲ Κυρίου ἐπετίμα αὐτούς.

10. Εἶπεν ὁ Ἀββᾶς Ἡσαΐας ὅτι ὅμοιός εἰμι στρουθίῳ τὸν πόδα δεθέντι ὑπὸ παιδίου, καὶ ἐὰν αὐτῷ χαυνώσῃ, εὐθέως ἀνίπταται νομίζον ἀπολελύσθαι· ἐὰν δὲ καθελκύσῃ αὐτῷ τὸ παιδίον, πάλιν καταφέρει αὐτό, οὕτω κἀγὼ ἐμαυτὸν ὁρῶ· τοῦτο δὲ λέγω, ὅτι οὐ δεῖ τινα ἀμεριμνῆσαι ἕως ἐσχάτης ἀναπνοῆς διὰ τὴν ποικίλην κακίαν τοῦ ἐχθροῦ.

11. Εἶπε πάλιν· ἐὰν ἄνθρωπος ποιήσῃ μεγάλας δυνάμεις, καὶ ἰάσεις, καὶ ἔχῃ πᾶσαν γνῶσιν καὶ ἀναστήσῃ νεκρούς, ἐφ' ὅσον ἔπεσεν εἰς ἁμαρτίαν, οὐ δύναται ἀμεριμνῆσαι ὅτι ὑπὸ μετάνοιάν ἐστι.

Ποιήσωμεν οὖν τὴν δύναμιν ἡμῶν, ἀδελφοί, καὶ παραῤῥίψωμεν ἑαυτοὺς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἡ ἀγαθότης τοῦ Θεοῦ ἐλεήσει ἡμᾶς καὶ ἀποστείλῃ ἡμῖν τὴν δύναμιν τοῦ ἐκδύσασθαι τὴν βαρύτητα τῶν ἀκαθάρτων παθῶν, καὶ γὰρ οὐ σιωπᾷ ὁ ἐχθρὸς ἡμῶν πᾶσαν ὥραν θηρεύων ἡμᾶς, θέλων ἁρπάσαι τὰς ψυχὰς ἡμῶν· ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς ἐστι μεθ' ἡμῶν ἐπιτιμῶν αὐτῷ διὰ τῶν ἁγίων αὐτοῦ ἐντολῶν, ἐὰν φυλάξωμεν αὐτάς.

Μακάριος ἄνθρωπος ὁ ἐν γνώσει αἰσχυνόμενος καὶ δεόμενος ὑπὲρ ἀφέσεως αὐτῶν, οὐαὶ δὲ τοῖς ἀναλώσασι τὸν χρόνον αὐτῶν ἐν ἀμελείᾳ· ἐνόμισαν γὰρ ἀναμάρτητοι εἶναι, καταπατοῦντες τὴν ἰδίαν συνείδησιν, μὴ βουλόμενοι παρ' αὐτῆς κατανύσσεσθαι, μηδὲ ἐπιγινώσκοντες ὅτι οὐκ ἔστι μικρὸν τὸ παραμικρὸν εἶναι.

Καθάπερ γὰρ ὁ γεωργὸς πᾶν σπέρμα σπείρων, ἐὰν μὴ τελεσφορηθῇ μάταιον αὐτὸ ἔχει, καὶ ἄχθεται ἐπὶ τῷ κόπῳ αὐτοῦ διὰ τὸ μὴ τελεσφορηθῆναι, οὕτως ὁ ἄνθρωπος, ἐὰν γνῷ πάντα τὰ μυστήρια, καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ποιήσῃ δυνάμεις πολλὰς καὶ ἰάματα, καὶ ἔστιν ἐν κακοπαθείαις πολλαῖς καὶ ποικίλαις, καὶ γυμνὸς ἕως αὐτοῦ τοῦ ἐνδύματος, ἀκμὴν ὑπὸ φόβον ἐστὶ μὴ θαῤῥῶν τῇ ἑαυτοῦ συνειδήσει· ἔτι γὰρ ἔχει ἐχθροὺς καὶ ἐπιβούλους καὶ θηρευτάς, ἕως οὗ φθάσῃ εἰς τὴν ἀγάπην· τότε γὰρ ἀκούει, ὅτι ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει, ἀλλὰ πάντα πιστεύει, καὶ ἐλπίζει, καὶ ὑπομένει· ὁ οὖν ἔχων τὸν φόβον τοῦ Θεοῦ, ἀγωνίζεται ἐν πάσῃ δυνάμει αὐτοῦ ποιῆσαι τὴν κακοπάθειαν ἐν μερίδι ἀδιαλείπτῳ καὶ φυλακῇ καὶ τότε εὑρίσκει ἑαυτὸν ἀνάξιον ὄντα εἰπεῖν ἐκ τοῦ στόματος αὐτοῦ τὸ ὄνομα τοῦ Θεοῦ.

12. Εἶπεν ὁ αὐτός· ἀδελφέ, ἐν ὅσῳ εἶ ἐν τῷ σώματι, μὴ ἀπολύσῃς σου τὴν καρδίαν· ὥς περ γὰρ ἄνθρωπος οὐ δύναται πεποιθέναι ἐπί τινι καρπῷ αὐτοῦ ἀνερχομένῳ ἐν τῷ ἀγρῷ αὐτοῦ, οὐ γὰρ οἶδε τί αὐτῷ ἀποβαίνει πρὶν ἐγκλεισθῆναι ἐν τοῖς θησαυροῖς αὐτοῦ, οὕτω καὶ ὁ ἄνθρωπος, οὐ δύναται ἀπολῦσαι τὴν καρδίαν ἑαυτοῦ, ἕως ἔχει πνοὴν ἐν τῇ ῥινὶ αὐτοῦ· ὡς γὰρ ὑπὸ τοῦ σώματος τοῦ ζῶντος

καὶ ὑποκειμένου ταῖς ἀσθενείαις ὁ ἄνθρωπος οὐκ οἶδε ποῖον πάθος ἀπαντήσει αὐτῷ μέχρι τῆς ἐσχάτης ἀναπνοῆς, οὕτω καὶ ἐπὶ τῆς ψυχῆς οὐ δύναται ἀμεριμνῆσαι ἐν ὅσῳ ἔστιν ἐν τῷ τόπῳ τῶν ἐχθρῶν αὐτοῦ, ἤτοι τῷ παρόντι βίῳ, ἀλλὰ χρὴ πάντοτε ἀναβοᾶν πρὸς τὸν Θεόν, διὰ τὴν βοήθειαν αὐτοῦ καὶ τὸ ἔλεος.

Ἀδελφοί, δεῖ καὶ τοὺς πνευματικοὺς καὶ ἐν προκοπῇ τυγχάνοντας, καὶ ἐπ᾽ αὐτοῖς ὡς εἰπεῖν τοῖς λεπτοῖς καὶ ὀλίγοις, ἀσφαλίζεσθαι ἑαυτοὺς ἕως ἐσχάτης αὐτῶν ἀναπνοῆς· φησὶ γάρ, ὁ ἐξουθενῶν τὰ ὀλίγα, κατὰ μικρὸν πεσεῖται· καὶ μὴ εἴπῃς πῶς δύναται ὁ πνευματικὸς καταπεσεῖν; τοιοῦτος γὰρ διαμένων οὐ καταπίπτει. Ὅταν δέ τι μικρὸν τῶν ἐναντίων καταδέξηται, καὶ ἐπ᾽ αὐτῷ μείνῃ ἀμετανόητος, ἐκεῖνο αὐτὸ τὸ μικρὸν χρονίσαν καὶ αὐξηθὲν οὐκέτι ἀνέχεται ὀρφανικῶς αὐτῷ συνεῖναι, ἀλλ᾽ ἕλκει αὐτὸ πρὸς τὴν ἰδίαν συγγένειαν, σχοινίου δίκην τῇ μακρᾷ φιλίᾳ βιαίως ἐπισπώμενον· καὶ εἰ μὲν διὰ τῆς προσευχῆς μαχησάμενος ἀποκόψῃ, ἐμμένει τοῖς ἰδίοις μέτροις, μέντοι γε ὑπολείψας τῆς προσούσης αὐτῷ ἀπαθείας τοσοῦτον, ὅσον ἀπέτεμεν ἡ τοῦ τυχόντος κακοῦ προσπάθεια· εἰ δὲ τέλος συναπάγοιτο τῇ ἐπεκτάσει τοῦ κρατοῦντος τῆς μάχης, καὶ τῆς προσευχῆς κόπον περιστελλόμενος, ἀνάγκη δελεάζεσθαι καὶ ὑπὸ ἄλλων παθῶν.

Καὶ οὕτως ὑπὸ διαδοχῆς ἑκάστου κατὰ μικρὸν ἐκ συνηθείας ἀπαγόμενος, κατὰ τὸ μέτρον τῆς ἀπαγωγῆς, ἀποσχοινίζεται τῆς θείας βοηθείας, καὶ φέρεται εἰς μείζονα κακά, λοιπὸν ἕως καὶ μὴ βουλόμενος ὑπὸ βίας τῶν προκεκρατηκότων.

Τὰ μικρὰ ἁμαρτήματα εὐτελίζει ὁ διάβολος· ἄλλως γὰρ ἐπὶ μείζονα κακὰ ἀγαγεῖν οὐ δύναται· ἓν δι᾽ ἑνὸς τὰ κακὰ λαμβάνει τὴν δύναμιν, ὥσπερ καὶ τὰ ἀγαθὰ δι᾽ ἀλλήλων αὐξάνεται, καὶ τὸν αὐτῶν ἔνοχον μειζόνως ἐπὶ τὰ πρόσω προτρέπονται.

Ἑρμηνεία

Ὁ ΑΒΒΑΣ ΒΗΣΣΑΡΙΩΝ εἰς τὰς τελευταίας στιγμὰς τοῦ βίου του, ὀλίγον πρὶν ἀποθάνῃ, ἔλεγεν, ὅτι ὁ Μοναχὸς ἔχει ὑποχρέωσιν νὰ εἶναι πολυόμματος, δηλαδὴ ὅλος ὀφθαλμούς, ὅπως τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ.

2. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν, ὅτι ἀπὸ τίποτε δὲν ἔχομεν ἀνάγκην, ἐκτὸς ἀπὸ ἥρεμον καὶ ἀπαθῆ καρδίαν.

3. Ὁ ἴδιος πάλιν εἶπεν, ὅτι οἱ ἐχθροὶ τῆς ψυχῆς μας ἀποκρύπτουν ὑποκριτικῶς ὄπισθεν αὐτῶν τὴν πονηρίαν των.

4. Ὁ ἴδιος ἀνέφερε καὶ τὸν ἑξῆς διάλογον μεταξὺ ἑνὸς ἀδελφοῦ καὶ τοῦ Ἀββᾶ Σίμωνος.

— Ἐὰν ἐξέλθω ἀπὸ τὸ κελλί μου — ἠρώτησεν ὁ ἀδελφὸς — καὶ συναντήσω κάποιον νὰ ἀσχολῆται μὲ κάτι, καὶ ἐγὼ ἀσχολοῦμαι μαζί του· ὅταν συναντήσω κάποιον νὰ γελᾷ καὶ ἐγὼ γελῶ μαζί του. Διατί ὅμως ὅταν μετὰ ἐπιστρέψω εἰς τὸ κελλίον μου δὲν δύναμαι νὰ ἔχω ἀνάπαυσιν καὶ ἠρεμίαν;

— Ἔχεις τὴν ἀξίωσιν — ἀπήντησεν ὁ Γέρων — ἐξερχόμενος τοῦ κελλίου σου νὰ γελᾷς καὶ νὰ συνομιλῇς μὲ αὐτούς, ποὺ συναντᾷς καὶ μετὰ τὴν ἐπιστροφήν σου εἰς τὸ κελλίον σου νὰ παραμείνῃς ὁ ἴδιος, ὅπως ἦσουν; Αὐτὸ δὲν εἶναι δυνατόν. Καὶ ἐντὸς τοῦ κελλίου σου νὰ ἐπαγρυπνῇς, καὶ ἐκτὸς τοῦ κελλίου σου ὁμοίως.

5. Κάποτε συνηντήθησαν δύο Γέροντες καὶ καθὼς ὡμίλουν μεταξύ των, εἶπεν ὁ ἕνας ἐξ αὐτῶν.

— Ἐγώ, ἀδελφέ μου, ἀπέθανον διὰ τὸν κόσμον.

— Μὴ ἔχεις θάρρος εἰς τὸν ἑαυτόν σου—τοῦ ἀπαντᾷ ὁ ἄλλος—παρὰ μόνον ὅταν ἡ ψυχή σου ἐξέλθῃ ἀπὸ τὸ σῶμα· σὺ ἰσχυρίζεσαι, ὅτι ἀπέθανες διὰ τὸν κόσμον, δὲν ἀπέθανεν ὅμως ὁ Σατανᾶς.

6. Εἰς ἕνα ἅγιον ἄνθρωπον ἐνεφανίσθη ὁ Σατανᾶς κατὰ τὴν στιγμὴν τοῦ θανάτου του καὶ τοῦ εἶπε:

— Σύ, μοῦ ἐξέφυγες.

— Ἀκόμη δὲν γνωρίζω, ἐὰν σοῦ ἐξέφυγα, ἀπήντησεν ὁ Γέρων.

7. Ὁ Ἀββᾶς Ἀγάθων τὰς τρεῖς τελευταίας ἡμέρας τῆς ζωῆς του παρέμενε μὲ ἀνοικτοὺς τοὺς ὀφθαλμούς. Οἱ συμμονασταί του, ποὺ τὸν ἔβλεπον εἰς αὐτὴν τὴν ἔκστασιν, χωρὶς νὰ ὁμιλῇ, τὸν ἐσκούντησαν ὀλίγον καὶ τοῦ εἶπον:

— Ἀββᾶ Ἀγάθων, ποῦ εὑρίσκεσαι;

— Στέκω ἐνώπιον τοῦ φοβεροῦ κριτηρίου τοῦ Θεοῦ.

— Καὶ σὺ Πάτερ, φοβῆσαι τὸ δικαστήριον αὐτό;

Εἰς τὴν ἀπορίαν αὐτὴν τῶν Μοναχῶν ἀπήντησε καὶ πάλιν ὁ Ἀββᾶς Ἀγάθων.

— Μέχρι πρὸ ὀλίγου προσεπάθησα μὲ ὅλην μου τὴν δύναμιν νὰ ἐφαρμόσω τὰς ἐντολὰς τοῦ Θεοῦ· ἀλλὰ εἶμαι ἄνθρωπος. Ἀπὸ ποῦ λοιπὸν γνωρίζω, ὅτι τὸ ἔργον μου θὰ εἶναι ἀρεστὸν εἰς τὸν Θεόν;

— Δὲν εἶσαι βέβαιος, Πάτερ, ὅτι αὐτὸ ἦτο κατὰ Θεόν;

— Δὲν ἔχω ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν μου. Τότε θὰ ἡσυχάσω, ὅταν συναντήσω τὸν Θεόν, διότι ἄλλη εἶναι ἡ κρίσις τοῦ Θεοῦ καὶ ἄλλη ἡ κρίσις τῶν ἀνθρώπων.


Ἐνῷ δὲ ἐπεχείρησαν οἱ ἀδελφοὶ νὰ τοῦ ὑποβάλουν καὶ ἄλλην ἐρώτησιν, ὁ Ἀββᾶς Ἀγάθων τοὺς εἶπε:

— Σᾶς παρακαλῶ, κάμετε ἀγάπην καὶ μὴ μοῦ ὁμιλῆτε πλέον, διότι εἶμαι ἀπησχολημένος. Λέγων δὲ αὐτὰ παρέδωσε τὸ πνεῦμά του χαρούμενος.

Οἱ παριστάμενοι ἔβλεπον αὐτὸν νὰ φεύγῃ ἀπὸ τὸν κόσμον τόσον χαρούμενος ὡς νὰ ἐχαιρέτα φίλους του καὶ ἀγαπητούς.

8. Κάποτε ὁ Ἀββᾶς Μακάριος ἀνεχώρησε διὰ τὴν βαθυτέραν ἔρημον. Καθ' ὁδὸν συνήντησεν ἕνα γηραλέον, ὁ ὁποῖος ἦτο πάρα πολὺ φορτωμένος μὲ ἕνα περίεργον φορτίον. Εἰς ὅλα τὰ σημεῖα τοῦ σώματός του εἶχε διάφορα ἀγγεῖα. Εἰς ἕκαστον δὲ ἀγγεῖον ὑπῆρχε καὶ ἀπὸ ἕνα πτερόν. Αὐτὸ δὲ τὸ περίεργον φορτίον εἶχεν ὡς ἔνδυμα.

Μόλις εἶδεν αὐτὸν τὸν γέροντα ὁ Ἀββᾶς Μακάριος ἐσταμάτησε κατάπληκτος.


Ο ΑΓΙΟΣ
ΜΑΚΑΡΙΟΣ
Ο ΑΙΓΥΠΤΙΟΣ
Ο ΑΓΑΠΩΝ ΤΟΝ
ΘΝ ΚΑΤΑΦΡΟ
ΝΕΙ ΤΩΝ ΦΘΕΙ
ΡΟΜΕΝΩΝ
ΚΑΙ ΠΡΟΤΙΜΑ
ΤΗΝ ΓΝΩ
ΣΙΝ ΑΥΤΟΥ

— Τί κάμνεις περιπλανώμενος εἰς αὐτὸν τὸν ἔρημον τόπον; ἠρώτησε τὸν Ἀββᾶν ὁ γέρων.

— Θέλω νὰ εὕρω τὸν Θεὸν εἰς τὴν ἥσυχον αὐτὴν ἐρημίαν καὶ νὰ φύγω τὴν πλάνην, ἀπήντησεν ὁ Ἀββᾶς· σὺ ὅμως, ἐξήγησέ μου, γέροντα, ποῖος εἶσαι; Διότι ὁ τρόπος τῆς ἐνδυμασίας σου εἶναι παράξενος καὶ ἀσυνήθιστος ἀπὸ τοὺς ἀνθρώπους· αὐτὰ δὲ μὲ τὰ ὁποῖα εἶσαι φορτωμένος τί εἶναι;

Ὁ παράξενος ἐκεῖνος διαβάτης τότε, πιεζόμενος κατὰ τρόπον ἀόρατον ἀπὸ τὴν δύναμιν τοῦ Θεοῦ καὶ χωρὶς νὰ θέλῃ, ὡμολόγησε τὴν ἰδιότητά του.

— Ἐγὼ εἶμαι — εἶπεν — αὐτός, ποὺ σεῖς ὀνομάζετε Διάβολον ἢ Σατανᾶν. Αὐτὰ δὲ τὰ ὁποῖα φέρω ὡς ἔνδυμα εἶναι τὰ φάρμακά μου, μὲ τὰ ὁποῖα ἀποπλανῶ τοὺς ἀνθρώπους καὶ τοὺς τραβῶ κοντά μου. Ἓν ἕκαστον ἐκ τῶν ἀγγείων περιέχει καὶ τὸ κατάλληλον δι᾽ ἕκαστον μέρος ἢ μέλος τοῦ ἀνθρωπίνου σώματος δόλωμα, μὲ τὸ ὁποῖον τὸν παρασύρω εἰς τὴν ἁμαρτίαν. Μὲ αὐτὰ δὲ τὰ πτερὰ τῶν ἐπιθυμιῶν ἀναστατώνω τὰς καρδίας των καὶ τοιουτοτρόπως καταστρέφω αὐτοὺς ποὺ δίδουν ἐμπιστοσύνην εἰς ἐμένα. Ἀφοῦ δὲ τὰ ἐπιτύχω ὅλα αὐτὰ διασκεδάζω καὶ χαίρομαι διὰ τὴν πτῶσιν αὐτῶν, ποὺ νικῶνται ἀπὸ ἐμένα.

Μόλις ἤκουσεν αὐτὰ ὁ Ἅγιος Μακάριος, χωρὶς νὰ χάσῃ τὸ θάρρος του, εἶπε πρὸς τὸν Διάβολον.

— Ἀφοῦ πλέον ὁ Χριστὸς διὰ τοῦ σταυρικοῦ Του θανάτου σὲ κατέστησε παίγνιον εἰς τοὺς πιστούς του δούλους, πῶς ἔχεις τὴν δύναμιν νὰ καυχᾶσαι ἀκόμα διὰ νίκας ἐναντίον τῶν ἀνθρώπων; Ἐν πάσῃ περιπτώσει φανέρωσέ μου τὴν δύναμιν ἑνὸς ἑκάστου ἀπὸ τὰ εἴδη τῶν φαρμάκων. Ἄλλως τε δι᾽ αὐτὸ ἐπέτρεψεν ὁ Θεὸς νὰ φανερωθῇς ἐμπρός μου διὰ νὰ μάθωμεν τοὺς διαφόρους τρόπους, μὲ τοὺς ὁποίους ἐξαπατᾷς τοὺς ἀνθρώπους, καὶ νὰ μὴ ἐμπιστευώμεθα πλέον εἰς τὰς συμβουλάς σου.

Εἰς αὐτὰ ὁ Διάβολος ἀπήντησε.

— Χωρὶς νὰ θέλω, εἶμαι ὑποχρεωμένος νὰ σοῦ φανερώσω τὰ μυστικὰ τῆς ἐπιστήμης μου, διότι αὐτὸς ποὺ ἐπρονόησε νὰ ἴδῃς αὐτά, ἐκεῖνος μὲ ὑποχρεώνει καὶ μένα αὐτὴν τὴν στιγμὴν νὰ σοῦ ὁμιλήσω δι᾽ αὐτὰ ὅλα· μάθε λοιπὸν τὴν χρησιμότητα ἑνὸς ἑκάστου ἀγγείου.

Ὅταν εὕρω κάποιον νὰ μελετᾷ συνεχῶς τὸν Νόμον τοῦ Κυρίου (τὴν Ἁγίαν Γραφήν), προσπαθῶ νὰ τὸν ἐμποδίσω ἀπὸ τὸ ἔργον αὐτό· πρὸς τοῦτο ἐπαλείφω αὐτὸν ἀπὸ τὸ περιεχόμενον τοῦ ἀγγείου ποὺ ἔχω εἰς τὴν κεφαλήν μου καὶ τοιουτοτρόπως τοῦ προκαλῶ πονοκέφαλον. Ἐκεῖνον πάλιν, ποὺ πρόκειται νὰ ἀγρυπνήσῃ τὴν νύκτα, προσευχόμενος καὶ ὑμνῶν τὸν Θεόν, τὸν ἀλείφω μὲ τὸ πτερὸν ἀπὸ τὸ περιεχόμενον τοῦ ἀγγείου, ποὺ ἔχω εἰς τὰ φρύδια μου καὶ μὲ τὸν τρόπον αὐτὸν τοῦ φέρω νύστα καὶ τὸν ἀναγκάζω νὰ κοιμᾶται. Αὐτὰ τὰ ἀγγεῖα, ποὺ ἔχω κοντὰ εἰς τ᾽ αὐτιά μου, ἔχουν προετοιμασθῆ διὰ νὰ ἐπι-

τυγχάνουν τὴν παρακοήν, μὲ αὐτὰ δὲ ξεγελῶ αὐτοὺς ποὺ θέλουν νὰ σωθοῦν, ὥστε νὰ μὴ ἀκοῦν συμβουλὰς καὶ λόγους ἀληθείας. Μὲ αὐτὰ ποὺ ἔχω κοντὰ εἰς τὴν μύτην μου παρακινῶ τοὺς νέους εἰς πορνείαν ἐρεθίζων αὐτοὺς μὲ εὐωδιασμένα μύρα. Μὲ τὰ φάρμακα ποὺ ἔχω εἰς τὰ ἀγγεῖα, ποὺ εἶναι κοντὰ εἰς τὸ στόμα μου, δελεάζω τοὺς ἀσκητὰς μὲ τὴν ἡδονὴν φαγητῶν, διὰ νὰ τοὺς καταντῶ εἰς τὴν πολυφαγίαν καὶ νὰ κάνουν αὐτὰ ποὺ θέλω, ἀκόμη προμηθεύω εἰς αὐτοὺς ἀπὸ τὸ περιεχόμενον τῶν ἀγγείων αὐτῶν τὴν κατηγορίαν καὶ τὴν αἰσχρολογίαν· αὐτοὶ δὲ μόλις λάβουν ὀλίγα σπέρματα ἀπὸ τὰ εἴδη αὐτά, καλλιεργοῦν πρὸς χάριν μου πλῆθος τοιούτων ἀγαπητῶν εἰς ἐμὲ καρπῶν.

Ἀπὸ τὸ περιεχόμενον τῶν ἀγγείων ποὺ ἔχω ἐπάνω εἰς τὸν τράχηλόν μου, ἀλείφω μὲ τὸ μίασμα τῆς ὑπερηφανείας αὐτούς, ποὺ ζοῦν εἰς τὴν ἀρετήν, ὥστε νὰ τοὺς σηκώσω ὑψηλὰ μὲ τὴν ὑψηλοφροσύνην καὶ ἀπὸ ἐκεῖ νὰ τοὺς κατακρημνίσω ἀσφαλῶς εἰς τὸ βάραθρον τῆς ἀπωλείας. Ἄλλους πάλιν καταφέρνω νὰ ξετρελλαίνωνται πῶς νὰ ἀρέσουν εἰς τοὺς ἀνθρώπους, καὶ πῶς νὰ κερδίζουν τὴν δόξαν τῶν ἀνθρώπων, μὲ τὴν ἀνθρωπαρέσκειαν δὲ τοὺς δίδω καὶ τὴν κενοδοξίαν καὶ τοιουτοτρόπως τοὺς ἀπομακρύνω ἀπὸ τὸν Θεόν. Ὅσα βλέπεις εἰς τὸ στῆθός μου εἶναι δοχεῖα μὲ τὰς σκέψεις μου καὶ τὰς ἐννοίας μου γεμισμένα. Ἀπὸ τὸ περιεχόμενον αὐτῶν ποτίζω τὰς καρδίας μὲ τὴν παραφροσύνην τῆς ἀσεβείας μου καὶ θολώνω τὰς κατὰ Θεὸν σκέψεις αὐτῶν ποὺ θέλουν νὰ ἐνθυμοῦνται τὰ μέλλοντα διὰ νὰ σωφρονίζωνται, καὶ ἐξαφανίζω τὴν ἐνθύμησιν αὐτῶν ἀπὸ τὴν διάνοιαν αὐτῶν μὲ τὴν λησμοσύνην. Αὐτὰ τὰ ἀγγεῖα, ποὺ ἔχω εἰς τὴν κοιλίαν μου, εἶναι γεμᾶτα ἀπὸ ἀναισθησίαν καὶ ἀναίδειαν, ἀπὸ τὸ περιεχόμενον τῶν ὁποίων κάνω τοὺς ἀνθρώπους νὰ ζοῦν ὡς κτήνη καὶ ἄλογα. Μὲ αὐτὰ ποὺ ἔχω κάτω ἀπὸ τὸν ὀμφαλόν μου ἐρεθίζω τοὺς ἀνθρώπους, ὥστε νὰ ρίπτωνται εἰς μοιχείας, πορνείας, ἀσελγείας καὶ διαφόρους ἀκολασίας. Αὐτὰ τὰ ἀγγεῖα, ποὺ σηκώνω εἰς τὰς χεῖράς μου, ἔχουν ἑτοιμασθῆ νὰ ἐξυπηρετοῦν τὸν φόνον καὶ τὸν φθόνον. Ἐκεῖνα, ποὺ εἶναι κρεμασμένα εἰς τὴν πλάτην μου καὶ τοὺς ὤμους μου, μοῦ χρησιμεύουν νὰ συσκοτίζω τὰς πειρασμικάς μου παγίδας, διὰ τῶν ὁποίων σκευωρῶ ἐναντίον ἐκείνων ποὺ ἐπιχειροῦν νὰ μὲ πολεμοῦν, καὶ δολιευόμενος ἀφανῶς, χωρὶς νὰ μὲ ἀντιλαμβάνωνται, καταρρίπτω ὁρμητικῶς αὐτούς, ποὺ ἔχουν ἐμπιστοσύνην εἰς τὰ μεγάλα των κατορθώματα.

Ὅσα ἀγγεῖα κρέμονται εἰς τοὺς μηροὺς καὶ τὰ σκέλη μέχρι τῶν ποδῶν μου, εἶναι γεμᾶτα ἀπὸ πολυπλόκους παγίδας καὶ βρόχους, μὲ τὰ ὁποῖα παρενοχλῶ τὴν πορείαν τῶν τιμίων καὶ εἰλικρινῶν ἀνθρώπων, τοὺς ἐμποδίζω νὰ βαδίζουν τὸν δρόμον τῆς εὐσεβείας καὶ τοὺς τραβῶ διὰ νὰ βαδίζουν τὸν ἰδικόν μου δρόμον, διότι παρευρισκόμενος εἰς τὴν διασταύρωσιν τῶν ὁδῶν τῆς ζωῆς καὶ τοῦ θανάτου, τοὺς προτρέπω καὶ τοὺς ἐνισχύω νὰ ἀκολουθήσουν τὸν δρόμον μου. Ὅσοι ἀκολουθοῦν τὸν δρόμον μου καὶ παρεκκλίνουν, ἀρνοῦνται πλέον τελείως τὸν

δρόμον τῆς ἀληθείας καὶ τῆς ἀρετῆς. Σὺ ὅμως δὲν ἠθέλησες καθόλου νὰ μὲ ἀκούσῃς, ἔστω καὶ μίαν φοράν, διὰ νὰ παρηγορηθῶ ὀλίγον. Ἀπ' ἐναντίας μὲ κατακαίεις πάντοτε ὁσάκις σὲ πλησιάζω, διότι διαθέτεις ἰσχυρὸν ὅπλον ἐναντίον μου. Δι' αὐτὸ καὶ ἐγώ, μετὰ τὴν ἀποτυχίαν μου, τρέχω καὶ καταφεύγω εἰς τοὺς ἰδικούς μου δούλους, διότι σὺ καὶ οἱ σύνδουλοί σου ἔχετε καλὸν Δεσπότην, ποὺ σᾶς ὁμιλεῖ μὲ πρᾳότητα καὶ σᾶς προφυλάσσει ὡς γνήσια τέκνα του.

Μόλις ἤκουσεν αὐτὰ τὰ καταπληκτικὰ πράγματα ὁ Ἅγιος Γέρων ἐσφραγίσθη μὲ τὸ σημεῖον τοῦ Σταυροῦ καὶ εἶπεν· «Εὐλογητὸς ὁ Θεός, ποὺ σὲ παρέδωσεν εἰς ὅσους ἐλπίζουν εἰς Αὐτόν, διὰ νὰ σὲ ἐντροπιάζουν μὲ τὴν εὐσέβειάν των· εἴθε καὶ ἐμὲ νὰ φυλάξῃ μέχρι τέλους τῆς ζωῆς μου ἀπὸ τὴν ἀπάτην σου, καθὼς καὶ ὅσους ἐπικαλοῦνται τὸ Ἅγιον ὄνομά του. Σὲ δὲ καὶ τὸ κράτος τῆς ἁμαρτίας νὰ καταργήσῃ ἀποδιώκων σε μακρὰν ἀπὸ ἡμᾶς».

Ἐνῷ δὲ ὁ Ἅγιος Μακάριος ἔλεγεν αὐτά, ἄφαντος ἐγένετο ὁ Σατανᾶς, ἀφοῦ πρὸς στιγμὴν παρουσιάσθη καπνὸς πύρινος.

Κατόπιν αὐτοῦ ὁ Ἀββᾶς Μακάριος ηὐχαρίστησε τὸν Θεὸν καὶ ἐπροχώρησε μὲ χαρὰν εἰς τὸν δρόμον του.

9. Ἔλεγον, ὅτι κάποτε ἕνας Ἅγιος Γέρων παρεκάλεσε τὸν Θεὸν νὰ ἴδῃ τοὺς δαίμονας· ὁ Θεὸς τοῦ ἐφανέρωσεν, ὅτι δὲν παρίστατο ἀνάγκη νὰ τοὺς ἴδῃ. Ὁ Γέρων ὅμως παρεκάλει ἐπιμόνως τὸν Θεὸν καὶ ἔλεγε· «Κύριέ μου, εἶσαι δυνατὸς νὰ μὲ προφυλάξῃς μὲ τὸ χέρι σου, ὥστε νὰ μὴ διατρέξω κίνδυνον». Ὁ Θεὸς ἐνέδωσεν εἰς τὴν παράκλησίν του καὶ διὰ νὰ ὠφελήσῃ ψυχικῶς καὶ αὐτὸν καὶ ἄλλους, τὸν κατέστησεν ἱκανὸν νὰ ἴδῃ μὲ τοὺς ὀφθαλμούς του τοὺς δαίμονας. Πράγματι λοιπὸν εἶδεν, ὅτι οἱ δαίμονες σὰν μέλισσαι περιτριγυρίζουν τὸν ἄνθρωπον, καὶ τρίζουν ἀπὸ φθόνον τοὺς ὀδόντας των δι' αὐτόν· Ἄγγελος δὲ Κυρίου τοὺς ἐπέπληττε.

10. Εἶμαι ὅμοιος μὲ ἕνα μικρὸ σπουργίτι — ἔλεγεν ὁ Ἀββᾶς Ἠσαΐας—ποὺ τὸ ἕνα του πόδι τὸ ἔχει δέσει κάποιο παιδί· ἐὰν τὸ παιδὶ λίγο χαλαρώσῃ τὸν σπάγγον, μὲ τὸν ὁποῖον τὸ κρατεῖ δεμένον, ἀμέσως πετᾷ, διότι νομίζει, ὅτι ἐξέφυγεν· ὅταν πάλιν τὸ παιδὶ τραβήξῃ τὸν σπάγγο τὸ κατεβάζει κάτω. Μ' αὐτὸ τὸ μικρὸ σπουργίτι ὁμοιάζω καὶ ἐγώ. Τὸ λέγω δὲ αὐτό, διότι κανεὶς δὲν πρέπει νὰ ξενοιάζῃ, ἐφ' ὅσον ζῇ, διότι ὁ ἐχθρός μας ὁ διάβολος εἶναι κακὸς καὶ πολυμήχανος.

11. Ὁ ἴδιος πάλιν Ἀββᾶς Ἠσαΐας ἔλεγεν· Ἐὰν ἕνας ἄνθρωπος πραγματοποιήσῃ θαύματα καὶ θεραπείας, ἀκόμη δὲ ἀναστήσῃ καὶ νεκροὺς καὶ γνωρίσῃ ὅλα τὰ μυστήρια, ἐφ' ὅσον περιέπεσεν εἰς ἁμαρτίαν, δὲν μπορεῖ νὰ ζῇ χωρὶς φροντίδα καὶ ἀγωνίαν, διότι εἶναι ὑποχρεωμένος νὰ ἐπιτύχῃ τελείαν καὶ πραγματικὴν μετάνοιαν, χωρὶς τὴν ὁποίαν τίποτε ἄλλο δὲν θὰ τὸν ὠφελήσῃ.

Ἐμπρὸς λοιπόν, ἀδελφοί μου, ἂς λάβωμεν τὸ θάρρος καὶ ἂς προσπέσωμεν μὲ ταπεινοφροσύνην ἐνώπιον τοῦ Θεοῦ· ἀσφαλῶς τότε ἡ ἄπειρος καλωσύνη τοῦ Θεοῦ θὰ μᾶς εὐσπλαγχνισθῇ καὶ θὰ μᾶς ἐνισχύσῃ μὲ μίαν καταπληκτικὴν δύναμιν, ὥστε νὰ ἀποβάλωμεν ἀπὸ ἐπάνω μας τὸ ἀπαίσιον φορτίον τῶν ἀκαθάρτων παθῶν. Καὶ τοῦτο, διότι δὲν σταματᾷ οὔτε μίαν στιγμὴν ὁ ἐχθρὸς καταδιώκων ἡμᾶς ὅπως ὁ κυνηγὸς τὸ θήραμά του, ἀποφασισμένος νὰ ἁρπάξῃ τὰς ψυχὰς ἡμῶν. Ἂς μὴ φοβηθῶμεν ὅμως· ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς εἶναι κοντά μας καὶ τὸν συγκρατεῖ τιμωρῶν αὐτὸν διὰ τῶν ἁγίων Του ἐντολῶν, ἐφ' ὅσον βεβαίως σεβασθῶμεν καὶ ἐφαρμόσωμεν τὰς ἐντολὰς αὐτάς.

Εὐτυχὴς εἶναι ὁ ἄνθρωπος ἐκεῖνος, ποὺ ἔχει ἐπίγνωσιν τῆς ἀθλιότητος τῶν παθῶν καὶ ἐντρέπεται δι' αὐτὰ καὶ παρακαλεῖ τὸν Θεὸν νὰ ἐλευθερωθῇ ἀπὸ αὐτά. Ἀλλοίμονον δὲ εἰς ὅσους κατεσπατάλησαν τὸν χρόνον τῆς ζωῆς των εἰς πνευματικὴν ἀδιαφορίαν καὶ ἀμέλειαν. Εἶναι δυστυχεῖς αὐτοί, διότι ἐνόμισαν, ὅτι εἶναι ἀναμάρτητοι παραβιάζοντες τὴν συνείδησίν των καὶ ἀποφεύγοντες νὰ ἐνοχληθοῦν ἀπὸ τὰς ὑποδείξεις της, οὐδὲ διακρίνοντες, ὅτι οὐδεμία πρᾶξις ἢ σκέψις δύνανται νὰ χαρακτηρισθῶσι μικρὰ καὶ ἀσήμαντα πράγματα, ὅσον καὶ ἐὰν φαίνωνται μικρὰ καὶ ἀσήμαντα.

Πόσον λυπεῖται ὁ γεωργὸς καὶ θεωρεῖ μάταιον τὸν κόπον του, ὅταν δὲν καρποφορήσουν τὰ διάφορα σπέρματα, ποὺ ἔσπειρεν! Ἔτσι εἶναι καὶ ὁ ἄνθρωπος. Καὶ ἐὰν ἀκόμη φθάσῃ νὰ γνωρίσῃ ὅλα τὰ μυστήρια, καὶ νὰ κάμῃ θησαυρὸν τῆς ψυχῆς του ὅλην τὴν γνῶσιν, καὶ νὰ πραγματοποιήσῃ καταπληκτικὰ θαύματα καὶ θεραπείας, καὶ νὰ ὑποστῇ ἑκουσίως πολλὰς καὶ ποικίλας κακοπαθείας, καὶ νὰ φθάσῃ εἰς τὸ σημεῖον ὥστε διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ νὰ ἀπογυμνωθῇ ἀπὸ τὸ μοναδικὸν ἔνδυμά του, παρ' ὅλα ταῦτα, ἀκόμη ἐξακολουθεῖ νὰ εὑρίσκεται ὑπὸ τὸν φόβον καὶ τὴν ἀγωνίαν, μήπως δὲν καρποφορήσουν οἱ κόποι του, ἐπειδὴ ἡ συνείδησίς του δὲν τοῦ ἐπιτρέπει νὰ ἔχῃ θάρρος εἰς τὸν ἑαυτόν του. Διότι μέχρις ὅτου φθάσῃ εἰς τὴν τελείαν ἀγάπην, ἔχει πολλοὺς φανεροὺς καὶ ἀφανεῖς ἐχθρούς, ποὺ τὸν κυνηγοῦν.

Μόνον ὅταν φθάσῃ εἰς τὴν κατάστασιν τῆς τελείας ἀγάπης, θὰ ἀκούῃ, ὅτι ἡ ἀγάπη «πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει». (Α' Κορινθ. ιγ', 78). Ἐκεῖνος λοιπόν, ποὺ πραγματικῶς αἰσθάνεται τὸν φόβον τοῦ Θεοῦ εἰς τὴν ψυχήν του, ἀγωνίζεται μὲ ὅλην τὴν δύναμίν του νὰ κακοπαθήσῃ καὶ ταλαιπωρηθῇ διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ εἰς μίαν συνεχῆ καὶ ἀσταμάτητον προσπάθειαν διὰ τὴν περιφρούρησιν τῆς ψυχῆς του· εἰς τὴν κατάστασιν δὲ αὐτὴν διαπιστώνει, ὅτι εἶναι ἀνάξιος καὶ αὐτὸ τὸ ὄνομα τοῦ Θεοῦ νὰ προφέρῃ ἀπὸ τὸ στόμα του.

12. Ὁ ἴδιος, ὁ Ἀββᾶς Ἡσαΐας, εἶπε· Πρόσεξε, ἀδελφέ μου, μὴ ἐγκαταλείψῃς ἀφρούρητον ἀπὸ προσοχὴν τὴν καρδίαν σου· ὅπως ἀκρι-

βῶς ὁ γεωργὸς δὲν μπορεῖ νὰ ἔχῃ ἐμπιστοσύνην εἰς τοὺς καρπούς του, ποὺ σιγὰ - σιγὰ ὡριμάζουν εἰς τοὺς ἀγρούς, διότι δὲν γνωρίζει τί μπορεῖ νὰ τοῦ συμβῇ πρὶν τοὺς συγκεντρώσῃ εἰς ἀποθήκας καὶ ἐκεῖ τοὺς ἀσφαλίσῃ, τοιουτοτρόπως καὶ ὁ ἄνθρωπος δὲν πρέπει νὰ ἀφήσῃ ἐλευθέραν, χωρὶς ἔλεγχον τὴν καρδίαν του, ἐφ' ὅσον ἀναπνέει. Διότι ὅπως ὁ ἄνθρωπος δὲν γνωρίζει ποία ἀσθένεια εἶναι ἐνδεχόμενον νὰ προσβάλῃ τὸ σῶμά του ἐν ὅσῳ ζῇ, τοιουτοτρόπως δὲν εἶναι βέβαιος καὶ εἰς ποῖον πάθος δύναται νὰ περιπέσῃ. Δι' αὐτὸ δὲν πρέπει, ἐφ' ὅσον εὑρισκόμεθα εἰς τὸν τόπον τῶν ἐχθρῶν ἡμῶν, δηλαδὴ εἰς τὴν παροῦσαν ζωήν, νὰ ἡσυχάζωμεν καὶ νὰ ἀδιαφορῶμεν, ἀλλὰ πάντοτε πρέπει νὰ ἀναβοῶμεν γοργῶς πρὸς τὸν Θεόν, ἐπικαλούμενοι τὴν βοήθειαν καὶ τὸ ἔλεος Αὐτοῦ.

Ἀδελφοί μου, καὶ σεῖς οἱ πνευματικοί, πού, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, εὑρίσκεσθε εἰς μέτρον τελειότητος, πρέπει νὰ περιφρουρῆτε τοὺς ἑαυτούς σας μέχρι τελευταίας ἀναπνοῆς καὶ ἀπὸ αὐτὰ ἀκόμη τὰ ἀδιόρατα καὶ ἐλάχιστα ἐλαττώματα, ἀπὸ τὰς ἀσημάντους ἀπροσεξίας. Τὸ πνεῦμα τοῦ Θεοῦ λέγει· «Ὁ ἐξουθενῶν τὰ ὀλίγα κατὰ μικρὸν πεσεῖται». (Σειρὰχ ιθ', 1)· δηλαδὴ ἐκεῖνος ποὺ περιφρονεῖ τὰ παραμικρὰ ἐλαττώματα, σιγὰ - σιγὰ θὰ πέσῃ εἰς μεγάλας ἁμαρτίας. Καὶ μὴ ἐρωτήσῃς· μά, πῶς εἶναι δυνατὸν νὰ κρημνισθῇ ὁ πνευματικὸς ἄνθρωπος; Βεβαίως ἐφ' ὅσον διατηρηθῇ τοιοῦτος, δὲν κατακρημνίζεται! Ὅταν ὅμως καλοδεχθῇ εἰς τὴν ψυχήν του κάτι ἀσήμαντον ἀπὸ τὰ ἀντίθετα, καὶ εὐχαριστηθῇ μὲ αὐτό, χωρὶς νὰ μετανοήσῃ, τότε ἐκεῖνο τὸ μικρὸν καὶ ἀσήμαντον μὲ τὸν χρόνον αὐξάνεται καὶ δὲν ἀνέχεται πλέον νὰ εὑρίσκεται μόνον του ὡς ὀρφανόν, ἀλλὰ τραβᾷ μετὰ βιαιότητος τὸν ἄνθρωπον πρὸς τὴν οἰκογένειαν τῶν παθῶν, εἰς τὴν ὁποίαν ἀνήκει τὸ μικρὸν αὐτὸ ἐλάττωμα, μεταβάλλον τὴν μακροχρόνιον φιλίαν του εἰς σχοινίον δουλείας μὲ τὸ ὁποῖον τὸν σύρει. Καὶ ἐὰν μὲν ὁ ἄνθρωπος κατορθώσῃ διὰ τοῦ ἀγῶνος καὶ τῆς προσπαθείας τῆς προσευχῆς νὰ ἀποκόψῃ τὸ ἐλάττωμα αὐτό, ἔχει καλῶς· παραμένει καὶ πάλιν εἰς τὰ προηγούμενα μέτρα τῆς πνευματικῆς τελειότητος ὑστερήσας τόσον μόνον ἀπὸ τὴν προϋπάρχουσαν ἀπάθειαν, ὅσον ἐχρειάσθη διὰ νὰ νικήσῃ τὸ ἐλάττωμα αὐτό. Ἐὰν ὅμως εἰς τὸ τέλος περιορίσῃ τὸν κόπον τῆς προσευχῆς καὶ παρασυρθῇ ἀπὸ τὴν ἐπέκτασιν τῆς δυνάμεως τοῦ πολεμοῦντος ἐχθροῦ, τότε κατὰ φυσικὴν συνέπειαν ἡ ψυχή του θὰ ἀρχίσῃ νὰ ἐξαπατᾶται καὶ ἀπὸ ἄλλα πάθη. Τοιουτοτρόπως ὁ ἄνθρωπος θὰ ἀποχωρίζεται ὀλίγον κατ' ὀλίγον ἀπὸ τὴν θείαν βοήθειαν, διότι τὸ ἕνα πάθος θὰ διαδέχεται τὸ ἄλλο καὶ ἀπὸ τὴν δύναμιν τῆς συνηθείας παρασυρόμενος θὰ ὁδηγῆται εἰς μεγαλύτερα κακά, ἐφ' ὅσον ἡ θέλησίς του θὰ ἔχῃ ἐξασθενήσει ἀπὸ τὴν βίαν τῶν ἐλαττωμάτων, τὰ ὁποῖα προηγουμένως τὸν ἐνίκησαν.

Ὁ Διάβολος τὰ μικρὰ ἁμαρτήματα τὰ περιφρονεῖ· ἀλλὰ χωρὶς αὐτὰ δὲν ἠμπορεῖ νὰ ὁδηγήσῃ τὸν ἄνθρωπον εἰς τὰ μεγαλύτερα. Τὸ

ἕνα μαζὶ μὲ τὸ ἄλλο πολλαπλασιάζουν τὴν δύναμιν τοῦ κακοῦ, ὅπως ἀκριβῶς καὶ τὰ καλὰ πολλαπλασιάζονται, ὅταν συνυπάρχουν εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου. Τότε μάλιστα διεγείρουν ἀποτελεσματικῶς τὴν ψυχήν, ποὺ ἔχει συναφθῆ μαζί των, ὥστε νὰ φθάσῃ εἰς ἀνώτερα πνευματικὰ ὕψη.

Γ'. Παλλαδίου

ΜΟΝΑΧΟΣ τις ἦν οἰκῶν κατὰ τὴν ἐνδοτέραν ἔρημον σφόδρα φιλήσυχος· ὃς ταύτην μόνην διαπαντὸς εἶχε τὴν ἐργασίαν, τὸ ἐν εὐχαῖς καὶ ὕμνοις καὶ θεωρίαις διαπαντὸς σχολάζειν, πολλῶν δὲ καὶ ἀποκαλύψεων ἠξιώθη, ποτὲ μὲν ἐγρηγόρως, ποτὲ δὲ καὶ καθ' ὕπνον· καὶ σχεδὸν τῆς ἀθανάτου ζωῆς ἐπείληπτο τῶν ἰχνῶν, καὶ ἀσωμάτου· οὐκ ἐφρόντιζεν ὅλως περὶ διαίτης, καὶ τῆς τοῦ σώματος διοικήσεως, ἀλλ' ἅπαξ τὰ καθ' ἑαυτὸν Θεῷ ἀναθέμενος, ἐξότου τὴν ἔρημον ᾤκησε, τοῦ κόσμου καὶ τῆς οἰκουμένης ἀπαναστάς, καὶ γέμων τῆς εἰς Θεὸν ἐλπίδος, τῶν σωματικῶν οὐδενὸς ἐποιεῖτο λόγον.

2. Τῆς οὖν τοιαύτης στεῤῥᾶς πίστεως ἀμειβόμενος αὐτὸν ὁ Θεός, διὰ δύο ἢ τριῶν ἡμερῶν ἄρτον αὐτῷ δι' Ἀγγέλου παρεῖχεν, ὃν καὶ εἰσερχόμενος ὁ Ἀσκητὴς εἰς τὸ σπήλαιον, ἡνίκα ᾐσθάνετο δεομένου τοῦ σώματος, εὕρισκε, καὶ εὐχαριστῶν τῷ Δεσπότῃ, τὴν χρείαν ἀπεδίδου τῷ σώματι· εἶτα πάλιν τῶν θείων ὕμνων, καὶ προσευχῶν, καὶ θεωριῶν συνήθως ἀπήλαυεν, ἀδιαστάτως ὡς εἰπεῖν τούτων ἐχόμενος, καὶ τούτοις ἐντρυφῶν ἀεὶ καὶ εὐφραινόμενος· ἔθαλλεν οὖν τοῖς πνευματικοῖς ὁσημέραι, καὶ ἐπεδίδου εἰς τὴν πρὸς Θεὸν ἀγάπην καὶ παῤῥησίαν, καὶ σχεδὸν ὡς ἐν χερσὶν ἤδη ἔχων τὴν ἀμείνω λῆξιν, οὕτω διέκειτο.

3. Θαῤῥήσας οὖν ἑαυτῷ, καὶ τοῦ ἐναγώνιος εἶναι μικρὸν ὑπενδοὺς διὰ τὴν τῆς ἀπαθείας αὐτοῦ πεποίθησιν, ἐπιβουλῆς ἐπειράθη δαιμονικῆς, ὑφ' ἧς καὶ τελείως ἂν ἐνικήθη, καὶ κατηνέχθη πτῶμα ἐξαίσιον, εἰ μὴ ταχὺ αὐτοῦ ἀντελάβετο ὁ ἐν ἐλέει ἀνείκαστος Κύριος.

4. Οὕτω γὰρ αὐτοῦ τῇ οἰκείᾳ πολιτείᾳ θαῤῥήσαντος, καὶ οἰηθέντος ἑαυτὸν ὑπὲρ τοὺς πολλοὺς εἶναι, ὡς τοιούτων ἀξιωθέντα, καὶ ἐν τῇ ἀσκήσει γηράσαντα, μετὰ μικρὸν ἑαυτῷ γεννᾶται ἤδη εἰς γῆρας, ὡς εἶπον, ἐλάσαντι πρῶτον τὶς μικρὰ ῥαθυμία ὡς μηδὲ ἐπαισθάνεσθαι σχεδὸν τούτου αὐτῆς, εἶτα εἰς μεῖζον προέκοψεν, ὡς καὶ εἰς τελείαν αὐτοῦ πίπτειν αἴσθησιν· καὶ γὰρ ὀκνηρότερος ἐκ τῶν ὕπνων πρὸς τοὺς συνήθεις ὕμνους καὶ τὰς προσευχὰς διανίστατο, καὶ ἡ προσευχὴ οὐχ οὕτως ἐκτεταμένη καὶ ἀπερίσπαστος, καὶ τὸ σῶμα πλείονος ἀναπαύσεως ἐπεθύμει, καὶ ὁ νοῦς νεύειν ἤρξατο κάτω, καὶ ῥεμβασμούς τινας οἱ λογισμοὶ ἔπασχον.

5. Μετὰ ταῦτα καὶ ἀτοπία τις ἐν τοῖς κρυφίοις τῆς ψυχῆς ἐνεφύετο, ἀλλ' ὁ πρὸς τὰ κρείττονα ἐθισμὸς ἀπῆγε ταύτης τὸν νοῦν ταχέως, καὶ ἀνθεῖλκεν ὅλως πρὸς τὰ θειότερα.

6. Ἐν ᾧ οὖν ὁ Ἀσκητὴς τὰς μειώσεις οὐκ ἀπεβάλλετο, οὐδὲ διανέστη ἐπὶ τὴν ἴασιν τοῦ κακοῦ, ἀλλ' ὡς εὐτελοῦς αὐτοῦ ἴσως κατεφρόνει, μὴ λογισάμενος ὅτι τὰ παροράματα μεγάλως τὴν σπουδὴν τῶν ἀγωνιστῶν καταβλάπτουσιν, αὔξησιν ἐν αὐτῷ ἡ κακία ἐλάμβανε καὶ οἱ ἄτοποι λογισμοὶ πυκνότερον τούτῳ προσέβαλλον, καὶ δυσκόλως αὐτοῦ ἀπηλλάττοντο· ἤδη δὲ καὶ ἡ τῆς ἐπιθυμίας ἔνδον ἀνήπτετο φλόξ, καὶ τὴν καρδίαν ἐθέρμαινεν.

7. Ἤρξατο οὖν ὁ Ἀσκητὴς ἐνδιδόναι τῷ πάθει, καὶ οἱ αἴσχιστοι λογισμοὶ περιεγίνοντο τοῦ νοὸς αὐτοῦ, καὶ εἰς τὸν κόσμον ἀπῆγον αὐτόν· ὁ δὲ ἐπισχών, ἐπὶ τὴν συνήθη προσευχὴν καὶ τὸν ὕμνον ἐτράπη, εἶτα εἰσελθὼν ἐν τῷ σπηλαίῳ, εὗρε μὲν τὸν ἄρτον ὁμοίως παρακείμενον, οὐ καθαρὸν δὲ ὡς τὸ πρότερον, ἀλλ'

ὡς ἀπὸ μυῶν βεβρωμένον, ρυπῶντά τε καὶ ἀνεπιμέλητον, καὶ ἐκπλαγεὶς ἐπὶ τούτῳ, σκυθρωπὸς γέγονε καὶ ἐστέναξεν, ὅμως μετέσχε καὶ ἀνεκτήσατο. Τρίτη νὺξ ἐπελάβετο μετὰ τὴν ἀρχὴν τοῦ κακοῦ, καὶ ἐκραταιοῦτο μᾶλλον ὁ πόλεμος, καὶ σφοδρότερον ἡ ἐπιθυμία τοῦτον ἀνέφλεγε, καὶ ὡς συμπαρούσης γυναικὸς καὶ συνανακειμένης ὁ λογισμὸς διετίθετο, ὅμως ἀναστὰς ὡς συνήθως ἐπὶ τοὺς ὕμνους καὶ τὰς προσευχὰς ὥρμησεν, οὐκέτι καθαρὰς ἔχων τὰς ἐνθυμήσεις, ἀλλὰ πυκνὰ μεταστρεφόμενος ᾧδε κἀκεῖσε, καὶ τὸν νοῦν αἰχμαλωτιζόμενος.

8. Οὕτως οὖν κἀκείνην τὴν ἡμέραν διελθών, ἑσπέρας ἐπανῆλθεν ἄρτου δεόμενος· καὶ εὗρε μὲν ἐν τῷ συνήθει τόπῳ τὸν ἄρτον, ἠχρειωμένον δὲ ὅλως, καὶ οἷα ὑπὸ κυνῶν καὶ μυῶν βεβρωμένον, χωρὶς δὲ καὶ ψιχάς τινας τῆς βρώσεως λείψανα· τότε βαρυθυμήσας ὅλως, στένει μὲν καὶ πενθεῖ, οὐχ ὅσον ἱκανόν, οὐδ' ὅσον ἀναστεῖλαι τὴν ἀτοπίαν· τραφεὶς οὖν, οὐχ ὅσον ἤθελεν, ὡς ἦλθεν ἀναπαυθῆναι, οὐχ οἷός τε ἦν ἀνάπαυσιν εὑρεῖν, ἀλλ' οἱ λογισμοὶ πάντοθεν αὐτὸν περισχόντες, εὐθὺς αἰχμάλωτον αὐτὸν εἰς τὸν κόσμον ἀπῆγον· ἀναστὰς οὖν ἐπὶ τὴν οἰκουμένην ἀπήει, διὰ τῆς ἐρήμου νυκτοπορῶν· βαδίζων οὖν πᾶσαν τὴν νύκτα, καὶ τῇ ἑξῆς ἡμέρᾳ, ὡς ἔτι πολὺ τῆς οἰκουμένης ἀπεῖχε, κατενόει πάντοθεν καὶ κύκλῳ περιεσκόπει, εἴ που Μοναστήριον ἴδῃ ἐν ᾧ εἰσελθὼν ἀναπαύσεται.

9. Ἀναφανέντος δέ τινος ἀσκητηρίου ἀδελφῶν, τούτῳ προσῆλθε καὶ ἐδέχθη παρ' αὐτῶν ἀσμένως· ὡς γὰρ Πατέρα γνήσιον οἱ ἀδελφοὶ θεασάμενοι, πρῶτα μὲν ἔνιψαν αὐτοῦ τοὺς πόδας, λίαν γὰρ ὑπὸ τοῦ μακροῦ χρόνου ἐῤῥύποντο, εἶτα εὐξάμενοι καὶ τράπεζαν παραθέντες ἠξίουν τῶν εὑρεθέντων μεταλαβεῖν· ὁ δὲ καὶ μετέλαβε, καὶ ἱκανῶς ἑαυτὸν ἀνεκτήσατο.

10. Ἔπειτα οἱ ἀδελφοὶ ἐδυσώπουν τὸν ἀσκητὴν λόγον αὐτοῖς σωτηρίας εἰπεῖν, καὶ οἵαις μεθόδοις δύνανται σωθῆναι ἐκ τῶν παγίδων τοῦ διαβόλου, καὶ πῶς τῶν αἰσχρῶν λογισμῶν περιγένωνται· ὁ δὲ γέρων πολλὰ περὶ ἀσκήσεως αὐτοῖς καὶ τῆς τῶν λογισμῶν πάλης παρῄνεσε, προσθεὶς ὅτι δεῖ τοὺς ἀγωνιζομένους προθύμως τοῖς πόνοις ἐγκαρτερεῖν ἐλπίδι τῶν μελλόντων ἀγαθῶν, καὶ τοῖς ἐν οὐρανοῖς ἀπολαύσεως, εἰς ἣν ὀλίγῳ ὕστερον μεταστήσονται.

11. Παυσάμενος δὲ τῆς νουθεσίας, καὶ μικρὸν ἐν ἑαυτῷ γενόμενος, διελογίζετο, πῶς ἄλλους νουθετῶν, αὐτὸς ἀνουθέτητος ἔμεινα, καὶ ἐπιγνοὺς τὴν ἰδίαν ἧτταν, ἀναστὰς δρομαῖος εἰς τὴν ἔρημον πάλιν ἐχώρει, καὶ ἐν τῷ πρὶν σπηλαίῳ γενόμενος, καὶ σάκκον καὶ σποδὸν ἑαυτῷ ὑποστρώσας, ἔκειτο στένων ἐκ βάθους καὶ τὴν ἁμαρτίαν ἀποκλαιόμενος.

12. Οὕτω πενθῶν καὶ τῷ Θεῷ ἐξομολογούμενος, ᾔτει συγχώρησιν, καὶ οὐ πρότερον ἀνέστη χαμόθεν, οὐδὲ τῶν στεναγμῶν καὶ τῶν θρήνων ἐπαύσατο, ἕως ἐξατονήσας, καὶ εἰς ὕπνον κατενεχθείς, ἤκουσεν ἐν ὀνείρῳ φωνῆς Ἀγγέλου λεγούσης πρὸς αὐτόν· ἐδέξατο ὁ Θεὸς τὴν μετάνοιάν σου, καὶ ἠλέησέ σε, καὶ πρόσεχε τοῦ λοιποῦ μὴ ἀπατηθῇς· ἐλεύσονται δὲ οἱ ἀδελφοὶ οὓς ἐνουθέτησας παρακαλοῦντές σοι, καὶ κομιοῦσί σοι εὐλογίας, ἃς ὑποδεξάμενος, σὺν αὐτοῖς μεταλήψῃ, καὶ δι' αὐτῶν εἰς τὸ ἑξῆς ἄρτους δεχόμενος, εὐχαρίστει διαπαντὸς τῷ Θεῷ.

13. Ἔκτοτε οὖν διετέλει πενθῶν ἑαυτὸν παρὰ πάντα τὸν ἐπίλοιπον αὐτοῦ βίον καὶ τὴν θείαν ἐκείνην ζημιωθεὶς τράπεζαν.

Ἑρμηνεία

ΕΝΑΣ Μοναχὸς ἠσκήτευεν εἰς βαθεῖαν ἔρημον καὶ ἠγάπα ὑπερβολικῶς τὴν ἡσυχίαν. Οὗτος ὡς μοναδικὴν ἐργασίαν εἶχε τὴν διαρκῆ ἐνασχόλησιν εἰς τὴν νοερὰν προσευχήν, εἰς τοὺς ὕμνους πρὸς τὸν Θεὸν καὶ εἰς τὴν ὑψηλὴν θεωρίαν τοῦ νοῦ. Ἐξ αἰτίας τῆς πνευματικῆς αὐτῆς τελειότητος ἠξιώθη ὑπὸ τοῦ Θεοῦ νὰ

ἴδῃ πολλὰς ἀποκαλύψεις, ἄλλοτε μὲν ξυπνητός, ἄλλοτε πάλιν εἰς τὸν ὀλίγον ὕπνον, διὰ τοῦ ὁποίου ἀνέπαυε τὸ σκληρῶς γυμναζόμενον σῶμά του. Διὰ τοῦ τρόπου αὐτοῦ ἡ ζωή του ὀλίγον ἀπεῖχε νὰ εἶναι ἀσώματος καὶ ἀθάνατος. Δὲν ἐφρόντιζε καθόλου μὲ τὸ πῶς θὰ συντηρεῖται καὶ θὰ τρέφῃ τὸ σῶμά του. Ἀπὸ τότε ποὺ ἐγκατέλειψε τὸν κόσμον καὶ κατῴκησεν εἰς τὴν ἔρημον, ἡ ψυχή του ἐγέμισεν ἀπὸ τὴν πρὸς τὸν Θεὸν ἐλπίδα καὶ ἐπέρριψε τὴν μέριμνάν του εἰς τὸν Κύριον, χωρὶς νὰ κάνῃ καθόλου λόγον διὰ τὰ προβλήματα τοῦ σώματος.

2. Δι' αὐτὴν λοιπὸν τὴν ἀκλόνητον καὶ σταθερὰν πίστιν καὶ ἀφοσίωσίν του ὁ Θεὸς τὸν ἀντήμειψε μὲ τὸ ἑξῆς χάρισμα: Κάθε δύο ἢ τρεῖς ἡμέρας ὁ Θεὸς τοῦ ἀπέστελλεν ἀπὸ τὸν οὐρανὸν ἄρτον δι' ἑνὸς Ἀγγέλου. Ὁσάκις δὲ ὁ Ἀσκητὴς ᾐσθάνετο, ὅτι τὸ σῶμά του εἶχεν ἀνάγκην τροφῆς, εἰσήρχετο εἰς τὸ σπήλαιον καὶ εὕρισκε τὸν οὐράνιον αὐτὸν ἄρτον, τὸν ὁποῖον ἔτρωγεν ἀφοῦ ηὐχαρίστει τὸν Δεσπότην διὰ τὴν δωρεὰν αὐτήν. Ἀμέσως δὲ κατόπιν ἐπεδίδετο εἰς τὴν ἀπόλαυσιν τῆς θείας ἡδονῆς, ποὺ παρεῖχον εἰς αὐτὸν οἱ θεῖοι ὕμνοι, αἱ προσευχαὶ καὶ αἱ θεωρίαι. Σφοδρῶς δὲ καὶ χωρὶς διακοπὴν ἐπεθύμει τὰ δῶρα αὐτὰ τῆς Χάριτος, τοὺς ὕμνους, τὴν θεωρίαν καὶ τὴν ἀδιάλειπτον εὐχήν, καὶ ἐντρυφοῦσεν εἰς αὐτὰ καὶ ἦτο πάντοτε χαρούμενος. Ἤκμαζε δέ, ὅπως τὸ καταπράσινον δένδρον, εἰς τοὺς πνευματικοὺς ἀγῶνας καὶ ἡμέραν μὲ τὴν ἡμέραν προώδευεν εἰς τὴν ἀγάπην πρὸς τὸν Θεόν, ἐπικοινωνῶν μετ' Αὐτοῦ ἐλευθέρως καὶ μετὰ θάρρους. Εἰς τὴν ψυχικὴν αὐτὴν κατάστασιν εὑρισκόμενος ἀσφαλῶς ἐκράτει εἰς χεῖρας του τὸ πλέον ἄριστον καὶ κατὰ Θεὸν τέλος τοῦ βίου. Μὲ τὴν ἐντύπωσιν δὲ αὐτὴν παρέμενεν.

3. Ἀλλὰ καὶ δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἐκινδύνευσε· διότι πιστεύσας, ὅτι εἶναι πλέον ἀπαθής, ἐξεθαρρεύθη καὶ σιγὰ - σιγὰ περιώρισε τὸν ἀγωνιστικόν του ζῆλον καὶ τὴν ἀσκητικήν του προσπάθειαν. Τότε δὲ ἀκριβῶς προσεβλήθη ἀπὸ πειρασμικὴν ἐνέργειαν, ἐξ αἰτίας τῆς ὁποίας παρ' ὀλίγον θὰ συνετρίβετο ὑπὸ τοῦ διαβόλου καὶ θὰ κατέπιπτεν εἰς χεῖρας του πτῶμα ἐξαίσιον, ἐὰν συντόμως δὲν ἔσπευδεν εἰς βοήθειάν του ὁ Κύριος, ποὺ εἶναι πράγματι ἀφάνταστα ἐλεήμων καὶ συμπαθεῖ φιλοστόργως τὸν ἄνθρωπον.

4. Μόλις λοιπὸν ἐπίστευσεν ἐνσυνειδήτως, ὅτι ὁ τρόπος τῆς ζωῆς του ἦτο ὁ τελειότερος καὶ ἤρχισε νὰ ὑπερηφανεύεται, ὅτι τάχα εὑρίσκεται εἰς καλλιτέραν πνευματικὴν κατάστασιν ἀπὸ πολλοὺς ἄλλους, ἀφοῦ ἠξιώθη τοιούτων χαρισμάτων καὶ ἐγήρασεν εἰς τοὺς ἀσκητικοὺς ἀγῶνας, ἀμέσως τότε παρουσιάζεται εἰς τὴν ψυχήν του μία μικρὰ καὶ ἀνεπαίσθητος ὀκνηρία, τόσον ἀσήμαντος, ὥστε καὶ ὁ ἴδιος, ἂν καὶ ἐγήρασεν ἀγωνιζόμενος κατὰ τοῦ διαβόλου, δὲν ὑπωπτεύθη τὴν παρουσίαν της. Ὀλίγον δὲ κατ' ὀλίγον ἐμεγάλωνεν ἡ ψυχικὴ αὐτὴ ὀκνηρία καὶ τὴν ἀντελαμβάνετο πλέον καὶ ὁ ἴδιος, διότι δὲν ἐξυπνοῦσεν ἀπὸ τὸν ὕπνον διὰ τὴν νυκτερινὴν ἀκολουθίαν τόσον πρόθυμα, ὅσον

ἄλλοτε, ἡ προσευχὴ δὲν ἐτελεῖτο ἀπερισπάστως, οὔτε ἦτο μακρᾶς διαρκείας, ὅπως πρότερον καὶ τὸ σῶμα, τοῦ ὁποίου προηγουμένως δὲν ᾐσθάνετο τὴν παρουσίαν, ἤρχισε τώρα νὰ κουράζεται καὶ νὰ ἐπιζητῇ περισσοτέραν ἀνάπαυσιν. Ἀλλὰ καὶ αὐτὸς ὁ ἡγεμὼν νοῦς, ποὺ εὑρίσκετο διαρκῶς εἰς τὸν οὐρανὸν καὶ ἠσχολεῖτο μὲ θείας θεωρίας, ἤρχισε τώρα νὰ κύπτῃ πρὸς τὴν γῆν, οἱ δὲ λογισμοὶ περιεπλανῶντο ἀνήσυχα εἰς φιλογηΐνους περιπλανήσεις.

5. Μετὰ ἀπὸ ὅλα αὐτὰ καὶ κάποια ἀπρέπεια ἐφύτρωνεν εἰς τὴν σιωπηλὴν καὶ ἀνεξερεύνητον περιοχὴν τῆς ψυχῆς, τὸ ὑποσυνείδητον δηλαδή. Ἡ μακρὰ ὅμως συνήθεια πρὸς ἔργα καὶ σκέψεις ὑψηλοτέρας ἀπεμάκρυνεν ἀμέσως τὴν ψυχὴν ἀπὸ αὐτὴν τὴν ἀπρέπειαν καὶ τὴν ἔσυρεν, ἀντιθέτως, πρὸς πνευματικώτερα ζητήματα.

6. Ἐφ' ὅσον λοιπὸν ὁ Ἀσκητὴς δὲν ἐφρόντιζε νὰ ἀποδιώξῃ τὰ συμπτώματα αὐτά, ποὺ ὠφείλοντο εἰς τὴν μείωσιν τῆς ἀντιστάσεως καὶ δὲν ἠγέρθη ἀποφασιστικὸς διὰ νὰ θεραπεύσῃ τὸ κακόν, ἀλλὰ τὸ περιφρονοῦσε θεωρῶν αὐτὸ ἀσήμαντον, ἡ κακία ἐμεγάλωνε καὶ οἱ ἄτοποι λογισμοὶ συχνότερον τὸν ἠνώχλουν καὶ μετὰ δυσκολίας ἀπεμακρύνοντο ἀπὸ αὐτόν· δὲν εἶχε λάβει ὑπ' ὄψιν του ἐγκαίρως ὁ εὐλογημένος, ὅτι τὰ μικροσφάλματα, ποὺ δὲν τοὺς δίδομεν προσοχήν, καταστρέφουν ἀποτελεσματικῶς τὸν ζῆλον καὶ τὸ ἐνδιαφέρον τῶν ἀγωνιστῶν. Καὶ νά! Ἐξ αἰτίας τῆς ἀμελείας αὐτῆς ἄναψε μέσα εἰς τὴν ψυχήν του ἡ φλόγα τῆς κακῆς ἐπιθυμίας καὶ ὑπέκαιε τὴν καρδίαν του.

7. Τότε ἤρχισε σιγὰ - σιγὰ ὁ Ἀσκητὴς νὰ δίδῃ θέσιν εἰς τὸ πάθος καὶ νὰ ὑποχωρῇ πρὸ αὐτοῦ, ἐνῷ οἱ αἰσχροὶ λογισμοὶ ἐγίνοντο κύριοι τοῦ νοός του καὶ τὸν ἔφερον ὀπίσω εἰς τὸν κόσμον.

Ἡ πτῶσις αὐτὴ ἀνησύχησε τὸν Ἀσκητὴν καὶ ἀπεφάσισε πλέον νὰ ἀντισταθῇ, ριφθεὶς εἰς τὸν ἀγῶνα τῆς συνηθισμένης του προσευχῆς καὶ τῶν ὕμνων. Μετὰ εἰσῆλθεν εἰς τὸ σπήλαιον, ὅπου εὗρε μέν, ὡς καὶ πρότερον, φυλαγμένον τὸν ἄρτον, ποὺ ὡς γνωστὸν ἐστέλλετο ἀπὸ τὸν οὐρανόν, ὄχι ὅμως καθαρὸν ὅπως προηγουμένως, ἀλλὰ ἀπεριποίητον καὶ λερωμένον, ὡσὰν νὰ τὸν εἶχον φάγει ποντικοί. Ἐξεπλάγη δι' αὐτὸ καὶ ἐθλίβη ἀναστενάζων. Πάντως ἔφαγε τὸν ἄρτον καὶ ἀνέκτησεν ἐπ' ὀλίγον δυνάμεις. Ἤδη ἔφθασεν ἡ τρίτη νύκτα, ἀπὸ τότε ποὺ ἤρχισε τὸ κακὸν καὶ ὁ πόλεμος ἐνεδυναμοῦτο περισσότερον, ἡ σαρκικὴ ἐπιθυμία σφοδρότερον τὸν κατέφλεγε καὶ οἱ λογισμοὶ ἔφερον εἰς τὸν νοῦν του ζωηρὰν τὴν εἰκόνα τῆς ἁμαρτίας, ὡς νὰ ἦτο παροῦσα γυνὴ καὶ νὰ εὑρίσκοντο ἐξαπλωμένοι μαζί. Ἔντρομος ἠγέρθη κατὰ τὴν συνηθισμένην ὥραν διὰ τοὺς ὕμνους καὶ τὰς προσευχὰς τῆς νυκτός· δὲν ἠμποροῦσεν ὅμως νὰ ἔχῃ καθαρὰς τὰς σκέψεις καὶ ὁ νοῦς περιστρεφόμενος ἐδῶ καὶ ἐκεῖ ᾐχμαλωτίζετο ἀπὸ τὰς διαφόρους ἀτόπους παραστάσεις.

8. Οὕτω λοιπὸν ἐπέρασε καὶ ἐκείνην τὴν ἡμέραν· τὸ ἑσπέρας ἐπέστρεψεν εἰς τὸ σπήλαιον αἰσθανόμενος τὴν ἀνάγκην τροφῆς. Καὶ πρά-

γματι εὗρῆκε τὸν ἄρτον εἰς τὸ συνηθισμένον μέρος, τελείως ὅμως ἄχρηστον, ὡς νὰ εἶχε φαγωθῆ ἀπὸ σκύλους καὶ ποντικούς, ὄχι ὁλόκληρον, ἀλλά, ὡς λείψανα τῆς εὐλογημένης ἐκείνης τροφῆς, μερικὰ ψιχία. Ἐξ αἰτίας αὐτοῦ ἐμελαγχόλησε καὶ ἐθλίβη· ἀναστενάζει δὲ ἀπὸ ψυχικὸν πένθος καὶ δακρύζει, ὄχι ὅμως τόσον ἀρκετά, ὥστε νὰ σταματήσῃ τὴν ἀκαταστασίαν τῆς ψυχῆς του. Ἀφοῦ λοιπὸν ἔφαγεν ἀπὸ τὰ λείψανα ἐκεῖνα τῆς τροφῆς, χωρὶς πάντως νὰ χορτάσῃ ὅσον ἤθελεν, ἐπῆγε νὰ ἀναπαυθῇ. Ποῦ ὅμως νὰ εὕρῃ ἀνάπαυσιν; Οἱ λογισμοὶ ἐπαναστατήσαντες τὸν ἐπολιόρκουν ἀπὸ ὅλα τὰ σημεῖα καὶ ἀμέσως τὸν ἔσυραν αἰχμάλωτον εἰς τὸν κόσμον.

Καὶ νὰ τὸ ἀποτέλεσμα! Ὁ Ἀσκητὴς ἐκεῖνος, ποὺ ἐπὶ τόσα ἔτη παρέμενεν εἰς τὴν βαθυτέραν ἔρημον, ἠγέρθη ἐκείνην τὴν ὥραν καὶ ἀνεχώρησε διὰ τὸν κόσμον, βαδίζων ὅλην τὴν νύκτα καὶ τὴν ἐπομένην ἡμέραν, διότι ἀπεῖχε πολὺ ἀπὸ πολιτείαν. Κατάκοπος δὲ ἔρριπτε τὸ βλέμμα του γύρω - γύρω καὶ ἀνεζήτει μετὰ προσοχῆς μήπως ἴδῃ κανὲν Μοναστήριον, ὥστε νὰ εἰσέλθῃ καὶ νὰ ἀναπαυθῇ ὀλίγον.

9. Πράγματι μετ' ὀλίγον συνήντησεν ἕνα Ἀσκητήριον, εἰς τὸ ὁποῖον προσῆλθεν. Οἱ ἀδελφοὶ τοῦ Ἀσκητηρίου αὐτοῦ μὲ χαρὰν τὸν ὑπεδέχθησαν. Τὸν εἶδον ὡς πραγματικόν τους πατέρα· δι' αὐτὸ καὶ πρῶτα-πρῶτα μὲ προθυμίαν τοῦ ἔπλυναν τοὺς πόδας, ποὺ ἀπὸ πολὺν καιρὸν εἶχον ρυπωθῆ πάρα πολύ. Μετὰ προσευχηθέντες παρέθεσαν τράπεζαν καὶ ἀπῄτουν ἀπὸ τὸν Ἀσκητὴν νὰ φάγῃ ἀπὸ τὰ εὑρεθέντα. Ἐκεῖνος πράγματι ἔφαγε καὶ ἀρκετὰ συνῆλθεν.

10. Ἀφοῦ ἔφαγον, ἐπιμόνως ἱκέτευον τὸν Ἀσκητὴν οἱ ἀδελφοὶ νὰ τοὺς ὁμιλήσῃ λόγους σωτηρίας καὶ μὲ ποίους τρόπους θὰ ἠμπορέσουν νὰ διαφύγουν ἀπὸ τὰς παγίδας τοῦ διαβόλου, ἀκόμη δὲ καὶ πῶς θὰ κατανικήσουν τοὺς αἰσχροὺς λογισμούς.

Ὁ Γέρων τότε εὐχαρίστως ἐπ' ἀρκετὸν συνεβούλευσεν αὐτοὺς διὰ τοὺς ἀσκητικοὺς ἀγῶνας, τὴν πάλην τῶν λογισμῶν καὶ ἄλλα παρόμοια ψυχωφελῆ ζητήματα. Εἰς αὐτὰ προσέθεσεν, ὅτι οἱ ἀγωνιζόμενοι πρέπει ἀταράχως νὰ ἐπιμένουν εἰς τοὺς κόπους τῆς ἀσκήσεως, ἐνισχυόμενοι ἀπὸ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν τῆς αἰωνίου ζωῆς καὶ τῆς ἀπολαύσεως τῆς γλυκείας πατρίδος τῶν οὐρανῶν, εἰς τὴν ὁποίαν μετὰ ἀπὸ ὀλίγον θὰ ἀπέλθουν.

11. Μὲ τὴν νουθεσίαν αὐτὴν ἐστήριξε τοὺς ἀδελφούς, ἀλλὰ καὶ ὁ ἴδιος κατενύγη! Δι' αὐτὸ καὶ μόλις ἔπαυσε νὰ ὁμιλῇ, συνεκεντρώθη ἐπ' ὀλίγον εἰς τὸν ἑαυτόν του καὶ ἤρχισε νὰ σκέπτεται σοβαρῶς, ὅτι ἐνῷ συμβουλεύει τοὺς ἄλλους καὶ τοὺς ὑποδεικνύει τὰ πρέποντα, αὐτὸς παρέμεινεν ἀνουθέτητος. Αὗται αἱ σκέψεις ἀνεδείχθησαν σωτήριοι, διότι ἀντελήφθη, ὅτι ὁ ἴδιος ἐνικήθη ὑπὸ τοῦ διαβόλου· ἀμέσως λοιπὸν τότε χωρὶς χρονοτριβὴν ἠγέρθη, ἀνεχώρησεν ἀπὸ τὸ φιλόξενον Ἀσκητήριον καὶ ἐπέστρεψε κυριολεκτικῶς τρέχων εἰς τὴν ἔρημον πάλιν, ὅπου εἰσῆλθεν εἰς ἐκεῖνο τὸ γνωστὸν σπήλαιον. Συντετριμμένος

δὲ καὶ μετανοῶν διὰ τὴν πτῶσίν του καὶ τὴν ἧτταν αὐτήν, ἐρρίφθη εἰς στάκτην καὶ σάκκον, τὰ ὁποῖα ἔστρωσε, καὶ κλαίων διὰ τὴν ἁμαρτίαν του αὐτήν, μὲ βαθυτάτους στεναγμοὺς ἐπεζήτει τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ.

12. Βαρύτατα δὲ πενθῶν ἀπὸ τὴν συναίσθησιν τῆς πτώσεώς του ἐξωμολογεῖτο εἰς τὸν Θεὸν τὰ ἀτοπήματά του, τὰ ὁποῖα τὸν ὡδήγησαν εἰς αὐτὴν καὶ ἐζήτει μὲ ψυχικὴν συντριβὴν συγχώρησιν. Δὲν ἔπαυσε δὲ νὰ ἀναστενάζῃ καὶ νὰ θρηνῇ, οὔτε καὶ ἀνεσηκώθη ἀπὸ τὸ ἔδαφος, εἰς τὸ ὁποῖον εἶχε πέσει γονατιστὸς καὶ κακουχούμενος, μέχρι τῆς στιγμῆς, πού, τελείως πλέον ἐξηντλημένος, ἀπεκοιμήθη.

Τότε, εἰς ἕνα ἀποκαλυπτικὸν ὄνειρον, ἤκουσεν ἕνα Ἄγγελον νὰ τοῦ ὁμιλῇ:

— Μὴ λυπεῖσαι, διότι ὁ Θεὸς ἐδέχθη τὴν μετάνοιάν σου καὶ σὲ ἠλέησε διὰ τῆς συγγνώμης του. Πρόσεχε τώρα πλέον εἰς τὸ μέλλον νὰ μὴ ἀπατηθῇς πάλιν ἀπὸ τὸν διάβολον. Πρὸς ἐπιβεβαίωσιν δὲ τῆς ἀληθείας τῶν λόγων μου, σὲ πληροφορῶ, ὅτι ἐντὸς ὀλίγου θὰ ἔλθουν ἐδῶ ἐκεῖνοι οἱ ἀδελφοί, τοὺς ὁποίους συνεβούλευσες, διὰ νὰ σὲ τιμήσουν μὲ τὴν ἐπίσκεψίν των. Ἐπ' εὐκαιρίᾳ θὰ σοῦ φέρουν ὡς δῶρον ἀγάπης διάφορα ἀγαθά. Νὰ τὰ δεχθῇς εὐχαρίστως καὶ ἀπὸ αὐτὰ νὰ φάγῃς. Ἀπὸ ἐδῶ δὲ καὶ εἰς τὸ ἑξῆς θὰ δέχεσαι ἀπὸ αὐτοὺς τοὺς ἀδελφοὺς τὴν τροφήν σου, πάντοτε δέ, εἰς ὅλην σου τὴν ζωήν, νὰ εὐχαριστῇς τὸν Θεὸν διὰ τὴν εὐσπλαγχνίαν του αὐτήν. Πράγματι, ὅπως ἀπεκάλυψεν ὁ Ἄγγελος, τὸν ἐπεσκέφθησαν οἱ ἀδελφοί.

13. Ἀπὸ τότε διῆλθε τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς του εἰς πνευματικὸν πένθος. Καίτοι δὲ ἡ ἐπίλοιπος ζωή του ἦτο ἀξία τῆς μετανοίας του, ἐν τούτοις δὲν ἐγεύθη πλέον ἀπὸ τὴν ἐπουράνιον καὶ θείαν ἐκείνην τράπεζαν.

Δ'. Τοῦ Ἁγίου Μαξίμου

ΕΚΚΛΙΝΟΝ ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, τουτέστι πολέμησον τοὺς ἐχθρούς, ἵνα μειώσῃς τὰ πάθη, καὶ πάλιν πολέμησον ἵνα ζητήσῃς τὰς ἀρετάς· καὶ μετέπειτα νῆψε, ἵνα διαφυλάξῃς αὐτάς, καὶ τοῦτο ἂν εἴη τὸ ἐργάζεσθαι καὶ φυλάσσειν.

2. Μοναχός τις νεώτερος, οὐ πάνυ πόῤῥω τοῦ Ἀββᾶ Ἀντωνίου οἰκῶν, γέροντάς τινας πρὸς τὸν Ἀββᾶν Ἀντώνιον ἀπιόντας ἰδών, καὶ κατανοήσας αὐτοὺς κάμνοντας ἐν τῇ ὁδῷ, ἐπέταξεν ὀνάγρους καὶ ὑπακούσαντες ἦλθον καὶ ἐβάστασαν τοὺς γέροντας, καὶ ἀπήγαγον πρὸς τὸν Ἀββᾶν Ἀντώνιον· οἱ οὖν γέροντες ἀπήγγειλαν τῷ Ἀββᾷ Ἀντωνίῳ τὸ σημεῖον ὃ εἰς αὐτοὺς ὁ νέος ἐκεῖνος ἐποίησε, καὶ λέγει αὐτοῖς ὁ Ἀββᾶς Ἀντώνιος· ὁ Μοναχὸς οὗτος πλοίῳ μοι παρεικάζεται, μεστῷ ὄντι πολλῶν ἀγαθῶν, οὐκ οἶδα δὲ εἰ ἥξει εἰς τὸν λιμένα.

Χρόνου δὲ διελθόντος, καθήμενος ὁ Ἀββᾶς Ἀντώνιος, ἤρξατο αἰφνιδίως κλαίειν καὶ ὀδύρεσθαι, καὶ τίλλειν τὰς τρίχας· καὶ ἰδόντες οἱ μαθηταὶ αὐτοῦ προσελθόντες ἠρώτων· τί γέγονεν ὅτι οὕτω περιπαθῶς ἀποδύρεται· καὶ ἀπεκρίθη

αὐτοῖς ὁ Γέρων· μέγας στῦλος τῆς Ἐκκλησίας ἄρτι ἔπεσεν· ἔλεγε δὲ περὶ τοῦ νεωτέρου Μοναχοῦ· ἀλλὰ ἀπελθόντες, φησίν, ἕως αὐτοῦ, ἴδετε τὸ γεγονός.

Οἱ δὲ ἀπῆλθον, καὶ εὑρίσκουσιν αὐτὸν ἐπὶ ψιαθίου καθήμενον καὶ ἀποκλαιόμενον τὴν ἁμαρτίαν, ἣν εἰργάσατο· καὶ ἑωρακὼς τοὺς μαθητὰς τοῦ Γέροντος λέγει αὐτοῖς· εἴπατε τῷ Γέροντι ἵνα παρακαλέσῃ τὸν Θεόν, δέκα μόνον ἡμέρας ἐνδοῦναί μοι καὶ ἐλπίζω ἀπολογήσασθαι· καὶ ἀπελθόντων τῶν ἀδελφῶν, ἐντὸς πέντε ἡμερῶν ἐτελεύτησεν.

3. Εἶπεν ὁ Ἀββᾶς Βησσαρίων· ὅταν ταπεινούμεθα καὶ προσέχωμεν, μήπως χαρᾶς ἐπεισελθούσης ἀλλοτρίας, καυχησώμεθα ἢ τὴν καρδίαν ἀπολύσωμεν, καὶ παραδοθῶμεν εἰς πόλεμον· πολλάκις γὰρ ὁ Θεὸς διὰ τὰς ἀσθενείας ἡμῶν ποιεῖ μεθ' ἡμῶν ἔλεος, καὶ ἀποτρέπει τὸν Σατανᾶν ἐξ ἡμῶν, εἰ δὲ ἡμεῖς ἀμεριμνήσαντες τὸν εἰς αὐτὸν φόβον καὶ τὴν προσοχὴν ἀποῤῥίψωμεν, εὐθὺς εἰς πειρασμοὺς πάλιν παραδιδόμεθα.

Ἑρμηνεία

ΕΚΚΛΙΝΟΝ ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν. (Ψαλμ. λγ', 15)· αὐτὸ τὸ ρητόν, ἔλεγεν ὁ Ἅγιος Μάξιμος, σημαίνει: πολέμησε τοὺς νοητοὺς ἐχθρούς, διὰ νὰ μειώσῃς τὴν ἔντασιν τῶν παθῶν· συγχρόνως δὲ προσπάθησε νὰ ἀποκτήσῃς τὰς ἀρετάς. Ἐν συνεχείᾳ δὲ διατήρησε τὸν ἑαυτόν σου εἰς κατάστασιν νηφαλιότητος καὶ πνευματικῆς ἐγρηγόρσεως, ὥστε νὰ περιφρουρήσῃς αὐτὰς τὰς ἀρετάς. Αὐτὸ πάλιν εἶναι τὸ νόημα τῆς ἐντολῆς, ποὺ ἔδωσεν ὁ Θεὸς εἰς τοὺς πρωτοπλάστους, ὅταν τοὺς ἐτοποθέτει εἰς τὸν Παράδεισον. «Ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν» (Γεν. β', 15).

2. Πλησίον τοῦ Ἀββᾶ Ἀντωνίου κατοικοῦσεν ἕνας Μοναχὸς νέος κατὰ τὴν ἡλικίαν. Κάποτε λοιπὸν εἶδε μερικοὺς Γέροντας νὰ πηγαίνουν πρὸς τὸ Ἀσκητήριον τοῦ Ἁγίου Ἀντωνίου καὶ ἐπειδὴ ἀντελήφθη, ὅτι ἡ ὁδοιπορία τοὺς εἶχε καταπονήσει, προσέταξε, μὲ τὴν δύναμιν τοῦ Θεοῦ, μερικοὺς ἀγρίους ὄνους, οἱ ὁποῖοι ἔβοσκον ἐκεῖ πλησίον, νὰ ἔλθουν κοντά του. Πράγματι δὲ αὐτὰ τὰ ἄλογα ζῷα ὑπήκουσαν καὶ ἦλθον, ὁπότε τὰ ἐχρησιμοποίησαν οἱ Πατέρες ὡς πειθαρχικὰ ὑποζύγια καὶ μετέφεραν αὐτοὺς εἰς τὸν Ἅγιον Ἀντώνιον.

Μόλις ἔφθασαν, διηγήθησαν εἰς τὸν Ἀββᾶν Ἀντώνιον τὸ θαῦμα τῆς ἐξημερώσεως τῶν ὀνάγρων, ποὺ ἔκαμεν ὁ νέος ἐκεῖνος Μοναχός. Ἀφοῦ ἤκουσε τὴν διήγησιν ὁ Ἀββᾶς Ἀντώνιος εἶπε:

— Πατέρες μου, ὁ Μοναχὸς αὐτὸς ὁμοιάζει μὲ πλοῖον, ποὺ εἶναι φορτωμένον μὲ πολλὰ ἀγαθά· δὲν γνωρίζω ὅμως, ἐὰν τελικῶς θὰ φθάσῃ σῶον εἰς τὸν λιμένα τοῦ προορισμοῦ του.

Μετὰ παρέλευσιν ἑνὸς χρονικοῦ διαστήματος καὶ ἐνῷ ἐκάθητο ὁ Ἀββᾶς Ἀντώνιος μετὰ τῶν μαθητῶν του, ἔξαφνα ὁ μέγας αὐτὸς Ἀσκητὴς καὶ προορατικὸς Πατὴρ ἤρχισε νὰ κλαίῃ καὶ νὰ θρηνῇ καὶ νὰ τραβᾷ τὰ μαλλιά του.

Πρὸ τοῦ θεάματος αὐτοῦ ἔντρομοι οἱ μαθηταί του τὸν ἐπλη-

σίασαν ἀκόμη περισσότερον καὶ τὸν ἠρώτησαν:

— Ἀββᾶ, τί συνέβη καὶ τόσον ἀπαρηγόρητα καὶ πολυστένακτα θρηνεῖς;

— Ὦ! Αὐτὴν τὴν στιγμὴν μέγας στῦλος τῆς Ἐκκλησίας κατέπεσεν!

— Ποῖος, Πάτερ; ἠρώτησαν μὲ ἀγωνίαν οἱ μαθηταί.

— Ἐκεῖνος ὁ νέος Μοναχός· πηγαίνετε ὅμως ἕως ἐκεῖ, διὰ νὰ ἴδῆτε. Πράγματι μετέβησαν οἱ μαθηταὶ καὶ εὗρον τὸν Μοναχὸν αὐτὸν νὰ ἔχῃ πέσει ἐπάνω εἰς τὸ ψαθὶ καὶ νὰ κλαίῃ διὰ τὴν ἁμαρτίαν, τὴν ὁποίαν ἔκαμεν.

Ἀνασηκώσας δὲ τοὺς δακρυσμένους ὀφθαλμούς του καὶ ἰδὼν τοὺς μαθητὰς τοῦ Ἀββᾶ Ἀντωνίου, λέγει πρὸς αὐτοὺς μὲ φωνὴν διακοπτομένην ἀπὸ λυγμούς.


— Πατέρες μου, ἡμάρτησα· εἴπατε ὅμως εἰς τὸν Ἅγιον Γέροντα νὰ παρακαλέσῃ τὸν Θεὸν νὰ μοῦ χαρίσῃ δέκα ἡμέρας καὶ ἐλπίζω, ὅτι ἡ εὐσπλαγχνία τοῦ Θεοῦ θὰ μὲ βοηθήσῃ εἰς τὸ διάστημα αὐτὸ νὰ ἐπανορθωθῶ, ὥστε νὰ ἔχω ὁμολογίαν κατὰ τὴν ὥραν τῆς κρίσεως.

Ἀφοῦ ἀνεχώρησαν οἱ ἀδελφοί, εἰς διάστημα πέντε ἡμερῶν ἀπέθανεν.

3. Ὁ Ἀββᾶς Βησσαρίων εἶπεν, ὅτι ὅταν, λόγῳ τῆς μετανοίας, αὐτοταπεινούμεθα καὶ συντριβόμεθα, πρέπει νὰ προσέχωμεν, μήπως εἰσέλθῃ κρυφίως εἰς τὴν ψυχήν μας μία ξένη χαρά, ὄχι πνευματική, καὶ ἀμέσως καυχηθῶμεν διὰ τὴν δῆθεν πνευματικήν μας κατάστασιν καὶ ἀφήσωμεν ἐλευθέραν καὶ ἀφρούρητον τὴν καρδίαν μας, ὁπόταν ἀσφαλῶς θὰ περιπέσωμεν εἰς πόλεμον.

Πολλὰς φορὰς ὁ Θεός, λαμβάνων ὑπ' ὄψιν τὴν ἀσθένειάν μας, κάμνει συγκατάβασιν καὶ μᾶς εὐσπλαγχνίζεται ἀπομακρύνων ἀπὸ ἡμᾶς τὸν Σατανᾶν. Ἐὰν ὅμως ἡμεῖς παύσωμεν νὰ φοβούμεθα τὸν Σατανᾶν καὶ τὰς παγίδας του καὶ δὲν προσέχωμεν πλέον ὅσον πρέπει, τότε ἀμέσως περιπίπτομεν πάλιν εἰς πειρασμοὺς καὶ βασανιζόμεθα.





Ὁ ἈΒΒΑC
ΒΗCCΑΡΙΩΝ

ΥΠΟΘΕΣΙΣ Ι'

"Οτι δεῖ ἑαυτοὺς ἀνακρίνειν· καὶ τὰ μὲν σφάλματα διορθοῦσθαι, τὰ δὲ καλὰ ἐπαυξάνειν.

Πρέπει νὰ ἐξετάζωμεν μετὰ προσοχῆς τοὺς ἑαυτούς μας, ὥστε νὰ διορθώνωμεν τὰ σφάλματα καὶ νὰ πολλαπλασιάζωμεν τὰ καλά.

Α'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ Μακαρία Συγκλητική· ὅτι οἶδα τινὰ κατ' ἀρετὴν βιοῦντα, ὅστις καθεζόμενος ἐν τῷ κελλίῳ ἐπετήρει τῶν λογισμῶν τὰς προσβολάς, καὶ ἐμέτρει σημειούμενος, ποῖος πρῶτος, ποῖος δεύτερος, καὶ ἕκαστον αὐτῶν πόσον χρόνον κατεῖχε, καὶ εἰ ὑστέρησεν ἢ προέφθασεν ὑπὲρ τὴν παρελθοῦσαν ἡμέραν, καὶ ἐντεῦθεν ἀκριβῶς διεγίνωσκε τήν τε τοῦ Θεοῦ χάριν, καὶ τὴν οἰκείαν καρτερίαν καὶ προκοπήν, καὶ τὴν τοῦ ἐχθροῦ καθαίρεσιν.

2. Δέον οὖν καὶ ἡμᾶς τοὺς τοιούτους ὑποδεξαμένους κανόνας φυλάττειν· εἰ γὰρ οἱ τὰς προσκαίρους πραγματευόμενοι καθ' ἑκάστην τὰ ἑαυτῶν ἀνασκοποῦσι, καὶ πρὸς μὲν τὰ πλείονα καὶ τὰ κέρδη χαίρουσι, πρὸς δὲ τὰς ζημίας λυποῦνται, πολὺ μᾶλλον ἡμᾶς προσήκει τὸ ἀγρυπνεῖν τὸν ἀληθινὸν θησαυρὸν ἐμπορευομένους, καὶ τῶν μὲν πλειόνων ἀγαθῶν ἐφίεσθαι, εἰ δὲ καὶ μικρὰ κλοπή τις τοῦ ἐχθροῦ ἀναφανῇ βαρέως μὲν φέρειν καὶ τὴν βλάβην ἐναποκλαίεσθαι· οὐ μὴν καὶ ἀπογινώσκειν ἑαυτῶν καὶ πάντα ῥίπτειν διὰ τὸ ἓν πταῖσμα.

3. "Εχεις τὰ ἐνενήκοντα ἐννέα πρόβατα, ζήτει τὸ ἀπολωλός· μὴ πτοηθῇς διὰ τὸ ἕν, καὶ ἀποφύγῃς τὸν Δεσπότην, ἵνα μὴ ὁ αἱμοβόρος διάβολος πᾶσάν σου τὴν ἀγέλην τῶν πράξεων αἰχμαλωτίσας ἀπολέσῃ, ἔρημον εὑρὼν τῆς σκέπης τοῦ Δεσπότου. Μὴ οὖν λιποτακτήσῃς διὰ τὸ ἕν· ἀγαθός ἐστιν ὁ Δεσπότης, δέχεταί σε ὁσάκις ἂν πρὸς αὐτὸν ἐπιστρέψῃς καὶ σπούδασον διὰ μετανοίας γνησίας κἀκεῖνο ἀνακαλέσασθαι.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἀνέφερε κάποτε τὸ ἑξῆς περιστατικόν:

«Γνωρίζω ἕνα δοῦλον τοῦ Θεοῦ, ὁ ὁποῖος ζῇ ἐναρέτως· αὐτὸς παραμένων ἔγκλειστος εἰς τὸ κελλίον του παρηκολούθει μετὰ προσοχῆς τὰς ἐπιθέσεις τῶν λογισμῶν καὶ ὑπελόγιζε ποῖος λογισμὸς ἐπετέθη πρῶτος, ποῖος δεύτερος, πόσον χρόνον παρετάθη ἡ προσβολή, καί, τέλος, ἐὰν ἡ ἐπίθεσις ὑπῆρξεν ἰσχυροτέρα ἀπὸ τὴν προηγουμένην ἡμέραν. Ἀπὸ τὴν ἔρευναν αὐτὴν ἔβγαζε μὲ ἀκρίβειαν τὸ συμπέρασμα διὰ τὴν βοήθειαν τῆς Χάριτος τοῦ Θεοῦ, τὴν ἰδικήν του καρ-

τερικότητα καὶ πρόοδον καὶ τὴν συντριβὴν τοῦ ἐχθροῦ.

2. Πρέπει καὶ ἡμεῖς, συνέχισεν ἡ Μακαρία Συγκλητική, νὰ μάθωμεν τοὺς κανόνας αὐτοὺς διὰ νὰ τοὺς ἐφαρμόζωμεν. Διότι ἐὰν οἱ ἀσχολούμενοι μὲ προσκαίρους καὶ ματαίας ὑποθέσεις κάθε ἡμέραν ἐξετάζουν προσεκτικῶς αὐτὰς καὶ εὐχαριστοῦνται ὁσάκις διαπιστώνουν προόδους καὶ κέρδη, ἀπ' ἐναντίας δὲ λυποῦνται διὰ τὰς ζημίας, πόσον μᾶλλον ἐπιβάλλεται εἰς ἡμᾶς νὰ ἐπαγρυπνῶμεν, ἐφ' ὅσον ἐμπορευόμεθα πραγματικὸν θησαυρόν, ὅπως εἶναι ἡ σωτηρία τῆς ψυχῆς μας; Πρέπει λοιπὸν νὰ ἀσχολούμεθα μὲ τὸν ὑπολογισμὸν αὐτόν, νὰ ἐπιθυμῶμεν τὴν ἀπόκτησιν περισσοτέρων πνευματικῶν ἀγαθῶν, ἀρετῶν, καὶ ἐὰν ὁ ἐχθρός, ἐξ ἀμελείας μας, ὑποκλέψῃ κάτι ἀπὸ τὰ πνευματικὰ αὐτὰ ἀγαθά, νὰ στενοχωρούμεθα διὰ τὴν κλοπὴν αὐτὴν καὶ νὰ θρηνῶμεν διὰ τὴν προσγενομένην ζημίαν. Ἐπὶ πλέον δὲ νὰ κατηγορῶμεν μὲ αὐστηρότητα τὸν ἑαυτόν μας καὶ ὅλα νὰ τὰ θυσιάζωμεν, προκειμένου νὰ ἐπανορθώνωμεν τὸ ἕνα πταῖσμα.

3. Ἔχεις εἰς τὴν διάθεσίν σου τὰ ἐνενήκοντα ἐννέα πρόβατα· πρέπει νὰ ἀναζητήσῃς καὶ αὐτό, ποὺ ἔχει χαθῆ. Μὴ δειλιάσῃς νὰ ἐπανορθώσῃς τὸ ἕνα σου πταῖσμα καὶ τοιουτοτρόπως μὴ ἀπομακρυνθῇς ἀπὸ τὸν Δεσπότην· εἶναι φόβος ὁ αἱμοβόρος διάβολος, ἐκμεταλλευόμενος τὴν ἀμέλειάν σου, νὰ σὲ αἰχμαλωτίσῃ καὶ τοιουτοτρόπως νὰ χάσῃς ὅλον τὸν θησαυρὸν τῶν καλῶν σου πράξεων, ὅπως ὁ ποιμήν, ποὺ νικᾶται ἀπὸ τὸν ὕπνον, κινδυνεύει νὰ χάσῃ ὁλόκληρον τὸ κοπάδι του. Θὰ τὸ ἐπιτύχῃ δὲ αὐτὸ ὁ διάβολος, διότι θὰ σὲ εὕρῃ ἔρημον καὶ μακρὰν ἀπὸ τὴν προστατευτικὴν σκέπην τοῦ Δεσπότου.

Μὴ φοβηθῇς λοιπὸν καὶ λιποτακτήσῃς ἐξ αἰτίας τοῦ ἑνὸς σφάλματος· ὁ Δεσπότης εἶναι ἀγαθὸς καὶ σὲ ἀναμένει νὰ σὲ δεχθῇ φιλοστόργως, ὁσάκις ἐπιστρέψῃς πρὸς αὐτὸν καὶ ζητήσῃς μετάνοιαν· φρόντισε λοιπὸν νὰ ἐπανορθώσῃς καὶ τὸ ἕνα παραμικρὸν ἐκεῖνο πταῖσμα μὲ εἰλικρινῆ καὶ βαθεῖαν μετάνοιαν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Νισθερώ, ὅτι ὀφείλει ὁ Μοναχὸς καθ' ἑσπέραν καὶ πρωῒ λόγον ποιεῖσθαι ἐν ἑαυτῷ, καὶ λέγειν· τί ὧν θέλει ὁ Θεὸς ἐποίησα, καὶ τί ὧν θέλει ὁ Θεὸς οὐκ ἐποίησα; καὶ οὕτω διανύειν αὐτοῦ τὴν ζωήν.

2. Ἠρώτησεν ὁ Ἀββᾶς Μωϋσῆς τὸν Ἀββᾶν Σιλουανόν, λέγων· δύναται ἄνθρωπος καθ' ἡμέραν βάλλειν ἀρχήν; καὶ εἶπεν ὁ γέρων· ἐὰν ἔστιν ἐργάτης, δύναται καὶ καθ' ὥραν βάλλειν ἀρχήν.

3. Εἶπε γέρων· ἐὰν ἐπιλάβῃ ἀσκήσεως καὶ χαυνωθῇς, πάλιν ἐπιχείρησον, καὶ μὴ παύσῃ ἕως θανάτου τοῦτο ποιῶν· ὅπου γὰρ φθασθῇ ἄνθρωπος, ἐκεῖ ὑπάγει, εἴτε εἰς ἀμέλειαν, εἴτε εἰς ἐγκράτειαν· ἐρεύνα οὖν σεαυτὸν καθ' ἑκάστην ἡμέραν καὶ ἑβδομάδα, καὶ μῆνα, καὶ ἐνιαυτόν, εἰ προέκοψας εἰς ἡσυχίαν, εἰς νηστείαν, εἰς προσευχήν, πλέον δὲ πάντων, εἰς ταπείνωσιν· αὕτη γάρ ἐστιν ἡ ἀληθὴς προκοπὴ

τῆς ψυχῆς, ἵνα καθ' ἡμέραν ταπεινοτέραν ἑαυτὴν λογίζηται, ἐνθυμουμένη τὰ σφάλματα, ἅπερ διηνεκῶς πταίει, καὶ ἡγεῖται πάντα ἄνθρωπον βελτίονα ἑαυτῆς· χωρὶς γὰρ τούτου τοῦ λογισμοῦ ὁ ἄνθρωπος κἂν σημεῖα ποιήσῃ, κἂν νεκροὺς ἀναστήσῃ, μακρὰν εὑρίσκεται ἀπὸ τοῦ Θεοῦ.

4. Ἔλεγεν ὁ Ἀββᾶς Βενιαμίν, τὴν βασιλικὴν ὁδὸν πορεύεσθε, καὶ τὰ μίλια μετρεῖτε, καὶ οὐκ ὀλιγωρεῖτε.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Νισθερῶ ἔλεγεν εἰς τοὺς μαθητάς του, ὅτι ὁ Μοναχὸς πρέπει κάθε πρωῒ καὶ κάθε βράδυ νὰ ἐξετάζῃ μετὰ προσοχῆς τὸν ἑαυτόν του, καὶ νὰ λέγῃ· «Τί ἔκαμα ἀπὸ αὐτά, ποὺ θέλει ὁ Θεός· καί, ἀπ' ἐναντίας, τί δὲν ἔκαμα ἀπὸ αὐτὰ ποὺ θέλει ὁ Θεός;» Μὲ τὴν αὐτοεξέτασιν δὲ καὶ τὸν αὐτοέλεγχον αὐτὸν νὰ περνᾷ ἡ ζωή του.

2 Ὁ Ἀββᾶς Μωϋσῆς ἠρώτησε τὸν Ἀββᾶν Σιλουανόν:

— Ἀββᾶ, εἶναι δυνατὸν ὁ ἄνθρωπος νὰ ἀρχίζῃ καὶ πάλιν κάθε ἡμέραν νὰ βάζῃ πνευματικὴν ἀρχήν;

— Ἐὰν εἶναι πραγματικὸς ἐργάτης, ὄχι μόνον ἀπὸ κάθε ἡμέραν, ἀλλὰ καὶ ἀπὸ κάθε ὥραν ἐπιβάλλεται νὰ ἀρχίζῃ τὸ ἔργον τῆς πνευματικῆς του οἰκοδομῆς, χωρὶς νὰ ἀπογοητεύεται ἀπὸ τὴν ἀντίδρασιν τοῦ διαβόλου.

3. Ἕνας Ἅγιος Γέρων εἶπε τὴν ἑξῆς πολύτιμον συμβουλήν:

«Ἐὰν ἀρχίσῃς, ἀγαπητέ, τὸ ἔργον τῆς ἀσκήσεως καὶ ἀμέσως περιπέσῃς εἰς κατάπτωσιν καὶ νωθρότητα, πρόσεξε μὴ παραμείνῃς ἐπὶ πολύ· προσπάθησε καὶ πάλιν νὰ βάλῃς νέαν ἀρχὴν καὶ μὴ ἀποκάμῃς νὰ καταβάλλῃς προσπαθείας μέχρι νὰ ἀποθάνῃς, διότι ἀπὸ τὸν βαθμὸν καὶ τὴν ἔντασιν τῆς προσπαθείας σου ἐξαρτᾶται καὶ ἡ πνευματική σου προκοπή. Μετριωτάτη καὶ ἀσθενὴς προσπάθεια ὁδηγεῖ εἰς ἀμέλειαν, ἐνῷ ἐντατικὴ προσπάθεια ἐξασφαλίζει εἰς τὸν ἄνθρωπον τὴν ἐγκράτειαν.

Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον νὰ ἐρευνᾷς τὸν ἑαυτόν σου κάθε ἡμέραν, κάθε ἑβδομάδα, κάθε μῆνα, κάθε χρόνον, ἐὰν προώδευσες εἰς τὴν πνευματικὴν ἡσυχίαν, εἰς τὴν νηστείαν, τὴν προσευχὴν καὶ τὰ λοιπὰ ἔργα τῆς ἀσκήσεως. Περισσότερον ὅμως ὅλων νὰ ἐξετάζῃς ἐὰν ἐπέτυχες εἰς τὸν ἀγῶνα τῆς ταπεινώσεως, διότι ἡ πραγματικὴ προκοπὴ τῆς ψυχῆς παρατηρεῖται, ἐφ' ὅσον καθ' ἑκάστην ἡμέραν θεωρεῖται αὕτη ταπεινοτέρα, σκεπτομένη τὰ σφάλματα, εἰς τὰ ὁποῖα διαρκῶς περιπίπτει καὶ νομίζουσα, ὡς ἐκ τούτου, ὅτι ὅλοι οἱ ἄνθρωποι εἶναι καλύτεροι ἀπὸ αὐτήν.

Χωρὶς αὐτὴν τὴν σκέψιν ὁ ἄνθρωπος, καὶ ἐὰν ἀκόμη κάμῃ θαύματα, καὶ ἐὰν ἀκόμη ἀναστήσῃ νεκρούς, εὑρίσκεται μακρὰν τοῦ Θεοῦ.

4. Ὁ Ἀββᾶς Βενιαμὶν ἔλεγε· νὰ βαδίζετε τὴν βασιλικὴν ὁδὸν καὶ νὰ ὑπολογίζετε τὰ μίλια, ποὺ διανύετε (δηλαδὴ νὰ ἐρευνᾶτε τὴν πρόοδόν σας) καὶ τότε ἀσφαλῶς θὰ ἀποφύγετε τὴν ἀμέλειαν.

Γ'. Τοῦ Ἁγίου Ἡσαΐου

ΔΙΑΛΟΓΙΖΟΥ καθ' ἑκάστην ἔν τισιν ἔπταισας, καὶ ἐὰν εὔξῃ ὑπὲρ αὐτῶν, ὁ Θεός σοι αὐτὰ συγχωρεῖ· ἀνάκρινε σεαυτὸν ἐνταῦθα ἀεί, τί ὑστερεῖς, καὶ οὐ κοπιάσεις ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης τοῦ θανάτου· ἑτοίμαζε σεαυτὸν ἀπαντῆσαι τῷ Θεῷ, καὶ ποιήσεις τὸ θέλημα αὐτοῦ· ἐρεύνα σεαυτὸν καθ' ἡμέραν ποῖον πάθος ἐνίκησας, καὶ μὴ πιστεύσῃς σεαυτῷ· τὸ γὰρ ἔλεος καὶ ἡ δύναμις τοῦ Θεοῦ ἐστιν.

2. Ἐγειρόμενος καθ' ἑκάστην, μνημόνευε, ὅτι λόγον δώσεις τῷ Θεῷ περὶ παντὸς ἔργου καὶ λόγου καὶ διανοήματος, καὶ οὐχ ἁμαρτήσεις εἰς αὐτόν, ἀλλ' ὁ φόβος αὐτοῦ παροικήσει σοι.

Ἑρμηνεία

ΝΑ σκέπτεσαι καθ' ἑκάστην εἰς ποῖα ζητήματα ἔπταισες καὶ ἐὰν παρακαλέσῃς μὲ συντριβὴν τὸν Θεὸν διὰ τὰ σφάλματα αὐτά, ἀσφαλῶς ὁ Θεὸς θὰ σοῦ τὰ συγχωρήσῃ. Νὰ ἀνακρίνῃς πάντοτε τὸν ἑαυτόν σου, ἐφ' ὅσον ζῇς, διὰ νὰ ἀνακαλύπτῃς εἰς τί ὑστερεῖς· ἀσφαλῶς τότε δὲν θὰ δοκιμάσῃς κατὰ τὴν στιγμὴν τοῦ θανάτου τὴν φρικτὴν ἀγωνίαν τοῦ φόβου ἐξ αἰτίας τῶν σφαλμάτων σου. Νὰ εἶσαι πάντοτε ἕτοιμος διὰ τὴν συνάντησιν τοῦ Θεοῦ καὶ τότε προθύμως θὰ ἐκτελέσῃς τὸ θέλημά του. Ἐξέταζε μετὰ προσοχῆς καθ' ἑκάστην ἡμέραν ποῖον πάθος ἠδυνήθης νὰ νικήσῃς καὶ ποτὲ νὰ μὴ ἐμπιστευθῇς εἰς τὸν ἑαυτόν σου, ὅτι δῆθεν μὲ τὰς δυνάμεις σου κατώρθωσες κάτι· διότι ὁ Θεὸς σὲ ἠλέησε καὶ σοῦ ἔδωσε τὴν δύναμιν νὰ νικήσῃς.

2. Ὁσάκις, καθ' ἑκάστην, ἐγείρεσαι ἐκ τῆς κλίνης σου, νὰ ἐνθυμῆσαι, ὅτι θὰ δώσῃς λόγον εἰς τὸν Θεὸν διὰ κάθε σου πρᾶξιν, διὰ κάθε σου λόγον, ἀλλὰ καὶ διὰ κάθε σου σκέψιν ἀκόμη· τότε δὲν θὰ ἁμαρτήσῃς ἐνώπιον τοῦ Θεοῦ, ἀλλ' ὁ φόβος τοῦ Θεοῦ θὰ συγκατοικῇ πάντοτε μετὰ σοῦ.

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ, ἔμποροί ἐσμεν πνευματικοί, καὶ ἐοίκαμεν τ[illegible]ικοῖς ἐμπόροις, οἵτινες καθ' ἑκάστην ἡμέραν ψηφίζουσι τὸ [illegible]ος καὶ τὴν ζημίαν, καὶ ἐὰν εὕρωσιν ἑαυτοὺς ζημιωθέντας, σπουδάζουσι καὶ μεριμνῶσι πῶς ἀνασώσωσι τὴν ζημίαν.

2. Οὕτω καὶ σύ, ἀγαπητέ, ἐν ἑκάστῃ ἡμέρᾳ, καθ' ἑσπέραν καὶ πρωΐ, ἀκριβῶς κατανόει τὴν σὴν ἐμπορίαν, καὶ ἐν μὲν τῇ ἑσπέρᾳ εἰσερχόμενος εἰς τὴν καρδίαν σου λογίζου καὶ λέγε ἐν ἑαυτῷ· ἄρα μὴ ἔν τινι παρώξυνα τὸν Θεόν; μὴ λόγον ἐλάλησα ἀργόν; ἢ ἠδιαφόρησα ἢ παρώξυνα τὸν ἀδελφόν μου, ἢ κατελάλησά τινός; ἄρα μὴ τὸ στόμα μου ἔψαλλεν, ἡ δὲ διάνοιά μου ἐφαντάζετο τὰ τοῦ κόσμου;

μὴ ἐπῆλθέ μοι ἐπιθυμία σαρκός, καὶ ἡδέως αὐτὴν ἐδεξάμην; μὴ ἡττήθην εἰς τὰς γηΐνας φροντίδας ὅλως ἀποστὰς τῆς τοῦ Θεοῦ μνήμης;

3. Ταῦτα καὶ τὰ τούτοις ὅμοια λογίζου καθ' ἑαυτόν, καὶ εἰ εὕρῃς ἔν τινι τούτων ζημιωθέντα, σπούδασον τὴν ζημίαν ἀνασώσασθαι· στέναξόν τε καὶ κλαῦσον δεόμενος τοῦ Θεοῦ ἵνα μὴ πάλιν εἰς ταῦτα ζημιωθῇς· ἐν δὲ τῇ πρωΐᾳ ταῦτα ἐν σεαυτῷ μελέτα, καὶ λέγε· πῶς ἄρα παρῆλθον τὴν νύκτα ταύτην, ἐκέρδησά τι ἐν αὐτῇ ἢ ἐζημιώθην, ἐγρηγόρησεν ὁ νοῦς μετὰ τοῦ σώματος; ἐδάκρυσαν οἱ ὀφθαλμοί μου; μὴ κατηνέχθην ὕπνῳ ἐν τῇ γονυκλισίᾳ; μὴ προσέβαλόν μοι πονηροὶ λογισμοὶ καὶ οὐκ εὐθέως τούτους ἀνεστρεψάμην, ἀλλ' ἡδέως αὐτοὺς ἐμελέτησα;

4. Οὕτως οὖν ἀναψηλαφῶν ἑαυτόν, εἰ ἔν τινι τούτων ἡττήθης, ἀγώνισαι τὴν ἧτταν ἀνακαλέσασθαι, καὶ στῆσον φύλακα ἐν τῇ καρδίᾳ σου ἵνα μὴ τὸ αὐτὸ πάλιν πάθῃς· ἐὰν οὕτως ἀεὶ μεριμνᾷς, σῴζεις τὴν σεαυτοῦ ἐμπορίαν, ἐν τοῖς τῶν οὐρανῶν ταμείοις ἀσφαλῶς ταύτην ἀποτιθέμενος.

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ μου, εἴμεθα ἔμποροι πνευματικοί. Ὁμοιάζομεν δὲ μὲ τοὺς ἐμπόρους τῆς παρούσης ζωῆς, οἱ ὁποῖοι κάθε ἡμέραν ὑπολογίζουν τὸ κέρδος καὶ τὴν ζημίαν· ὁσάκις δὲ κατὰ τὸν ὑπολογισμὸν αὐτὸν διαπιστώσουν, ὅτι ἐζημιώθησαν, σκέπτονται καὶ φροντίζουν πῶς θὰ ἐπανορθώσουν τὴν ζημίαν.

2. Τοιουτοτρόπως πρέπει καὶ σύ, ἀγαπητέ μου, νὰ ἐνεργῇς· καθ' ἑκάστην ἡμέραν, πρωῒ καὶ βράδυ, νὰ ὑπολογίζῃς ἐπακριβῶς τὴν ἐμπορικήν σου δραστηριότητα. Τὸ βράδυ, κατὰ μίαν κατανυκτικὴν αὐτοσυγκέντρωσιν καὶ περισυλλογήν, νὰ σκέπτεσαι καὶ νὰ συνομιλῇς εἰλικρινῶς μὲ τὸν ἑαυτόν σου λέγων· ἄραγε μήπως εἰς καμμίαν περίπτωσιν παρώξυνα τὸν Θεόν; μήπως περιέπεσα εἰς ἀργολογίαν; μήπως δὲν ἐπέδειξα ἐνδιαφέρον διὰ τὸ πνευματικὸν συμφέρον τοῦ ἀδελφοῦ μου ἢ τὸν παρώξυνα; μήπως ἐκακολόγησα κανένα; Ἄραγε, ὅταν τὰ χείλη μου ἔψαλλον ὕμνους πρὸς τὸν Θεόν, μήπως ἡ διάνοιά μου ἐφαντάζετο τὰς κοσμικὰς ματαιότητας; Μήπως μὲ ἠνώχλησε σαρκικὴ ἐπιθυμία, καὶ εὐχαρίστως ἐδέχθην τὴν ἐνόχλησιν αὐτήν; Μήπως αἱ σωματικαὶ φροντίδες μὲ ἀπερρόφησαν καὶ ἐγκατέλειψα τελείως τὴν μνήμην τοῦ Θεοῦ;

3. Αὐτὰ καὶ τὰ παρόμοια μὲ αὐτὰ νὰ σκέπτεσαι κατὰ τὴν ἑσπερινὴν περισυλλογὴν καὶ ἐὰν ἀνακαλύψῃς, ὅτι εἰς ἕνα σημεῖον ἀπὸ αὐτὰ ἐζημιώθης, φρόντισε νὰ ἐπανορθώσῃς τὴν ζημίαν. Στέναξε καὶ κλαῦσε παρακαλῶν ἐπιμόνως τὸν Θεὸν νὰ σὲ βοηθήσῃ, ὥστε νὰ μὴ ζημιωθῇς καὶ πάλιν εἰς τὰ ἴδια πράγματα.

Ὅταν δὲ ἐπέλθῃ ἡ πρωΐα, ἀφοῦ αὐτοσυγκεντρωθῇς, τὰ ἑξῆς νὰ σκέπτεσαι καὶ νὰ λέγῃς: Πῶς, ἄραγε, ἐπέρασα τὴν νύκτα αὐτήν; Ἐκέρδισα κατ' αὐτὴν τίποτε ἢ ἐζημιώθην; Ἠγρύπνησε καὶ ὁ νοῦς μου μαζὶ μὲ τὸ σῶμα; Εἶχον πνευματικὰ δάκρυα; Μήπως ἀπεκοιμήθην κατὰ τὴν γονυκλισίαν; Μήπως ἐδέχθην τὴν προσβολὴν πονηρῶν

λογισμῶν καὶ δὲν ἔσπευσα ἀμέσως νὰ τοὺς ἀποκρούσω, ἀλλὰ τοὺς ἐξήτασα φιληδόνως;

4. Τοιουτοτρόπως λοιπὸν ἐρευνῶν μετὰ προσοχῆς τὸν ἑαυτόν σου, ἐὰν διαπιστώσῃς, ὅτι ἐνικήθης κάπου, νὰ ἀγωνισθῇς νὰ ἐπανορθώσῃς τὴν ἧτταν αὐτὴν καὶ νὰ ἐγκαταστήσῃς φρουρὸν εἰς τὴν καρδίαν σου, διὰ νὰ μὴ πάθῃς πάλιν τὰ ἴδια. Ἐὰν τοιουτοτρόπως πάντοτε φροντίζῃς, διασῴζεις τὸ πνευματικόν σου ἐμπόρευμα διασφαλίζων αὐτὸ εἰς τὰ ταμεῖα τοῦ οὐρανοῦ.



ΥΠΟΘΕΣΙΣ ΙΑ΄

Ὅτι τῷ πιστῷ οὐκ ἀκίνδυνον καὶ ἡ μιᾶς ἐντολῆς παράβασις, ὡς λαβόντι δύναμιν τῆς ἐργασίας πασῶν καὶ ταύτας ἀπαιτουμένῳ, καὶ ἡ μικρὰ κακία καταβλάπτει τὰ μέγιστα.

Διὰ τὸν πιστὸν εἶναι ἐπικίνδυνος ἡ παράβασις καὶ μιᾶς ἔστω ἐντολῆς, ἐπειδὴ ἔλαβεν ἀπὸ τὸν Θεὸν τὴν δύναμιν νὰ τὰς ἐκτελῇ ὅλας· ἐπίσης καὶ ἡ μικρὰ κακία βλάπτει πάρα πολύ.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΕΛΕΓΕΝ ὁ Μέγας Παχώμιος τοῖς ἑαυτοῦ μαθηταῖς· εἴπατέ μοι, ἀδελφοί, ἐὰν ᾖ οἰκία ἔχουσα μονὰς ἑκατὸν διαφέρουσα τῷ οἰκοδεσπότῃ, ἀγοράσῃ δὲ ἄλλος παρ᾽ αὐτοῦ μίαν, τὴν ἐνδοτέραν, μὴ κωλύεται εἰσελθεῖν εἰς τὸ ἴδιον καταγώγιον; οὕτω καὶ ὁ πιστός, ἐὰν ᾖ ἔχων πάντας τοὺς καρποὺς τοῦ πνεύματος, τῇ δὲ οἰκείᾳ ἀμελείᾳ καὶ ἐπιβουλῇ τοῦ ἐχθροῦ ἀλλοτριωθῇ ἑνὸς ἐξ αὐτῶν, δόλῳ τὴν ἀρετὴν ἀποδόμενος, οὐκ ἔσται ἀσθενὴς ἐν τούτῳ τῷ μέρει, ὃ ἑκὼν ἐξεχώρησεν;

2. Ἐὰν γὰρ μὴ νήψας διαναστῇ τῇ ψυχῇ καὶ ἑαυτὸν ἀσφαλίσηται, διὰ τῆς μικρᾶς ταύτης τοῦ ἐχθροῦ παρεισδύσεως, πᾶσαν αὐτοῦ τὴν ἀρετὴν προσαπόλλυσιν, ὥς περ οἱ ἐν πολέμῳ πρὸς τοὺς ἀντιπάλους φραξάμενοι, καὶ δι᾽ ἑνὸς γυμνωθέντος μέρους καιρίαν τὴν πληγὴν δραξάμενοι, καὶ περὶ αὐτὸ τὸ ζῆν κινδυνεύσαντες· δεῖ οὖν ἕκαστον ἡμῶν ἀσφαλίζεσθαι ἑαυτόν, καὶ πάσαις ταῖς ἀρεταῖς καλλωπίζειν· οὐ μικρὰ γὰρ ζημία τῷ τὴν μικρὰν ἀρετὴν παραβλέψαντι.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΠΑΧΩΜΙΟΣ ἔλεγεν εἰς τοὺς μαθητάς του: Ἐὰν ὑπάρχῃ κάπου μία οἰκία ἔχουσα ἑκατὸν διαμερίσματα, ἡ ὁποία εἶναι πολὺ χρήσιμος καὶ ἀπαραίτητος εἰς τὸν οἰκοδεσπότην, κάποιος δὲ ἄλλος ἀγοράσῃ ἀπὸ τὸν ἰδιοκτήτην αὐτὸν τὸ ἐνδότερον διαμέρισμα, μήπως τάχα ὁ ἀγοραστὴς αὐτὸς θὰ ἐμποδίζεται νὰ εἰσέρχεται ἀνὰ πᾶσαν στιγμὴν εἰς τὸ διαμέρισμά του διερχόμενος διὰ τῆς οἰκίας τοῦ ἰδιοκτήτου, ἐφ᾽ ὅσον ἐξηγόρασε παρ᾽ αὐτοῦ τὸ δικαίωμα τοῦτο; Μὲ τὸν οἰκοδεσπότην αὐτὸν ὁμοιάζει καὶ ὁ πιστός, ὁ


ΑΓΓΕ ΛΟΣ ΚΥ
Ο ΑΓΙ ΟС ΠΑΧΩ ΜΙ ΟС
ΕΝ ΤΩ ΤΩ СΧΗΜΑ ΤΙ СΩ ΘΗСΕΤΑΙ ΠΑСΑ СΑΡΞ Ω ΠΑ ΧΩΜΙΕ

ὁποῖος ἠξιώθη νὰ ἔχῃ ὅλους τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος· ἐὰν ὅμως, ἐξ αἰτίας τῆς προσωπικῆς του ἀμελείας καὶ τῆς ἐχθρικῆς ἐπιβουλῆς τοῦ διαβόλου, χάσῃ ἕνα ἐξ αὐτῶν τῶν πολυτίμων καρπῶν ἐξαπατηθεὶς δολίως ὑπὸ τοῦ ἐχθροῦ καὶ ἐγκαταλείψῃ τὴν ἀρετήν, τὴν ὁποίαν εἰργάζετο, δὲν θὰ ἐξασθενήσῃ εἰς αὐτὸ τὸ σημεῖον, τὸ ὁποῖον μὲ τὴν θέλησίν του παρεχώρησεν εἰς τὸν διάβολον;

2. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος αὐτὸς δὲν ἀποτινάξῃ τὴν ἀμέλειαν τῆς ψυχῆς του καὶ δὲν ἐξαναστῇ ἀπὸ τὸν ἐπικίνδυνον ὕπνον τῆς ἀδιαφορίας, διασφαλίζων τὸν ἑαυτόν του μὲ ἐπαγρύπνησιν καὶ προσοχήν, ἀσφαλῶς θὰ χάσῃ καὶ τὰς ὑπολοίπους αὐτοῦ ἀρετάς, ἐξ ἀφορμῆς τῆς μικρᾶς αὐτῆς διεισδύσεως τοῦ διαβόλου εἰς τὴν ψυχήν του. Ἂς παραδειγματισθῶμεν ἀπὸ τὴν μάχην· οἱ ἀγωνιζόμενοι ἐνισχύουν τὰς ἔναντι τῶν ἀντιπάλων των φρουράς· ὅταν ὅμως σημειωθῇ ἕνα ἐλάχιστον ρῆγμα εἰς τὴν παράταξιν, εἶναι ἐνδεχόμενον νὰ δεχθοῦν ἀποφασιστικὸν κτύπημα καὶ νὰ διακινδυνεύσουν σοβαρῶς καὶ αὐτὴν τὴν ζωήν των. Πρέπει λοιπὸν ἕκαστος ἐξ ἡμῶν νὰ περιφρουρῇ τὸν ἑαυτόν του, ὥστε νὰ εἶναι ἀσφαλὴς καὶ νὰ καλλιεργῇ ὅλας τὰς ἀρετὰς μετὰ τοῦ αὐτοῦ ἐνδιαφέροντος. Εἰς ἐκεῖνον, ὁ ὁποῖος παραβλέπει καὶ τὴν ἐλαχίστην ἀρετήν, ἡ ζημία θὰ εἶναι μεγάλη.

Β'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ τις ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· δύναται ἄνθρωπος πεποιθέναι ἐπὶ τῇ μιᾷ πράξει; καὶ ἀπεκρίθη ὁ γέρων· ἔλεγεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, ὅτι ἐγὼ θέλω τὸν ἄνθρωπον μεταλαβεῖν τι μικρὸν ἐκ πασῶν τῶν ἀρετῶν, καὶ μὴ μιᾶς διηνεκῶς ἔχεσθαι.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ὑπέβαλεν εἰς τὸν Ἀββᾶν Ποιμένα τὴν ἑξῆς ἐρωτησιν:

— Δύναται ὁ ἄνθρωπος νὰ ἔχῃ ἐμπιστοσύνην εἰς τὸν ἑαυτόν του, ὅταν ἐκτελέσῃ ἐπιτυχῶς μίαν μόνον ἀρετήν;

— Πρόσεξε τί εἶπεν ἐπὶ τοῦ προκειμένου ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς—ἀπήντησεν ὁ Ἀββᾶς Ποιμήν·—ἔλεγε λοιπὸν ὁ Ἅγιος αὐτὸς Ἀσκητής, ὅτι προτιμᾷ ὁ ἄνθρωπος νὰ μετέχῃ ὀλίγον ὅλων τῶν ἀρετῶν, παρὰ νὰ φροντίζῃ διαρκῶς διὰ μίαν καὶ νὰ ἀμελῇ διὰ τὰς ὑπολοίπους.

Γ'. Τοῦ Ἁγίου Ἡσαΐου

ΑΔΕΛΦΟΙ, ὀφειλέται ἐσμὲν πάντες ἐπιτελέσαι πάσας τὰς ἀρετάς, κατὰ τὴν δύναμιν ἡμῶν, ὁ μικρὸς κατὰ τὴν μικρότητα, καὶ ὁ μέγας κατὰ τὴν μεγαλειότητα αὐτοῦ· καὶ γὰρ οἱ βάλλοντες τὰ δῶρα αὐτῶν ἐν τῷ γαζοφυλακίῳ πλούσιοι ἦσαν· ἀλλ' ἐχάρη μᾶλλον κατὰ τῆς πενιχρᾶς

χήρας διὰ τὰ δύο αὐτῆς λεπτὰ ὁ πάντων Κύριος· εἰς γὰρ τὴν προαίρεσιν ἡμῶν προσέχει ὁ Θεός, καὶ κατ' αὐτὴν δέχεται καὶ τὰ παρ' ἡμῶν γινόμενα· οὐαὶ οὖν τῇ ψυχῇ τῇ μὴ βουλομένῃ φυγεῖν ἀπὸ πάσης ἁμαρτίας, ὅτι πολλὰς ἔχει θλίψεις ἐκ τῶν φθονούντων καὶ συναντώντων αὐτήν.

2. Ὅτε γὰρ ἦν ὁ λαὸς ἐν Αἰγύπτῳ, ἤσθιον καὶ ἔπινον ἐν εὐθηνίᾳ, πλὴν δουλεύοντες τῷ Φαραῷ· καὶ ὅτε ἀπέστειλεν αὐτοῖς ὁ Κύριος βοήθειαν, τουτέστι τὸν Μωϋσῆν ὅπως λυτρώσηται αὐτοὺς ἐκ τοῦ Φαραώ, τότε κατεπονήθησαν καὶ ἐθλίβησαν, καὶ ἐν πάσαις ταῖς πληγαῖς αἷς ἐπήγαγε Κύριος τῷ Φαραῷ, οὐκ ἐθάῤῥησε Μωϋσῆς ἐπὶ τῇ ἀπωλείᾳ αὐτῶν, ἕως οὗ γέγονε καιρός, καὶ εἶπεν ὁ Θεὸς πρὸς αὐτόν· ἔτι μίαν πληγὴν ἐπάξω τῷ Φαραῷ, καὶ ἐρεῖς αὐτῷ, ἀπόλυσον τὸν λαόν μου ἐπεὶ πατάξω τὸν πρωτότοκόν σου· τότε λοιπὸν ἐθάῤῥησε Μωϋσῆς, καὶ εἶπεν αὐτῷ ὁ Θεός· λάλησον λάθρα εἰς τὰ ὦτα τοῦ λαοῦ μου, καὶ αἰτήσει ἕκαστος ἄνθρωπος τὸν πλησίον, καὶ γυνὴ τὴν γείτονα σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἱματισμόν, καὶ ἐπίθετε τοῖς τραχήλοις τῶν τέκνων ἡμῶν, καὶ σκυλεύσατε τοὺς Αἰγυπτίους· καὶ ἐξ αὐτῶν τινὰ ἠνάλωσαν, ἕως ἐποίησαν τὴν σκηνήν.

3. Λέγουσι δὲ οἱ γέροντες τὰ σκεύη, καὶ τὸν ἱματισμόν, τὰς αἰσθήσεις εἶναι, αἳ δουλεύουσι τῇ ἔχθρᾳ· ἐὰν οὖν μὴ ἀποστήσῃ ταύτας τελείως ὁ ἄνθρωπος ἀπὸ τῆς ἔχθρας ἵνα καρποφορήσωσι τῷ Θεῷ, ἡ σκέπη τῆς ἀναπαύσεως τοῦ Θεοῦ οὐκ ἔρχεται ἐπ' αὐτόν· καὶ ἡ νεφέλη δὲ ἐν τῇ σκηνῇ οὐκ ἐπεσκίασεν ἔτι ἐλαττουμένη, ἀλλὰ τελειωθείσῃ ἐπεσκίασεν· ὁμοίως καὶ ἐπὶ τοῦ Ναοῦ οἰκοδομημένου, ἐν ὅσῳ τι ἔλειπεν οὐκ ἐπεσκίασεν ἡ νεφέλη, ὅτε δὲ ἐτελειώθη καὶ εἰσηνέχθη τὰ αἵματα καὶ τὰ στέατα τῶν ὁλοκαυτωμάτων, καὶ ὠσφράνθη τῆς εὐωδίας ὁ Θεός, τότε ἐπεσκίασε τὸν οἶκον ἡ νεφέλη· δηλοῦντος τοῦ λόγου, ὅτι ἐὰν μὴ ἀγαπήσῃ ἄνθρωπος τὸν Θεὸν ἐξ ὅλης τῆς ἰσχύος αὐτοῦ, καὶ ἐξ ὅλης τῆς διανοίας καὶ προσκολληθῇ αὐτῷ ἐξ ὅλης τῆς καρδίας, ἡ σκέπη τῆς ἀναπαύσεως τοῦ Θεοῦ οὐκ ἔρχεται ἐπ' αὐτόν.

4. Ὥς περ γὰρ πλοῖον παρά τι ὂν τῆς χρείας αὐτοῦ οὐ δύναται πλεῦσαι, οὕτως ἀδύνατον τὴν ψυχὴν περάσαι τὰ κύματα τῶν παθῶν, ἔχουσαν παρά τι τῶν ἀρετῶν· καὶ ὥς περ στρατιώτης ἐξερχόμενος πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ βασιλέως, οὐ δύναται ἀντιστῆναι αὐτοῖς, ἔχων παρά τι τῆς πανοπλίας, οὕτως ἀδύνατον Μοναχὸν ἀντιστῆναι τοῖς πάθεσιν ἔχοντα παρά τι τῶν ἀρετῶν· καὶ ὥς περ πόλις τετειχισμένη ἔχουσα μικρόν τι τοῦ τείχους κατεστραμμένον, εὐάλωτός ἐστι τοῖς ἐχθροῖς κἂν οἱ φύλακες παρὰ τὰς θύρας εἰσίν, ἀλλ' οὐ δύνανται κωλύσαι τοὺς πολεμίους τοῦ μὴ εἰσελθεῖν εἰς τὴν πόλιν, εἰ μὴ οἰκοδομηθῇ τὸ κατεστραμμένον, οὕτως ἀδύνατον τῷ ἀσκητῇ Μοναχῷ ἀντιστῆναι τοῖς ἐχθροῖς κατακυριευομένῳ ὑπὸ πάθους.

5. Οὐκ ἐγὼ ταῦτα λέγω, ἀλλ' ἡ θεία Γραφή· γέγραπται γὰρ ἐν τῇ Γενέσει· εἶπεν ὁ Θεὸς τῷ Νῶε· σὲ μόνον εἶδον δίκαιον ἐν τῇ γενεᾷ ταύτῃ καὶ τέλειον· πάλιν εἶπε τῷ Ἀβραάμ· γενοῦ ἄμεμπτος ἐναντίον μου, καὶ διαθήσομαί σοι διαθήκην αἰώνιον· τὸ αὐτὸ δὲ καὶ περὶ τοῦ Ἰὼβ ἐμαρτύρησε· καὶ Ἰσαὰκ δὲ εὐλογῶν Ἰακὼβ τὸν υἱὸν αὐτοῦ, εἶπεν αὐτῷ· ὁ Θεός μου ἐνισχύσαι σε, ἕως οὗ δυνηθῇς ἅπαν τὸ θέλημα αὐτοῦ ποιῆσαι.

6. Ὁ δὲ Ἐκκλησιαστὴς διδάσκων ἡμᾶς ὅτι ἐλάχιστον πάθος ἀφανίζει πᾶσαν τὴν δύναμιν τῶν ἀρετῶν, λέγει· μυῖαι θανοῦσαι, σαπριοῦσι σκευασίαν ἐλαίου· γέγραπται δὲ καὶ ἐν τῷ Ἰεζεκιήλ· ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ ὁ δίκαιος ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ, οὐ μὴ μνησθῶ· καὶ ὁ Ἀπόστολος λέγει· μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· ὁ δὲ Ἰάκωβός φησιν, ὅτι ἐὰν φυλάξῃ τις ὅλον τὸν νόμον, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος.

7. Εἰ δὲ καὶ ἐξ ἱστοριῶν θέλομεν τοῦτο μαθεῖν, ἐνθυμηθῶμεν τοῦ Ἄχαρ, ὃς διὰ τοῦ κλέψαι ἐκ τοῦ ἀναθέματος τῆς Ἱεριχώ, τῆς τοῦ Θεοῦ βοηθείας ἐγύμνωσε πάντα τὸν λαόν, καὶ οὐκ ἠδύνατο ἔτι ὁ Ἰσραὴλ ἀντιστῆναι τοῖς ἐχθροῖς αὐτοῦ, οὐδὲ ἐξελθεῖν εἰς παράταξιν, ἕως οὗ περιάρῃ τὸν Ἄχαρ. Βλέπομεν δὲ καὶ τὸν

Σαοὺλ ἐκπεσόντα τῆς βασιλείας διὰ τὸ λαβεῖν ἀνάθεμα ἐκ τοῦ Ἀμαλήκ· καὶ διὰ τὸ ἀγνόημα δὲ τοῦ Ἰωνάθαν, ὃ ἀγνοῶν ἐποίησε παραβὰς τὸν ὅρκον τοῦ πατρὸς αὐτοῦ, οὐκ εἰσήκουσεν ὁ Θεὸς τοῦ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

8. Καὶ Ἀνανίας δὲ καὶ Σαπφείρα ἡ γυνὴ αὐτοῦ λαβόντες ἓν ἐκ τῆς τιμῆς τοῦ χωρίου καὶ ψευσάμενοι ἔπεσον παρὰ χρῆμα παρὰ τοὺς πόδας τῶν Ἀποστόλων καὶ ἐξέψυξαν· καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα δύναταί τις παραστῆσαι περὶ τούτου, ἔκ τε τῆς Παλαιᾶς καὶ τῆς Νέας Γραφῆς· ἀλλὰ τῷ εὐγνώμονι ἀρκοῦσι ταῦτα. Τοῦτο δὲ γνωστὸν ἔστω, ὅτι ἀδύνατον τῷ ἀνθρώπῳ ποιοῦντι κακά, ποιῆσαι καλά· δυνατὸν δὲ τῷ ἀνθρώπῳ πονηρὰ ἐξ ἀφορμῆς τοῦ ἀγαθοῦ ποιῆσαι, ἁμαρτάνων οὐ μετανοεῖ· εἰ ἀληθῶς μετενόει, οὐχ ἡμάρτανεν· ὁ γὰρ μετανοήσας, οὐκ ἔχει ὥρας Θεοῦ, ἐν αἷς ὀφείλει εὐπραγεῖν, καὶ ὥρας τοῦ διαβόλου, ἐν αἷς δεῖ ἀσωτεύεσθαι, οὐδὲ καιρὸν εὐσεβείας ἔχει, καὶ πάλιν καιρὸν παρανομίας· οὐ ποτὲ δοῦλος Θεοῦ, καὶ ποτὲ δοῦλος διαβόλου, ἀλλ' ἀεὶ ὁ αὐτός ἐστιν.

9. Ὁ γὰρ ποιῶν τὴν ἁμαρτίαν, φησὶν ὁ Κύριος, δοῦλος τῆς ἁμαρτίας ἐστίν. Ὁ δὲ δοῦλος τῆς ἁμαρτίας, Θεῷ δουλεύειν οὐ δύναται· ὡς αὐτὸς πάλιν ὁ ἀψευδὴς Κύριος ἐν Εὐαγγελίοις λέγει· οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ, φησὶν ὁ Ἀπόστολος; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; τίς δὲ συγκατάθεσις Ναῷ Θεοῦ, μετὰ εἰδώλων; καθαρίσωμεν ἑαυτούς, φησιν, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ τότε ἐπιτελοῦμεν ἁγιωσύνην ἐν ἀγάπῃ Χριστοῦ, ἤτοι πᾶσαν ἀγαθοεργίαν· ὁ γὰρ τὰ πλεῖστα τῶν ἁμαρτημάτων διαφυγών, ὑφ' ἑνὸς δὲ καὶ τοῦ τυχόντος κυριευόμενος, οὐκ ἐλεύθερος· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται καὶ ὁ ὑπὸ τῶν μικρῶν εὐχερῶς νικώμενος, πλέον μᾶλλον τοῖς μεγάλοις δεδούλωται· ἀδύνατον γὰρ κρατῆσαι τῶν μεγάλων παθῶν, ἐὰν μὴ πρῶτον νικήσῃ τὰ εὐτελέστερα.

Ἑρμηνεία

ἈΔΕΛΦΟΙ, ἔχομεν ὑποχρέωσιν νὰ ἐκτελοῦμεν ὅλας τὰς ἀρετάς, ἀναλόγως τῆς δυνάμεως ἡμῶν· ὁ μικρὸς ὅσον τοῦ ἐπιτρέπει ἡ μικρότης του καὶ ὁ μέγας χωρὶς ὑπολογισμόν, κατὰ τὸ μέτρον τῆς μεγαλειότητός του.

Κατὰ τὴν ἐποχὴν τοῦ Κυρίου, ὅσοι ἔρριπτον τὴν ἐλεημοσύνην των εἰς τὸ γαζοφυλάκιον ἦσαν κατὰ τὸ πλεῖστον πλούσιοι· ὁ Κύριος ὅμως περισσότερον ἐχάρη ἀπὸ τὴν ἐλεημοσύνην τῶν δύο λεπτῶν τῆς πτωχῆς ἐκείνης χήρας. Καὶ τοῦτο διότι ὁ Θεὸς ἐξετάζει μετὰ προσοχῆς τὴν προαίρεσιν ἡμῶν, ἀναλόγως δὲ αὐτῆς χαρακτηρίζει ὡς κακὰ ἢ ἀγαθὰ καὶ ἐκεῖνα τὰ ὁποῖα πράττομεν.

Ἀλλοίμονον εἰς τὴν ψυχήν, ποὺ δὲν θέλει νὰ ἐγκαταλείψῃ ὅλας τὰς ἁμαρτίας, διότι πολλὰς θλίψεις θὰ δοκιμάσῃ ἀπὸ τοὺς φθονοῦντας αὐτήν, τὴν ὥραν ποὺ θὰ τοὺς ἀντιμετωπίσῃ κατὰ τὴν πνευματικὴν μάχην.

2. Ὅταν ὁ λαὸς τοῦ Θεοῦ, ὁ Ἰσραήλ, εὑρίσκετο εἰς Αἴγυπτον, ἔτρωγον καὶ ἔπινον μὲ ἀφθονίαν, ἦσαν ὅμως δοῦλοι εἰς τὸν Φαραώ. Ὅταν ὁ Κύριος ἀπέστειλε πρὸς αὐτοὺς βοήθειαν, δηλαδὴ τὸν Μωϋσῆ διὰ νὰ τοὺς λυτρώσῃ, τότε ἤρχισε νὰ τοὺς τυραννῇ ὁ Φαραὼ καὶ νὰ στενοχωροῦνται οἱ Ἑβραῖοι. Ὁ Μωϋσῆς παρ' ὅλας τὰς πληγάς, μὲ τὰς ὁποίας ὁ Θεὸς ἐτιμώρει τοὺς Αἰγυπτίους καὶ τὸν Φαραώ, δὲν ἐξεθαρρεύθη δι' αὐτήν των τὴν ζημίαν, μέχρις ὅτου ἦλθεν ὁ κατάλληλος

καιρὸς καὶ εἶπε πρὸς αὐτὸν ὁ Θεός· Ἀκόμη μίαν τιμωρίαν (πληγὴν) θὰ καταφέρω ἐναντίον τοῦ Φαραώ. («Ἔτι μίαν πληγὴν ἐγὼ ἐπάξω ἐπὶ Φαραώ», Ἔξοδος ια΄, 1) καὶ τότε θὰ εἴπῃς εἰς τὸν Φαραώ· Ἄφησε ἐλεύθερον τὸν λαόν μου, διότι θὰ φονεύσω ὅλα τὰ πρωτότοκα τέκνα τοῦ λαοῦ σου· («καὶ τελευτήσει πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ» Ἔξοδος ια΄, 5). Μετὰ τὴν πληροφορίαν αὐτὴν ἔλαβε θάρρος ὁ Μωϋσῆς. Ἐν συνεχείᾳ ὁ Θεὸς τοῦ συνέστησε· «Λάλησον οὖν κρυφῇ εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ αἰτησάτω ἕκαστος παρὰ τοῦ πλησίον σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμὸν» (Ἔξοδος ια΄, 2) [=νὰ συμβουλεύσῃς, χωρὶς νὰ γίνῃς ἀντιληπτὸς ἀπὸ τοὺς Αἰγυπτίους, ὥστε ἕκαστος Ἰσραηλίτης καὶ Ἰσραηλίτισσα νὰ ζητήσῃ ἀπὸ τὸν γείτονά του οἰκιακὰ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἐνδύματα καὶ νὰ τὰ φορτώσουν εἰς τὸν τράχηλον τῶν τέκνων των, ὥστε νὰ μὴ γίνουν ἀντιληπτοί. Ὅσον δύνασθε δὲ ἀπογυμνώσατε τοὺς Αἰγυπτίους]. Ἀπὸ αὐτὰ δὲ τὰ σκεύη, ὡς γνωστόν, ἐδαπάνησαν κατὰ τὴν κατασκευὴν τῆς σκηνῆς τοῦ Μαρτυρίου.

3. Οἱ Γέροντες Ἀσκηταὶ ἑρμηνεύουν τὴν περικοπὴν αὐτὴν ὡς ἑξῆς· τὰ σκεύη καὶ ὁ ἱματισμὸς συμβολίζουν τὰς αἰσθήσεις, αἱ ὁποῖαι εὑρίσκονται εἰς τὴν ὑπηρεσίαν τοῦ ἐχθροῦ τῆς ψυχῆς μας, τοῦ διαβόλου. Ἐὰν λοιπὸν ὁ ἄνθρωπος δὲν ἀπομακρύνῃ τὰς αἰσθήσεις τελείως ἀπὸ τὴν ὑπηρεσίαν τοῦ διαβόλου, ὥστε δι᾽ αὐτῶν νὰ ἐπιτύχῃ μίαν πνευματικὴν καρποφορίαν πρὸς δόξαν τοῦ Θεοῦ, ὁ Θεὸς δὲν ἀναπαύει διὰ τῆς παντοδυνάμου του Σκέπης τὸν ἄνθρωπον.

Ὅπως δὲ πληροφορούμεθα ἀπὸ τὴν Παλαιὰν Διαθήκην καὶ τὸ ὁρατὸν σημεῖον τῆς ἐπισκέψεως τοῦ Θεοῦ, ἡ Νεφέλη, δὲν ἐπεσκίασε τὴν Σκηνὴν τοῦ Μαρτυρίου, ἐφ᾽ ὅσον εἶχεν ἐλλείψεις, ἀλλὰ μόνον ὅταν ἐτελείωσεν (1). Ὡσαύτως, καὶ ὅταν ἐκτίζετο ὁ Ναὸς τοῦ Σολομῶντος, ἡ Νεφέλη ἐπεκάθισε ἐπὶ τοῦ Ναοῦ τότε μόνον, ὅταν ὅλα εἶχον τελειώσει καὶ προσέφερον εἰς τὸν Θεὸν θυσίαν ὁλοκαυτωμάτων, τὰ αἵματα καὶ τὰ στέατα (=λίπη) τῶν ζῴων καὶ ὠσφράνθη ὁ Θεὸς τὴν πνευματικὴν εὐωδίαν τῆς θυσίας (2).

Ἡ διήγησις αὕτη φανερώνει, ὅτι διὰ νὰ ἐπισκιάσῃ καὶ ἀναπαύσῃ ὁ Θεὸς τὸν ἄνθρωπον, πρέπει προηγουμένως ὁ ἄνθρωπος νὰ ἀγαπήσῃ τὸν Θεὸν ἐξ ὅλης τῆς ἰσχύος του καὶ ἐξ ὅλης τῆς διανοίας του καὶ νὰ προσκολληθῇ εἰς αὐτὸν μὲ ὅλην του τὴν καρδίαν.

4. Διότι ὅπως ἀκριβῶς τὸ πλοῖον δὲν δύναται νὰ ἀποπλεύσῃ ἐκ τοῦ λιμένος, ἐφ᾽ ὅσον ἔχει ἀνάγκην καὶ τοῦ παραμικροτέρου ἐφοδίου, τοιουτοτρόπως καὶ ἡ ψυχὴ δὲν δύναται νὰ διαπεράσῃ τὰ κύματα τῶν παθῶν, ἐὰν παρουσιάζῃ μίαν ἔλλειψιν εἰς τὰς ἀρετάς.

---

1) «Καὶ ἐκάλυψεν ἡ Νεφέλη τὴν Σκηνὴν τοῦ Μαρτυρίου καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνὴ» (Ἐξόδ. μ΄, 28).

2) «Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ Ἱερεῖς ἐκ τοῦ Ἁγίου καὶ ἡ νεφέλη ἔπλησε τὸν οἶκον· καὶ οὐκ ἠδύναντο οἱ Ἱερεῖς στήκειν λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησε δόξα Κυρίου τὸν οἶκον» (Γ΄ Βασ. η΄, 10—11).

Ὅπως δὲ καὶ ὁ στρατιώτης, ποὺ ἐξέρχεται εἰς πόλεμον ἐναντίον τῶν ἐχθρῶν τοῦ βασιλέως, δὲν δύναται νὰ ἀντιμετωπίσῃ αὐτοὺς νικηφόρως, ἐὰν ἔχῃ κατώτερον ὁπλισμόν, τοιουτοτρόπως καὶ ὁ Μοναχὸς δὲν δύναται νὰ ἀπονεκρώσῃ τὰ πάθη του, ἐφ' ὅσον ὑστερεῖ ἔστω καὶ εἰς μίαν ἀρετήν.

Τέλος, ὅπως ἀκριβῶς μία πόλις, ποὺ εἶναι περιτειχισμένη, ἐφ' ὅσον ἔχει ἕνα ἐλάχιστον ρῆγμα εἰς τὸ τεῖχος, εὐκόλως θὰ κυριευθῇ ἀπὸ τοὺς ἐχθρούς, ἔστω καὶ ἐὰν οἱ φρουροὶ ἀγρυπνοῦν εἰς τὴν θύραν, (χωρὶς νὰ δύνανται νὰ ἐμποδίσουν τὴν εἴσοδον εἰς τοὺς ἐχθρούς, ἐφ' ὅσον δὲν ἐπισκευασθῇ τὸ κατεστραμμένον σημεῖον), τοιουτοτρόπως καὶ ὁ Ἀσκητὴς Μοναχὸς δὲν ἔχει τὴν δύναμιν νὰ ἀντισταθῇ εἰς τὸν νοητὸν ἐχθρόν, ὅταν κυριεύεται ἀπὸ ἕνα πάθος.

5. Αὐτὰ δὲν τὰ λέγω ἀφ' ἑαυτοῦ μου, ἀλλὰ τὰ διδάσκει σαφῶς ἡ Ἁγία Γραφή. Εἰς τὴν Γένεσιν ἔχει γραφῆ· «Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε· εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν Κιβωτόν, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον μου ἐν τῇ γενεᾷ ταύτῃ» (ζ', 1). Εἰς ἄλλο πάλιν σημεῖον γράφει· «Ὤφθη Κύριος τῷ Ἄβραμ καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι ὁ Θεός σου· εὐαρέστει ἐνώπιον ἐμοῦ καὶ γίνου ἄμεμπτος, καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ» (ιζ', 1—3). Τὰ αὐτὰ περίπου πληροφορεῖ ἡ Ἁγία Γραφὴ καὶ περὶ τοῦ Ἰώβ. Καὶ ὁ Ἰσαάκ, ὅταν ηὐλόγει τὸν Ἰακώβ, τὸν υἱὸν αὐτοῦ, εἶπεν· Ὁ Θεός μας εἴθε νὰ σὲ ἐνισχύσῃ, ὥστε νὰ ἐκτελέσῃς ὅλον τὸ θέλημα αὐτοῦ «Ὁ δὲ Θεός μου εὐλογήσαι σε καὶ αὐξήσαι σε καὶ πληθύναι σε, καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν». (Γεν. κη', 3).

6. Ὁ Ἐκκλησιαστὴς διδάσκων ἡμᾶς, ὅτι ἕνα παραμικρὸν πάθος ἔχει τὴν δύναμιν νὰ ἀχρηστεύσῃ τὴν ἀξίαν τῶν ἀρετῶν, λέγει τὰ ἑξῆς· «Μυῖαι θανατοῦσαι σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύσματος» (Ἐκκλ. ι', 1). Εἰς τὸ βιβλίον, ἐπίσης, τοῦ Προφήτου Ἰεζεκιὴλ ἀναφέρεται τὸ ἑξῆς· «Ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ δίκαιος ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ, οὐ μὴ μνησθῶ» (1). Ἀλλὰ καὶ ὁ Ἀπόστολος (Παῦλος) λέγει· «Οὐκ οἴδατε, ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ;» (Α' Κορινθ. ε', 6). Σχετικῶς μὲ τὰ ἀνωτέρω καὶ ὁ Ἀπόστολος Ἰάκωβος λέγει· «Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος» (Ἰακ. β', 10).

7. Ἐὰν δὲ δὲν εἶναι ἀρκεταὶ αἱ πληροφορίαι αὐταὶ τῆς Ἁγίας Γραφῆς νὰ μᾶς πείσουν, ὑπάρχουν καὶ ἱστορικὰ γεγονότα, τὰ ὁποῖα ἐπικυροῦν τὰς ἀληθείας αὐτάς. Ἐπὶ παραδείγματι· ἂς φέρωμεν εἰς τὴν μνήμην μας τὸν Ἄχαρ, ὁ ὁποῖος ἔγινεν αἰτία νὰ στερηθῇ ὅλος ὁ λαὸς τὴν βοήθειαν τοῦ Θεοῦ, ἐπειδὴ ἔκλεψεν ἀπὸ τὰ ἀφιερώματα τῆς Ἱεριχώ· ἀποτέλεσμα τῆς ἁμαρτίας τοῦ Ἄχαρ ὑπῆρξεν ἡ ἀδυναμία

---

1) «Ἐν δὲ τῷ ἀποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ καὶ ποιῆσαι ἀδικίαν κατὰ πάσας τὰς ἀνομίας, ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ, ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν» (Ἰεζεκιὴλ ιη', 24.

τῶν Ἰσραηλιτῶν νὰ παραταχθοῦν εἰς μάχην καὶ νὰ ἀντιμετωπίσουν τοὺς ἐχθρούς, μέχρις ὅτου ἀπεμάκρυναν τὸν Ἄχαρ. «Καὶ ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραὴλ πλημμέλειαν μεγάλην καὶ ἐνοσφίσαντο ἀπὸ τοῦ ἀναθέματος· καὶ ἔλαβεν Ἄχαρ υἱὸς Χαρμὶ υἱοῦ Ζαμβρὶ υἱοῦ Ζαρὰ ἐκ τῆς φυλῆς Ἰούδα ἀπὸ τοῦ ἀναθέματος· καὶ ἐθυμώθη Κύριος ὀργῇ τοῖς υἱοῖς Ἰσραήλ» καὶ τὰ λοιπά, ὅσα ἀναγράφονται εἰς τὸ ζ' κεφάλαιον τοῦ Ἰησοῦ τοῦ Ναυῆ. Ὁ Σαοὺλ ἐξέπεσε τῆς βασιλείας, διότι ἀφῄρεσε μέρος ἀπὸ τὰ λάφυρα τοῦ νικηθέντος Ἀμαλήκ, τὰ ὁποῖα, κατὰ τὸν νόμον τῶν Ἑβραίων, ἦσαν ἀφιερωμένα ἀναθήματα εἰς τὸν Θεὸν (Α' Βασιλειῶν κεφάλαιον ιε'). Ἐπίσης εἶναι γνωστὴ ἡ ἱστορία τοῦ Ἰωνάθαν, ὁ ὁποῖος, χωρὶς νὰ ἔχῃ ὑπ' ὄψιν του τὸν ὅρκον τοῦ πατρός του Σαοὺλ νὰ νηστεύσωσιν ὁλόκληρον τὴν ἡμέραν ἐκείνην, ἔφαγε καὶ ἐγένετο πρόξενος, μὲ τὴν ἀκουσίαν αὐτὴν ἁμαρτίαν του, νὰ μὴ εἰσακούσῃ ὁ Θεὸς τοὺς Ἰσραηλίτας τὴν ἡμέραν ἐκείνην καὶ νὰ νικηθῶσιν (Α' Βασιλειῶν ιδ', 24—35, 43—44).

8. Ἐκ τῶν Πράξεων ἐπίσης τῶν Ἁγίων Ἀποστόλων πληροφορούμεθα, ὅτι διὰ νὰ εἴπουν ψεύδη ὁ Ἀνανίας καὶ ἡ σύζυγός του Σαπφείρα καὶ νὰ παρακρατήσουν ἕνα μέρος ἀπὸ τὴν τιμὴν τοῦ πωληθέντος κτήματος, ἀμέσως ἐξεψύχησαν καὶ ἔπεσαν νεκροὶ πρὸ τῶν ποδῶν τῶν Ἀποστόλων. (Πράξ. Ἀποστ. ε', 1—11). Πολλὰ δὲ ἄλλα παραδείγματα δύναται κανεὶς νὰ παρουσιάσῃ καὶ ἀπὸ τὴν Παλαιὰν καὶ ἀπὸ τὴν Καινὴν Διαθήκην, διὰ νὰ ἀποδείξῃ, ὅτι δὲν ἠμπορεῖ νὰ εἶναι ὁ ἄνθρωπος τέλειος, ἐφ' ὅσον παρουσιάζει ὡρισμένας ἀδυναμίας ἢ περιπίπτει εἰς πάθη, ἔστω καὶ παραμικρά. Εἶναι ὅμως ἀρκετὰ τὰ προαναφερθέντα παραδείγματα, διὰ νὰ διδάξουν καὶ πείσουν τὸν καλοπροαίρετον ἄνθρωπον.

Αὐτὸ δὲ ἂς εἶναι γνωστὸν εἰς ὅλους· ὅτι δηλαδὴ εἶναι ἀδύνατον ὁ ἄνθρωπος, ποὺ ἐκτελεῖ ἐνίοτε κακὰς πράξεις, νὰ ἐκτελέσῃ καὶ καλάς. Ἐνῷ, ἀπ' ἐναντίας, εἶναι δυνατὸν ὁ ἄνθρωπος νὰ διαπράξῃ τὸ κακόν, καίτοι ἐπιδιώκει τὸ ἀγαθόν. Αὐτὸ συμβαίνει ὁσάκις ἁμαρτάνει καὶ δὲν μετανοεῖ. Ἐὰν ἀπὸ καρδίας μετενόει, δὲν θὰ ἡμάρτανεν. Ἐκεῖνος, ὁ ὁποῖος εἰλικρινῶς ἔχει μετανοήσει, δὲν διαμοιράζει τὸν ἡμερήσιον χρόνον του εἰς ὥρας τοῦ Θεοῦ, κατὰ τὰς ὁποίας ὀφείλει νὰ ἐκτελῇ τὸ ἀγαθόν, καὶ εἰς ὥρας τοῦ διαβόλου, κατὰ τὰς ὁποίας ἔχει τὸ δικαίωμα νὰ διάγῃ ἀσώτως· οὔτε ἐπίσης διακρίνει τὸν χρόνον του εἰς καιρὸν εὐσεβείας καὶ εἰς καιρὸν παρανομίας, διότι δὲν εἶναι δυνατὸν ἄλλοτε μὲν νὰ εἶναι δοῦλος τοῦ Θεοῦ καὶ ἄλλοτε δοῦλος τοῦ διαβόλου, ἀλλὰ πάντοτε θὰ εἶναι αὐτὸς ποὺ εἶναι.

9. Ὁ Κύριος εἰς τὸ Ἱερὸν Εὐαγγέλιον λέγει· «Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας» (Ἰωάννου η', 34)· ἐκεῖνος δὲ ποὺ εἶναι δοῦλος τῆς ἁμαρτίας, δὲν εἶναι ποτὲ δυνατὸν νὰ ὑπηρετῇ τὸν Θεόν. Αὐτὸ ὑπονοεῖ ὁ Κύριός μας, ὅταν λέγῃ, ἐπίσης, εἰς τὸ Ἱερὸν Εὐαγγέλιον· «Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν» (Ματθαίου ς',

24). Ἐπίσης καὶ ὁ Ἀπόστολος (Παῦλος) λέγει· «Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις Ναῷ Θεοῦ μετὰ εἰδώλων;» (Β' Κορινθ. ς', 14-16). Δι' αὐτὸ ἀκριβῶς καὶ συνιστᾷ ὁ αὐτὸς Ἀπόστολος· «Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος» (Β' Κορινθ. ζ', 1) καὶ τότε ἀσφαλῶς θὰ τελειοποιούμεθα εἰς τὸ ἔργον τῆς ἁγιωσύνης μὲ τὴν ἀγάπην τοῦ Χριστοῦ, δηλαδὴ θὰ εὐδοκιμῶμεν εἰς τὰ ἀγαθὰ ἔργα.

Ἐκεῖνος, ὁ ὁποῖος διέφυγε τὰ περισσότερα τῶν ἁμαρτημάτων, ἀλλὰ κυριεύεται ἀπὸ ἕνα τυχαῖον, δὲν εἶναι ἐλεύθερος, ὅπως λέγει καὶ ὁ Ἀπόστολος Πέτρος· «Ὧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται» (Β' Πέτρου β', 19). Ἐκεῖνος δὲ πάλιν, ὁ ὁποῖος εὐκόλως κατανικᾶται ἀπὸ τὰ μικρά, πολὺ περισσότερον θὰ ὑποδουλωθῇ εἰς τὰ μεγάλα, διότι εἶναι ἀδύνατον νὰ καταβάλλῃ κανεὶς τὰ μεγάλα πάθη, ἐφ' ὅσον προηγουμένως δὲν κατώρθωσε νὰ κατανικήσῃ τὰ παραμικρότερα.

Δ'. Τοῦ Ἀββᾶ Μάρκου

Ο ΛΟΓΟΣ τοῦ Θεοῦ, τὴν αὐτὴν τῆς βασιλείας ἐπέχει δύναμιν, καὶ τοὺς ἀκούοντας ὀφειλέτας ἔργου δείκνυσι, συνεισφέρων ἐν τῇ καρδίᾳ τῶν λεγομένων τὴν δύναμιν· εἰ μὴ γὰρ τοῦτο δοθείη, πῶς ὁμοία ἐστὶν ἡ Βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον, ἢ καθότι ἡ τὸν τοῦ Κυρίου ὑποδεξαμένη λόγον διάνοια, ἔκρυψεν εἰς τὴν τριμερῆ ὑπόστασιν, σώματος, λέγω, καὶ πνεύματος καὶ ψυχῆς κατὰ τὸν Ἀπόστολον· καὶ πᾶσαν αὐτῶν τὴν ἐν τοῖς λογισμοῖς λεπτότητα, ἀλεύρου δίκην πολυμερῶς διακεχυμένην, εἰς μίαν τῆς πίστεως ζύμην συνήγαγεν, ἐξομοιωθῆναι τῷ ἐνεργοῦντι λόγῳ καθόλου περιμένουσα.

2. Τοῦτο δὲ ἀληθὲς ἂν εἴη, ὁπότε καθαροὺς καὶ τοὺς Ἀποστόλους εἶναι ἔφη, διὰ τὸν λόγον, ὃν ἤκουσαν, τῇ συνεισφερομένῃ τῷ λόγῳ δυνάμει, πρὸς ἐργασίαν ἀποχρησαμένους· ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς ὑπάρχει· διὸ τοὺς μὴ χρησαμένους τῇ τοιαύτῃ συνεισφορᾷ, ὡς ἀπίστους κατέκρινεν εἰπών· εἰ μὴ ἦλθον καὶ εἶπον αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.

3. Πάντες οὖν οἱ βαπτισθέντες ὀφειλέται ἐσμὲν τελείως τῷ Χριστῷ πιστεῦσαι, καὶ πάσας τὰς ἐντολὰς αὐτοῦ ἐργάσασθαι, εἰληφότες τῆς τοιαύτης ἐργασίας παρ' αὐτοῦ τὴν δύναμιν· τοῦτο δὲ οὐχ ὡς μίαν κατὰ μίαν ἐντολὴν ὀφείλοντες καὶ μονομερῶς ἑκάστην ἐργάζεσθαι, ἀλλὰ διὰ τῶν περιεκτικῶν συλλαβεῖν τὰς ἑνικάς, καὶ οὕτω πάσας τελεσιουργῆσαι συντόμως· καὶ τὰς μερικὰς δὲ κατὰ σύμβασιν ὑπαντώσας μὴ παραπεμψώμεθα.

4. Ἑνικὰ μὲν οὖν εἰσι τὰ προστάγματα ταῦτα, οἷον· παντὶ τῷ αἰτοῦντί σε δίδου καὶ τὸν αἴροντα τὰ σὰ μὴ κωλύσῃς, καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς· περιεκτικὸν δέ, τὸ ἐπὶ τούτοις, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς καὶ ἆρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι· σταυρὸν λέγων τὴν τῶν ἐπερχομένων θλίψεων ὑπομονήν.

5. Ὁ οὖν πάντα διαδοὺς πτωχοῖς, καὶ ἄρας τὸν σταυρὸν αὐτοῦ, πάσας τὰς προειρημένας ἐντολὰς ἐφ' ἅπαξ ἐποίησε· καὶ πάλιν φησίν· οὐ πορνεύσῃς, οὐ μοιχεύσῃς, καὶ ὅσα τοιαῦτα· καὶ ἐπὶ τούτοις, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψω-

μα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· ὁ δὲ καθαιρῶν λογισμούς, πάσας τὰς προειρημένας αἰτίας ἀπέκλεισεν.

6. Εἰ οὖν συνετάφημεν τῷ Χριστῷ διὰ τοῦ Βαπτίσματος, ὁ δὲ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, καὶ ἁμαρτία ἡμῶν οὐκέτι κυριεύει, ὀφείλομεν πάσας τὰς ἐντολὰς ποιεῖν, ἵνα εὕρωμεν τὴν δεδομένην ἡμῖν διὰ τοῦ Βαπτίσματος τελειότητα· εἰ δὲ οὐ ποιοῦμεν, ἄπιστοί ἐσμεν· πίστις γάρ ἐστιν οὐ μόνον τὸ εἰς Χριστὸν βαπτισθῆναι ἀλλὰ καὶ τὸ ποιεῖν τὰς ἐντολὰς Αὐτοῦ. Εἰ οὖν ἡμεῖς τῶν ἐντολῶν ἀμελοῦντες ἐγκείμεθα ταῖς ἡδοναῖς προαιρέσει, δικαίως ὑπὸ τῆς ἁμαρτίας κρατούμεθα, ὥς περ κύων ἐπὶ τὸν ἴδιον ἔμετον ἐπιστρέφοντες, κατὰ τὴν Γραφήν.

7. Καὶ γὰρ ἐν μὲν τῷ Βαπτίσματι ἐλευθεροῦται ὁ ἄνθρωπος, κατὰ τὴν δωρεὰν τοῦ Χριστοῦ, ὥστε μὴ βίᾳ εἰσφέρεσθαι, ἀλλὰ δύνασθαι τὰ τῆς ἐλευθερίας ἔργα ποιεῖν, εἰ βούλεται· κατὰ δὲ τὸ ἴδιον θέλημα, ὅπου ἀγαπᾷ, ἐκεῖ ἐμμένει, κἂν βεβάπτισται, διὰ τὸ ἀβίαστον εἶναι τὸ αὐτεξούσιον· τὸ γὰρ θέλημα, καὶ μετὰ τὸ Βάπτισμα, οὔτε ὁ Θεὸς οὔτε ὁ Σατανᾶς βιάζεται· ὅταν οὖν λέγει, ὅτι βιασταὶ ἁρπάζουσι τὴν Βασιλείαν τῶν οὐρανῶν, τοῦτο περὶ τοῦ ἰδίου θελήματος λέγει, ἵνα βιάσηται ἕκαστος ἡμῶν μετὰ τὸ Βάπτισμα μὴ τρέπεσθαι ἐπὶ τὸ κακόν, ἀλλ' ἐπὶ τὸ ἀγαθὸν ἐμμένειν· εἰ γὰρ βίαν ἐπάσχομεν ὑπὸ τῶν ἐξουσιῶν, πάντως ἠδύνατο ὁ ἐλευθερώσας ἡμᾶς Θεὸς καὶ ἀτρέπτους βίᾳ ποιῆσαι.

8. Νῦν δὲ οὐχ οὕτως, ἀλλ' Αὐτὸς μὲν διὰ τοῦ Βαπτίσματος τῆς κατὰ βίαν δουλείας ἐξήγαγε, καταργήσας τὴν ἁμαρτίαν διὰ τοῦ Σταυροῦ, καὶ ἐντολὰς ἐλευθερίας ἔθετο· ἁμαρτάνειν δέ, ἢ μή, ταῖς ἐντολαῖς τῷ ἰδίῳ θελήματι παρεχώρησεν· αἱ οὖν ἐντολαὶ καθὸ ἂν ἐπιτελοῦνται, κατ' αὐτὸ τὴν πρὸς τὸν ἐλευθερώσαντα ἀγάπην σημαίνουσι· καθὸ δὲ ἂν ἀμελῶνται ἢ ἐλλείπωσι, τὴν πρὸς τὰς ἡδονὰς ἡδυπάθειαν ἐπιδεικνύουσιν.

9. Οἱ οὖν λέγοντες ὅτι θέλομεν ποιῆσαι τὰς ἐντολὰς καὶ οὐ δυνάμεθα, ὑπὸ τῆς ἁμαρτίας καὶ μετὰ τὸ Βάπτισμα κατ' ἐξουσίαν κρατούμενοι, γνώτωσαν, ὅτι οὐχὶ διὰ τὸ μὴ εἶναι τέλειον τὸ Ἅγιον Βάπτισμα, καὶ μὴ χαρίζεσθαι τελείαν ἐλευθερίαν τῆς ἁμαρτίας καὶ δύναμιν τῆς ἐργασίας πασῶν τῶν ἐντολῶν, πάλιν ὑποχείριοι γίνονται· ὁ γὰρ νόμος φησὶ τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, καὶ τελείαν ἔδωκε λύσιν.

10. Ἡμέτερον δέ ἐστιν, ἢ δῆσαι πάλιν ἑαυτοὺς διὰ τῆς προσπαθείας, ἢ λελυμένους εἶναι διὰ τῆς ἐργασίας τῶν ἐντολῶν· εἰ οὖν καὶ μισουμένη ἡ ἁμαρτία, ἤγουν ὁ πονηρὸς λογισμός, κρατεῖ κατ' ἐξουσίαν τὸν νοῦν· συμβαίνει γάρ, καὶ οὐκ ἀντιλέγω· ὅμως τοῦτο οὐκ ἔστιν ἐγκατάλειμμα τῆς τοῦ Ἀδὰμ ἁμαρτίας, ἀλλὰ τῆς μετὰ τὸ Βάπτισμα ἀθετησίας· ὅταν γὰρ μετὰ τὸ Ἅγιον Βάπτισμα δυνάμενοι ποιεῖν πάσας τὰς ἐντολάς, καὶ οὐ ποιοῦμεν αὐτάς, τότε καὶ μὴ θέλοντες ὑπὸ τῆς ἁμαρτίας κρατούμεθα, ἕως ἂν διὰ μετανοίας τὸν Θεὸν παρακαλέσωμεν πρὸς πάσας τὰς ἐντολὰς αὐτοῦ κατορθούμενοι, καὶ ἐξαλείψει ἡμῶν τὴν τῆς ἀθετησίας ἁμαρτίαν.

11. Δύο οὖν εἰσιν αἰτίαι τῆς τοῦ κακοῦ ἐνεργείας καὶ αἱ δύο ἐξ ἡμῶν εἰσι· μία μὲν ἐνεργοῦσα κατὰ ἀναλογίαν τῆς τῶν ἐντολῶν ἐλλείψεως, ἑτέρα δὲ ἀπαραιτήτως κρατοῦσα, διὰ τὴν μετὰ τὸ Βάπτισμα κακοπραγίαν, ἣν ὁ Θεὸς μόνος ἀναιρεῖ δι' ἐλεημοσύνης καὶ προσευχῆς καὶ τῆς τῶν ἐπερχομένων ὑπομονῆς παρακαλούμενος, ἅπερ καὶ αὐτὰ παρέχει ἡμῖν λεληθότως ἡ διὰ τοῦ Βαπτίσματος ἡμῖν δεδομένη τελεία Χάρις· ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, καὶ οὐ παύεται ἕως ἐξολοθρεύσῃ Κύριος σπέρμα ἐκ Βαβυλῶνος.

12. Λόγισαί μοι, δώδεκά εἰσι πάθη τῆς ἀτιμίας· ἓν ἐξ αὐτῶν ἀγαπήσῃς θελήματι, ἐκεῖνο ἀναπληρώσει τὸν τόπον τῶν ἕνδεκα· μὴ ἀφῇς ἀνεξάλειπτον ἁμαρτίαν κἂν βραχυτάτη τυγχάνει, ἵνα μὴ ὕστερον ἐπὶ μεῖζον κακὸν παρασύρῃ σε.

13. Ἐμφερόμενος ἐν ἀρχῇ κακοῦ, μὴ λέγε οὐ μὴ νικήσῃ με· καθὸ γὰρ ἂν ἐμφέρῃ, κατὰ τοσοῦτον ἤδη νενίκησαι· ἕκαστον γὰρ τῶν γινομένων, ἀπὸ μικροῦ

ἄρχεται, καὶ κατὰ μέρος τρεφόμενον, λαμβάνει τὴν αὔξησιν· δίκτυόν ἐστι πολύπλοκον ἡ τῆς κακίας μέθοδος· ὁ μερικῶς ἐμπλακεὶς ἐὰν ἀμελήσῃ, περιεκτικῶς περισφίγγεται· οὐδὲ μία τῶν ἀρετῶν μόνη καθ' ἑαυτὴν ἀνοίγει τὴν φυσικὴν ἡμῖν θύραν, ἐὰν μὴ πᾶσαι ἀκολούθως ἀλλήλων ἐξήρτηνται· ὁ ὑπὸ τῶν μικρῶν εὐχερῶς νικώμενος, καὶ τοῖς μεγάλοις ἐξ ἀνάγκης δεδούλωται, ὁ δὲ τούτων καταφρονῶν, κἀκείνοις ἐν Κυρίῳ ἀντιστήσεται.

Ἑρμηνεία

Ο ΛΟΓΟΣ τοῦ Θεοῦ ἔχει τὴν ἰδίαν δύναμιν μὲ τὴν βασιλικὴν ἐξουσίαν καὶ καθιστᾷ αὐτούς, ποὺ τὸν ἀκούουν, ὑποχρέους νὰ τὸν ἐφαρμόσουν, ἐνισχύων συγχρόνως καὶ τὴν καρδίαν τοῦ ἀκούοντος, ὥστε εὐκόλως νὰ τὸν ἐκτελέσῃ. Διότι, ἐὰν δὲν παραδεχθῶμεν αὐτὸ τὸ πρᾶγμα, τότε πῶς θὰ ἐξηγήσωμεν τὴν παραβολικὴν φράσιν· «Ὁμοία ἐστὶ (δηλαδὴ ἡ Βασιλεία τῶν οὐρανῶν) ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον;» (Λουκ. ιγ', 21). Αὐτὸ ἀσφαλῶς σημαίνει, ὅτι ἡ διάνοια τοῦ ἀνθρώπου, ἡ ὁποία ἤκουσεν εὐπροσδέκτως τὸν λόγον τοῦ Θεοῦ, ἔκρυψεν αὐτὸν ὑπὸ τὴν τριμερῆ τοῦ ἀνθρώπου ὑπόστασιν (Α' Θεσ]κεῖς ε', 23). Ἡ διάνοια δὲ ἀμέσως συνεκέντρωσεν ἐπιμελῶς ὅλους τοὺς λεπτοτάτους λογισμοὺς αὐτῆς, οἱ ὁποῖοι, ὅπως ἡ κόνις τοῦ ἀλεύρου, εἶναι ἐσκορπισμένοι εἰς διάφορα μέρη, καὶ κατεσκεύασε τὴν ζύμην τῆς πίστεως, ἀναμένουσα νὰ ἐξομοιωθῇ ἡ ζύμη αὐτὴ τελείως μὲ τὸν λόγον τοῦ Θεοῦ, ὁ ὁποῖος ἐνεργεῖ εἰς τὴν καρδίαν μας ἀφομοιωτικῶς.

2. Αὐτὴ δὲ εἶναι ἡ ἀκριβὴς σημασία· δι' αὐτὸ καὶ ὁ Κύριος εἶπεν, ὅτι οἱ Ἀπόστολοι εἶναι καθαροί, «Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν λελάληκα ὑμῖν» (Ἰωάν. ιε', 3) ἐπειδὴ τὸν λόγον, τὸν ὁποῖον ἤκουσαν ἀπὸ Αὐτόν, συνεργούσης καὶ τῆς δυνάμεως τοῦ λόγου, ἐχρησιμοποίησαν ἐπωφελῶς δι' ἔργα ἀγαθά· διότι ὁ λόγος τοῦ Θεοῦ εἶναι πηγὴ ζωῆς καὶ παρέχει τὴν δύναμιν ἠθικῆς ἐνεργείας. «Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν» (Ἑβρ. δ', 2). Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Κύριος κατέκρινεν ἐκείνους, οἱ ὁποῖοι δὲν ἐχρησιμοποίησαν ἐπωφελῶς τὴν εὐεργετικὴν δύναμιν τοῦ λόγου, τοὺς ἐχαρακτήρισε δὲ ἀπίστους καὶ εἶπε περὶ αὐτῶν· «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν» (Ἰωάν. ιε', 22).

3. Ὅσοι λοιπὸν ἔχομεν βαπτισθῆ ἔχομεν ὑποχρέωσιν νὰ πιστεύσωμεν τελείως εἰς τὸν Χριστὸν καὶ νὰ ἐργασθῶμεν ὅλας τὰς ἐντολὰς Αὐτοῦ, διότι ἔχομεν λάβει ἀπὸ Αὐτὸν τὴν δύναμιν τῆς πνευματικῆς αὐτῆς ἐργασίας. Ἡ ὑποχρέωσις αὐτὴ δὲν σημαίνει, ὅτι ὀφείλομεν νὰ ἐργαζώμεθα μίαν - μίαν ἐντολὴν μονομερῶς καὶ ἀσχέτως πρὸς τὰς ὑπολοίπους· ἀπ' ἐναντίας ὑποχρεούμεθα νὰ ἀρχίσωμεν τὴν πνευματικὴν ἡμῶν προσπάθειαν ἀπὸ τὰς γενικὰς καὶ δι' αὐτῶν νὰ πραγματοποιήσωμεν καὶ τὰς εἰδικάς. Τοιουτοτρόπως δὲ ἐργαζόμενοι νὰ φέρωμεν ἐπιτυχῶς εἰς αἴσιον πέρας καὶ εἰς σύντομον χρονικὸν διάστημα ὅλας

τὰς ἐντολὰς τοῦ Κυρίου. Ἐπίσης δὲν πρέπει ἀκόμη νὰ περιφρονήσωμεν καὶ τὰς ἐντολὰς ἐκείνας, ποὺ ἀναφέρονται εἰς εἰδικὰς περιπτώσεις καὶ τὰς συναντῶμεν ἐντελῶς τυχαίως εἰς τὴν ζωήν μας.

4. Ἰδοὺ δὲ τί ἐννοοῦμεν εἰδικὰς καὶ γενικὰς ἐντολάς. Π.χ. «Παντὶ τῷ αἰτοῦντι σε δίδου» (Λουκᾶ ϛ', 30). «Ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει» (Λουκᾶ ϛ', 30). «Τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς» (Ματθαίου ε', 42)· αὐτὰ ὅλα εἶναι εἰδικαὶ ἐντολαί, δηλαδὴ ἀναφέρονται εἰς ἕνα ὡρισμένον ἄτομον. Ἐνῷ τὰ «Πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς» (Ματθαίου ιθ', 21), «Ἆρον τὸν σταυρόν σου καὶ ἀκολούθει μοι» (Ματθαίου ιθ', 21) εἶναι γενικαὶ ἐντολαί, διότι ἀφοροῦν ὅλους τοὺς ἀνθρώπους, διότι, μεταξὺ τῶν ἄλλων, ὅταν λέγῃ σταυρὸν ἐννοεῖ τὴν ὑπομονήν, τὴν ὁποίαν ὀφείλομεν νὰ ἐπιδείξωμεν, ὅταν παρουσιασθοῦν εἰς τὴν ζωήν μας αἱ θλίψεις.

5. Ἐκεῖνος λοιπὸν ὁ ὁποῖος σκορπίζει εἰς τοὺς πτωχοὺς ὅλα τὰ ἀγαθά του καὶ ἐξοπλίζεται μὲ τὴν ὑπομονήν, διὰ νὰ ἀντιμετωπίσῃ τὰς θλίψεις, ἐφήρμοσεν εἰς τὴν ζωήν του ὅλας γενικῶς τὰς προηγουμένας ἐντολάς, ποὺ ἐχαρακτηρίσαμεν ὡς εἰδικάς. Ἀλλοῦ πάλιν τὸ πνεῦμα τοῦ Θεοῦ λέγει: «Οὐ πορνεύσῃς», «Οὐ μοιχεύσῃς» (Ἔξοδος κ', 13) καὶ τὰ παρόμοια· ἐκτὸς ὅμως αὐτῶν, εἰς ἄλλην περίπτωσιν ἀναφέρει «Λογισμοὺς καθαιροῦντες», (Β'. Κορινθ. ι', 5) καὶ «Πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ» (Β' Κορινθ. ι', 5). Ἐκεῖνος λοιπόν, ποὺ ἀποδιώκει (καταστρέφει) τοὺς αἰσχροὺς λογισμούς, ἀπέκλεισεν ὅλας τὰς αἰτίας, ποὺ ὁδηγοῦν εἰς θανασίμους ἁμαρτίας.

6. Ἐφ' ὅσον λοιπὸν συνετάφημεν τῷ Χριστῷ, «Συνετάφημεν οὖν αὐτῷ» (Ρωμ. ϛ', 4), διὰ τοῦ Ἁγίου Βαπτίσματος, ἐκεῖνος δὲ ὅστις κατὰ τοιοῦτον μυστικὸν τρόπον ἀπέθανεν, ἔχει δικαιωθῆ ἀπὸ τὴν ἐνοχὴν τῆς ἁμαρτίας, «Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας» (Ρωμ. ϛ', 7), ὀφείλομεν πλέον νὰ ἐκτελῶμεν ὅλας τὰς ἐντολάς, διὰ νὰ ἀποκτήσωμεν τὴν τελειότητα, ἥτις μᾶς ἐδόθη δυνητικῶς διὰ τοῦ Ἁγίου Βαπτίσματος. Ἐὰν δὲ δὲν ἐκτελῶμεν τὰς ἐντολὰς αὐτὰς εἴμεθα ἄπιστοι· διότι πίστις εἶναι ὄχι μόνον τὸ νὰ βαπτισθῶμεν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, ἀλλὰ καὶ νὰ τηρῶμεν τὰς ἐντολὰς Αὐτοῦ. Ὅταν λοιπὸν ἡμεῖς ἀμελοῦμεν τὰς ἐντολὰς αὐτὰς καὶ ἡ προαίρεσις ἡμῶν εἶναι ἐστραμμένη εἰς τὰς ἡδονάς, τότε κατὰ φυσικὸν λόγον, θὰ εἴμεθα αἰχμάλωτοι τῆς ἁμαρτίας, ἐπιστρέφοντες, ὅπως ὁ κύων, εἰς τὸν ἐμετόν μας, «Κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα» (Β' Πέτρου β', 22), ὅπως λέγει καὶ ἡ Ἁγία Γραφή.

7. Ὡς γνωστὸν διὰ τοῦ Ἁγίου Βαπτίσματος ἀπελευθεροῦται ὁ ἄνθρωπος ἀπὸ τὴν αἰχμαλωσίαν τῆς ἁμαρτίας, χάρις εἰς τὴν δωρεὰν τοῦ Χριστοῦ, ὥστε νὰ μὴ παρασύρεται ὑπ' αὐτῆς βιαίως, ἀλλὰ νὰ ἔχῃ τὴν δυνατότητα, ἐφ' ὅσον τὸ ἐπιθυμεῖ, νὰ ἐκτελῇ τὰ ἔργα τῆς ἐλευθερίας, δηλαδὴ τὰς ἀρετάς. Ἐπειδὴ ὅμως τὸ αὐτεξούσιον τοῦ ἀνθρώπου δὲν παραβιάζεται, ἔστω καὶ ἐὰν ἔχῃ βαπτισθῆ ὁ ἄνθρωπος, δι' αὐτὸ ὅπου

ἀγαπᾷ, ἐκεῖ καὶ παραμένει, κατὰ τὸν λόγον τῆς προσωπικῆς του θελήσεως. Διότι τὴν προσωπικὴν θέλησιν τοῦ ἀνθρώπου, καὶ μετὰ τὸ βάπτισμα, οὔτε ὁ Θεὸς οὔτε ὁ Σατανᾶς τὴν παραβιάζουν. Ὅταν λοιπὸν λέγῃ ἡ Ἁγία Γραφή, ὅτι οἱ «βιασταὶ ἁρπάζουσι τὴν Βασιλείαν τῶν οὐρανῶν» (Ματθ. ια'. 12) ἐννοεῖ, ὅτι ἕκαστος ἀπὸ ἡμᾶς πρέπει νὰ ἐπιβληθῇ τόσον εἰς τὸν ἑαυτόν του, ὥστε ἡ προσωπική του θέλησις νὰ μὴ στραφῇ πρὸς τὸ κακόν, ἀλλὰ νὰ παραμείνῃ σταθερῶς εἰς τὸ ἀγαθόν, μετὰ τὸ Βάπτισμα. Διότι ἐὰν ὑφιστάμεθα ἐπὶ τῆς ψυχῆς ἡμῶν ἐξωτερικὴν πίεσιν ὑπὸ τῆς ἐξουσίας τοῦ Θεοῦ ἢ τοῦ Σατανᾶ, ὥστε τὸ ἐν ἡμῖν καλὸν ἢ κακὸν νὰ ἦτο ἀποτέλεσμα βίας ἐξωτερικῆς, τότε θὰ ἠδύνατο ὁ ἐλευθερωτὴς ἡμῶν Θεὸς νὰ μᾶς καταστήσῃ διὰ τῆς βίας ὅλως διόλου ἀμετακινήτους εἰς τὸ ἀγαθόν.

8. Τώρα ὅμως δὲν συμβαίνει τοιοῦτον πρᾶγμα, δηλαδὴ τὸ ἀγαθὸν ἢ τὸ κακὸν νὰ εἶναι ἀποτέλεσμα βιαίας ἐξωτερικῆς ἐπιβολῆς· ἀπ' ἐναντίας ὁ Θεὸς διὰ τοῦ Βαπτίσματος μᾶς ἀπήλλαξεν ἀπὸ πᾶσαν ἐξαναγκαστικὴν δουλείαν τοῦ διαβόλου, καταλύσας τὸ κράτος καὶ τὴν δύναμιν τῆς ἁμαρτίας μὲ τὴν σταυρικήν του θυσίαν, καὶ ἔθεσεν ἐνώπιον ἡμῶν ἐντολὰς διὰ νὰ παραμείνωμεν ἐλεύθεροι ἀπὸ τὸ κακὸν καὶ τὴν ἁμαρτίαν. Τὸ νὰ παραβῶμεν δὲ ἢ ὄχι τὰς ἐντολὰς αὐτὰς ἐξαρτᾶται, κατὰ τιμητικὴν πρὸς ἡμᾶς παραχώρησιν τοῦ Θεοῦ, ἀπὸ τὴν προσωπικήν μας θέλησιν. Ἀνάλογος λοιπὸν πρὸς τὴν προθυμίαν τῆς ἐκπληρώσεως τῶν ἐντολῶν αὐτῶν εἶναι καὶ ἡ ἀγάπη ἡμῶν πρὸς τὸν Κύριον, ποὺ μᾶς ἠλευθέρωσε. Κατὰ τὸ μέτρον δὲ τῆς ἀμελείας ἡμῶν πρὸς αὐτὰς ἢ καὶ τῆς παντελοῦς παραβάσεώς των, ἀποδεικνύομεν καὶ τὸ μέτρον τῆς καταστρεπτικῆς ἐπιδράσεως τῶν ἡδονῶν τοῦ βίου ἐπὶ τῆς ψυχῆς μας.

9. Ἐκεῖνοι λοιπὸν οἱ ὁποῖοι ἰσχυρίζονται λέγοντες, ὅτι θέλομεν νὰ ἐκπληρώσωμεν τὰς ἐντολάς, ἀλλὰ δὲν δυνάμεθα, διότι καὶ μετὰ τὸ Βάπτισμα ἀκόμη ἐξουσιαζόμεθα ἀπὸ τὴν δύναμιν τοῦ κακοῦ, ἂς γνωρίζουν, ὅτι αὐτὸ συμβαίνει οὐχὶ διότι δὲν εἶναι τέλειον τὸ Βάπτισμα καί, ὡς ἐκ τούτου, δὲν προσφέρει τελειωτικὴν ἐλευθερίαν ἀπὸ τὴν ἁμαρτίαν, οὔτε τὴν δύναμιν νὰ ἐργασθοῦν ὅλας τὰς ἐντολάς, ἀλλ' εἰς ἄλλην αἰτίαν, ἀπὸ τὴν ἐπίδρασιν τῆς ὁποίας μεταπίπτουν καὶ πάλιν εἰς τὸ κακόν. Ὅτι δὲ τὸ Βάπτισμα παρέχει τελείαν τὴν ἐλευθερίαν ἀπὸ τῆς ἁμαρτίας καὶ προσφέρει τὴν δύναμιν τοῦ ἀγαθοῦ εἰς τὸν ἄνθρωπον, ἀποδεικνύεται ἀπὸ τὴν γνώμην τοῦ Ἁγίου Παύλου. «Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου» (Ρωμ. η', 2). Ἄρα πρόκειται περὶ τελείας καταργήσεως τοῦ κράτους τῆς ἁμαρτίας.

10. Ἡ ἐπαναιχμαλωσία μας ἀπὸ τὴν ἁμαρτίαν, ὀφειλομένη εἰς τὴν συμπάθειαν πρὸς τὸ κακόν, ἢ ἡ διατήρησις τῆς ἐλευθερίας μας, στηριζομένη εἰς τὴν καλλιέργειαν τῶν ἐντολῶν, ἀποτελοῦν καρποὺς τοῦ αὐτεξουσίου, δηλαδὴ τῆς προσωπικῆς μας θελήσεως Δὲν ἀντιλέγω δέ, ὅτι εἶναι δυνατὸν νὰ συμβῇ νὰ αἰχμαλωτίσῃ ἡ ἁμαρτία, δηλαδὴ ὁ πο-

νηρὸς λογισμός, τὴν διάνοιαν τοῦ ἀνθρώπου, ἂν καὶ ὁ ἄνθρωπος μισῇ τὴν ἁμαρτίαν· «Οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ» (Ρωμ. ζ', 15). Αὐτὸ ὅμως δὲν εἶναι κατάλοιπον εἰς τὴν ψυχήν μας τῆς ἁμαρτίας τοῦ Ἀδάμ, ἀλλὰ ἀποτέλεσμα τῆς προσωπικῆς, ὑφ' ἑνὸς ἑκάστου, παραβάσεως τῶν ἐντολῶν, μετὰ τὸ Ἅγιον Βάπτισμα. Διότι ὅταν, μετὰ τὸ Ἅγιον Βάπτισμα, δὲν ἐκτελῶμεν τὰς ἐντολάς, ἂν καὶ ἔχωμεν ὁπλισθῇ μὲ δύναμιν νὰ ἐκτελῶμεν ὅλας ἀνεξαιρέτως, τότε καὶ χωρὶς νὰ τὸ θέλωμεν κυριευόμεθα ἀπὸ τὴν ἁμαρτίαν, μέχρις ὅτου ἀκούσῃ ὁ Θεὸς τὰς ἱκεσίας μας, νὰ μᾶς συγχωρήσῃ τὴν ἁμαρτίαν τῆς ἑκουσίας ἀθετήσεως τῶν ἐντολῶν Του καὶ ἀποδείξωμεν ἐμπράκτως τὴν μετάνοιαν ἡμῶν, ὁπόταν θὰ ἀνακτήσωμεν καὶ πάλιν τὴν ἱκανότητα τῆς ἐργασίας τῶν ἐντολῶν.

11. Εἰς δύο λόγους ὀφείλεται ἡ ἐνέργεια τοῦ κακοῦ· καὶ οἱ δύο προέρχονται ἀπὸ ἡμᾶς. Κατὰ τὸν πρῶτον λόγον ἡ ἐνέργεια τοῦ κακοῦ εὑρίσκεται εἰς ἀναλογίαν μὲ τὴν παράλειψιν τῶν ἐντολῶν· δηλαδὴ ὅσον μεγαλυτέρα εἶναι ἡ παράβασις, τόσον δραστικωτέρα ἀποβαίνει καὶ ἡ ἐνέργεια τοῦ κακοῦ. Ὁ δεύτερος λόγος τῆς ἐνεργείας τοῦ κακοῦ, ἐξ αἰτίας τοῦ ὁποίου κυριαρχεῖ ἀποτελεσματικώτερον τὸ κακόν, ὑπάρχει εἰς τὴν μετὰ τὸ Ἅγιον Βάπτισμα ἑκουσίαν διάπραξιν πονηρῶν ἔργων. Εἰς τὴν περίπτωσιν αὐτὴν μόνον ὁ Θεὸς ἔχει τὴν δύναμιν νὰ ἀφανίσῃ τὴν γενεσιουργὸν αὐτὴν τοῦ κακοῦ αἰτίαν, ἐφ' ὅσον τὸν παρακαλέσῃ ὁ ἄνθρωπος διὰ θερμῆς προσευχῆς, τὸν ἐξιλεώσῃ δι' ἐλεημοσύνης καὶ ἐπιδείξῃ ὑπομονὴν εἰς τὰς ἐπερχομένας δοκιμασίας· ἂν καὶ τὰς προϋποθέσεις αὐτὰς τῆς ἐπεμβάσεως τοῦ Θεοῦ διὰ νὰ ἀφανίσῃ τὴν ἐπικίνδυνον ῥοπὴν πρὸς τὴν ἁμαρτίαν, (τὴν προσευχήν, τὴν ἐλεημοσύνην καὶ τὴν ὑπομονὴν εἰς τὰς δοκιμασίας) τὰς παρέχει εἰς ἡμᾶς, χωρὶς νὰ τὸ ἀντιληφθῶμεν, ἡ Χάρις ποὺ ἐδόθη εἰς τὸν ἄνθρωπον διὰ τοῦ Ἁγίου Βαπτίσματος. Ἐκεῖνος, ποὺ ἀγωνίζεται ἐναντίον τοῦ κακοῦ, εἰς ὅλα ἐγκρατεύεται καὶ δὲν σταματᾷ, παρὰ μόνον ὅταν ὁ Κύριος ἐξοντώσῃ τὸ «Σπέρμα ἐκ Βαβυλῶνος» (Ἱερεμ. κζ', 16).

12. Ἂς ὑποθέσωμεν, ὅτι ὑπάρχουν δώδεκα πάθη ἀτιμίας· ἐὰν δὲ θεληματικῶς ἀγαπήσῃς ἕνα ἀπὸ αὐτά, ἀσφαλῶς αὐτὸ θὰ ἐξασφαλίσῃ εἰς τὴν καρδίαν σου τόπον καὶ διὰ τὰ ὑπόλοιπα ἕνδεκα. Μὴ ἀφήσῃς ἁμαρτίαν, ὅσον μικρὰ καὶ ἐὰν εἶναι, χωρὶς νὰ τὴν ἀποσβέσῃς διὰ τῆς μετανοίας, διότι εἶναι ἐνδεχόμενον νὰ σὲ παρασύρῃ αὐτὴ εἰς μεγαλύτερον κακόν.

13. Ὅταν ἔχῃς παρασυρθῇ ὀλίγον ἀπὸ τὸ κακὸν καὶ εὑρίσκεσαι ἀκόμη εἰς τὴν ἀρχήν, νὰ μὴ λέγῃς, ὅτι ἐμένα δὲν θὰ μὲ νικήσῃ τὸ κακόν· διότι ἀναλόγως τοῦ βαθμοῦ τῆς ὑποχωρήσεώς σου πρὸς τὸ κακὸν ἔχεις ἤδη νικηθῇ ὑπ' αὐτοῦ. Κάθε δὲ ἕνα ἀπὸ τὰ μεγάλα ἐγκλήματα, ποὺ ἔχουν γίνει, ἤρχισεν ἀπὸ μικρὰν καὶ ἀνυπολόγιστον αἰτίαν, καὶ τρεφόμενον ὀλίγον κατ' ὀλίγον ἔλαβε τὴν ἐπικίνδυνον ἀνάπτυξιν. Ἡ μέθοδος τῆς κακίας ὁμοιάζει μὲ πολύπλοκον δίκτυον· ἐκεῖνος ποὺ ὀλί-

γον ἔχει ἐμπλακῆ εἰς αὐτό, ἐὰν ἀδιαφορήσῃ, ὁλόκληρος θὰ περισφιγχθῇ εἰς τὸ τέλος, ὥστε νὰ μὴ ἠμπορῇ νὰ φύγῃ. Οὔτε μόνον μία ἀρετή, καθ' ἑαυτὴν θεραπευομένη, μᾶς ἐξασφαλίζει τὴν φυσικὴν θύραν τῆς σωτηρίας, ἐὰν ὅλαι μαζί, ἡ μία κατόπιν τῆς ἄλλης, δὲν ἐκτελῶνται, ἐφ' ὅσον ἄλλωστε ἀλληλοεξαρτῶνται. Ἐκεῖνος, ὁ ὁποῖος νικᾶται εὐκόλως ἀπὸ μικρὰ καὶ ἀσήμαντα ἐλαττώματα, κατ' ἀνάγκην θὰ ὑποδουλωθῇ καὶ εἰς μεγάλα πάθη· ἀπ' ἐναντίας, ἐκεῖνος ὁ ὁποῖος καταδικάζει τὰ μικρά, μὲ τὴν δύναμιν τοῦ Κυρίου θὰ ἀντισταθῇ καὶ εἰς τὰ μεγάλα.

Ε'. Τοῦ Ἁγίου Διαδόχου

Η ΕΓΚΡΑΤΕΙΑ πασῶν ἐστι τῶν ἀρετῶν ἐπώνυμος· δεῖ οὖν τὸν ἐγκρατευόμενον πάντα ἐγκρατεύεσθαι· ὥσπερ γὰρ ἀνθρώπου οἱονδήποτε τῶν μελῶν τῶν λεπτοτάτων ἀφαιρεθέν, τὸ πᾶν τοῦ σώματος ἄμορφον ἀπεργάζεται, κἂν τὸ λοιπὸν βραχὺ λίαν ᾖ, οὕτω καὶ ὁ μιᾶς παραμελῶν ἀρετῆς, ὅλην ὡς οὐκ οἶδε τὴν ἐγκράτειαν ἀφανίζει.

2. Χρὴ οὖν μὴ μόνον τὰς σωματικὰς φιλοπονεῖν ἀρετάς, ἀλλὰ καὶ τὰς τὸν ἔσω ἡμῶν ἄνθρωπον καθαίρειν δυναμένας· ποῖον γὰρ ὄφελός ἐστι τῷ τὸ σῶμα παρθένον τηρήσαντι, εἰ τὴν ψυχὴν ὑπὸ τοῦ τῆς παρακοῆς μεμοίχευται δαίμονος;

3. Ἢ πῶς στεφανωθήσεται ὁ γαστριμαργίας μέν, καὶ πάσης σωματικῆς ἐπιθυμίας φεισάμενος, οἰήσεως δὲ καὶ φιλοδοξίας μὴ ἐπιμελησάμενος;

4. Τῆς πλάστιγγος τῆς τὸ φῶς τῆς δικαιοσύνης ἀντισταθμίζειν μελλούσης μηδὲ μιᾶς ἀνεχομένης λείψεως τοῖς τὰ ἔργα τῆς δικαιοσύνης διαπραξαμένοις ἐν πνεύματι ταπεινώσεως.

Ἑρμηνεία

Η ΕΓΚΡΑΤΕΙΑ εἶναι τὸ γενικὸν ὄνομα ὅλων τῶν ἀρετῶν, ὡς περικλείουσα μέσα της ὅλας· δι' αὐτὸ λοιπὸν ὁ ἐγκρατευόμενος εἰς ὅλα πρέπει νὰ ἐγκρατεύεται. Διότι, ὅπως ἀκριβῶς τὸ ἀνθρώπινον σῶμα χάνει τὴν ἀρτιμέλειάν του καὶ καθίσταται ἄμορφον, ὅταν ἀφαιρεθῇ ἀπὸ αὐτὸ ἕνα μέλος, ὁσονδήποτε μικρὸν καὶ ἐὰν εἶναι, τοιουτοτρόπως καὶ ἐκεῖνος, ὅστις παραμελεῖ μίαν ἀρετήν, χωρὶς ἴσως νὰ τὸ ὑποπτεύεται, καταστρέφει ὁλόκληρον τὴν ἐγκράτειαν.

2. Πρέπει λοιπὸν ὁ ἐγκρατευόμενος νὰ καλλιεργῇ φιλοπόνως ὄχι μόνον τὰς ἀρετάς, ποὺ ἔχουν ὡς ἐπίκεντρον τὸ σῶμα, ἀλλὰ καὶ ἐκείνας, ποὺ ἔχουν τὴν δύναμιν νὰ καθαίρουν καὶ λαμπρύνουν τὸν ἐσωτερικὸν ἄνθρωπον. Διότι ποῖον, π. χ., θὰ εἶναι τὸ κέρδος εἰς τὸν ἄνθρωπον, ποὺ διετήρησε τὸ σῶμά του παρθένον, ἀλλ' ἡ ψυχή του ὅμως ἐμοιχεύθη ἀπὸ τὸν δαίμονα τῆς παρακοῆς;

3. Ἢ πῶς εἶναι δυνατὸν νὰ στεφανωθῇ ἐκεῖνος, ποὺ ἀπέφυγε μὲν ἐπιμελῶς τὴν γαστριμαργίαν, ὡς καὶ πᾶσαν ἄλλην σωματικὴν ἐπιθυμίαν, ἀλλ' ὅμως δὲν ἐφρόντισε καθόλου νὰ πολεμήσῃ τὴν κακίαν τῆς οἰήσεως καὶ τῆς ὑπερηφανείας;

4. Ἡ ἀκριβοδικαία πλάστιγξ τῆς μελλούσης κρίσεως ***θὰ ζυγίσῃ,***

ὑπὸ τὸ φῶς τῆς δικαιοσύνης τοῦ Θεοῦ, τὴν ἀξίαν τοῦ ἀνθρώπου, χωρὶς νὰ τῆς διαφύγῃ οὐδεμία παράλειψις, ***καὶ θὰ δικαιώσῃ*** μόνον ἐκείνους, ποὺ διέπραξαν ἔργα δικαιοσύνης μὲ πνεῦμα ταπεινώσεως.

ϛ'. Τοῦ Ἁγίου Μαξίμου

ΟΚΥΡΙΟΣ μετὰ τὴν ἀνάστασιν εἶπε τοῖς Ἀποστόλοις· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν»· ὥστε, ὅσα ἐνετείλατο δεῖ τηρεῖν πάντα ἄνθρωπον βαπτιζόμενον εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· τούτου γὰρ χάριν τῇ ὀρθῇ πίστει, τὴν πασῶν τῶν ἐντολῶν ὁ Κύριος συνέζευξε τήρησιν, ὡς εἰδὼς ὅτι ἀμήχανον τὴν μίαν διαζευχθεῖσαν τῆς μιᾶς σῴζειν τὸν ἄνθρωπον.

2. Διὰ τοῦτο καὶ ὁ Δαβὶδ τὴν ὀρθὴν ἔχων πίστιν πρὸς τὸν Θεόν, ἔλεγε· πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα· κατὰ γὰρ πάσης ὁδοῦ ἀδίκου πᾶσαι ἡμῖν αἱ ἐντολαὶ ὑπὸ τοῦ Κυρίου δεδώρηνται· καὶ ἐὰν παραλειφθῇ μία, τὴν ἀντικειμένην αὐτῇ ὁδὸν τῆς κακίας ἀντεισάγει πάντως· δέδωκε δὲ ἡμῖν καὶ δύναμιν ὁ Κύριος τοῦ πάσας τὰς ἐντολὰς αὐτοῦ τηρεῖν ἐν τῷ εἰπεῖν· «ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ».

3. Ταύτην τὴν δύναμιν καὶ τὴν ἐξουσίαν λαβὼν ὁ Παῦλος ἔλεγε· «μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ»· καὶ πάλιν· «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις»· καὶ πάλιν· «ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ»· αἱ δὲ ἐντολαὶ πᾶσαι, εἰ καὶ πολλαί εἰσιν, ἑνὶ λόγῳ ἀνακεφαλαιοῦνται, ἐν τῷ «ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν»· ὁ οὖν ἀγωνιζόμενος, εἰ τοῦτον κρατεῖ τὸν λόγον, πάσας ὁμοῦ τὰς ἐντολὰς κατορθοῖ.

Ἑρμηνεία

ΟΚΥΡΙΟΣ ἡμῶν, μετὰ τὴν Ἀνάστασίν του, εἶπεν εἰς τοὺς Ἀποστόλους· «πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν» (Ματθ. κη', 19—20). Ὥστε ὅσα διέταξε πρέπει νὰ τὰ σέβεται καὶ νὰ τὰ ἐκτελῇ ἐκεῖνος, ποὺ ἐβαπτίσθη εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Κύριος συνήρμοσεν ἀδιασπάστως τὴν ὑποχρέωσιν τῆς τηρήσεως ὅλων τῶν ἐντολῶν μὲ τὴν ὀρθὴν πίστιν, ἐπειδὴ ἐγνώριζε καλῶς, ὅτι μόνον ἡ μία, ἐφ' ὅσον ἀποσπασθῇ ἀπὸ τὴν ἄλλην, εἶναι ἀδύνατον νὰ σώσῃ τὸν ἄνθρωπον· «Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν» (Ἰακ. β', 20).

2. Δι' αὐτὸ καὶ ὁ Δαβὶδ ἔχων τὴν ὀρθὴν πίστιν πρὸς τὸν Θεὸν ἔλεγε· «Πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα» (Ψαλμ. ριη', 118). Αἱ ἐντολαὶ ἔχουν δωρηθῇ εἰς ἡμᾶς ὑπὸ τοῦ Κυρίου, διὰ νὰ ἀντιμετωπίσωμεν πᾶσαν ὁδὸν ἄδικον. Δι' αὐτὸ καὶ ἐὰν μία παραλειφθῇ ὑπὸ τοῦ ἀνθρώπου, διανοίγει ὁπωσδή-

ποτε τὴν ὁδὸν τῆς ἀντιθέτου πρὸς τὴν ἀρετὴν αὐτὴν κακίας. Ἐκτὸς ὅμως τῶν ἐντολῶν, ὁ Κύριος ἔχει δώσει εἰς ἡμᾶς καὶ τὴν δύναμιν νὰ ἐκτελέσωμεν ὅλας τὰς ἐντολὰς Αὐτοῦ. Σχετικῶς εἶπεν· «Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ» (Λουκᾶ ι', 19).

3. Αὐτὴν τὴν δύναμιν καὶ τὴν ἐξουσίαν ὅταν ἔλαβεν ὁ Ἀπόστολος Παῦλος ἔλεγε· «Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ» (Α' Κορινθ. ια', 1). Ὁ αὐτὸς δὲ Ἀπόστολος εἰς ἄλλο σημεῖον λέγει· «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις» (Γαλατ. ε', 24). Καὶ ἀλλοῦ· «Ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ» (Γαλατ. στ', 14). Ὅλαι δὲ αἱ ἐντολαί, ἂν καὶ εἶναι πολλαί, ἐν τούτοις συνοψίζονται εἰς μίαν πρότασιν· «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ τὸν πλησίον σου ὡς σεαυτόν» (Λουκ. ι'. 27). Ἐκεῖνος λοιπὸν ποὺ ἀγωνίζεται τὸν ἀγῶνα τῶν ἀρετῶν, ἐὰν ἐφαρμόζῃ αὐτὴν τὴν πρότασιν, ἀσφαλῶς θὰ ἐκτελέσῃ ὅλας τὰς ἐντολάς.

Ζ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΕΟΙΚΑΣΙ τὰ πάθη κυναρίοις τοῖς εἰωθόσι σχολάζειν ἐν τοῖς μακελλαρίοις, ἅτινα μόνῃ φωνῇ ἀποδιδράσκουσιν, ἀμελούμενα δὲ ὡς λέοντες παμμεγέθεις ἐπέρχονται.

2. Ἐξουδένωσον τὴν μικρὰν ἐπιθυμίαν καὶ ἤδη κινουμένην ἐν σοί, ἵνα μὴ πυρωθῇς τῆς σφοδροτάτης αὐτῆς ἐκκαύσεως· ἡ γὰρ πρὸς τὰ μικρὰ πράγματα ἐπιμέλεια καὶ ὑπομονὴ τὸν ἐκ τῶν μεγάλων πραγμάτων κίνδυνον ἀποσοβεῖ· εἰ δέ τις μὴ νικήσῃ τὰ εὐτελέστερα, πῶς τῶν μεγάλων περιγενήσεται;

3. Δεῖξον τῷ Θεῷ τὴν ὑπομονήν σου ἐν τοῖς μικροῖς, ἵνα μὴ ζητήσῃ παρὰ σοῦ τὰ μεγάλα, καὶ ἔστωσάν σοι τὰ μικρὰ ὅρος, ἵνα διὰ τούτων καταβάλῃς τὸν ἀντίπαλον, καὶ μὴ δυνηθῇ εἰς τὰ μεγάλα ἐπενεγκεῖν.

4. Ὁ γὰρ μὴ πειθόμενος τῷ ἐχθρῷ, οἷον μηδὲ πέντε βήματα ἐξελθεῖν ἐκ τοῦ κελλίου αὐτοῦ ὑποβάλλοντι, πότε πεισθήσεται ἐξελθεῖν ἐκ τῆς ἐρημίας; ἢ πλησιάσαι κώμῃ; καὶ ὁ μὴ καταδεχόμενος παρακῦψαι διὰ θυρίδος ἐκ τοῦ ἡσυχαστηρίου αὐτοῦ διὰ τὴν ὑποβολὴν τοῦ ἐχθροῦ, πῶς ὑπακούσεται τῷ ὑποτιθεμένῳ ἐξελθεῖν ἀπ' αὐτοῦ;

5. Ὁ μόλις πειθόμενος ἐν ἑσπέρᾳ μετασχεῖν τροφῆς ἐλαχίστης, πῶς ὑπὸ τῶν τῆς ὀλιγωρίας καὶ γαστριμαργίας λογισμῶν δελεασθήσεται; ἵνα πρὸ καιροῦ μεταλάβῃ τροφῆς· καὶ ὁ ἐκ τῶν εὐτελῶν ἐρυθριῶν ἐμπλησθῆναι, πῶς τῶν πολυτελῶν ὀρεχθήσεται; καὶ ὁ μηδὲ πρὸς τὸ ἴδιον σῶμα πειθόμενος κατιδεῖν, πῶς ἀλλότρια κάλλη περιεργάσεται;

6. Αὕτη ἐστὶν ἡ διάκρισις τῆς πρὸς τὸν ἐχθρὸν πάλης καὶ ἀντιστάσεως· διὰ ταύτης οἱ σοφοὶ οὐ συγχωροῦσιν ἑαυτοὺς πρὸς μεγάλους ἀγῶνας καὶ πολέμους ἐλθεῖν, ἀλλ' ἐν τοῖς μικροῖς τὴν ὑπομονὴν ἐνδεικνύμενοι, φυλάττονται δι' αὐτῆς τοῦ μὴ εἰς μεγάλους κόπους ἐλθεῖν· ὁ δὲ ἐν τοῖς μικροῖς ἐξ ἀρχῆς καταφρονῶν καὶ ἡττώμενος, ἀφορμὴν παρέχει τῷ ἐχθρῷ πολεμεῖν αὐτὸν καὶ ἐν τοῖς μεγάλοις· οἷον πρῶτον ὁ διάβολος τὴν ἀδιάλειπτον προσευχὴν τῆς καρδίας ἀγωνίζεται ἀφα-

νίσαι, εἶθ' οὕτως πείθει καὶ τοὺς τεταγμένους καιροὺς τῆς εὐχῆς καὶ τοῦ δεδομένου κανόνος τοῦ σωματικῶς γινομένου καταφρονῆσαι.

7. Πάλιν χαυνῶσαι τὸν λογισμὸν ἐπιχειρεῖ, ἵνα πρὸ τοῦ καιροῦ μετάσχῃ τροφῆς, καὶ λοιπὸν μετὰ τὴν κατάλυσιν τῆς ἐγκρατείας, εἰς ἀκρασίαν καὶ ἀσωτείαν τὸν ἄνθρωπον πολεμεῖ· πάλιν ὑποτίθησι τῷ ἀνθρώπῳ, ἐλάχιστον ἡγεῖσθαι ἀτενίσαι εἰς τὴν γύμνωσιν τοῦ ἑαυτοῦ σώματος, ἢ εἰς ἄλλην τινὰ καλλονὴν τῶν ἰδίων μελῶν, ὅταν ἀποδύηται τὰ ἱμάτια αὐτοῦ, ἢ ὅταν πρὸς ὕδωρ στῇ, ἢ καθίσῃ πρὸς χρείαν τοῦ σώματος· ὁμοίως καὶ τὸ εἰσαγάγαι τὴν χεῖρα αὐτοῦ ἀφυλάκτως ἔνδοθεν τῶν ἱματίων αὐτοῦ, καὶ ἅψασθαι τοῦ ἰδίου μέλους.

8. Καὶ εἰ ἔν τινι τούτων πείσῃ τὸν ἄνθρωπον ὑπακοῦσαι αὐτῷ, τότε ὑποβάλλει αὐτῷ ἄλλα μείζονα καὶ βαρύτερα, καὶ ὁ ἀσκητὴς ὁ πρώην τὴν ἀσφάλειαν τοῦ νοὸς φυλάσσων καὶ τὸν μικρὸν ῥεμβασμὸν ζημίαν ἡγούμενος, τότε ἀνοίγει καθ' ἑαυτοῦ τῇ ἁμαρτίᾳ πικρὰς καὶ χαλεπὰς εἰσόδους· οἱ γὰρ λογισμοὶ τῷ ἐν σωλῆνι ὕδατι ὁμοιοῦνται, καὶ ὅσον μὲν συνέχονται πάντοθεν, ἐν εὐταξίᾳ πορεύονται, ἐὰν δὲ μικρὰν ἔξοδον εὕρωσι, κατάλυσιν φραγμοῦ καὶ ἐρήμωσιν πολλὴν ἐργάζονται.

9. Ἵσταται ἀεὶ ὁ ἐχθρὸς ἐξεναντίας ἡμῶν περισκοπῶν διὰ ποίας ὁδοῦ τῶν αἰσθητηρίων ἡμῶν ἀνοιχθείσης ὑπὸ τῆς ἀμελείας ἐν ἡμῖν εἰσέλθῃ, καὶ ἣν ἂν κατανοήσῃ ἀφύλακτον, δι' αὐτῆς ὁ δόλιος τὰ αὐτοῦ ἐξαποστέλλει ἡμῖν· ἀλλ' ἡμεῖς ἀλλάξωμεν τοὺς μεγάλους πόνους ἐν τοῖς μικροῖς, καὶ εὐχερῶς αὐτοῦ κατισχύσωμεν.

Ἑρμηνεία

ΤΑ ΠΑΘΗ ὁμοιάζουν μὲ μικρὰ σκυλάκια, τὰ ὁποῖα ἔχουν συνηθίσει νὰ συχνάζουν ἔξω ἀπὸ τὰ κρεοπωλεῖα· αὐτὰ λοιπὸν φεύγουν ἀμέσως μόλις τοὺς βάλῃ κανεὶς τὴν φωνήν. Ὅταν ὅμως τὰ ἀφήσῃς ἐλεύθερα, ἀποθρασύνονται καὶ ἐπιτίθενται ὡς μεγάλοι λέοντες.

2. Ἐκμηδένισε καὶ ἀποδίωξε τὴν μικρὰν ἐπιθυμίαν, ἡ ὁποία μόλις ἤρχισε νὰ κινῆται εἰς τὴν ψυχήν σου, διὰ νὰ μὴ καταφλεγῇς ἀπὸ τὸ σφοδρότατον αὐτῆς πῦρ, ὅταν πλέον θὰ ἔχῃ γιγαντωθῆ μέσα σου. Διότι ἡ φροντὶς τὴν ὁποίαν ἐπιδεικνύομεν ἐγκαίρως καὶ ἡ ὑπομονὴ νὰ ἐξαλείψωμεν τὰ διάφορα μικρὰ πράγματα, ἀπομακρύνουν τὸν θανάσιμον κίνδυνον ποὺ προκαλοῦν τὰ μεγάλα πράγματα. Ἐὰν δὲ κανεὶς δὲν κατορθώσῃ νὰ νικήσῃ τὰ πλέον ἀσήμαντα, πῶς τότε θὰ καταβάλῃ τὰ σοβαρὰ καὶ ἀξιόλογα;

3. Δεῖξε ἐνώπιον τοῦ Θεοῦ ὑπομονὴν κατὰ τὴν ἀντιμετώπισιν τῶν μικρῶν καὶ ἀνυπολογίστων ἐνοχλήσεων τοῦ ἐχθροῦ, διὰ νὰ μὴ ζητήσῃ ἀπὸ σὲ σκληροτέρας θυσίας. Τὸ νὰ προσέχῃς καὶ νὰ ἀπέχῃς ἀπὸ τὰ διάφορα αὐτὰ μικροσφάλματα, ἂς εἶναι διὰ σὲ νόμος ἀπαράβατος καὶ ἂς χρησιμεύουν ὡς προϋπόθεσις, ὥστε δι' αὐτῶν νὰ νικήσῃς τὸν Διάβολον, καὶ νὰ μὴ δυνηθῇ νὰ σὲ φέρῃ εἰς μεγαλύτερα.

4. Ἐὰν ὁ Ἀσκητὴς δὲν ὑπακούσῃ εἰς τὸν διάβολον, ποὺ τὸν παρακινεῖ νὰ βγῇ πέντε μόνον βήματα ἀπὸ τὸ κελλί του, εἶναι ποτὲ δυνατὸν νὰ πεισθῇ ἀπὸ τὸν διάβολον νὰ ἐγκαταλείψῃ τὴν ἔρημον; ἢ νὰ μεταβῇ εἰς πόλεις; Ὁ Ἀσκητὴς πάλιν ποὺ δὲν ἀποφασίζει νὰ σκύψῃ ὀλίγον

μόνον ἀπὸ τὸ παραθυράκι τοῦ ἡσυχαστηρίου του, διὰ νὰ μὴ δεχθῇ τὴν προσβολὴν τοῦ ἐχθροῦ, εἶναι δυνατὸν νὰ ὑπακούσῃ εἰς αὐτὸν καὶ νὰ ἐξέλθῃ ἀπὸ τὸ κελλίον του;

5. Ἐκεῖνος, ποὺ μόλις καὶ μετὰ βίας δέχεται νὰ φάγῃ τὸ ἀπόγευμα ὀλίγον φαγητόν, πῶς εἶναι δυνατὸν νὰ παγιδευθῇ καὶ νὰ ἐξαπατηθῇ ἀπὸ λογισμοὺς ἀμελείας καὶ λαιμαργίας, ὥστε νὰ φάγῃ πρὸ τῆς ὡρισμένης, διὰ τὸν Ἀσκητήν, ὥρας; Ἢ πῶς εἶναι δυνατὸν νὰ ὀρεχθῇ πολυτελῆ φαγητά, ἐκεῖνος ποὺ ἐντρέπεται νὰ χορτάσῃ καὶ ἀπὸ αὐτὴν τὴν λιτὴν ξηροφαγίαν τοῦ Μοναχοῦ; Αὐτὸς πάλιν, ποὺ δὲν πείθεται ἀπὸ τὸν διάβολον νὰ προσέξῃ τὸ ἰδικόν του σῶμα, πῶς εἶναι δυνατὸν νὰ περιεργασθῇ τὴν ὡραιότητα ξένων σωμάτων;

6. Αὐτὸ εἶναι τὸ διακριτικὸν γνώρισμα τῆς πάλης ἐναντίον τοῦ ἐχθροῦ καὶ τῆς κατ᾽ αὐτοῦ ἀντιστάσεως. Ἔχοντες αὐτὸ τὸ γνώρισμα ὑπ᾽ ὄψιν των οἱ σοφοὶ δὲν ἀφήνουν τοὺς ἑαυτούς των νὰ ἐκτεθῶσιν εἰς μεγάλους ἀγῶνας καὶ πολέμους· ἀλλ᾽ ἀντιμετωπίζοντες νικηφόρως δι᾽ ὑπομονῆς τὰς μικρὰς ἐπιθέσεις τοῦ διαβόλου, προφυλάσσονται ἐπιτυχῶς ἀπὸ τοὺς κόπους καὶ τὸν κίνδυνον, ποὺ ἔχουν αἱ μεγαλύτεραι συγκρούσεις μὲ τὸν διάβολον. Ἐκεῖνος, ποὺ δὲν δίδει σημασίαν εἰς τὰ διάφορα μικροπράγματα εὐθὺς ἐξ ἀρχῆς καὶ νικᾶται ἀπὸ αὐτά, δίδει ἀφορμὴν εἰς τὸν ἐχθρὸν νὰ τὸν πολεμῇ καὶ εἰς μεγάλα ζητήματα. Παραδείγματος χάριν· ὁ διάβολος πρῶτον ἀγωνίζεται νὰ ἐξαφανίσῃ τὴν ἀδιάλειπτον εὐχὴν ἀπὸ τὴν καρδίαν καὶ εὐκόλως μετὰ ταῦτα πείθει τὸν ἄνθρωπον νὰ ἀδιαφορήσῃ καὶ νὰ παραλείψῃ τὴν προσευχήν, ποὺ γίνεται εἰς προσδιωρισμένας ὥρας, καθὼς καὶ τὸν σωματικὸν κανόνα.

7. Εἰς ἄλλην πάλιν περίπτωσιν προσπαθεῖ ὁ διάβολος νὰ ἀποχαυνώσῃ τὸν λογισμὸν τοῦ Ἀσκητοῦ, ὥστε νὰ γευθῇ φαγητὸν πρὸ τῆς κεκανονισμένης ὥρας. Ἀφοῦ λοιπὸν ἐπιτύχῃ καὶ καταργήσῃ τὴν ἐγκράτειαν, πολεμεῖ νὰ παρασύρῃ τὸν ἄνθρωπον πέραν πάσης ἠθικῆς τάξεως καὶ πειθαρχίας, δηλαδὴ εἰς ἀκρασίαν καὶ ἀσωτείαν. Ἄλλοτε πάλιν ἐπιδιώκει νὰ ἐμβάλῃ εἰς τὸν ἄνθρωπον τὴν πονηρὰν σκέψιν, νὰ θεωρῇ ὡς ἀσήμαντον πρᾶγμα τὴν μετὰ φιληδόνου προσοχῆς θεώρησιν τῆς σωματικῆς του γυμνότητος, ἢ τὴν αὐτάρεσκον παρατήρησιν ἄλλης τινὸς ὡραιότητος τῶν μελῶν του, ὅταν ἀποδύεται τὰ ἐνδύματά του, ἢ ὅταν εὑρεθῇ πρὸ τοῦ ὕδατος, καὶ ἀντικατοπτρίζεται εἰς αὐτὸ τὸ σῶμά του, ἢ ὅταν καθίσῃ διὰ τὴν φυσικὴν ἀνάγκην τῆς ἀφοδεύσεως τοῦ σώματος. Ἐπίσης εἰς τὸν ἄνθρωπον ἐμβάλλει, εἰς ἄλλην περίπτωσιν, τὴν σκέψιν νὰ βάλῃ ἀπροσέκτως τὸ χέρι του μέσα ἀπὸ τὰ ἱμάτιά του καὶ νὰ ἐγγίσῃ τὰ μέλη του.

8. Ἐὰν λοιπὸν κατορθώσῃ καὶ παρασύρῃ τὸν ἄνθρωπον πρὸς μίαν ἐκ τῶν ὑποδείξεών του αὐτῶν, τότε ἀποθρασύνεται καὶ ὑποβάλλει εἰς αὐτὸν μεγαλύτερα καὶ σοβαρώτερα πράγματα. Τοιουτοτρόπως ὁ Ἀσκητής, ὁ ὁποῖος προηγουμένως μετὰ προσοχῆς ἠγρύπνει διὰ νὰ ἔχῃ περιωρισμένην καὶ ἠσφαλισμένην τὴν διάνοιάν του καὶ ὡς ἐκ τούτου

ἐθεώρει σημαντικὴν ζημίαν καὶ τὴν παραμικροτέραν περιπλάνησιν τῆς σκέψεώς του, φθάνει εἰς τὸ σημεῖον ὁ ἴδιος νὰ ἀνοίξῃ εἰς τὴν ἁμαρτίαν πικρὰς καὶ χαλεπὰς θύρας, ὥστε δι' αὐτῶν νὰ εἰσέλθῃ καὶ νὰ τὸν τυραννήσῃ. Ἂς μὴ λησμονῶμεν, ὅτι οἱ λογισμοὶ ὁμοιάζουν μὲ ὕδωρ, τὸ ὁποῖον διοχετεύεται διὰ σωλῆνος· ὅπως δὲ ἀκριβῶς τὸ ὕδωρ, ἐφ' ὅσον δὲν συναντᾷ ὀπὴν εἰς τὸν σωλῆνα, δὲν ἐξακοντίζεται ἐπιζημίως, τοιουτοτρόπως καὶ οἱ λογισμοὶ ἐφ' ὅσον συγκρατοῦνται ἀπὸ παντοῦ διαβαίνουν μὲ εὐταξίαν· ἐφ' ὅσον ὅμως συναντήσουν μίαν διέξοδον (=δηλαδὴ τὴν συγκατάθεσιν τῆς ψυχῆς μας) τότε ἐπιτυγχάνουν καὶ πραγματοποιοῦν καταστροφὴν παντὸς ἐμποδίου καὶ ἐρήμωσιν.

9. Ὁ ἐχθρὸς τῆς ψυχῆς μας, ὁ διάβολος, παραμένει πάντοτε ἀπέναντί μας καὶ κατασκοπεύει μετὰ προσοχῆς ποίαν θύραν τῶν αἰσθητηρίων θὰ τοῦ ἀνοίξῃ ἡ ἀμέλειά μας διὰ νὰ εἰσέλθῃ. Μόλις δὲ ἀντιληφθῇ μίαν θύραν ἀφρούρητον, ἀμέσως ὁ παμπόνηρος εἰσάγει εἰς τὴν ψυχήν μας δι' αὐτῆς τὰς ἀποσκευάς του. Ἂς φροντίσωμεν ὅμως ἡμεῖς νὰ ἀντικαταστήσωμεν τοὺς μεγάλους κόπους, (ποὺ προέρχονται ἀπὸ τὸν πόλεμον μὲ τὰ μεγάλα πάθη) μὲ μικροὺς (ποὺ ὀφείλονται εἰς τὴν εὔκολον ἀντιμετώπισιν τῶν πονηρῶν λογισμῶν) καὶ χωρὶς δυσκολίαν θὰ τὸν κατανικήσωμεν.



ΥΠΟΘΕΣΙΣ ΙΒ΄

Ὅτι τῶν τὴν θείαν γνῶσιν λαβόντων, καὶ τῶν εὐλαβῶν καὶ Μοναχῶν ἁμαρτήματα, καὶ τὰ μικρὰ μεγάλοις βασάνοις ἐξετάζονται.

Ἐκεῖνοι, οἱ Μοναχοὶ καὶ εὐλαβεῖς λαϊκοί, ποὺ ἔλαβον παρὰ Θεοῦ τὴν θείαν γνῶσιν τιμωροῦνται μὲ μεγάλας τιμωρίας καὶ διὰ τὰ παραμικρὰ πταίσματα.

Α΄. Ἐν τῷ διηγήματι τῶν περιόδων τοῦ Θεολόγου


ΜΕΤΑ τὴν τοῦ Κυρίου Ἀνάληψιν, τῶν Ἀποστόλων ἐν Γεθσημανῇ συνηγμένων, καὶ κατὰ τὴν Ἐκείνου πρόσταξιν εἰς πάντα τὸν κόσμον διασκοπουμένων πορεύεσθαι, ἵνα τοὺς ἐξ ἐθνῶν μαθητεύσωσι, τὰ τῆς οἰκουμένης μέρη κλήροις διεμέριζον· ἔπεσεν οὖν ὁ τῆς Ἀσίας κλῆρος ἐπὶ Ἰωάννη.

2. Ὁ δὲ βαρέως ἤνεγκε, λογισμῷ μᾶλλον ἀνθρωπίνῳ ἢ πίστει ταλαντεύσας τὸ κατορθούμενον, τῷ πάντῃ κατείδωλον εἶναι ταύτην καὶ δυσανάκλητον λογισάμενος ἔπεσθαι· ὅθεν καὶ δισταγμῷ περιπέπτωκε.

3. Συνεὶς δὲ θᾶττον ὡς ἐξ ἀσθενείας τῶν λογισμῶν προσπταῖσαι τῷ Κυρίῳ προδέδοται, ὑπαχθεὶς παρὰ τὸ εἰκὸς τῷ ὀλίσθῳ τοῦ δισταγμοῦ, ἐδάκρυσε καὶ πεσὼν δεηθῆναι τοῦ Κυρίου τοὺς Ἀποστόλους ᾐτήσατο δοθῆναι συγγνώμην αὐτῷ· ἔφη τε πρὸς αὐτούς, δακρύων ἅμα καὶ στένων· ἥμαρτον, Πατέρες καὶ ἀδελφοί, ἐπὶ τῷ κλήρῳ τῆς Ἀσίας ἀνιαθείς, καὶ μονονουχὶ ἐξασθενήσας τῇ πίστει καὶ μὴ ἐπιμνησθεὶς τῆς τοῦ Κυρίου προῤῥήσεως εἰπόντος, πάντα δυνατὰ τῷ πιστεύοντι· διὸ καὶ ἐγνωρίσθη μοι ὡς μεγάλην εἰσπραχθήσομαι δίκην, τούτου ἕνεκεν, διαποντίῳ κινδύνῳ παραδοθείς· εὐχὴ οὖν ἐκτενὴς γενέσθω πρότερον, καὶ ὡς ὁ Κύριος ἐκέλευσε πορευσόμεθα.

4. Εὐξάμενοι οὖν ἀπῄεσαν εἰς τοὺς κληρωθέντας αὐτοῖς τόπους, ἕκαστος προσλαβόμενος μεθ᾽ ἑαυτοῦ εἰς ὑπηρέτην ἕνα τῶν ἑβδομήκοντα. Λαβὼν ὁ Ἰωάννης τὸν Πρόχωρον εἰς Ἰόππην κατήχθησαν, εἶτα τῇ ἑξῆς ἐμβάντες εἰς πλοῖον εἰς τὴν Ἀσίαν ἀπέπλεον.

5. Ἤρξατο οὖν ὁ Ἰωάννης δακρύειν, καὶ φησὶ πρὸς τὸν Πρόχωρον, μηδενὸς ἄλλου ἀκούοντος· ἦσαν γὰρ ἐν τῷ ἐσχάτῳ τόπῳ τοῦ πλοίου καθήμενοι· τέκνον Πρόχωρε, θλῖψις κινδύνου θαλασσίου ἐπέρχεταί μοι καὶ πολλὰ τιμωρηθήσεταί μου τὸ πνεῦμα, περὶ δὲ ζωῆς ἢ θανάτου οὐκ ἀπεκάλυψέ μοι ὁ Θεός· ἐὰν οὖν αὐτὸς διασωθῇς, βάδιζε ἐπὶ τὴν Ἀσίαν, καὶ πρὸς τῇ Ἐφέσῳ γενόμενος, ἐπίμεινον ἐκεῖσε


Ἡ ΤȢ ἉΓΙȢ ἸΩΑΝΝΟΥ ΤȢ
ΘΕΟΛΟΓȢ ΔΙΑΣΩΣΙΣ ἘΚ ΤȢ
ΝΑΥΑΓΙΟΥ
ἅγ. Πρόχορος
Ράλλης
Κοψίδης 63.

μῆνας τρεῖς· καὶ εἰ μὲν διὰ τοσούτου παραγένωμαι, τὴν διακονίαν ποιούμεθα· εἰ δὲ μή, ὑπόστρεφε εἰς Ἱεροσόλυμα εἰς Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, καὶ ὃ ἐὰν ἐπιτρέψῃ σοι, ἐκεῖνο ποίησον. Ὅτε δὲ τοῦτο ἔλεγεν ὁ Ἰωάννης ὥρα ἦν ὡς δεκάτη τῆς ἡμέρας.

6. Εὐθὺς οὖν λαίλαπος ἀγρίας διεγερθείσης, ὑπὸ τῆς βίας τῶν κυμάτων διεῤῥάγη τὸ πλοῖον, καὶ πάντων εἰς τὴν θάλασσαν ἐκπεσόντων, οἱ μὲν ἄλλοι πάντες, ἓξ καὶ τεσσαράκοντα ὄντες, νεύσει Θεοῦ ἄλλος ἄλλου σκεύους ἢ ξύλου λαβόμενοι, πρὸς τὴν χέρσον ἀβλαβεῖς διεσώθησαν· μόνος δὲ ὁ Ἰωάννης τῷ πελάγει ἐναπελείφθη.

7. Ὁ οὖν Πρόχωρος ἐκ Σελευκείας ἀπάρας, ἐκεῖ γὰρ ἐξεβράσθη, διὰ τεσσαράκοντα ἡμερῶν τὴν Ἀσίαν καταλαμβάνει, καί τι χωρίον διήει παράλιον, Μαρμαρεώτην καλούμενον· ἀτενίσας δὲ τῇ θαλάσσῃ, ἐθεάσατο σὺν μεγίστῳ καὶ ἐπηρμένῳ κύματι, τῇ χέρσῳ προσρηγνυμένῳ, ἐκβρασσόμενον ἄνθρωπον.

8. Ἔδραμεν οὖν ἀντιλαβέσθαι αὐτοῦ· ὁ δὲ προφθάσας ἀνέστη, καὶ ἐπιγνόντες ἀλλήλους, ἐκ περιχαρείας περιεπλάκησαν δακρύοντες, καὶ τῷ κηδεμόνι Θεῷ εὐχαριστοῦντες ὑπὲρ τῆς σωτηρίας ἀλλήλων καὶ ἀπολήψεως. Εἶτα μικρὸν ἀναλαβὼν ἑαυτὸν ὁ Ἰωάννης διηγήσατο τῷ Προχώρῳ, ὡς τὰς τεσσαράκοντα ἡμέρας καὶ νύκτας τὸ ὑπερθαύμαστον, θείᾳ δυνάμει συνεχόμενος, καὶ διαπορθμευόμενος ἀῤῥήτως ἐπὶ τῶν κυμάτων τῆς θαλάσσης πεποίηκε, διδασκόμενος πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ τῇ ἀσθενείᾳ τῶν ἀνθρωπίνων λογισμῶν, καὶ πείθεσθαι ἀνενδοιάστως τοῖς ὑπ' αὐτοῦ κελευομένοις.

9. Εἶπεν ὁ μακάριος Ἐπιφάνιος, ὅτι ὁ Θεὸς τοῖς μὲν ἁμαρτωλοῖς μετανοοῦσι καὶ τὸ κεφάλαιον ἀφίησιν, ὡς τῇ πόρνῃ καὶ τῷ τελώνῃ· τοὺς δὲ δικαίους ἀπαιτεῖ καὶ τόκους. καὶ τοῦτό ἐστιν ὃ τοῖς Ἀποστόλοις ἔλεγεν· «ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλέον τῶν Φαρισαίων καὶ Γραμματέων, οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν».

10. Εἶπε γέρων· ὁ Θεὸς ἀνέχεται τὰς ἁμαρτίας τοῦ κόσμου, τὰς δὲ ἁμαρτίας τῆς ἐρήμου οὐκ ἀνέχεται· ὁ μὲν γὰρ ἐν τῷ κόσμῳ ἔχει πολλὰς προφάσεις τοῦ ἁμαρτάνειν, ὁ δὲ τοῦ κόσμου ἀναχωρήσας οὐδὲ μίαν, ὅσον ἐκ τῶν ἔξωθεν, ἐὰν αὐτὸν φυλάττῃ καὶ ἀγωνίζεται.

Ἑρμηνεία

ΜΕΤΑ τὴν Ἀνάληψιν τοῦ Κυρίου οἱ Ἀπόστολοι εἶχον συγκεντρωθῆ εἰς Γεθσημανῆ· συμφώνως λοιπὸν μὲ τὴν διαταγὴν Ἐκείνου, ὅταν ἀκόμη εὑρίσκετο ἐπὶ τῆς γῆς, νὰ διδάξουν τοὺς εἰδωλολάτρας πορευόμενοι εἰς ὅλον τὸν κόσμον, «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη» (Ματθ. κη', 19), προσδιώριζον διὰ κλήρων τὴν περιοχήν, ποὺ θὰ μετέβαινεν ἕκαστος ἐκ τῶν Ἀποστόλων διὰ νὰ κηρύξῃ. Εἰς τὸν Ἀπόστολον λοιπὸν Ἰωάννην ἔπεσεν ὁ κλῆρος νὰ μεταβῇ εἰς τὴν Ἀσίαν.

2. Ἐκ τοῦ γεγονότος αὐτοῦ ὁ Ἀπόστολος ἐλυπήθη καὶ ἐστενοχωρήθη, διότι ἀμφέβαλλε διὰ τὸ ἀποτέλεσμα τῆς ἀποστολῆς του καὶ δὲν ἦτο βέβαιος διὰ τὴν ἐπιτυχίαν τοῦ κηρύγματος· τοῦτο ἀσφαλῶς συνέβη εἰς αὐτόν, διότι δὲν εἶδε τὸ ζήτημα μὲ πίστιν, ἀλλ' ἐπηρεάσθη ἀπὸ ἀνθρώπινον λογισμὸν καὶ ἐσκέφθη, πρὸς στιγμήν, ὅτι ἡ Ἀσία ἀπ' ἄκρου εἰς ἄκρον εἰδωλολατρεῖ καὶ ὡς ἐκ τούτου μετὰ μεγάλης δυσκολίας θὰ προσέλθῃ πλησίον τοῦ Χριστοῦ, διὰ νὰ ἀκολουθήσῃ τὴν ὑψη-

λήν Του διδασκαλίαν. Ἐξ ἀφορμῆς τῶν σκέψεων αὐτῶν ἤρχισε καὶ νὰ διστάζῃ.

3. Ἀντελήφθη ὅμως συντόμως, ὅτι διὰ τῶν ἀσθενῶν αὐτῶν λογισμῶν ἔσφαλεν εἰς τὸν Κύριον καὶ ἐφάνη ἄπιστος εἰς Αὐτόν, νικηθείς, χωρὶς λόγον, ἀπὸ τὴν ἀμφιβολίαν καὶ τὸν δισταγμόν. Ἀμέσως τότε ἤρχισε νὰ δακρύῃ καὶ πίπτων εἰς τοὺς πόδας τῶν ἄλλων Ἀποστόλων ἐζήτει παρ' αὐτῶν νὰ παρακαλέσουν τὸν Κύριον νὰ τὸν συγχωρήσῃ· συγχρόνως δὲ ἐξωμολογεῖτο πρὸς αὐτοὺς λέγων μετὰ δακρύων καὶ στεναγμῶν· Πατέρες καὶ ἀδελφοί μου, ἡμάρτησα, διότι ἐδυσφόρησα, ἐπειδὴ μοῦ ἔλαχεν ὁ κλῆρος τῆς Ἀσίας καὶ σχεδὸν ἐξησθένησεν ἡ πίστις μου, μὴ ἐνθυμηθεὶς τοὺς προφητικοὺς λόγους τοῦ Κυρίου, ὅτι εἰς τὸν πιστεύοντα εἶναι ὅλα δυνατά· «πάντα δυνατὰ τῷ πιστεύοντι» (Μάρκ. θ', 23). Διὰ τὴν δυσφορίαν μου καὶ ὀλιγοπιστίαν αὐτὴν μοῦ ἀπεκάλυψεν ὁ Θεός, ὅτι θὰ τιμωρηθῶ αὐστηρῶς εἰς μίαν ἐπικίνδυνον θαλασσίαν περιπέτειαν. Ἂς προσευχηθῶμεν πάντως προηγουμένως εἰς τὸν Κύριον μὲ ψυχικὴν ἔντασιν καὶ ἂς φύγωμεν ὁ καθεὶς εἰς τὸν προορισμὸν ποὺ ἔταξεν εἰς ἡμᾶς ὁ Κύριος.

4. Ἀφοῦ λοιπὸν προσηυχήθησαν, ἀνεχώρησαν εἰς τοὺς διαφόρους τόπους, ποὺ ἐκληρώθησαν εἰς ἕνα ἕκαστον, παραλαβόντες πλησίον των ὡς βοηθόν, διὰ νὰ τοὺς ὑπηρετῇ, ἕνα ἐκ τῶν ἑβδομήκοντα Ἀποστόλων. Ὁ Ἰωάννης παρέλαβεν ὡς βοηθὸν τὸν Πρόχωρον· μαζὶ δὲ κατῆλθον εἰς Ἰόππην, ἀπὸ ὅπου τὴν ἑπομένην ἡμέραν ἐπέβησαν εἰς πλοῖον καὶ ἀνεχώρησαν διὰ τὴν Ἀσίαν.

5. Κατὰ τὸ διάστημα τοῦ ταξιδίου ὁ Ἰωάννης ἦτο θλιμμένος καὶ ἀπὸ καιροῦ εἰς καιρὸν ἐδάκρυζεν. Εἰς τὴν κατάστασιν αὐτὴν εὑρισκόμενος καλεῖ πλησίον του τὸν Πρόχωρον καὶ ἀφοῦ ἐκάθησαν εἰς τὴν ἄκρην τοῦ πλοίου, διὰ νὰ μὴ τοὺς ἀκούῃ κανείς, εἶπεν ὁ Ἰωάννης.

— Τέκνον μου, Πρόχωρε, αἰσθάνομαι νὰ μὲ ἀπειλῇ θλῖψις ἐξ αἰτίας θαλασσίου κινδύνου καὶ πολὺ θὰ τιμωρηθῇ τὸ πνεῦμά μου· δὲν μοῦ ἐφανέρωσεν ὅμως ὁ Θεὸς ἐὰν θὰ ἀποθάνω ἢ θὰ ἐπιζήσω ἀπὸ τὸν κίνδυνον αὐτόν. Ἐὰν λοιπὸν σὺ διασωθῇς ἀπὸ τὸν κίνδυνον αὐτόν, πήγαινε εἰς τὴν Ἀσίαν καί, ἀφοῦ φθάσῃς εἰς τὴν Ἔφεσον, περίμενέ με ἐκεῖ περίπου τρεῖς μῆνας. Ἐὰν κατὰ τὸ διάστημα αὐτὸ φθάσω καὶ ἐγώ, τότε πραγματοποιοῦμεν τὴν ὑπηρεσίαν, ποὺ μᾶς ἀνέθεσεν ὁ Θεός. Ἐὰν ὅμως, λόγῳ θανάτου, δὲν ἔλθω, τότε νὰ γυρίσῃς εἰς τὰ Ἱεροσόλυμα πλησίον τοῦ Ἰακώβου τοῦ Ἀδελφοθέου, καὶ αὐτὸ ποὺ θὰ σοῦ ἀναθέσῃ, νὰ τὸ ἐκτελέσῃς προθύμως. Ὅταν ἔλεγεν αὐτὰ ὁ Ἰωάννης ἡ ὥρα ἦτο περίπου δεκάτη τῆς ἡμέρας [1].

---

1) Ὡς γνωστὸν ἡ ἀρίθμησις τῶν ὡρῶν τοῦ 24ώρου παρὰ τοῖς Ἀνατολικοῖς καὶ Βυζαντινοῖς ὑπελογίζετο διαφοροτρόπως. Ἡ δύσις τοῦ ἡλίου ἦτο πάντοτε ἡ 12η ὥρα! Ἑπομένως ἡ περὶ ἧς ὁ λόγος 10η τῆς ἡμέρας ὑποδηλοῖ χρόνον ἐγγὺς τῆς δύσεως.

6. Ἀμέσως καὶ ὅλως αἰφνιδίως ἠγέρθη εἰς τὸ πέλαγος φοβερὰ καταιγὶς καὶ τὸ πλοῖον κατεστράφη λόγῳ τῆς σφοδρότητος τῶν κυμάτων. Οἱ ἐπιβαίνοντες ἐρρίφθησαν εἰς τὴν θάλασσαν· ἐξ αὐτῶν τεσσαράκοντα ἕξ (46), προνοίᾳ Θεοῦ, διεσώθησαν εἰς τὴν ξηρὰν ἀβλαβεῖς, χρησιμοποιήσαντες ὡς σωσίβια ἄλλος ξύλα καὶ ἄλλος ἄλλα τοῦ πλοίου ἀντικείμενα. Μόνον ὁ Ἰωάννης ἐγκατελείφθη εἰς τὸ πέλαγος!

7. Τὸν Πρόχωρον τὰ κύματα τὸν ἔρριψαν εἰς Σελεύκειαν, ἀπὸ ὅπου ἀνεχώρησε καὶ ἐπὶ 40 ἡμέρας ὁδοιπορῶν ἔφθασεν εἰς Ἀσίαν, καὶ συγκεκριμένως εἰς ἕνα παράλιον χωρίον αὐτῆς ὀνομαζόμενον Μαρμαρεώτην. Ἔξαφνα, ἐνῷ παρετήρει τὴν θάλασσαν, βλέπει ἕνα τεράστιον καὶ ὑψηλὸν κῦμα νὰ σπάῃ εἰς τὴν παραλίαν καὶ νὰ ἐκβράζῃ ἕνα ἄνθρωπον!

8. Ἔτρεξε τότε διὰ νὰ βοηθήσῃ τὸν ναυαγὸν καὶ τί νὰ ἴδῃ! Ἦτο ὁ διδάσκαλός του, ὁ Ἀπόστολος Ἰωάννης! Τότε ἐκεῖνος συνῆλθε καὶ ἐσηκώθη καὶ ἀναγνωρίσαντες ἀλλήλους ἐνηγκαλίσθησαν μεταξύ των κατασπαζόμενοι ὁ ἕνας τὸν ἄλλον μετὰ δακρύων. Περιχαρεῖς δὲ ηὐχαρίστησαν τὸν Θεόν, ποὺ τόσον στοργικῶς ἐφρόντισε δι' αὐτούς, ὥστε νὰ τοὺς σώσῃ, ἀλλὰ καὶ νὰ συναντηθοῦν τόσον θαυμαστῶς! Μετά, ἀφοῦ συνῆλθεν ὀλίγον ὁ Ἰωάννης, ἤρχισε νὰ διηγῆται εἰς τὸν Πρόχωρον τὸ θαῦμα τῆς διασώσεώς του.

— Ἐπὶ τεσσαράκοντα ἡμέρας καὶ νύκτας, κατὰ τρόπον ὑπερθαύμαστον, ἡ δύναμις τοῦ Θεοῦ μὲ διεφύλαττε καὶ μὲ κατηύθυνεν ὡς πλοῖον ἐπὶ τῶν κυμάτων.

Ἐὰν μὲ ἐρωτήσῃς, Πρόχωρε, τίνι τρόπῳ; Τί νὰ σοῦ εἰπῶ· μυστηριωδῶς καὶ ἀρρήτως!

Ἀπὸ ὅλην αὐτὴν τὴν περιπέτειαν ἕνα μεγάλο δίδαγμα ἀπεκόμισα· ὅτι εἶναι προτιμότερον νὰ ἐμπιστευώμεθα εἰς τὸν Θεόν, παρὰ εἰς τὰς ἀσθενεῖς ἡμῶν δυνάμεις καὶ νὰ πειθαρχῶμεν, χωρὶς φόβον, εἰς ὅσα ὁ Θεὸς μᾶς διατάσσει.

9. Ὁ μακάριος Ἐπιφάνιος εἶπε κάποτε τὸ ἑξῆς: Ὁ Θεὸς εἰς ὅσους ἁμαρτωλοὺς μετανοοῦν, χαρίζει καὶ τὸ κεφάλαιον· αὐτὸ συνέβη μὲ τὴν πόρνην, τὸν τελώνην καὶ τοὺς λοιπούς. Ἀπὸ τοὺς δικαίους ὅμως ἀπαιτεῖ καὶ τοὺς τόκους. Αὐτὸ σημαίνουν οἱ λόγοι τοῦ Κυρίου. «Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν» (Ματθ. ε', 20).

10. Ἕνας Γέρων Ἀσκητὴς εἶπεν: Ὁ Θεὸς ἀνέχεται τὰς ἁμαρτίας τῶν ἀνθρώπων, ποὺ ζοῦν εἰς τὸν κόσμον· δὲν συγχωρεῖ ὅμως εὐκόλως τὰς ἁμαρτίας τῶν Ἀσκητῶν τῆς ἐρήμου, διότι ὁ κοσμικὸς ἔχει πολλὰς εὐκαιρίας νὰ ἁμαρτήσῃ, ἐνῷ ὁ Ἀσκητὴς οὐδεμίαν ἀπὸ ὅσας ὑπάρχουν εἰς τὸν κόσμον, ἐφ' ὅσον βεβαίως περιφρουρεῖ τὸν ἑαυτόν του καὶ ἀγωνίζεται ἐναντίον τῶν λογισμῶν του.

ὙΠΟΘΕΣΙΣ ΙΓ΄

Ὅτι δεῖ γενναίως πρὸς τὴν ἀκηδίαν ἵστασθαι καὶ τὴν ἐκ δαιμόνων λύπην, καὶ περὶ ὑπομονῆς.

Πρέπει νὰ ἀντιστεκώμεθα μὲ γενναιότητα ἐναντίον τῆς ἀκηδίας, νὰ ἀντιμετωπίζωμεν τὴν ἐκ τοῦ δαίμονος λύπην, καὶ νὰ ἔχωμεν ὑπομονήν.

Α΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΙΠΕΝ ἡ μακαρία Συγκλητικὴ πρὸς τὰς συνελθούσας, ὅτι ἔστι λύπη ἐπωφελής, καὶ ἔστι λύπη φθοροποιός· τῆς οὖν χρησίμης λύπης τὸ μέν ἐστι περὶ τῶν οἰκείων ἁμαρτιῶν στένειν, τὸ δὲ καὶ περὶ τῆς τοῦ πλησίον ἀγνωσίας, τὸ δὲ πρὸς τὸ μὴ ἐκπεσεῖν τῆς προθέσεως· τὸ δὲ ἵνα τῆς τελειοτάτης ἐφάψηται ἀρετῆς.

2. Ἔστι δὲ καὶ παρὰ τοῦ ἐχθροῦ τις ὑποβαλλομένη λύπη, ἀλογίας μεστή, ἥτις καὶ ἀκηδία παρά τινων ὀνομάζεται· δεῖ δὲ ταύτην εὐχῇ μάλιστα καὶ ψαλμῳδίᾳ ἀποσοβεῖν, λογιζομένας ἡμᾶς ὡς οὐδεὶς ἐν τῷ βίῳ ἄφρων καὶ ἄλυπός ἐστι.

3. Φησὶ γὰρ ἡ Γραφή· πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην· καὶ ἐν βραχεῖ λόγῳ τὸ Ἅγιον Πνεῦμα τὸν μονήρη βίον καὶ τὸν κοσμικὸν πάντα διέλαβε· διὰ μὲν γὰρ τοῦ πόνου τῆς κεφαλῆς, τὴν μοναδικὴν πολιτείαν διέγραψε· κεφαλῆς γὰρ τύπον τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἐπέχει· καθὼς καὶ ἀλλαχοῦ λέγει, ὅτι τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ὑπὲρ κεφαλῆς αὐτοῦ· ἐν ταύτῃ γὰρ τὸ διορατικὸν εἶναι λέγουσιν· ὁ δὲ πόνος σημαίνει, ὅτι πᾶσα ἀρετῆς βλάστησις ἐκ πόνων προέρχεται.

4. Διὰ δὲ τῆς ἐν καρδίᾳ λύπης, τὸ ἄστατον καὶ μοχθηρὸν ἐδήλωσεν ἦθος· ὡς γὰρ ἡ καρδία ἀεικίνητός τέ ἐστι, καὶ θυμοῦ καὶ λύπης οἰκητήριον εἶναι λέγεται, οὕτω κἀκεῖνοι τῆς ἀκαταστασίας καὶ λύπης οὐδέποτε ἀπαλλάττονται τέλεον· καὶ γὰρ μὴ δοξαζόμενοι λυποῦνται, τῶν ἀλλοτρίων ὀρεγόμενοι τήκονται, πενόμενοι δυσφοροῦσι, πλουτοῦντες ἐκμαίνονται, μηδὲ ὕπνου μεταλαβεῖν συγχωρούμενοι ταῖς μερίμναις καὶ τῇ τῶν προσόντων φυλακῇ.

5. Μὴ οὖν ὑποσύρωμεν ἡμεῖς τῷ φρονήματι, λέγουσαι τοὺς ἐν κόσμῳ ἀμερίμνους τυγχάνειν· ὡς γὰρ πρὸς σύγκρισιν, μᾶλλον ἡμῶν κοπιῶσιν, οὐ πᾶσι δέ εἰσιν ἁρμόδια τὰ λεγόμενα, ἀλλὰ μόνοις τοῖς τὸν μονήρη βίον μετερχομένοις· ὡς γὰρ τοῖς ζῴοις οὐ μία τροφή, οὕτως οὐδὲ τοῖς ἀνθρώποις συμφέρει ὁ αὐτὸς λόγος· οὐ δεῖ γάρ, φησι, νέον οἶνον βάλλειν εἰς ἀσκοὺς παλαιούς· ἄλλως γὰρ ἑστιῶνται οἱ θεωρίας καὶ γνώσεως ἀξιούμενοι, ἑτέρως δὲ οἱ ἀσκητικῆς καὶ πρακτικῆς ἐπιμελούμενοι, καὶ ἑτέρως οἱ κατὰ κόσμον.

6. Ὡς γὰρ τῶν ζῴων, τινὰ μέν ἐστι χερσαῖα, τινὰ δὲ ἔνυδρα, τινὰ δὲ πτηνά, οὕτω καὶ τῶν ἀνθρώπων· οἱ μὲν τὸν μέσον βίον κατέχουσιν ὡς τὰ χερσαῖα,

οἱ δὲ πρὸς τὰ ὑψηλὰ ἀτενίζουσιν, ὡς τὰ πτηνά, οἱ δὲ τοῖς ὕδασι τῶν ἁμαρτιῶν εἰσι κεκαλυμμένοι, ὡς ἰχθύες· «ἦλθον γάρ, φησιν, εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέ με»· ἡμεῖς οὖν ὡς ἀετοὶ πτεροφυήσασαι τῶν ὑψηλοτέρων ἀεὶ ὀρεγώμεθα.

7. Ἀδελφέ, ἔχε ὑπομονὴν τελείαν ἐν ᾧ ἐκλήθης ἔργῳ, καὶ μὴ γίνου ἀκηδιαστής, μισῶν τοὺς διὰ Κύριον κόπους· εἰ γὰρ δέσμιοί ἐσμεν τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, μὴ ἐπαισχυνθῶμεν τὴν ἅλυσιν τῶν δι' Αὐτὸν θλίψεων, ἀλλὰ μετὰ χαρᾶς ταύτην ὑπομένωμεν, τὴν ἅλυσιν Αὐτοῦ προσδοκῶντες τὴν ἐξ οὐρανοῦ, ἵνα ἡμᾶς συναριθμήσῃ τῷ χορῷ τῶν Ἁγίων.

8. Οἱ γὰρ κοινωνήσαντες τοῖς παθήμασιν Αὐτοῦ, κοινωνοὶ ἔσονται καὶ τῆς παρακλήσεως· εἰ δὲ καὶ περὶ τοῦ κόπου τοῦ ἔργου δυσφορεῖ τις, ἐννοησάτω πόσοι εἰσὶ κατὰ τὸν κόσμον χειραλγοὶ καὶ ποδαλγοί, οὐ μόνον πλούσιοι, ἀλλὰ καὶ πένητες, οἳ οὐδὲ ἐν νυκτί, οὐδὲ ἐν ἡμέρᾳ ἀναπαύονται, ὑπὸ τῆς ἀνάγκης τῶν πόνων ἀεὶ τρυχόμενοι, καὶ τῇ τοιαύτῃ ἀρρωστίᾳ ὡς ἐν ἁλύσει ἀεὶ πεπέδηνται.

9. Ἡμεῖς δὲ κτησώμεθα ἑκούσιον πόνον καὶ αὐθαίρετον ὑπομονήν, διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν· ἑδραίαν οὖν ἀεὶ καρδίαν ἔχωμεν, καὶ εἰ συμβῇ ἡμῖν μικρὰ ἀκηδία, μὴ εὐθὺς ὀλιγοψυχήσωμεν, ἀλλὰ βιασώμεθα ἑαυτούς, ὥσπερ εὔψυχος ὁδοιπόρος· καὶ γὰρ τῷ τοιούτῳ, ὅταν συμβῇ μαλακία ἐν τῇ ὁδῷ, οὐκ ἐνδίδωσι τῆς ὁδοῦ τοῦ σκοποῦ, κἂν μακρὰ ᾖ, ἀλλὰ παρακαλεῖ ἑαυτὸν λέγων· ἔτι μικρὸν καὶ ἐλεύσῃ ἐν τῷ καταλύματι καὶ ἀναπαύσῃ· καὶ ὁ Κύριος, βλέπων τὴν βίαν, παρέχει αὐτῷ ἰσχὺν τὴν ἀνωμαλίαν κουφίζων· ἡ γὰρ νωθρία καὶ ἡ ὀκνηρία πενίας εἰσὶ πρόξενοι, οὐ μόνον τῶν κατὰ πνεῦμα χαρισμάτων, ἀλλὰ καὶ τῶν κατὰ σάρκα χρειῶν.

10. Μὴ οὖν ὀλιγωρῶμεν, ἀδελφοί, δουλεύοντες ἀλλήλοις διὰ τὸν Κύριον· πολλοὶ γὰρ παιδίσκης ἐρασθέντες, ᾑρετίσαντο δουλεύειν διὰ τὴν ποθουμένην, μηδὲ ἀκηδιῶμεν καθεζόμενοι ἐν τῷ κελλίῳ, μνημονεύοντες ὅτι οἱ Ἅγιοι Μάρτυρες κατάκλειστοι ὑπῆρχον ἐν δεσμοῖς σιδηροῖς, μετὰ καὶ ἄλλων πολλῶν βασάνων.

11. Μὴ οὖν ἀποφύγωμεν τὴν στενοχωρίαν τοῦ κελλίου· οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ κόπου σου, ἀλλὰ καὶ ὑπὲρ τῆς σκοτίας, ἧς ἀνέχῃ ἐν τῷ κελλίῳ καθεζόμενος, ἐπιλάμψει σοι τὸ φῶς τῆς ἀληθείας, καθὼς γέγραπται· «ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι»· μηδὲ ἐκκακῶμεν ἐργαζόμενοι, μνημονεύοντες ὅτι πολλοὶ τῶν Ἁγίων ἐν τοῖς μετάλλοις ἐπέμποντο διὰ τὸν Κύριον· ἆρα οὖν εἰ ἦμεν ἡμεῖς ἐν τοῖς χρόνοις ἐκείνοις, προεδιδώαμεν τὴν ἑαυτῶν ζωὴν διὰ τὰς στρεβλώσεις καὶ τὰς ἀνάγκας;

12. Μιμνησκώμεθα ἀεί, ἀδελφοί, τῶν εὐεργεσιῶν τοῦ Θεοῦ ἡμῶν τοῦ πλάσαντος ἡμᾶς κατὰ πάντα, τοῦ ἐξάγοντος ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ πρὸς διακονίαν ἡμῶν, τοῦ ἀνάγοντος νεφέλας ἐξ ἐσχάτου τῆς γῆς πρὸς ὑπηρεσίαν ἡμῶν, τοῦ πληθύνοντος κτήνη, πτηνά, ἔνυδρα πρὸς ὑπηρεσίαν τοῦ γένους ἡμῶν, τοῦ ποιήσαντος τὸν ἥλιον εἰς φῶς τῆς ἡμέρας, καὶ τὴν σελήνην καὶ τὰ ἄστρα εἰς φῶς τῆς νυκτὸς διὰ τὸ γένος ἡμῶν, καὶ σώσαντος ἡμᾶς διὰ τοῦ μυστηρίου τοῦ Σταυροῦ Αὐτοῦ τοῦ τιμίου· δουλεύσωμεν αὐτῷ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ καὶ ἐλπίδι ἀγαθῇ, ὅτι πάροικοί ἐσμεν ἐν τῷ βίῳ τούτῳ, κατὰ τὸν λέγοντα· «πάροικος καὶ παρεπίδημος εἰμί, καθὼς πάντες οἱ πατέρες μου».

13. Ἀδελφέ, ἐγκαρτέρει ἐν ᾧ τόπῳ καθέζῃ, τῇ ὀλιγωρίᾳ ἀνθιστάμενος· οὐ γὰρ ἐν τῇ μεταβάσει καὶ διαστάσει ἐξημεροῖς τὰ πάθη, ἀλλ' ἐν τῇ τοῦ νοῦ προσοχῇ· ὑπομονῆς γὰρ ἔχομεν χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες τύχωμεν τῶν ἐπαγγελιῶν, ὁ δὲ τῇ ἀκηδίᾳ συμπεριφερόμενος, μακρὰν ἀφέστηκε τῆς ὑπομονῆς, καθάπερ καὶ ὁ νοσῶν τῆς ὑγείας· ἡ οὖν ἀρετὴ ἐν τῇ ὑπομονῇ καὶ οὐκ ἐν τῇ ἀκηδίᾳ γνωρίζεται, ἡ δὲ ὑπομονὴ ἀνανεουμένη κρατύνεται ἐν τῷ τὸν νοῦν προσασχολεῖσθαι τῇ θεωρίᾳ καὶ μελέτῃ τῶν προσδοκωμένων.

14. Ἐκεῖθεν γὰρ πιαινόμενος ὁ νοῦς λαμβάνει ἰσχύν, καθάπερ καὶ τὸ σῶμα

ὑπὸ τῶν αἰσθητῶν βρωμάτων, εἰ δὲ ἀμοιρήσοιεν ὁ νοῦς ταύτης τῆς χάριτος καὶ τῆς ἀξίας, τῷ ὄντι πτωχὸς καὶ ἀσθενὴς ἀποκαθίσταται· ἀποτιναξάμενος οὖν τὴν προσπάθειαν τῶν ὑλικῶν, σχόλαζε τὸν νοῦν πρὸς ἐκείνην τὴν ἔνθεον ἐργασίαν, καὶ οὐκ ἀνάγκην ἕξεις μεταφέρειν τὸ σῶμα ἀπὸ τόπου εἰς τόπον, καὶ διακόπτειν τὴν μελέτην ἐν ταῖς ἀποδημίαις δίχα εὐλόγου αἰτίας καὶ τῆς τῶν προεστηκότων ἐπιτροπῆς· ἡ γὰρ Βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστιν, ὥς φησιν ὁ Κύριος.

15. Ἀναλόγισαι δέ, ἀγαπητέ, καὶ πόσοι ἐν τῷ κόσμῳ διαφόρως εἰσὶ στερούμενοι, ὥς τινες διὰ τὴν ἀπορίαν τὰ ἑαυτῶν ἐν ὑποθήκῃ παρέθεντο, ἑτέρων δὲ τέκνα δυνάστων αἰχμαλωσίᾳ πεσόντα καὶ εἰς δουλείαν πραθέντα, δουλεύουσιν οἰκτροτέροις αὐτῶν ἢ καὶ βαρβάροις ἐν γῇ ἀλλοτρίᾳ· ἄλλοι δὲ πτωχοὶ ὄντες καὶ μηδὲ τῆς ἐφημέρου τροφῆς εὐποροῦντες, ἐῤῥιμμένοι εἰσὶν ἐν ταῖς πλατείαις καὶ ῥύμαις τῶν πόλεων, ῥάκεσιν εὐτελέσι καὶ διεσχισμένοις καὶ ῥυπαροῖς τῷ ψύχει καὶ τῷ καύματι προσταλαιπωροῦντες, τινὲς δὲ αὐτῶν καὶ νόσοις χαλεπαῖς ἐξετάζονται· ἐῶν γὰρ λέγειν τοὺς ἐν φυλακαῖς κατακεκλεισμένους καὶ μετάλλοις κακοπαθοῦντας· ἡμῖν δὲ οὐ πολύ ἐστιν, ὅτι ἔχομεν τὴν σκέπην ταύτην, ἣν ἡμῖν ἐχαρίσατο ὁ Θεός, καὶ τὴν ἀμεριμνίαν τῶν κοσμικῶν πραγμάτων καὶ ταραχῶν;

16. Τούτων μέμνησο, καὶ ἔσῃ εὐχαριστῶν τῷ Θεῷ, ἕνεκεν τῶν ἀπείρων αὐτοῦ εὐεργεσιῶν, ὧν ἐποίησε καὶ ποιεῖ καθ' ἡμῶν· καὶ αὐτοῖς δὲ τοῖς δοκοῦσιν εὐημερεῖν, κατὰ τὸν βίον, τί ἀγαθὸν ὁ κόσμος παρέχει, εἰμὴ μόνον κόπους καὶ μερίμνας τοῦ βίου ἀπείρους; καὶ γὰρ ἔλαβέ τις γυναῖκα; ἀρχὴ μερίμνης· ἐγέννησεν υἱόν; φροντὶς ἑτέρα· ἐτέχθη ἕτερος; πλείων ἡ μέριμνα· ἀπέθανεν ὁ εἷς υἱός; κατέλιπε τοῖς γεννήτορσιν αὐτοῦ πένθος ἀπαραμύθητον, εἰ δὲ καὶ ὁ ζῶν ἀποβῇ κακόφρων, ὀδυνῶνται οἱ γονεῖς περὶ αὐτοῦ μᾶλλον ἢ περὶ τοῦ τεθνεῶτος.

17. Τέλος δὲ πάντων ὅταν ἔλθῃ τῷ ἀνδρὶ ἡ ὥρα τοῦ θανάτου, πλέον ὑπὲρ τῆς εἰς τὴν σύμβιον αὐτοῦ καὶ τὰ τέκνα συμπαθείας ὁ τελευτῶν θλίβεται, καὶ τὰ σπλάγχνα ταράττεται ἢ ὑπὸ τῆς τοῦ θανάτου ὀδύνης, λογιζόμενος, ὅτι τὴν μὲν χήραν κατέλιπε, τὰ δὲ ὀρφανά. Τούτων δὲ πάντων ἠλευθέρωσεν ἡμᾶς ὁ τοῦ Χριστοῦ ζυγός, ὁ χρηστός τε καὶ ἐλαφρότατος· μέγιστα δὲ συμβάλλεται πρὸς ἀκηδίας ἀποτροπὴν καὶ ἡ τοῦ θανάτου μνήμη. Δεῖ οὖν τὸν ὑπ' αὐτῆς ἐνοχλούμενον πρῶτον μὲν δέεσθαι τοῦ Θεοῦ ἵνα παράσχῃ αὐτῷ ὑπομονήν τε καὶ μακροθυμίαν, εἶτα καὶ παρακαλεῖν τὴν ἑαυτοῦ ψυχὴ λέγοnnτα· «ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου καὶ ὁ Θεός μου».

18. Μὴ γὰρ διαπαντὸς δεῖ ἡμᾶς κατοικεῖν ἐν τῷ βίῳ τούτῳ; ἄκουε τοῦ λέγοντος· «πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου». Ἀναλόγισαι τοὺς προενοικήσαντας ἐν τῷ Μοναστηρίῳ, ᾧ σὺ παροικεῖς, καὶ γνῶθι ὅτι καθάπερ κἀκεῖνοι παρῆλθον ἐκ τοῦ αἰῶνος τούτου, οὕτω καὶ ἡμᾶς Θεοῦ βουλήσει δεῖ παροικήσαντας ἀπιέναι, ἡ δὲ ἀληθὴς ζωὴ μετὰ τὴν τελευτὴν ὑπάρχει· διὸ καὶ ὁ Προφήτης ἐκείνην τὴν ζωὴν ἐπιποθῶν, ἐβόα πρὸς τὸν Θεὸν λέγων· «ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ»;

19. Ὡς γὰρ δεσμωτήριον ἡγοῦντο οἱ Ἅγιοι τὸν παρόντα βίον, ὅθεν καὶ ἐν ἑτέρῳ λέγει· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ». Οὕτω καὶ ὁ Ἀπόστολος τὴν ἐπιθυμίαν εἶχε τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· ἐὰν γὰρ ὁ ἄνθρωπος μισήσῃ τὸν κόσμον τοῦτον καὶ τὴν ἀπάτην αὐτοῦ, καὶ ποθήσῃ τὰ οὐράνια, δοῦλον ἑαυτὸν παρίστησι τῷ Κυρίῳ ἐν ὅλῃ καρδίᾳ καὶ ψυχῇ, καὶ ζητεῖ πρὸς τὰ ποθούμενα ἀπελθεῖν· διὸ καὶ οὐδέποτε κατισχῦσαι αὐτοῦ ἡ ὀλιγωρία καὶ ἀκηδία δυνήσεται· ἐφ' ὅσον δὲ ἡ ψυχὴ τὰ γήϊνα φαντάζεται, αἱ ποικιλίαι τῶν ἐπιθυμιῶν τοῦ κόσμου τούτου καὶ αἱ μάταιαι ἡδοναὶ προσαγόμεναι αὐτῇ διὰ τῶν λογισμῶν, ἐκλύουσι τὸν τόνον αὐτῆς, ὅθεν καὶ ὀλιγωρεῖ.

Η ΜΑΚΑΡΙΑ Συγκλητική ἀνέπτυξε τὴν ἑξῆς διδασκαλίαν περὶ ἀκηδίας καὶ λύπης πρὸς τὰς Μοναχάς, αἱ ὁποῖαι συνεκεντρώθησαν:

Ἀδελφαί μου, εἶπεν, ἡ λύπη τὴν ὁποίαν δοκιμάζει ὁ ἄνθρωπος διακρίνεται εἰς δύο κατηγορίας· ἡ μία ἐξ αὐτῶν ὠφελεῖ καὶ ἡ ἄλλη καταστρέφει. Τὴν ὠφέλιμον λύπην θὰ τὴν διακρίνωμεν ἀπὸ τὰ ἑξῆς γνωρίσματα· ὁ λυπούμενος κλαίει καὶ ὀδύρεται διὰ τὰς ἰδικάς του ἁμαρτίας, ὅπως ἐπίσης καὶ διὰ τὴν πνευματικὴν ἄγνοιαν τοῦ πλησίον· ἐκτὸς δὲ αὐτῶν ὁ κατὰ Θεὸν λυπούμενος στενοχωρεῖται φοβούμενος μήπως παρεκκλίνῃ ἀπὸ τὸν σκοπὸν τῆς σωτηρίας του, ἀλλὰ καὶ διότι ἔχει τὴν ἀγωνίαν νὰ ἐγγίσῃ ἐνωρίτερον τὴν ἀπροσπέλαστον τελειότητα.

2. Ἐκτὸς ὅμως τῆς λύπης αὐτῆς, ἡ ὁποία ἀναβιβάζει τὸν ἄνθρωπον, ὑπάρχει καὶ ἡ ἄλλη, τὴν ὁποίαν ἐμπνέει εἰς ἡμᾶς ὁ ἐχθρὸς τῆς ψυχῆς μας, ὁ διάβολος, καὶ εἶναι γεμάτη ἀπὸ ἀπερισκεψίαν. Αὐτὴ ἡ λύπη ὀνομάζεται ἀπὸ μερικοὺς ἀκηδία, δηλαδὴ μελαγχολικὴ διάθεσις τῆς ψυχῆς καταδικάζουσα εἰς πνευματικὴν ἀδράνειαν τὸν ἄνθρωπον. Αὐτὴν τὴν ἀκηδίαν πρέπει μὲ τὴν ἀδιάλειπτον εὐχὴν καὶ τὴν ψαλμῳδίαν νὰ ἀποδιώκωμεν, σκεπτόμεναι, ὅτι κανεὶς ἀπερίσκεπτος εἰς τὴν ζωὴν δὲν ζῇ χωρὶς τοιαύτας λύπας, διότι ἡ ἀφροσύνη, ὡς πηγὴ κοσμικῶν μεριμνῶν, πάντοτε προκαλεῖ λύπην (1).

3. Ἡ Ἁγία Γραφὴ σχετικῶς λέγει· «Πᾶσα κεφαλὴ εἰς πόνον καὶ πᾶσα καρδία εἰς λύπην» (Ἡσ. α', 5). Εἰς αὐτὴν δὲ τὴν σύντομον ἔκφρασιν τὸ Ἅγιον Πνεῦμα συμπεριέλαβε τὴν μοναχικὴν καὶ ὅλην τὴν κοσμικὴν ζωήν· διότι ὅταν λέγῃ περὶ τοῦ πόνου τῆς κεφαλῆς, περιέγραψε τὴν μοναχικὴν πολιτείαν, ἐπειδὴ ἡ κεφαλὴ σημαίνει τὸ ἡγεμονικὸν τῆς ψυχῆς, ὅπως λέγει καὶ εἰς ἄλλο σημεῖον· «Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ» (Ἐκκλ. β', 14). Εἰς τὴν κεφαλὴν λέγουν, ὅτι ἑδρεύει τὸ διορατικόν. Ὁ δὲ πόνος σημαίνει, ὅτι ἡ καρποφορία τῆς ἀρετῆς ἐν γένει εἶναι ἀποτέλεσμα σκληρῶν κόπων καὶ προσπαθειῶν.

4. Ἀντιθέτως διὰ τῆς λύπης, ἡ ὁποία ἑδρεύει εἰς τὴν καρδίαν (πᾶσα καρδία εἰς λύπην), ὁ λόγος τοῦ Θεοῦ ἐφανέρωσε τὸν φιλοτάραχον καὶ πονηρὸν χαρακτῆρα. Διότι ὅπως ἀκριβῶς ἡ καρδία δὲν σταματᾷ καὶ εἶναι, καθὼς λέγουν, ἕδρα τοῦ θυμοῦ καὶ τῆς λύπης, τοιουτοτρόπως καὶ οἱ φιλοτάραχοι καὶ πονηροὶ χαρακτῆρες οὐδέποτε ἀπολυτροῦνται καθ' ὁλοκληρίαν ἀπὸ τοὺς βιοτικοὺς περισπασμοὺς καὶ τῆς ἐκ τούτων λύπης. Οἱ τοιοῦτοι λυποῦνται ὅταν δὲν δοξάζωνται ἀπὸ τοὺς ἀνθρώπους, λειώνουν ὅταν ἐπιθυμοῦν τὰ ξένα ἀγαθὰ καὶ δὲν δύνανται νὰ τὰ ἀπολαύσουν, στενοχωροῦνται ὅταν εἶναι πτωχοί, τρελλαίνονται ὅταν πλουτίσουν, ἐξ αἰτίας δὲ τῶν μεριμνῶν καὶ τῆς ἀγωνίας νὰ περιφρου-

---

1) Ἄφρων ἐννοεῖται, εἰς τὴν περίπτωσιν αὐτήν, ὁ πολυμέριμνος καὶ μὴ εἰς Θεὸν πλουτῶν. Ὁ πλούσιος ἄφρων τοῦ Εὐαγγελίου ἐδοκίμαζε λύπην, διότι δὲν εἶχε μέρος διὰ νὰ συνάξῃ τὴν πρωτοφανῆ καρποφορίαν τῶν ἀγρῶν του.

ρήσουν τὰ πλεονεκτήματά των οὔτε τὸν ὕπνον χαίρονται καὶ δὲν τὸν ἀπολαμβάνουν.

5. Ἂς μὴ μᾶς παρασύρῃ λοιπὸν πρὸς τὰ κάτω ἡ σκέψις, ὅτι οἱ κοσμικοὶ δὲν ἔχουν φροντίδας· ἐὰν κάμωμεν μίαν πρόχειρον σύγκρισιν, θὰ διαπιστώσωμεν, ὅτι κουράζονται περισσότερον ἀπὸ ἡμᾶς. Βεβαίως αὐτὰ ποὺ λέγομεν δὲν ἀφοροῦν ὅλους, ἀλλὰ μόνον ἐκείνους, ποὺ πραγματικῶς πορεύονται τὸν μοναχικὸν βίον. Διότι ὅπως ἀκριβῶς διὰ τὰ ζῷα δὲν ὑπάρχει μία τροφὴ ὡρισμένη, τοιουτοτρόπως καὶ ὅλους τοὺς ἀνθρώπους δὲν ὠφελεῖ ἡ αὐτὴ διδασκαλία. Σχετικῶς λέγει ἡ Ἁγία Γραφή, ὅτι δὲν πρέπει «νέον οἶνον βάλλειν εἰς ἀσκοὺς παλαιούς» (Ματθ. θ', 17). Ἀπὸ ἄλλην πνευματικὴν τράπεζαν τρώγουν ἐκεῖνοι, ποὺ ἠξιώθησαν τῆς ὑψηλῆς θεωρίας καὶ μυστικῆς γνώσεως, ἀπὸ ἄλλην οἱ ἐπιδιδόμενοι εἰς τοὺς ἀγῶνας τῆς ἀσκήσεως, καὶ ἀπὸ ἄλλην ὅσοι ζοῦν ἀκόμη κατὰ κόσμον.

6. Καὶ ὅπως ἀκριβῶς μεταξὺ τῶν ζῴων ἄλλα ζοῦν εἰς τὴν ξηράν, ἄλλα μέσα εἰς τὸ ὕδωρ καὶ ἄλλα πετοῦν ὑψηλά, τοιουτοτρόπως συμβαίνει καὶ μεταξὺ τῶν ἀνθρώπων· ἄλλοι βαδίζουν τὴν μέσην ὁδόν, ὅπως τὰ χερσαῖα· ἄλλοι πάλιν ἔχουν προσηλωμένην σταθερῶς τὴν προσοχήν των καὶ τὴν διάνοιάν των ὑψηλά, ὅπως τὰ πτηνά· ἄλλοι, τέλος, ἔχουν τελείως καλυφθῆ ἀπὸ τὰ ζοφερὰ ὕδατα τῆς ἁμαρτίας, ὅπως οἱ ἰχθεῖς. Ἰδοὺ τί λέγει διὰ τὴν τελευταίαν περίπτωσιν ἡ Ἁγία Γραφή· «Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης καὶ καταιγὶς κατεπόντισέ με» (Ψαλμ. ξη', 3). Ἡμεῖς λοιπόν, ὅπως οἱ ἀετοὶ ποὺ ἔβγαλαν πλέον πτερὰ καὶ ἐνίσχυσαν τοιουτοτρόπως τὰς πτέρυγάς των, ἂς ἐπιθυμοῦμεν ἐντόνως πάντοτε τὰ ὑψηλότερα.

7. Ἀδελφέ μου, νὰ ἐπιδείξῃς τελείαν ὑπομονὴν κατὰ τὴν διεξαγωγὴν τοῦ ἔργου, εἰς τὸ ὁποῖον ὑπὸ τοῦ Κυρίου ἐκλήθης καὶ νὰ μὴ γίνεσαι ἀδιάφορος, ἀποφεύγων τοὺς κόπους χάριν τοῦ Κυρίου καὶ μισῶν αὐτούς. Διότι, ἐὰν πράγματι θεωρῶμεν τοὺς ἑαυτούς μας δεσμίους τοῦ Θεοῦ ἡμῶν, ὁ ὁποῖος μᾶς ἔσωσε, δὲν πρέπει νὰ ἐντρεπώμεθα διὰ τὴν ἅλυσίδα τῶν θλίψεων, τὰς ὁποίας ὑφιστάμεθα χάριν Αὐτοῦ. Ἀπ' ἐναντίας μετὰ χαρᾶς πρέπει νὰ ὑπομένωμεν τὴν σειρὰν αὐτὴν τῶν θλίψεων, προσμένοντες μετ' ἐλπίδος τὴν ἐπιβράβευσιν ἐκ τῶν οὐρανῶν, ὥστε ἡ χάρις τοῦ μισθαποδότου Θεοῦ νὰ προσθέσῃ καὶ ἡμᾶς εἰς τὸν χορὸν τῶν Ἁγίων.

8. Διότι εἶναι ἀναμφισβήτητον, ὅτι ὅσοι ἐδοκίμασαν, μὲ τὴν θέλησίν των, τὰ παθήματα τοῦ Κυρίου ἀσφαλῶς θὰ καταστοῦν μέτοχοι καὶ τῆς παρηγορίας Αὐτοῦ, δηλαδὴ τῆς ἐπουρανίου Βασιλείας. Ἐὰν δὲ κανεὶς στενοχωρῆται ἐξ αἰτίας τοῦ κόπου, ποὺ προκαλεῖ τὸ ἔργον τοῦ Μοναχοῦ, ἂς σκεφθῇ πόσοι εἰς τὸν κόσμον ὑποφέρουν ἀπὸ ἰσχυροὺς πόνους τῶν χειρῶν καὶ τῶν ποδῶν, ὄχι μόνον πλούσιοι, ἀλλὰ καὶ πτωχοί, οἱ ὁποῖοι οὔτε ἡμέραν οὔτε νύκτα ἡσυχάζουν, ἀλλὰ βασανίζονται διαρκῶς ἀπὸ τὴν δριμύτητα τῶν πόνων. Οἱ τοιοῦτοι φαίνονται

πράγματι ὡς νὰ εἶναι δεμένοι μὲ ἰσχυρὰν ἅλυσίδα, ἡ ὁποία εἶναι ἡ ἀσθένειά των.

9. Ἡμεῖς ἂς ἀποκτήσωμεν θεληματικὸν πόνον καὶ ἂς ἐπιδείξωμεν αὐτοπροαίρετον ὑπομονήν, χωρὶς νὰ μᾶς ἐπιβάλλουν αὐτὰ οἱ ἄλλοι ἢ ἡ ἀνάγκη, χάριν τῆς Βασιλείας τῶν οὐρανῶν. Ἂς διατηρῶμεν πάντοτε λοιπὸν καρδίαν σταθερὰν καὶ ἀσάλευτον, καὶ ἐὰν κάποτε μᾶς συμβῇ μία παραμικρὰ πνευματικὴ ἀδράνεια, ἂς μὴ χάσωμεν ἀμέσως τὸ θάρρος μας, ἀλλὰ ἂς πιέσωμεν τοὺς ἑαυτούς μας, διὰ νὰ ἀντισταθῶμεν ἐπιτυχῶς, ὅπως ἀκριβῶς ὁ ἀνδρεῖος ὁδοιπόρος. Ὡς γνωστόν, ὁ ὁδοιπόρος, ὅταν κατὰ τὴν ὁδοιπορίαν του ἐξασθενήσῃ ὀλίγον, δὲν ὑποχωρεῖ, οὔτε ἐγκαταλείπει τὸν ἀντικείμενον σκοπὸν τῆς πορείας του, ὅσον μακρὰν καὶ ἂν εὑρίσκεται αὐτός, ἀλλὰ παρηγορεῖ τὸν ἑαυτόν του λέγων· κάμε ὀλίγην ὑπομονὴν καὶ θὰ φθάσῃς εἰς τὸ ξενοδοχεῖον, ὅπου θὰ ἀναπαυθῇς. Ὁ δὲ Θεός, ποὺ βλέπει τὴν προσπάθειαν του, τὸν ἐνισχύει καὶ μετριάζει τὴν κόπωσιν. Ἡ βραδυκινησία καὶ ἡ ὀκνηρία γίνονται πρόξενοι πείνης καὶ δυστυχίας, καὶ ἐπιφέρουν ζημίαν ὄχι μόνον εἰς τὰ πνευματικὰ χαρίσματα, ἀλλὰ καὶ εἰς τὴν θεραπείαν τῶν σωματικῶν ἀναγκῶν.

10. Ἂς φροντίζωμεν λοιπὸν μετ' ἐνδιαφέροντος, ἀδελφοί, νὰ ἐξυπηρετῶμεν ὁ εἷς τὸν ἕτερον πρὸς χάριν τοῦ Κυρίου, διότι πολλοὶ εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι ὄχι διὰ τὸν Κύριον, ἀλλὰ διὰ μίαν νεαρὰν κόρην, ἐπειδὴ τὴν ἠγάπησαν καὶ ἐπόθησαν νὰ τὴν λάβουν ὡς σύζυγον ἐπροτίμησαν νὰ γίνουν δοῦλοι εἰς τὴν οἰκογένειάν της[1]. Οὔτε πάλιν νὰ ἀδιαφορῶμεν διὰ τὸ ἔργον τῆς σωτηρίας μας, νικώμενοι ἀπὸ μελαγχολίαν, ἐπειδὴ καθήμεθα εἰς τὸ κελλίον μας, ἐνθυμούμενοι, ὅτι οἱ Ἅγιοι Μάρτυρες ἦσαν κατάκλειστοι εἰς σιδερόφρακτα κελλία τῶν φυλακῶν, τυραννούμενοι ἀπὸ φρικτὰ βασανιστήρια.

11. Ἂς μὴ ἀποφύγωμεν λοιπὸν τὴν θλῖψιν καὶ τὰς δυσχερείας τοῦ κελλίου, διότι δὲν εἶναι ἄδικος ὁ Θεὸς νὰ λησμονήσῃ τὸν κόπον, ποὺ γίνεται χάριν Ἐκείνου. Ἀλλὰ καὶ δι' αὐτὴν ἀκόμη τὴν σκοτεινιὰν τοῦ κελλίου, τὴν ὁποίαν ἀνέχεσαι παραμένων εἰς αὐτό, θὰ σὲ καταυγάσῃ μὲ τὸ φῶς τῆς ἀληθείας, ὅπως λέγει καὶ τὸ ρητὸν τῆς Ἁγίας Γραφῆς· «ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι» (Ψαλμ. ρια', 4). Οὔτε νὰ δυσανασχετῶμεν, ὅταν ἐργαζώμεθα, ἔχοντες πάντοτε ὑπ' ὄψιν, ὅτι πολλοὶ ἀπὸ τοὺς Ἁγίους ἀπεστέλλοντο, χάριν τῆς ἀγάπης των πρὸς τὸν Κύριον, εἰς τὰ μεταλεῖα, ὅπου, ὡς γνωστόν, ἡ ἐργασία εἶναι σκληροτάτη. Μήπως, ἐὰν ἐζούσαμεν εἰς τοὺς χρόνους ἐκείνους τῶν μαρτύρων, θὰ ἐφθάναμεν εἰς τὸ σημεῖον νὰ προδώσωμεν τὴν πνευματικὴν ἡμῶν ζωήν, διὰ νὰ ἀποφύγωμεν τὰ μαρτύρια καὶ τὰς πιέσεις;

12. Νὰ ἐνθυμούμεθα διαρκῶς, ἀδελφοί, τὰς εὐεργεσίας τοῦ Θεοῦ, ὁ ὁποῖος ἔπλασεν ἡμᾶς κατὰ πάντα τελείους, ὅστις ἐξάγει «ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ» (Ψαλμ. ρλδ', 7) πρὸς ὑπηρεσίαν ἡμῶν, «ἀνάγων νεφέ-

---

1) Ὁ Ἰακώβ, ὅστις ἐδούλευσεν εἰς τὸν Λάβαν, διὰ τὴν Ραχήλ.

λας ἐξ ἐσχάτων τῆς γῆς» (Ψαλμ. ρλδ', 7) δι' εὐχολίαν ἡμῶν, πολλαπλασιάζει τὰ κτήνη, τὰ πτηνά, τοὺς ἰχθεῖς διὰ νὰ ἐξυπηρετοῦν τὸ ἀνθρώπινον γένος, ἐποίησε τὸν ἥλιον διὰ νὰ μᾶς φωτίζῃ τὴν ἡμέραν, τὴν σελήνην καὶ τοὺς ἀστέρας διὰ νὰ μᾶς φωτίζουν τὴν νύκτα. Καὶ ὑπεράνω ὅλων αὐτῶν, ἂς μὴ λησμονῶμεν, ὅτι μᾶς ἀπελύτρωσε καὶ μᾶς ἔσωσεν ἀπὸ τὴν ἁμαρτίαν διὰ τῆς δυνάμεως τοῦ μυστηρίου τοῦ Τιμίου Αὐτοῦ Σταυροῦ. Ἂς ὑπηρετήσωμεν λοιπὸν Αὐτὸν τὸν Εὐεργέτην μας μὲ βαθύτατον σεβασμὸν συγκλονιζόμενοι πρὸ τοῦ μεγαλείου Του, ἀλλὰ καὶ πλήρεις ἐλπίδων ἀγαθῶν, διότι εἰς τὴν ζωὴν αὐτὴν εἴμεθα προσωρινοί, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Προφητάναξ Δαβίδ· «Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου». (Ψαλμ. λη', 13).

13. Ἀδελφέ μου, παράμεινε μεθ' ὑπομονῆς καὶ σταθερότητος εἰς οἱονδήποτε τόπον ἀσκεῖσαι, ἀγωνιζόμενος ἐναντίον τῆς πνευματικῆς καταπτώσεως καὶ ἀμελείας. Τὰ πάθη δὲν ἐξημερώνονται μὲ τὴν ἐγκατάλειψιν τοῦ τόπου τῆς μετανοίας καὶ τὴν μετάβασιν ἀπὸ τόπου εἰς τόπον, ἀλλὰ μόνον μὲ τὴν ἐπαγρύπνησιν τῆς διανοίας· διότι ἐκείνου τοῦ πράγματος, ποὺ ἔχομεν ἀνάγκην διὰ νὰ ἐκτελέσωμεν τὸ θέλημα τοῦ Θεοῦ καὶ νὰ ἐπιτύχωμεν τῶν ὑποσχέσεων Αὐτοῦ, εἶναι μόνον ἡ ὑπομονή. Ἐκεῖνος ὁ ὁποῖος καταλαμβάνεται ἀπὸ τὸ πνεῦμα τῆς νωθρότητος καὶ τῆς ἀμελείας καὶ διάγει μὲ ἀκηδίαν εὑρίσκεται μακρὰν τῆς ὑπομονῆς, ὅπως ἀκριβῶς καὶ ὁ ἀσθενῶν μακρὰν τῆς ὑγείας. Ἡ παρουσία τῆς ἀρετῆς καθίσταται αἰσθητὴ διὰ τῆς ὑπομονῆς καὶ οὐχὶ διὰ τῆς εὐερεθίστου νωθρότητος καὶ ἀμελείας εἰς τὴν ἐκτέλεσιν τῶν πνευματικῶν ἔργων· ἡ ὑπομονὴ πάλιν ἀνανεοῦται καὶ ἐνδυναμώνεται ἐφ' ὅσον ὁ νοῦς ἀσχολεῖται ἀδιαλείπτως μὲ τὴν μυστικὴν θεωρίαν καὶ μὲ τὴν μελέτην τῶν ὅσων μετὰ βεβαιότητος ἀναμένομεν νὰ ἀπολαύσωμεν κατὰ τὴν αἰώνιον ζωήν.

14. Ἀπὸ τὰς θείας αὐτὰς ἐνασχολήσεις τρεφομένη πλουσίως ἡ διάνοια λαμβάνει δύναμιν, ὅπως ἀκριβῶς τὸ σῶμα παχαίνει, ἐφ' ὅσον γεύεται τὰς ὑλικὰς τροφάς.

Ἐὰν ὁ νοῦς μας στερηθῇ τῆς χάριτος καὶ τῆς ἀξίας αὐτῆς, δηλαδὴ τῆς ὑψηλῆς θεωρίας καὶ τῆς ἐνδελεχοῦς μελέτης τῶν προσδοκωμένων, πράγματι τότε καταντᾷ πτωχὸς καὶ ἀσθενής. Ἀποτίναξε λοιπὸν ἀπὸ ἐπάνω σου, ὅπως τὴν σκόνην, τὴν ἐναγώνιον μέριμναν διὰ τὰ ὑλικὰ πράγματα καὶ νὰ ἀπασχολῇς τὴν διάνοιάν σου μὲ τὴν πλήρη θείου μεγαλείου ἐργασίαν ἐκείνην· ὅταν δὲ συμβῇ αὐτό, τότε ἀσφαλῶς δὲν θὰ ἔχῃς ἀνάγκην νὰ μετοικῇς ἀπὸ τόπου εἰς τόπον καὶ νὰ διακόπτῃς τὴν ὑψηλὴν μελέτην τῆς διανοίας σου ἐξ ἀφορμῆς τῶν ταξιδίων σου αὐτῶν, ποὺ γίνονται χωρὶς σοβαρὰν αἰτίαν καὶ χωρὶς τὴν ἄδειαν τῶν προεστώτων σου. Διότι, ὅπως λέγει ὁ Κύριος, «ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ἡμῶν ἐστιν» (Λουκ. ιζ', 21).

15. Σκέψου, ἀγαπητέ μου, πόσοι ἄνθρωποι εἰς τὸν κόσμον ὑποφέρουν καὶ στεροῦνται διαφοροτρόπως· διὰ νὰ ἀρκεσθῶμεν δὲ εἰς ὀλίγας

περιπτώσεις, ἀναφέρομεν τὰ ἑξῆς: μερικοί, λόγῳ ἀνεχείας, ὑποθήκευσαν τὰ κτήματά των, χωρὶς νὰ δυνηθοῦν νὰ τὰ ἀποδεσμεύσουν ἀπὸ τὴν ὑποθήκην. Ἄλλοι, πάλιν, ἔχασαν τὰ τέκνα των, διότι τὰ ἠχμαλώτισαν ξένοι ἐχθροί των ἡγεμόνες καὶ οἱ ὁποῖοι τὰ ἐπώλησαν ὡς δούλους· ἔκτοτε δὲ ὑπηρετοῦν ὡς δοῦλοι ἢ εἰς χειροτέρους αὐτῶν ἢ εἰς βαρβάρους εἰς ξένα μέρη. Ἄλλοι, τέλος, ἐπειδὴ εἶναι τόσον πτωχοί, ὥστε νὰ στεροῦνται καὶ τοῦ καθημερινοῦ των ἄρτου, ἐπαιτοῦν εἰς τὰς πλατείας καὶ τὰς ὁδοὺς τῶν πόλεων ὑποφέροντες ἀπὸ τὸ κρύο καὶ τὴν ζέστην, διότι καλύπτουν τὰ πεινασμένα σώματά των μὲ καταξεσχισμένα καὶ ῥυπωμένα ῥάκη· μερικοὶ μάλιστα ἀπὸ αὐτοὺς βασανίζονται ἀπὸ φρικτὰς νόσους, χωρὶς νὰ ἀναφέρω εἰς τὸν πίνακα τῶν δυστυχῶν ἐκείνους, ποὺ ὑποφέρουν, διότι ἔχουν καταδικασθῆ εἰς ἀναγκαστικὴν ἐργασίαν μεταλλείων.

16. Κατόπιν ὅλων αὐτῶν δὲν πρέπει νὰ θεωρῶμεν ὡς μεγάλο δῶρον, τὸ ὅτι εὑρισκόμεθα ὑπὸ τὴν σκέπην αὐτήν, τὴν ὁποίαν μᾶς ἐχάρισεν ὁ Θεὸς καὶ δὲν καταπονούμεθα ἀπὸ τὴν φροντίδα τῶν κοσμικῶν πραγμάτων, ποὺ τόσον ταράσσουν τὸν ἄνθρωπον; Αὐτὰ νὰ ἐνθυμῆσαι καὶ νὰ εὐχαριστῇς διαρκῶς τὸν Θεόν, ἐξ ἀφορμῆς τῶν ἀναριθμήτων αὐτοῦ εὐεργεσιῶν, τὰς ὁποίας μᾶς προσέφερε καὶ μᾶς προσφέρει καθ' ἑκάστην. Ἀλλὰ καὶ εἰς αὐτούς, οἱ ὁποῖοι φαίνονται, ὅτι εὐτυχοῦν εἰς τὴν ζωήν των, τί καλὸν τοὺς προσφέρει ὁ κόσμος; Τίποτε ἄλλο, παρὰ μόνον κόπους καὶ ἀναριθμήτους φροντίδας καὶ περιορισμούς! Καὶ πράγματι! Ἐνυμφεύθης; Ἤρχισες τὴν φροντίδα τῆς οἰκογενείας! Ἐγέννησες τὸν πρῶτον υἱόν; Ἄλλαι φροντίδες! Μετ' ὀλίγον ἐγεννήθη καὶ δεύτερον τέκνον; Μεγαλύτεραι μέριμναι! Ἀπέθανεν ὁ ἕνας υἱός; Πενθοῦν καὶ κλαίουν ἀπαρηγόρητα οἱ γονεῖς του! Ἐὰν μάλιστα συμβῇ ὁ ἐπιζήσας υἱὸς νὰ γίνῃ κακός, τότε οἱ γονεῖς θρηνοῦν περισσότερον δι' αὐτόν, παρὰ διὰ τὸν ἀποθανόντα!

17. Ἡ ἀποκορύφωσις δὲ τοῦ πόνου καὶ τῆς ὀδύνης φθάνει, ὅταν ἔλθῃ ἡ στιγμὴ τοῦ θανάτου διὰ τὸν ἄνδρα· οὗτος, καίτοι μελλοθάνατος, δὲν ταράσσεται τόσον ἀπὸ τὸν ἐπικείμενον θάνατον, ἀλλὰ ἀπὸ τὴν ἀγάπην καὶ τὴν συμπάθειαν πρὸς τὰ τέκνα καὶ τὴν σύζυγον, συγκλονιζόμενος ἀπὸ τὴν θλῖψιν καὶ ταρασσόμενος ἀπὸ τὴν σκέψιν, ὅτι ἐντὸς ὀλίγου θὰ ἐγκαταλείψῃ χήραν καὶ ὀρφανά! Ἀπὸ ὅλους αὐτοὺς τοὺς θλιβεροὺς περισπασμοὺς καὶ τὴν φρικτὴν ὀδύνην μᾶς ἠλευθέρωσεν ὁ ζυγὸς τοῦ Χριστοῦ, ὁ χρηστὸς καὶ πάρα πολὺ εὐκολοβάστακτος «Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν» (Ματθ. ια', 30). Εἰς τὴν ἀπομάκρυνσιν τῆς πνευματικῆς νωθρότητος καὶ ἀδρανείας συντελεῖ ἀποτελεσματικῶς ἡ ἀνάμνησις τοῦ θανάτου. Ἐκεῖνος λοιπόν, ποὺ ἐνοχλεῖται ἀπὸ τὰς ἀδυναμίας αὐτάς, τῆς νωθρότητος δηλαδὴ καὶ τῆς ἀδρανείας, πρέπει πρῶτον μὲν νὰ παρακαλῇ θερμῶς τὸν Θεόν, διὰ νὰ τοῦ δώσῃ ὑπομονὴν καὶ μακροθυμίαν, ἐν συνεχείᾳ δὲ νὰ προτρέπῃ τὴν ψυχήν του λέγων· «Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ

ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεὸν ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου, ὁ Θεός μου» (Ψαλμ. μβ', 5).

18. Ἄλλωστε μήπως πρόκειται αἰωνίως νὰ παραμείνωμεν εἰς τὴν ζωὴν αὐτήν; Πρόσεξε νὰ ἴδῃς τί λέγει ἡ Ἁγία Γραφή· «Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου» (Ψαλμ. λη', 13). Φέρε εἰς τὸν νοῦν σου, ὅτι εἰς αὐτὸ τὸ Μοναστήριον, ποὺ σὺ κατοικεῖς, εἶχον προηγουμένως κατοικήσει ἄλλοι καὶ μάθε, ὅτι ὅπως ἀκριβῶς ἐκεῖνοι ἔφυγον ἀπὸ τὴν ζωὴν αὐτήν, τοιουτοτρόπως καὶ ἡμεῖς, μὲ τὸ θέλημα τοῦ Θεοῦ, ἀφοῦ κατοικήσωμεν ὀλίγον, πρέπει νὰ ἀναχωρήσωμεν. Ἡ πραγματικὴ ζωὴ ὑπάρχει μετὰ τὸν θάνατον. Αὐτήν, τὴν μετὰ θάνατον ζωήν, μετὰ σφοδρότητος ποθῶν ὁ Προφητάναξ ἐκραύγαζε μὲ ὅλην τὴν δύναμιν τῶν πνευμόνων του· «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρός σε ὁ Θεός· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;» (Ψαλμ. μα', 2—3).

19. Οἱ Ἅγιοι Πατέρες ἐθεώρουν τὴν παροῦσαν ζωὴν ὡς μίαν φυλακήν· δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ πρεσβύτης Συμεών, κατὰ τὴν Ὑπαπαντὴν τοῦ Κυρίου, ἔλεγεν· «Νῦν ἀπολύεις τὸν δοῦλόν Σου, Δέσποτα, ἐν εἰρήνῃ» (Λουκ. β', 29). Τοιουτοτρόπως καὶ ὁ Ἀπόστολος Παῦλος διακατείχετο ὑπὸ τῆς ζωηρᾶς ἐπιθυμίας νὰ ἀποθάνῃ κατὰ τὸ σῶμα, διὰ νὰ ζῇ αἰωνίως μὲ τὸν Χριστόν. «Τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον» (Φιλιπ. α', 23). Ἐὰν λοιπὸν ὁ ἄνθρωπος μισήσῃ τὸν κόσμον αὐτὸν καὶ τὴν ἀπάτην, τὴν ὁποίαν ἐμπνέει εἰς τὸν ἄνθρωπον, ὅτι τάχα κάτι εἶναι, καὶ ποθήσῃ τὰ ἐπουράνια ἀγαθά, τότε πραγματικῶς θὰ ἀναδειχθῇ δοῦλος τοῦ Κυρίου μὲ ὅλην του τὴν ψυχὴν καὶ τὴν καρδίαν καὶ θὰ ἐπιζητήσῃ νὰ ἀναχωρήσῃ, ὥστε νὰ ἀπολαύσῃ ἐκεῖνα τὰ ὁποῖα διὰ τῆς ἐλπίδος ποθεῖ. Τὸν ἄνθρωπον αὐτὸν ποτὲ δὲν θὰ δυνηθῇ νὰ τὸν καταβάλῃ ἡ ἀδιαφορία καὶ ἡ πνευματικὴ ἀδράνεια. Ἐφ' ὅσον ὅμως ἡ ψυχὴ τὰ γήϊνα ἐπιθυμεῖ καὶ διὰ τῆς φαντασίας ἀπέρχεται πρὸς αὐτά, τότε τὰ διάφορα εἴδη τῶν ἐπιθυμιῶν τοῦ κόσμου αὐτοῦ καὶ αἱ μάταιαι ἡδοναί, εἰσερχόμεναι εἰς αὐτὴν (τὴν ψυχὴν) διὰ τῶν λογισμῶν, θὰ παραλύουν τὴν πνευματικὴν αὐτῆς ἔντασιν, καὶ δι' αὐτὸ θὰ ἀδιαφορῇ.

Β'. Ἀντιόχου τοῦ Παντέκτου

Ο ΤΗΣ ἀκηδίας δαίμων δεινὸς λίαν ἐστὶ καὶ βαρύτατος, ὅς τις περὶ ὥραν ἕκτην ἐπιπίπτει τῷ Μοναχῷ, ἀγωνίαν αὐτῷ ἐμποιῶν καὶ ἀπεχθῶς ἔχειν πρὸς τὸν τόπον, μᾶλλον δὲ καὶ τοὺς συνδιατρίβοντας ἀδελφοὺς καὶ πᾶν ἔργον, καὶ πρὸς αὐτὴν τὴν ἀνάγνωσιν τῆς Θείας Γραφῆς.

2. Ἀναγινώσκων δὲ χασμᾶται πολλά, πρὸς ὕπνον καταφέρεται εὐχερῶς, τρίβει τὰς ὄψεις καὶ διατείνει τὰς χεῖρας, καὶ τοῦ βιβλίου τοὺς ὀφθαλμοὺς ἀποστήσας, ἐνατενίζει τῷ τοίχῳ· πάλιν ἐπιστρέψας, ἀνέγνω μικρόν, καὶ ἀναπτύσσων,

τὰς ἀρχὰς καὶ τὰ τέλη τῶν λόγων περιεργάζεται, ἀριθμεῖ τὰ φύλλα, καὶ τὰς τετράδας ἐπιψηφίζει· ψέγει ἢ ἐπαινεῖ τὸ γράμμα καὶ τὴν κόσμησιν τοῦ βιβλίου, ὕστερον δὲ πτύξας αὐτό, ὑπέθηκε τῇ κεφαλῇ, καὶ καθεύδει ὑπνῶν, οὐ πάνυ εἰς βάθος· ἡ γὰρ πεῖνα, ἣν ἡ ἀκηδία αὐτῷ προξενεῖ, διεγείρει αὐτοῦ τὴν ψυχήν, καὶ οὐκ ἐᾷ αὐτὸν καθεύδειν ἐπὶ πολύ.

3. Μετὰ μικρὸν οὖν ἀναστάς, τὴν ὥραν καταμανθάνει, τῇ τοῦ ἡλίου ἀκτῖνι ἀτενίζων πυκνῶς, καὶ τὸν καιρὸν τῆς ἑστιάσεως προσδεχόμενος, ἑστῶτα ἔχει τὰ ὦτα πότε ἀκούσει τοῦ σημαντῆρος τοῦ καλοῦντος ἐπὶ τὴν τράπεζαν, καὶ ἀκούσας, εὐπρόθυμος γίνεται, καὶ εὖγε εὖγε τῇ καρδίᾳ ἐπιφωνεῖ.

4. Ἀκηδιαστὴς Μοναχὸς εἰς διακονίαν ὀξύς, καὶ ἐντολὴν λογίζεται τὴν τοῦ πάθους πληροφορίαν· ὁ ἀσθενῶν οὐκ ἀρκεῖται τροφῇ μιᾷ, καὶ ἀκηδιαστὴς Μοναχὸς οὐκ ἐμμένει ἔργῳ ἑνί, ἀλλὰ μεταβαίνει συνεχῶς ἐκ τούτου εἰς τοῦτο, καὶ ἐξ ἐκείνου πάλιν εἰς ἄλλο· πᾶσιν ἐπιχειρεῖ, καὶ πάλιν δυσαρεστεῖ, καὶ οὐδὲ ἓν τελειοῖ. Ἀσθενούντων ἐπισκέψεις, ἢ ἀδελφῶν πνευματικῶν ὁμιλίας, ἢ μνείας Ἁγίων καὶ πανηγύρεις προβάλλεται ὁ ἀκηδιαστής, πληροφορεῖ δὲ τὸν ἴδιον σκοπόν. Νεφέλη ἄνυδρος διώκεται ὑπὸ ἀνέμου, καὶ Μοναχὸς ὑπομονὴν μὴ ἔχων, ὑπὸ πνεύματος ἀκηδίας.

5. Ἀκηδιαστὴς Μοναχὸς εἰς μὲν ἀργολογίαν εὐπρόθυμος, εἰς δὲ προσευχὴν καὶ λίαν ἀπρόθυμος· βάλλων ἐν τῇ κέλλῃ τὴν σύναξιν περισπασμῶν προφάσεις ζητεῖ, καὶ τοῦτο μέν, φησιν, ἀνεπιτηδείως κεῖται· ἐκεῖνο δὲ οὐ χρεία ὧδε εἶναι· πολλάκις καὶ τοῦ ἐργοχείρου ἐχόμενος, οὕτω ποιεῖται τὴν σύναξιν.

6. Ὀφθαλμὸς ἀκηδιαστοῦ ταῖς θυρίσιν ἀτενίζει πυκνῶς, καὶ ἡ διάνοια αὐτοῦ τοὺς ἐπισκεπτομένους φαντάζεται· ἔτρισεν ἡ θύρα; κἀκεῖνος ἐξήλατο· φωνῆς ἤκουσε; καὶ διὰ τῆς θυρίδος παρέκυψε, καὶ οὐκ ἀφίσταται ταύτης, ἕως ἂν ναρκήσῃ αὐτῇ ἐπικείμενος. Ἀκηδίαν θεραπεύει ὑπομονὴ πρὸς τοὺς πειρασμούς, καὶ τὸ πάντα ποιεῖν μετὰ προσεδρείας καὶ φόβου Θεοῦ.

7. Τάξον ἑαυτῷ μέτρον ἐν παντὶ ἔργῳ, καὶ μὴ πρότερον ἀποστῇς, πρὶν τελέσῃς αὐτό· προσεύχου συνετῶς καὶ εὐτόνως, καὶ πνεῦμα ἀκηδίας ἐκφεύξεται ἀπὸ σου· προσευχόμενος δὲ λέγε τὰ τοῦ Δαβὶδ ῥήματα, συνετῶς ἐν αἰσθήσει ψυχῆς σοῦ καὶ συντριμμῷ· «ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, ὅτι ἐταπείνωσεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἀλλὰ σύ, Κύριε, μὴ ἐγκαταλίπῃς με, ἀλλ' ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με»· καὶ «ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με».

Ἑρμηνεία

Ο ΤΗΣ ΑΚΗΔΙΑΣ δαίμων (δηλαδὴ τῆς πνευματικῆς ἀδρανείας) εἶναι πάρα πολὺ φοβερὸς καὶ καταθλιπτικός. Αὐτὸς περὶ τὴν ἕκτην ὥραν (1) ἐπιτίθεται ἐναντίον τοῦ Μοναχοῦ, τοῦ προκαλεῖ δυσφορίαν, τὸν κάμνει νὰ μισῇ τὸν τόπον, ποὺ εὑρίσκεται, ἀκόμη δὲ νὰ δυσφορῇ καὶ μὲ τοὺς συμβιοῦντας ἀδελφούς, μὲ κάθε ἐργασίαν καὶ μὲ αὐτὴν ἀκόμη τὴν ἀνάγνωσιν τῆς Ἁγίας Γραφῆς.

2. Ὅταν δὲ ἀναγιγνώσκῃ, χασμουριέται συχνά, εὐκόλως νυστάζει, τρίβει τοὺς ὀφθαλμούς του, τεντώνει τὰς χεῖρας καὶ ἀπομακρύνων τὸ βλέμμα του ἀπὸ τὸ βιβλίον παρατηρεῖ χωρὶς σκοπὸν τοὺς τοίχους·

---

1) Βλέπε ὑποσημείωσιν σελ. 147.

ἐπανερχόμενος πάλιν εἰς τὸν ἑαυτόν του διαβάζει ὀλίγον, καὶ ἀνοίγων τὸ βιβλίον περιεργάζεται, χωρὶς ἐνδιαφέρον, τὴν ἀρχὴν καὶ τὸ τέλος τῶν διαφόρων λόγων, μετρεῖ τὰ φύλλα καὶ ὑπολογίζει τὰ τεύχη, κατηγορεῖ ἢ ἐπαινεῖ τὴν λεκτικὴν διατύπωσιν, τὰ γράμματα ἢ τὴν διακόσμησιν τοῦ βιβλίου, καὶ μετά, ἀφοῦ τὸ διπλώση (1), τὸ τοποθετεῖ κάτω ἀπὸ τὸ προσκέφαλόν του καὶ πλαγιάζει διὰ νὰ κοιμηθῇ· ὁ ὕπνος ὅμως αὐτὸς δὲν εἶναι οὔτε διαρκὴς οὔτε βαθύς, διότι ἡ πεῖνα, τὴν ὁποίαν προξενεῖ εἰς αὐτὸν ἡ ἀκηδία, κεντρίζει τὴν ψυχήν του καὶ δὲν τὸν ἀφήνει νὰ κοιμηθῇ ἐπὶ πολύ.

3. Ἀφοῦ λοιπὸν ἐγερθῇ μετὰ ἀπὸ ὀλίγον, ζητεῖ νὰ πληροφορηθῇ τὴν ἀκριβῆ ὥραν προσηλώνων κάθε τόσον τὸ βλέμμα του εἰς τὰς ἡλιακὰς ἀκτῖνας, ποὺ προσπίπτουν εἰς τὸ κελλί του, ὥστε ἐκ τῆς θέσεως τοῦ ἡλίου νὰ ὑπολογίση τὴν ὥραν τοῦ φαγητοῦ. Ἔχει τεντωμένα διαρκῶς τὰ αὐτιά του, ἀνυπομονῶν διὰ νὰ ἀκούση τὸ σήμαντρον, ποὺ καλεῖ εἰς τὴν τράπεζαν τοὺς Μοναχοὺς διὰ νὰ φάγουν. Μόλις δὲ ἀκούση τὸ σήμαντρον γίνεται χαρούμενος καὶ μονολογεῖ· «ὡραῖα, ὡραῖα!»

4. Ὁ Μοναχὸς ποὺ ἀδρανεῖ καὶ ἀμελεῖ διὰ τὰ πνευματικά, ὁ ἀκηδιαστής, εἶναι πρόθυμος ὅταν τοῦ ἀναθέτουν κάποιο διακόνημα· θεωρεῖ δὲ ὡς ἐντολήν, τὴν ὁποίαν ὀφείλει νὰ ἐκτελέση, τὴν ἐσωτερικὴν πληροφορίαν, ποὺ δὲν ὀφείλεται εἰς τὴν ἀγαθὴν συνείδησιν ἀλλὰ εἰς τὸ πάθος, ποὺ τὸν κυριεύει. Ὅπως δὲ ὁ ἄρρωστος δὲν περιορίζεται, λόγῳ τῆς ἀσθενείας του, εἰς ἕνα φαγητόν, τοιουτοτρόπως καὶ ὁ ἀκηδιαστὴς Μοναχὸς δὲν εὐδοκιμεῖ εἰς μίαν ὡρισμένην ἐργασίαν, ἀλλὰ διαρκῶς ἀλλάσσει εἶδος ἐργασίας καὶ μεταβαίνει ἀπὸ τὸν ἕνα τόπον εἰς τὸν ἄλλον. Μὲ ὅλα καταπιάνεται, καὶ συντόμως στενοχωρεῖται, χωρὶς ἐν τῷ μεταξὺ νὰ τελειοποιήση τίποτε ἀπὸ αὐτά, ποὺ ἤρχισε. Διὰ νὰ δικαιολογήση τὴν ἀκαταστασίαν καὶ ἐπιπολαιότητά του αὐτὴν ὁ ἀκηδιαστὴς Μοναχὸς ἐπικαλεῖται ἄλλοτε μὲν ἐπισκέψεις πρὸς ἀσθενεῖς, ἄλλοτε συναντήσεις πνευματικῶν ἀδελφῶν, ἄλλοτε ἑορτὰς Ἁγίων καὶ πανηγύρεις, ἐκτελεῖ δὲ πάντοτε αὐτὸ ποὺ θέλει ὁ ἴδιος. Ὅπως τὸ σύννεφον, ποὺ δὲν καταλήγει εἰς βροχήν, τὸ κυνηγᾷ ὁ ἄνεμος, τοιουτοτρόπως καὶ τὸν Μοναχόν, ποὺ δὲν ἔχει ὑπομονήν, τὸν καταδιώκει τὸ πνεῦμα τῆς ἀκηδίας.

5. Ὁ ἀκηδιαστὴς Μοναχὸς εἶναι πάντοτε πρόθυμος εἰς φλυαρίαν, ἐνῷ, ἀντιθέτως, οὐδεμίαν προθυμίαν ἐπιδεικνύει διὰ τὴν προσευχήν. Ὅταν δὲ γίνεται ἡ σύναξις διὰ τὴν καθιερωμένην ἀκολουθίαν, αὐτὸς παραμένει εἰς τὸ κελλί του προφασιζόμενος, ὅτι θὰ ἀναγνώση ἐκεῖ τὴν ἀκολουθίαν, διὰ νὰ ἐκτελέση καὶ δῆθεν ἐπείγουσαν ἐργασίαν, ἀναζητεῖ δὲ ἀφορμὰς διὰ νὰ περισπᾶται ὁ νοῦς του ἐδῶ καὶ ἐκεῖ ἀσχολούμενος μὲ

---

1) Τὰ παλαιὰ βιβλία, ὡς γνωστόν, δὲν εἶχον οὔτε τὸ σχῆμα οὔτε τὴν μορφὴν τῶν σημερινῶν. Ἦσαν διφθέραι ἢ πάπυροι εἱλισσόμενοι, (=τυλισσόμενοι) ὅπως ἀκριβῶς τὸ χαρτί, ποὺ τυλίγεται εἰς σχῆμα κυλίνδρου (=ρολοῦ).

διάφορα πράγματα. Καὶ πότε μὲν διορθώνει κάτι, πού, δῆθεν, δὲν εἶναι καλὰ τοποθετημένον· δι' ἄλλο πάλιν ἀντικείμενον ἰσχυρίζεται, ὅτι δὲν εἶναι ἀνάγκη νὰ εὑρίσκεται ἐκεῖ· συνήθως ἀρχίζει νὰ ἀσχολῆται καὶ μὲ τὸ ἐργόχειρόν του, χωρὶς νὰ εἶναι καιρός. Ὑπὸ τὸ κράτος δὲ τῶν ἐκνευριστικῶν αὐτῶν περισπασμῶν πραγματοποιεῖ τὴν ἀκολουθίαν.

6. Ὁ ἀκηδιαστὴς Μοναχὸς προσηλώνει συχνὰ τὸ βλέμμα του εἰς τὴν θύραν καὶ μὲ τὴν φαντασίαν του βλέπει εἰς τὸ κελλί του διαρκῶς ἐπισκέπτας. Ἔτριξεν ὀλίγον ἡ θύρα; Ἀμέσως ἐκεῖνος ἐπήδησε διὰ νὰ ἀνοίξῃ, φανταζόμενος, ὅτι κάποιος πρόκειται νὰ ἔλθῃ! Ἤκουσε φωνήν; Ἀμέσως σκύβει ἀπὸ τὸ παραθυράκι τοῦ κελλίου, διὰ νὰ ἴδῃ. Δὲν ἀπομακρύνεται δὲ ἀπὸ τὸ παραθυράκι, παρὰ μόνον, ὅταν μουδιάσῃ, καθὼς εἶναι σκυμμένος εἰς αὐτό. Τὴν ἀκηδίαν θεραπεύει ἡ ἀγόγγυστος ἐγκαρτέρησις εἰς τοὺς πειρασμοὺς καὶ ἡ ὑπομονή, ὅπως ἐπίσης καὶ ἡ ἐκτέλεσις τῶν καθηκόντων μετὰ ζήλου, ἐπιμονῆς καὶ φόβου Θεοῦ.

7. Εἰς κάθε ἐργασίαν, ποὺ πρόκειται νὰ ἐκτελέσῃς, νὰ ὁρίσῃς τὸ ὅριον μέχρι τοῦ ὁποίου πρέπει νὰ φθάσῃς καὶ νὰ μὴ παραιτηθῇς τῶν προσπαθειῶν σου πρὶν τὸ ἐκπληρώσῃς. Νὰ προσεύχεσαι ἔχων ἐπίγνωσιν τῶν λεγομένων καὶ πληρῶν τὴν ψυχήν σου μὲ τὰς ἐννοίας τῶν προσευχῶν καὶ τότε, ἀσφαλῶς, τὸ πνεῦμα τῆς ἀκηδίας θὰ ἀπομακρυνθῇ ἀπὸ σέ. Ὅταν προσεύχεσαι, νὰ ἐπαναλαμβάνῃς μετὰ προσοχῆς, συντριβῆς ψυχῆς καὶ συναισθανόμενος τὴν βαθυτέραν σημασίαν των, τοὺς λόγους τοῦ Δαβίδ· «Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.... ὅτι ἐταπείνωσεν ὁ ἐχθρὸς τὴν ψυχήν μου.... ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἀλλὰ σύ, Κύριε, μὴ ἐγκαταλίπῃς με, ἀλλ' ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με» (Ψαλ. ρμβ', 3, 4, 7). Καὶ τοὺς στίχους τοῦ ἑτέρου ψαλμοῦ· «Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν καὶ ἰδέτωσαν οἱ μισοῦντές με καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με» (Ψαλ. πε', 17).

Γ'. Ἡσαΐου τοῦ Ἀναχωρητοῦ

ΑΔΕΛΦΕ, φύλαξον σεαυτὸν ἀπὸ τῆς ἀκηδίας· αὕτη γὰρ ἀφανίζει τὸν καρπὸν τοῦ Μοναχοῦ· ἐὰν οὖν ἀγωνίζῃ πρὸς πάθος, μὴ ἐκκακίσῃς ἀλλὰ παράῤῥιψον σεαυτὸν τῷ Θεῷ λέγων· οὐ δύναμαι πρὸς αὐτό, Κύριε, βοήθησόν μοι τῷ ταλαιπώρῳ, εἰπὲ ἐν ὅλῃ σου καρδίᾳ καὶ ἀναπαύῃ· μὴ εἰσέλθῃς δὲ ὅλως εἰς κελλίον τοῦ ἀδελφοῦ σου, ἀλλὰ κάθου ἐν τῷ ἰδίῳ κελλίῳ σου ἐν φόβῳ Θεοῦ, προσέχων τῷ ἐργοχείρῳ σου, καὶ τῇ μελέτῃ καὶ τῇ εὐχῇ· καὶ μηδὲ κατανοήσῃς τὸ ἐργόχειρον αὐτοῦ, εἰ εἰργάσατο ἐκεῖνος ὑπὲρ σέ, ἢ σὺ ὑπὲρ αὐτόν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ μου, ἀπὸ τὴν ἀκηδίαν νὰ προφυλάττεσαι, διότι ἡ ἀκηδία (δηλαδὴ ἡ πνευματικὴ ἀδράνεια καὶ ἀδιαφορία) καταστρέφει ὅλους τοὺς καρποὺς τοῦ μοναχικοῦ ἀγῶνος.

Ἐὰν λοιπὸν ἀγωνίζεσαι, διὰ νὰ κατανικήσῃς κάποιο πάθος, μὴ δειλιάσῃς ἀπὸ τὴν δριμύτητα τοῦ ἀγῶνος, ἀλλὰ νὰ ῥίψῃς τὸν ἑαυτόν σου ὡς ἱκέτην εἰς τὴν εὐσπλαγχνίαν τοῦ Κυρίου καὶ νὰ λέγῃς μὲ συντριβὴν καὶ ταπείνωσιν πρὸς αὐτόν· «Δὲν ἔχω, Κύριέ μου, τὴν δύναμιν νὰ ἀντιμετωπίσω τὸ πάθος αὐτό, βοήθησέ με τὸν ταλαίπωρον». Ὅταν εἴπῃς αὐτὰ μὲ ὅλην σου τὴν καρδίαν, θὰ δοκιμάσῃς ἐσωτερικὴν ἀνάπαυσιν καὶ γαλήνην. Τότε ἀσφαλῶς καὶ ὁ Θεὸς θὰ σὲ ἀναπαύσῃ ἀπὸ τὴν μάχην αὐτήν.

Κατὰ τὸ διάστημα τῆς δοκιμασίας αὐτῆς νὰ μὴ εἰσέλθῃς καθόλου εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ σου, ἀλλὰ νὰ παραμείνῃς ἔγκλειστος εἰς τὸ ἰδικόν σου κελλίον αἰσθανόμενος εἰς τὴν ψυχήν σου τὸν φόβον τοῦ Θεοῦ καὶ νὰ φροντίζῃς τὸ ἐργόχειρόν σου, νὰ μελετᾷς καὶ νὰ λέγῃς νοερῶς τὴν ἀδιάλειπτον εὐχήν· «Κύριε, Ἰησοῦ Χριστέ, ἐλέησόν με τὸν ἁμαρτωλόν». Ποτὲ νὰ μὴ ἐπιζητήσῃς νὰ προσέξῃς, ἐὰν ὁ ἀδελφός σου εἰργάσθη τὸ ἐργόχειρόν του χειρότερα ἢ καλλίτερα ἀπὸ σέ.

Δ'. Τοῦ Ἁγίου Μάρκου

ΕΑΝ ἀκηδιάσῃς ὑπὸ κακίας πολυτρόπως θλιβόμενος, μνημόνευσον τῆς ἐξόδου καὶ τῶν χαλεπῶν κολάσεων· κρεῖσσον δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ διὰ προσευχῆς καὶ ἐλπίδος, ἢ μνήμας ἔχειν ἐξωτέρας κἂν ἐπωφελεῖς τυγχάνουσιν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ μου, ἐὰν περιπέσῃς εἰς ἀκηδίαν καὶ παντοιοτρόπως στενοχωρηθῇς ὑπὸ τῆς κακίας αὐτῆς, νὰ ἐνθυμηθῇς ἀμέσως τὴν ὥραν τοῦ θανάτου καὶ τὴν φοβερὰν κόλασιν. Καλλίτερον ὅμως θὰ εἶναι νὰ προσκολληθῇς πρὸς τὸν Θεὸν διὰ τῆς προσευχῆς καὶ τῆς ἐλπίδος πρὸς τὴν εὐσπλαγχνίαν Αὐτοῦ, παρὰ νὰ ἔχῃς εἰς τὴν ψυχήν σου τὰς φοβερὰς τῆς κολάσεως εἰκόνας, ὅσον καὶ ἐὰν εἶναι ὠφέλιμοι.

Ε'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΤΟ ΔΕΙΝΟΝ πνεῦμα τῆς λύπης, ὅταν περιδράξηται τῆς τοῦ ἀνθρώπου ψυχῆς καὶ ὅλην αὐτὴν σκοτίσῃ, πάσης αὐτὴν ἀγαθῆς ἐργασίας κωλύει, καὶ πάσης κακίας ἐμπίπλησι· καὶ γὰρ οὐκ εὐχὰς ἐκτελεῖν μετὰ προθυμίας συγχωρεῖ, οὐ τῶν ἱερῶν ἀναγνώσεων τῇ ὠφελείᾳ ἐγκαρτερεῖν, ὀργίλον καὶ μανιώδη τὸν ἄνθρωπον πρὸς τοὺς ἀδελφοὺς ὑποδείκνυσι, καὶ πρὸς αὐτὸ τὸ ἐπάγγελμα μῖσος ἐμποιεῖ, καὶ πάντα ἁπλῶς τὰ σωτηριώδη βουλεύματα τῆς ψυχῆς ἡ λύπη συγχέουσα, καὶ τὴν εὐτονίαν αὐτῆς καὶ καρτερίαν παραλύσασα, ὡς ἄφρονα ταύτην καὶ παραπλῆγα ἐργάζεται τῷ τῆς ἀπογνώσεως ἐνδύσασα λογισμῷ.

2. Ὥσπερ σὴς ἱμάτιον καὶ σκώληξ ξύλον, οὕτω καὶ ἡ λύπη τὴν τοῦ ἀνθρώπου ψυχὴν κατεσθίει, ἐκκλίνειν πείθουσα ἀγαθὴν συντυχίαν, καὶ οὐδὲ παρὰ τῶν γνησίων φίλων λόγον συμβουλίας δέχεσθαι συγχωροῦσα, οὐδὲ χρηστὴν ἀπόκρισιν ἢ εἰρηνικὴν ἐπιτρέπουσα τούτοις μεταδοῦναι, ἀλλὰ πᾶσαν τὴν ψυχὴν ἐπιλαβοῦσα πικρίας αὐτῇ καὶ ἀηδίας πληροῖ· καὶ λοιπὸν ὑποβάλλει αὐτὴν φεύγειν τοὺς ἀν-

θρώπους, ὡς αἰτίους αὐτῇ τῆς ταραχῆς γινομένους, καὶ οὐ συγχωρεῖ αὐτὴν ἐπιγνῶναι ὅτι οὐκ ἔξωθεν, ἀλλ' ἔνδοθεν ἔχει ἀποκειμένην τὴν νόσον, ἥτις τότε φανεροῦται, ὅταν οἱ πειρασμοὶ ἐπιστάντες διὰ τῆς γυμνασίας, εἰς τὸ ἐμφανὲς ταύτην προσενέγκωσιν· οὐδέποτε γὰρ ὑπὸ ἄλλου βλαβήσεται ἄνθρωπος, εἰ μὴ ἔνδοθεν ἔχει ἀποκειμένας αἰτίας.

3. Διὰ τοῦτο καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ τῶν ψυχῶν ἰατρός, ὁ μόνος ἐπιστάμενος ἀκριβῶς ἅτε δημιουργὸς τὰ ψυχικὰ σφάλματα, καὶ ἁρμοζούσας ἐπιτιθεὶς τούτοις τὰς ἰατρείας, οὐ τὰς τῶν ἀνθρώπων συνδιατριβὰς παραγγέλλει καταλιμπάνειν, ἀλλὰ τὰς ἐν ὑμῖν τῆς κακίας αἰτίας ἐκκόπτειν, γινώσκων τὴν ὑγείαν τῆς ψυχῆς οὐκ ἐν τῷ χωρισμῷ τῶν ἀνθρώπων κατορθοῦσθαι, ἀλλ' ἐν τῇ συνδιαγωγῇ τῶν ἐναρέτων ἀνδρῶν καὶ τῇ γυμνασίᾳ.

4. Ὁ οὖν διά τινας εὐλόγους δῆθεν προφάσεις καταλιμπάνων τοὺς ἀδελφούς, γινωσκέτω ἀκριβῶς ὡς οὐ τὰς τῆς λύπης ἀφορμὰς ἐκκόπτει τῇ ἀναχωρήσει, ἀλλὰ μόνον ἐναλλάττει αὐτὰς τῆς ἐναποκειμένης ἔνδον ἐν αὐτῷ νόσου, καὶ δι' ἑτέρων πραγμάτων ταύτας ἀνακινούσης· διά τοι τοῦτο μή τινας τῶν ἔξωθεν αἰτιώμεθα ἐπὶ ταῖς ταραχαῖς τῶν παθῶν ἡμῶν, ἀλλ' ἑαυτοὺς μόνους, καὶ πᾶς ὁ ἀγὼν ἔστω ἡμῖν κατὰ τῶν ἔνδον παθῶν· τούτων γὰρ διὰ τῆς τοῦ Θεοῦ βοηθείας ἐξ ἡμῶν ἐκβληθέντων, οὐ μόνον μετὰ ἀνθρώπων, ἀλλὰ καὶ μετὰ θηρίων ἀγρίων εὐκόλως συνδιατρίψωμεν, κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ μακαρίου Ἰώβ· «θῆρες ἄγριοι εἰρηνεύσουσί σοι».

5. Προηγουμένως οὖν ἀγωνισώμεθα κατὰ τοῦ πνεύματος τῆς λύπης τοῦ ἐπιφέροντος ἡμῖν τὴν ἀπόγνωσιν, ὅπως τῆς ἡμετέρας καρδίας τῇ εἰς Θεὸν ἐλπίδι αὐτὸ ἀπελάσωμεν· τοῦτο γὰρ τὸν Κάϊν μετὰ τὴν ἀδελφοκτονίαν οὐ συνεχώρησε μετανοῆσαι, οὔτε τὸν Ἰούδαν μετὰ τὴν τοῦ Δεσπότου προδοσίαν· ἐκείνην μόνην ἀσκήσωμεν, τὴν ἐπὶ μετανοίᾳ τῶν ἡμετέρων ἁμαρτημάτων μετ' ἐλπίδος ἀγαθῆς γινομένην, καὶ τὴν ἐπὶ τῇ κτήσει τῶν ἐν οὐρανοῖς ἀγαθῶν ἐπιτηδευομένην, ἥτις καὶ ὑπὸ τοῦ Χριστοῦ μακαρίζεται, λέγοντος· «Μακάριοι οἱ πενθοῦντες», καὶ τὰ ἑξῆς· καὶ ὑπὸ τοῦ Ἀποστόλου ἐγκωμιάζεται φάσκοντος· «ἡ κατὰ Θεὸν λύπη μετάνοιαν ἀμεταμέλητον εἰς σωτηρίαν κατεργάζεται».

6. Αὕτη γὰρ ἡ σωτήριος λύπη τῇ ἐλπίδι τῆς μετανοίας τρέφουσα τὴν ψυχήν, χαρᾶς ἐστι σύμμικτος· ὅθεν καὶ παρασκευάζει τὸν ἄνθρωπον πρὸς πᾶσαν ἀγαθὴν ἐργασίαν πρόθυμον καὶ ὑπήκοον, εὐπρόσιτον, πρᾶον, ἀνεξίκακον, ὑπομονητικὸν πρὸς πάντα πόνον ἀγαθόν, οἷα δεῖ κατὰ Θεὸν τυγχάνουσα, ὡς ἐκ τούτου λοιπὸν τοὺς καρποὺς τοῦ πνεύματος ἐν τῷ ἀνθρώπῳ γνωρίζεσθαι, τουτέστιν ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, ἀγαθότητα, πίστιν, ἐγκράτειαν.

7. Τῆς δὲ ἐναντίας λύπης οὗτοί εἰσιν οἱ καρποί· ἀκηδία, ἀνυπομονησία, θυμός, μῖσος, ἀντιλογία, ἀπόγνωσις, εὐχῆς ὀκνηρία καὶ ψαλμῳδίας· ἥν τινα λύπην οὕτως ὀφείλομεν φεύγειν, ὡς τὴν πορνείαν καὶ τὴν φιλαργυρίαν καὶ τὸν θυμόν, καὶ τὰ λοιπὰ τῶν παθῶν· αὕτη δὲ θεραπεύεται διὰ προσευχῆς καὶ ψαλμῳδίας, καὶ τῆς εἰς Θεὸν ἐλπίδος, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς ἐν πειρασμοῖς ὑπομονῆς.

8. Ἐὰν γὰρ μὴ εὕρῃ τὸν Μοναχὸν κατησφαλισμένον ἐν τούτοις τοῖς ὅπλοις, ἄστατον αὐτὸν καὶ ῥεμβὸν ἀποδείκνυσι, καὶ ῥάθυμον, καὶ ἄεργον, καὶ μοναστήρια πολλὰ περιέρχεσθαι παρασκευάζει, καὶ μηδενὸς ἄλλου φροντίζειν ἢ τοῦ περισκοπεῖν ποῦ ἄριστα καὶ πότοι γίνονται· οὐδὲν γὰρ ἄλλο ἡ διάνοια τοῦ ἀκηδιαστοῦ φαντάζεται ἢ τοὺς ἐκ τούτων μετεωρισμούς· λοιπὸν δὲ καὶ εἰς κοσμικὰ πράγματα αὐτὸν ἐνδεσμεῖ καὶ κατ' ὀλίγον δελεάζει ταύταις ταῖς ἐπιβλαβέσιν ἀσχολίαις, ἕως ἂν καὶ αὐτοῦ τοῦ μοναχικοῦ ἐπαγγέλματος τελείως αὐτὸν ἐκβάλῃ.

9. Ταύτην τὴν νόσον βαρυτάτην οὖσαν εἰδὼς ὁ Ἀπόστολος, καὶ βουλόμενος αὐτὴν ἐκ τῶν ἡμετέρων ψυχῶν ἀνασπάσαι, τὰς αἰτίας, ἀφ' ὧν μάλιστα τίκτεται, δείκνυσι λέγων· «παραγγέλλομεν ὑμῖν ἀδελφοὶ ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰη-

σοῦ Χριστοῦ, στέλλεσθαι ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβεν ἐξ ἡμῶν· αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτε οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ἐξ ὑμῶν· οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς δῶμεν τύπον ὑμῖν, εἰς τὸ μιμεῖσθαι ἡμᾶς· καὶ γὰρ ὅτε ἦμεν πρὸς ἡμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω· μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους· τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν».

10. Ἀκούσωμεν πῶς σαφῶς ἡμῖν ἀποδείκνυσιν ὁ Ἀπόστολος τὰς αἰτίας τῆς ἀκηδίας· ἀτάκτους γὰρ καλεῖ τοὺς μὴ ἐργαζομένους, ἑνὶ ῥήματι πολλὴν κακίαν ἐμφαίνων· ὁ γὰρ ἄτακτος καὶ ἀνευλαβὴς τυγχάνει, καὶ προπετὴς περὶ λόγων, καὶ εἰς λοιδορίαν πρόχειρος, καὶ λοιπὸν εἰς ἡσυχίαν ἀνεπιτήδειος, καὶ τῆς ἀκηδίας δοῦλος· παραγγέλλει οὖν στέλλεσθαι ἀπ' αὐτοῦ, ἤγουν ἀφορίζεσθαι ὡς ἀπὸ λοιμικῆς νόσου, εἶτά φησι, καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον ἐξ ἡμῶν, διὰ τῆς λέξεως ταύτης ἐμφαίνων ὑπερηφάνους αὐτοὺς εἶναι καὶ καταφρονητάς, καὶ τῶν Ἀποστολικῶν παραδόσεων καταλυτάς· καὶ πάλιν φησίν· οὐκ ἐφάγομεν δωρεὰν ἄρτον παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα.

11. Βαβαί! ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ κήρυξ τοῦ Εὐαγγελίου, ὁ μετάρσιος ἕως τρίτου οὐρανοῦ, ὁ λέγων προστεταχέναι τὸν Κύριον τοὺς τὸ Εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ Εὐαγγελίου ζῆν, ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας εἰργάζετο πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα.

12. Τί τοίνυν ἡμεῖς ποιήσωμεν ἀκηδιῶντες ἀπὸ τοῦ ἔργου, καὶ σωματικὴν ἀνάπαυσιν διώκοντες, οἷς οὔτε κήρυγμα Εὐαγγελίου ἐνεχειρίσθη, οὔτε τῶν Ἐκκλησιῶν ἡ μέριμνα; ἀλλὰ δεικνύων τὴν τικτομένην βλάβην ἐκ τῆς ἀργίας ἐπιφέρει· «μηδὲν ἐργαζόμενοι ἀλλὰ περιεργαζόμενοι»· ἀπὸ ἀργίας ἀταξία, ἀπὸ ἀταξίας πᾶσα κακία. Τούτοις τοῖς Ἀποστολικοῖς διδάγμασιν οἱ κατὰ τὴν Αἴγυπτον Ἅγιοι Πατέρες πεπαιδευμένοι, οὐδένα καιρὸν ἀργοὺς εἶναι τοὺς Μοναχοὺς ἐπιτρέπουσι, καὶ μάλιστα τοὺς νεωτέρους, εἰδότες ὡς διὰ τῆς ὑπομονῆς τοῦ ἔργου καὶ ἀκηδίαν ἀπελαύνουσι καὶ τὴν ἑαυτῶν τροφὴν προσπορίζουσι καὶ τοῖς δεομένοις βοηθοῦσιν.

13. Οὐ μόνον γὰρ τῆς ἑαυτῶν χρείας ἐργάζονται ἕνεκα, ἀλλὰ καὶ ξένοις καὶ πτωχοῖς καὶ τοῖς ἐν φυλακαῖς ἐκ τοῦ ἰδίου ἔργου ἐπιχορηγοῦσι, πιστεύοντες τὴν τοιαύτην εὐποιΐαν θυσίαν ἁγίαν εὐάρεστον τῷ Θεῷ γίνεσθαι· καὶ τοῦτο δὲ λέγουσιν οἱ Πατέρες, ὅτι ὁ ἐργαζόμενος ἑνὶ δαίμονι πολλάκις πολεμεῖ, καὶ ὑπ' αὐτοῦ θλίβεται, ὁ δὲ ἀργὸς ὑπὸ μυρίων πνευμάτων αἰχμαλωτίζεται· καλὸν δὲ πρὸς τούτοις καὶ λόγου ἐπιμνησθῆναι τοῦ Ἀββᾶ Μωϋσέως, ὃν πρὸς ἐμὲ ἀπεφθέγξατο.

14. Καθεσθεὶς γὰρ ἐγὼ ὀλίγον ἐν τῇ ἐρήμῳ, ὠχλήθην ὑπὸ ἀκηδίας, καὶ παρέβαλον αὐτῷ καὶ εἶπον, ὅτι χθὲς ὀχληθεὶς ὑπὸ ἀκηδίας, καὶ ἐξασθενήσας σφόδρα, οὐ πρότερον ἀπηλλάγην αὐτῆς, ἕως οὗ ἀπῆλθον καὶ παρέβαλον τῷ Ἀββᾷ Παύλῳ· ἀπεκρίθη δέ μοι πρὸς ταῦτα ὁ Ἀββᾶς Μωϋσῆς καὶ εἶπε· θάρσει, οὐ σεαυτὸν ἀπὸ ταύτης ἠλευθέρωσας, ἀλλὰ μᾶλλον ἔκδοτον καὶ δοῦλον παρέδωκας· γίνωσκε τοίνυν ὅτι βαρυτέρως σε ὡς λιποτάκτην πολεμήσει, εἰ μὴ τοῦ λοιποῦ δι' ὑπομονῆς καὶ προσευχῆς καὶ τοῦ ἔργου τῶν χειρῶν σπουδάσῃς ταύτην καταγωνίσασθαι.

Ἑρμηνεία


ΤΟ ΦΟΒΕΡΟΝ πνεῦμα τῆς λύπης, ὅταν καταλάβῃ ἐξ ὁλοκλήρου τὴν ψυχὴν τοῦ ἀνθρώπου καὶ κατορθώσῃ νὰ τὴν σκοτεινιάσῃ μὲ τὰ νέφη τῆς ἀπογοητεύσεως, τότε τὴν ἐμποδίζει

ἀπὸ τὴν ἐκτέλεσιν παντὸς καλοῦ ἔργου, ἐνῷ ἀντιστοίχως τὴν γεμίζει μὲ παντὸς εἴδους πονηροὺς λογισμοὺς καὶ μὲ πᾶσαν, ἐν γένει, κακίαν. Συγκεκριμένως δὲν ἀφήνει τὴν ψυχὴν νὰ ἐκτελῇ μὲ προθυμίαν τὰς ὡρισμένας προσευχὰς καὶ νὰ ψιθυρίζῃ τὴν ἀδιάλειπτον εὐχήν, οὔτε νὰ ἀνέχεται καρτερικῶς τὴν ἀκρόασιν τῶν ἱερῶν ἀναγνώσεων, ἀπὸ τὴν ὁποίαν ὠφελεῖται. Καθιστᾷ δὲ τὸν αἰχμάλωτόν του ἄνθρωπον εὐερέθιστον, ὥστε οὗτος εὐκόλως νὰ ὀργίζεται ἀπέναντι τῶν ἀδελφῶν του καί, ὅταν αὐτοὶ τοῦ ὁμιλοῦν, νὰ φαίνεται ὡς τρελλός. Συγχρόνως ἐμπνέει μῖσος καὶ πρὸς αὐτὸ τὸ ψυχοσωτήριον ἔργον, καί, διὰ νὰ τελειώνωμεν, αὐτὴ ἡ σατανικὴ λύπη διαταράσσει ὅλας τὰς κατὰ Θεὸν σκέψεις, ποὺ ὑποβοηθοῦν τὴν σωτηρίαν, καὶ ἀφοῦ παραλύσῃ τελείως τὴν γενναιότητα καὶ καρτερικότητα τῆς ψυχῆς, καταβυθίζει τὸν ἄνθρωπον εἰς τὸν λογισμὸν τῆς ἀπελπισίας, ὥστε οὗτος νὰ συμπεριφέρεται ὡς ἀπερίσκεπτος καὶ παράλυτος πνευματικῶς.

2. Ἡ λύπη κατατρώγει τὴν ψυχὴν τοῦ ἀνθρώπου, ὅπως ἀκριβῶς ὁ σκῶρος τὰ ἐνδύματά μας καὶ ὁ σάραξ (σαράκι) τὸ ξύλον καὶ πείθει τὸν ἄνθρωπον νὰ ἀποφεύγῃ τὴν καλὴν συναναστροφήν, νὰ μὴ ἀνέχεται νὰ ἀκούσῃ ἀπὸ τοὺς πραγματικοὺς φίλους λόγους συμβουλευτικοὺς καὶ νὰ μὴ ἀπαντᾷ πρὸς αὐτοὺς εἰρηνικὰ καὶ ὠφέλιμα. Ἀφοῦ καταλάβῃ ἡ σατανικὴ αὐτὴ λύπη τὴν ψυχὴν τοῦ ἀνθρώπου τὴν γεμίζει ἀπὸ πικρίαν καὶ δυσαρέσκειαν. Ἡ τοιαύτη λύπη, ὡς πονηρὸν πνεῦμα, ὑποψιθυρίζει συμβουλεύουσα τὸν ἄνθρωπον νὰ ἀποφεύγῃ τοὺς ἀνθρώπους, ὡς αἰτίους δῆθεν τῆς ἐσωτερικῆς του ταραχῆς καὶ ἀνωμαλίας καὶ δὲν ἀφήνει αὐτὸν νὰ ἀντιληφθῇ, ὅτι ἡ νόσος αὐτὴ τῆς ψυχῆς δὲν ὀφείλεται εἰς ἐξωτερικοὺς λόγους, ἀλλ' εἶναι καταχωμένη εἰς τὰ βάθη τῆς ὑπάρξεώς μας καὶ ἐκδηλοῦται τότε μόνον, ὅταν ἐξ αἰτίας τῆς ἀσκήσεως ἐμφανισθοῦν οἱ πειρασμοί, ὁπότε φέρουν καὶ αὐτὴν εἰς φῶς. Διότι ὁ ἄνθρωπος οὐδέποτε εἶναι δυνατὸν νὰ βλαβῇ ὑπό τινος ἄλλου ἐξωτερικῶς, παρὰ μόνον ἀπὸ αἰτίας ποὺ ὑπάρχουν ἀφανεῖς εἰς τὰ βάθη τῆς ψυχῆς του.

3. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ἰατρὸς τῶν ψυχῶν μας, ἐκεῖνος ὁ ὁποῖος μόνον γνωρίζει, ὡς δημιουργός, τὰ σφάλματα τῆς ψυχῆς καὶ ἐπιβάλλων εἰς αὐτὰ τὰς καταλλήλους θεραπείας, μᾶς διατάσσει ὄχι νὰ ἐγκαταλείπωμεν τὰς μετὰ τῶν ἀνθρώπων συναναστροφάς, ἀλλὰ νὰ ἀποκόπτωμεν τὰς ῥίζας τοῦ κακοῦ ἀπὸ μέσα μας, διότι πολὺ καλῶς γνωρίζει, ὅτι ἡ ὑγεία τῆς ψυχῆς δὲν διατηρεῖται ὅταν ἀποχωριζώμεθα ἀπὸ τοὺς ἀνθρώπους, ἀλλ' ἀπ' ἐναντίας διατηρεῖται διὰ τῆς συμβιώσεως μὲ ἐναρέτους ἄνδρας καὶ διὰ τῆς συνεχοῦς προσπαθείας καὶ ἀσκήσεως.

4. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἐγκαταλείπει τοὺς πνευματικούς του ἀδελφούς, προφασιζόμενος δῆθεν εὐλόγους αἰτίας, θὰ πρέπει νὰ γνωρίζῃ μετὰ βεβαιότητος, ὅτι δὲν ἀποκόπτει τὰς ἀφορμὰς τῆς λύπης διὰ τῆς τοιαύτης ἀναχωρήσεως, ἀλλ' ἁπλῶς ἀντικαθιστᾷ αὐτὰς μὲ ἄλλας,


Ὁ ἈΒΒᾶΣ
ἈΜΜΩΝᾶΣ

ἐφ᾽ ὅσον παραμένει ἐσωτερικῶς ἡ νόσος καὶ ἐπιδεινοῦται παροξυνομένη ἀπὸ διάφορα περιστατικά. Ὡς ἐκ τούτου ἂς μὴ ἐπικαλούμεθα ὡς αἰτίας ἄλλους, ἐκτὸς ἀπὸ ἡμᾶς μόνον, διὰ νὰ δικαιολογήσωμεν τὴν ἀναταραχὴν τῶν παθῶν μας· ὅλη δὲ ἡ προσπάθεια ἡμῶν ἂς στραφῇ εἰς τὴν ἐκμηδένισιν τῶν ἐσωτερικῶν μας παθῶν. Διότι ὅταν αὐτὰ τὰ πάθη ἀποδιωχθοῦν ἀπὸ τὴν ψυχήν μας, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, τότε ἀσφαλῶς θὰ δυνηθῶμεν ὄχι μόνον ἀνθρώπους, ἀλλὰ καὶ ἄγρια θηρία νὰ συναναστρεφώμεθα, συμφώνως καὶ μὲ ἐκεῖνο, ποὺ εἶπεν ὁ μακάριος Ἰώβ· «Θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσί σοι» (Ἰώβ ε', 23).

5. Ἂς ἀγωνισθῶμεν λοιπὸν κατ᾽ ἀρχὴν κατὰ τοῦ κακοῦ πνεύματος τῆς λύπης, ἡ ὁποία γεννᾷ εἰς τὴν ψυχήν μας τὴν ἀπογοήτευσιν· αὐτὴν τὴν ἀπογοήτευσιν, ἡ ὁποία δὲν ἀφῆκε τὸν Κάϊν νὰ μετανοήσῃ μετὰ τὴν ἀδελφοκτονίαν, οὔτε τὸν Ἰούδαν μετὰ τὴν προδοσίαν τοῦ Κυρίου, αὐτὴν πρέπει μὲ τὴν θερμὴν πρὸς τὸν Θεὸν ἐλπίδα νὰ ἐξορίσωμεν ἀπὸ τὴν καρδίαν μας. Ἂς καλλιεργήσωμεν δὲ εἰς τὴν ψυχήν μας ἐκείνην μόνον τὴν λύπην, ἡ ὁποία γεννᾶται ἀπὸ τὴν ἐπίγνωσιν τῶν ἁμαρτημάτων μας καὶ τὴν ἐπιθυμίαν νὰ μετανοήσωμεν δι᾽ αὐτά, συνοδεύεται δὲ ἀπὸ τὴν πρὸς τὸν Θεὸν καλὴν ἐλπίδα, ὅτι θὰ τύχωμεν τῆς εὐσπλαγχνίας Του. Αὐτή, ἡ κατὰ Θεὸν λύπη, εἶναι ἐπιτηδεία νὰ μᾶς ἐξασφαλίσῃ τὴν ἀπόκτησιν τῶν ἐπουρανίων ἀγαθῶν, δι᾽ αὐτὸ καὶ ὁ Κύριός μας τὴν ἐγκωμιάζει λέγων· «Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται» (Ματθ. ε', 4). Καὶ ὁ Ἀπόστολος Παῦλος, ὡς ἑξῆς τὴν ἐγκωμιάζει· «Ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται» (Β' Κορινθ. ζ', 10).

6. Αὐτὴ λοιπὸν ἡ σωτηριώδης λύπη τρέφει τὴν ψυχὴν μὲ τὴν ἐλπίδα, ποὺ προέρχεται ἀπὸ τὴν μετάνοιαν, καὶ δι᾽ αὐτὸν τὸν λόγον εἶναι ἀνάμικτος ἀπὸ χαράν, ὥστε νὰ καθιστᾷ τὸν ἄνθρωπον πειθαρχικὸν καὶ πρόθυμον δι᾽ ἐκτέλεσιν πάσης πνευματικῆς ἐργασίας, γλυκομίλητον, πρᾶον, ἀνεξίκακον, ἱκανὸν νὰ ὑπομένῃ πάντα πόνον χάριν τοῦ ἀγαθοῦ. Ἐπειδὴ λοιπὸν εἶναι κατὰ Θεὸν ἡ τοιαύτη λύπη, δι᾽ αὐτὸν τὸν λόγον πληροῖ καὶ τὸν ἄνθρωπον ἀπὸ τοὺς καρποὺς τοῦ πνεύματος, δηλαδὴ ἀγάπην, χαράν, εἰρήνην, μακροθυμίαν, ἀγαθότητα, πίστιν, ἐγκράτειαν. «Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια» (Γαλατ. ε', 22—23).

7. Ἡ ἀντίθετος λύπη, ἡ ὁποία δὲν εἶναι κατὰ Θεόν, ἀλλὰ τὴν ἐμπνέει ὁ διάβολος εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου, αὐτοὺς τοὺς καρποὺς παράγει· τὴν ἀκηδίαν, τὴν ἀνυπομονησίαν, τὸν θυμόν, τὸ μῖσος, τὴν ἀντιλογίαν, τὴν ἀπογοήτευσιν, τὴν ὀκνηρίαν κατὰ τὴν ὥραν τῆς προσευχῆς καὶ τῆς ψαλμῳδίας. Αὐτὴν τὴν ἀντίθεον καὶ διαβολικὴν λύπην ὀφείλομεν νὰ ἀποφεύγωμεν, ὅπως ἀποφεύγωμεν τὴν πορνείαν, τὴν φιλαργυρίαν, τὸν θυμὸν καὶ τὰ λοιπὰ πάθη. Αὐτὴ δὲ ἡ λύπη, ἡ ἀντίθεος καὶ διαβολική, θεραπεύεται διὰ προσευχῆς καὶ ψαλμῳδίας, καὶ ἐφ᾽ ὅσον

ἐλπίσωμεν εἰς τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, μελετῶμεν μετὰ προσοχῆς τοὺς λόγους τοῦ Θεοῦ, ποὺ εὑρίσκονται εἰς τὰς θείας Γραφὰς καὶ ἐπιδείξωμεν ἀγόγγυστον ὑπομονὴν κατὰ τῶν ἐπερχομένων πειρασμῶν.

8. Ἐὰν λοιπὸν ὁ Μοναχὸς δὲν εὑρεθῇ κατωχυρωμένος μὲ αὐτὴν τὴν πνευματικὴν ἄμυναν καὶ ἀσφάλειαν, καθίσταται ἀκατάστατος, ἐπιπόλαιος, φυγόπονος, περιπλανᾶται ἀσκόπως εἰς διάφορα μέρη, περιέρχεται πολλὰ Μοναστήρια καὶ διὰ τίποτε ἄλλο δὲν φροντίζει, παρὰ νὰ ἐξετάζῃ μετὰ προσοχῆς εἰς ποῖον μέρος πράγματοποιοῦνται πλούσια γεύματα καὶ φαγοπότια· διότι ὁ ἀδιάφορος καὶ πνευματικῶς ἀδρανὴς Μοναχὸς δὲν σκέπτεται τίποτε τὸ ὑψηλὸν καὶ πνευματικόν, ἀλλὰ ἐπιμόνως φαντάζεται ματαίας ὀνειροπολήσεις. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ἡ τοιαύτη ψυχικὴ ἀκαταστασία δεσμεύει τὴν ψυχὴν τοῦ Μοναχοῦ εἰς τὰς κοσμικὰς ἀσχολίας, ὀλίγον δὲ κατ' ὀλίγον τὸν δελεάζει μὲ ἐπιβλαβεῖς φροντίδας, μέχρις οὗ τὸν ἀπομακρύνῃ τελείως καὶ ἀπὸ τὰς μοναχικάς του ὑποσχέσεις.

9. Γνωρίζων ὁ Ἀπόστολος Παῦλος πόσον βαρεῖα καὶ ἐπικίνδυνος εἶναι ἡ νόσος αὐτὴ καὶ ἐπιθυμῶν νὰ ἐκριζώσῃ αὐτὴν ἀπὸ τὰς ψυχάς μας ὑποδεικνύει εἰς ἡμᾶς τὰς ἀφορμάς, ἀπὸ τὰς ὁποίας κυρίως γεννᾶται καὶ μᾶς συμβουλεύει· «παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβεν παρ' ἡμῶν· αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ἐξ ὑμῶν· οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς δῶμεν τύπον ὑμῖν, εἰς τὸ μιμεῖσθαι ἡμᾶς· καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω· ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους· τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν» (Β' Θεσ]κεῖς γ', 6—13).

10. Ἂς προσέξωμεν μὲ πόσην σοφίαν φανερώνει εἰς ἡμᾶς ὁ Ἀπόστολος τὰς αἰτίας τῆς ἀκηδίας. Ὀνομάζει ἀτάκτους αὐτούς, οἱ ὁποῖοι δὲν ἐργάζονται τὸ ἀγαθόν, ἐκφράζων τοιουτοτρόπως μὲ μίαν μόνον λέξιν πολλὴν κακίαν. Καὶ πράγματι ὁ ἄτακτος, ἐκεῖνος δηλαδὴ ποὺ δὲν ἔχει εἰς τὴν ζωήν του τάξιν καὶ ρυθμόν, εἶναι συγχρόνως καὶ ἀνευλαβὴς καὶ αὐθάδης κατὰ τὰς συζητήσεις, εὐκόλως κακολογεῖ, ἀνίκανος διὰ τὴν ἡσυχαστικὴν ζωὴν καὶ τέλος εἶναι αἰχμάλωτος τῆς πνευματικῆς ἀδρανείας, δηλαδὴ τῆς ἀκηδίας. Ἀπὸ αὐτὸν λοιπὸν τὸν τύπον, τὸν ἄτακτον, μᾶς παραγγέλλει ὁ Ἀπόστολος Παῦλος νὰ ἀπομακρυνώμεθα, δηλαδὴ νὰ ἀποχωριζώμεθα ἀπὸ αὐτόν, ὡς ἀπὸ μολυσματικῆς νόσου. Ἐν συνεχείᾳ ὁ Ἀπόστολος Παῦλος λέγει· «Καὶ μὴ κατὰ τὴν παράδοσιν, ἣν παρέλαβον παρ' ἡμῶν» (Β' Θεσ. γ', 6)· μὲ τὰς λέξεις αὐτὰς

ὁ Ἀπόστολος ὑποδηλοῖ, ὅτι ὁ ἄτακτος εἶναι συγχρόνως ὑπερήφανος, καταφρονητὴς καὶ ἀσεβῶς καταργεῖ τὰς ἀποστολικὰς παραδόσεις. Καὶ προχωρεῖ ὁ Μέγας Ἀπόστολος· «Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν» (Β' Θεσ. γ', 8).

11. Πώ! πώ! Τί καταπληκτικὸν εἶναι αὐτό, ποὺ ἀφηγεῖται ὁ Ἀπόστολος Παῦλος! Ὁ διδάσκαλος τῶν Ἐθνῶν, ὁ κῆρυξ τοῦ Εὐαγγελίου, ἐκεῖνος ὁ ὁποῖος ἀνῆλθε μέχρι τρίτου οὐρανοῦ, ἐκεῖνος, ὁ ὁποῖος εἶπεν, ὅτι ὁ Κύριος ἔχει διατάξει νὰ ἀποζοῦν ἐκ τοῦ Εὐαγγελίου ὅσοι διδάσκουν αὐτό, «οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ Εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ Εὐαγγελίου ζῆν» (Α' Κορινθ. θ', 14), νὰ ἀποκαλύπτῃ διὰ τὸν ἑαυτόν του, ὅτι εἰργάζετο μὲ κόπον καὶ μὲ μόχθον νύκτα καὶ ἡμέραν, διὰ νὰ μὴ ἐπιβαρύνῃ οὐδένα!

12. Ὅταν ἕνας Παῦλος τοιουτοτρόπως ἐμόχθει καὶ εἰργάζετο, τί θὰ κάμωμεν ἡμεῖς, οἱ ἀδιαφοροῦντες διὰ πᾶσαν ἐργασίαν καὶ ἐπιδιώκοντες τὴν σωματικὴν ἀνάπαυσιν, χωρὶς ἐν τούτοις νὰ ἔχωμεν ἀναλάβει οὔτε τὸ κήρυγμα τοῦ Εὐαγγελίου, οὔτε τὴν μέριμναν καὶ φροντίδα τῶν Ἐκκλησιῶν; Οὗτος, ὁ Παῦλος, ὑποδεικνύων τὴν βλάβην, ποὺ γεννᾶται ἀπὸ τὴν ἀργίαν, λέγει ἐπὶ πλέον διὰ τοὺς ἀτάκτους καὶ ἀργούς· «Μηδὲν ἐργαζόμενοι, ἀλλὰ περιεργαζόμενοι», διότι ἀπὸ τὴν ἀργίαν προέρχεται ἡ ἀταξία καὶ ἀπὸ τὴν ἀταξίαν παντὸς εἴδους κακία. Οἱ Μοναχοὶ τῆς Αἰγύπτου, οἱ Ἅγιοι αὐτοὶ Πατέρες, ἔχοντες μορφωθῆ μὲ τὰ ἀποστολικὰ αὐτὰ διδάγματα, δὲν ἐπιτρέπουν νὰ παραμένουν οἱ Μοναχοὶ καὶ μάλιστα οἱ νεώτεροι ποτὲ ἄεργοι, διότι γνωρίζουν πολὺ καλῶς, ὅτι διὰ τῆς ἐπιβαλλομένης κατὰ τὴν ἐργασίαν ὑπομονῆς, καὶ τὴν ἀκηδίαν ἀπομακρύνουν ἀπὸ κοντά τους, ἀλλὰ καὶ τὴν τροφήν των ἐξοικονομοῦσι, καὶ τοὺς ἔχοντας ἀνάγκην βοηθοῦν.

13. Διότι οἱ Μοναχοὶ δὲν ἐργάζονται μόνον χάριν τῶν προσωπικῶν των ἀναγκῶν, ἀλλὰ καὶ διὰ νὰ εἶναι εἰς θέσιν νὰ προμηθεύουν τὰ ἀπαραίτητα εἰς τοὺς ξένους, εἰς τοὺς πτωχούς, εἰς τοὺς φυλακισμένους, πιστεύοντες ὅτι ἡ ἀγαθοεργία αὐτὴ ἀποβαίνει θυσία ἁγία καὶ εὐπρόσδεκτος ὑπὸ τοῦ Θεοῦ. Οἱ Πατέρες ἐπίσης λέγουν καὶ αὐτὴν τὴν χαρακτηριστικὴν ἀλήθειαν, ὅτι ὁ ἐργαζόμενος πολεμεῖ συχνάκις μὲ ἕνα δαίμονα καὶ ἀπὸ αὐτὸν μόνον στενοχωρεῖται, ἐνῷ, ἀπ' ἐναντίας, ὁ ἀργὸς αἰχμαλωτίζεται ἀπὸ ἀναρίθμητα πονηρὰ πνεύματα. Ἐπ' εὐκαιρίᾳ καὶ ὡς ἐπίλογον τῶν ὅσων ἀνέφερα, ἀξίζει νὰ σᾶς διηγηθῶ ἕνα διδακτικὸν λόγον, τὸν ὁποῖον μοῦ εἶπεν ὁ Ἀββᾶς Μωϋσῆς, εἰς κάποιο προσωπικόν μου περιστατικόν.

14. Κάποτε, ἀφοῦ παρέμεινα ὀλίγον εἰς τὴν ἔρημον, ἠνωχλήθην ὑπὸ ἀκηδίας· διὰ νὰ διασκεδάσω λοιπὸν τὸ πνεῦμα αὐτὸ μετέβην πρὸς συνάντησιν ἑνὸς ἄλλου Ἀσκητοῦ, τοῦ Ἀββᾶ Παύλου. Ὅταν συνήντησα, μετ' ὀλίγας ἡμέρας, τὸν Ἀββᾶν Μωϋσῆν τοῦ λέγω:

— Ἀββᾶ, πρὸ ἡμερῶν μὲ ἠνώχλησεν ἀκηδία καὶ δὲν ἡσύχα-

σα παρὰ μόνον ὅταν ἀπῆλθον καὶ συνήντησα τὸν Ἀββᾶν Παῦλον.

Τότε ὁ Ἀββᾶς Μωϋσῆς μοῦ εἶπε τὰ ἑξῆς:

— Ἔχε θάρρος καὶ προσοχήν, διότι δὲν ἀπηλευθερώθης ἀπὸ τὴν ἀκηδίαν, ἀλλὰ μᾶλλον κατέστης αἰχμάλωτος αὐτῆς καὶ ἐτέθης εἰς τὴν διάθεσίν της. Λάβε ὑπ' ὄψιν σου, ὅτι τώρα σκληρότερον θὰ σὲ πολεμήσῃ, ὡς λιποτάκτην. Δι' αὐτὸ ἀπ' ἐδῶ καὶ ἐμπρὸς φρόντισε νὰ κατανικήσῃς τὴν ἀκηδίαν διὰ τῆς προσευχῆς, τῆς ὑπομονῆς καὶ τοῦ φροντισμένου ἐργοχείρου σου.

ϛ'. Τοῦ Ἁγίου Μαξίμου

ΠΑΝΤΑ τὰ ἄλλα πάθη τοῦ θυμικοῦ μέρους τῆς ψυχῆς ἢ τοῦ ἐπιθυμητικοῦ μόνον ἐφάπτεται, ἢ καὶ τοῦ λογιστικοῦ, ὡς ἡ λήθη καὶ ἡ ἄγνοια· ἡ δὲ ἀκηδία πασῶν τῶν τῆς ψυχῆς δυνάμεων ἐπιδρασσομένη, πάντα σχεδὸν ὁμοθυμαδὸν κινεῖ τὰ πάθη, διὸ τῶν ἄλλων παθῶν ἐστι βαρύτερον· καλῶς οὖν ὁ Κύριος ταύτης φάρμακον δεδωκώς, ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθαι τὰς ψυχὰς ὑμῶν εἴρηκεν.

Ἑρμηνεία

ΟΛΑ τὰ ἄλλα πάθη ἔχουν σχέσιν μόνον μὲ τὸ θυμικὸν ἢ τὸ ἐπιθυμητικόν, ἢ τὸ λογιστικὸν μέρος τῆς ψυχῆς, ὅπως π. χ. ἡ λήθη καὶ ἡ ἄγνοια· ἐν ἀντιθέσει πρὸς αὐτά, ἡ ἀκηδία, ἐπειδὴ ἐπενεργεῖ ἐφ' ὅλων τῶν ψυχικῶν δυνάμεων καὶ ἐπηρεάζει αὐτάς, κινεῖ σχεδὸν συγχρόνως, ὡς ἀπὸ συμφώνου, ὅλα τὰ ἄλλα πάθη καὶ δι' αὐτὸ καθίσταται τὸ πλέον ἐπικίνδυνον ἀπὸ ὅλα τὰ ἄλλα. Ὀρθότατα λοιπὸν ὁ Κύριός μας ὑποδεικνύων τὸ κατ' αὐτῆς φάρμακον παρήγγειλεν «Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθαι τὰς ψυχὰς ὑμῶν» (Λουκᾶ κα', 19).

Ζ'. Ἐν τῷ Γεροντικῷ

Ο ΑΒΒΑΣ ΑΝΤΩΝΙΟΣ καθεζόμενός ποτε ἐν τῇ ἐρήμῳ, ἐν ἀκηδίᾳ γέγονε καὶ πολλῇ σκοτώσει λογισμῶν, καὶ ἔλεγε πρὸς τὸν Θεόν· Κύριε, θέλω σωθῆναι, καὶ οὐκ ἐῶσί με οἱ λογισμοί· δίδαξον τί ποιήσω ἐν τῇ θλίψει μου· πῶς σωθῶ;

Ἀναστὰς οὖν καὶ προελθὼν τῆς κέλλης μικρόν, ὁρᾷ τινα ὁ Ἀντώνιος ἑαυτῷ ὅμοιον καθεζόμενον καὶ ἐργαζόμενον, εἶτα ἀνιστάμενον ἀπὸ τοῦ ἔργου καὶ προσευχόμενον, καὶ πάλιν καθεζόμενον, καὶ τὴν σειρὰν πλέκοντα (τοῦτο γὰρ τὸ ἔργον εἰργάζετο ὁ φανείς), καὶ αὖθις δὲ μετὰ τὸ ἐργάσασθαι ἐφ' ἱκανόν, εἰς προσευχὴν ἀνιστάμενον· ἦν δὲ Ἄγγελος Κυρίου ἀποσταλεὶς εἰς διόρθωσιν καὶ ἀσφάλειαν τοῦ Ἀντωνίου, ὃς καὶ πρὸς αὐτὸν ἔφησεν· οὕτω ποίει καὶ σῴζει. Ὁ δὲ Ἀντώνιος, τοῦτο ἀκούσας, πολλὴν χαρὰν ἔσχε καὶ θάρσος, τὴν ἀκηδίαν ἀποβαλὼν καὶ οὕτω ποιῶν ἐσῴζετο.

2.. Εἶπέ τις ἀδελφὸς τῷ Ἀββᾷ Ἀντωνίῳ· Πάτερ, θλίβουσί με οἱ λογισμοὶ λέγοντες, ὅτι οὐ δύνασαι νηστεύειν, οὔτε ἐργάζεσθαι· κἂν ἐπισκέπτου τοὺς ἀσθενοῦντας, καὶ τοῦτο γὰρ ἀγάπη ἐστίν· ὁ δὲ γέρων, εἰδὼς τὰς μηχανὰς τῶν δαιμό-

νων, λέγει αὐτῷ· ὕπαγε φάγε, πίε, κοιμῶ, καὶ μὴ ἐργάσῃ, μόνον τοῦ κελλίου σου μὴ ἀποστῇς· ᾔδει γὰρ ὁ γέρων ὅτι ἡ τοῦ κελλίου ὑπομονὴ φέρει τὸν Μοναχὸν εἰς τὴν τάξιν αὐτοῦ. Ὡς οὖν ὑποστρέψας ὁ ἀδελφὸς ἐποίησε τρεῖς ἡμέρας καὶ ἠκηδίασε, καὶ εὑρὼν μικρὰ θαλλία ἔσχισεν αὐτά, τῇ δὲ ἑξῆς ἤρξατο πλέκειν· καὶ πεινάσας, εἶπε τοῖς λογισμοῖς· ἰδοὺ ἄλλα μικρὰ θαλλία εἰσί, πλέξω κἀκεῖνα, καὶ ἐσθίω· καὶ ὡς ἔπλεξεν, εἶπε πάλιν· ἀναγνώσω μικρόν, καὶ τότε ἐσθίω· καὶ ἀναγνούς, βάλλω τοὺς μικρούς μου ψαλμούς, καὶ μετὰ ἀμεριμνίας ἐσθίω· καὶ οὕτω κατὰ μικρὸν Χάριτι Θεοῦ προκόπτων ἐγένετο δόκιμος, τὴν ἀκηδίαν νικήσας καὶ θάρσος λαβὼν κατὰ τῶν λογισμῶν ἐνίκα αὐτούς.

3. Ἠρωτήθη γέρων ὑπὸ ἀδελφοῦ εἰπόντος· διατί ἀκηδιῶ ἐν τῷ κελλίῳ μου καθεζόμενος; καὶ ἀπεκρίθη· διότι οὐχ ἑώρακας ἀκμὴν οὔτε τὴν ἐλπιζομένην ἀνάπαυσιν, οὔτε τὴν ἐσομένην κόλασιν· εἰ γὰρ ταῦτα ἀκριβῶς εἶδες, εἰ σκωλήκων ἔγεμε τὸ κελλίον σου, ὥστε σε ἐν αὐτοῖς ἕως τραχήλου δεδυκέναι, ἤτοι κεχωσμένον εἶναι, ὑπέμενες ἂν μὴ ἀκηδιῶν.

4. Ἀδελφὸς ἠρώτησε γέροντα λέγων· οἱ λογισμοί μου ῥέμβονται, καὶ θλίβομαι· ἀπεκρίθη αὐτῷ ὁ γέρων· σὺ κάθου εἰς τὸ κελλίον σου, καὶ αὐτοὶ πάλιν ἔρχονται· ὥσπερ γὰρ ἡ ὄνος, ἐὰν ᾖ δεδεμένη, ὁ δὲ πῶλος αὐτῆς λελυμένος ὢν σκιρτᾷ ὧδε κἀκεῖ, καὶ ὅπου δ' ἂν ἀπέλθῃ, πάλιν πρὸς τὴν μητέρα αὐτοῦ ἐπανέρχεται, οὕτω καὶ οἱ λογισμοὶ τοῦ διὰ τὸν Θεὸν ἐγκαρτεροῦντος ἐν τῷ κελλίῳ αὐτοῦ, εἰ καὶ πρὸς μικρὸν ῥέμβονται, ἀλλὰ πάλιν πρὸς αὐτὸν ἐπιστρέφουσιν.

5. Διηγήσατό τις τῶν Πατέρων λέγων, ὅτι ὄντος μου ἐν Ὀξυρρύγχῳ, ἦλθον πτωχοὶ ἀδελφοὶ ἐκεῖ ἐν Σαββάτῳ ὀψὲ ἵνα λάβωσιν ἀγάπην, καὶ κοιμωμένων ἡμῶν, εἷς ἐξ αὐτῶν ἔχων ψιάθιον μόνον, οὗ τὸ ἥμισυ ἔκειτο ὑποκάτω αὐτοῦ, τὸ δὲ ἥμισυ ἐπάνω, ἐπήγνυτο ὑπὸ τοῦ κρύους (ἦν γὰρ ψῦχρα πολλή)· ἐγὼ οὖν ἐξελθὼν πρὸς ὕδωρ, ἤκουσα αὐτοῦ ἐν τῷ ὀδυνᾶσθαι καὶ τρέμειν ὑπὸ τοῦ ψύχους, παρακαλοῦντος ἑαυτὸν καὶ τοιαῦτα πρὸς Θεὸν λέγοντος· «εὐχαριστῶ σοι, Κύριε, ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς σου, οἷς ποιεῖς μετ' ἐμοῦ· πόσοι γάρ εἰσιν ἄρτι ἐν τῇ φυλακῇ σίδηρα φοροῦντες, ἄλλοι δὲ τοὺς πόδας εἰς τὸ ξύλον ἠσφαλισμένοι, μηδὲ τὸ ὕδωρ ἑαυτῶν δυνάμενοι ποιῆσαι, ἐγὼ δὲ ὡς βασιλεύς εἰμι ἐκτείνων τοὺς πόδας μου»· καὶ ταῦτα ἀκούσας ἐγώ, διηγησάμην τοῖς ἀδελφοῖς εἰς οἰκοδομὴν καὶ ὠφέλειαν.

6. Τίς τῶν Πατέρων περιώρισεν ἑαυτὸν μὴ ἐξελθεῖν τοῦ κελλίου ἐν πάσῃ τῇ Ἁγίᾳ Τεσσαρακοστῇ τῶν νηστειῶν ἕως τὸ Πάσχα· ὁ δὲ διάβολος, ὁ ἀεὶ τοῖς ἀγωνιζομένοις φθονῶν, ἐπλήρωσεν ὅλον τὸ σπήλαιον αὐτοῦ, ἀπὸ τοῦ ἐδάφους ἕως τῆς στέγης, κορέων ὥς καὶ τοὺς τοίχους καλύπτεσθαι ὑπ' αὐτῶν, καὶ τὸν ἄρτον, καὶ τὸ ὕδωρ, καὶ πάντα αὐτοῦ γεμισθῆναι τῶν κορέων· ὁ δὲ ὑπομένων γενναίως τὸν πειρασμὸν ἔλεγεν, ὅτι ἐάν με δεῖ ἀποθανεῖν, οὐκ ἐξέρχομαι ἕως τῆς Ἁγίας Ἑορτῆς. Τῇ δὲ τρίτῃ ἑβδομάδι τῶν Ἁγίων νηστειῶν, ὁρᾷ ἀπὸ πρωΐας καὶ ἰδοὺ πλῆθος ἀδιήγητον μυρμήκων εἰσῄει εἰς τὸ σπήλαιον, οἳ καὶ καθάπερ ἐπὶ πολέμῳ ἐπὶ τοὺς κόρεις ὁρμήσαντες, πάντας ἐφόνευσαν, καὶ βαστάσαντες τοῦ σπηλαίου ἐξήγαγον· καὶ ὁ γέρων ἀπαλλαγεὶς τοῦ πειρασμοῦ, ηὐχαρίστει τῷ Θεῷ.

7. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα λέγων· τί ποιήσω, ὅτι ὀλιγωρῶ ἐν τῷ καθέζεσθαί με; καὶ ἀπεκρίθη αὐτῷ ὁ γέρων· μηδένα ἐξουθενήσῃς ἢ κατακρίνῃς ἢ καταλαλήσῃς, καὶ ὁ Θεὸς παρέχει σοι ἀνάπαυσιν, καὶ γίνεταί σοι τὸ κάθισμα ἀτάραχον.

8. Ἀδελφός τις ἐν τῇ ἐρήμῳ ὤν, καὶ ἡσυχάζων ἐν τῷ κελλίῳ, ὑπὸ τῆς ἀκηδείας ἐπολεμεῖτο δεινῶς ἐξελθεῖν ἀπὸ τοῦ κελλίου, ἔλεγε δὲ πρὸς ἑαυτόν· διατὶ ἀκηδιᾷς, ἄθλιε, καὶ ζητεῖς ἐξελθεῖν ἀπὸ τοῦ κελλίου; οὐκ ἀρκεῖ σοι τοῦτο, εἰ καὶ

μηδὲν ποιεῖς ἀγαθόν, τὸ μηδένα σκανδαλίζειν ἢ θλίβειν, ἢ καὶ αὐτὸς σκανδαλίζεσθαι καὶ θλίβεσθαι ὑπό τινος; γνῶθι ἀπὸ πόσων κακῶν ἐῤῥύσατό σε ὁ Κύριος· οὐκ ἀργολογεῖς, οὐκ ἀκούεις τὰ μὴ συμφέροντα, οὐχ ὁρᾷς τὰ βλάπτοντα, εἷς σοι πόλεμός ἐστι, τῆς ἀκηδίας, καὶ δυνατός ἐστιν ὁ Θεὸς καὶ τοῦτον καταργῆσαι, εἰ ἐν ταπεινώσει καὶ συντριβῇ καρδίας ἀδιαλείπτως προσπίπτεις αὐτῷ καὶ ἐπικαλῇ τὴν Αὐτοῦ βοήθειαν· γινώσκει δέ σου καὶ τὴν ἐν πᾶσιν ἀσθένειαν, καὶ οὐ συγχωρήσει σοι πειρασθῆναι ὑπὲρ ὃ δύνασαι. Ταῦτα καὶ τὰ τοιαῦτα τοῦ ἀδελφοῦ πρὸς ἑαυτὸν λέγοντος, πολλὴ παράκλησις ἐγίνετο αὐτῷ διὰ τῆς τοῦ Θεοῦ Χάριτος, τὴν δὲ διδαχὴν ἔσχε ταύτην παρὰ τῶν Ἁγίων Πατέρων τῶν ἐν τῇ ἐρήμῳ γηρασάντων, καὶ μεγάλην ἐκ τῆς ἀσκήσεως πλουτησάντων τὴν πρὸς Θεὸν οἰκειότητα.

9. Ἠρωτήθη γέρων, διατί οὐδέποτε ὀλιγώρησας; καὶ ἀπεκρίθη· ἐπειδὴ καθ' ἡμέραν ἀποθανεῖν προσδοκῶ.

10. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα διὰ τὴν ἀκηδίαν, καὶ ἀπεκρίθη ὁ γέρων· ἡ ἀκηδία ἐπὶ πάσῃ ἀρχῇ ἀγαθοῦ πολεμεῖ τῷ ἀνθρώπῳ, καὶ οὐκ ἔστι χεῖρον αὐτῆς πάθος· ἀλλ' ἐὰν γνωρίσῃ αὐτὴν ἄνθρωπος, ὅτι αὕτη ἐστίν, ἀναπαύεται, ἤγουν εἰς ὑπομονὴν καὶ σπουδὴν ἑαυτὸν διεγείρας.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ἀντώνιος, παραμένων εἰς τὴν ἔρημον, περιέπεσεν εἰς ἀκηδίαν καὶ ἤρχισε νὰ σκοτίζηται ἀπὸ τοὺς διαφόρους λογισμούς. Εἰς τὴν κατάστασιν αὐτὴν εὑρισκόμενος ἔκραζε γοερῶς πρὸς τὸν Θεὸν καὶ ἔλεγε· «Κύριέ μου, θέλω νὰ σωθῶ καὶ δὲν μὲ ἀφήνουν οἱ λογισμοί· δίδαξόν με πῶς νὰ ἀποδιώξω τὴν θλῖψίν μου αὐτὴν καὶ νὰ σωθῶ».

Ἀφοῦ λοιπὸν ἠγέρθη ἐκ τῆς θέσεώς του καὶ ἐπλησίασεν ὀλίγον πρὸς τὴν ἔξοδον τοῦ κελλίου του, βλέπει ὁ Ἀντώνιος ἕνα ἄνθρωπον, ὅμοιον μὲ αὐτόν, νὰ κάθεται καὶ νὰ ἀσχολῆται μὲ τὸ ἐργόχειρόν του· ἐν συνεχείᾳ ὁ ἄνθρωπος αὐτὸς ἠγείρετο ἀπὸ τὴν ἐργασίαν του καὶ προσηύχετο καὶ πάλιν ἐκάθητο καὶ ἔπλεκε τὴν σειρὰν τῶν σχοινίων (διὰ τὸ ζεμπίλι) (μὲ αὐτὸ τὸ ἐργόχειρον ἠσχολεῖτο ὁ ἐμφανισθεὶς) καὶ ἀμέσως πάλιν, ἀφοῦ ἐπὶ ἀρκετὸν εἰργάσθη, ἠγέρθη διὰ τὴν προσευχήν. Αὐτὸς δὲ ὁ περίεργος ξένος ἦτο Ἄγγελος Κυρίου, ὅστις ἀπεστάλη διὰ νὰ διορθώσῃ καὶ ἐπιστηρίξῃ τὸν Ἀντώνιον, καὶ ὅστις ἀπευθυνόμενος πρὸς τὸν Ἀντώνιον τοῦ εἶπεν· «Οὕτω κάμνε καὶ θὰ σωθῇς». Ὁ Ἀββᾶς Ἀντώνιος, μόλις ἤκουσεν αὐτὴν τὴν πληροφορίαν, ἐχάρη πάρα πολὺ καὶ ἔλαβε θάρρος καὶ ἀφοῦ ἀπέβαλε τὴν ἀκηδίαν ἐπορεύετο, ὅπως ἐμπράκτως τοῦ ἀπέδειξεν ὁ Ἄγγελος καὶ τοιουτοτρόπως ἐσώθη.

2. Κάποιος ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ἀντώνιον:

— Πάτερ μου, οἱ λογισμοὶ μὲ στενοχωροῦν ἐπιφέροντες εἰς τὴν ψυχήν μου θλῖψιν, διότι μοῦ λέγουν, ὅτι σὺ δὲν ἔχεις τὴν δύναμιν νὰ νηστεύῃς, οὔτε νὰ ἀσχολῆσαι μὲ τὸ σκληρὸν ἐργόχειρον τῶν Ἀσκητῶν· τοὐλάχιστον, ἐγκαταλείπων τὸ κελλίον σου, νὰ ἐπισκέπτεσαι τοὺς ἀσθενεῖς, διότι καὶ τοῦτο εἶναι ἀγάπη.

Ὁ Γέρων, ὁ Ἀββᾶς Ἀντώνιος, ἐπειδὴ ἐγνώριζε τὰς παγίδας τοῦ πολυμηχάνου διαβόλου καὶ ὅτι ἡ μεθ' ὑπομονῆς καὶ ἐγκαρτερήσεως παραμονὴ εἰς τὸ μοναχικὸν κελλίον ἐπαναφέρει τὸν Μοναχὸν εἰς τὴν τάξιν τοῦ μοναχικοῦ βίου, ἀπήντησεν ὡς ἑξῆς εἰς τὸν ἐρωτήσαντα.

— Πήγαινε εἰς τὸ κελλίον σου, φάγε, πίε καὶ κοιμήσου· μὴ κάμῃς καμμίαν ἐργασίαν, ἀρκεῖ νὰ μὴ ἐγκαταλείψῃς τὸ κελλίον σου.

Πράγματι ὁ ἀδελφός, μετὰ τὴν συμβουλὴν τοῦ Γέροντος, ἐπέστρεψεν εἰς τὸ κελλίον του καὶ ἐπορεύθη ἐπὶ τρεῖς ἡμέρας, ὅπως τοῦ ὑπέδειξεν ὁ Γέρων. Χωρὶς ἐργασίαν ὅμως ἐστενοχωρήθη· δι' αὐτὸ τὴν τρίτην ἡμέραν, ἀφοῦ εὗρε μερικὰ βλαστάρια φοινίκων, ἀπ' αὐτὰ ποὺ πλέκουν οἱ Μοναχοὶ τὰ καλάθια καὶ τὰ ζεμπίλια, ἤρχισε νὰ τὰ σχίζῃ καὶ νὰ πλέκῃ καὶ αὐτός. Παρ' ὅλον δὲ ὅτι ἐπείνασεν, ἀντέτεινεν εἰς τὸν λογισμόν του· ἂς κάμω ὑπομονὴν νὰ πλέξω καὶ αὐτὰ τὰ ὀλίγα βλαστάρια, ποὺ εὑρῆκα καὶ κατόπιν τρώγω. Ἀφοῦ δὲ τὰ ἔπλεξε καὶ αὐτά, εἶπε πάλιν εἰς τὸν ἑαυτόν του· ἂς ἀναγνώσω καμμίαν ψυχωφελῆ ἀνάγνωσιν καὶ ἀφοῦ, ἐν συνεχείᾳ, τελειώσω καὶ τὴν μικράν μου ἀκολουθίαν, τότε ξένοιαστος πλέον θὰ καθίσω νὰ φάγω. Οὕτω δὲ ὀλίγον κατ' ὀλίγον, μὲ τὴν Χάριν τοῦ Θεοῦ, προκόπτων εἰς τὴν ἀσκητικὴν ζωὴν ἀνεδείχθη δόκιμος· νικήσας δὲ τὴν ἀκηδίαν ἔλαβε θάρρος ἐναντίον τῶν λογισμῶν καὶ συνεχῶς ἐνίκα αὐτούς.

3. Κάποτε μεταξὺ ἑνὸς Γέροντος Ἀσκητοῦ καὶ ἑνὸς νεωτέρου ἀδελφοῦ διημείφθη ὁ ἑξῆς διάλογος:

— Διατί, Γέροντά μου, ὅταν κάθημαι εἰς τὸ κελλίον μου καταλαμβάνομαι ἀπὸ ψυχικὴν κατάπτωσιν καὶ ἀκηδίαν;

— Διότι δὲν ἔχεις ἀκόμη ἴδει οὔτε τὴν ἀνάπαυσιν τῶν Δικαίων, τὴν ὁποίαν ἐλπίζομεν, οὔτε τὴν ἐπερχομένην εἰς τοὺς ἀσεβεῖς τιμωρίαν. Ἐὰν ἐγνώριζες ἀκριβῶς τὰς δύο αὐτὰς μεταθανατίους καταστάσεις, μίαν τῶν ὁποίων ὁπωσδήποτε θὰ κληρονομήσωμεν, τότε καὶ ἐὰν ἀκόμη τὸ κελλίον σου ἦτο γεμᾶτον ἀπὸ σκώληκας, ὥστε νὰ ἦσουν χωμένος μέσα εἰς αὐτοὺς καὶ νὰ τοὺς ἔφερες ὡς ἔνδυμα, ἀσφαλῶς θὰ ὑπέμενες χωρὶς νὰ δοκιμάζῃς ἀκηδίαν.

4. Ἐπίσης ἕνας ἄλλος ἀδελφὸς ὑπέβαλε τὴν ἑξῆς ἐρώτησιν εἰς ἕνα Γέροντα:

— Οἱ λογισμοί μου περιφέρονται εἰς ἀσκόπους καὶ ματαίας περιπλανήσεις· ἐξ αἰτίας δὲ τοῦ γεγονότος αὐτοῦ θλίβομαι.

— Σὺ νὰ κάθεσαι μὲ ὑπομονὴν εἰς τὸ κελλίον σου—ἀπήντησεν ὁ Γέρων—καὶ ἐκεῖνοι πάλιν θὰ ἐπιστρέφουν ἀπὸ τοὺς ματαίους ῥεμβασμούς. Οἱ λογισμοὶ ὁμοιάζουν μὲ ἕνα ἄτακτον καὶ ζωηρὸν πουλαράκι. Ἐὰν ἡ θήλεια ὄνος εἶναι δεμένη μὲ ἀσφάλειαν κάπου, τότε τὸ πουλαράκι, ἐπειδὴ εἶναι λυμένο, τρέχει, πηδᾷ ἐδῶ καὶ ἐκεῖ· ὅσον ὅμως καὶ ἐὰν ἀπομακρυνθῇ, ἐπανέρχεται πρὸς τὴν μητέρα του. Τὸ ἴδιον συμ-

βαίνει καὶ μὲ τοὺς λογισμοὺς ἐκείνου, ὁ ὁποῖος χάριν τοῦ Θεοῦ ὑπομένει ἔγκλειστος εἰς τὸ κελλίον του· ἐὰν πρὸς στιγμὴν περιπλανηθοῦν, ἀμέσως ὅμως ἐπιστρέφουν πρὸς αὐτόν.

5. Κάποιος ἀπὸ τοὺς Πατέρας διηγήθη τὸ ἑξῆς περιστατικόν:

Εὑρισκόμην κάποτε — εἶπεν — εἰς Ὀξύρρυγχον· τὸ Σάββατον λοιπὸν ἦλθον ἐκεῖ μερικοὶ πτωχοὶ ἀδελφοί, διὰ νὰ λάβουν ἐλεημοσύνην. Ἕνας ἐξ αὐτῶν εἶχε μόνον μίαν τριμμένην ψάθαν καὶ ἐτοποθέτει τὴν μισὴν ἀπὸ κάτω διὰ στρῶμα καὶ μὲ τὴν ὑπόλοιπον ἐσκεπάζετο. Ἦτο ὅμως κρύο καὶ τὴν νύκτα ἔκαμνεν ὑπερβολικὸν ψῦχος. Εἰς μίαν λοιπὸν στιγμὴν τῆς νυκτός, ὅπου ἐσηκώθηκα διὰ νὰ μεταβῶ δι' ὑπηρεσίαν, ἀντελήφθην τὸ ἑξῆς θαυμαστόν· ὁ ἀδελφὸς αὐτὸς εἶχε παγώσει· καθὼς δὲ ὑπέφερε καὶ ἔτρεμεν ἀπὸ τὸ κρύο, παρηγόρει τὸν ἑαυτόν του διὰ τῶν ἑξῆς εὐχαριστηρίων λόγων πρὸς τὸν Θεόν: «Κύριέ μου, σὲ εὐχαριστῶ δι' ὅλα τὰ ἀγαθά, τὰ ὁποῖα μοῦ παρέχεις· πόσοι αὐτὴν τὴν στιγμὴν εὑρίσκονται εἰς τὰς φυλακὰς φέροντες σκληρὰ δεσμά! πόσοι ἐξ αὐτῶν ἔχουν προσηρμοσμένους τοὺς πόδας των εἰς τὸ ξύλον [1], διὰ νὰ μὴ μετακινοῦνται, ὥστε νὰ μὴ δύνανται οὔτε αὐτὴν τὴν σωματικήν των ἀνάγκην νὰ ἐκπληρώσουν! Ἀπέναντι αὐτῶν ἐγὼ εἶμαι ὡς βασιλεύς, δυνάμενος νὰ ἁπλώνω ἀνέτως τοὺς πόδας μου». Μόλις ἤκουσα ἐγὼ αὐτά, διηγήθην ἀμέσως εἰς τοὺς ἀδελφοὺς πρὸς πνευματικήν των οἰκοδομὴν καὶ ψυχικήν των ὠφέλειαν.

6. Ἕνας ἄλλος ἐκ τῶν Πατέρων ἔθεσεν ἑκούσιον περιορισμὸν εἰς τὸν ἑαυτόν του νὰ μὴ ἐξέλθῃ ἀπὸ τὸ κελλίον, καθ' ὅλην τὴν περίοδον τῆς νηστείας τῆς Ἁγίας Τεσσαρακοστῆς, μέχρι τῆς ἑορτῆς τοῦ Πάσχα. Τί τοῦ κάμνει λοιπὸν ὁ διάβολος, ὁ ὁποῖος φθονεῖ τοὺς ἀγωνιζομένους; Ἐγέμισεν ὅλον τὸ ἀσκητικόν του σπήλαιον, ἀπὸ τὸ ἔδαφος ἕως τῆς στέγης, μὲ κορέους· τόσον ἦτο τὸ πλῆθος τῶν κορέων, ὥστε νὰ σκεπασθοῦν καὶ οἱ τοῖχοι, καὶ νὰ γεμίσουν τὸ ψωμί, τὸ σταμνί, ποὺ ἐγέμιζε μὲ νερό, καὶ ὅλα ἐν γένει τὰ πράγματα τοῦ κελλίου. Ὁ Ἀσκητὴς ὅμως ὑπέμεινεν ἀγογγύστως καὶ μὲ γενναιότητα τὴν δοκιμασίαν αὐτὴν λέγων ἐπιτακτικῶς εἰς τὸν ἑαυτόν του· «Δὲν πρόκειται νὰ ἐξέλθω τοῦ κελλίου μου πρὸ τῆς Ἁγίας Ἑορτῆς, ἔστω καὶ ἐὰν πρόκειται νὰ ἀποθάνω ἀπὸ τὴν δοκιμασίαν αὐτήν». Ἰδοὺ ὅμως πόσον ἐπεβραβεύθη ἡ ὑπομονή του καὶ ἡ ἀπόφασις αὐτή! Κατὰ τὴν τρίτην ἑβδομάδα τῶν Νηστειῶν εἰσορμᾷ εἰς τὸ σπήλαιον ἀπροσμέτρητον πλῆθος μυρμήκων, οἱ ὁποῖοι, ὅπως οἱ στρατιῶται εἰς τὸν πόλεμον, ἐπιτίθενται μὲ ὁρμὴν ἐναντίον τῶν κορέων, τοὺς φονεύουν ὅλους καὶ μετὰ τοὺς βγάζουν ἀπὸ τὸ σπήλαιον. Ὁ Γέρων, κατόπιν αὐτοῦ, ηὐχαρίστει τὸν Θεόν, διότι ἀπηλλάγη ἀπὸ τὸν πειρασμὸν αὐτόν.

---

1) Τὸ ξύλον ἦτο ἓν εἶδος λαβίδος συγκλειούσης τοὺς πόδας τοῦ καταδίκου, ὀλίγον ὑπεράνω τῶν ἀστραγάλων, ὥστε νὰ μὴ μετακινῆται οὗτος.

7. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Τί πρέπει νὰ κάμω, Πάτερ μου, διότι περιπίπτω εἰς ψυχικὴν κόπωσιν καὶ ἀδιαφορίαν, ὅταν παραμένω εἰς τὸ κελλίον μου;

Εἰς αὐτὰ ἀπήντησεν ὁ Γέρων:

— Νὰ μὴ περιφρονήσῃς κανένα, οὔτε νὰ τὸν κατηγορήσῃς, οὔτε νὰ τὸν κατακρίνῃς· νὰ εἶσαι βέβαιος τότε, ὅτι ὁ Θεὸς θὰ σοῦ χαρίσῃ ἀνάπαυσιν καὶ θὰ παραμένῃς εἰς τὸ κελλίον σου χωρὶς ψυχικὴν ταραχήν.

8. Ἕνας ἀδελφὸς παρέμενεν εἰς τὴν ἔρημον καὶ ἡσύχαζε μόνος μέσα εἰς τὸ κελλίον του, ἀλλ' ὅμως ἐπολεμεῖτο φοβερῶς ἀπὸ τὸ πνεῦμα τῆς ἀκηδίας, πιεζόμενος νὰ ἐξέλθῃ ἀπὸ τὸ κελλίον του. Ἀγωνιζόμενος δὲ καὶ βιάζων τὸν ἑαυτόν του ἔλεγε: «Διατὶ περιπίπτεις εἰς ψυχοκτόνον μελαγχολίαν καὶ ἀκηδίαν, ἄθλιε; Δὲν σοῦ εἶναι ἀρκετὸν τὸ ὅτι, ἂν καὶ δὲν ἐκτελεῖς κανένα ἀγαθὸν ἔργον, οὐδένα στενοχωρεῖς ἢ σκανδαλίζεις; Ἐπίσης, ὅτι καὶ σὺ ὁ ἴδιος δὲν σκανδαλίζεσαι καὶ δὲν θλίβεσαι ἀπὸ κανένα ἄλλον; Λάβε ὑπ' ὄψιν σου ἀπὸ πόσα κακὰ σὲ ἐλύτρωσεν ὁ Κύριος· δὲν ἀργολογεῖς (=δὲν λέγεις ἀσκόπους καὶ ἐπιβλαβεῖς συζητήσεις), δὲν ἀκοῦς αὐτά, ποὺ βλάπτουν τὴν ψυχήν, δὲν βλέπεις πράγματα ἐπιζήμια ψυχικῶς· ἕναν μόνον πόλεμον ἀντιμετωπίζεις, τὴν ἀκηδίαν· ἀλλὰ καὶ αὐτὸν τὸν πόλεμον εἶναι εἰς θέσιν ὁ Θεὸς νὰ τὸν καταπαύσῃ, ἐὰν συνεχῶς προσπίπτῃς πρὸς Αὐτὸν καὶ μὲ ταπείνωσιν καὶ συντριβὴν καρδίαν τὸν ἐπικαλεῖσαι καὶ ἐπιζητῇς τὴν βοήθειάν Του. Ἐπὶ πλέον ὁ Θεὸς γνωρίζει καὶ τὴν ἀσθένειάν σου εἰς ὅλα τὰ σημεῖα, ὥστε νὰ μὴ ἐπιτρέπῃ νὰ πειρασθῇς περισσότερον ἀπὸ τὴν δύναμίν σου.

Διὰ τῶν σκέψεων αὐτῶν καὶ διὰ τῆς Χάριτος τοῦ Θεοῦ πολλὴν παρηγορίαν ἐδοκίμασεν ὁ ἀδελφὸς αὐτός. Αὐτὴν δὲ τὴν διδασκαλίαν, τὴν ὁποίαν ἀπηύθυνε πρὸς τὸν ἑαυτόν του, παρέλαβεν ἀπὸ τοὺς Ἁγίους Πατέρας, οἱ ὁποῖοι ἐγήρασαν ἀσκούμενοι εἰς τὴν ἔρημον καὶ ἀπέκτησαν, ὡς ἐκ τούτου, μεγάλην παρρησίαν πρὸς τὸν Θεόν.

9. —Διατί, Γέροντα—ἠρώτησαν κάποτε ἕνα Ἀσκητὴν—ποτὲ δὲν περιέπεσες εἰς κατάστασιν πνευματικῆς ἀδιαφορίας καὶ ἀμελείας;

— Διότι καθ' ἑκάστην ἡμέραν—ἀπήντησεν ἐκεῖνος — περιμένω νὰ ἀποθάνω.

10. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Ποιμένα:

— Πληροφόρησέ με, Γέροντά μου, περὶ τῆς ἀκηδίας!

— Ἡ ἀκηδία — ἀπήντησεν ἐκεῖνος — πολεμεῖ τὸν ἄνθρωπον, ὁσάκις οὗτος ἀρχίζει νὰ προσπαθῇ τὴν ἐκτέλεσιν ἑνὸς ἔργου ἀγαθοῦ· πραγματικῶς δὲ δὲν ὑπάρχει χειρότερον πάθος ἀπὸ αὐτήν. Ὅταν ὅμως ὁ ἄνθρωπος διαπιστώσῃ τὴν παρουσίαν της, δὲν πρέπει νὰ ἀνη-

συχῇ, διότι δύναται νὰ τὴν ἐκμηδενίσῃ, ἐφ' ὅσον ἐπιστρατεύσῃ ἀμέσως τὴν ὑπομονὴν καὶ τὴν ἀνύστακτον φροντίδα του.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

Ο ΛΙΓΩΡΟΣ Μοναχὸς καὶ ἀκηδιαστής, λογισμοῦ τινος ἐπελθόντος, κλείσας τὴν θύραν τοῦ κελλίου αὐτοῦ περιφέρεται ὧδε κἀκεῖσε, ὡς πλοῖον ἀπηδάλωτον· ὁ δὲ μεθ' ὑπομονῆς καθεζόμενος, οὐ συναπάγεται τοῖς ματαίοις λογισμοῖς.

2. Ψυχῇ ὀλιγωρούσῃ, δὸς λόγον παρακλήσεως, καὶ Κύριος στηρίξει σὴν καρδίαν.

3. Πολλοὺς τόπους δοκιμάσει ἄεργος Μοναχὸς καὶ ἀκηδιαστής, ξίφος δέ ἐστι κατὰ τοῦ δαίμονος τῆς ἀκηδίας ἡ τοῦ θανάτου μνεία καὶ τῶν κολάσεων.

4. Ἀρχὴ καὶ τέλος τῶν πιστῶν, πίστις, ἐλπίς, ἀγάπη· τῶν δὲ χαλεπῶν χαλεπωτέρα ἡ ἀκηδία ὑπάρχει, μάλιστα δὲ ἐὰν σχῇ σύμμαχον τὴν ἀπιστίαν· πλήρεις γὰρ οἱ καρποὶ αὐτῆς ἰοῦ θανατηφόρου.

5. Μνημόνευε, ἀγαπητέ, τοῦ φοβεροῦ βήματος διαπαντός, καὶ ἔσται σοι στήριγμα καὶ ἀντιπολεμήσεις τοὺς ἐπιβουλεύοντας κατὰ τῆς ψυχῆς σου.

6. Φονοκτονεῖ τὴν ἑαυτοῦ ψυχὴν ὁ ἐκκλίνων ἀπὸ τῶν ἐντολῶν τοῦ Κυρίου, χαρὰν δὲ ἀνεκλάλητον κληρονομήσει πᾶς ὁ τηρῶν αὐτὰς ἐν ἀληθείᾳ.

7. Ἀκηδιαστῇ Μοναχῷ ἡ ὀλιγωρία ἀνθίσταται· τὸν δὲ ἔχοντα ὑπομονὴν πολεμεῖ ὑψηλοφροσύνη, ὁ δὲ φοβούμενος τὸν Κύριον ἐν ἀληθείᾳ ἀμφοτέρων περιγίνεται.

8. Μοναχὸς ἀκηδιαστὴς πολλὰ ζημιωθήσεται· ὁ δὲ νήφων, οὐδὲ μιᾶς ὥρας καταφρονήσει.

Ἑρμηνεία

Ο ΑΜΕΛΗΣ Μοναχός, ὁ ὁποῖος δὲν φροντίζει διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του, μόλις δεχθῇ τὴν ἐπίθεσιν ἑνὸς λογισμοῦ, κλείει τὴν θύραν τοῦ κελλίου του καὶ ἐξερχόμενος περιφέρεται ἀσκόπως ἐδῶ καὶ ἐκεῖ, ὅπως ἀκριβῶς τὸ πλοῖον, ποὺ κατεστράφη τὸ πηδάλιόν του ἀπὸ τὴν τρικυμίαν. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος παραμένει εἰς αὐτὸ μὲ ὑπομονὴν καὶ ἐγκαρτέρησιν, δὲν παρασύρεται ἀπὸ τοὺς ματαίους λογισμούς.

2. Ψυχήν, ἡ ὁποία κατεσχέθη ἀπὸ ἀμέλειαν καὶ ὀλιγωρίαν, φρόντισε νὰ συμβουλεύῃς μὲ προτρεπτικὴν διδασκαλίαν, καὶ ὁ Κύριος, εἰς ἀνταμοιβήν, θὰ στηρίξῃ καὶ τὴν ἰδικήν σου καρδίαν.

3. Εἰς πολλὰ μέρη θὰ ἐγκατασταθῇ ἀλληλοδιαδόχως ὁ Μοναχός, ὁ ὁποῖος δὲν ἐκτελεῖ μίαν ἐργασίαν καὶ δὲν αἰσθάνεται εἰς τὴν ψυχήν του τὴν ἀγωνίαν τῆς πνευματικῆς φροντίδος. Ἡ ἐνθύμησις τοῦ θανάτου καὶ τῆς κολάσεως τῶν ἁμαρτωλῶν εἶναι ἀποτελεσματικὸν ξίφος ἐναντίον τοῦ δαίμονος τῆς ἀκηδίας.

4. Ἔναρξις τῆς πνευματικῆς προκοπῆς τῶν πιστῶν καὶ σκοπὸς τοῦ ἀγῶνός των πρέπει νὰ εἶναι ἡ πίστις, ἡ ἐλπὶς καὶ ἡ ἀγάπη. «Νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα» (Α' Κορινθ. ιγ', 13). Τὸ φοβερώτερον ἀπὸ ὅλα τὰ φοβερὰ εἶναι ἡ ἀκηδία, τότε μάλιστα, ὅταν ἀποκτήσῃ καὶ σύμμαχον τὴν ἀπιστίαν. Οἱ καρποὶ τῆς ἀκηδίας εἶναι γεμᾶτοι ἀπὸ δηλητήριον, ποὺ φέρει τὸν θάνατον.

5. Νὰ ἐνθυμῆσαι, ἀγαπητέ μου, εἰς ὅλην σου τὴν ζωὴν τὸ φοβερὸν βῆμα, ἀπὸ τοῦ ὁποίου θὰ κρίνῃ ὁ Θεὸς τοὺς ἀνθρώπους κατὰ τὴν Δευτέραν Παρουσίαν· ἡ τοιαύτη ἐνθύμησις θὰ εἶναι διὰ σὲ στήριγμα εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς, ὥστε νὰ πολεμήσῃς ἐπιτυχῶς αὐτοὺς οἱ ὁποῖοι φθονοῦν καὶ πολεμοῦν τὴν ψυχήν σου.

6. Δολοφονεῖ τὴν ψυχήν του ἐκεῖνος, ὁ ὁποῖος παρεκκλίνει (—λοξοδρομεῖ) ἀπὸ τὴν ὁδὸν τῶν ἐντολῶν τοῦ Κυρίου· ἀντιθέτως αὐτός, ὁ ὁποῖος πραγματικῶς θὰ ἐφαρμόσῃ εἰς τὴν ζωήν του τὰς ἐντολὰς τοῦ Κυρίου, θὰ κληρονομήσῃ ἀπερίγραπτον χαράν.

7. Ὁ Μοναχός, ὁ ὁποῖος εἶναι ἀμελὴς καὶ ἀδιάφορος, ἀντιμετωπίζει τὸν κίνδυνον τῆς ὀλιγωρίας· ἐκεῖνος πάλιν, ὁ ὁποῖος ἐπιδεικνύει ὑπομονὴν εἰς τοὺς πειρασμούς, ἀπειλεῖται ἀπὸ τὴν ὑψηλοφροσύνην, ὅτι δῆθεν κάτι κατώρθωσε. Μόνον αὐτός, ὁ ὁποῖος φοβεῖται πραγματικῶς τὸν Κύριον, καθίσταται ἀπρόσβλητος καὶ ἀπὸ τὴν ὀλιγωρίαν καὶ ἀπὸ τὴν ὑψηλοφροσύνην.

8. Ἀμελὴς καὶ ἀδιάφορος Μοναχὸς πολλὰς ζημίας θὰ ὑποστῇ· ὁ νηφάλιος ὅμως καὶ ἀπαθὴς οὔτε μίαν ὥραν δὲν θὰ περιφρονήσῃ, ἀλλὰ θὰ τὴν ἐκμεταλλευθῇ πρὸς ψυχικήν του ὠφέλειαν.

Θ'. Τοῦ Ἁγίου Ἰσαὰκ

ΝΕΦΕΛΗ μικρὰ σκεπάζει τὸν κύκλον τοῦ ἡλίου, μετὰ δὲ τὴν νεφέλην ὁ ἥλιος λίαν ἐστὶ θερμός· οὕτω καὶ ἡ ἀκηδία μικρὰ καλύπτει τὴν ψυχὴν ἐκ τοῦ θείου φωτός, ἡ δὲ μετ' αὐτὴν χαρὰ μεγάλη ἐστίν.

2. Ὅταν πληθυνθῇ ἡ ὑπομονὴ ἐν ταῖς ψυχαῖς ἡμῶν, σημεῖόν ἐστιν, ὅτι ἐλάβομεν ἐν κρυπτῷ τὴν χαρὰν τῆς παρακλήσεως, ἡ δὲ ἰσχὺς τῆς ὑπομονῆς δυνατωτέρα ἐστὶ τῶν ἐννοιῶν τῆς χαρᾶς τῶν ἐμπιπτουσῶν ἐν τῇ καρδίᾳ.

Ἑρμηνεία

ΜΙΑ νεφέλη μικρὰ δύναται πρὸς στιγμὴν νὰ σκεπάσῃ τὸν κύκλον τοῦ ἡλίου· ἀφοῦ ὅμως ἡ νεφέλη διαλυθῇ, ὁ ἥλιος καὶ θερμότερος καὶ λαμπρότερος καθίσταται. Τοιουτοτρόπως συμβαίνει καὶ μὲ τὴν ἀκηδίαν· ἐπ' ὀλίγον σκεπάζει τὴν ψυχήν, ὥστε νὰ μὴ αἰσθάνεται τὸ θεῖον φῶς· ὅταν ὅμως, μὲ τὴν Χάριν τοῦ Θεοῦ, παρέλθῃ ἡ ἀκηδία, τότε ἡ χαρά, τὴν ὁποίαν δοκιμάζει ἡ ψυχή, εἶναι μεγάλη.

2. Ὅταν ἡ ὑπομονὴ πολλαπλασιασθῇ εἰς τὰς ψυχὰς ἡμῶν, νὰ εἴμεθα βέβαιοι, ὅτι ὁ Θεός, κατὰ μυστικὸν τρόπον, μᾶς προσέφερε τὴν χαρὰν τῆς παρηγορίας Του, διότι ἡ ὑπομονὴ εἶναι σημεῖον Χάριτος. Ἡ ἐνέργεια καὶ τὰ ἀποτελέσματα τῆς ὑπομονῆς συγκινοῦν τὴν καρδίαν ἰσχυρότερον ἀπὸ ὅλας τὰς μορφὰς τῆς χαρᾶς, τὰ ὁποίας δύναται νὰ δοκιμάσῃ αὕτη.

Ι'. Ἐν τῷ Γεροντικῷ

ΗΛΘΕ ποτε ὁ Ἀββᾶς Ἀμμωνᾶς περᾶσαι τὸν ποταμόν, καὶ εὗρε τὸ πορθμεῖον πεφιλοκαλημένον, ἤγουν μὴ πλέον, ἀλλὰ περιποιούμενον, καὶ παρεκαθέσθη αὐτῷ· καὶ ἰδοὺ ἄλλο σκάφος εἰς τὸν τόπον ἦλθε, καὶ

ἐπέρασε τοὺς εὑρεθέντας ἐκεῖ, οἳ καὶ ἔλεγον τῷ Γέροντι, ὅτι περᾶν ἔμελλον· δεῦρο καὶ σὺ πέρασον μεθ' ἡμῶν. Ὁ δὲ ἀπεκρίθη αὐτοῖς· εἰ μὴ εἰς τὸ δημόσιον πορθμεῖον, οὐκ ἀναβαίνω· εἶχε δὲ δέσμην θαλλίων καὶ ἐκάθητο πλέκων σειράν, καὶ πάλιν λύων αὐτήν, ἕως οὗ γέγονε τὸ πορθμεῖον καὶ οὕτως ἐπέρασεν. Ἔβαλον οὖν αὐτῷ μετάνοιαν οἱ ἀδελφοὶ λέγοντες· τί τοῦτο ἐποίησας; καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπεν· ἵνα μὴ πάντοτε σπουδάζοντος τοῦ λογισμοῦ περιπατῶ, ἀλλὰ καὶ τοῦτο ὑπόδειγμά ἐστιν, ἵνα μετὰ καταστάσεως βαδίζωμεν τὴν ὁδὸν τοῦ Θεοῦ.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἀμμωνᾶς[1] ἦλθε κάποτε πλησίον ἑνὸς ποταμοῦ, διὰ νὰ περάσῃ εἰς τὴν ἀντίπεραν ὄχθην. Τὸ μικρὸν ὅμως πλοῖον, τὸ ὁποῖον μετέφερεν ἐκ τῆς μιᾶς ὄχθης εἰς τὴν ἄλλην τοὺς ἀνθρώπους, δὲν ἐταξίδευε, διότι τὸ ἐπεσκεύαζον. Ὁ Ἀββᾶς λοιπὸν παρέμεινεν ἀναμένων τὴν ἐπισκευὴν τοῦ πλοιαρίου. Ἐν τῷ μεταξὺ κατέφθασεν ἄλλο πλοιάριον, διὰ νὰ παραλάβῃ αὐτούς, οἱ ὁποῖοι εὑρέθησαν ἐκεῖ. Μερικοὶ ἐξ αὐτῶν ἀπευθυνόμενοι πρὸς τὸν Ἀββᾶν τοῦ ἔλεγον:

— Γέροντα, πρόκειται νὰ περάσωμεν ἀπέναντι· ἔλα καὶ σὺ νὰ περάσῃς μαζί μας.

Εἰς αὐτὴν τὴν πρόσκλησιν ὁ Ἀββᾶς ἀπήντησεν ὡς ἑξῆς:

— Ἕως ὅτου τελειώσῃ ἡ ἐπισκευὴ τοῦ καθιερωμένου διὰ τὸ δρομολόγιον δημοσίου πλοιαρίου, δὲν ἀναβαίνω εἰς ἄλλο. Θὰ περιμένω νὰ ταξιδεύσω ἀπέναντι μὲ αὐτό.

Κατὰ τὸ διάστημα τῆς ἐπισκευῆς ὁ Ἀββᾶς, διὰ νὰ μὴ παραμένῃ ἀργός, ἔπλεκε μερικὰς σειρὰς ζεμπιλίου ἀπὸ μίαν δέσμην θαλλίων[2] καὶ ὅταν ἐτελείωνε διέλυε πάλιν τὴν σειρὰν αὐτήν. Τοιουτοτρόπως ἀπασχολούμενος ἐπέρασεν ὁ καιρὸς καὶ ἐτελείωσεν ἡ ἐπισκευὴ τοῦ πλοιαρίου, μὲ τὸ ὁποῖον διεπεραιώθη ἀπέναντι.

Μόλις τὸν συνήντησαν οἱ ἀδελφοί, ἔβαλαν ἐνώπιόν του μετάνοιαν, διότι τὸν εὐλαβοῦντο καὶ τοῦ εἶπαν:

— Διατί τὸ ἔκαμες αὐτό, Γέροντα, καὶ ἀνέμενες τὴν ἐπισκευὴν τοῦ δημοσίου πλοιαρίου, ἐνῷ ὑπῆρχεν ἡ δυνατότης νὰ ἔλθῃς ἐνωρίτερον;

— Διὰ νὰ μὴ περιπατῶ πάντοτε—ἀπήντησεν ὁ Γέρων—ὑπὸ τὸ κράτος τῆς ἐναγωνίου βίας τῶν λογισμῶν, ἐπὶ θυσίᾳ τῆς ἐσωτερικῆς γαλήνης καὶ ἡσυχίας. Τὸ περιστατικὸν τῆς καθυστερήσεως τοῦ πλοιαρίου εἶναι καὶ αὐτὸ ἕνα παράδειγμα, σύμφωνα μὲ τὸ ὁποῖον ὀφείλομεν νὰ βαδίζωμεν τὸν δρόμον τοῦ Θεοῦ μετὰ πνευματικῆς καταστάσεως, δηλαδὴ μὲ ἐσωτερικὴν γαλήνην καὶ ἠρεμίαν, χωρὶς νὰ ἀδημονῶμεν καὶ νὰ ταρασσώμεθα.

1) Βλέπε εἰκόνα ἐν σελίδι 165.

2) Τρυφεροὶ βλαστοὶ τῶν φοινίκων, κατάλληλοι διὰ πλέξιμον.

ὙΠΟΘΕΣΙΣ ΙΔ΄

Ὅτι δεῖ τὸν ἀγωνιστὴν καὶ ἀσθενοῦντα τοῦ σώματος μὴ πάντη ταῖς ἡδοναῖς ἐφιέναι καὶ καταλύειν τὴν ἄσκησιν, ἢ ἐν ἰατρείαις τὴν ὑγείαν ἐλπίζειν, ἀλλ' ἐν Θεῷ, οὗ οἰκονομίᾳ καὶ ἀῤῥωστίαι προσγίνονται.

Πρέπει ὁ ἀγωνιστής, καὶ ὅταν ἀκόμη εἶναι ἄρρωστος, νὰ μὴ ποθῇ καθόλου τὰς ἡδονὰς καὶ νὰ καταργῇ τὴν ἄσκησιν ἢ νὰ στηρίζῃ τὴν ἐλπίδα τῆς θεραπείας του εἰς ἰατρείας, ἀλλὰ μόνον εἰς τὸν Θεόν, ὁ ὁποῖος παραχωρεῖ καὶ τὰς ἀσθενείας.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΜΕΓΑΣ ΠΑΛΑΜΩΝ, ὁ τοῦ Ὁσίου Παχωμίου διδάσκαλος, γέρων ἤδη ὢν καὶ πάσχων τὸν σπλῆνα ἐκ τῶν ὑπεράγαν ἀσκήσεων, εἶχε τὸ σῶμα αὐτοῦ ὅλον ἀσθενές· ποτὲ μὲν γὰρ ἤσθιε μήτε ὕδατος μεταλαμβάνων, ποτὲ δὲ ἔπινε μὴ ἐσθίων ὅλως.

2. Παρακαλούμενος ὑπὸ ἀδελφῶν τινων, ἐλθόντων πρὸς αὐτόν, μὴ πάνυ κατατρύχειν τὸ σῶμα αὐτοῦ, ἀλλ' ἐπιμελείας ἀξιῶσαι τινός, ἵνα μὴ ἐπὶ πολὺ κατατεινόμενον ἀλγηδόνας αὐτῷ παρέχῃ, μόλις ποτὲ τὰ τῇ νόσῳ ἀνήκοντα πρὸς ὀλίγας ἡμέρας μεταλαβεῖν ἐπείσθη.

3. Γνοὺς δὲ καὶ ἐν τούτῳ, ὅτι μειζόνως ὁ πόνος ἐπέμενε, κατέλιπεν ἐκεῖνα τὰ βρώματα, εἰπὼν οὕτως· εἰ οἱ Μάρτυρες τοῦ Χριστοῦ κατακοπτόμενοι τὰ μέλη, τὰς κεφαλὰς ἀποτεμνόμενοι, καὶ κατακαιόμενοι, τῇ εἰς Θεὸν ἕως θανάτου ἐνεκαρτέρουν, πῶς ἐγὼ ἐν μικροτάτῳ πόνῳ ῥαθυμήσας ἐμαυτὸν ζημιώσω; καὶ φόβῳ προσκαίρου θλίψεως δειλανδρίσω; καί τοι πεισθεὶς καὶ μεταλαβὼν τῶν δοκούντων τὸ σῶμα ἀναπαύειν βρωμάτων, οὐδὲν ὠφελήθην· ἀναδραμὼν τοιγαροῦν χρήσωμαι τῇ προτέρᾳ ἀσκήσει, ἐν ᾗ ἐστιν, ὡς ἔγωγε πέπεισμαι, πᾶσα ἀνάπαυσις, ἐν ᾗ καὶ ἰαθήσομαι· οὐ γὰρ κατὰ ἄνθρωπον ταύτην μετέρχομαι, ἀλλὰ διὰ Θεὸν ἀγωνίζομαι.

4. Οὕτως οὖν ἀνδρείως ἀσκούμενος, μετὰ μῆνα ἡμερῶν ἐνόσησεν ἀῤῥωστίαν, ἐν ᾗ καὶ ἐπεσκέψατο αὐτὸν ὁ Κύριος, καὶ παρόντος τοῦ Παχωμίου, κοσμίως συστείλας ἑαυτόν, ἐν γήρᾳ καλῷ ἀνεπαύσατο.

5. Ποτὲ τῶν ἀδελφῶν σὺν τῷ μεγάλῳ Παχωμίῳ ἔν τινι νήσῳ θρύα θερίσαι πορευθέντων, καὶ τοῦ Θεοδώρου τὰ πρὸς ἑστίασιν αὐτοῖς ἑτοιμάζοντος, νόσῳ σωματικῇ συσχεθεὶς ὁ Πατὴρ ὑπέστρεψεν· ῥιγιῶντι δὲ αὐτῷ, ἐπέβαλεν ὁ Θεόδωρος στρῶμα τρίχινον· ὁ δὲ σφόδρα ἐπὶ τῷ γεγονότι ἀνιαθείς, ἆρον τοῦτο, ἔφη, ἀπ' ἐμοῦ, καὶ ῥίψον ἐπάνω μου ψιάθιον κατὰ τὸ εἰωθὸς τοῖς ἀδελφοῖς.

6. Τούτου δὲ γενομένου, πάλιν, ὥς περ ἐπιλαθόμενος ὁ Θεόδωρος τῆς ἀκρι-

βείας τοῦ Γέροντος, δράκα φοινίκων λαβών, ἐπεδίδου αὐτῷ, καὶ παρεκάλει μεταλαβεῖν· ὁ δὲ θεασάμενος μετὰ δακρύων λέγει αὐτῷ· ἄρα, ἀδελφέ, ἐπειδὴ ἡμεῖς ἐπ' ἐξουσίαν ἔχομεν τοὺς τῶν ἀδελφῶν καμάτους, καὶ τὰς χρείας αὐτῶν οἰκονομοῦμεν, διὰ τοῦτο, ὡς ἔτυχεν, ὀφείλομεν ἁπλῶς ἑαυτοὺς ἀδιαφορίαις ἐκδιδόναι, καὶ ἢ παρὰ τὴν χρείαν, ἢ παρὰ τὸν καιρόν, ἢ παρὰ τὸ εἰωθός τι διαπράττεσθαι; Ποῦ οὖν ὁ φόβος τοῦ Θεοῦ; εἰπὲ γάρ μοι, ἀδελφέ, διῆλθες πάσας τὰς καλύβας καὶ ἐπείσθης μὴ εἶναι ἐν αὐταῖς τινας ἀσθενεῖς; μὴ πλανῶ, Θεόδωρε, καὶ γὰρ καὶ ἐπὶ μεγάλῳ καὶ ἐπὶ μικρῷ παρανομεῖν τὸ ἴσον ἐστίν· ἐκείνων τοίνυν τὰς θλίψεις ἀσμένως Θεῷ ὑπομενόντων, ἡμεῖς οὐχ ὑποίσωμεν;

7. Κατὰ δὲ τὴν δοθεῖσαν αὐτῷ χάριν ἐδοκίμαζε τὰς νόσους εἴ τινες εἶεν, ᾔδει γὰρ σαφῶς τοὺς δαίμονας διὰ πάσης ἐπινοίας ἐμποδίζειν τοῖς πιστοῖς πειρωμένους. Ἀμέλει γοῦν κατέλαβεν αὐτόν ποτε ἐν τῇ Μονῇ σφοδρότατος πυρετός, καὶ ἦν ἄσιτος ἐπὶ πέντε ἡμέρας· συνεὶς δὲ τέχνην εἶναι ταύτην τοῦ πονηροῦ, τοῦ ἀεὶ βουλομένου τοὺς ἁγίους ἐμποδίζειν, οὐ διέλειπεν εἰς τὰς ἀρχὰς ἐγειρόμενος καὶ θερμῶς πρὸς ὃν ἐπόθει Θεὸν τὰς ἱκεσίας ποιούμενος· μετὰ βραχὺ οὖν κουφισθεὶς τῆς νόσου, εἰς τὴν τῶν ὑγιαινόντων ἀδελφῶν ἐκαθέσθη τράπεζαν, εὐχαριστῶν τῷ Κυρίῳ, τῷ τοιαύτην αὐτῷ διάκρισιν χαρισαμένῳ. Τοιοῦτος δὲ ὤν, οὐδ' ὅλως ἠμέλει τῶν ἀσθενῶν, ἀλλ' ἦν ἀγαθὸς καὶ συμπαθὴς εἰς τοὺς ἀδελφούς, εἴ καί τις ἄλλος.

8. Καί ποτε δὲ πάθος τι ἐνσκῆψαν τῇ κεφαλῇ τοῦ Θεοδώρου δριμείας αὐτῷ τὰς ἀλγηδόνας παρείχετο· καὶ αὐτὸς μὲν ᾔτει περιοδείας τυχεῖν, ὁ δὲ Παχώμιος ἔφη· νομίζεις, ἀδελφέ, ὅτι συμβαίνει πάθος ἢ ἕτερόν τι τοιοῦτον, ἄνευ τῆς τοῦ Θεοῦ συγχωρήσεως; διό, τέκνον, ὑπόμεινον, καὶ ἡνίκα βούλεται Κύριος ἰάσεταί σε· ἴδε, τέως δοκιμάζει, γίνει εὐχαριστῶν ὡς τέλειος Ἰώβ, ὅπως τὴν ἀνάπαυσιν ἕξῃς· καλὴ μὲν τῷ ἀσκητῇ ἡ κατὰ Θεὸν ἐν ταῖς εὐχαῖς καὶ τῇ ἐγκρατείᾳ ὑπομονή, δύναται δὲ καὶ ἀῤῥωστῶν μείζονα δέξασθαι τὸν μισθὸν τῇ καρτερίᾳ καὶ τῇ μακροθυμίᾳ.

9. Καὶ ἕτερος δὲ ἀδελφὸς ἐν τῇ αὐτῇ Μονῇ, Ζακχαῖος ὀνόματι, μετὰ πολὺν τῆς ἀσκήσεως χρόνον, λώβην ὑποστὰς τοῦ σώματος, κεχωρισμένην μὲν εἶχεν ἀπὸ τῶν ἀδελφῶν τὴν κέλλαν, ἅλατι καὶ ἄρτῳ μόνοις χρώμενος εἰς μετάληψιν πάντα τὸν τῆς ἀσκήσεως αὐτοῦ χρόνον, εἰργάζετο δὲ καθ' ἑκάστην ἡμέραν ἐπίσης τοῖς ὑγιαίνουσι ψιάθιον· τοσαύτην δὲ ὑπέμεινε συντριβήν, ὡς πολλάκις ἐν τῷ πλέκειν ὑπὸ τῶν σχοινίων τῶν ψιαθίων τὰς χεῖρας κεντούμενος αἵματος ἀφιέναι σταγόνας, καὶ ἐπ' αὐτοῦ τοῦ ἔργου δεικνῦναι τὴν καρτερίαν, ἣν εἶχε.

10. Καίπερ δὲ ἐν τοσαύτῃ ἀσθενείᾳ ὤν, οὐκ ἀπελείφθη ποτὲ τῆς συνάξεως τῶν ἀδελφῶν, οὐδὲ ἐκοιμήθη ἐν ἡμέρᾳ ποτὲ ἕως ἐξόδου αὐτοῦ· εἰώθει δὲ κατὰ νύκτα, πρὸ τοῦ καθευδῆσαι, ἀποστηθίζειν ἐκ τῶν ἁγίων γραφῶν καὶ πληροῦν τὸν κανόνα, καὶ οὕτω σφραγισάμενος ὅλον τὸ σῶμα αὐτοῦ, καὶ δοὺς τῷ Θεῷ δόξαν ἀνακλίνεσθαι· ἐγείρεσθαι δὲ κατὰ τὸ μεσονύκτιον, καὶ ἕως πρωΐ τὴν ὑμνῳδίαν πληροῦν.

11. Τούτου ποτὲ τὰς χεῖρας θεασάμενός τις ἀδελφὸς ὑπὸ τῆς βίας τοῦ ἔργου δεινῶς τετραυματισμένας καὶ ἡμαγμένας, λέγει αὐτῷ· ἀδελφέ, τί κοπιᾷς οὕτως ἐργαζόμενος, καὶ μάλιστα ἐν τοιαύτῃ ἐξεταζόμενος νόσῳ; μὴ ἁμαρτία ἐστὶν ἡ σὴ ἀργία; ἢ κρίμα ἕξεις παρὰ τῷ Θεῷ μὴ ἐργαζόμενος; εἶδεν Αὐτὸς ὅτι πάσχεις, καὶ οὐδεὶς ἔχων τοιαύτην θλῖψιν ἥψατο ἔργου ποτέ, μάλιστα δὲ μηδὲ ἔχων τὸν ἀναγκάζοντά σε· ἄλλοις ἐπαρκοῦμεν σὺν Θεῷ ξένοις τε καὶ πτωχοῖς, καὶ σοὶ τῷ ἰδίῳ ἡμῶν καὶ τηλικούτῳ Πατρὶ προθύμως οὐ δουλεύσωμεν; ἐκείνου δὲ ἀποκριθέντος, ὡς ἀδύνατόν μοί ἐστι μὴ ἐργάζεσθαι, ἔφη ὁ ἀδελφός· εἰ οὕτω δοκεῖ σοι, κἂν ἐλαίῳ καθ' ἑσπέραν ἄλειφέ σου τὰς χεῖρας πρὸς τὸ μὴ κοπιᾶν μηδὲ αἱμάττεσθαι.

12. Ὁ δὲ πεισθείς, ἐποίησε μὲν ὡς ἐδιδάχθη, τοσοῦτον δὲ μᾶλλον ὑπὸ τῶν θρύων κεντούμενος ἐβλάβη, ὡς μηδὲ δύνασθαι ὑποφέρειν μηκέτι τὰς ἐκεῖθεν αὐτῷ

προσγινόμένας ὀδύνας· καὶ παραγενομένῳ τῷ μεγάλῳ Παχωμίῳ πρὸς τὸ ἐπισκέψασθαι αὐτὸν ἐν τῷ κελλίῳ, ἀπήγγειλεν αὐτῷ τὴν περιοδείαν, ὁ δὲ λέγει αὐτῷ· ὑπολαμβάνεις, ἀδελφέ, ὅτι σε τὸ ἔλαιον ὠφελεῖ; τίς δέ σε καὶ ἠνάγκασεν οὕτω κοπιᾶν, ὥς τε προφάσει τοῦ ἔργου τῷ αἰσθητῷ ἐλαίῳ μᾶλλον ἢ τῷ Θεῷ τὰς ἐλπίδας τῆς ὑγείας ἀναθῆναι; μὴ γὰρ ἀδύνατον ἦν τῷ Θεῷ θεραπεῦσαί σε; ἢ ἀγνοεῖ τὰς ἀσθενείας ἡμῶν καὶ ὑπομνήσεως δεῖται; ἢ παρορᾷ μισῶν ἡμᾶς ὁ φύσει φιλάνθρωπος; ἀλλὰ τὴν ὠφέλειαν τῆς ψυχῆς οἰκονομῶν, συγχωρεῖ τὰς θλίψεις, ἵνα φέροντες γενναίως, καρτερίαν ἐπιδειξώμεθα, Αὐτῷ τὸ πᾶν ἀνατιθέντες, ὅτε θέλει καὶ ὡς θέλει τὴν τῶν πόνων ἀνάπαυσιν χαρίσασθαι· ὁ δὲ ἀποκριθεὶς λέγει· συγχώρησον, Πάτερ, καὶ εὖξαι ὑπὲρ ἐμοῦ, ὅπως καὶ ταύτην καὶ πάσας μου τὰς ἁμαρτίας ὁ Δεσπότης ἐξαλείψῃ Θεός.

13. Διεβεβαιώσαντο οὖν τινες περὶ τούτου, ὅτι ἐνιαυτὸν ὁλόκληρον ἐπένθει ἑαυτὸν ἕνεκεν τούτου, διὰ δύο ἡμερῶν μεταλαμβάνων τροφῆς.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΠΑΛΑΜΩΝ, ὁ διδάσκαλος τοῦ Ὁσίου Παχωμίου, ὅταν ἐγήρασεν, ὑπέφερεν ἀπὸ τὸν σπλῆνά του, λόγῳ τῶν ὑπερβολικῶν ἀσκήσεων, καὶ δι' αὐτὸ εἶχε τὸ σῶμα του ἀσθενικόν. Ἔφθασε δὲ εἰς τὸ σημεῖον αὐτό, διότι ἄλλοτε μὲν ἔτρωγε, χωρὶς νὰ πίνῃ καθόλου νερό, ἄλλοτε πάλιν ἔπινεν ὀλίγον νερό, χωρὶς νὰ τρώγῃ καθόλου.

2. Κάποτε λοιπὸν τὸν ἐπεσκέφθησαν μερικοὶ ἀδελφοί, οἱ ὁποῖοι τὸν παρεκάλεσαν νὰ μὴ καταπονῇ τόσον αὐστηρῶς τὸ σῶμά του, τώρα ποὺ ἀσθενεῖ, ἀλλὰ νὰ τὸ φροντίσῃ ὀλίγον, ὥστε νὰ μὴ τοῦ προκαλῇ πόνους ὑπερβολικῶς βασανιζόμενον· ὁ Μέγας Παλάμων μόλις καὶ μετὰ βίας ἐδέχθη, χάριν τῆς ἀγάπης, νὰ λάβῃ τὰ ἁρμόδια διὰ τὴν νόσον φάρμακα ἐπ' ὀλίγας ἡμέρας.

3. Ἀντιληφθεὶς ὅμως, ὅτι καὶ παρ' ὅλην αὐτὴν τὴν φροντίδα, ὁ πόνος ηὔξανεν, ἐγκατέλειψε τὰς ἰδιαιτέρας τροφὰς καὶ εἶπε πρὸς τοὺς μαθητάς του:

— Ἐὰν οἱ Μάρτυρες τοῦ Χριστοῦ, καίτοι τοὺς κατέκοπτον τὰ μέλη, τοὺς ἀπέκοπτον τὴν κεφαλήν, ἤ, τέλος, τοὺς κατέκαιον, ἐπέμενον μέχρι τελευταίας στιγμῆς νὰ πιστεύουν εἰς τὸν Θεόν, διατί ἐγὼ νὰ ζημιώσω τὴν ψυχήν μου ἐπιζητῶν νωθρότητα καὶ ἀνάπαυσιν ἐξ ἀφορμῆς ἑνὸς τόσον μικροῦ πόνου; Καὶ ὁ φόβος τῆς προσωρινῆς αὐτῆς ἐκ τοῦ πόνου στενοχωρίας νὰ μὲ καταστήσῃ δειλὸν καὶ ἄνανδρον; Ἐφ' ὅσον βεβαίως πεισθεὶς ἐδοκίμασα τὰ φαγητά, ποὺ θεωροῦνται κατάλληλα διὰ τὴν ἀνάπαυσιν τοῦ σώματος, καὶ οὐδόλως ὠφελήθην, δι' αὐτὸ λοιπόν, ἀφοῦ ἐπανέλθω εἰς τὴν προηγουμένην τακτικήν μου, θὰ ἐφαρμόσω τὴν ἄσκησιν, μὲ τὴν ὁποίαν ἐπὶ τόσα ἔτη ἔζησα, καὶ εἰς τὴν ὁποίαν, καθὼς εἶμαι βέβαιος, ὑπάρχει ἀνάπαυσις καὶ διὰ τῆς ὁποίας θὰ θεραπευθῶ. Ἐγὼ εὑρίσκομαι εἰς τὴν ἄσκησιν ἐπὶ τόσα ἔτη ὄχι χάριν ἀνθρώπου, ἀλλὰ ἐξ ἀγάπης πρὸς τὸν Θεὸν ἀγωνιζόμενος, ἵνα προσεγγίσω καὶ αἰσθανθῶ Αὐτόν.

4. Τοιουτοτρόπως λοιπὸν αὐστηρῶς, ὡς καὶ πρότερον, ἀσκούμενος,


ὁ ἅγιος
ΠΑΛΑΜΩΝ

ἠσθένησε μετὰ παρέλευσιν ἑνὸς μηνός. Κατὰ τὸ διάστημα τῆς ἀσθενείας αὐτῆς τὸν ἐπεσκέφθη ὁ Κύριος· παρευρισκομένου δὲ πλησίον του καὶ τοῦ μαθητοῦ του Παχωμίου, ἀφοῦ σεμνοπρεπῶς προητοιμάσθη, ἀνεπαύθη ἐλθὼν εἰς τίμιον γῆρας.

5. Κάποτε ὁ Μέγας Παχώμιος μετέβη μετὰ τῶν ὑποτακτικῶν του εἰς μίαν νῆσον, διὰ νὰ θερίσουν θρύα [1]· ἐνῷ δὲ ὁ Θεόδωρος ἡτοίμαζε τὰ ἀπαραίτητα διὰ τὸ φαγητόν, ἔξαφνα ἀσθενήσας ὁ Μέγας Παχώμιος ἐγύρισεν ὀπίσω. Ἐπειδὴ δὲ ἔτρεμεν, ὁ Θεόδωρος τοῦ ἔρριξε τρίχινον σκέπασμα, διὰ νὰ ζεσταθῇ. Μόλις ἀντελήφθη αὐτὸ τὸ πρᾶγμα ὁ Γέρων, ἐστενοχωρήθη πάρα πολὺ καὶ εἶπεν εἰς τὸν Θεόδωρον:

— Πάρε το αὐτὸ ἀπὸ ἐπάνω μου καὶ ρίψε μου ψάθα, ὅπως συνηθίζουν καὶ οἱ ἀδελφοὶ νὰ σκεπάζωνται, ὅταν κατακλίνωνται.

6. Μόλις ἔγινεν αὐτῷ, ὁ Θεόδωρος, ὡς νὰ ἐλησμόνησεν ὅτι ἡ ἐπιθυμία τῆς μοναχικῆς ἀκριβείας ὑπεκίνησε τὸν Γέροντα νὰ ζητήσῃ τὴν ψάθαν, ἀφοῦ ἔλαβε μίαν χοῦφτα χουρμάδες, τοὺς προσέφερεν εἰς τὸν Μέγαν Παχώμιον καὶ τὸν παρεκάλει νὰ τοὺς φάγῃ. Ὁ Ἅγιος ἐκεῖνος Ἀσκητὴς ἐδάκρυσε βλέπων τοὺς καρποὺς αὐτοὺς καὶ λέγει εἰς τὸν Θεόδωρον μὲ λύπην.

— Ἄραγε, ἀδελφέ μου, ἐπειδὴ ἔχομεν εἰς τὴν ἐξουσίαν μας τοὺς κόπους τῶν ἀδελφῶν μας, διὰ νὰ ἐξοικονομῶμεν τὰς ἀνάγκας των, πρέπει τυχαίως καὶ χωρὶς διάκρισιν, ἀδιαφοροῦντες διὰ τὴν τάξιν, νὰ κάνωμεν κάτι ἢ χωρὶς σοβαρὰν ἀνάγκην ἢ ἀκαίρως ἢ παρὰ τὴν συνήθειαν; Ποῦ, ἐν τοιαύτῃ περιπτώσει, ὁ φόβος τοῦ Θεοῦ; Εἰπέ μου, ἀδελφὲ Θεόδωρε, μήπως ἐγύρισες ὅλας τὰς καλύβας τῶν Μοναχῶν καὶ διεπίστωσες, ὅτι δὲν ὑπάρχουν εἰς αὐτὰς ἀσθενεῖς; [αὐτοὶ λοιπὸν οἱ ἀσθενεῖς ἔχουν τὸ δικαίωμα, χωρὶς εὐλογίαν, νὰ γευθοῦν ἰδιαιτέρως τροφάς;] Μὴ αὐταπατᾶσαι, Θεόδωρε, διότι ἡ παρανομία ὑπάρχει, ἀνεξαρτήτως ἐὰν ἡ παράβασις ἀφεώρα μικρὰ ἢ μεγάλα ζητήματα. Ἐφ' ὅσον λοιπὸν ἐκεῖνοι οἱ ἀσθενεῖς, ποὺ εὑρίσκονται αὐτὴν τὴν στιγμὴν εἰς τὰς καλύβας των, εὐχαρίστως, πρὸς χάριν τοῦ Θεοῦ, ὑπομένουν ἀγογγύστως τὰς θλίψεις των, ἡμεῖς δὲν θὰ ὑποφέρωμεν τὴν δοκιμασίαν αὐτήν;

7. Κατὰ τὸ μέτρον δὲ τῆς δοθείσης εἰς αὐτὸν ὑπὸ τοῦ Θεοῦ Χάριτος εἶχε τὴν δύναμιν νὰ ἐξακριβώνῃ τὴν αἰτίαν καὶ τὴν φύσιν τῶν διαφόρων νόσων, διότι μετὰ βεβαιότητος ἐγνώριζε πόσον οἱ δαίμονες προσπαθοῦν νὰ ἐμποδίζουν τοὺς πιστοὺς εἰς τὸ ἔργον τῆς ἀρετῆς μηχανευόμενοι τὸ πᾶν. Κάποτε λοιπὸν εὑρισκόμενος εἰς τὴν Μονὴν κατελήφθη ὅλως αἰφνιδίως ὑπὸ σφοδροτάτου πυρετοῦ, ἐξ αἰτίας τοῦ ὁποίου παρέμεινεν ἐντελῶς νηστικὸς ἐπὶ πέντε ἡμέρας. Ἀντιληφθεὶς ὅμως ἐγκαίρως, ὅτι αὐτὸς ὁ πυρετὸς εἶναι τέχνη τοῦ πονηροῦ, ὁ ὁποῖος πάντοτε θέλει νὰ ἐμποδίζῃ τοὺς ἀνθρώπους τοῦ Θεοῦ ἀπὸ τὸ ἀγαθόν, δὲν παρέλειψεν οὔτε μίαν ἡμέραν νὰ σηκώνεται εἰς τὴν κεκανονισμέ-

---

1) Βαλτώδη φυτὰ κατάλληλα διὰ πλέξιμον.

νην ὥραν διὰ νὰ ἱκετεύῃ θερμῶς τὸν Θεόν, τὸν ὁποῖον τόσον ἰσχυρῶς ἐπόθει. Μετὰ δὲ ἀπὸ ὀλίγον, καὶ ἀφοῦ ἐβελτιώθη κάπως ἡ ὑγεία του, παρεκάθησε καὶ εἰς τὴν τράπεζαν τῶν ἀδελφῶν, ποὺ ἦσαν ὑγιεῖς, εὐχαριστῶν ἀπὸ καρδίας τὸν Κύριον, ὁ ὁποῖος τοῦ ἐχάρισε τὴν ἱκανότητα νὰ διακρίνῃ τὰς μεθόδους τοῦ διαβόλου. Ἔχων δὲ εἰς τὴν καρδίαν του τὸ πνεῦμα αὐτὸ τῆς διακρίσεως ἐφρόντιζε μὲ ζωηρὸν ἐνδιαφέρον διὰ τοὺς ἀσθενεῖς καὶ ἦτο πάντοτε γλυκὺς καὶ καλὸς ἀπέναντι τῶν ἀδελφῶν ὅσον οὐδεὶς ἄλλος.

8. Μίαν φορὰν ὁ Θεόδωρος ὑπέστη ἰσχυρὸν κεφαλόπονον, ἐξ ἀφορμῆς τοῦ ὁποίου ὑπέφερε δριμύτατα. Εἰς τὴν κατάστασιν αὐτὴν εὑρισκόμενος ἐζήτησεν ἀπὸ τὸν Παχώμιον εὐλογίαν, διὰ νὰ περιοδεύσῃ χάριν θεραπείας.

Τότε ὁ Μέγας Παχώμιος μὲ γλυκύτητα τοῦ εἶπε τὰ ἑξῆς:

— Ἔχεις τὴν γνώμην, ἀδελφέ μου, ὅτι ἐπέρχεται εἰς τὸν ἄνθρωπον ἀσθένεια ἢ ἄλλη συμφορά, χωρὶς νὰ τὸ ἐπιτρέψῃ ὁ Κύριος; Δι' αὐτό, τέκνον μου, κάμε ὑπομονὴν καὶ ὁπόταν θελήσῃ ὁ Κύριος θὰ σὲ θεραπεύσῃ. Πρόσεξε, καθ' ὃν χρόνον σὲ δοκιμάζει ὁ Κύριος, νὰ εὐχαριστῇς Αὐτόν, ὡς νὰ εἶσαι τέλειος Ἰώβ, ὥστε νὰ ἀπολαύσῃς τὴν ἐσωτερικὴν γαλήνην καὶ ἀνάπαυσιν. Εἰς τὸν Ἀσκητὴν εἶναι καλὴ καὶ ὠφέλιμος ἡ συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ ὑπομονή, ἡ ὁποία ἐπιδεικνύεται κατὰ τὸν ἀγῶνα τῆς ἐγκρατείας καὶ εἰς τὰς προσευχάς· ἔχει ὅμως οὗτος τὴν δυνατότητα, διὰ τῆς ἀγογγύστου καρτερίας καὶ τῆς ἀνεξικακίας, τὰς ὁποίας ὀφείλει νὰ ἐπιδείξῃ, ὅταν ἀρρωσταίνῃ, νὰ ἀπολαύσῃ μεγαλύτερον τὸν μισθόν του.

9. Εἰς τὸ μέγα Μοναστήριον τοῦ Ὁσίου Παχωμίου, ἐμόναζεν ἕνας ἄλλος ἀδελφὸς ὀνομαζόμενος Ζακχαῖος [1]. Αὐτὸς λοιπόν, μετὰ ἀπὸ πολλὰ ἔτη ἀσκήσεως, προσεβλήθη ἀπὸ λέπραν. Οὗτος διετήρει μὲν χωριστὸν κελλίον, ὅπου παρέμενε μόνος του, ἐξηκολούθει ὅμως νὰ ἐκτελῇ ἅπαντα τὰ ἀσκητικά του καθήκοντα, ὡς καὶ πρότερον. Οὕτω, ἀντὶ τροφῆς, μετελάμβανε μόνον ὀλίγου ἄρτου καὶ ἅλατος, εἰργάζετο μὲ τοὺς ἄλλους ἀδελφοὺς καθ' ἑκάστην ἡμέραν εἰς τὴν κατασκευὴν ψιαθίων, ἐπιδεικνύων ἀγόγγυστον ὑπομονήν, ὀφειλομένην εἰς τὴν ἐκ τῆς συναισθήσεως τῶν ἁμαρτιῶν του συντριβήν. Συχνάκις μάλιστα, καθὼς ἔπλεκε τὸ ψιάθιον, ἐτραυμάτιζε διὰ τῶν σχοινίων τὰς χεῖράς του, ὥστε νὰ ἐξέρχεται αἷμα. Ἀλλὰ καὶ αὐτὸς ἀκόμη ὁ σωματικὸς πόνος καὶ ἡ ἀπογοήτευσις δὲν τὸν ἔφεραν εἰς κατάστασιν ἀπογνώσεως καὶ ἀγανακτήσεως.

10. Παρ' ὅλον δὲ ὅτι κατετρύχετο ὑπὸ τοιαύτης ἀσθενείας, ἐν τούτοις οὐδέποτε ἀπουσίασεν ἀπὸ τὴν σύναξιν τῶν ἀδελφῶν, οὔτε καὶ ἐκοιμήθη τὴν ἡμέραν, διὰ νὰ ἀναπαυθῇ, μέχρι τῆς στιγμῆς τοῦ θανά-

1) Ἐν ἄλλοις οὗτος ὀνομάζεται Ἀθηνόδωρος, ἴσως δὲ τοῦτο νὰ ἦτο τὸ πρῶτον του ὄνομα.

του του. Συνήθιζε δὲ κάθε βράδυ, πρὶν νὰ κοιμηθῇ, νὰ ἀποστηθίζῃ διὰ τῆς μελέτης, περικοπὰς ἐκ τῆς Ἁγίας Γραφῆς, νὰ ἐκτελῇ τὸν κανόνα του, νὰ σφραγίζῃ διὰ τοῦ σημείου τοῦ Τιμίου Σταυροῦ ὅλον αὐτοῦ τὸ σῶμα καὶ ἀφοῦ ηὐχαρίστει τὸν Θεὸν νὰ πίπτῃ ἐπὶ τῆς κλίνης, διὰ νὰ κοιμηθῇ. Κατὰ τὸ μεσονύκτιον ἠγείρετο ἐκ τῆς κλίνης καὶ ἐτέλει μέχρι πρωΐας τὴν καθιερωμένην ἀκολουθίαν.

11. Κάποτε ἕνας ἀδελφὸς παρετήρησε τὰς χεῖρας τοῦ Ζακχαίου, ποὺ ἦσαν καταματωμέναι καὶ γεμᾶται τραύματα, ἀπὸ τὴν ἐπίμονον προσπάθειαν τῆς ἐργασίας· τότε κατάπληκτος λέγει πρὸς αὐτόν:

— Ἀδελφέ μου, διατί τόσον ὑπερανθρώπως κοπιάζεις, ἐφ' ὅσον μάλιστα βασανίζεσαι ἀπὸ τόσον σκληρὰν ἀσθένειαν; Μήπως θὰ εἶναι ἁμαρτία νὰ ἀναπαυθῇς ἀπέχων ἐκ τῆς ἐργασίας; ἢ νομίζεις, ὅτι θὰ κατακριθῇς ἀπὸ τὸν Θεόν, διότι δὲν θὰ ἐργάζεσαι ἐξ αἰτίας τῆς καταστάσεως αὐτῆς; Γνωρίζει ὁ Θεὸς ὅτι ὑποφέρεις· οὐδεὶς δέ, εὑρισκόμενος ὑπὸ τὸ κράτος τοιούτων δριμυτάτων πόνων καὶ ἀφορήτου θλίψεως, ἤγγισε κἂν τὸ ἐργόχειρόν του. Ἄλλωστε οὐδεὶς σὲ ἐξαναγκάζει νὰ ἐργασθῇς, καί, δόξα τῷ Θεῷ, ἔχομεν ὅλα τὰ καλὰ διὰ νὰ βοηθήσωμεν καὶ ἄλλους ἀκόμη, ξένους καὶ πτωχούς· δὲν θὰ εἶναι λοιπὸν εἰς ἡμᾶς δυνατὸν νὰ ἐξυπηρετήσωμεν προθύμως καὶ σὲ τὸν ἴδιον, ποὺ εἶσαι ἰδικός μας καὶ μάλιστα τόσον ἐκλεκτὸς καὶ καλὸς Πατήρ;

Εἰς αὐτὰ ὁ ἀδελφὸς ἀπήντησε:

— Μοῦ εἶναι ἀδύνατον νὰ μὴ ἐργάζωμαι!

— Ἐφ' ὅσον τὸ θεωρεῖς καλὸν νὰ ἐργάζεσαι, ἐργάζου· τοὐλάχιστον ὅμως νὰ ἀλείφῃς τὰς χεῖράς σου μὲ ἔλαιον κάθε βράδυ, διὰ νὰ μὴ ματώνουν καὶ ὑποφέρεις.

12. Ὁ Ζακχαῖος ἐπείσθη εἰς τὴν σύστασιν αὐτὴν καὶ ἔκαμεν, ὅπως τοῦ ὑπέδειξαν. Παρ' ὅλα ταῦτα ὅμως τόσον πολὺ ἠρεθίσθησαν αἱ χεῖρές του ἀπὸ τὰ κεντήματα τῶν βούρλων, ὥστε νὰ μὴ δύναται καθόλου νὰ ὑποφέρῃ τοὺς προκαλουμένους ἀπὸ αὐτὰ φρικτοὺς πόνους. Ἀκούσας ταῦτα ὁ Μέγας Παχώμιος τὸν ἐπεσκέφθη εἰς τὸ κελλίον του, διὰ νὰ ἐξετάσῃ τὰ περὶ αὐτοῦ· ἐκεῖνος δὲ τοῦ ἐξιστόρησε λεπτομερῶς τὴν κατάστασίν του ἀπὸ τὴν ἀρχὴν μέχρι τῆς στιγμῆς ἐκείνης, τοὺς πόνους του, τὴν συγκατάβασίν του νὰ ἐπαλείφῃ τὰς πληγάς του δι' ἐλαίου κ.λ.π.

Ὁ Μέγας Παχώμιος, ἀφοῦ τὸν ἤκουσε μετὰ προσοχῆς, τοῦ εἶπε:

— Νομίζεις, ἀδελφέ μου, ὅτι σὲ ὠφελεῖ τὸ ἔλαιον; Ποῖος ὅμως σὲ ἠνάγκασε νὰ κοπιάζῃς τόσον, ὥστε, προφασιζόμενος τὴν ἐργασίαν, νὰ στηρίζῃς τὰς ἐλπίδας διὰ τὴν ὑγείαν σου εἰς τὸ ὑλικὸν ἔλαιον καὶ ὄχι εἰς τὸν Θεόν; Μήπως εἶναι ἀδύνατον εἰς τὸν Θεὸν νὰ σὲ θεραπεύσῃ; Ἢ μήπως δὲν γνωρίζει τὰς ἀσθενείας μας καὶ ἔχει ἀνάγκην νὰ τὰς ὑπενθυμίσωμεν; Ἢ ὁ φύσει φιλάνθρωπος Θεὸς ἀδιαφορεῖ διὰ τοὺς πόνους μας, ὡς νὰ μᾶς μισῇ; Ὄχι βεβαίως, ἀλλ' ἀποβλέπων καὶ ἐπιδιώκων τὴν σωτηρίαν τῆς ψυχῆς μας, ἐπιτρέπει τὰς θλίψεις καὶ δο-

κιμασίας, ὥστε ὑπομένοντες μὲ γενναιότητα αὐτάς, νὰ ἐπιδείξωμεν καρτερίαν καὶ ὑπομονήν· «Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονὴν» (Ἰακώβου α', 2—3). Ἂς ἐμπιστευθῶμεν τὸ πᾶν εἰς Αὐτόν, ἵνα Ἐκεῖνος χαρίσῃ εἰς ἡμᾶς τὴν ἀνάπαυσιν ἐκ τῶν πόνων, ὁπόταν καὶ ὅπως θελήσῃ. Τί λέγεις λοιπόν;

— Συγχώρησόν με, Πάτερ μου, ἀπήντησεν ὁ Ζακχαῖος, καὶ κάμε προσευχὴν δι' ἐμέ, διὰ νὰ ἐξαλείψῃ ὁ Θεὸς καὶ αὐτὴν τὴν ἁμαρτίαν τῆς ὀλιγοπιστίας μου καὶ ὅλας τὰς ἄλλας.

13. Μερικοί, ἐκ τοῦ αὐτοῦ Μοναστηρίου, ἐβεβαίωνον ἀργότερον κατηγορηματικῶς, ὅτι ὁ Ζακχαῖος, μετὰ τὴν ἐπίσκεψιν τοῦ Μεγάλου Παχωμίου, ἐπὶ ἓν ὁλόκληρον ἔτος ἐπένθει δι' αὐτὴν τὴν αἰτίαν λαμβάνων μόνον ἀνὰ δύο ἡμέρας ἐλαχίστην τροφήν.

Β'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητικὴ ὅτι εἰ νηστεύειν προέθου, μὴ προφασίσῃ νόσου καὶ δι' αὐτῆς ἀποστῇς τῆς νηστείας· καὶ γὰρ καὶ οἱ μὴ νηστεύοντες, τοῖς αὐτοῖς πολλάκις ἢ καὶ χαλεπωτέροις νοσήμασι περιέπεσον· ἤρξω τοῦ καλοῦ, μὴ ἀπόσχῃ αὐτοῦ, τοῦ ἐχθροῦ διὰ ἀῤῥωστίας σε ἀνακόψαντος, ἀλλὰ διὰ τῆς ὑπομονῆς σου ἐκεῖνος μᾶλλον καταργηθήτω.

2. Καὶ γὰρ καὶ οἱ πλεῖν ἀρχόμενοι, πρῶτον μὲν δεξιοῦ πνεύματος τυγχάνουσιν ἁπλώσαντες τὰ ἱστία, ἔπειτα δὲ καὶ ἐναντίος ἄνεμος αὐτοῖς ἀπαντᾷ, ἀλλ' οὐκ εὐθὺς οἱ ναῦται διὰ τὴν μικρὰν ζάλην τὴν ναῦν ἀποσκευάζουσι· μικρὸν δὲ ἡσυχάσαντες, ἢ καὶ ἀπομαχεσάμενοι πρὸς τὴν ταραχήν, παρελθούσης αὐτῆς, ἐκεῖνοι ἀβλαβῶς πάλιν τὸν πλοῦν ποιοῦνται.

3. Οὕτω καὶ ἡμεῖς, ἐναντίου πνεύματος προσπεσόντος, τὸν σταυρὸν ἀντὶ ἱστίου τανύσαντες ἀδεῶς τὸν πλοῦν ἐκτελέσωμεν.

Ἑρμηνεία

ΣΥΓΚΛΗΤΙΚΗ ἡ μακαρία ἔλεγεν, ὅτι, ἐὰν πράγματι ἀπεφάσισες νὰ νηστεύῃς, δὲν πρέπει νὰ καταργήσῃς τὴν νηστείαν προφασιζόμενος νόσον. Μήπως ἄλλωστε — συνέχισε διδάσκουσα — καὶ ἐκεῖνοι, ποὺ δὲν νηστεύουν, δὲν ἔχουν περιπέσει εἰς τὰς ἰδίας ἢ καὶ ἀκόμη ὀδυνηροτέρας ἀσθενείας ἀπὸ τοὺς νηστεύοντας; Ἐφ' ὅσον ἤρχισες τὸ καλόν, μὴ τὸ ἐγκαταλείψῃς, διότι ὁ ἐχθρὸς σὲ ἀνέκοψε ἀπὸ τὸν ζῆλόν σου μὲ τὴν πρόφασιν τῆς ἀρρωστίας! Ἀπ' ἐναντίας, εἶναι προτιμότερον διὰ τῆς ὑπομονῆς σου νὰ καταργήσῃς τὴν ἐξουσίαν του.

2. Ἂς παραδειγματισθῶμεν ἀπὸ τοὺς ναυτικούς. Ὅταν πρόκειται νὰ ταξιδεύσουν, κατ' ἀρχὴν μὲν ἁπλώνουν τὰ ἱστία, ἐφ' ὅσον πνεύσῃ εὐνοϊκὸς ἄνεμος· ἀφοῦ δὲ ἀνοιχθοῦν εἰς τὸ πέλαγος, συναντοῦν καὶ ἀντίθετον ἄνεμον· ἡ μικρὰ ὅμως αὐτὴ ζάλη ἐκ τῆς ἐλαφρᾶς θαλασσοταραχῆς δὲν πτοεῖ τοὺς ναύτας, ὥστε ἀμέσως νὰ ἐλαφρώσουν τὸ πλοῖον ρίπτοντες τὸ φορτίον εἰς τὴν θάλασσαν. Ἀφοῦ δὲ ἡσυχάσουν ὀλίγον, μετὰ τὴν ἐπικράτησιν τῆς γαλήνης, ἢ ἀκόμη, ἐφ' ὅσον παρέστη ἀνάγ-

κη, ἀφοῦ ἀγωνισθοῦν σκληρῶς κατὰ τῆς τρικυμίας, συνεχίζουν καὶ πάλιν μὲ εὐχαρίστησιν τὸ ταξίδιόν των, χωρὶς νὰ βλαβοῦν.

3. Τοιουτοτρόπως ἂς ἐνεργήσωμεν καὶ ἡμεῖς, ὁσάκις μᾶς ἐνοχλήσῃ ἀντίθετον πνεῦμα· ἂς ἁπλώσωμεν ἀντὶ ἱστίου τὸν Τίμιον Σταυρὸν (σφραγιζόμενοι δι' αὐτοῦ) καὶ ἀφόβως ἂς ἐκτελέσωμεν τὸ ταξίδιον, δηλαδὴ τὴν ἄσκησιν, τὴν ὁποίαν ἀπεφασίσαμεν.

Γ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Λουκᾶ, τοῦ ἐν Ἑλλάδι

ΠΟΤΕ ὁ ἐχθρός, ὄντι τῷ Ἁγίῳ ἐν τῇ νήσῳ τῇ πλησίον τοῦ καλαμίου, διὰ τὴν Τούρκων ἔφοδον, πληγὴν αὐτῷ βαρεῖαν καὶ χαλεπὴν ἐξευρίσκει· ἐν γὰρ τοῖς παιδογόνοις αὐτοῦ μορίοις κνησμὸν ἐπιβάλλει, οὕτω χαλεπόν τε καὶ ἄγριον, ὃς ὄναρ αὐτῷ ἐπιφανείς, βοτάνην ὑποδεικνύει, διὰ ταύτης λέγων, τοῦ μὲν λυποῦντος εὑρίσκεις ἴασιν, πλὴν ἀλλ' ἴσθισα φῶς, ὅτι τοῦ ἐντεῦθεν ὀφειλομένου μισθοῦ τῆς ὑπομονῆς ἀποτεύξῃ.

2. Εἶτα διεγερθεὶς ἐκεῖνος, οὐ κακῶς ἐφάνη περὶ τὴν αἵρεσιν τοῦ λυσιτελοῦντος διαιτητής. οὐδ' ἄνεσιν τοῦ πρὸς μικρὸν αὐτὸν διοχλήσαντος αἰωνίας προέκρινεν ἀντιδόσεως, ἀλλ' εἵλετο πάσχειν οὕτως, ἕως ὁ τῶν γνώσεων Κύριος, καὶ προθέσει μόνῃ πράξεως συντέλειαν ἐπιγράφων, καὶ τὴν πληγὴν ὡς οἶδεν ἰάσατο, καὶ τελείως τῷ ἀθλητῇ τοὺς μισθοὺς εἰς τὸ μέλλον ἐταμιεύσατο.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ ἐχθρὸς τῆς ψυχῆς μας, ὁ διάβολος, ἐπροξένησεν εἰς τὸν Ἅγιον μίαν δύσκολον καὶ βαρεῖαν ἀσθένειαν, ἡ ὁποία προεκάλει ἀνυπόφορον φαγούραν εἰς τὰ γεννητικά του ὄργανα. Αὐτὸ συνέβη, ὅταν ὁ Ἅγιος διέμενεν ἐπ' ὀλίγον πλησίον τῆς νήσου τοῦ Καλαμίου, διὰ νὰ προφυλαχθῇ ἀπὸ τὴν ἔφοδον τῶν Τούρκων· ἀπὸ τὴν φοβερὰν αὐτὴν καὶ σκληρὰν δοκιμασίαν δὲν ἠδύνατο νὰ ἡσυχάσῃ. Μίαν δὲ νύκτα ἐμφανισθεὶς ὁ πειράζων εἰς τὸν ὕπνον του τοῦ ὑποδεικνύει θεραπευτικὸν βότανον, διὰ νὰ ἀπαλλαγῇ τῆς ἐνοχλήσεως· συγχρόνως ὅμως τοῦ λέγει:

— Μὲ τὸ βότανον αὐτὸ ἀσφαλῶς θὰ εὕρῃς τὴν ὑγείαν σου· ἀλλὰ πρέπει νὰ γνωρίζῃς, ὅτι θεραπευόμενος θὰ χάσῃς τὴν ἀμοιβὴν τῆς ὑπομονῆς, διὰ τῆς ὁποίας τόσον ἀγογγύστως ἀντιμετωπίζεις αὐτὴν τὴν ἀσθένειαν.

2. Ὁ Ὅσιος Λουκᾶς ἀφυπνισθεὶς μετὰ τὸ ἐνύπνιον δὲν ἐδυσκολεύθη νὰ ἐκλέξῃ, ὡς ἄριστος διαιτητής, τὸ ὠφέλιμον. Οὕτω δὲν προετίμησε τὴν προσωρινὴν ἀνακούφισιν ἀπὸ τὴν αἰωνίαν ἀνταπόδοσιν, ἀλλ' ἐξέλεξεν εὐχαρίστως τὴν ταλαιπωρίαν τοῦ σώματος. Κατόπιν τῆς ἀποφάσεως αὐτῆς ὁ Κύριος, ὁ ὁποῖος τὰ πάντα γνωρίζει, καὶ ὅστις ἐκτιμᾷ τὴν ἀξίαν μιᾶς πράξεως πρὶν αὕτη συντελεσθῇ, ἐκ μόνης τῆς προθέσεως τοῦ ἀνθρώπου, θεραπεύει διὰ θαύματος τὸν ἀθλητὴν αὐτὸν τῆς ὑπομονῆς, ἀλλὰ καὶ τοῦ προσυπελόγισε μὲ ἀκρίβειαν τὴν ἀξίαν τῆς ἀρετῆς του εἰς τὴν μέλλουσαν ζωήν.

Δ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΩΝ ΑΡΕΤΩΝ, αἳ μέν εἰσι σωματικαί, αἳ δὲ ψυχικαί· καὶ σωματικαὶ μέν εἰσιν, οἷον νηστεία, ἀγρυπνία, διακονία, χαμευνία, ἐργόχειρον πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα, ἢ πρὸς μετάδοσιν, καὶ τὰ ἑξῆς· ἐὰν οὖν ἔκ τινος ἀνάγκης ἢ περιστάσεως σωματικῆς, οἷον ἀῤῥωστίας, ἤ τινος τῶν τοιούτων, συμβῇ ἡμῖν μὴ δυνηθῆναι ἐκτελέσαι τὰς προειρημένας σωματικὰς ἀρετάς, συγγνώμην ἔχομεν παρὰ Κυρίου, τοῦ καὶ τὰς αἰτίας εἰδότος· τὰς δὲ ψυχικὰς μὴ ἐκτελοῦντες, οὐδεμίαν ἕξομεν ἀπολογίαν· οὐ γάρ εἰσιν ὑπὸ ἀνάγκην.

Ἑ ρ μ η ν ε ί α

ΤΑΣ ΑΡΕΤΑΣ τὰς διακρίνομεν εἰς σωματικὰς καὶ ψυχικάς. Καὶ σωματικαὶ ἀρεταί, δηλαδὴ πραγματοποιούμεναι διὰ σωματικῆς ταλαιπωρίας, εἶναι ἡ νηστεία, ἡ ἀγρυπνία, ἡ ἐξυπηρέτησις τῶν ἀδελφῶν, ἡ κατὰ γῆς κατάκλισις κατὰ τὸν ὕπνον, τὸ ἐργόχειρον διὰ νὰ μὴ ἐπιβαρύνωμεν ἢ διὰ νὰ προσφέρωμεν ἐκ τοῦ προϊόντος αὐτοῦ ἐλεημοσύνην καὶ τὰ παρόμοια μὲ αὐτά. Ἐὰν λοιπὸν συμβῇ νὰ μὴ δυνηθῶμεν νὰ ἐκτελέσωμεν μίαν ἐκ τῶν ἀρετῶν αὐτῶν, ἐξ αἰτίας μιᾶς ἀνάγκης ἢ σωματικοῦ ἐμποδίου, ὅπως π.χ. ἡ ἀσθένεια, ἀσφαλῶς θὰ μᾶς συγχωρήσῃ ὁ Θεός, ὁ ὁποῖος γνωρίζει τὰς αἰτίας τῶν πράξεών μας. Ἐὰν ὅμως παραμελήσωμεν μίαν ἐκ τῶν ψυχικῶν ἀρετῶν, δηλαδὴ ὅσων δὲν ἀπαιτοῦν σωματικὴν προσπάθειαν, δὲν θὰ δυνηθῶμεν νὰ δικαιολογηθῶμεν ἐνώπιον τοῦ Θεοῦ, διότι οὐδεμία ὑλικὴ ἀνάγκη τὰς δεσμεύει.

Ε'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἀμώη, ὅτι ἠσθένει κλινήρης ὢν ἐπὶ πολλὰ ἔτη, καὶ οὐδέ ποτε ἀφῆκε τὸν λογισμὸν αὐτοῦ προσχεῖν εἰς τὸ ἐσώτερον κελλίον καὶ κατανοῆσαι τίνα εἰσὶ τὰ ἐν αὐτῷ κείμενα· ἔφερον γὰρ αὐτῷ, οἷα ἀσθενοῦντι, ἐδέσματα διάφορα· εἰσερχομένου δὲ τοῦ μαθητοῦ αὐτοῦ εἰς τὸ κελλίον ἐκεῖνο, καὶ ἐξερχομένου καὶ ἐπικομιζομένου βρώματά τινα, ἐκάμμυεν ὁ Γέρων τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἵνα μὴ ἴδῃ τίνα εἰσὶν ἃ βαστάζει ὁ ἀδελφός. Τοσαύτην ἀκρίβειαν καὶ ἀσθενῶν ὁ Γέρων ἐνεδείκνυτο, καὶ ἠσφαλίζετο ἑαυτὸν τοῦ μὴ προσχεῖν ἡδονὴν λάρυγγος, ἤ τι ζητῆσαι τῶν καταθυμίων αὐτῷ· ἠρκεῖτο καὶ εὐηρέστει οἷς ὁ μαθητὴς ἡτοίμαζεν αὐτῷ καὶ προσέφερεν· ὃ καὶ ἡμεῖς, ὅση δύναμις, μιμεῖσθαι σπουδάζωμεν.

2. Ἠσθένησέ ποτε βαρεῖαν ἀσθένειαν ὁ Ἀββᾶς Ἰσαὰκ καὶ ἐχρόνισεν ἐν αὐτῇ· ἀδελφὸς δέ τις ὑπηρετῶν αὐτῷ ἐποίησεν αὐτῷ μικρὰν ἀθήραν, καὶ ἔδωκε μυξάρια εἰς αὐτήν, καὶ προσήνεγκε τῷ Γέροντι· ὁ δὲ Γέρων ἰδών, οὐ προσίετο· παρεκάλει οὖν ὁ ἀδελφὸς λέγων· λάβε μικρόν, Ἀββᾶ· καὶ ἀπεκρίθη ὁ Γέρων· φύσει, ἀδελφέ, ἤθελον ποιῆσαι ἐν τῇ ἀσθενείᾳ τριάκοντα ἔτη.

3. Ὁ Ἀββᾶς Λογγῖνος ἅπαξ κακωθείς, ἤγουν ἀσθενήσας, ἔλεγε πρὸς ἑαυτόν· καὶ κακώθητι καὶ ἀπόθανον· ἐὰν δὲ ἀπαιτήσῃς με παρὰ καιρὸν φαγεῖν, οὐδὲ τὴν καθημερινήν σοι τροφὴν παρέχω, ἤτοι τὴν ἐξ ἔθους.

Ἑρμηνεία

ΕΚΕΙΝΟΙ, ποὺ ἐγνώρισαν τὸν Ἀββᾶν Ἀμώη, ἔλεγον περὶ αὐτοῦ τὸ ἑξῆς καταπληκτικὸν περιστατικόν· εὑρίσκετο ἐπὶ πολλὰ ἔτη κλινήρης λόγῳ ἐπιπόνου ἀσθενείας. Καθ' ὅλον αὐτὸ τὸ διάστημα οὐδέποτε ἄφησε τὸν λογισμόν του νὰ προσέξῃ, μετὰ περιεργείας, διὰ νὰ ἐξετάσῃ ποῖα πράγματα ὑπάρχουν εἰς τὸ ἐσωτερικὸν τοῦ κελλίου. Ἐκτὸς ὅμως αὐτῆς τῆς ἑκουσίας ἀδιαφορίας, τὸν διέκρινε καὶ μία ἄλλη ἄσκησις· ἐπειδὴ ἦτο ἀσθενής, τοῦ προσέφερον οἱ Πατέρες διάφορα πράγματα, τὰ ὁποῖα ἐτοποθέτουν εἰς ἐσωτερικὸν μέρος, τὸ ἰδιαίτερον τρόπον τινά, τοῦ κελλίου· ὅταν λοιπὸν ὁ μαθητής του εἰσήρχετο εἰς τὸ ἰδιαίτερον αὐτὸ καὶ ἐξήρχετο διὰ νὰ τοῦ φέρῃ φαγητά, ὁ Γέρων ἔκλειε τοὺς ὀφθαλμούς του, διὰ νὰ μὴ ἴδῃ τί βαστάζει ὁ ἀδελφός. Τόσην λεπτομερῆ ἀκρίβειαν ἐφήρμοζεν ὁ Γέρων, καίτοι ἀσθενής, περιφρουρῶν τὸν ἑαυτόν του νὰ μὴ δώσῃ σημασίαν εἰς ἡδονὰς λάρυγγος ἢ νὰ ζητήσῃ κάτι ἀπὸ αὐτά, ποὺ τὸν ηὐχαρίστουν. Περιωρίζετο ἀγογγύστως καὶ παρέμενεν εὐχαριστημένος εἰς ὅσα τοῦ ἡτοίμαζε καὶ τοῦ προσέφερεν ὁ μαθητής του.

Ἂς προσπαθήσωμεν καὶ ἡμεῖς, ὅσον δυνάμεθα, νὰ μιμηθῶμεν τὸ παράδειγμα αὐτὸ τοῦ Γέροντος.

2. Κάποτε ὁ Ἀββᾶς Ἰσαὰκ προσεβλήθη ἀπὸ μίαν βαρεῖαν ἀσθένειαν καὶ παρέμεινεν ἀσθενῶν ἐπὶ πολὺ διάστημα. Ἕνας δὲ ἀδελφός, ποὺ τὸν ὑπηρέτει, τοῦ παρεσκεύασε, διὰ νὰ τὸν εὐχαριστήσῃ, ὀλίγον χυλὸν μὲ δαμάσκηνα καὶ τὸν προσέφερεν εἰς τὸν Γέροντα. Μόλις εἶδε τὸ παρασκεύασμα αὐτὸ ὁ Γέρων δὲν τὸ ἐπλησίασε καθόλου. Ὁ ἀδελφός, ποὺ τὸν περιεποιεῖτο, τὸν παρεκάλει καὶ τοῦ ἔλεγε:

— Πάρε ὀλίγον, Ἀββᾶ.

— Πραγματικῶς, ἀδελφέ μου, ἐπεθύμουν νὰ παραμείνω εἰς τὴν κατάστασιν αὐτὴν τῆς ἀσθενείας τριάκοντα ἔτη.

3. Ὁ Ἀββᾶς Λογγῖνος μίαν φορὰν ἠσθένησεν· ἀπευθυνόμενος λοιπὸν πρὸς τὸν ἑαυτόν του ἔλεγεν:

— Καὶ νὰ ὑποφέρῃς καὶ νὰ ἀποθάνῃς ἀκόμη! ἐὰν μοῦ ζητήσῃς νὰ φάγω πέραν τῆς ὡρισμένης ὥρας, θὰ σοῦ ἀποστερήσω καὶ αὐτὸ τὸ καθημερινὸν φαγητόν, ποὺ ἐπιτρέπει ἡ μοναχικὴ συνήθεια.

ϛ'. Τοῦ Ἁγίου Ἐφραὶμ

Ὁ ΚΥΡΙΟΣ ἐν τῷ Εὐαγγελίῳ φησίν· τὸν ἐν ὀλίγῳ ἄπιστον, καὶ ἐν πολλῷ ἄπιστον εἶναι· διὰ μὲν τοῦ ὀλίγου τὰ κατὰ τὸν βίον τοῦτον δηλῶν ἐπαγγέλματα· οἷον τροφάς, ἐνδύματα, καὶ ὅσα περὶ τὸ σῶμα, ὑπὲρ ὧν μηδὲ μεριμνᾶν ἐκέλευσεν, ἀλλ' αὐτῷ τὴν περὶ τούτων ἐπιτρέπειν φροντίδα· διὰ δὲ τοῦ πολλοῦ τὰ τοῦ μέλλοντος αἰῶνος δωρήματα, ἅπερ δὴ καὶ παρασχεῖν ὑπέσχετο τοῖς πιστεύουσιν αὐτῷ, καὶ διηνεκῆ τὴν ὑπὲρ τούτων ἔχουσι μέ-

ριμναν καὶ αἰτοῦσι διὰ παντός· «Ὑμεῖς γάρ, φησι, ζητεῖτε τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

2. Ὥστε τὰ ὀλίγα ταῦτα καὶ πρόσκαιρα ἔλεγχος ἑκάστῳ καὶ δοκίμιον γίνεται τῆς εἰς Χριστὸν πίστεως· ὁ γὰρ πιστεύσας, ὅτι καὶ ἡμῶν μηδὲν περὶ αὐτῶν μεριμνώντων, περὶ τῶν μελλόντων μόνον τὴν φροντίδα ποιουμένων, ἐκεῖνος ὡς ἐπηγγείλατο ἀφθόνως αὐτὰ παρέξει, δῆλός ἐστιν ὅτι καὶ περὶ τῶν αἰωνίων πεπίστευκε, καὶ γνησίως ταῦτα ἐπιζητεῖ· καὶ δῆλον ἐκ τούτου.

3. Πιστεύεις δυνατὸν εἶναι γενέσθαι υἱόν σε Θεοῦ καὶ συγκληρονόμον Χριστοῦ, καὶ αἰῶνας ὅλους συμβασιλεύειν Αὐτῷ; ναὶ πάντως ἐρεῖς· διὰ ταύτην γὰρ τὴν αἰτίαν κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποταξάμενος, τῷ Κυρίῳ δουλεύειν ᾑρετισάμην. Κατάμαθε τοιγαροῦν σεαυτόν, μήποτέ σε γήϊναι πάλιν κατέχουσι μέριμναι, καὶ φροντὶς πολλὴ τῶν τοῦ σώματος, περὶ ὧν ἐκελεύσθης μὴ μεριμνᾶν· καὶ εἰ τοῦτο εἴη, ψευδῶς περὶ τῶν μελλόντων πιστεύειν ἔφησας.

4. Εἰ γὰρ ἐκεῖνα τὰ μέλλοντα καὶ μεγάλα καὶ ἄφθαρτα ἀγαθὰ λήψεσθαι ἀδιστάκτως ἐπίστευσας, οὐκ ἂν περὶ τῶν μικρῶν τούτων καὶ φθειρομένων τῷ Κυρίῳ ἠπίστησας, ἐπαγγειλαμένῳ σοι ταῦτα ἀνελλιπῶς χορηγεῖν, ἃ καὶ θηρίοις καὶ πετεινοῖς καὶ ἀσεβέσιν ἀνθρώποις ὁ ἀγαθὸς δίδωσι· πῶς οὖν περὶ τῶν εὐτελῶν τούτων καὶ γηΐνων Αὐτῷ ἀπιστῶν, περὶ τῶν οὐρανίων καὶ ἀϊδίων λέγεις πιστεύειν;

5. Λοιπὸν ἐρωτῶ σε καὶ τοῦτο· πιστεύεις δυνατὸν εἶναι τὸν Χριστὸν ἴασιν τῇ ψυχῇ σου τῶν ἑαυτῆς τραυμάτων καὶ τῶν παθῶν παρασχεῖν; ἐρεῖς πάντως ὅτι πιστεύω, ἐπὶ ταύτης γὰρ ἕστηκα τῆς ἐλπίδος· σκέψαι τοίνυν μήποτε κἀνταῦθα σεαυτὸν ἀπατᾷς, σωματικῶν ἕνεκα νόσων ἰατροὺς προσκαλούμενος, καθάπερ ἀσθένειαν τοῦ Χριστοῦ καταγνούς, ὡς μὴ δυναμένου θεραπεῦσαί σε, ᾧ σεαυτὸν ἐνεπίστευσας.

6. Δῆλον γὰρ ὅτι, ὥσπερ τὸ σῶμα πλέον ἐστὶ τοῦ ἐνδύματος, κατὰ τὸν Κυρίου λόγον, οὕτω καὶ τοῦ σώματος ἡ ψυχή, καὶ εἰ τὰ ἐξ ἀνθρώπων ἀνίατα τραύματα τῆς ψυχῆς ἰάσιμα τῷ Χριστῷ εἶναι πεπίστευκας, πολλῷ μᾶλλον καὶ τὰ τοῦ σώματος ἐπίστευσας ἄν, καὶ αὐτὸν μόνον ἠξίους, ἰατρικῶν ἐπιτηδευμάτων ὑπεριδών.

7. Ἀλλ' ἐρεῖς πάντως, ὅτι οὐδὲ τὰ ἐκείνων κεκώλυκεν ὁ Θεός, αὐτὸς ἀνεὶς τὰς βοτάνας εἰς θεραπείαν τοῦ σώματος· σύμφημι κἀγώ, ἀλλὰ μάθε τίσιν ἀνῆκε ταῦτα; καὶ γὰρ διὰ τὴν παράβασιν τῆς ἐντολῆς ἐκπεσόντος τοῦ ἀνθρώπου τῆς ἐν Παραδείσῳ τρυφῆς, καὶ εἰς τὸν κόσμον τοῦτον ἐξορίστου παραπεμφθέντος, πάθεσί τε καὶ νοσήμασι τῆς σαρκὸς παραπεσόντος, κατὰ πολλὴν ὁ Θεὸς ἀγαθότητα συγκεχώρηκε ταῦτα τοῖς τοῦ κόσμου τούτου ἀνθρώποις, τοῖς ὁλοκλήρως τῷ Θεῷ ἑαυτοὺς πιστεύειν μὴ δυναμένοις· σὲ δὲ τὸν βουλόμενον τέλειον εἶναι καὶ ξένον τοῦ κόσμου, καὶ υἱὸν γενέσθαι Θεοῦ, ἀνωτέρω τε τοῦ πρώτου καὶ ἀπαθοῦς ἀνθρώπου, ἅτε καὶ μείζονας τὰς ἐπαγγελίας δεξάμενον, προσήκει καινοτέραν πάντως καὶ τὴν πολιτείαν, καὶ τὴν διάνοιαν, καὶ τὴν πίστιν παρὰ πάντας τοὺς τοῦ κόσμου ἀνθρώπους ἔχειν.

8. Ἐπεὶ τί κωλύει καὶ σὲ γάμῳ καὶ πλούτῳ καὶ ἐμπορίαις καὶ τοῖς ἄλλοις τοῖς τοῦ κόσμου χρῆσθαι; καὶ ταῦτα γὰρ περὶ τὸν ἄνθρωπον εἶναι ὁ Θεὸς ᾠκονόμησεν, ὑπεύθυνον ἤδη, ὡς εἴρηται, τῇ ἁμαρτίᾳ γενόμενον, ὧν σὺ πάντων ἐκτὸς γέγονας, ἵνα Θεῷ ἑνωθῇς. Ὥσπερ οὖν ἐκείνων, οὕτω καὶ τῶν ἰατρικῶν ἐπιτηδευμάτων ἀπέχεσθαί σε προσῆκον, ὡς τῷ Χριστῷ ἑαυτὸν ὁλοκλήρως πιστεύσαντα, τῷ τὰ πάντα παρέχειν τοῖς Ἑαυτοῦ δούλοις ἐπαγγειλαμένῳ.

9. Ὥστε ὁ βουλόμενος ἐν ἀληθείᾳ Χριστοῦ ἄνθρωπος εἶναι, καὶ παραδόξων ἀκοῇ πιστεύσας, ἅπερ εἰσὶ πόλεως οὐρανίου κληρονομία, Βασιλείας αἰωνίου τρυφή, καρδίας ἁγιασμός, καὶ ἡ διὰ τοῦ Ἁγίου Πνεύματος παντελὴς κάθαρσις, καὶ τὴν περὶ τοῦ σώματος μέριμναν ἅπασαν τῷ Θεῷ πιστεύειν ὀφείλει· πρὸς δὲ καὶ

τὴν πενίαν πλοῦτον ἡγεῖσθαι, καὶ τὴν κακουχίαν ἀνάπαυσιν, τὸ ὄνειδός τε τιμήν, καὶ τὴν ὕβριν δόξαν· τοῦτο γνώρισμα τῶν τοῦ Χριστοῦ δούλων, καὶ τοῖς Αὐτοῦ λόγοις ἐν ἀληθείᾳ πάσῃ πεπιστευκότων.

Ἑρμηνεία

Ο ΚΥΡΙΟΣ λέγει εἰς τὸ Εὐαγγέλιον· ὁ ἄπιστος εἰς τὸ ὀλίγον θὰ ἀναφανῇ ἄπιστος καὶ εἰς πολλά· «Ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ! ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω» (Ματθ. κε', 21). Διὰ τῆς λέξεως «ὀλίγα» ἐννοεῖ ὁ Κύριος τὰ ζητήματα, ποὺ ἀπασχολοῦν τὸν παρόντα βίον, ὅπως π.χ. τροφάς, ἐνδύματα καὶ ὅσα ἐν γένει ἀναφέρονται εἰς τὴν περιποίησιν τοῦ σώματος. Διὰ τὰ ζητήματα αὐτὰ μᾶς διέταξεν ὁ Κύριος νὰ μὴ μεριμνῶμεν, ἀλλὰ νὰ ἀναθέτωμεν τὴν φροντίδα τῶν πραγμάτων αὐτῶν εἰς Ἐκεῖνον. «Μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα, πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων· ζητεῖτε δὲ πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην Αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν» (Ματθ. ς', 31-33). Διὰ τῆς λέξεως «πολλὰ» ἐννοεῖ τὰ ἀγαθά, τὰ ὁποῖα θὰ δωρήσῃ κατὰ τὸν μέλλοντα αἰῶνα, καὶ τὰ ὁποῖα, βεβαίως, ὑπεσχέθη νὰ παραχωρήσῃ εἰς αὐτοὺς ποὺ τὸν πιστεύουν καὶ φροντίζουν διαρκῶς καὶ ἐναγωνίως δι' αὐτὰ καὶ ἐπιζητοῦν πάντοτε αὐτά· «Ὑμεῖς γάρ», εἶπεν ὁ Κύριος, «ζητεῖτε πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην Αὐτοῦ καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

2. Ὥστε αὐτὰ τὰ ἀσήμαντα καὶ πρόσκαιρα ἀποβαίνουν κριτήριον καὶ δοκιμαστήριον τῆς πίστεώς μας εἰς τὸν Χριστόν· διότι ἐκεῖνος ὁ ὁποῖος θὰ πιστεύσῃ, ὅτι, ἐφ' ὅσον ἡμεῖς δὲν θὰ μεριμνῶμεν καθ' ὁλοκληρίαν δι' αὐτὰ τὰ πρόσκαιρα, ἀλλ' ἀποκλειστικῶς καὶ μόνον φροντίζομεν διὰ τὰ μέλλοντα, τότε ὁ Θεὸς θὰ μᾶς ἐξασφαλίσῃ καὶ τὰ πρόσκαιρα ἀφθόνως, συμφώνως πρὸς τὴν ὑπόσχεσίν του· ὁ τοιοῦτος, εἶναι φανερόν, ὅτι ἔχει πιστεύσει καὶ περὶ τῶν αἰωνίων καὶ εἰλικρινῶς ἐπιζητεῖ αὐτά. Αὐτὸ θὰ φανῇ ἀπὸ τὰ ἑξῆς:

3. Πιστεύεις ὅτι εἶναι δυνατὸν νὰ γίνῃς υἱὸς τοῦ Θεοῦ καὶ ἑπομένως νὰ καταστῇς συγκληρονόμος τοῦ Χριστοῦ συμβασιλεύων μετ' Αὐτοῦ εἰς τὴν ἀτελεύτητον αἰωνιότητα; «Εἰ δὲ τέκνα καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν» (Ρωμ. η', 17). Ὁπωσδήποτε εἰς τὴν ἀνωτέρω ἐρώτησιν θὰ ἀπαντήσῃς μετὰ βεβαιότητος, ναί· διότι ἀκριβῶς δι' αὐτὴν τὴν αἰτίαν ἐγκατέλειψα τὸν κόσμον καὶ τὰ εὐχάριστα τοῦ κόσμου καὶ ἐξέλεξα ἐλευθέρως τὴν ὑπηρεσίαν αὐτὴν πρὸς τὸν Κύριόν μου.

Θαυμασία ἡ ἀπάντησις αὐτή! Ἐξέτασε λοιπὸν μετὰ προσοχῆς τὸν ἑαυτόν σου, μήπως καὶ πάλιν σὲ αἰχμαλωτίζουν αἱ βιοτικαὶ μέριμναι καὶ ὑπερβολικὰ φροντίζεις διὰ τὸ σῶμά σου, κατ' ἀντίθεσιν πρὸς

τὴν διαταγήν, τὴν ὁποίαν ἔλαβες νὰ μὴ μεριμνᾷς δι' ὅλα αὐτά. Ἐὰν δὲ πράγματι αὐτὸ συμβαίνῃ, τότε ψευδῶς ἰσχυρίσθης, ὅτι μετὰ βεβαιότητος πιστεύεις εἰς τὰ μέλλοντα.

4. Διότι, ἐὰν πράγματι μετὰ σταθερᾶς καὶ ἀμετακινήτου πίστεως εἶχες προσηλωθῆ εἰς ἐκεῖνα τὰ ἄφθαρτα καὶ μεγάλα ἀγαθὰ τοῦ μέλλοντος αἰῶνος, καὶ ἐπίστευες, ὅτι θὰ τὰ ἀπολαύσῃς, οὐδόλως πλέον θὰ ἀμφέβαλλες, ὅτι ὁ Κύριος, ὅπως ὑπεσχέθη, ἀνελλιπῶς θὰ ἐχορήγει εἰς σὲ καὶ αὐτὰ τὰ ἐλάχιστα καὶ φθειρόμενα τοῦ καθ' ἡμέραν βίου, τὰ ὁποῖα ἄλλωστε, ἐπειδὴ εἶναι ἀγαθός, τὰ προσφέρει γενναιοδώρως καὶ εἰς τὰ θηρία καὶ εἰς τὰ πετεινὰ καὶ εἰς τοὺς ἀσεβεῖς ἀνθρώπους. Πῶς λοιπὸν ἰσχυρίζεσαι, ὅτι πιστεύεις περὶ τῶν ἐπουρανίων καὶ ἀϊδίων ἐκείνων ἀγαθῶν, ἐφ' ὅσον δι' αὐτὰ τὰ ἀσήμαντα καὶ γήϊνα δὲν ἔχεις ἐμπιστοσύνην εἰς τὸν Κύριον;

5. Ἐπὶ πλέον σὲ ἐρωτῶ καὶ διὰ τὸ ἑξῆς· Πιστεύεις, ὅτι εἶναι δυνατὸν ὁ Χριστὸς νὰ θεραπεύσῃ τὴν ψυχήν σου ἀπὸ τὰ πάθη της καὶ τὰ τραύματά της; Θὰ ἀπαντήσῃς βεβαίως, ὅτι πιστεύω, διότι εἰς αὐτὴν τὴν ἐλπίδα ἐπάνω ἔχω στηριχθῆ. Σκέψου ὅμως μήπως καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ἐξαπατᾷς τὸν ἑαυτόν σου, ἐφ' ὅσον προσκαλεῖς ἰατροὺς διὰ τὴν σωματικήν σου ἀσθένειαν, κατηγορῶν οὕτω τὸν Χριστὸν δι' αὐτήν, ὅτι δῆθεν δὲν δύναται νὰ σὲ θεραπεύσῃ, καίτοι σὺ ἐνεπιστεύθης τὸν ἑαυτόν σου εἰς Ἐκεῖνον.

6. Διότι εἶναι ὁλοφάνερον, ὅτι ὅπως ἀκριβῶς τὸ σῶμα ἀξίζει περισσότερον ἀπὸ τὸ ἔνδυμα, συμφώνως μὲ τὸν λόγον τοῦ Κυρίου, «οὐχὶ ἡ ψυχὴ πλεῖον ἐστὶ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος;» (Ματθ. ϛ', 25) τοιουτοτρόπως καὶ ἡ ψυχὴ εἶναι πολυτιμοτέρα τοῦ σώματος· καὶ ἐὰν πραγματικῶς ἔχῃς πιστεύσει, ὅτι τὰ ἀθεράπευτα, ἀπὸ τοὺς ἀνθρώπους, τραύματα τῆς ψυχῆς, εἶναι ἴασιμα ἀπὸ τὸν Χριστόν, πολὺ περισσότερον θὰ ἐπίστευες ὅτι τὰ σωματικὰ τραύματα δύναται νὰ τὰ θεραπεύσῃ ὁ Χριστὸς καὶ Αὐτὸν μόνον θὰ παρεκάλεις, παραβλέπων τὰς ἰατρικὰς συνταγάς.

7. Ἀλλ' ἴσως ἀντιπαρατηρήσῃς εἰς ὅσα λέγω· ὁ Θεὸς δὲν ἔχει ἐμποδίσει τοὺς ἀνθρώπους νὰ κάνουν χρῆσιν τῶν φαρμάκων τῶν ἰατρῶν, ἐφ' ὅσον ὁ ἴδιος ἐκβλαστάνει τὰ θεραπευτικὰ βότανα διὰ τὴν θεραπείαν τοῦ σώματος. Καὶ ἐγὼ συμφωνῶ μαζί σου· πλὴν ὅμως μάθε εἰς ποίους ἀνήκουν αὐτά. Ἀφοῦ ὁ ἄνθρωπος, ἐξ αἰτίας τῆς παραβάσεως τῆς ἐντολῆς, ἐξέπεσε τῆς ἀπολαύσεως τοῦ Παραδείσου καὶ παρεπέμφθη ἐξόριστος εἰς τὸν κόσμον αὐτόν, περιέπεσε καὶ εἰς σωματικὰ πάθη καὶ νοσήματα· τότε ὁ Θεός, ἀπὸ πολλὴν ἀγαθότητα καὶ μακροθυμίαν κινούμενος, παρεχώρησε τὴν χρῆσιν τῶν φαρμακευτικῶν αὐτῶν βοτάνων εἰς τοὺς ἀνθρώπους τοῦ κόσμου αὐτοῦ, οἱ ὁποῖοι δὲν ἔχουν τὴν δύναμιν νὰ πιστεύσουν εἰς τὸν Θεὸν καὶ νὰ ἀφιερωθοῦν ἐξ ὁλοκλήρου εἰς Αὐτόν. Διὰ σὲ ὅμως, ὁ ὁποῖος ἐπιθυμεῖς νὰ γίνῃς τέλειος καὶ νὰ ἀποξενωθῇς τοῦ κόσμου αὐτοῦ, διὰ νὰ γίνῃς υἱὸς τοῦ

Θεοῦ κατὰ χάριν, ἀνώτερος ἀκόμη καὶ αὐτοῦ τοῦ πρώτου καὶ ἀπαθοῦς ἀνθρώπου, ἐφ' ὅσον ἄλλωστε ἐδέχθης δι' αὐτήν σου τὴν προαίρεσιν καὶ μεγαλυτέρας τὰς ὑποσχέσεις ἐκ τοῦ Θεοῦ, ἐπιβάλλεται νὰ ἀποκτήσῃς καὶ τελειοτέραν πολιτείαν καὶ διάνοιαν καὶ πίστιν περισσοτέραν ἀπὸ τοὺς ἄλλους ἀνθρώπους τοῦ κόσμου αὐτοῦ.

8. Ἄλλωστε ἐὰν δὲν εἶχες τοιαύτην πρόθεσιν, τί σὲ ἠμπόδιζε καὶ νὰ ὑπανδρευθῇς καὶ πλούτη νὰ ἀποκτήσῃς καὶ τὰ ἄλλα ἀγαθὰ τοῦ προσκαίρου τούτου κόσμου νὰ ἀπολαύσῃς; Καὶ αὐτὰ ὁ Θεός, κατ' οἰκονομίαν, παρεχώρησεν εἰς τὸν ἄνθρωπον διὰ νὰ ἀπολαμβάνῃ μετὰ τὴν πτῶσιν, ἀφοῦ κατέστη ὑπεύθυνος πλέον λόγῳ τῆς ἁμαρτίας· ἀπὸ αὐτὰ ὅλα λοιπὸν σὺ ἀπεξενώθης, διὰ νὰ ἑνωθῇς μὲ τὸν Θεόν. Ὅπως λοιπὸν ἑκουσίως ἀπεξενώθης ἀπὸ τὰ ἀγαθὰ αὐτά, τοιουτοτρόπως ἐπιβάλλεται νὰ ἀπέχῃς καὶ ἀπὸ τὰς ἰατρικὰς συνταγάς, ἐφ' ὅσον ἐπίστευσες καὶ ἐξ ὁλοκλήρου ἀφιερώθης εἰς τὸν Χριστόν, ὁ ὁποῖος ὑπεσχέθη νὰ τὰ ἐξασφαλίζῃ ὅλα πλουσίως εἰς τοὺς δούλους Του.

9. Ὥστε ἐκεῖνος ὁ ὁποῖος ἐπιθυμεῖ νὰ γίνῃ πράγματι ἄνθρωπος τοῦ Χριστοῦ καὶ ἐπίστευσεν εἰς τὰς ὑπὲρ λόγον φρικτὰς ἀληθείας, ὅπως εἶναι ἡ κληρονομία τῆς Βασιλείας τῶν οὐρανῶν, ἡ αἰώνιος καὶ ἀτελεύτητος ἀπόλαυσις αὐτῆς, ὁ ἁγιασμὸς τῆς καρδίας καὶ ἡ τελεία κάθαρσις τῆς ψυχῆς διὰ τοῦ Ἁγίου Πνεύματος, ὀφείλει νὰ ἐμπιστευθῇ εἰς τὸν Θεὸν καὶ ὅλην τὴν φροντίδα τοῦ σώματος. Καὶ ἐπὶ πλέον, ὀφείλει νὰ θεωρῇ τὴν πενίαν ὡς πλοῦτον, τὴν κακουχίαν ὡς ἀνάπαυσιν, τὴν καταισχύνην ὡς τιμήν, καὶ τὴν ὕβριν καὶ τὴν περιφρόνησιν ὡς δόξαν. Αὐτὰ ὅλα εἶναι τὰ γνωρίσματα τῶν γνησίων δούλων τοῦ Χριστοῦ, οἱ ὁποῖοι ἔχουν πραγματικῶς πιστεύσει εἰς τοὺς λόγους του.



ὙΠΟΘΕϹΙϹ ΙΕ΄

Πῶς δεῖ καὶ πότε καὶ ποίαις ἰατρείαις χρῆσθαι, καὶ ὅτι οὐ δεῖ τὸν Μοναχὸν χάριν ἰατρείας σωματικῆς τῆς Μονῆς ἀπόδημον γίνεσθαι, ἀλλὰ καὶ ἀῤῥωστοῦντα ἐν ταύτῃ προσκαρτερεῖν, ταῖς τῶν ἀδελφῶν θεραπείαις ἀρκούμενος.

Πῶς καὶ πότε πρέπει νὰ ἐπιζητοῦμεν ἰατρείας καὶ ποίας ἰατρείας· δὲν πρέπει ὁ Μοναχὸς χάριν σωματικῆς ἰατρείας νὰ φεύγῃ ἀπὸ τὸ Μοναστήρι, ἀλλὰ καὶ ἄρρωστος νὰ μένῃ εἰς αὐτὸ ἀρκούμενος εἰς τὰς θεραπείας τῶν ἀδελφῶν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΝΤΟ περὶ τοῦ Ἐπισκόπου τῆς Ὀξυρρύγχου, ὀνόματι Ἀπφύ, ὅτι ὅτε ἦν ἐν τῇ ἐρήμῳ, πολλὰς σκληραγωγίας ἐποίει, ὅτε δὲ ἐγένετο Ἐπίσκοπος ἠθέλησε χρήσασθαι τῇ αὐτῇ σκληραγωγίᾳ καὶ ἐν τῷ κόσμῳ, καὶ οὐκ ἴσχυσε. Καὶ ἔῤῥιψεν ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ λέγων· μὴ ἄρα διὰ τὴν Ἐπισκοπὴν ἀπῆλθεν ἡ Χάρις ἀπ᾿ ἐμοῦ; Καὶ ἀπεκαλύφθη αὐτῷ, ὅτι οὐκ ἀπέστη, ἀλλ᾿ ὅτι ἐκεῖ ἔρημος ἦν, καὶ μὴ ὄντος ἀνθρώπου, ὁ Θεὸς ἀντελαμβάνετο, ὧδε δέ, κόσμος ἐστί, καὶ οἱ ἄνθρωποι ἀντιλαμβάνονταί σου.

2. Γέρων τις ἦν ἐν σκήτει, καὶ ἐμπεσὼν εἰς ἀσθένειαν μεγάλην, ὑπηρετεῖτο παρὰ τῶν ἀδελφῶν· καὶ βλέπων ὁ γέρων ὅτι κοπιῶσιν οἱ ἀδελφοὶ ἕνεκεν αὐτοῦ, ἔλεγεν· ὑπάγω εἰς Αἴγυπτον ἵνα μὴ παραλύω τοὺς ἀδελφούς. Ἔφη δὲ αὐτῷ ὁ Ἀββᾶς Μωϋσῆς· μὴ ἀπέλθῃς, ἐπεὶ εἰς πορνείαν ἔχεις πεσεῖν. Ὁ δὲ λυπηθεὶς εἶπεν· ἀπέθανε τὸ σῶμά μου, καὶ ταῦτά μοι λέγεις;

3. Ἀπῆλθεν οὖν εἰς Αἴγυπτον, καὶ ἀκούσαντες οἱ ἄνθρωποι πολλὰ προσέφερον αὐτῷ· καὶ παρθενεύουσα δέ τις ἦλθε κατὰ πίστιν ὑπηρετεῖν τῷ γέροντι καὶ γέγονεν αὐτῷ συνήθεια· μετὰ οὖν χρόνον τινὰ ἀναῤῥωθείς, ἔπεσε μετ᾿ αὐτῆς καὶ ἐν γαστρὶ ἡ γυνὴ ἔλαβεν.

4. Οἱ δὲ ἄνθρωποι, ὁρῶντες αὐτὴν ἐν γαστρὶ ἔχουσαν, ἠρώτων αὐτὴν πόθεν συνέλαβεν; ἡ δὲ ἀπεκρίνατο, ἐκ τοῦ γέροντος· οἱ δὲ οὐκ ἐπίστευον αὐτῇ· ὁ δὲ γέρων ἔλεγε πρὸς αὐτούς· ἐγὼ ἐποίησα τοῦτο, ἀλλὰ φυλάξατέ μοι τὸ τικτόμενον παιδίον.

5. Ὡς οὖν ἐτέχθη καὶ ἀπεγαλακτίσθη, ἐλθὼν ὁ γέρων καὶ λαβὼν τὸ παιδίον, ἀπῆλθε πάλιν εἰς σκῆτιν, καὶ ἐπιτηρήσας ἡμέραν ἑορτῆς, θεὶς αὐτὸ ἐπὶ τοῦ ἰδίου ὤμου, ἦλθεν εἰς τὴν Ἐκκλησίαν, καὶ εἰσῆλθεν ἐνώπιον παντὸς τοῦ λαοῦ βαστάζων τὸ παιδίον ἐπὶ τοῦ ὤμου αὐτοῦ.

6. Ἰδόντες αὐτὸν οἱ ἀδελφοὶ ἔκλαυσαν, ὁ δὲ εἶπε πρὸς αὐτούς· βλέπετε τὸ παιδίον τοῦτο; υἱὸς τῆς παρακοῆς ἐστιν· ἀσφαλίζεσθε οὖν ἑαυτούς, ἀδελφοί, ὅτι

εἰς τὸ γῆράς μου τοῦτο ἐποίησα, καὶ εὔξασθε ὑπὲρ ἐμοῦ. Καὶ ἀπελθὼν εἰς τὸ κελλίον αὐτοῦ ἔβαλεν ἀρχὴν τῆς πρώτης αὐτοῦ ἐργασίας.

7. Ἀδελφός τις ἐδήχθη ποτὲ ὑπὸ ὄφεως, καὶ εἰσῆλθεν εἰς πόλιν τινὰ περιοδευθῆναι· ὑπεδέξατο δὲ αὐτὸν γυνὴ εὐλαβής, καὶ φοβουμένη τὸν Κύριον, καὶ ἐθεράπευσεν αὐτόν. Ὡς οὖν ἔσχε μικρὰν ἄνεσιν, ἤρξατο ὁ διάβολος σπείρειν αὐτῷ λογισμοὺς αἰσχροὺς εἰς αὐτήν· ἐκείνης οὖν ἐλθούσης συνήθως εἰς τὸ διακονῆσαι αὐτῷ, ὁ ἀδελφὸς ἥψατο τῆς χειρὸς αὐτῆς.

8. Ἡ δὲ συνεῖσα τὸν τοῦ ἐχθροῦ πόλεμον εἶπεν αὐτῷ· μὴ οὕτω, Πάτερ· Χριστὸν ἔχεις, Χριστὸν ἐνδέδυσαι, ἀγγελικὸν σχῆμα περίκεισαι, μνήσθητι τῆς λύπης καὶ τῆς μετανοίας, ἧς μέλλεις μετανοεῖν ὕστερον ἐν τῷ κελλίῳ καθήμενος, μνήσθητι τῶν στεναγμῶν καὶ τῶν δακρύων, ὧν ἔχεις δακρύειν ἐπὶ πολύ, καὶ ἄλλης κακοπαθείας, ἣν κακοπαθήσεις διὰ βραχεῖαν καὶ σαπρὰν ἡδονήν.

9. Ὁ δὲ ταῦτα ἀκούσας παρὰ τῆς σώφρονος ἐκείνης γυναικός, ᾐσχύνθη καὶ μηδὲ δυνάμενος εἰς τὸ πρόσωπον αὐτῆς ἀτενίσαι, λοιπὸν ἤθελε φυγεῖν· ἐκείνη δὲ πάλιν ἀναλαμβάνουσα αὐτὸν ἐν σπλάγχνοις Χριστοῦ, ἔλεγε· μηδὲν διατραπῇς καὶ ἀπέλθῃς, μήπω τελείως θεραπευθείς, ἀλλὰ μεῖνον ἔτι μικρόν· χρείαν γὰρ ἔχεις ἀκμὴν περιοδευθῆναι, οἱ δὲ λογισμοὶ ἐκεῖνοι οὐ τῆς σῆς καθαρᾶς ἦσαν ψυχῆς, ἀλλὰ τοῦ φθονεροῦ διαβόλου ὑπῆρχον ὑποβολαί. Καὶ οὕτω πείσασα αὐτὸν καὶ ἔτι μικρὸν προσμεῖναι, καὶ θεραπεύσασα, ἀπέλυσε μετὰ ἐφοδίων ἐν εἰρήνῃ.

Ἑρμηνεία

ΔΙΑ τὸν Ἐπίσκοπον τῆς Ὀξυρρύγχου, τὸν Ἀπφύ, διηγοῦνται τὰ ἑξῆς: Ὅταν οὗτος ἠσκήτευεν εἰς τὰς ἐρήμους πάρα πολὺ ἐσκληραγωγεῖτο. Ὅταν ἔγινεν Ἐπίσκοπος ἠθέλησε καὶ ἐντὸς τῆς πόλεως νὰ ἐφαρμόσῃ εἰς τὴν ζωήν του τὴν αὐτὴν σκληραγωγίαν· πλὴν ὅμως δὲν ἠδυνήθη.

Ἡ ἀδυναμία του αὐτὴ τὸν ἐλύπησε καὶ προσπίπτων εἰς τὸν Θεὸν μετὰ πόνου ἔλεγε· «Μήπως, ἄραγε, ἐξ αἰτίας τοῦ Ἐπισκοπικοῦ ἀξιώματος ἀπεμακρύνθη ἀπ' ἐμοῦ ἡ Χάρις τοῦ Θεοῦ;»

Τότε ὁ Θεὸς τοῦ ἀπεκάλυψεν, ὅτι δὲν ἀπεμακρύνθη ἡ Χάρις ἀπὸ αὐτόν, ἀλλ' εἰς τὴν ἔρημον ἐφρόντιζε δι' αὐτὸν ὁ Θεός, ἐπειδὴ δὲν εἶχε κανένα πλησίον του· ἐδῶ ὅμως εἰς τὴν πολιτείαν ὑπάρχουν ἄνθρωποι νὰ φροντίσουν δι' αὐτόν!

2. Ἕνας Γέρων παρέμενεν εἰς σκήτην· κάποτε λοιπὸν περιέπεσεν εἰς σωματικὴν ἀσθένειαν καὶ ἐξυπηρετεῖτο ἀπὸ τοὺς ἀδελφούς. Ἐπειδὴ ὅμως ἔβλεπεν, ὅτι ἐξ αἰτίας του κουράζονται οἱ ἀδελφοί, εἶπε· θὰ μεταβῶ εἰς Ἀλεξάνδρειαν, διὰ νὰ μὴ ἐξαντλῶ τοὺς ἀδελφούς.

Τὴν ἀπόφασίν του αὐτὴν καταδικάζων ὁ Ἀββᾶς Μωϋσῆς τοῦ εἶπε μὲ αὐστηρότητα:

— Πρόσεξε, μὴ ἀναχωρήσῃς εἰς Ἀλεξάνδρειαν, διότι πρόκειται νὰ πέσῃς εἰς πορνείαν.

— Λόγῳ τοῦ γήρατος (ἀπήντησεν ὁ Γέρων μὲ λύπην) ἀπώλεσε τὸ σῶμά μου τὴν ἀκμήν, καὶ εἶναι ὡς νεκρόν· τί εἶναι αὐτά, ποὺ μοῦ λέγεις;

3. Πράγματι λοιπὸν ὁ Γέρων ἔφυγε διὰ τὴν Ἀλεξάνδρειαν, παρὰ τὰς συστάσεις τοῦ Ἀββᾶ Μωϋσῆ. Οἱ κάτοικοι τῆς πόλεως, ἐκ σεβασμοῦ, τὸν ἐπεριποιήθησαν πολύ, μόλις ἐπληροφορήθησαν τὴν ἄφιξίν του. Μεταξὺ αὐτῶν προσήρχετο καὶ ἐξυπηρέτει τὸν Γέροντα καὶ μία εὐλαβὴς γυνή, προετοιμαζομένη διὰ τὴν μοναχικὴν πολιτείαν. Μὲ τὸ πρόσωπον αὐτὸ ἐξοικειώθη ὁ Γέρων. Ἰδοὺ ὅμως τὸ ὀλέθριον ἀποτέλεσμα τῆς ἐξοικειώσεως αὐτῆς· ἀφοῦ μετὰ ἀπὸ ὡρισμένον χρόνον ἔγινε καλὰ ὁ Γέρων, συνεσκοτίσθη ἡ διάνοιά του καὶ ἐκοιμήθη μαζὶ μὲ τὴν γυναῖκα καταστήσας αὐτὴν ἔγκυον.

4. Οἱ ἄνθρωποι, οἱ ὁποῖοι τὴν ἔβλεπον εἰς τὴν κατάστασιν αὐτὴν τῆς κυοφορίας καὶ ἐγνώριζον τὸν ἀρχικόν της σκοπὸν κατάπληκτοι τὴν ἠρώτων:

— Ποῖος σὲ κατέστησεν ἔγκυον;

— Ἐκεῖνος ὁ Γέρων Ἀσκητής, ἀπήντα αὕτη.

Τόσον ὅμως ὁ κόσμος ηὐλαβεῖτο τὸν Ἀσκητήν, ὥστε δὲν τὴν ἐπίστευε.

Τότε ὁ Γέρων κατησχυμμένος καὶ συντετριμμένος ἔλεγεν:

— Ἐγὼ διέπραξα τοῦτο· ἀλλά, παρακαλῶ, νὰ μοῦ διαφυλάξετε τὸ παιδίον, διὰ νὰ τὸ ἀναλάβω μετὰ τὴν γέννησίν του.

5. Πράγματι λοιπόν, ἀφοῦ ἐγεννήθη τὸ παιδίον καὶ ἀφοῦ ἔπαυσε πλέον νὰ τρέφεται ἀπὸ τὸ μητρικὸν γάλα, τὸ παρέλαβεν ὁ Γέρων καὶ ἀνεχώρησε μαζὶ μὲ αὐτὸ εἰς τὴν σκήτην. Εἰς μίαν δὲ ἐπίσημον ἑορτὴν ἔβαλε τὸ παιδὶ εἰς τὸν ὦμόν του καὶ μετ' αὐτοῦ εἰσῆλθεν εἰς τὸν Ναόν, κατὰ τὴν ὥραν τῆς Θείας Λειτουργίας, γενόμενος οὕτω θέατρον ἐνώπιον ὁλοκλήρου τοῦ λαοῦ.

6. Τὸ θλιβερὸν αὐτὸ θέαμα προεκάλεσε τὰ δάκρυα τῆς συμπόνοιας τῶν ἀδελφῶν, ἀναλογισθέντων τὴν τραγικὴν πτῶσιν. Ὁ δὲ Γέρων, συναισθανόμενος πλήρως τὴν πτῶσίν του καὶ ἐνθυμούμενος τοὺς προφητικοὺς λόγους τοῦ Ἀββᾶ Μωϋσῆ, εἶπε πρὸς ὅλους μὲ συντετριμμένην φωνήν.

— Βλέπετε, ἀδελφοί μου, τὸ παιδὶ αὐτό; Εἶναι υἱὸς τῆς παρακοῆς μου! Περιφρουρήσατε λοιπὸν τὸν ἑαυτόν σας καὶ μὴ ἔχετε ποτὲ αὐτοπεποίθησιν, διότι ἐγὼ διέπραξα τὸ ἔγκλημα αὐτὸ κατὰ τὸ γῆράς μου. Καὶ τώρα σᾶς παρακαλῶ κάμετε προσευχὴν δι' ἐμέ.

Μετὰ ταῦτα ἀνεχώρησεν εἰς τὸ κελλίον του καὶ ἤρχισε πάλιν ἐξ ἀρχῆς τὸ ἔργον τῆς μοναχικῆς ἀσκήσεως.

7. Κάποτε ἕνα ἀδελφὸν τὸν ἐδάγκωσεν ἕνα φίδι· ἐκεῖνος τότε διὰ νὰ θεραπευθῇ ἀπὸ τοὺς ἰατροὺς κατέβηκεν εἰς τὴν πόλιν. Μία δὲ εὐλαβὴς γυνή, ποὺ ἐσέβετο τὸν Κύριον, τὸν ὑπεδέχθη εἰς τὴν οἰκίαν της καὶ τὸν ἐθεράπευσεν ἀπὸ τὸ δάγκωμα τοῦ φιδιοῦ. Μόλις ὅμως ὁ Μοναχὸς ἐθεραπεύθη ὀλίγον ἀπὸ τοὺς πόνους, ἤρχισε νὰ ἐνοχλῆται ἀπὸ τὸν διάβολον, ὁ ὁποῖος ἔσπειρεν εἰς τὴν ψυχήν του αἰσχροὺς λογισμοὺς

διὰ τὴν εὐλαβῆ γυναῖκα. Ὑπὸ τὴν ἐπήρειαν δὲ τῶν αἰσχρῶν αὐτῶν λογισμῶν ὁ Μοναχός, ὅταν εἰσῆλθεν ἡ γυνὴ διὰ νὰ τὸν περιποιηθῇ, ἤγγισε τὴν χεῖρά της κατὰ τρόπον πονηρόν.

8. Ἀμέσως τότε ἡ γυνή, ἀντιληφθεῖσα τὸν πόλεμον τοῦ διαβόλου εἰς τὴν ψυχὴν τοῦ Μοναχοῦ, περίτρομος ἀλλὰ καὶ μὲ φιλάδελφον στοργὴν εἶπε πρὸς τὸν Μοναχόν:

— Μή, Πάτερ μου· πρόσεχε· ἔχεις ἐνδυθῆ τὸν Χριστόν· περιβάλλεσαι μὲ τὸ ἀγγελικὸν σχῆμα. Θυμήσου τὴν σφοδρὰν λύπην καὶ τὴν μετάνοιαν εἰς τὴν ὁποίαν θὰ ἀποδυθῇς ὕστερον εἰς τὸν κελλίον σου· θυμήσου τοὺς στεναγμοὺς καὶ τὰ δάκρυα, ποὺ θὰ χύσῃς ἄφθονα, καθὼς ἐπίσης καὶ τὰς κακοπαθείας διὰ τῶν ὁποίων θὰ τιμωρήσῃς τὸν ἑαυτόν σου ἐξ αἰτίας μιᾶς συντόμου καὶ σαπρᾶς ἡδονῆς.

9. Ὁ Μοναχὸς εἰς τὸ ἄκουσμα τῶν λόγων τῆς σώφρονος γυναικὸς ἠσθάνθη μεταμέλειαν καὶ αἰσχύνην. Δὲν εἶχε δὲ τὴν δύναμιν οὔτε εἰς τὸ πρόσωπον νὰ τὴν ἴδῃ. Μὲ σκυμμένην δὲ τὴν κεφαλὴν ἐσηκώθη διὰ νὰ φύγῃ, πρὶν ὁλοκληρωθῇ ἡ θεραπεία. Καὶ πάλιν ἡ φιλεύσπλαγχνος καὶ εὐλαβὴς γυναῖκα συγκρατοῦσα αὐτὸν χάριν τῆς ἀγάπης τοῦ Χριστοῦ τοῦ ἔλεγε:

— Μὴ ἀλλάξῃς γνώμην καὶ φύγῃς, χωρὶς νὰ θεραπευθῇς τελείως· μεῖνε ἀκόμη ὀλίγον, διότι πρέπει νὰ ὁλοκληρωθῇ ἡ θεραπεία. Ἐκεῖνοι δὲ οἱ κακοὶ λογισμοί, οἱ ὁποῖοι σὲ ἠνώχλησαν, δὲν προέρχονται ἀπὸ τὴν καθαράν σου ψυχήν, ἀλλὰ ἦσαν προσβολαὶ τοῦ φθονεροῦ διαβόλου. Μὲ τοὺς λόγους αὐτοὺς τὸν ἔπεισε νὰ παραμείνῃ ὀλίγον καὶ ἀφοῦ τὸν ἀπεθεράπευσε τελείως τοῦ ἔδωσε καὶ ἐφόδια ὑλικὰ διὰ τὸ κελλί του καὶ τοιουτοτρόπως τὸν ἄφησε νὰ φύγῃ εἰρηνικῶς.

Β'. Τοῦ Πατρὸς

ΟΡΑΣ πῶς καὶ οὗτος ὁ ἀδελφός, διὰ τὴν εἰς Θεὸν ἀνελπιστίαν καὶ τὴν ὀλιγωρίαν, καὶ τὸ ἀδεῶς εἰς πόλιν παραγενέσθαι διὰ ἰατρείαν πάθους σωματικοῦ, καταλειφθεὶς ὑπὸ τῆς Χάριτος, ὑπὸ τοῦ ἐχθροῦ κατεκυριεύθη; Καὶ πάντως ἂν καὶ οὗτος εἰς τὴν αὐτὴν πρᾶξιν κατέπεσεν, εἰ ἔσχε τὴν θαυμασίαν ταύτην γυναῖκα καταπειθῆ, ἀλλ' ἐστηρίχθη ὑπ' αὐτῆς ὁ Μοναχὸς εἰς τὸ μὴ τελείως καταπεσεῖν, ὃ καὶ ἡμεῖς φοβούμενοι φυλαξώμεθα.

Ἑρμηνεία

ΒΛΕΠΕΙΣ πῶς καὶ αὐτὸς ὁ ἀδελφός, περὶ τοῦ ὁποίου ἡ ἀνωτέρω διήγησις, διὰ νὰ μὴ ἐλπίζῃ εἰς τὸν Θεὸν καὶ διὰ νὰ καταφρονήσῃ τὴν μοναχικὴν ἀκρίβειαν κατῆλθεν ἀφόβως εἰς τὴν πόλιν διὰ σωματικὴν ἰατρείαν, βλέπεις πῶς ἀπεγυμνώθη ἀπὸ τὴν Χάριν τοῦ Θεοῦ καὶ ἐκυριεύθη ἐξ ὁλοκλήρου ὑπὸ τοῦ ἐχθροῦ;

Ὁπωσδήποτε δὲ καὶ αὐτὸς εἰς τὸ ἴδιον ἁμάρτημα θὰ περιέπιπτε (τὴν πορνείαν), ἐὰν συνεφώνει μαζί του καὶ ἡ θαυμασία ἐκείνη γυναῖκα. Εὐτυχῶς ὅμως δι' αὐτόν, ἐστηρίχθη ἀπὸ τὴν γυναῖκα καὶ οὔτε

ἀπέφυγε τὴν τελείαν πτῶσιν. Φοβούμενοι καὶ ἡμεῖς τὴν πτῶσιν αὐτήν, ἄς προφυλαχθῶμεν ἀπὸ τὰς παγίδας τοῦ διαβόλου.

Γ'. Τοῦ Διαδόχου

ΙΑΤΡΟΥΣ μετακαλεῖσθαι ἐν τῷ καιρῷ τῶν νόσων, οὐδὲν τὸ κωλῦον· ἐπειδὴ γὰρ ἔμελλεν ὑπὸ τῆς ἀνθρωπίνης πείρας ποτὲ συλλέγεσθαι ἡ τέχνη, διὰ τοῦτο προϋπῆρχε τὰ φάρμακα· πλὴν οὐ χρὴ εἰς αὐτοὺς τὴν ἐλπίδα τῆς ἰάσεως ἔχειν, ἀλλ' εἰς τὸν ἀληθινὸν ἡμῶν Σωτῆρα καὶ ἰατρὸν Ἰησοῦν Χριστόν.

2. Ταῦτα δὲ λέγω τοῖς ἐν Κοινοβίοις ἢ ἐν πόλεσι τὸν σκοπὸν τῆς ἐγκρατείας κατορθοῦσι, διὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἐκ τῶν συμβαινουσῶν περιστάσεων ἄπαυστον ἔχειν διὰ τῆς ἀγάπης τὴν ἐνέργειαν τῆς πίστεως· ἄλλως τε δέ, καὶ διὰ τὸ μὴ εἰς κενοδοξίαν αὐτοὺς καὶ πειρασμὸν ἐμπίπτειν τοῦ διαβόλου, ἐξ ὧν τινες ἰατρῶν μὴ χρῄζειν ἐπὶ πολλῶν ἐπαγγέλλονται.

3. Εἰ δέ τις τὸν ἀναχωρητικὸν βίον ἐν ἐρημοτέροις τόποις κατορθοῖ μεταξὺ δύο ἢ τριῶν ὁμοτρόπων ἀδελφῶν, μόνῳ τῷ Κυρίῳ ἑαυτῷ ἰωμένῳ ἡμῶν, πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν προσαγέτω ἐν πίστει, κἂν ὁποιοισοῦν περιπίπτει πάθεσιν· ἔχει γὰρ τῶν νόσων ἱκανὴν παρήγορον τὴν ἐρημίαν μετὰ Κύριον.

4. Ὅθεν οὔτε τῆς ἐνεργείας ὁ τοιοῦτος πένεται ποτὲ τῆς πίστεως, ἐπειδὴ μάλιστα οὔτε ποῦ ἐνδείξασθαι αὐτόν, τὴν ἐκ τῆς ὑπομονῆς εὑρίσκει ἀρετὴν καλῷ παραπετάσματι κεχρημένος τῇ ἐρημίᾳ· διὰ τοῦτο γὰρ καὶ ὁ Κύριος κατοικίζει μονοτρόπους.

Ἑρμηνεία

ΤΙΠΟΤΕ δὲν ἐμποδίζει νὰ καλῇς πλησίον σου ἰατρούς, ὅταν εἶσαι ἄρρωστος· ἐπειδὴ δὲ ἀκριβῶς ἐπρόκειτο ἐκ τῆς ἀνθρωπίνης πείρας νὰ διαμορφωθῇ ἡ ἰατρικὴ τέχνη, δι' αὐτὸ προϋπῆρχον τὰ φαρμακευτικὰ βότανα· δὲν πρέπει ὅμως νὰ στηρίζωμεν εἰς τοὺς ἰατοὺς τὴν ἐλπίδα τῆς θεραπείας, ἀλλ' εἰς τὸν πραγματικὸν Σωτῆρα καὶ Ἰατρὸν Ἰησοῦν Χριστόν.

2. Αὐτὰ δὲ τὰ λέγω δι' αὐτούς, οἱ ὁποῖοι μονάζουν εἰς τὰ Κοινόβια ἢ ἐπιχειροῦν νὰ κατορθώσουν τὸν ἀγῶνα τῆς ἐγκρατείας εἰς τὰς πόλεις, ἐπειδὴ αὐτοὶ δὲν δύνανται, λόγῳ τῶν συνθηκῶν ὑπὸ τὰς ὁποίας διάγουν, νὰ διατηρήσουν ἀμείωτον τὴν ἔντασιν τῆς πίστεως, ποὺ γεννᾶται ἀπὸ τὴν φλόγα τῆς ἀγάπης. Ἄλλως τε οἱ οὕτω διάγοντες πρέπει νὰ ἐπιζητοῦν τὴν βοήθειαν τῶν ἰατρῶν, διὰ νὰ μὴ περιπέσουν εἰς κενοδοξίαν, ὡς θεραπευθέντες, δῆθεν, ὑπὸ τοῦ Κυρίου, διότι ἦσαν αὐτοὶ μόνον ἄξιοι μέσα εἰς τὸ Κοινόβιον ἢ τὴν πολιτείαν καὶ τοιουτοτρόπως ἐμπλακοῦν εἰς τὰς παγίδας τοῦ διαβόλου διακηρύσσοντες, ἀπὸ ἐγωϊσμόν, ὅτι δὲν ἔχουν ἀνάγκην ἰατρῶν!

3. Ἐὰν ὅμως κανεὶς ἀγωνίζεται τὸν ἀναχωρητικὸν βίον εἰς τὴν ἔρημον, συνασκούμενος τὸ πολὺ μαζὶ μὲ δύο ἢ τρεῖς ἀδελφούς, ποὺ κατὰ τὸν ἴδιον τρόπον καὶ αὐτοὶ πολιτεύονται, τότε πρέπει νὰ ἐμπιστεύεται τὸν ἑαυτόν του, εἰς οἱασδήποτε καὶ ἐὰν περιπέσῃ ἀσθενείας, μόνον εἰς τὸν Κύριον, διότι Αὐτὸς ἐξ Ἑαυτοῦ ἔχει τὴν δύναμιν νὰ θε-

ραπεύῃ «πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν» (Ματθ. δ', 23). Ὁ ἀναχωρητής, μετὰ τὸν Κύριον, ἔχει παρήγορον σύντροφον τὴν ἐρημίαν.

4. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ὁ ἀναχωρητὴς οὐδέποτε αἰσθάνεται τὸν ἑαυτόν του ἐστερημένον ἀπὸ τὴν ἐνέργειαν τῆς πίστεως, ὅπως ὁ χορτασμένος ποτὲ δὲν πεινᾷ· ἄλλωστε ὁ ἀναχωρητὴς δὲν ἔχει κανένα πλησίον του διὰ νὰ φανερώσῃ τὴν κατάστασίν του. Τοιουτοτρόπως ἐξασφαλίζει θαυμάσιον παραπέτασμα, τὴν ἐρημίαν, διὰ νὰ ἀποκρύψῃ μὲ αὐτὴν ἀπὸ τοὺς ἀνθρώπους τὴν ὑψηλὴν ἀρετὴν τῆς ὑπομονῆς. Δι' αὐτὸ καὶ τὸ πνεῦμα τοῦ Θεοῦ, λέγει· «Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ» (ψαλμ. ξζ', 7).

Δ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα λέγων· ἐπειδὴ εἰς τὴν διακονίαν τοῦ νοσοκομείου ἐδοκιμάσατέ με εἶναι, δήλωσόν μοι, Πάτερ, εἰ ὀφείλω ἀναγινώσκειν ἰατρικά τινα καὶ ἐπιτηδεύειν αὐτὰ ἀπ' ἐμαυτοῦ, ἢ μᾶλλον ἀμεριμνήσω ἀπὸ τῶν τοιούτων καὶ φύγω αὐτὰ ὡς περισπῶντα τὸν νοῦν, μήπως καὶ ὡς μὴ νήφοντί μοι κενοδοξίαν γεννήσωσιν, ἀρκούμενος οἷς οἶδα λόγοις, καὶ ποιῶν ὅσα δι' ἐλαιῶν καὶ πυριῶν καὶ ἐπιχρισμάτων, καὶ τῶν τοιούτων ἁπλῶς, ἃ καὶ οἱ μὴ ἀναγινώσκοντες ποιεῖν ἐπιχειροῦσιν;

2. Ἀπεκρίθη ὁ γέρων· ἐπειδὴ οὐχ ἤλθομεν ἀκμὴν εἰς τελειότητα, ἵνα τελείως ἀπαλλαγῶμεν τῶν παθῶν τῆς αἰχμαλωσίας, συμφέρει μᾶλλον οὐχ ἀδολεσχεῖν εἰς τὰ ἰατρικὰ ἢ εἰς τὰ πάθη, ἀλλὰ εἰς τὸν θανατοῦντα καὶ ζωοποιοῦντα Θεόν, τὸν λέγοντα· πατάσσω, κἀγὼ ἰάσομαι. Ἀναγινώσκων οὖν αὐτά, ἢ καὶ ἐρωτῶν τινας περὶ αὐτῶν, μὴ ἐπιλάθῃ ὅτι ἄνευ τοῦ Θεοῦ οὐ γίνεται ἴασις τινί· ὁ ἐπιβαλὼν οὖν ἑαυτόν, ὀφείλει ὀνόματι Θεοῦ ἐπιβαλεῖν, καὶ βοηθεῖ αὐτῷ. Ἡ ἰατρικὴ τέχνη οὐ κωλύει τινὰ θεοσεβεῖν, ἀλλ' ἔχε αὐτὴν ὡς τὰ ἐργόχειρα τῶν ἀδελφῶν, μετὰ φόβου Θεοῦ ποίει, ἃ ποιεῖς, καὶ φυλάττεις αὐτήν.

3. Ἔφη ὁ ἀδελφός· ἐπειδὴ ἄλλοτε μοὶ εἶπας, ὅτι καὶ ἐν τούτῳ κόπτει τις τὸ ἴδιον θέλημα, ἐν τῷ μὴ φιλονεικῆσαί ποτε στῆσαι τὸ ἴδιον θέλημα ἢ τὸν ἴδιον λόγον· τί οὖν, Πάτερ, ὅτι προσφέρω πρᾶγμα ἀῤῥώστῳ ὠφέλιμον καὶ ἴσως βλάπτει αὐτόν, καὶ θλίβομαι ὡς θέλημα ποιήσας· καὶ πάλιν βλέπω, ὅτι ὅλην τὴν ἡμέραν ἐν τῷ περισπασμῷ εἰμι, καὶ σχεδὸν οὐδὲ μνημονεῦσαι τοῦ Θεοῦ συγχωροῦμαι· εἰπὲ οὖν μοι, τί ποιήσω; πιστεύω γάρ, ὅτι ἔνθεν μοί ἐστιν ἡ σωτηρία.

4. Ἀπεκρίθη ὁ γέρων· ἐὰν νομίζων ὅτι τὸ πρᾶγμα τοῦτο συμβάλλεται τῷ ἀσθενοῦντι, ἱστᾷς τὸν λόγον σου, καὶ συμβῇ ἐκ τούτου βλαβῆναι αὐτόν, ὁ Θεὸς προσέχων τῇ καρδίᾳ σου οὐ κατακρίνει σε· οἶδε γὰρ ὅτι θέλων ὠφελῆσαι ἔβλαψας. Ἐὰν δέ τις ἔμπειρος εἴπῃ σοι, καὶ καταφρονήσας ἀκοῦσαι αὐτοῦ, ποιήσεις ὃ δοκεῖ σοι, ὑπερηφανία ἐστὶ καὶ θέλημα.

5. Περὶ δὲ τοῦ περισπασμοῦ ἄκουσον· πολλοὶ ἀεὶ ἀκούουσι περὶ πόλεως, καὶ συμβαίνει αὐτοὺς εἰσελθεῖν εἰς αὐτήν, μὴ γινώσκοντες ὅτι αὐτή ἐστιν· ἀδελφέ, ὅλην τὴν ἡμέραν εἰ εἰς τὴν μνήμην τοῦ Θεοῦ, καὶ οὐ γινώσκεις; τὸ γὰρ ἔχειν ἐντολήν, καὶ φυλάξασθαι σχολάσαι αὐτήν, καὶ ὑποταγή ἐστι, καὶ μνήμη Θεοῦ.

6. Καὶ καλῶς εἰπέ σοι ὁ ἀδελφὸς Ἰωάννης· ἔκβαλε πρῶτον τὰ φύλλα, ἤγουν τὰς ἐνεργείας τῶν παθῶν, καὶ κελεύσει Θεοῦ ἐκβαλεῖς καὶ τοὺς καρπούς, ἤτοι αὐτὰ τὰ πάθη· μὴ εἰδὼς οὖν τὸ συμφέρον ἐξακολούθησον τοῖς εἰδόσιν· αὕτη ἐστὶν ἡ ταπείνωσις, καὶ εὑρίσκεις τὴν Χάριν τοῦ Θεοῦ· καὶ καθὼς εἶπας ὅτι ἔνθεν μοί ἐστιν ἡ σωτηρία, καλῶς εἶπας τοῦτο· οὐκ ἦν γὰρ ἄνευ Θεοῦ ἡ ἔλευσίς σου, ἀλλ' ὁ Θεὸς ὡδήγησέ σε.

7. Ἐνδυναμώθητι ἐν Κυρίῳ· οὐ μικρὸν γὰρ κέρδος καρποῦσαι ἐκ τοῦ περισπασμοῦ, οὗ λέγεις.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἠρώτησε κάποτε Γέροντα:

—Ἐπειδή, Γέροντά μου, μὲ ἐκρίνατε κατάλληλον διὰ τὴν ὑπηρεσίαν τοῦ νοσοκομείου, ἵνα ὡς νοσοκόμος ὑπηρετῶ τοὺς ἀσθενεῖς ἀδελφούς, ἐξήγησέ μου: μήπως πρέπει νὰ μελετήσω μερικὰ ἰατρικὰ βιβλία καὶ νὰ ἀσκοῦμαι ἀπὸ αὐτά, ὥστε νὰ ἀνταποκρίνωμαι ἀποτελεσματικώτερον εἰς τὸ καθῆκόν μου, ἢ θὰ εἶναι προτιμότερον νὰ ἀδιαφορήσω τελείως δι' αὐτὰ καὶ νὰ τὰ ἀποφύγω, διὰ νὰ μὴ περισπασθῇ ἡ διάνοιά μου ἐδῶ καὶ ἐκεῖ καὶ διὰ νὰ μὴ μὲ ρίψῃ ἡ ἀνάγνωσίς των εἰς τὸ πάθος τῆς κενοδοξίας, ἐφ' ὅσον, τοιουτοτρόπως, θὰ ἀπολέσω τὴν πνευματικήν μου διαύγειαν καὶ ἑτοιμότητα, καὶ νὰ ἀρκεσθῶ εἰς τὰ πρακτικά, ποὺ γνωρίζω, ἐφαρμόζων αὐτά, χωρὶς ἐπιστημονικότητα, ὅπως καὶ οἱ ἄλλοι ποὺ δὲν ἔχουν σπουδάσει ἰατρικήν, δηλαδὴ τὰς ἐλαίας, τὰ καταπλάσματα, τὰς ἐντριβὰς καὶ τὰ τοιαῦτα;

2. Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Γέρων ἀπήντησεν:

—Ἐπειδὴ ἀκόμη δὲν ἔχομεν φθάσει εἰς μέτρον τελειότητος, διὰ νὰ ἀπαλλαγῶμεν τελείως ἀπὸ τὴν αἰχμαλωσίαν τῶν παθῶν, τὸ συμφέρον τῆς ψυχῆς μας ἐπιβάλλει νὰ μὴ ἀσχολούμεθα εἰς τὰς φλυαρίας τῶν ἰατρικῶν μελετῶν ἢ εἰς τὴν φύσιν τῶν σωματικῶν παθῶν, ἀλλὰ νὰ ἀφιερωθῶμεν ὁλοψύχως εἰς τὸν Θεόν, ἀπὸ τὸν ὁποῖον ἐξαρτᾶται καὶ ἡ ζωὴ καὶ ὁ θάνατος καὶ ὁ ὁποῖος λέγει· «Πατάξω, κἀγὼ ἰάσομαι» (Δευτερον. λβ', 39). Κτυπῶ δηλαδὴ θανασίμως καὶ ἐγὼ πάλιν θὰ θεραπεύσω τὸ κτύπημα αὐτό. Ὅταν λοιπὸν μελετᾷς τὰ ἰατρικὰ αὐτὰ βιβλία ἢ ὁσάκις ἐρωτᾷς τοὺς γνωρίζοντας περὶ διαφόρων ἰατρικῶν ζητημάτων, μὴ λησμονῇς ποτέ, ὅτι χωρὶς τὴν βοήθειαν τοῦ Θεοῦ κανεὶς δὲν δύναται νὰ θεραπεύσῃ ἢ νὰ θεραπευθῇ. Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος ἀναλαμβάνει ἐπάνω του τὴν εὐθύνην τοῦ ἰατροῦ, ὀφείλει ἐν ὀνόματι τοῦ Θεοῦ νὰ ἀναλάβῃ καὶ τότε ἀσφαλῶς ὁ Θεὸς θὰ τὸν βοηθήσῃ.

Ἡ ἰατρικὴ τέχνη δὲν ἐμποδίζει κανένα νὰ εἶναι θεοσεβής· ἀλλ' ὅμως νὰ ἀσκῇς αὐτὴν ὅπως οἱ ἀδελφοὶ τὸ ἐργόχειρον, δηλαδὴ ὡς δευτερεύουσαν ἐνασχόλησιν, μετὰ τὴν προσευχὴν καὶ τὴν προσπάθειαν τῆς ψυχικῆς ἀνατάσεως· ὅ,τι κάνεις, μετὰ φόβου Θεοῦ νὰ τὸ κάνῃς καὶ τότε ἀσφαλῶς θὰ διατηρήσῃς ἐπωφελῶς, χωρὶς νὰ ζημιωθῇς ψυχικῶς, τὴν ἀποστολὴν αὐτὴν τοῦ ἰατροῦ.

3. Ἀφοῦ μετὰ προσοχῆς ἤκουσεν αὐτὰ ὁ ὑποτακτικὸς ἠρώτησεν ἐκ δευτέρου τὸν Γέροντα:

— Γέροντά μου, εἰς ἄλλην περίπτωσιν μοῦ ἀνέφερες, ὅτι κόπτει κανεὶς τὸ θέλημά του καὶ εἰς τὴν περίπτωσιν, κατὰ τὴν ὁποίαν οὐδέποτε φιλονικεῖ μετά τινος, διὰ νὰ ἐπιβάλῃ τὸ ἰδικόν του θέλημα ἢ διὰ νὰ ἐπιμείνῃ εἰς αὐτό, ποὺ εἶπε· ἐν τῇ ἐνασκήσει ὅμως τῶν κα-

θηκόντων μου μοῦ συμβαίνουν τὰ ἑξῆς: ἐγὼ προσφέρω εἰς τὸν ἄρρωστον πρᾶγμα (φαγητόν, φάρμακον), τὸ ὁποῖον θεωρῶ ὠφέλιμον· αὐτὸ ὅμως, ἀντὶ νὰ ὠφελήσῃ τὸν ἀσθενῆ, τὸν βλάπτει. Ἐξ αἰτίας αὐτοῦ θλίβομαι, διότι νομίζω, ὅτι ἔκαμα τὸ θέλημά μου. Βλέπω δὲ ὅτι ὅλην τὴν ἡμέραν ἐξαντλοῦμαι εἰς τὰς φροντίδας καὶ μερίμνας διὰ τὴν περιποίησιν τῶν ἀσθενῶν, εἰς τοιοῦτον βαθμόν, ὥστε νὰ μὴ μοῦ ἐπιτρέπουν οἱ περισπασμοὶ αὐτοὶ οὔτε τὸ ὄνομα τοῦ Θεοῦ νὰ ἐνθυμηθῶ. Εἰπέ μου λοιπὸν τί νὰ κάμω, διότι πιστεύω, ὅτι ἀπὸ τὴν καλὴν ἐκτέλεσιν τῆς ὑπηρεσίας μου αὐτῆς, θὰ ἐξαρτηθῇ ἡ σωτηρία μου.

4. Εἰς τὰς ἀπορίας αὐτὰς ἀπήντησε καὶ πάλιν ὁ Γέρων ὡς ἑξῆς:

—Ἐὰν δικαιολογῇς τὴν ὑπόδειξίν σου πρὸς τὸν ἀσθενῆ, διότι νομίζεις, ὅτι αὐτὸ τὸ πρᾶγμα συντελεῖ εἰς τὴν θεραπείαν τοῦ ἀσθενοῦς καὶ συμβῇ, μετὰ ταῦτα, ὁ ἀσθενὴς νὰ βλαφθῇ ἀπὸ τὴν ὑπόδειξίν σου αὐτήν, ὁ Θεὸς δὲν θὰ σὲ καταδικάσῃ, διότι ὡς καρδιογνώστης γνωρίζει, ὅτι τὸν ἔβλαψες οὐχὶ ἀπὸ κακὴν καὶ δολίαν πρόθεσιν, ἀλλ' ἐξ ἀτυχοῦς περιστάσεως. Ἐὰν ὅμως κάποιος ἐμπειρότερος ἀπὸ σὲ σοῦ ὑποδείξῃ διαφορετικὸν πρᾶγμα ἀπὸ αὐτό, ποὺ εἶχες ὑπ' ὄψιν σου καὶ σὺ περιφρονήσῃς ἀπὸ ὑπερηφάνειαν τὴν ὑπόδειξιν αὐτὴν καὶ ἐκτελέσῃς αὐτό, ποὺ ἐθεώρησες σὺ ὡς καλόν, τότε ἀσφαλῶς ὑπέπεσες εἰς ὑπερηφάνειαν καὶ ἔκαμες τὸ θέλημά σου.

5. Ὅσον ἀφορᾶ δὲ διὰ τὸν περισπασμὸν ἐξ ἀφορμῆς τῆς ἐκπληρώσεως τοῦ ἰατρικοῦ καθήκοντος, περὶ τοῦ ὁποίου μὲ ἠρώτησας, ἄκουσε: Πολλοὶ ἔχουν ἀκούσει νὰ γίνεται λόγος περὶ πόλεως· καὶ ὅμως συμβαίνει, ὅταν ἔκ τινος ἀνάγκης εἰσέλθουν εἰς μίαν πόλιν, νὰ μὴ τὸ ἀντιληφθοῦν, διότι ἡ διάνοιά των, ἡ μνήμη των εἶναι κατειλημμέναι ἀπὸ τὴν παρουσίαν τοῦ Θεοῦ. Δὲν ἔχεις ἀντιληφθῆ, ἀδελφέ μου, ὅτι ὅλην τὴν ἡμέραν, ἐφ' ὅσον ἐκτελεῖς ἐπιμελῶς τὰ ἔργα σου, εὑρίσκεσαι εἰς θέσιν νὰ ἐπικοινωνῇς μὲ τὸν Θεὸν καὶ ἐπομένως νὰ τὸν ἐνθυμῆσαι; Διότι τὸ νὰ λάβῃς ἐντολὴν ἀπὸ τοὺς προεστῶτας καὶ νὰ καταβάλῃς φιλότιμον προσπάθειαν νὰ τὴν ἐκπληρώσῃς ἀγογγύστως, τοῦτο θεωρεῖται καὶ ὡς ὑποταγή, ἀλλὰ καὶ μνήμη τοῦ Θεοῦ, ὁ ὁποῖος ἀπαιτεῖ τὴν ὑπακοήν.

6. Ὀρθῶς λοιπὸν σοῦ εἶπεν ὁ ἀδελφὸς Ἰωάννης, ὅτι πρῶτον πρέπει νὰ ἀφαιρέσῃς τὰ φύλλα, δηλαδὴ τὰς ἐνεργείας τῶν παθῶν, καὶ μετὰ τοὺς καρπούς, δηλαδὴ αὐτὰ τὰ ἴδια πάθη κατὰ διαταγὴν τοῦ Θεοῦ, ὁ ὁποῖος θὰ σοῦ δώσῃ καὶ τὴν ἀνάλογον δύναμιν. Ἐπειδὴ λοιπὸν ἀκόμη, λόγῳ τῆς ἀπειρίας σου εἰς τὰ πνευματικά, δὲν εἶσαι εἰς θέσιν νὰ γνωρίζῃς τὸ ψυχικόν σου συμφέρον, πρέπει νὰ ἐφαρμόζῃς τὰς ὑποδείξεις αὐτῶν ποὺ γνωρίζουν. Αὐτὸ εἶναι ἡ ταπείνωσις καὶ ταπεινούμενος θὰ εὕρῃς τὴν Χάριν τοῦ Θεοῦ. «Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται ταπεινοῖς δὲ δίδωσιν Χάριν» (Ἰακ. δ', 6). Καὶ ὅπως εἶπες προηγουμένως, ὅτι ἀπὸ τὴν καλὴν ἐκτέλεσιν τῆς ὑπηρεσίας σου αὐτῆς θὰ ἐξαρτηθῇ ἡ σωτηρία τῆς ψυχῆς σου, καλῶς τὸ ἐσκέφθης. Δι' αὐτὸ

καὶ ἡ προσέλευσίς σου ἐδῶ δὲν εἶναι δυνατὸν νὰ συνέβη χωρὶς τὴν θέλησιν τοῦ Θεοῦ· ὁ Θεὸς σὲ ὡδήγησε.

7. Σοῦ εὔχομαι λοιπὸν νὰ ἐνδυναμωθῇς μὲ τὴν δύναμιν τοῦ Κυρίου, διότι δὲν εἶναι καὶ μικρὸν τὸ κέρδος, τὸ ὁποῖον συνάγεις ὡς καρπὸν εἰς ἀποθήκην, ἀπὸ αὐτὸ τὸ ὁποῖον σὺ ὀνομάζεις περισπασμόν.

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΗ ἀμέλει ἀῤῥώστου, διότι γέγραπται· ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων.

2. Ἐὰν κακοῦται ὁ ἀδελφός σου, συγκοπίασον αὐτῷ, ἵνα ἀξιωθῇς ἀκοῦσαι παρὰ τοῦ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε.

3. Ὁ ἀμελῶν ἀσθενοῦς, παροργίζει τὸν παιδεύοντ ι αὐτόν, καὶ ὁ ἐπιχαίρων πτώματι ἀδελφοῦ αὐτοῦ, πεσεῖται πτῶμα ἐξαίσιον.

4. Ἀγαπητέ, ἐὰν ἔμπειρος ᾖς τῆς ἰατρικῆς ἐπιστήμης καὶ θεραπεύσῃς, νηφάλιος γίνου, μήποτε ἄλλους θεραπεύειν θέλων ἑαυτὸν ἐμπαθῆ ἀποδείξῃς, τοῦ Ἀποστόλου λέγοντος· μὴ βλασφημείσθω ἡμῶν τὸ ἀγαθόν.

Ἑρμηνεία

ΝΑ ΜΗ ἀδιαφορῇς δι' τὸν ἄρρωστον, διότι ἔχει γραφή· ἐκεῖνος ὁ ὁποῖος κλείει τὰ αὐτιά του, διὰ νὰ μὴ ἀκούσῃ τὸν πόνον τοῦ ἀσθενοῦς, ὅταν εὑρεθῇ εἰς παρομοίαν ἀνάγκην, δὲν θὰ εὑρεθῇ κανεὶς διὰ νὰ τὸν εἰσακούσῃ (1).

2. Ἐὰν κακοπαθῇ ὁ ἀδελφός σου, ἔχεις ὑποχρέωσιν καὶ σὺ νὰ συγκακοπαθήσῃς μαζί του καὶ νὰ προσπαθῇς νὰ τὸν ἀνακουφίσῃς, διὰ νὰ ἀξιωθῇς νὰ ἀκούσῃς, κατὰ τὴν ἡμέραν τῆς κρίσεως, τὸν Κύριον νὰ σοῦ λέγῃ· «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» (Ματθ. κε', 40).

3. Ἐκεῖνος, ὁ ὁποῖος ἀμελεῖ διὰ τὸν ἀσθενῆ, παροργίζει τὸν Θεόν, ὁ ὁποῖος τὸν παιδεύει· καὶ ὅταν κανεὶς αἰσθάνεται βαθεῖαν χαρὰν διὰ τὸ θανάσιμον σφάλμα τοῦ ἀδελφοῦ του, ἀσφαλῶς θὰ πέσῃ καὶ ὁ ἴδιος ὡς πτῶμα, ποὺ προκαλεῖ θλιβερὰν κατάπληξιν.

4. Ἀγαπητέ, ἐὰν ἐκμάθῃς τὴν ἰατρικὴν ἐπιστήμην καὶ ἀποκτήσῃς τὴν ἱκανότητα νὰ θεραπεύῃς ἄλλους, πρόσεξε νὰ παραμείνῃς νηφάλιος καὶ ἀνεπηρέαστος ἀπὸ διαφόρους λογισμούς, ὅπως ἡ ὑπερηφάνεια· διότι τότε ἐπιθυμῶν νὰ θεραπεύσῃς τοὺς ἄλλους, θὰ φανῇς ὁ ἴδιος γεμᾶτος πάθη, καὶ τότε, ἐξ αἰτίας σου, θὰ βλασφημεῖται τὸ ἀγαθόν. «Μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθὸν» (Ρωμ. ιδ', 16), ὅπως λέγει ὁ Ἀπόστολος.

---

1) «Ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἐπακοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων». (Παροιμ. Σολομ. κα', 13).

ὙΠΟΘΕΣΙΣ ΙϚʹ

Ὅτι οὐ δεῖ τὸν Μοναχὸν ἄνευ ἀνάγκης λούεσθαι ἢ ὅλως γυμνοῦσθαι.

Δὲν πρέπει ὁ Μοναχός, χωρὶς σοβαρὰν ἀνάγκην, νὰ λούεται ἢ νὰ γυμνώνεται τελείως.

Αʹ. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀντωνίου


Ὁ ΜΕΓΑΣ Ἀντώνιος ἀεὶ ἀσκήσει πολλῇ καὶ συντονωτάτῃ ἐκέχρητο· ἐνήστευε γὰρ διηνεκῶς. τό τε ἔνδυμα εἶχεν ἔνδον μὲν τρίχινον, ἔξωθεν δὲ δερμάτινον, ὃ καὶ ἕως τελευτῆς τετήρηκεν· ἀλλ' οὐδὲ ἠνέσχετό ποτε οὔτε τὸ σῶμα διὰ ῥύπον ὕδατι λούσασθαι, οὐθ' ὅλως τοὺς πόδας νίψασθαι, κἂν ἁπλῶς αὐτοὺς εἰς ὕδωρ χωρὶς ἀνάγκης ἐμβαλεῖν, ἀλλ' οὐδὲ γυμνωθέντα τις αὐτὸν ἑώρακεν, οὐθ' ὅλως παρὰ πᾶσαν αὐτοῦ τὴν ζωήν, ἀφ' οὗ γέγονε Μοναχός, τὸ σῶμά τις εἶδεν Ἀντωνίου γυμνόν.

2. Ποτὲ οὖν καθήμενος ἐν τῷ ὄρει, ἀναβλέψας εἶδέ τινα ἐν τῷ ἀέρι ἀναγόμενον, πολλήν τε τῶν ἀπαντώντων γινομένην τὴν χαράν· θαυμάζων οὖν καὶ μακαρίζων τὸν τοιοῦτον, καὶ θέλων μαθεῖν, τίς ἂν εἴη οὗτος, ἤκουσε φωνῆς λεγούσης ταύτην εἶναι τοῦ Ἀμμοῦν τὴν ψυχὴν τοῦ ἐν τῇ Νιτρίᾳ Μοναχοῦ· (ἦν δὲ αὐτὸς ἕως γήρως Ἀσκητὴς διαμείνας).

3. Πολλὰ δὲ δι' αὐτοῦ σημεῖα γεγενῆσθαι λέγεται, ἐξ ὧν ἐστι καὶ τοῦτο. Ποτὲ χρείας γενομένης παρελθεῖν αὐτὸν τὸν ποταμὸν τὸν καλούμενον Λύκον, ἦν δὲ τότε πλημμύρα τῶν ὑδάτων, ἠξίωσε τὸν σὺν αὐτῷ Θεόδωρον μακρὰν ἀπ' αὐτοῦ γενέσθαι, ἵνα μὴ ἀλλήλους ἴδωσι γυμνοὺς ἐν τῷ διανήχεσθαι τὸ ὕδωρ, εἶτα ἀπελθόντος τοῦ Θεοδώρου ᾐσχύνετο πάλιν καὶ ἑαυτὸν ἰδεῖν· ὡς οὖν ᾐσχύνετο καὶ ἐφρόντιζεν, ἐξαίφνης ἀπηνέχθη εἰς τὸ πέραν ἁρπαγείς.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΑΝΤΩΝΙΟΣ ἠσκεῖτο μὲ ἰσχυρὰν καὶ ἐντατικὴν ἄσκησιν· οὕτω διαρκῶς ἐνήστευεν, ἐφόρει ἔνδυμα ἐσωτερικῶς μὲν τρίχινον, ἐξωτερικῶς δὲ δερμάτινον, τὸ ὁποῖον καὶ διετήρησε μέχρι τοῦ θανάτου του. Ἐπὶ πλέον οὐδέποτε ἠνέχθη νὰ πλύνῃ μὲ ὕδωρ τὸ σῶμά του διὰ λόγους καθαριότητος, οὔτε κἂν τοὺς πόδας του νὰ νίψῃ ἢ χωρὶς ἀνάγκην νὰ ἔμβῃ εἰς ὕδωρ. Κανεὶς δὲν τὸν εἶδε νὰ γυμνοῦται· καθ' ὅλην δὲ αὐτοῦ τὴν ζωὴν οὐδεὶς εἶδε γυμνὸν τὸ σῶμα τοῦ Μεγάλου Ἀντωνίου.


Ὁ Ἅγιος
Ἀμμοῦν

2. Κάποτε λοιπόν, ἐνῷ ἐκάθητο εἰς τὸ ὄρος καὶ ἐσήκωσε τὴν κεφαλήν του πρὸς τὸν οὐρανόν, βλέπει μίαν ψυχὴν νὰ ἀνυψοῦται εἰς τὸν ἀέρα καὶ νὰ τὴν ὑποδέχωνται μὲ μεγάλην χαρὰν οἱ Ἅγιοι Ἄγγελοι. Ἐθαύμασε λοιπὸν καὶ ἐμακάρισε τὸν ἄνθρωπον, τοῦ ὁποίου ἡ ψυχὴ μὲ τόσην λαμπρότητα ἀνήρχετο εἰς τὸν Θεὸν καὶ ἐπιθυμῶν νὰ πληροφορηθῇ ποῖος ἦτο ὁ Ἅγιος, ἤκουσε μίαν φωνὴν ἱνὰ τοῦ λέγῃ:

— Αὐτὴ εἶναι ἡ ψυχὴ τοῦ Ὁσίου Ἀμμοῦν, ποὺ ἠσκήτευσε μέχρι βαθυτάτου γήρατος εἰς τὴν ἔρημον τῆς Νιτρίας.

3. Ὁ Ὅσιος Ἀμμοῦν, ὅπως λέγεται παρὰ πολλῶν, ἐπραγματοποίησε πολλὰ θαύματα. Μεταξὺ τῶν πολλῶν αὐτῶν θαυμάτων εἶναι γνωστὸν καὶ αὐτό· κάποτε ἐπρόκειτο νὰ περάσῃ τὸν ποταμὸν Λύκον, ὅστις εἶχε πλημμυρίσει ἀπὸ τὰς πολλὰς βροχὰς κατὰ τὸν χειμῶνα. Ἦτο λοιπὸν ἀνάγκη νὰ περάσουν ἀπέναντι μαζὶ μὲ τὸν μαθητήν του Θεόδωρον, ὅστις τὸν συνώδευεν. Ἄλλος τρόπος δὲν ὑπῆρχε παρὰ μόνον ἡ κολύμβησις. Πρὸ τῆς ἀνάγκης αὐτῆς ἐπέβαλεν εἰς τὸν Θεόδωρον νὰ ἀπομακρυνθῇ ἀρκετά, ὥστε νὰ μὴ ἴδωσιν ὁ εἷς τὸν ἄλλον γυμνόν, καθ' ἣν στιγμὴν θὰ εὑρίσκωνται εἰς τὸ ὕδωρ. Παρ' ὅλον δὲ ὅτι ἀπεμακρύνθη ὁ Θεόδωρος καὶ ἔμεινε μόνος του ὁ Ἀμμοῦν, ἐν τούτοις δὲν ἀπεφάσιζε νὰ ἐκδυθῇ τῶν ἱματίων του καὶ νὰ εἰσέλθῃ εἰς τὸ ὕδωρ, διότι κατῃσχύνετο καὶ μόνος του ἀκόμη νὰ ἴδῃ τὸν ἑαυτόν του γυμνόν. Εὑρισκόμενος δὲ εἰς ψυχικὴν ταραχὴν καὶ ταλαντευόμενος ἀπὸ τὴν αἰσχύνην, μὴ ἀποτολμῶν τὴν τοιαύτην διάβασιν τοῦ ποταμοῦ, ἔξαφνα ἀοράτως καὶ θαυμαστῶς μετεφέρθη εἰς τὴν ἀπέναντι ὄχθην, ἁρπαγείς, ὡς φαίνεται, ὑπὸ Ἁγίων Ἀγγέλων.

Β΄. Ἐν τῇ διηγήσει τῶν Ἁγίων Πατέρων τῶν ἐν Σινᾷ καὶ Ραϊθῷ ἀναιρεθέντων

ΜΕΤΑ πολλοὺς τῶν Ἁγίων ἀποκτεῖναι οἱ βάρβαροι, τὴν ἔρημον διερχόμενοι, εἶδον τόπον τινὰ χλοερὸν καὶ πολλοῖς κατάκομον δένδρεσι, καὶ εὐθὺς ὡς εἶχον τάχους ἐπ' αὐτὸν ἔτρεχον.

2. Πλησιάσαντες δέ, οἰκήματί τινι μικρῷ ἐντυγχάνουσιν, ἐν ᾧ περ ἠσκεῖτο μειράκιον, οὗ τὸ μεγαλόψυχον καὶ γενναῖον καὶ αὐτοῖς τοῖς βαρβάροις ἄξιον θαύματος ἐνομίσθη· οὔτε γὰρ ὑποδεῖξαι τούτοις λανθάνοντά τινα μοναστήρια, καὶ ταῦτα τὸν θάνατον ἐκφυγεῖν, ἠνέσχετο (τοῦτο γὰρ ἦν ὑποσχεθὲν αὐτῷ παρὰ τῶν βαρβάρων), οὔτε μὴν ἐξελθεῖν τοῦ δωματίου, οὐθ' ὅλως ἀποδύσασθαι τὸν χιτωνίσκον ὑπήκουε· τὸ μὲν μηνῦσαι τινάς, λαθεῖν δυναμένους, προδοσίαν εἰπών, τὸ δὲ ὅλως ὑπακοῦσαι προσοτιοῦν βιαζόμενον, ἀνανδρίαν εἶναι καὶ μαλακίαν ψυχῆς· τοῖς γὰρ ἀσκουμένοις τὸ μεγαλόψυχον προσεῖναι δεῖ, φησίν, καὶ οὐ θέμις εἴκειν φόβῳ, ἢ ἀπειλαῖς, κἂν μέγαν ἔχειν δοκῶσι τὸν κίνδυνον· ὁδὸς γὰρ ἡ συνήθεια ἐπὶ τὰ μείζω γίνεται, καὶ ἡ δειλία, κρατεῖν ἅπαξ μαθοῦσα, καταφρονεῖν κελεύει καὶ τῶν μεγάλων καλῶν, καὶ αὐτὴν δὲ τὴν εὐσέβειαν ὕστερον προδιδόναι, ἐπὰν ὁ τῶν δεινῶν φόβος προκατειργασμένην εὕρῃ δειλίᾳ τὴν γνώμην.

3. Εἰ γὰρ νῦν εὐκόλως, ἔφη, προήσομαι τῆς γνώμης τὸ αὐτεξούσιον, εὐλαβηθεὶς τὸ συντόμως ἀποθανεῖν, πῶς αἰκισμῶν καὶ στρεβλώσεων ἐπαπειλουμένων

οὐχὶ ῥᾷον αὐτομολήσω πρὸς τὴν ἀσέβειαν, τὸ ἀνώδυνον ἐθισθεὶς τοῦ συμφέροντος προτιμᾶν.

4. Ὅθεν τὸ τυχεῖν ὧν ἠλπίζετε ἀπειπόντες, μὴ ὀκνήσητε ποιεῖν, ὅπερ βούλεσθε· οὔτε γὰρ τόπους ἐν οἷς οἰκοῦσιν οἱ θεοφιλεῖς, καίτοι γε εἰδώς, ὑποδείξαιμι καὶ τὴν θύραν, ὑμῶν κελευόντων, οὐκ ἐξελεύσομαι, οὔτε τὸ ἱμάτιον ἀποδύσομι ἵνα μέ τις αἰσθανόμενον ἔτι καὶ τῆς προαιρέσεως ὄντα κύριον, ὄψεται γυμνόν, καὶ σῶμα κατίδοιτο τοῖς ἐμοῖς ἕως νῦν ἀθέατον ὀφθαλμοῖς· μετὰ δὲ θάνατον, εἰς ἀναισθητοῦντα λοιπόν, ἐνεργείτω πᾶν ὁτιοῦν βούλεται ἕκαστος· τῆς ὠμότητος γὰρ τῶν δρώντων, ἀλλ' οὐχὶ τῆς τοῦ πάσχοντος γνώμης ἐστὶν ἡ μέμψις.

5. Ἔνδον τοίνυν θανοῦμαι ὡς κέκρικα ἐνδεδυμένος, καὶ οὐ πράξω τι παρὰ τὴν γνώμην, προδοὺς ἐμαυτὸν ὡς ἀνδράποδον· ἐν τῷ σκάμματι, ὃ ἠγωνισάμην ἀναιρεθήσομαι μᾶλλον, καὶ τάφος ἔσται μοι τοῦτο δὴ τὸ δωμάτιον, ἱδρῶτας ἀρετῆς πρότερον καὶ νῦν ἀνδραγαθίας αἷμα δεξάμενον.

6. Οὕτως αὐτὸν παῤῥησιασάμενον οὐκ ἐνεγκόντες οἱ ἀλιτήριοι, ἀλλὰ πρὸς τὸ γενναῖον τοῦ φρονήματος ὀξύτητα κινηθέντες, τοσαύταις αὐτὸν συγκόπτουσι ταῖς πληγαῖς, ὅσαι τῷ σώματι χωρηταὶ ἦσαν· ἕκαστος γὰρ ἐναποσκύψαι τὸν θυμὸν τὸν ἴδιον εἰς αὐτὸν βουληθείς, οὐκ ἐνόμιζεν ἱκανὴν ἄμυναν τὰς τῶν προλαβόντων μαχαίρας, ἂν μὴ καὶ αὐτὸς οἰκίᾳ χειρὶ βαπτίσας τὸ ξίφος, τὴν ἀγανάκτησιν οὕτω σχοίη παραμυθήσασθαι.

7. Οἱ πλείονες οὖν νεκρὸν ἢ ζῶντα τὸν μεγαλόψυχον κατατρώσαντες, οὕτως ἀνεχώρουν, σφαδάζοντες τοῖς θυμοῖς, ὅτι μὴ πρὸς πλείονα τιμωρίαν αὐτοῖς ἐπήρκεσε τὸ σωμάτιον.

Ἑρμηνεία

ΑΦΟΥ οἱ βάρβαροι ἐφόνευσαν πολλοὺς ἐκ τῶν Ἁγίων Ἀσκητῶν καὶ διήρχοντο τὴν ἔρημον, εἶδον μίαν πρασίνην ὄασιν κατάφυτον ἀπὸ πολλὰ πυκνοφυτευμένα δένδρα. Μόλις τὴν εἶδον λοιπὸν ἀπὸ μακρὰν ἤρχισαν νὰ τρέχουν πρὸς αὐτὴν μὲ ὅσην δύναμιν ταχύτητος εἶχον.

2. Μόλις ἐπὶ τέλους κατέφθασαν, συναντοῦν τυχαίως ἕνα μικρὸν κελλίον, ἐντὸς τοῦ ὁποίου ἠσκήτευεν ἕνας νεανίσκος. Αὐτὸς λοιπὸν ὁ νεανίσκος ἐπέδειξεν ἀφάνταστον μεγαλοψυχίαν καὶ γενναιότητα, ὥστε καὶ αὐτοὶ ἀκόμη οἱ βάρβαροι νὰ καταπλαγοῦν. Ὁ μεγαλόψυχος καὶ γενναιόφρων αὐτὸς νεανίσκος δὲν ἐστέρξε νὰ ὑποδείξῃ εἰς τοὺς βαρβάρους Μοναστήρια τῆς ἐρήμου, τὰ ὁποῖα διέφυγον τὴν προσοχήν των, καίτοι τοῦ ὑπεσχέθησαν, ὅτι δὲν θὰ τὰ κατέστρεφον καὶ δὲν θὰ ἐφόνευον τοὺς Μοναχούς· ἀλλ' οὔτε καὶ ὑπήκουσεν, ἐνῷ διετάχθη παρ' αὐτῶν, νὰ ἐξέλθῃ τοῦ ἀσκητικοῦ του κελλίου, οὔτε καὶ ἐδέχθη νὰ βγάλῃ ἀπ' ἐπάνω του τὸν χιτωνίσκον, τὸ μόνον ἔνδυμα, ποὺ ἐκάλυπτε τὴν γυμνότητά του.

Ἀπαντῶν δὲ εἰς τὰς πιέσεις καὶ ἀπολογούμενος διὰ τὴν ἄρνησίν του ἔλεγεν ὁ νεανίσκος αὐτός: Τὸ νὰ φανερώσω μερικούς, οἱ ὁποῖοι δύνανται νὰ ἀποκρυβοῦν, εἶναι προδοσία· τὸ δὲ νὰ ὑποκύψω καὶ ἐπ' ἐλάχιστον εἰς οἱονδήποτε ἐκβιασμόν, χωρὶς ἀντίστασιν, τοῦτο εἶναι ἀνανδρία καὶ ἀδυναμία ψυχῆς. Διότι, ὅπως λέγουν, ἡ μεγαλοψυχία πρέπει νὰ εἶναι γνώρισμα καὶ ἰδιότης τοῦ Ἀσκητοῦ, ὁ ὁποῖος δὲν εἶ-

ναι σωστὸν νὰ τρομάζῃ ἀπὸ τὸν φόβον καὶ τὰς ἀπειλάς, ὁσοσδήποτε σοβαρὸς κίνδυνος καὶ ἐὰν τὸν ἀπειλῇ. Ἡ συνήθεια τῆς ὑποχωρήσεως πρὸ τοῦ φόβου καὶ τῶν ἀπειλῶν εἶναι ἡ ὁδὸς ποὺ ὁδηγεῖ ἀσφαλῶς καὶ εἰς μεγαλυτέρας πτώσεις· ἡ δὲ δειλία, ἐφ' ὅσον, ἔστω καὶ διὰ μίαν φοράν, ἐπεβλήθη ἐπὶ τῆς ψυχῆς, τότε τὴν διατάσσει νὰ περιφρονῇ καὶ μεγάλας ἀρετάς, τέλος δὲ νὰ προδίδῃ καὶ αὐτὴν ἀκόμη τὴν εὐσέβειαν, εὐθὺς ὡς ὁ φόβος περὶ τῶν ἐπερχομένων, δῆθεν, φοβερῶν συνεπειῶν εὕρῃ τὴν προαίρεσιν τοῦ ἀνθρώπου νὰ ἔχῃ τελείως ἐκ τῶν προτέρων ἐξασθενήσει ἀπὸ τὸ πνεῦμα τῆς δειλίας.

3. Ἐὰν χάσω λοιπόν, ἐσκέφθη ὁ νεανίσκος, τόσον εὐκόλως τὴν δυνατότητα νὰ ἐξουσιάζῃ ἡ ψυχή μου τὰς σκέψεις μου, φοβούμενος μήπως φονευθῶ, δὲν θὰ εἶναι ἑπόμενον πλέον εὐκόλως νὰ λιποτακτήσω πρὸς τὴν ἀσέβειαν, ὅταν ὑπάρχῃ ἡ ἀπειλὴ τῶν σωματικῶν μαρτυρίων, συνηθισμένος νὰ προτιμῶ τὰ ἀνώδυνα καὶ ὄχι τὸ συμφέρον τῆς ψυχῆς μου;

4. Δι' αὐτὸ (εἶπεν ἀπευθυνόμενος πρὸς τοὺς βαρβάρους ὁ νεανίσκος) μὴ βραδύνετε νὰ κάμετε αὐτὸ ποὺ θέλετε, ἐφ' ὅσον δὲν ὑπάρχει περίπτωσις νὰ ἐπιτύχητε αὐτό, ποὺ ἐλπίζετε· διότι ἐγὼ δὲν πρόκειται νὰ σᾶς ὑποδείξω τοὺς τόπους, ποὺ κατοικοῦν οἱ θεοφιλεῖς Ἀσκηταί, ἂν καὶ τοὺς γνωρίζω, οὔτε θὰ ἐξέλθω τοῦ κελλίου μου, ἔστω καὶ ἂν μὲ διατάσσετε ἀπειλητικῶς, ἀλλ' οὔτε καὶ τὸ ἔνδυμά μου θὰ ἀποβάλω διὰ νὰ ἴδητε γυμνὸν τὸ σῶμα, ποὺ μέχρι σήμερον εἶναι ἀθέατον καὶ εἰς τοὺς ἰδίους μου ὀφθαλμούς, ἐφ' ὅσον διατηρῶ εἰσέτι τὰς αἰσθήσεις μου καὶ εἶμαι ἀκόμη κύριος τοῦ ἑαυτοῦ μου. Ὅταν πλέον ἀποθάνω, τότε καθεὶς ἀπὸ σᾶς ἂς κάμῃ ὅ,τι θέλει εἰς τὸ νεκρὸν καὶ ἀναίσθητον σῶμά μου· διότι τότε ἄξιοι κατηγορίας θὰ εἶναι οἱ δράσται διὰ τὴν ὠμότητά των καὶ ὄχι ὁ πάσχων, διότι ὡς νεκρὸς δὲν θὰ ἔχῃ ἐλευθέραν γνώμην.

5. Ἐντὸς τοῦ κελλίου μου λοιπὸν θὰ ἀποθάνω ἐνδεδυμένος, ὅπως ἐλευθέρως ἔχω ἀποφασίσει, καὶ δὲν θὰ κάμω τίποτε ἀντίθετον πρὸς τὴν ἐλευθέραν μου αὐτὴν ἀπόφασιν, παραδιδόμενος ὡς δοῦλος. Εἰς αὐτὸ ἐδῶ τὸ χαράκωμα, ἀπὸ τοῦ ὁποίου ἐπολέμησα ἐναντίον τοῦ διαβόλου, προτιμῶ νὰ ἀποθάνω καὶ τὸ κελλίον αὐτὸ πρέπει νὰ ἀποβῇ τάφος μου, δεχθὲν ἀρχικῶς μὲν τοὺς ἱδρῶτας διὰ τὸν ἀγῶνα τῆς ἀρετῆς καὶ τώρα τὸ αἷμα τοῦ μαρτυρίου.

6. Τὸ θάρρος αὐτό, μὲ τὸ ὁποῖον ὡμίλησεν ὁ νεανίσκος, δὲν τὸ ὑπέφεραν οἱ ἀλιτήριοι αὐτοὶ κακοποιοί· ἀλλὰ ἐξοργισθέντες ἀπὸ τὴν γενναιότητα τοῦ φρονήματός του καταπληγώνουν τὸ σῶμά του μὲ τόσα τραύματα, ὅσα ἠδύνατο νὰ χωρέσῃ αὐτό· διότι ὁ καθεὶς ἐξ αὐτῶν ἐπιθυμῶν καὶ ὁ ἴδιος νὰ ἐξακοντίσῃ ἐπάνω εἰς τὸ ἀσκητικὸν αὐτὸ σῶμα τὸν θυμόν του δὲν ἱκανοποιεῖτο ἀπὸ τὰ κατ' αὐτοῦ μαχαιρώματα τῶν προηγουμένων, ἐὰν ὁ ἴδιος δὲν κατεβύθιζε τὸ ξίφος του εἰς τὸν αἱμόφυρτον νεανίσκον καταπραΰνων τοιουτοτρόπως τὴν ἀγανάκτησίν του.

7. Οἱ περισσότεροι λοιπὸν ἀνεχώρησαν, ἀφοῦ προηγουμένως κατεπλήγωσαν τὸν μεγαλόψυχον νεανίσκον καὶ ζῶντα καὶ νεκρὸν ἀκόμη, ἀφρίζοντες ἀπὸ τὸν θυμόν των, διότι τὸ ἀσθενικὸν αὐτὸ σωματάκι δὲν τοὺς ἔφθασε διὰ μεγαλυτέρας τιμωρίας.

Γ.' Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωαννικίου τοῦ Μεγάλου

ΠΑΡΕΒΑΛΕ ποτε τῷ θαυμαστῷ Ἰωαννικίῳ Εὐστράτιος, ὁ τῆς Ἀγαύρων Μονῆς Ἡγούμενος, μετὰ καί τινων ἑτέρων, καὶ καιρὸς αὐτοῖς ἐν τῇ ὁμιλίᾳ ἐτρίβη· ἀνὴρ δέ τις, Ἠλίας τοὔνομα, ἐκ γειτόνων, ἀσκούμενος τῷ Ἁγίῳ, αὐτόν τε τὸν μέγαν καὶ τοὺς συνεληλυθότας σὺν Εὐστρατίῳ εἱστία.

2. Ὁ δέ γε θεῖος Ἰωαννίκιος ματαιότητα τοῦ βίου κατηγορῶν, καὶ τοῖς λόγοις ὑποφαίνων τὸ ἄστατον αὐτοῦ τε καὶ ἄπιστον, κοινῶς μακρύνειν ἐκέλευε τῶν πόλεων καὶ χωρίων, Ἠλίᾳ γε μᾶλλον τῶν ἄλλων προσῆκεν, εἶπε, τοῦτο ποιεῖν· καὶ οὗτος, θάρσει, ἔφη, τὸ ἐπὶ τοῦτο, Πάτερ Ἰωαννίκιε, καὶ πλείονά γε πρὸς τοῦτο πίστιν παρεῖχε τὸ ἐν τοῖς προλαβοῦσιν ἔτεσι πλείοσιν ἐρημικόν τε αὐτοῦ καὶ ἄμικτον.

3. Μία τοιγαροῦν ἡμέρα ἐπὶ τῇ ἑτέρᾳ ἤγετο, ἀφ' οὗ ταῦτα τῷ Ἁγίῳ ἐλέχθη, καὶ ὁ Μοναχὸς Ἠλίας ἐκεῖνος αὐτῷ προσελθών, εὐχὴν ἐζητεῖτο, ἐφ' ᾧ διὰ νόσον αὐτῷ ἐπισκήψασαν, ἔν τινι τῶν ἀναδιδόντων χωρίων θερμὰ ὕδατα παραγενέσθαι· ἐπεὶ δὲ ὁ μὲν οὐκ ἐβούλετο, ὁ δὲ ἐπέκειτο, καὶ τέλος τῇ τοῦ ἀδελφοῦ ἀσθενείᾳ συγκαταβὰς ὁ Ἅγιος ἐξέπεμπε τοῦτον.

4. Σχεδὸν οὐδὲ τῇ τῶν θερμῶν ὑδάτων ἐπιφανείᾳ ὑπέμεινε πλησιάσαι, καὶ λιποψυχήσας, καὶ παρὰ τῶν ἐκεῖ τυχόντων ἀρθείς, ἔν τινί τε τῶν πρὸς τῷ ὄρει κελλίων κατακλιθείς, περὶ μέσας νύκτας τὴν ἐντεῦθεν ἐκδημίαν ἐστείλατο, τοσοῦτον τοῖς προτέροις αὐτοῦ τῆς ἀσκήσεως πόνοις χάριν εἰδώς, ὅσον ἐπὶ τῷ τελευταίῳ τούτῳ μετεμέλετο λογισμῷ, ὅτι περ ὅλως ὑπῆρξε θεραπείᾳ σώματος.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἡγούμενος τῆς Μονῆς Ἀγαύρων Εὐστράτιος, συνοδευόμενος ἀπὸ μερικοὺς φίλους, ἐπεσκέφθη τὸν θαυμαστὸν Ἰωαννίκιον, καὶ κατηνάλωσαν ἀρκετὸν καιρὸν εἰς τὴν πνευματικὴν αὐτὴν συνομιλίαν. Κάποιος δὲ γειτονικὸς τοῦ Ἁγίου Ἀσκητής, ὀνομαζόμενος Ἠλίας, ἐφιλοξένει εἰς τὸ κελλίον του καὶ τὸν Ἅγιον καὶ τὸν Ἡγούμενον καὶ τὴν συνοδείαν των.

2. Ἐν τῷ μεταξὺ ὁ Ἅγιος Ἰωαννίκιος κατηγόρει τὴν ματαιότητα τοῦ βίου καὶ διὰ παραστατικῶν λόγων ἔδειχνεν, ὅτι οὗτος εἶναι ἄστατος καὶ δὲν δύναται κανεὶς νὰ τοῦ ἔχῃ ἐμπιστοσύνην· διὰ τοῦτο συνεβούλευε τοὺς ἀκροατάς του νὰ ἀπομακρύνωνται ἀπὸ τὰς πόλεις καὶ τὰ χωρία. Τὴν σύστασιν αὐτήν, ὡς εἶπε, περισσότερον τῶν ἄλλων ὀφείλει νὰ προσέξῃ καὶ νὰ ἐκτελέσῃ ὁ Ἠλίας.

Εἰς τὴν παρατήρησιν αὐτὴν ὁ Ἀσκητὴς Ἠλίας ἀπήντησεν:

— Εἰς τὸ σημεῖον αὐτὸ μὴ μὲ φοβῆσαι, Πάτερ Ἰωαννίκιε· ἄλλωστε δύνασαι νὰ βεβαιωθῇς περὶ τούτου ἐκ τοῦ γεγονότος, ὅτι ἐπὶ τόσα ἔτη, ποὺ παρῆλθον, παρέμεινα συνεχῶς εἰς τὴν ἔρημον καὶ ἀπέ-

φυγα νὰ κατέλθω εἰς πόλεις καὶ νὰ συναναστραφῶ μετὰ κοσμικῶν ἀνθρώπων.

3. Ἀλλ' ἰδού! Μίαν ἀκριβῶς ἡμέραν μετὰ τὸν προφητικὸν ὑπαινιγμὸν τοῦ Ἁγίου Ἰωαννικίου περὶ ἐπικειμένης ἀναχωρήσεως τοῦ Ἠλία, παρουσιάζεται ὁ δεύτερος εἰς τὸν πρῶτον καὶ ζητεῖ εὐχήν, διὰ νὰ μεταβῇ εἰς χωρίον μὲ ἰαματικὰ θερμὰ ὕδατα, διότι ἀπροσδοκήτως προσεβλήθη ἀπὸ νόσον. Ὁ Ἅγιος ἠρνεῖτο ἐκ φόβου πνευματικῆς ζημίας τοῦ Ἠλία· οὗτος ὅμως ἐπέμενεν ἐπιθυμῶν νὰ θεραπευθῇ. Τέλος εὐσπλαγχνιζόμενος ὁ Ἅγιος Ἰωαννίκιος τὸν Ἠλίαν διὰ τὴν ἀσθένειάν του τοῦ χορηγεῖ τὴν ἄδειαν.

4. Ἀλλ' ὅμως ὁ Ἠλίας, καίτοι μὲ τὴν ἄδειαν τοῦ Γέροντος ἀνεχώρησεν, ἐν τούτοις δὲν ἐπρόφθασεν οὔτε τὴν ἐπιφάνειαν τῶν ἰαματικῶν ὑδάτων νὰ ἀντικρύσῃ, διότι ἐλιποθύμησε, προφανῶς ἐκ τῆς ἐσωτερικῆς ταραχῆς. Ἀφοῦ δὲ ἐδέχθη τὰς περιποιήσεις τῶν παρατυχόντων καὶ συνῆλθεν ὀλίγον, μετεφέρθη ὑπὸ τούτων εἰς ἕνα ἐκ τῶν μοναχικῶν κελλίων, ποὺ εὑρίσκοντο πλησίον τοῦ ὄρους, ὅπου καὶ ἀνεπαύθη. Κατὰ δὲ τὰ μεσάνυκτα ἀνεχώρησεν ἐξ αὐτοῦ τοῦ κελλίου εἰς τὴν ἔρημον, αἰσθανόμενος εὐγνωμοσύνην εἰς τὸν Θεὸν διὰ τοὺς προηγουμένους κόπους τῆς ἀσκήσεως, τῶν ὁποίων ἡ ἀνάμνησις καὶ ἡ δύναμις τὸν ἐβοήθησαν νὰ ἀλλάξῃ γνώμην καὶ νὰ μὴ ἐγκαταλείψῃ τὴν ἔρημον, ἔστω καὶ διὰ θεραπείαν. Καί, ὢ τοῦ θαύματος! ἡ εὐχάριστος αὐτὴ ψυχικὴ μεταστροφὴ τοῦ προσέφερε καὶ τὴν σωματικὴν θεραπείαν.

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ


ΟΥ ΔΕΙ τὸν Μοναχὸν νίπτεσθαι τὸ σῶμα ἐμπαθῶς ἢ τοὺς πόδας καθάπερ οἱ φιλήδονοι· ὥσπερ γὰρ ἐκεῖνοι διὰ τῆς τοῦ σώματος φιλοκαλίας καὶ τῶν ἱματίων ἀγρεύουσι τὰς ἡδονάς, οὕτως ὁ εὐσεβείας ἀγωνιστὴς διὰ τῶν ἐναντίων τοῖς ἐναντίοις ἀντιπαρατάσσεται.

Ἑρμηνεία

ΔΕΝ πρέπει ὁ Μοναχὸς νὰ πλύνῃ τὸ σῶμα ἢ τοὺς πόδας του ἡδυπαθῶς, ὅπως κάνουν οἱ φιλήδονοι κοσμικοί· διότι ὅπως ἀκριβῶς ἐκεῖνοι οἱ φιλήδονοι ἐπιδιώκουν τὰς ἡδονὰς διὰ τοῦ καλλωπισμοῦ τοῦ σώματος καὶ τῆς λαμπρότητος τῶν ἱματίων, ἀντιστρόφως καὶ ὁ ἀγωνιστὴς τῆς εὐσεβείας ὀφείλει νὰ πολεμῇ τὰ ἀντίθετα πρὸς τὸν σκοπόν του, δηλαδὴ τὰς ἡδονάς, μὲ τὰ ἐναντία, δηλαδὴ τὴν περιφρόνησιν τοῦ σώματος καὶ τοῦ ἱματίου.

Ε'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ παραβάλῃς εἰς ἀδελφόν, καὶ κοπιάσῃς ἐν τῇ ὁδῷ, καὶ θέλῃς μικρὸν ἔλαιον ἀλείψασθαι διὰ τὸν κόπον τῆς ὁδοῦ, τοὺς πόδας σου μόνον ποίησον ἀλειφθῆναι, αἰδούμενος ἀποκαλύψαι αὐτούς, τὸ δὲ σῶμά σου μὴ ἐάσῃς ἀλεῖψαι ἐλαίῳ, ἐκτὸς ἀνάγκης ἢ ἀσθενείας.


Ὁ ἅγιος
Ἰωαννίκιος
ὁ Μέγας
ΤΟ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

2. Ἐὰν δὲ καθημένου σου ἐν τῷ κελλίῳ ἔλθῃ ἀδελφὸς ξένος πρὸς σέ, ποίησον αὐτῷ καὶ σὺ ὁμοίως, τοὺς πόδας αὐτοῦ ἄλειψον, καὶ εἰπὲ αὐτῷ· ποίησον ἀγάπην καὶ λάβε μικρὸν ἔλαιον, καὶ βάλε ἐντός σου.

3. Ἐὰν δὲ μὴ θελήσῃ λαβεῖν μετὰ ἀναπαύσεως, μὴ κοπώσῃς αὐτόν· ἐὰν δὲ ἔστι γέρων πρακτικός, βίασαι αὐτόν, ἕως οὗ ἀλείψῃς αὐτὸν ὅλον.

Ἑρμηνεία

ΕΑΝ ἐπισκεφθῇς ἀδελφὸν καὶ λόγῳ τῆς ὁδοιπορίας κοπιάσῃς, μὲ ὀλίγον μόνον ἔλαιον νὰ ἀλείψῃς τοὺς πόδας σου, διὰ νὰ συνέλθῃς κάπως ἐκ τοῦ κόπου· καὶ τότε ἀκόμη, συστελλόμενος ἀπὸ ἐντροπὴν νὰ γυμνώσῃς τοὺς πόδας σου ἐνώπιον ἄλλων. Τὸ δὲ σῶμά σου νὰ μὴ τὸ ἀλείψῃς μὲ ἔλαιον, ἐκτὸς ἐὰν εἶναι σοβαρὰ ἀνάγκη ἢ ἀσθένεια.

2. Ἐὰν πάλιν εὑρίσκεσαι εἰς τὸ κελλίον σου καὶ σὲ ἐπισκεφθῇ ἀδελφὸς ἀπὸ ξένον μέρος νὰ τὸν περιποιηθῇς ἀναλόγως, δηλαδὴ ἀλείφων τοὺς πόδας του μὲ ἔλαιον καὶ προσφέρων εἰς αὐτὸν μικρὰν ποσότητα, προτρέπων αὐτὸν δι' ἀδελφικῶν συστάσεων, νὰ ἀλείψῃ καὶ τὸ σῶμα του, εἰσερχόμενος εἰς ἰδιαίτερον μέρος.

3. Ἐὰν ὁ φιλοξενούμενος ἀπὸ σὲ ἀδελφὸς δὲν δεχθῇ ἀμέσως τὴν προσφοράν σου αὐτήν, μὴ γίνῃς φορτικός. Μόνον ἐὰν ὁ ξένος σου εἶναι Γέρων ἁπλοῦς, καὶ ἀσχολεῖται μὲ τὴν πρακτικήν, ὥστε νὰ μὴ ὑπάρχῃ φόβος νὰ σκανδαλισθῇ ἀπὸ τὴν ἐπιμονήν σου, νὰ ἐπιμείνῃς νὰ ἀλείψῃς ὅλον του τὸ σῶμα, διὰ νὰ ἀναπαυθῇ ἐκ τοῦ κόπου.

ς'. Τοῦ Ἁγίου Διαδόχου

ΤΟ ΛΟΥΤΡΩ παραβάλλειν οὐκ ἄν τις ἁμαρτωλὸν ἢ παράλογον ἀποφαίνοιτο· τὸ δὲ δι' ἐγκρατείας καὶ τούτου ἀπέχεσθαι, καὶ ἀνδρεῖον λέγω, καὶ σωφρονέστατον· οὔτε γὰρ τὸ σῶμα ἐκθηλύνει ἡ ἐνήδονος ἐκείνη ὑγρασία, οὔτε μὴν εἰς γυμνότητος ὑπόμνησιν τοῦ Ἀδὰμ τῆς ἀδόξου ἐρχόμεθα, ἵνα καὶ τῶν ἐκείνου φύλλων εἰς τὸ σκεπάσαι τὴν δευτέραν τῆς αἰσχύνης φροντίσωμεν πρόφασιν, εἴτε μάλιστα ἀπὸ τῆς τοῦ βίου ἐξωλείας πρὸ μικροῦ ἐκδύσαντες ἁγνείᾳ τοῦ ἑαυτῶν σώματος τῷ κάλλει τῆς σωφροσύνης ἑνωθῆναι ὀφείλομεν.

Ἑρμηνεία

Η ΕΠΙΣΚΕΨΙΣ τοῦ λουτροῦ, διὰ νὰ λουσθῶμεν, δὲν θὰ ἠδύνατο νὰ χαρακτηρισθῇ, ἐκ πρώτης ὄψεως, ὡς ἐντελῶς ἁμαρτωλὸν ἢ παράλογον πρᾶγμα· τὸ νὰ ἀπέχωμεν ὅμως αὐτοῦ δι' ἐγκράτειαν, ἔχω τὴν γνώμην, ὅτι τὸ τοιοῦτον εἶναι καὶ ἀνδρεῖον καὶ σωφρονέστατον· διότι οὔτε τὸ σῶμα καθιστᾷ θηλυπρεπὲς ἡ προκαλοῦσα ἡδονὴν ὑγρολουσία, ἀλλ' οὔτε ὅμως ἡ διὰ τὸ λουτρὸν γύμνωσις μᾶς ὑπενθυμίζει τὴν ἄδοξον γυμνότητα τοῦ Ἀδάμ, εἰς τὴν ὁποίαν περιέπεσε λόγῳ τῆς παραβάσεως, ὥστε, τοὐλάχιστον, νὰ φροντίσωμεν, ὅπως ἐκεῖνος, νὰ σκεπάσωμεν καὶ ἡμεῖς μὲ φύλλα σωφροσύνης τὴν δευτέραν πρόφασιν

τῆς αἰσχύνης μας, ἐφ' ὅσον μάλιστα ὀφείλομεν νὰ συνενώσωμεν τὴν ἁγνείαν τοῦ σώματος μὲ τὸ κάλλος τῆς σωφροσύνης, ἀφοῦ πρὸ ὀλίγου μόλις ἐξήλθομεν τῆς διαφθορᾶς τοῦ κόσμου.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ ἡμῖν ὁ Ἀββᾶς Παλλάδιος, ὅτι ποτέ, φησιν, εἰσελθὼν εἰς Ἀλεξάνδρειαν σὺν τῷ Ἀββᾷ Δανιὴλ διά τινα χρείαν, συνηντήσαμέν τινι νεωτέρῳ ἐξιόντι ἀπὸ βαλανείου· ἦν δὲ λουσάμενος. Καὶ ἰδὼν αὐτὸν ὁ Γέρων ἐστέναξε, καὶ λέγει μοι· ὁρᾷς τοῦτον τὸν ἀδελφόν; βλασφημηθῆναι ἔχει τὸ ὄνομα τοῦ Θεοῦ δι' αὐτοῦ. Ἀλλὰ ἀκολουθήσωμεν αὐτῷ, ὅπως ἴδωμεν αὐτὸν ποῦ μένει.

2. Καὶ ἀκολουθήσαντες εἰσήλθομεν ὀπίσω αὐτοῦ· καὶ λαβὼν αὐτὸν ὁ Γέρων κατ' ἰδίαν λέγει· ἀδελφέ, νεώτερον ὄντα σε καὶ ὑγιῆ, οὐ πρέπει λούεσθαι· πέπεισο γάρ, τέκνον, ὅτι πολλοὺς σκανδαλίζεις, οὐ μόνον κοσμικούς, ἀλλὰ καὶ Μοναχούς· ἀπεκρίθη ἐκεῖνος τῷ Γέροντι· «Εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην»· ἀλλὰ γέγραπται· «Μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε». Τότε βάλλει αὐτῷ ὁ Γέρων μετάνοιαν λέγων· συγχώρησόν μοι διὰ τὸν Κύριον, ὅτι ὡς ἄνθρωπος ἐσφάλην. Καὶ ἐξήλθομεν ἐξ αὐτοῦ, καὶ λέγω τῷ Γέροντι· μήπως ἀσθενής ἐστιν ὁ ἀδελφός, καὶ οὐκ ἔχει κρῖμα;

3. Ὁ δὲ Γέρων στενάξας καὶ δακρύσας ἔφη· πληροφορήσει σε ἡ ἀλήθεια, ἀδελφέ, πλείονας τῶν πεντήκοντα δαιμόνων εἶδον κυκλοῦντας καὶ ἐπιχέοντας αὐτῷ βόρβορον, καὶ αἰθιόπισσαν καθημένην ἐπὶ τῶν ὤμων αὐτοῦ καὶ καταφιλοῦσαν αὐτόν, καὶ ἄλλην αἰθιόπισσαν ἔμπροσθεν αὐτοῦ κοσσίζουσαν αὐτόν, καὶ ἀναισχυντίαν διδάσκουσαν, καὶ τοὺς δαίμονας κύκλῳ παρεπομένους καὶ χαίροντας ἐπ' αὐτῷ· τὸν δὲ Ἅγιον Ἄγγελον οὐκ εἶδον, οὔτε πλησίον, οὔτε πόῤῥω αὐτοῦ· ὅθεν τεκμαίρομαι, πάσης αἰσχρουργίας πεπληρῶσθαι αὐτόν.

4. Μαρτυροῦσι δὲ τῷ λεγομένῳ καὶ αὐτὰ τὰ ἱμάτια αὐτοῦ, αἴγεια καὶ μαλακὰ καὶ δίμιτα ὄντα· ἔτι δὲ καὶ τὸ οὕτως ἀναισχύντως ἐν μέσῳ ταύτης τῆς πόλεως ἀναστρέφεσθαι, ἐν ᾗ καὶ οἱ ἐν τῇ ἀσκήσει γηράσαντες εἰσερχόμενοι διὰ χρείας ἀπαραιτήτους, παρ' αὐτὰ σπουδάζουσιν ἐξελθεῖν, ἵνα μή τινα βλάβην ψυχικὴν ὑπομείνωσιν.

5. Ἄλλως τε καὶ εἰ μὴ φίλαυτος ἦν καὶ φιλήδονος καὶ φιλόπορνος οὗτος, οὐκ ἂν ἀνερυθριάστως ἑαυτόν τε ἐγύμνου ἐν βαλανείῳ, καὶ ἑτέρους ὁμοίως γυμνοὺς ἐθεώρει, τῶν Ἁγίων Πατέρων ἡμῶν Ἀντωνίου καὶ Παχωμίου, Ἀμμοῦν τε καὶ Σεραπίωνος καὶ τῶν λοιπῶν θεοφόρων Πατέρων θεσπισάντων, ἵνα μηδεὶς τῶν Μοναχῶν ἄνευ μεγάλης ἀῤῥωστίας καὶ ἀνάγκης γυμνοῖ ἑαυτόν· καὶ αὐτοὶ γὰρ διά τινας ἀναγκαίας χρείας ποταμοὺς περάσαι βουλόμενοι καὶ πορθμείου μὴ ὄντος, γυμνωθῆναι μὴ ἀνεχόμενοι, διὰ τὸ αἰδεῖσθαι τὸν παραπεμπόμενον αὐτοῖς Ἅγιον Ἄγγελον, καὶ τὸν φωτίζοντα ἥλιον, καίτοι ὑπὸ ἀνθρώπου μὴ θεωρούμενοι, τὸν Θεὸν ἐδυσώπουν καὶ ὑπὸ τὸν αἰθέρα διέβαινον, τοῦ φιλανθρώπου καὶ παντοδυνάμου Θεοῦ τὴν δικαίαν αὐτῶν καὶ εὐλαβείας γέμουσαν αἴτησιν ἑτοίμως προσδεχομένου, καὶ παραδόξως ἐκπληροῦντος, καὶ εἰς ἔργον ἀνύοντος. Ταῦτά μοι εἰπὼν ὁ Γέρων, ἡσύχασεν.

6. Ὑποστρεψάντων δὲ ἡμῶν εἰς σκῆτιν, οὐ πολλαὶ διῆλθον ἡμέραι καὶ ἐλθόντες οἱ ἀδελφοὶ ἀπὸ Ἀλεξανδρείας διηγήσαντο, ὅτι ὁ ἀδελφὸς ὁ δεῖνα ὁ Πρεσβύτερος (εἶχε γὰρ καὶ χειροτονίαν), ὁ ἐν τῷ ναῷ τοῦ Ἁγίου Ἰσιδώρου καθήμενος, ὁ πρὸ μικροῦ ἐλθὼν ἀπὸ Κωνσταντίνου (ἦν δὲ οὗτος περὶ οὗ εἶπεν ὁ Γέρων), εὑρέθη μοιχεύων τὴν γυναῖκα τοῦ Σελενταρείου, καὶ κρατηθεὶς ὑπὸ τῶν δούλων αὐτοῦ καὶ γειτόνων ἀπετμήθη τοὺς δύο διδύμους αὐτοῦ σὺν τῷ μορίῳ

τοῦ σώματος, καὶ μετὰ τὴν ἐκτομὴν ἐπιζήσας τρεῖς ἡμέρας ἐτελεύτησε, γεγονὼς πᾶσι τοῖς Μοναχοῖς αἰσχύνη καὶ ὄνειδος.

7. Ἐγὼ δὲ ἀκούσας, ἀναστὰς ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Δανιὴλ καὶ διηγησάμην αὐτῷ τὰ συμβάντα· καὶ ἀκούσας ὁ Γέρων ἐδάκρυσε καὶ εἶπε· παίδευσις ὑπερηφάνῳ πτῶμα· δηλοῖ δὲ ὁ Γέρων, ὡς εἰ μὴ ὑπερηφανίαν ἐκεῖνος νοσῶν τὴν συμβουλὴν αὐτοῦ κατεδέξατο, οὐκ ἂν τὸ τοιοῦτον ὑπέστη, δι' οὗ καὶ οἱ λοιποὶ παιδευθήσονται ὑπερήφανοι τῷ ἐκείνου πτώματι τὸν τοιοῦτον κρημνὸν ἐκκλίνειν ἐκδιδασκόμενοι.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Παλλάδιος διηγήθη κάποτε εἰς ἡμᾶς τὸ ἑξῆς περιστατικόν· «Κάποτε μετέβημεν εἰς Ἀλεξάνδρειαν μαζὶ μὲ τὸν Ἀββᾶν Δανιὴλ διὰ μίαν σοβαρὰν ἀνάγκην. Διερχόμενοι διὰ τῶν ὁδῶν τῆς Ἀλεξανδρείας συνηντήσαμεν ἕνα νέον Μοναχόν, ὅστις ἐξήρχετο ἀπὸ δημόσιον λουτρόν, ὅπου προηγουμένως, φαίνεται, εἶχε λουσθῆ. Μόλις τὸν εἶδεν ὁ Γέρων ἀνεστέναξε καὶ μοῦ λέγει· βλέπεις αὐτὸν τὸν εὐλογημένον; θὰ γίνῃ ἀφορμὴ νὰ βλασφημηθῇ τὸ ὄνομα τοῦ Θεοῦ! Ἄς τὸν παρακολουθήσωμεν, διὰ νὰ ἴδωμεν ποῦ μένει.

2. Πράγματι λοιπὸν τὸν ἠκολουθήσαμεν. Μόλις ἐφθάσαμεν εἰς τὸ κατάλυμά του, τὸν παραλαμβάνει ἰδιαιτέρως ὁ Γέρων, διὰ νὰ τὸν συμβουλεύσῃ. Πρόσεξε, ἀδελφέ μου — τοῦ λέγει — ἐπειδὴ εἶσαι νεώτερος καὶ φαίνεσαι καὶ ὑγιὴς δὲν πρέπει νὰ λούεσαι, διότι τοιουτοτρόπως γίνεσαι ἀφορμὴ νὰ σκανδαλίζωνται πολλοὶ ὄχι μόνον ἐκ τῶν κοσμικῶν, ἀλλὰ καὶ ἐκ τῶν Μοναχῶν. Τότε ἐκεῖνος ἀπαντᾷ εἰς τὸν Γέροντα. Ἐὰν ἀκόμη ἐπεδίωκον νὰ εἶμαι ἀρεστὸς εἰς τοὺς ἀνθρώπους, δὲν θὰ ἤμουν φίλος τοῦ Χριστοῦ· «Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην» (Γαλ. α´, 10). Ἔχει δὲ γραφῆ — συνέχισεν ὁ εὐλογημένος ἐκεῖνος νέος—ὅτι δὲν πρέπει νὰ κρίνετε, διὰ νὰ μὴ κριθῆτε. «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε» (Ματθ. ζ´, 1). Ὁ Γέρων τότε λυπούμενος ἔβαλε μετάνοιαν λέγων· «Διὰ τὴν ἀγάπην τοῦ Κυρίου συγχώρησόν με, διότι ὡς ἄνθρωπος ἔσφαλα ἐλέγξας σε». Ἀμέσως δὲ ἐξήλθομεν τοῦ δωματίου. Καθ' ὁδὸν λέγω εἰς τὸν Γέροντα· «Μήπως, Γέροντά μου, εἶναι ἀσθενὴς ὁ ἀδελφὸς καὶ λούεται διὰ λόγους θεραπευτικούς, ὁπότε δὲν ἔχει εὐθύνην;»

3. Ὁ Γέρων τότε ἀνεστέναξε καὶ δακρυσμένος μοῦ ἀπήντησεν· «Ἔχε ὑπομονὴν καὶ θὰ σὲ πληροφορήσῃ ἡ ἀλήθεια, ἀδελφέ μου· εἶδον νὰ τὸν κυκλώνουν περισσότεροι ἀπὸ πεντήκοντα δαίμονες καὶ νὰ ρίχνουν ἐπάνω του βόρβορον· μία δὲ ἀραπίνα ἐκάθητο ἐπάνω εἰς τοὺς ὤμους του καὶ τὸν κατεφίλει· ἄλλη δέ, ἐπίσης ἀραπίνα, ἀπὸ ἐμπρὸς νὰ τὸν προκαλῇ φιληδόνως καὶ νὰ τὸν διδάσκῃ νὰ εἶναι ἀδιάντροπος. Οἱ δαίμονες ἐχόρευον γύρω του χαρούμενοι καὶ ἀλαλάζοντες. Τὸν Ἅγιον Ἄγγελον δὲν τὸν εἶδον οὔτε πλησίον, οὔτε μακρὰν αὐτοῦ. Δι' αὐτὸ συμπεραίνω, ὅτι ἡ ψυχὴ τοῦ νέου αὐτοῦ ἔχει γεμίσει ἀπὸ αἰσχροὺς λογισμοὺς καὶ εἶναι ἱκανὸς διὰ πᾶσαν ἀθεμιτουργίαν.

4. Τὰς σκέψεις μου αὐτὰς ἐπιβεβαιοῦν καὶ αὐτὰ τὰ ἐνδύματά του,

τὰ ὁποῖα εἶναι πολυτελῆ, ἐλαφρά, ἀπὸ τρίχας αἰγὸς καὶ ἀπὸ λεπτὰ ὑφάσματα. Ἐπὶ πλέον δὲ καὶ ὁ ἴδιος κυκλοφορεῖ ἀδιάντροπα μέσα εἰς αὐτὴν τὴν πόλιν, εἰς τὴν ὁποίαν καὶ αὐτοὶ οἱ γέροντες Ἀσκηταί, ὅταν εἰσέρχωνται διὰ σοβαράς των ἀνάγκας, βιάζονται ἀμέσως νὰ ἐξέλθουν, διὰ νὰ μὴ ὑποστῶσι καμμίαν ψυχικὴν βλάβην.

5. Ἄλλωστε ἐὰν δὲν ἦτο πράγματι φίλαυτος, φιλήδονος καὶ ρέπων πρὸς τὰ πορνικὰ ἁμαρτήματα, δὲν θὰ ἀπεγυμνοῦτο, χωρὶς νὰ κοκκινίζῃ, εἰς τὰ δημόσια λουτρὰ καὶ νὰ βλέπῃ τοὺς ἄλλους νὰ ἀπογυμνοῦνται, κατὰ παράβασιν τῶν νόμων, ποὺ ἐθέσπισαν οἱ Ἅγιοι Πατέρες ἡμῶν Ἀντώνιος, Παχώμιος, Ἀμμοῦν, Σεραπίων καὶ οἱ λοιποὶ θεοφόροι Πατέρες, νὰ μὴ ἀπογυμνοῦται ὁ Μοναχὸς χωρὶς μεγάλην ἀσθένειαν ἢ μεγάλην ἀνάγκην· οὗτοι, καθὼς διηγοῦνται οἱ παλαιότεροι, ὅταν ἐπρόκειτο νὰ περάσουν ποταμὸν καὶ ἐβιάζοντο ὑπὸ μεγάλης καὶ σοβαρᾶς ἀνάγκης, δὲν ἠνείχοντο νὰ γυμνωθοῦν, διὰ νὰ περάσουν κολυμβῶντες (ὁσάκις δὲν ὑπῆρχε τὸ πλοιάριον), ἐπειδὴ ἐντρέποντο τὸν συνοδεύοντα Ἅγιον Ἄγγελον, τὸν ἥλιον, τὰ ἄψυχα, ἐφ᾽ ὅσον οὐδεὶς ἄνθρωπος εὑρίσκετο εἰς τὴν ἔρημον, διὰ νὰ τοὺς ἴδῃ· εἰς τὴν δύσκολον αὐτὴν στιγμὴν παρεκάλουν θερμῶς τὸν Θεὸν καὶ Ἐκεῖνος ἱκανοποιῶν τὸ μετ᾽ εὐλαβείας διατυπούμενον αἴτημά των, διότι πάντοτε εἶναι ἕτοιμος ὁ Θεὸς νὰ ἀκούσῃ τοὺς ἀνθρώπους, τοὺς μετέφερε διὰ θαύματος εἰς τὸν ἀέρα, τελειώνοντες οὕτω παραδόξως τὸ ἀναγκαῖον ἔργον των. Αὐτὰ μοῦ εἶπεν ὁ Γέρων καὶ ἠρέμησεν.

6. Ὅταν ἐπεστρέψαμεν εἰς τὴν σκήτην μας, δὲν παρῆλθον πολλαὶ ἡμέραι, καὶ ἰδοὺ τὶ παράδοξον ἠκούσθη· μερικοὶ ἀδελφοὶ ἐπανελθόντες ἀπὸ τὴν Αἴγυπτον μᾶς διηγήθησαν, ὅτι ἕνας ἀδελφὸς Ἱερεύς, ποὺ ἐκάθητο εἰς τὸν Ναὸν τοῦ Ἁγίου Ἰσιδώρου καὶ εἶχεν ἀφιχθῇ πρὸ ὀλίγου ἀπὸ τὴν Κωνσταντινούπολιν συνελήφθη ἐπ᾽ αὐτοφώρῳ νὰ μοιχεύῃ τὴν γυναῖκα τοῦ Σελενταρείου. Μόλις αὐτὸ ἐγνωστοποιήθη συνελήφθη ἀμέσως ὑπὸ τῶν δούλων τοῦ Σελενταρείου καὶ τῶν γειτόνων, οἵτινες τοῦ ἀπέκοψαν τὰ γεννητικὰ ὄργανα. Μετὰ τρεῖς ἡμέρας ἐν μέσῳ φρικτῶν πόνων ἀπέθανεν ὁ μοιχός, ἐντροπιασμένος καὶ κατησχυμμένος. Ὁ δυστυχὴς αὐτὸς ἦτο ὁ Ἱερομόναχος ἐκεῖνος, περὶ τοῦ ὁποίου προεφήτευσεν ὁ Ἀββᾶς Δανιήλ.

7. Ὅταν ἐγὼ ἤκουσα τὰ διατρέξαντα, ἐπῆγα ἀμέσως εἰς τὸν Ἀββᾶν Δανιὴλ καὶ διηγήθην εἰς αὐτὸν τὰ συμβάντα. Μόλις τὰ ἐπληροφορήθη αὐτὰ ὁ Ἀββᾶς ἐδάκρυσε καὶ εἶπεν. Ἡ τιμωρία εἰς τὸν ὑπερήφανον εἶναι τὸ πτῶμα, δηλαδὴ ὁ ἐκ τῆς ἁμαρτίας θάνατος. Ἐπεξήγησε δὲ ὁ Γέρων, ὅτι ἂν δὲν ἦτο ὑπερήφανος καὶ κατεδέχετο τὴν συμβουλήν μου, ἀσφαλῶς δὲν θὰ ὑφίστατο τὸν ἀτιμωτικὸν αὐτὸν θάνατον. Μὲ τὸν ἴδιον τρόπον θὰ τιμωρηθοῦν καὶ ὅσοι εἶναι ὑπερήφανοι καὶ δὲν θέλουν νὰ ἀκούσουν συμβουλάς, νὰ ἀποφύγουν τὸν ἐπικίνδυνον κρημνὸν τῆς ἁμαρτίας.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ἈΓΑΠΗΤΕ ἀδελφέ· εἰπέ μοι τίνος χάριν νίπτεις τὸ πρόσωπόν σου ὕδατι; πάντως ἵνα τῷ πλησίον σου ἀρέσῃς, καὶ δῆλος εἶ ἐκ τούτου, ὅτι οὔπω διέπτυσας τὰ πάθη τῆς σαρκός σου, ἀλλ' ἐν τούτοις ἔτι δεδούλωσαι.

2. Εἰ οὖν θέλεις νίψασθαί σου τὸ πρόσωπον, νίψον αὐτὸ δάκρυσι, καὶ πλῦνον αὐτὸ κλαυθμῷ, ἵνα λάμψῃ μετὰ δόξης ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἁγίων Ἀγγέλων· πρόσωπον γὰρ νιπτόμενον δάκρυσι, κάλλος ἐστὶν ἀμάραντον.


3. Ἀλλ' ἴσως ἐρεῖς μοι, ἐρυθριᾶν σε τὸν ῥύπον τοῦ προσώπου σου· ἀλλ' ἴσθι, ὡς ὁ ῥύπος τῶν ποδῶν καὶ τοῦ προσώπου σου μετὰ ἁγνῆς καρδίας ὑπὲρ ἥλιον λάμψει μεταξὺ τοῦ Θεοῦ καὶ τῶν Ἁγίων δυνάμεων.

Ἑρμηνεία

ἈΓΑΠΗΤΕ ἀδελφέ, εἰπέ μου χάριν τίνος πλύνεις τὸ πρόσωπόν σου μὲ ὕδωρ; Ἀσφαλῶς διὰ νὰ ἀρέσῃς εἰς τὸν πλησίον σου· ἀπὸ αὐτὸ ὅμως φανερώνεις, ὅτι δὲν περιώρισες ἀκόμη τὰ πάθη τῆς σαρκός, ἀλλ' ἐξακολουθεῖς νὰ εἶσαι ὑποτεταγμένος εἰς αὐτά.

2. Ἐὰν ἐπιθυμῇς νὰ νίψῃς τὸ πρόσωπόν σου, νίψε το μὲ δάκρυα καὶ πλῦνέ το μὲ τὸν κλαυθμὸν τῆς μετανοίας, διὰ νὰ λάμψῃς ἐνδόξως ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἁγίων Ἀγγέλων. Διότι πρόσωπον νιπτόμενον μὲ δάκρυα, εἶναι πράγματι ἀμάραντον κάλλος.

3. Ἴσως θὰ μοῦ ἀπαντήσῃς εἰς τὰς συστάσεις μου αὐτάς, ὅτι θὰ κοκκινίζῃς ἀπὸ ἐντροπὴν ἐὰν τὸ πρόσωπόν σου εἶναι ῥυπαρόν. Γνώριζε ὅμως, ὅτι ὁ ῥύπος τοῦ προσώπου, ὅπως καὶ ὁ ῥύπος τῶν ποδῶν, συνοδευόμενος ἀπὸ ἁγνὴν καὶ καθαρὰν καρδίαν θὰ σὲ κάμῃ νὰ λάμψῃς περισσότερον καὶ ἀπὸ τὸν ἥλιον ἀκόμη ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν Ἁγίων Ἀγγελικῶν Δυνάμεων.



ΥΠΟΘΕΣΙΣ ΙΖ΄

Ὅτι οὐκ ἔστι τι ἀόριστον παρὰ τῷ Θεῷ· πάντα δὲ τὰ γινόμενα, καὶ αὐτοὶ οἱ αἰφνίδιοι θάνατοι, τοῦ Θεοῦ προγνώσει ὡρισμένοι εἰσίν.

Δὲν ὑπάρχει τίποτε ἀκαθόριστον ἀπὸ τὸν Θεόν· ὅλα ὅσα γίνονται, καὶ αὐτοὶ ἀκόμη οἱ αἰφνίδιοι θάνατοι, ἔχουν προκαθορισθῆ ὑπὸ τῆς προνοίας τοῦ Θεοῦ.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΑΝΑΣΤΑΣΙΟΣ τις ἀνὴρ εὐλαβής, προεστὼς ἦν Μονῆς, ἧς καλεῖται Ὑπόκρημνον· λίθος δὲ τις τῆς Μονῆς ταύτης παμμεγέθης ὑπέρκειται.

2. Ἐν μιᾷ οὖν νυκτί, φωνὴ γέγονεν ὡς ἐκ τοῦ ὕψους τοῦ λίθου λέγουσα· Ἀναστάσιε, δεῦρο· εἶτα ἡ φωνὴ καθεξῆς καὶ ὀκτὼ ἀδελφοὺς ἑτέρους ἐκάλεσε· ταύτης δὲ ἡ συνοδεία πᾶσα κατήκοος γέγονε, καὶ ἔγνωσαν πάντες, ὅτι τῶν κεκλημένων ὁ θάνατος ἐπλησίασε.

3. Πρῶτος οὖν ὁ δίκαιος Ἀναστάσιος μετὰ μικρὸν ἐκοιμήθη, εἶτα καθεξῆς καὶ οἱ λοιποὶ πρὸς Κύριον ἐξεδήμησαν, καθ' ἣν ἡ φωνὴ τούτους ἐκέλευσε. Θαυμαστὸν δέ τι πρᾶγμα τότε συνέβη· τοῦ γὰρ σεβασμίου ἀνδρὸς Ἀναστασίου μεταστάντος, ἀδελφός τις ἦν ἐν τῷ Μοναστηρίῳ, ὃς χωρὶς αὐτοῦ ζῆσαι οὐκ ἤθελε.

4. Τοῖς οὖν ποσὶν αὐτοῦ προσκυλινδούμενος, μετὰ δακρύων ἱκέτευεν αὐτὸν λέγων· οὕτως ἔχεις πρὸς ὃν ἀπέρχῃ, μὴ ἐάσῃς με χωρίς σου ἐν τῷ κόσμῳ τούτῳ ἑπτὰ ἡμέρας ποιῆσαι· πρὸ οὖν τῆς ἑβδομάδος καὶ αὐτὸς λοιπὸν ἐκοιμήθη, ὃς οὐκ ἦν μετὰ τῶν ἄλλων κεκλημένος· φανερόν ἐστιν οὖν, ὅτι τὴν τούτου μετάστασιν μόνη ἡ τοῦ Ἁγίου Ἀναστασίου ἐνήργησε προσευχή.

Πέτρος

5. Ἐκ τούτου μανθάνομεν ὅτι οἱ παρὰ τῷ Κυρίῳ τέλειοι ὄντες, ἐπακουσθῆναι πολλάκις δύνανται καὶ εἰς αὐτά, ἅπερ προωρισμένα οὐχ ὑπάρχουσι.

Γρηγόριος

6. Οὐδαμῶς ἐπακουσθῆναι δύνανται ἐν τοῖς μὴ οὖσι προωρισμένοις· ἅπερ δὲ εὐχόμενοι οἱ Ἅγιοι λαμβάνουσιν ἢ ποιοῦσιν, ἤδη προωρισμένα εἰσίν, ὅπως διὰ προσευχῆς τούτων ἐπιτεύξωνται· καὶ αὕτη ἡ τῆς αἰωνίου Βασιλείας κληρονομία παρὰ τοῦ παντοδυνάμου Θεοῦ ἐν τοῖς ἐκλεκτοῖς προορισθεῖσα ὑπάρχει, διὰ δὲ πολλοῦ καμάτου καὶ δεήσεως ταύτην αὐτοὺς λαμβάνειν ηὐδόκησεν.

Πέτρος

7. Ἤθελον τηλαυγῶς μοι δειχθῆναι, ἐὰν ἡ προόρισις τῇ εὐχῇ συνεργεῖ.

Γρηγόριος

8. Τοῦτο, Πέτρε, καὶ ἐκ τῆς κατὰ τὸν Ἀβραὰμ ἱστορίας σαφῶς δύνασαι γνῶ-

ναι· ὡς γὰρ οἶδας, τῷ Ἀβραὰμ ὁ Θεὸς εἶπεν· ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· καὶ πάλιν, Πατέρα πολλῶν ἐθνῶν τέθηκά σε· καὶ πάλιν, εὐλογήσω σε καὶ πληθυνῶ τὸ σπέρμα σου, καὶ τὰ ἑξῆς· καὶ φανερόν ἐστιν, ὅτι διὰ τοῦ Ἰσαὰκ πληθῦναι τὸ σπέρμα τοῦ Ἀβραὰμ εὐδόκησεν ὁ Θεός.

9. Εἰ οὖν ἐν τῷ Ἰσαὰκ ἦν ὡρισμένον πληθῦναι τὸ σπέρμα τοῦ Ἀβραάμ, διατί σύζυγον στεῖραν ὁ Ἰσαὰκ ἔσχε; γέγραπται γὰρ ὅτι ὁ Ἰσαὰκ ᾐτήσατο τὸν Κύριον περὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ἔδωκε σύλληψιν τῇ Ῥεβέκκᾳ· φανερὸν οὖν ἐντεῦθεν ὑπάρχει, ὅτι ἡ προόρισις τῇ εὐχῇ πληροῦται, δι' ἧς ἀκουσθεὶς ὁ Ἰσαὰκ ἐτεκνοποίησεν, ἐν ᾧ ἦν ὁ Θεὸς προορίσας πληθῦναι τὸ σπέρμα τοῦ Ἀβραάμ.

Πέτρος

10. Οὐδέν μοι ἐπὶ τῷ ζητήματι τούτῳ ἀμφίβολον καταλέλειπται, ἀλλὰ σαφῆ τῆς ἀπορίας ἔσχον τὴν λύσιν.

Ἑρμηνεία

ΕΙΣ ΜΙΑΝ Μονήν, ἡ ὁποία ὀνομάζεται Ὑπόκρημνον, ὑπῆρχε κάποιος εὐλαβὴς Ἡγούμενος, ὁ Ἀναστάσιος. Ὑπεράνω τῆς Μονῆς αὐτῆς ὑψοῦτο ἕνας παμμεγέθης βράχος.

2. Κάποτε λοιπόν, μίαν νύκτα, ἠκούσθη ἀπὸ τὸ ὕψος τοῦ βράχου αὐτοῦ μία φωνή, ἡ ὁποία ἔλεγεν· «Ἀναστάσιε, ἔλα». Ἐν συνεχείᾳ δὲ ἡ φωνὴ αὐτὴ ἐκάλεσε κατ' ὄνομα καὶ ἄλλους ὀκτὼ ἀδελφοὺς τῆς Μονῆς αὐτῆς. Τὴν φωνὴν αὐτὴν ἤκουσαν εὐκρινῶς ὅλοι οἱ ἀδελφοὶ τοῦ Μοναστηρίου καὶ ἀντελήφθησαν ἀμέσως, ὅτι οἱ κατονομασθέντες ὑπὸ τῆς περιέργου αὐτῆς φωνῆς, θὰ ἀπέθνησκον συντόμως.

3. Καὶ πράγματι· ἐντὸς ὀλίγου ἐκοιμήθη ὁ δίκαιος Ἀναστάσιος· ἐν συνεχείᾳ δὲ ἀπεδήμησαν πρὸς Κύριον καὶ ὅλοι, ὅσων τὰ ὀνόματα ἠκούσθησαν τὴν νύκτα ἐκείνην, μὲ τὴν σειρὰν μάλιστα ποὺ κατωνομάσθησαν ὑπὸ τῆς φωνῆς. Ἐκτὸς δὲ αὐτοῦ συνέβη καὶ τὸ ἑξῆς ἀξιοθαύμαστον περιστατικόν. Μεταξὺ τῆς ἀδελφότητος ὑπῆρχε κάποιος Μοναχός, ὁ ὁποῖος τόσον ὑπερηγάπα τὸν σεβάσμιον Ἡγούμενον, τὸν Ἀναστάσιον, ὥστε ὅταν οὗτος ἐκοιμήθη κατωδύρετο γοερῶς, διότι δὲν ἤθελε νὰ ζήσῃ χωρὶς αὐτόν.

4. Συρόμενος λοιπὸν οὗτος πρὸ τῶν ποδῶν τοῦ ἱεροῦ λειψάνου τοῦ Ἀναστασίου καὶ καταφιλῶν αὐτοὺς τὸν ἱκέτευε καὶ τοῦ ἔλεγε μὲ δάκρυα· «Ἐπειδὴ ἔχεις παρρησίαν ἐνώπιον Ἐκείνου, πρὸς τὸν ὁποῖον ἀπέρχεσαι, μὴ μὲ ἀφήσῃς νὰ ζήσω χωρὶς ἐσένα περισσότερον τῶν ἑπτὰ ἡμερῶν εἰς τὴν παροῦσαν αὐτὴν ζωήν». Καὶ ὢ τοῦ θαύματος! Πρὶν ἀκόμη ἐκπνεύσῃ ἡ ἑβδομὰς ἐκοιμήθη καὶ αὐτός, καίτοι δὲν ἦτο μεταξὺ τῶν κληθέντων ὑπὸ τῆς φωνῆς ἐκείνης. Ἀπὸ αὐτὸ ἀποδεικνύεται, ὅτι ἡ μετάστασίς του ὑπῆρξε θαυμαστὸν ἀποτέλεσμα τῆς προσευχῆς τοῦ Ἁγίου Ἀναστασίου.

Πέτρος

5. Ἀπὸ τὸ περιστατικὸν αὐτὸ πληροφορούμεθα, ὅτι ὁ Κύριος πολλὰς φορὰς ἐπακούει τὰς προσευχὰς ὅσων εἶναι τέλειοι καὶ πραγματοποιεῖ χάριν αὐτῶν πράγματα, τὰ ὁποῖα δὲν ἔχουν προορισθῆ.

Γρηγόριος

6. Αἱ προσευχαὶ τῶν δικαίων καθόλου δὲν δύνανται νὰ ἐπακουσθῶσι διὰ πράγματα, τὰ ὁποῖα δὲν εἶναι προωρισμένα νὰ γίνουν. Ἐκεῖνα δὲ τὰ ὁποῖα λαμβάνουν παρὰ τοῦ Θεοῦ ἢ ἐπιτυγχάνουν διὰ τῶν προσευχῶν των οἱ Ἅγιοι, ἔχουν ἤδη προορισθῆ νὰ συμβῶσι διὰ τῶν προσευχῶν των. Καὶ αὐτὴ ἀκόμη ἡ κληρονομία τῆς αἰωνίου Βασιλείας, καίτοι ἔχει προορισθῆ ὑπὸ τοῦ παντοδυνάμου Θεοῦ εἰς τοὺς ἐκλεκτούς, ἐν τούτοις οἱ ἐκλεκτοὶ αὐτοὶ τὴν ἀπολαμβάνουν, κατ' εὐδοκίαν Θεοῦ, μόνον κατόπιν πολλῶν κόπων καὶ προσευχῶν.

Πέτρος

7. Ἐπεθύμουν νὰ μάθω μὲ σαφήνειαν, ἐὰν ὁ προορισμὸς καὶ ἡ προσευχὴ συνεργάζονται εἰς τὴν πραγματοποίησιν ἑνὸς ἀποτελέσματος, δεδομένου ὅτι ὁ μὲν προορισμὸς εἶναι ἐνέργεια τῆς παγγνωσίας τοῦ Θεοῦ, ἐνῷ ἡ εὐχὴ εἶναι ἐνέργεια τῆς ἐλευθέρας βουλήσεως τοῦ ἀνθρώπου.

Γρηγόριος

8. Αὐτό, Πέτρε, δυνάμεθα νὰ τὸ ἀντιληφθῶμεν σαφῶς ἀπὸ τὴν ἱστορίαν τοῦ Ἀβραάμ. Ὅπως γνωρίζεις, ὁ Θεὸς εἶπεν εἰς τὸν Ἀβραάμ· «Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα» (Γεν. κα', 12)· καὶ πάλιν· «Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε» (Γεν. ιζ', 5)· καὶ πάλιν· «Εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου» (Γεν. κβ', 17)· καὶ ἐν γένει ἤκουσας ὅσα σχετικὰ ἀναφέρει ἡ Παλαιὰ Διαθήκη περὶ τῆς ὑποσχέσεως τοῦ Θεοῦ πρὸς τὸν Ἀβραάμ. Ἐξ ὅλων αὐτῶν τῶν χωρίων ἀποδεικνύεται, ὅτι ὁ Θεὸς ηὐδόκησε νὰ αὐξηθῇ τὸ γένος τοῦ Ἀβραὰμ διὰ τοῦ Ἰσαάκ.

9. Ἐφ' ὅσον λοιπὸν εἶχε προορισθῆ νὰ πληθυνθῇ τὸ γένος τοῦ Ἀβραὰμ διὰ τοῦ Ἰσαάκ, τότε διατί ὁ Ἰσαὰκ νὰ ἀποκτήσῃ σύζυγον στεῖραν; Ὡς γνωστὸν ἔχει γραφῆ εἰς τὴν Παλαιὰν Διαθήκην, ὅτι ὁ Ἰσαὰκ παρεκάλει τὸν Κύριον περὶ τῆς γυναικὸς αὐτοῦ καὶ ἔδωκε σύλληψιν εἰς τὴν Ρεβέκκαν [1]. Ἐκ τοῦ χωρίου αὐτοῦ ἀποδεικνύεται, ὅτι ἡ προόρισις (δηλαδὴ ὁ ὑπὸ τοῦ Θεοῦ προορισμὸς) διὰ τῆς προσευχῆς συντελεῖται· ὅπως ἀκριβῶς διὰ προσευχῆς ἐτεκνοποίησεν ὁ Ἰσαάκ, καίτοι διὰ τῆς τεκνοποιήσεως τοῦ Ἰσαὰκ εἶχε προορίσει ὁ Θεὸς τὸν πολλαπλασιασμὸν τοῦ γένους τοῦ Ἀβραάμ.

Πέτρος

10. Καμμίαν ἀμφιβολίαν δὲν ἔχω πλέον ἐπὶ τοῦ ζητήματος τούτου, διότι ἡ ἀπορία μου ἐλύθη σαφέστατα.

---

1) «Ἐδέετο δὲ Ἰσαὰκ Κυρίου περὶ Ρεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν. Ἐπήκουσε δὲ αὐτοῦ ὁ Θεός, καὶ συνέλαβεν ἐν γαστρὶ Ρεβέκκα ἡ γυνὴ αὐτοῦ». (Γεν. κε', 21).

ΥΠΟΘΕΣΙΣ ΙΗ΄

Περὶ τῆς ἐν ἀσθενείαις ὑπομονῆς, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας, καὶ ὅτι τισὶ τῶν ἐναρέτων οἰκονομικαὶ παιδεύσεις ἐκ Θεοῦ ἐπάγονται εἰς τελείαν κάθαρσιν.

Περὶ τῆς ὑπομονῆς, πού πρέπει νὰ ἐπιδεικνύωμεν εἰς τὰς ἀσθενείας· εἰς μερικοὺς ἐναρέτους ἐπιτρέπονται καὶ οἰκονομικαὶ τιμωρίαι ἀπὸ τὸν Θεόν, διὰ τὴν ὁλοκληρωτικήν των κάθαρσιν.

Α΄. Τοῦ Διαδόχου

ΕΥΛΑΒΕΣΤΑΤΟΣ Πατὴρ ὁ καλούμενος Σπαΐς, Μοναστήρια ἔκτισε διάφορα ἐν τόπῳ τῷ καλουμένῳ Κάμπλε· τοῦτον δὲ ὁ Παντοδύναμος καὶ ἐλεήμων Θεὸς ἐνταῦθα παιδεύσας, ἐκ τῶν αἰωνίων βασάνων ἐξείλετο· τῆς γὰρ μεγίστης αὐτοῦ οἰκονομίας καὶ τὴν ἀπειλὴν ἔδειξε καὶ τὴν συμπάθειαν, πόσον γὰρ αὐτὸν μαστίζων ἠγάπα ὕστερον ἔδειξεν, ὁλοκλήρως αὐτὸν ἰασάμενος.

2. Τοὺς γὰρ αὐτοῦ ὀφθαλμοὺς μέχρι τεσσαρακονταετοῦς διαστήματος τῇ ἐπιμονῇ τοῦ σκότους τῆς τυφλώσεως ἐπήρωσε, μηδὲ μικρὰν αὐτὴν ὁράσεως αὐτῷ καταλείψας· ταύτην δὲ τὴν μάστιγα οὐδεὶς ὑπενέγκαι δύναται, εἰ μὴ αὐτὸς ὁ ἐλεήμων Πατὴρ ὁ τὴν βάσανον παρέχων ὑπομονὴν δωρήσηται· διὰ γὰρ τῆς ἀνυπομονησίας τισίν ἁμαρτίαν ἡ παίδευσις αὕτη καὶ οὐκ ὠφέλειαν προστίθησι. Τούτου ἕνεκα εἰδὼς ὁ Θεὸς τὴν ἡμετέραν ἀσθένειαν ταῖς μάστιξιν Αὐτοῦ καὶ ὑπομονὴν ἀναμίσγει, ἵνα καὶ παιδεύων τὰ ἐκλεκτὰ Αὐτοῦ τέκνα δίκαιος φανῇ, εἶτα καὶ δικαίως αὐτοῖς σπλαγχνισθῇ.

3. Διὸ καὶ τὸν εὐλαβέστατον τοῦτον ἄνδρα, εἰ καὶ τῷ ἔξωθεν σκότει ἠμαύρωσεν, ἀλλὰ τῷ ἔνδοθεν φωτὶ οὐδέποτε ἐγκατέλιπεν, ὃς ἐν ὅσῳ τῇ τοῦ σώματος μάστιγι ἐχειμάζετο εἶχε διὰ τῆς τοῦ Πνεύματος σκέπης παράκλησιν καρδίας· ἐπεὶ δὲ τεσσαρακοστὸν ἔτος ἐν τῇ τυφλώσει διήνυσε, πάλιν ὁ Κύριος τὸ φῶς αὐτῷ παρέδωκε, καὶ ἐν τῷ ἐγγίζειν τῷ θανάτῳ αὐτοῦ ἐμνημόνευσεν, ἐκέλευσέ τε αὐτὸν τοῖς ὑπ᾿ αὐτοῦ κτισθεῖσι Μοναστηρίοις τὸν τῆς ζωῆς λόγον κηρύξαι, ἵνα ὁ τὸ τοῦ σώματος ἀναλαβὼν φῶς, τὸ τῆς καρδίας αὐτῶν ἀνοίξῃ

4. Ὁ δὲ τῇ προστάξει τοῦ κελεύσαντος ὑπακούσας, τὰ τῶν ἀδελφῶν Κοινόβια ἐγύρευσε, καὶ τὰς τῆς ζωῆς ἐντολάς, ἃς πράττων μεμάθηκε, τούτοις παρέθετο· μετὰ δὲ πεντεκαιδεκάτην ἡμέραν ἐπανελθὼν ἀπὸ τοῦ κηρύγματος ἐν τῷ Μοναστηρίῳ αὐτοῦ, καὶ ἐν τῷ εὐκτηρίῳ τοὺς ἀδελφοὺς προσκαλεσάμενος, καὶ σταθεὶς ἐν μέσῳ αὐτῶν, τοῦ δεσποτικοῦ Σώματος καὶ Αἵματος μετέλαβε, καὶ σὺν αὐτοῖς τὰς μυστικὰς τῶν ψαλμῶν ὑμνῳδίας ἐπετέλεσεν· ἔτι δὲ αὐτῶν ψαλλόντων αὐτὸς τῇ εὐχῇ ἐπιμείνας, τὴν ψυχὴν ἀποδέδωκε.

5. Πάντες δὲ οἱ ἀδελφοὶ ἐκ τοῦ στόματος αὐτοῦ περιστερὰν ἐξελθοῦσαν εἶδον, καὶ τῆς τοῦ εὐκτηρίου στέγης διανοιγείσης, τῶν ἀδελφῶν θεωρούντων, πρὸς τὸν οὐρανὸν ἀνῆλθε· διὰ δὲ τοῦ τοιούτου σχήματος τῆς περιστερᾶς ἔδειξεν αὐτοῖς ὁ παντοδύναμος Θεὸς ἐν ποίᾳ ἀκεραιότητι καρδίας ὁ ἀνὴρ οὗτος ἐδούλευσε τῷ Θεῷ.


Ὁ ἈΒΒΆϹ
ϹΠΑΊϹ

Ἑρμηνεία

Ο ΕΥΛΑΒΕΣΤΑΤΟΣ Πατήρ, ποὺ ὠνομάζετο Σπαίς, ἔκτισε πολλὰ Μοναστήρια εἰς ἕνα τόπον, γνωστὸν μὲ τὸ ὄνομα Κάμπλε. Αὐτὸν λοιπὸν τὸν ἐνάρετον Γέροντα ὁ ἐλεήμων καὶ παντοδύναμος Θεὸς τὸν ἐπαίδευσεν εἰς τὴν παροῦσαν ζωὴν καὶ τὸν ἀπήλλαξεν ἀπὸ τὰ αἰώνια βάσανα τῆς ἀτελευτήτου κολάσεως. Εἰς αὐτὸν ἔδειξε τὸ μέγεθος τῆς πρὸς τὸν ἄνθρωπον θαυμαστῆς Του οἰκονομίας καὶ δι' ἀπειλῆς καὶ διὰ συμπαθείας· διότι πόσον πράγματι ἐξ ἀγάπης ἐπαίδευσεν αὐτόν, διὰ τῆς μάστιγος τῆς ἀσθενείας, τὸ ἀπέδειξεν ἐκ τῶν ὑστέρων διὰ τῆς παντελοῦς θεραπείας του.

2. Οὗτος λοιπὸν ὁ ἀσκητικὸς καὶ εὐλαβέστατος Γέρων ἀπώλεσε τὸ φῶς τῶν ὀφθαλμῶν του τελείως καὶ ἐπὶ τεσσαράκοντα ἔτη δὲν ἔβλεπε καθόλου. Αὐτὴν δὲ τὴν μάστιγα τῆς τυφλώσεως κανεὶς δὲν δύναται νὰ ὑποφέρῃ, ἐὰν ὁ ἐλεήμων Πατήρ, ποὺ δίδει τὸ βασανιστήριον αὐτό, δὲν τὸν ἐξοπλίσῃ μὲ ὑπομονήν· διότι μερικοὺς ἡ παιδευτικὴ τιμωρία, ἀντὶ νὰ τοὺς ὠφελήσῃ, τοὺς κάνει νὰ ἁμαρτάνουν, ἐπειδὴ δὲν ἔχουν ὑπομονήν. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ὁ Θεός, ἐπειδὴ γνωρίζει τὴν ἡμετέραν ἀσθένειαν, ἀναμιγνύει μὲ τὰς μάστιγάς Του τὴν ὑπομονήν, ὥστε καὶ δίκαιος νὰ φανῇ, ὅταν παιδεύῃ τὰ ἐκλεκτὰ Αὐτοῦ τέκνα, ἀλλὰ καί, κατὰ λόγον, δικαιοσύνης, νὰ τὰ εὐσπλαγχνισθῇ, μετὰ τὴν παιδείαν, διὰ νὰ τὰ ἐπανορθώσῃ.

3. Τοιουτοτρόπως λοιπὸν καὶ τὸν εὐλαβέστατον αὐτὸν ἄνδρα, τὸν Σπαί. Καίτοι τὸν περιετύλιξε μὲ τὸ ἐξωτερικὸν σκότος τῆς τυφλώσεως, ἐν τούτοις δὲν ἐπέτρεψε ποτὲ νὰ τὸν ἐγκαταλείψῃ τὸ ἐσωτερικὸν φῶς· οὕτω ἐν ὅσῳ ὑπέφερε καὶ ἐβασανίζετο ἀπὸ τὴν σωματικὴν μάστιγα, ἐπὶ τοσοῦτον ἡ σκέπη τοῦ Παναγίου Πνεύματος τοῦ ἐγέμιζε μὲ παράκλησιν καὶ παρηγορίαν τὴν καρδίαν. Ἀφοῦ λοιπὸν διήνυσε καὶ τὸ τεσσαρακοστὸν ἔτος τυφλός, ὁ Κύριος τοῦ ἔδωσε πάλιν τὸ φῶς τῶν ὀφθαλμῶν του καὶ τοῦ ἐφανέρωσε τὴν ἡμέραν τοῦ θανάτου του. Συγχρόνως ὁ Κύριος τὸν διέταξε νὰ κηρύξῃ τὸν λόγον τῆς ζωῆς εἰς τὰ ὑπ' αὐτοῦ κτισθέντα Μοναστήρια, διὰ νὰ φέρῃ αὐτὸς ὁ ἴδιος, ποὺ πρὸ ὀλίγου ἀνέκτησε τὸ σωματικὸν φῶς, καὶ τὸ πνευματικὸν εἰς τὰς καρδίας τῶν Μοναχῶν.

4. Πράγματι ὁ εὐλαβέστατος Γέρων περιώδευσε τὰ Κοινόβια ἐμπιστευόμενος εἰς τὴν εὐλάβειαν τῶν Μοναχῶν τὰς ἐντολὰς τῆς ζωῆς, τὰς ὁποίας ὁ ἴδιος εἶχε μάθει διὰ τῆς πράξεως. Μετὰ ἀπὸ 15 (δεκαπέντε) ἡμέρας ἐπανῆλθεν ἀπὸ τὴν περιοδείαν εἰς τὸ Μοναστήριόν του. Ἀμέσως δὲ τὴν ἑπομένην ἐκάλεσε πλησίον του, εἰς τὸ παρεκκλήσιον τοῦ Μοναστηρίου, τὴν ἀδελφότητα, ὅπου, πλαισιούμενος ἀπὸ τὰ πνευματικά του τέκνα, μετέλαβε τῶν Ἀχράντων Μυστηρίων, καὶ μαζὶ μὲ αὐτοὺς ἔψαλλε τοὺς ὕμνους τῆς θείας Εὐχαριστίας, καὶ ἐτελείωσε τὰς μυστικὰς εὐχὰς αὐτῆς· ἐνῷ δὲ ἔψαλλον ἀκόμη τὰ πνευματικά του τέκνα,

οὗτος ἡσύχως καὶ ἀθορύβως ψελλίζων τὴν ἀδιάλειπτον εὐχήν, παρέδωσεν εἰς τὸν Θεὸν τὴν ψυχήν του.

5. Ὅσοι παρευρίσκοντο τὴν στιγμὴν ἐκείνην εἰς τὸν Ναὸν εἶδον νὰ ἐξέρχεται ἐκ τοῦ στόματος τοῦ Ἁγίου Ἡγουμένου μία περιστερὰ καὶ νὰ ἀνυψοῦται πρὸς τὸν οὐρανὸν ἀπὸ τὴν στέγην, ἡ ὁποία θαυμαστῶς ἤνοιξε διὰ νὰ καταστῇ ἐμφανὴς ἡ ἄνοδος. Διὰ τῆς περιστερᾶς αὐτῆς ὁ παντοδύναμος Θεὸς ἐπέδειξεν εἰς αὐτοὺς μὲ πόσην ἀκεραιότητα χαρακτῆρος καὶ ἁγνότητα καρδίας ἐδούλευσεν ἐπὶ τόσα ἔτη ὁ μακάριος αὐτὸς ἄνθρωπος, καίτοι τυφλός, τὸν Θεόν.

Β'. Τοῦ αὐτοῦ Διαδόχου

ΟΤΑΝ πρὸς τὰς συμβαινούσας ἡμῖν σωματικὰς ἀνωμαλίας λίαν ἀπεχθανώμεθα, εἰδέναι δεῖ ὅτι ἡ ψυχὴ ἡμῶν ἔτι δεδούλωται ταῖς ἐπιθυμίαις τοῦ σώματος· διόπερ τὰς ὑλώδεις ποθοῦσα εὐπραγίας, οὔτε ἀναχωρῆσαι τῶν καλῶν τοῦ βίου βούλεται, ἀλλὰ καὶ μεγάλην ἡγεῖται ἀσχολίαν τὸ μὴ δύνασθαι διὰ τὰς νόσους κεχρῆσθαι τοῖς τοῦ βίου ὡραίοις.

2. Ἐὰν δὲ εὐχαρίστως τὰς ἐκ τῆς νόσου προσδέχεται ἀνίας, οὐ μακρὰν οὖσα τοῖς τῆς ἀπαθείας ὅροις γνωρίζεται· ὅθεν καὶ τὸν θάνατον ὡς πρόφασιν ὄντα ζωῆς μᾶλλον ἀληθινῆς τότε μετὰ χαρᾶς ἀπεκδέχεται· ὃν τρόπον μὴ μαλαχθείς, ἢ καὶ θερμανθεὶς ὁ κηρὸς ἐπὶ πολύ, οὐ δύναται τὴν ἐπιτιθεμένην αὐτῷ σφραγῖδα δέξασθαι, οὕτως οὐδὲ ὁ ἄνθρωπος, ἐὰν μὴ διὰ πόνων καὶ ἀσθενειῶν δοκιμασθῇ, οὐ δύναται χωρῆσαι τῆς τοῦ Θεοῦ ἀρετῆς τὴν σφραγῖδα.

3. Διὰ τοῦτο καὶ ὁ μὲν Κύριος λέγει τῷ θεσπεσίῳ Παύλῳ· Ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται· αὐτὸς δὲ ὁ Παῦλος καυχᾶται λέγων· «ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ». Καὶ αὐτὸς μὲν ἀσθενείας λέγει τὰς ἐπαναστάσεις τῶν ἐχθρῶν τοῦ Σταυροῦ τοῦ Χριστοῦ, αἵτινες συνεχῶς αὐτῷ τε καὶ τοῖς τότε Ἁγίοις συνέβαινον, ἵνα μὴ ὑπεραίρωνται, ὡς αὐτὸς λέγει, τῇ ὑπεροχῇ τῶν ἀποκαλύψεων, ἀλλὰ μᾶλλον ἐνέμενον διὰ τῆς ταπεινώσεως ἐν τῷ σχήματι τῆς τελειότητος διὰ τῶν πυκνῶν ἐξουδενώσεων, τὸ θεῖον δῶρον ὁσίως φυλάττοντες.

4. Ἡμεῖς δὲ νῦν ἀσθενείας τοὺς πονηροὺς λογισμοὺς λέγομεν, καὶ τὰς σωματικὰς ἀνωμαλίας· τότε μὲν γὰρ ἐπειδὴ αἰκίαις θανατηφόροις καὶ διαφόροις ἑτέραις θλίψεσι τὰ σώματα τῶν κατὰ τῆς ἁμαρτίας ἀγωνιζομένων Ἁγίων παρεδίδοντο, ἐπάνω ἦσαν πολὺ τῶν τῇ ἀνθρωπίνῃ φύσει ἐκ τῆς ἁμαρτίας ἐπεισελθόντων παθῶν· νῦν δὲ ἐπειδὴ διὰ τὸν Κύριον ἡ εἰρήνη πληθύνεται τῶν ἐκκλησιῶν, διὰ τοῦτο δεῖ συνεχέσι μὲν ἀνωμαλίαις θλίβεσθαι τὸ σῶμα, λογισμοῖς δὲ πονηροῖς τὰς ψυχὰς δοκιμάζεσθαι τῶν τῆς εὐσεβείας ἀγωνιστῶν, ἵνα καὶ πάσης κενοδοξίας καὶ μετεωρισμοῦ ἐκτὸς ὑπάρχωσι, καὶ χωρῆσαι δυνηθῶσιν, ὡς ἔφην, ἐν ταῖς καρδίαις, διὰ τῆς πολλῆς ταπεινώσεως, τὴν τοῦ θείου κάλλους σφραγῖδα, κατὰ τὸν λέγοντα· Ἅγιον· ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.

5. Δεῖ οὖν εὐχαριστοῦντας ὑπομένειν τὴν βουλὴν τοῦ Κυρίου· οὕτω γὰρ ἡμῖν εἰς λόγον δευτέρου μαρτυρίου λογισθήσεται τό τε συνεχὲς τῶν νόσων, καὶ ὁ πρὸς τοὺς δαιμονιώδεις λογισμοὺς πόλεμος· ὁ γὰρ τότε λέγων τοῖς Ἁγίοις ἐκείνοις Μάρτυσι, διὰ τῶν ἀνόμων ἀρχόντων ἀρνήσασθαι τὸν Χριστόν, ποθήσατε δὲ τὰς βιοτικὰς δόξας, καὶ νῦν ταῦτα ἐφέστηκε, δι' ἑαυτοῦ τοῖς δούλοις τοῦ Θεοῦ ἀδιαλείπτως λέγων.

6. Ὁ τότε ἀλγύνων τὰ τῶν δικαίων σώματα, καὶ ὑβρίζων ἐσχάτως τοὺς τιμίους διδασκάλους διὰ τῶν ὑπηρετούντων τοῖς διαβολικοῖς ἐκείνοις φρονήμασιν, αὐ-

τὸς καὶ νῦν τοῖς τῆς εὐσεβείας ὁμολογηταῖς ἐπάγει τὰ διάφορα πάθη μετὰ ὕβρεων πολλῶν καὶ ἐξουδενώσεων· διὰ τοῦτο καὶ ἡμᾶς χρὴ μετὰ ἀσφαλείας καὶ ὑπομονῆς τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν κατεργάζεσθαι ἐνώπιον τοῦ Θεοῦ· ὑπομένων γάρ, φησιν, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Ἑρμηνεία

ΟΤΑΝ ὑπερβολικῶς δυσφοροῦμεν διὰ τὰς σωματικὰς ἀνωμαλίας καὶ ἀσθενείας, ποὺ μᾶς συμβαίνουν, καὶ στενοχωρούμεθα ἐξ αὐτῶν, πρέπει νὰ γνωρίζωμεν, ὅτι ἡ ψυχὴ ἡμῶν εἶναι ἀκόμη ὑποδουλωμένη εἰς τὰς σωματικὰς ἐπιθυμίας. Καὶ δι' αὐτὸν ἀκριβῶς τὸν λόγον, ἐπειδὴ ἀκόμη ποθεῖ τὰς ὑλικὰς ἀνέσεις, δὲν ἐπιθυμεῖ νὰ ἀναχωρήσῃ ἀπὸ τὰ τερπνὰ τοῦ παρόντος κόσμου, παραλλήλως δὲ θεωρεῖ ὡς τρομακτικὴν καὶ φοβερὰν ἀδημονίαν τὸ νὰ μὴ ἠμπορῇ, ἐξ ἀφορμῆς τῆς νόσου, νὰ ἀπολαύσῃ τὴν ὑλικὴν ὡραιότητα τῆς ζωῆς.

2. Ἐὰν δέ, ἀπ' ἐναντίας, μετὰ χαρᾶς ὑπομένῃ τὰς ταλαιπωρίας καὶ τὰ βάσανα τῆς νόσου, τότε ἡ τοιαύτη ψυχὴ εὐκόλως ἀναγνωρίζεται, ὅτι δὲν ἀπέχει καὶ πολὺ ἀπὸ τὴν κατάστασιν τῆς κατὰ Θεὸν ἀπαθείας. Εἰς τὴν περίπτωσιν αὐτὴν καὶ αὐτὸν ἀκόμη τὸν θάνατον ἡ τοιαύτη ψυχὴ τὸν ἀναμένει εὐχαρίστως, διότι τὸν θεωρεῖ ὡς μοναδικὴν εὐκαιρίαν διὰ τὴν κληρονομίαν τῆς αἰωνίου ζωῆς. Ὅπως δὲ ἀκριβῶς τὸ κερὶ δὲν ἠμπορεῖ νὰ συγκρατήσῃ τὸν τύπον τῆς μολυβδοσφραγῖδος οὔτε ὅταν εἶναι τελείως ἀκατέργαστον, ἀλλ' οὔτε καὶ ὅταν τακῇ ἐπὶ πολὺ λόγῳ τῆς θερμότητος, τοιουτοτρόπως καὶ ὁ ἄνθρωπος, ἐὰν δὲν δοκιμασθῇ ἀπὸ τὸν πόνον καὶ τὰς ἀσθενείας, δὲν εἶναι δυνατὸν νὰ διατηρήσῃ τὴν σφραγῖδα τῆς κατὰ Θεὸν ἀρετῆς.

3. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ Κύριος λέγει εἰς τὸν θεσπέσιον Παῦλον· «Ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται» (Β' Κορ. ιβ', 9). Ὁ ἴδιος δὲ ὁ Ἀπόστολος Παῦλος, ὅταν αἰσθάνεται καύχησιν λέγει· «Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ» (Β' Κορ. ιβ', 9). Ὁ Παῦλος, ὅταν λέγῃ ἀσθενείας, ἐννοεῖ τὰς ἐπιθέσεις τῶν ἐχθρῶν τοῦ Σταυροῦ τοῦ Χριστοῦ, αἱ ὁποῖαι ἐξεδηλοῦντο τακτικῶς καὶ ἐναντίον του καὶ ἐναντίον τῶν Ἁγίων τῆς ἐποχῆς ἐκείνης, διὰ νὰ μὴ ὑπερηφανεύωνται, ὅπως ὁ ἴδιος λέγει, ἀπὸ τὴν ὑπεροχὴν τῶν ἀποκαλύψεων [1]· ἀπ' ἐναντίας δέ, περισσότερον παρέμενον εἰς τὴν κατάστασιν τῆς τελειότητος, ἐξ αἰτίας τῆς ταπεινώσεως, ἡ ὁποία προήρχετο ἀπὸ τοὺς συνεχεῖς ἐξευτελισμούς, διαφυλάσσοντες τοιουτοτρόπως μετὰ προσοχῆς τὸ θεῖον δῶρον αὐτῆς τῆς τελειότητος.

4. Ἡμεῖς σήμερον ὀνομάζομεν ἀσθενείας τοὺς πονηροὺς λογισμοὺς καὶ τὰς ἐκ τῶν ἀσθενειῶν σωματικὰς ἀνωμαλίας. Διότι τότε μὲν ἐπειδὴ καθημερινῶς οἱ κατὰ τῆς ἁμαρτίας ἀγωνιζόμενοι ἄνθρωποι παρε-

---

1) «Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι». (Β' Κορ. ιβ', 7).

δίδοντο εἰς βασανιστήρια, ποὺ ἐπέφερον τὸν θάνατον, καὶ εἰς ἄλλας σωματικὰς θλίψεις, εὑρίσκοντο πολὺ ὑπεράνω τῶν παθῶν, ποὺ προκαλεῖ ἡ ἁμαρτία εἰς τὴν ἀνθρωπίνην φύσιν. Τώρα ὅμως, χάρις εἰς τὴν δύναμιν τοῦ Κυρίου, ἐπεκτείνεται ἡ εἰρήνη τῶν Ἐκκλησιῶν καὶ ἐκλείπει πλέον ἡ περίοδος τῶν διωγμῶν· διὰ τὸν λόγον αὐτὸν πρέπει νὰ στενοχωρῆται τὸ σῶμα μὲ συνεχεῖς ταλαιπωρίας, εἴτε ἐξ ἀσθενειῶν εἴτε ἐξ ἄλλων αἰτιῶν, νὰ δοκιμάζωνται δὲ αἱ ψυχαὶ τῶν ἀγωνιστῶν τῆς εὐσεβείας μὲ τὰς ἐπιθέσεις τῶν πονηρῶν λογισμῶν, ὥστε νὰ ἀπαλλαγῶσιν οὗτοι ἀπὸ τὸ πάθος τῆς κενοδοξίας καὶ τὸν κίνδυνον τοῦ μετεωρισμοῦ καὶ νὰ δυνηθῶσιν, ὅπως ἀνέφερον προηγουμένως, νὰ ἀποτυπώσουν εἰς τὴν καρδίαν των, μὲ τὴν δύναμιν τῆς πολλῆς ταπεινώσεως, τὴν σφραγῖδα τοῦ θείου κάλλους, σύμφωνα μὲ τὸ θεῖον λόγιον· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου Σου, Κύριε» (Ψαλ. δ', 7).

5. Πρέπει λοιπὸν μετ' εὐχαριστήσεως καὶ ἀγογγύστως νὰ ὑπομένωμεν τὰς βουλὰς τοῦ Κυρίου, διότι ἡ ὑπομονὴ αὐτὴ θὰ θεωρηθῇ δεύτερον μαρτύριον δι' ἡμᾶς, δηλαδὴ τὸ νὰ μὴ ἀγανακτῶμεν διὰ τὰς συνεχεῖς ἀσθενείας καὶ τὸν πόλεμον ἐναντίον τῶν λογισμῶν, ποὺ ἐμπνέουν οἱ δαίμονες. Ἂς μὴ λησμονῶμεν, ὅτι ἐκεῖνος, ποὺ προέτρεπε τότε τοὺς Ἁγίους Μάρτυρας, διὰ στόματος τῶν ἀνόμων ἀρχόντων, νὰ ἀρνηθοῦν τὸν Χριστὸν καὶ νὰ ποθήσουν τὴν δόξαν τοῦ παρόντος κόσμου, αὐτὸς καὶ τώρα ὁ ἴδιος ἐμφανίζεται καὶ ὑποδεικνύει τὰ ἴδια εἰς τοὺς δούλους τοῦ Θεοῦ. Καὶ αὐτὸς εἶναι ὁ διάβολος.

6. Αὐτὸς λοιπὸν ὁ ἴδιος ὁ διάβολος, ποὺ προκαλοῦσε τοὺς πόνους εἰς τὰ σώματα τῶν δικαίων καὶ ἐξυβρίζει τελευταίως τοὺς τιμίους διδασκάλους διὰ στόματος τῶν ὑπηρετούντων εἰς τὰ διαβολικὰ φρονήματα, αὐτὸς καὶ τώρα ἐπιφέρει τὰ διάφορα πάθη εἰς τοὺς ὁμολογητὰς τῆς εὐσεβείας μαζὶ μὲ πολλὰς προσβολὰς καὶ ἐξευτελισμούς. Ἔχοντες καὶ ἡμεῖς ὑπ' ὄψιν μας ὅλα αὐτὰ πρέπει μὲ ὑπομονὴν καὶ ἀσφάλειαν νὰ ἑτοιμάζωμεν ἐνώπιον τοῦ Θεοῦ τὸ μαρτύριον τῆς συνειδήσεως, τὸ ὁποῖον συνίσταται εἰς τὴν ἀγόγγυστον ἀντιμετώπισιν τῶν θλιβερῶν τοῦ βίου, ὅπως λέγει καὶ τὸ γραφικὸν ἐκεῖνο ρητόν· «Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι» (Ψαλ. λθ', 1).

Γ'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι πολλαὶ αἱ τοῦ διαβόλου παγίδες· διὰ πενίας οὐ μετεκίνησε ψυχήν; καὶ πλοῦτον προσάγει εἰς δέλεαρ· δι' ὕβρεων καὶ ὀνειδισμῶν οὐκ ἴσχυσεν; ἐπαίνους καὶ δόξαν προβάλλεται· διὰ τῆς ὑγείας ἡττήθη; νοσοποιεῖ τὸ σῶμα· ταῖς γὰρ ἡδοναῖς μὴ δυνηθεὶς ἀπατῆσαι, διὰ τῶν ἀκουσίων πόνων τὴν παρεκτροπὴν τῆς ψυχῆς πειρᾶται ποιῆσαι.

2. Νόσους γάρ τινας βαρυτάτας ἐξ αἰτήσεως ἐπάγει, ἵνα διὰ τῆς ὀλιγωρίας θολώσῃ ἡμῶν τὴν πρὸς Θεὸν ἀγάπην· ἀλλ' εἰ καὶ κατατέμνεται τὸ σῶμα, καὶ πυρετοῖς σφοδροτάτοις καταφλέγεται, ἔτι μὴν καὶ δίψει ἀσχέτῳ φρύγεται, εἰ μὲν ἁμαρτωλὸς ὢν ταῦτα ὑφίστασαι, μνήσθητι τῆς αἰωνίου κολάσεως, καὶ τοῦ αἰω-

νίου πυρός, καὶ τῶν ἀνυποίστων τιμωριῶν, καὶ οὐκ ὀλιγωρήσεις πρὸς τὰ παρόντα.

3. Χαῖρε δὲ ὅτι ἐπεσκόπησέ σε ὁ Θεός, καὶ τὸ εὔφημον ἐκεῖνο ῥητὸν ἐπὶ τῆς γλώττης ἔχε, λέγων μετὰ τοῦ προφήτου· «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με τῆς ἁμαρτίας»· σίδηρος ἐτύγχανες; ἀλλὰ διὰ πυρὸς τὸν ἰὸν ἀποβάλλεις· εἰ δὲ δίκαιος ὢν ἀῤῥωστῇς; ἀπὸ τῶν μεγάλων ἐπὶ τὰ μείζω προκόπτεις· χρυσὸς εἶ; ἀλλὰ διὰ πυρὸς δοκιμώτερος γίνῃ.

4. Ἐδόθη σοι Ἄγγελος σατὰν τῇ σαρκί; ἀγαλλιῶ· βλέπε τίνος ὅμοιος γέγονας, Παύλου τοῦ μεγάλου φωστῆρος τῆς οἰκουμένης· διὰ πυρετοῦ δοκιμάζῃ; διὰ ῥίγους παιδεύει; λοιπὸν καὶ αὐτὸς διελθὼν διὰ πυρὸς καὶ ὕδατος, ἑτοίμην εὑρήσεις καὶ τὴν ἀναψυχήν. Τυχὼν τῶν προλαβόντων, προσδόκα τὸ ἑπόμενον.

5. Μὴ λυπηθῇς ὡς διὰ τὴν ἀσθένειαν τοῦ σώματος εἰς εὐχὴν στῆναι ἢ ψάλλειν μετὰ φωνῆς οὐ δύνῃ· πάντα μὲν γὰρ ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα ἡμῖν ἠνύετο πρὸς καθαίρεσιν τῶν σαρκικῶν ἐπιθυμιῶν· καὶ γὰρ νηστεία, καὶ χαμευνία, διὰ τὰς αἰσχίστους ἡμῶν ἡδονὰς νενομοθέτηνται· εἰ δὲ νόσος ταῦτα ἤμβλυνε, περιττὰ ἐκεῖνα.

6. Τί δὲ λέγω περιττά; μᾶλλον μὲν οὖν ὥς περ μείζονι καὶ ὑψηλοτέρῳ φαρμάκῳ τῇ νόσῳ, τὸ τῆς σαρκὸς εἰς τέλος καθῄρηται φρόνημα· καὶ αὕτη ἐστὶν ἡ μεγάλη ἄσκησις, τὸ ταῖς νόσοις ἐγκαρτερεῖν καὶ εὐχαριστεῖν τῷ Θεῷ.

7. Ἀφαιρούμεθα ὑπὸ τῆς νόσου ὀφθαλμόν; μὴ βαρέως ἐνέγκωμεν· τὰ γὰρ τῆς ἀπληστίας ἀπεβάλλομεν ὄργανα, τοῖς δὲ ἔνδον ὀφθαλμοῖς τὴν δόξαν Κυρίου κατοπτριζόμεθα.

8. Ἐκωφεύσαμεν; εὐχαριστήσωμεν· τὴν γὰρ ματαίαν ἀκοὴν οὐκέτι παραδεξώμεθα· τοῖς δὲ νοεροῖς ὠσὶ τὸν λόγον τοῦ Κυρίου διὰ παντὸς ἀκουσόμεθα.

9. Τὰς χεῖρας ἢ τοὺς πόδας πεπόνθαμεν; τὰ ἐνεργοῦντα τῇ ἁμαρτίᾳ μέλη λυσιτελῶς ἀφῃρέθημεν· ἔχομεν τὰς ἔνδον χεῖρας καὶ τοὺς πόδας, δι᾿ ὧν τόν τε ἐχθρὸν καταπολεμήσομεν, καὶ τὴν πρὸς οὐρανὸν φέρουσαν τρίβον ἀσφαλῶς βαδιούμεθα.

10. Ὅλον τὸ σῶμα κάμνει τῇ ἀῤῥωστίᾳ; ἀλλὰ τῷ ἔσω ἀνθρώπῳ ἡ τελεία ὑγεία προσγίνεται.

11. Μὴ οὖν ἀδημονήσωμεν ἀῤῥωστοῦντες, ἀλλ᾿ εὐχαριστήσωμεν τῷ Θεῷ τῷ πάντα συμφερόντως οἰκονομοῦντι, καὶ πολλάκις διὰ τῆς προσκαίρου τοῦ φθειρομένου σώματος ἀῤῥωστίας, τῇ ἀθανάτῳ ψυχῇ ὑγείαν καὶ σωτηρίαν χαριζομένῳ ἀΐδιον.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ ἔλεγεν, ὅτι ὁ διάβολος ἔχει πολλὰς παγίδας. Μὲ τὴν πτωχείαν καὶ τὴν δυστυχίαν δὲν κατώρθωσε νὰ μετακινήσῃ ψυχὴν πρὸς τὸ κακόν; παρουσιάζει τὸν πλοῦτον, διὰ νὰ δελεάσῃ τὸν ἄνθρωπον. Δὲν κατώρθωσεν αὐτό, ποὺ ἤθελε, μὲ τὰς ὕβρεις καὶ τοὺς ἐξευτελισμοὺς ἐναντίον τοῦ εὐσεβοῦς; διὰ νὰ τὸν ἀποσπάσῃ, τὸν προσβάλλει μὲ τὴν ἡδονὴν τοῦ ἐπαίνου καὶ τῆς δόξης. Ἐνικήθη ὁ διάβολος ἀπὸ τὴν ὑγείαν τοῦ ἀνθρώπου, διότι οὗτος τὴν ἐχρησιμοποίησεν εἰς τὴν ἀρετὴν καὶ τὴν εὐσέβειαν; ἀρρωσταίνει τὸ σῶμα, ἐφ᾿ ὅσον δὲν ἠδυνήθη νὰ ἐξαπατήσῃ τὴν ψυχὴν μὲ τὰς ἡδονάς. Τοιουτοτρόπως μὲ τοὺς ἀθελήτους πόνους ἀποπειρᾶται νὰ πραγματοποιήσῃ τὴν ἠθικὴν παρεκτροπὴν τῆς ψυχῆς.

2. Βαρυτάτας καὶ ὀδυνηροτάτας λοιπὸν νόσους, κατὰ παραχώρησιν Θεοῦ, προξενεῖ εἰς τὸν ἄνθρωπον, ὥστε διὰ τῆς ἀμελείας μας, ἐξ

αἰτίας τῶν πόνων τοῦ σώματος, νὰ θολώσῃ τὴν ἀγάπην μας πρὸς τὸν Θεὸν καὶ νὰ μετριάσῃ τὸν ζῆλόν μας. Ἀλλ' ἡμεῖς, ἔστω καὶ ἐὰν σφαγιάζεται τὸ σῶμα ἀπὸ τοὺς φρικτοὺς πόνους, καὶ κατακαίεται ἀπὸ ὑψηλὸν πυρετόν, καὶ ἐὰν ἀκόμη καταξηραίνωνται τὰ ἐντόσθιά μας ἀπὸ ἰσχυρὰν δίψαν, δὲν πρέπει νὰ ὑποκύψωμεν καὶ νὰ ἀγανακτήσωμεν. Ἐάν, ἀδελφέ μου, εἶσαι ἁμαρτωλὸς καὶ τὰ ὑφίστασαι αὐτά, ἐνθυμήσου τὴν αἰώνιον κόλασιν, τὸ αἰώνιον πῦρ καὶ τὰς ἀφαντάστους τιμωρίας καὶ τότε ἀσφαλῶς δὲν θὰ φοβηθῇς ἀπὸ τὰς παρούσας δοκιμασίας, ὥστε νὰ ἀμελήσῃς τὴν σωτηρίαν σου.

3. Ἀπεναντίας, νὰ εἶσαι χαρούμενος, διότι σὲ ἐπεσκέφθη ὁ Θεὸς καὶ νὰ ἐπαναλαμβάνῃς συνεχῶς τὴν παρήγορον καὶ ἀνακουφιστικὴν φράσιν τοῦ Προφήτου· «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με» (Ψαλ. ριζ', 18). Ἦσουν ὡς ὁ σίδηρος κατὰ τὴν σταθερότητα; νὰ χαίρεσαι καὶ πάλιν, διότι μὲ τὴν φλόγα τῶν δοκιμασιῶν ἀποβάλλεις τὴν σκουριὰν τῶν παθῶν. Ἐὰν πάλιν ἦσουν δίκαιος, πιστὸς τηρητὴς τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ εὐλαβής, μὴ θορυβεῖσαι, ὅταν ἀρρωσταίνῃς, διότι προκόπτεις ἀπὸ τὰ μεγάλα κατορθώματα πρὸς τὰ μεγαλύτερα. Νομίζεις ὅτι εἶσαι, κατὰ τὴν ἀξίαν, χρυσός; Ἐν τοιαύτῃ περιπτώσει διὰ τοῦ πυρὸς τῶν δοκιμασιῶν θὰ ἀναφανῇς λαμπρότερος, ὅπως ὁ χρυσὸς εἰς τὸ καμίνι τοῦ χρυσοχόου.

4. Ἔχει δοθῆ εἰς τὴν σάρκα σου «Ἄγγελος σατᾶν» (Β. Κορ. ιβ', 7). Μὰ τότε μὲ ἐνθουσιασμὸν πρέπει νὰ εὐχαριστῆσαι, διότι κατώρθωσες νὰ γίνῃς ὅμοιος μὲ κάποιον μεγάλον· μὲ ποῖον; Μὲ τὸν μέγαν Παῦλον, τὸν φωστῆρα τῆς οἰκουμένης! Μὲ πυρετὸν δοκιμάζεσαι; Μὲ ῥῖγος παιδεύεσαι; Ἀσφαλῶς τότε νὰ ἔχῃς ὑπ' ὄψιν σου, ὅτι ἀφοῦ διῆλθες διὰ πυρὸς καὶ ὕδατος (κατὰ τὸ γραφικὸν) ἀσφαλῶς θὰ εὕρῃς καὶ ἑτοίμην τὴν ἀναψυχὴν (1). Ἀφοῦ ὑπέστης τὰ προηγηθέντα, δηλαδὴ τὴν διὰ τοῦ πυρετοῦ καὶ ῥίγους δοκιμασίαν, νὰ ἀναμένῃς μετ' εὐχαριστήσεως καὶ τὰ ἀκολουθοῦντα, δηλαδὴ τὴν ἀπὸ τοῦ Κυρίου ἀνάπαυσιν καὶ ἀναψυχήν.

5. Μὴ λυπηθῇς, διότι ἐκ τῆς ἀσθενείας τοῦ σώματος δὲν θὰ ἠμπορέσῃς νὰ παραμείνῃς ὄρθιος κατὰ τὴν προσευχὴν ἢ νὰ ψάλλῃς μὲ δυνατὴν φωνήν· διότι ὅλα αὐτὰ καὶ ὅσα ἀκολουθοῦν αὐτά, δηλαδὴ ἡ νηστεία καὶ ὁ ἐπὶ τοῦ ἐδάφους ὕπνος, ἔχουν νομοθετηθῆ πρὸς ἀπόκρουσιν τῶν αἰσχρῶν ἡδονῶν καὶ διὰ νὰ μᾶς ὠφελήσουν εἰς τὴν κατανίκησιν τῶν ἐπιθυμιῶν τῆς σαρκός. Ἐφ' ὅσον ὅμως ἡ νόσος κατεμάρανε τὰς σαρκικὰς ἐπιθυμίας καὶ ἐξηφάνισε τὰς αἰσχρὰς ἡδονάς, τὰ πνευματικὰ ἐκεῖνα μέτρα εἶναι πλέον περιττά.

6. Καὶ διατί λέγω ἁπλῶς περιττά; Περισσότερον ἁρμόζει νὰ εἴπω,

---

1) «Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν». (Ψαλμ. ξε', 12).

ὅτι ἡ νόσος εἶναι τὸ τελειότερον καὶ ἀποτελεσματικώτερον φάρμακον, διὰ νὰ ἐξαλειφθῇ τὸ σαρκικὸν φρόνημα. Καὶ δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἡ σπουδαιοτέρα ἄσκησις εἶναι ἡ ὑπομονή, τὴν ὁποίαν ὀφείλομεν νὰ ἐπιδεικνύωμεν εἰς τὰς νόσους καὶ ἡ ὑποχρέωσίς μας νὰ εὐχαριστοῦμεν τὸν Θεὸν διὰ τὴν δοκιμασίαν αὐτήν.

7. Ἐχάσαμεν ἀπὸ τὴν ἀσθένειαν τοὺς ὀφθαλμούς μας; Ἂς μὴ φέρωμεν βαρέως τὴν ἀπώλειαν αὐτήν· ἂς εἴπωμεν εἰς τὸν ἑαυτόν μας· τί ἐχάσαμεν; τὰ ὄργανα τῆς ἀπληστίας, ἐνῷ τὴν δόξαν τοῦ Κυρίου τὴν βλέπομεν καθαρὰ διὰ τῶν ὀφθαλμῶν τῆς ψυχῆς!

8. Κατέστημεν ὑπὸ ἀσθενείας κωφοί; ἂς εἴμεθα εὐχαριστημένοι, δὲν θὰ ἀκούσωμεν πλέον ψυχοφθόρους συζητήσεις, ἐνῷ μὲ τὰ νοερὰ ὦτα θὰ ἀκούωμεν πάντοτε τὸν λόγον τοῦ Κυρίου.

9. Ἔχουν ἀσθενήσει αἱ χεῖρες ἢ οἱ πόδες ἡμῶν; Ἁπλούστατα ἔχουν ἀχρηστευθῆ, διὰ τὸ καλὸν τῆς ψυχῆς μας, τὰ μέλη, ποὺ συντελοῦν εἰς τὴν ἁμαρτίαν. Διαθέτομεν τὰς χεῖρας καὶ τοὺς πόδας τῆς ψυχῆς, διὰ τῶν ὁποίων καὶ τὸν ἐχθρὸν θὰ κατανικήσωμεν καὶ μὲ ἀσφάλειαν θὰ βαδίσωμεν τὸ μονοπάτι, ποὺ ὁδηγεῖ πρὸς τὸν οὐρανόν.

10. Ὁλόκληρον τὸ σῶμα ὑποφέρει ἀπὸ τὴν ἀσθένειαν; ὁ ἐσωτερικὸς ὅμως ἄνθρωπος πλουτίζεται διὰ τῆς τελείας ψυχικῆς ὑγείας καὶ ἐνδυναμοῦται!

11. Ἂς μὴ ἀδημονῶμεν λοιπόν, ὁσάκις ἀρρωσταίνομεν, ἀλλ' ἂς εὐχαριστῶμεν τὸν Θεόν, ὁ ὁποῖος ρυθμίζει ὅλα τὰ πράγματα πρὸς τὸ συμφέρον τῆς ψυχῆς μας καὶ δι' αὐτὸ πολλάκις, διὰ μιᾶς προσωρινῆς ἀσθενείας τοῦ φθειρομένου σώματος, προσφέρει δωρεὰν εἰς τὴν ἀθάνατον ψυχὴν ὑγείαν καὶ σωτηρίαν παντοτεινήν.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Λουκᾶ

ΜΟΝΑΧΟΣ τις Γρηγόριος ὄνομα, συνήθης ὢν τῷ Ἁγίῳ Λουκᾷ, ποτὲ σὺν αὐτῷ τὰς ἡμέρας τῶν νηστειῶν τὰς ἱερὰς διανύων, οὐ διελίμπανε προσιὼν αὐτῷ καὶ ὑπὲρ τῆς συντρόφου δεόμενος ἀσθενείας Θεοῦ δεηθῆναι καὶ ἀπαλλαγὴν αὐτῷ εὔξασθαι τοῦ πιέζοντος· ἦν γὰρ νοσερὸν ἔχων τὸ σῶμα, καὶ ὁ στόμαχος αὐτῷ ἀῤῥώστῳ πάνυ διέκειτο.

2. Ἐκείνου δὲ ἀναβαλλομένου διὰ μετριοφροσύνην, καὶ μεῖζον ἢ κατὰ τὴν αὐτοῦ δύναμιν εἶναι τὸ αἴτημα ἰσχυριζομένου, ὁ Γρηγόριος καὶ ἀλγῶν καὶ θαῤῥῶν (ᾔδει γὰρ ὅπως ἐκείνῳ τὰ πρὸς Θεὸν) οὐκ ἀφίστατο, ἀλλ' ἐπέμενε τὴν αἴτησιν ἐπισπεύδων, ἕως οὗ πλεῖον εἴργειν αὐτὸν μὴ δυνάμενος ὁ θαυμάσιος ἔφη· ταπεινὲ Γρηγόριε, ὑγιῶς ἔχων εἶ, οὐκέτι γὰρ ἐκ βρωμάτων ὀδυνήσῃ τὸν στόμαχον, τοῦτο εἰς ἔργον ἐξέβη καὶ καθαρᾶς ὑγείας ἀπήλαυσεν ὁ ἀνήρ.

Ἑρμηνεία

ΕΝΑΣ ΜΟΝΑΧΟΣ, ποὺ ἐλέγετο Γρηγόριος, ἦτο γνωστὸς μὲ τὸν Ἅγιον Λουκᾶν. Αὐτὸς λοιπὸν ὁ Μοναχὸς διήνυε τὰς ἡμέρας τῶν νηστειῶν μαζὶ μὲ τὸν Ἅγιον· καθ' ὅλον τὸ διάστημα αὐ-

τὸ δὲν παρέλειπε νὰ παρακαλῇ τὸν Ἅγιον νὰ προσεύχεται καὶ νὰ δέεται εἰς τὸν Θεὸν διὰ νὰ ἀπαλλαγῇ ἀπὸ μίαν ἐνοχλητικὴν σύντροφον ἀσθένειαν, ἐκ τῆς ὁποίας ὑπέφερε πολύ· ὁ Μοναχὸς αὐτὸς εἶχε ἀσθενικὸν σῶμα καὶ ἐπόνει πολὺ ἀπὸ τὸ στομάχι του.

2. Τὴν ἱκανοποίησιν τῆς παρακλήσεως αὐτῆς, δηλαδὴ νὰ προσευχηθῇ διὰ τὴν θεραπείαν ἐκ τῆς νόσου, διαρκῶς τὴν ἀνέβαλλεν ὁ Ἅγιος, διότι δὲν ἐθεώρει τὸν ἑαυτόν του ἄξιον, ἀπὸ μετριοφροσύνην, διὰ τὸ ἔργον αὐτό. Ἰσχυρίζετο δὲ ὅτι τὸ αἰτούμενον ἀπὸ τὸν Γρηγόριον ἦτο ἀνώτερον τῶν δυνάμεών του. Ὁ Γρηγόριος ὅμως δὲν ἐπείθετο καὶ ἐπέμενε φορτικῶς εἰς τὴν παράκλησίν του, διότι ἐγνώριζε καλῶς ποίαν παρρησίαν εἶχε πρὸς τὸν Θεὸν ὁ Ἅγιος Λουκᾶς. Τοιουτοτρόπως δὲ διήρχετο ἡ ζωὴ τοῦ Γρηγορίου μεταξὺ πόνων καὶ ἐλπίδων. Πρὸ τῆς ἐπιμονῆς αὐτῆς δὲν ἠδύνατο νὰ διαφύγῃ ὁ Ἅγιος ἐκεῖνος καὶ θαυμάσιος Ἀσκητής, ἀλλ' οὔτε καὶ εὕρισκε λόγους νὰ τὸν ἐμποδίσῃ ἀπὸ τὰς καθημερινὰς παρακλήσεις του. Δι' αὐτὸ καὶ μίαν ἡμέραν τοῦ λέγει:

— Εὐλογημένε μου ἀδελφὲ Γρηγόριε, ποὺ στολίζεσαι ἀπὸ τὴν ἀρετὴν τῆς ταπεινώσεως, θὰ γίνῃς καλὰ καὶ ποτὲ πλέον, ἐξ ἀφορμῆς τοῦ φαγητοῦ, δὲν θὰ σοῦ πονέσῃ τὸ στομάχι.

Καὶ ὢ τοῦ θαύματος! Ὁ λόγος ἔγινεν ἔργον καὶ ἔκτοτε ὁ Γρηγόριος ἀπήλαυσε σταθερᾶς ὑγείας.

Ε'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· ἐὰν ἀσθένειά σε καταλάβῃ ἡσυχάζοντα ἐν κελλίῳ, μὴ ὀλιγωρήσῃς, ἀλλ' εὐχαρίστησον τῷ Κυρίῳ· εἰ δὲ ταράσσεται ἡ ψυχή σου, εἰπὲ αὐτῇ· οὐ συμφέρει σοι ἡ ἀσθένεια αὕτη ὑπὲρ τὴν γέενναν εἰς ἣν μέλλεις ἀπελθεῖν; καὶ ἡσυχάσει ἐν σοί.

2. Ποτὲ οὖν ἀσθενοῦντα τοῦτον τὸν Ἅγιον ἐπεσκέψατο ὁ μαθητὴς αὐτοῦ ὁ Ἀββᾶς Πέτρος καὶ ἰδὼν αὐτὸν σφόδρα κάμνοντα, ἐλυπήθη· ὁ δὲ γέρων παραμυθούμενος αὐτὸν εἶπεν, ὅτι μόλις ἐγγίζων ἐν ταῖς τοιαύταις ἀσθενείαις δύναμαι μνησθῆναι τῆς πικρᾶς ὥρας τοῦ θανάτου καὶ τῆς κρίσεως· διότι ἡ ὑγεία τῆς σαρκὸς ὠφέλειαν οὐκ ἔχει· ζητεῖ γὰρ τὴν ἰδίαν ῥῶσιν πρὸς τὸ ἐχθρεῦσαι τῷ Θεῷ· δένδρον ποτιζόμενον καθ' ἡμέραν οὐ ξηραίνεται εἰς τὸ καρποφορῆσαι.

3. Ὁ αὐτὸς ἀσθενῶν ὁμοίως εἶπε πρὸς αὐτόν· κόπος, ἔχων ἀναπαύσεως προσδοκίαν, οὐκ ἔχει βάρος· διὸ οὐδὲ ἐγὼ ἐν τῷ κόπῳ τῆς ἀσθενείας πάνυ βαροῦμαι, συνέχει δέ με μᾶλλον ὁ φόβος τῆς σκοτεινοτάτης ὥρας ἐκείνης, ὅταν ἀποῤῥιφῶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οὐδεὶς ἔσται λοιπὸν ὁ ὑπακούων μου, οὐδὲ ἔσται τις προσδοκία ἀναπαύσεως.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἡσαΐας ἔλεγεν εἰς τοὺς μαθητάς του: Ἐὰν ἀσθενήσῃς, κατὰ τὴν διάρκειαν τῆς ἡσυχαστικῆς σου προσπαθείας εἰς τὸ μοναχικόν σου κελλίον, πρόσεξε νὰ μὴ σὲ ἐπηρεάσῃ αὐτό, ὥστε νὰ παραμελήσῃς τὰ καθήκοντά σου· ἀπ' ἐναντίας νὰ εὐχαριστήσῃς τὸν

Κύριον. Ἐὰν δέ, ἐξ αἰτίας τῆς ἀσθενείας, ταράσσεται καὶ ἀγωνιᾷ ἡ ψυχή σου, τότε νὰ τὴν ἐπιπλήξῃς καὶ νὰ τῆς εἴπῃς: Δὲν εἶναι προτιμοτέρα ἡ ἀσθένεια αὐτή, ἀπὸ τὴν γέενναν τοῦ πυρός, εἰς τὴν ὁποίαν, λόγῳ τῶν ἁμαρτιῶν σου, πρόκειται νὰ ἀπέλθῃς; Ἀσφαλῶς μετὰ ἀπὸ τὴν σκέψιν αὐτὴν θὰ ἡσυχάσῃ ἐντός σου ἡ ταραγμένη ψυχή σου.

2. Κάποτε λοιπόν, ποὺ ἦτο ἄρρωστος ὁ Ἅγιος αὐτός, τὸν ἐπεσκέφθη ὁ μαθητής του, ὁ Ἀββᾶς Πέτρος· μόλις δὲ τὸν εἶδε νὰ ὑποφέρῃ ὑπερβολικῶς ἀπὸ τὴν ἀσθένειαν, τὸν ἐλυπήθη. Τότε ὁ ἀσθενῶν ἤρχισε νὰ παρηγορῇ τὸν μαθητήν του καὶ τοῦ λέγει:

— Διατί λυπεῖσαι; Ἡ ἀσθένεια εἶναι ψυχοσωτήριος· μόλις καταλάβουν οἱ πόνοι τῆς ἀσθενείας τὸ σῶμα, τότε μόνον ἠμπορῶ νὰ ἐνθυμηθῶ τὴν πικρὰν ὥραν τοῦ θανάτου καὶ τῆς κρίσεως. Πρέπει νὰ γνωρίζῃς, ὅτι ἡ ὑγεία τῆς σαρκὸς δὲν προξενεῖ οὐδεμίαν ὠφέλειαν εἰς τὴν ψυχήν, διότι τὸ σῶμα ἐπιζητεῖ τὴν εὐρωστίαν πρὸς τὸν σκοπὸν νὰ ἐναντιωθῇ εἰς τὸ θέλημα τοῦ Θεοῦ. Συμβαίνει τὸ ἴδιον μὲ τὸ δένδρον, τὸ ὁποῖον ποτίζεται ἀνελλιπῶς καθ' ἑκάστην, τὸ πότισμα τὸ αὐξάνει, ἀλλ' αὐτὸ τὸ ἐμποδίζει νὰ καρποφορήσῃ.

3. Ὁ ἴδιος πάλιν, ὅταν ἄλλοτε ἦτο ἀσθενής, ἔλεγε πρὸς τὸν μαθητήν του:

— Κόπος, ὁ ὁποῖος συνοδεύεται ἀπὸ τὴν προσδοκίαν ὑλικῆς καὶ σωματικῆς ἀναπαύσεως, δὲν ἔχει τὸν χαρακτῆρα μαρτυρίου καὶ ὡς ἐκ τούτου δὲν ἐπιφέρει βάρος. Δι' αὐτὸ καὶ ἐγὼ δὲν αἰσθάνομαι πάρα πολὺ τὸ βάρος τῆς ἀσθενείας, ἐπειδὴ προσδοκῶ καὶ ἐπιδιώκω τὴν θεραπείαν. Ἀπ' ἐναντίας· περισσότερον μὲ κατέχει ὁ φόβος τῆς φοβερᾶς καὶ σκοτεινῆς στιγμῆς τοῦ θανάτου, ὅταν σκέπτωμαι, ὅτι, λόγῳ τῶν ἁμαρτιῶν μου, ὁ Θεὸς θὰ μὲ ἀπορρίψῃ περιφρονητικῶς ἀπὸ τὸ πρόσωπόν του, χωρὶς νὰ ὑπάρχῃ κανεὶς νὰ ἀκούσῃ τὸν στεναγμόν μου καὶ νὰ μὲ βοηθήσῃ καὶ χωρὶς νὰ προσδοκῶ οὐδεμίαν πλέον ἀνάπαυσιν, διότι ἡ κόλασις εἶναι ἀτελεύτητος. Αὐτὸ εἶναι τὸ βάρος, ὑπὸ τὸ ὁποῖον δικαιολογημένως στενάζει ὁ ἄνθρωπος.

ϛ'. Βαρσανουφίου

ἈΔΕΛΦΟΣ κοσμικὸς τοῦ αὐτοῦ μεγάλου Γέροντος, γέρων καὶ αὐτὸς ὢν τῇ ἡλικίᾳ τοῦ σώματος, ἐλθὼν πρὸς τὸ Κοινόβιον, ἐν ᾧ ὁ Ἅγιος ἡσύχαζεν, ἔπεμψαν αὐτὸν αὐτῷ συντυχεῖν.

2. Ὁ δὲ Γέρων ἐδήλωσεν αὐτῷ ταῦτα· ἐγὼ ἀδελφὸν τὸν Ἰησοῦν ἔχω· ἐὰν δὲ καὶ σὺ καταφρονήσας τοῦ κόσμου Μοναχὸς γένῃ, τότε ἀδελφός μου εἶ.

3. Ταῦτα ἀκούσας μετὰ πολλοῦ κλαυθμοῦ ἀνεχώρησε, καὶ μετ' οὐ πολὺ ἐλθὼν ἀπετάξατο ἐκεῖ· καὶ μετά τινα χρόνον, ἀσθενείᾳ σώματος περιπεσών, καὶ ὑδρωπικιάσας, ἔπεμψε πρὸς τὸν Γέροντα αἰτῶν, ἵνα ἐκ τοῦ πάθους κουφισθῇ.

4. Ὁ δὲ ἀπεκρίθη αὐτῷ ταῦτα· ἡ ἀσθένεια αὕτη οὐκ ἦλθέ σοι δι' ἄλλο τι, ἀλλ' ἵνα μὴ ἀπέλθῃς ἄκαρπος πρὸς τὸν Θεόν· ἐὰν οὖν ὑπομείνῃς καὶ εὐχαριστήσῃς, ἀντὶ πολιτείας λογίσεταί σοι, ὅτι οὐκ ἐχρόνισας ἐν τῷ σχήματι τῷ μοναχικῷ· καὶ ἐκ μέρους δὲ ἡ θλίψις αὕτη ἐγένετό σοι, ὅτι ἐψήφισάς με τὸν μηδὲν ὄντα,

καὶ σαυτόν, ἐμὲ μὲν ὡς μέγαν ἄνθρωπον, σεαυτὸν δὲ ὡς ἀδελφὸν τοιούτου ἀνθρώπου, καὶ οὐκ οἶδες ὅτι τέκνα ἐσμὲν τῆς παραβάσεως Ἀδάμ, καὶ γῆ ἐσμεν καὶ σποδός.

5. Εὐχαρίστησον οὖν τῷ ἐνεγκόντι σε εἰς τοιαύτην κατάστασιν· εἰ εἴχομεν δὲ τὴν ταπείνωσιν τοῦ Ἰησοῦ, εἴχομεν εἰπεῖν· τίς ἐστιν ἡ μήτηρ μου, καὶ τίνες οἱ ἀδελφοί μου, καὶ τὰ ἑξῆς.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Βαρσανούφιος εἶχεν ἕνα σαρκικὸν ἀδελφόν, γέροντα κατὰ τὴν ἡλικίαν, κοσμικόν, ποὺ ἔζη εἰς τὴν πολιτείαν. Κάποτε λοιπὸν ὁ κοσμικὸς αὐτὸς ἦλθεν εἰς τὸ Κοινόβιον, ὅπου ἐμόναζεν ὁ Ἀββᾶς Βαρσανούφιος. Τὸν ἔστειλαν δὲ οἱ Μοναχοί, διὰ νὰ συναντήσῃ τὸν ἀδελφόν του.

2. Ὁ Ἅγιος ἐκεῖνος Ἀσκητής, ἀντὶ νὰ δείξῃ τὴν χαράν του, διότι μετὰ ἀπὸ τόσα ἔτη ἔβλεπε τὸν ἀδελφόν του, εἶπε ξηρῶς πρὸς αὐτόν:

—Ἐγὼ μόνον τὸν Ἰησοῦν ἔχω ἀδελφόν· ἐσένα θὰ σὲ καταστήσω ἀδελφόν μου, μόνον ἐφ' ὅσον περιφρονήσῃς τὸν κόσμον καὶ γίνῃς Μοναχός.

3. Ὁ κοσμικός, μόλις ἤκουσεν αὐτά, ἐστενοχωρήθη καὶ ἀφοῦ ἔκλαυσε πολὺ ἀνεχώρησεν ἐκ τοῦ Κοινοβίου. Μετ' ὀλίγον καιρόν, ἀφοῦ ἐσκέφθη καλῶς, ἐγκατέλειψεν ὁ κοσμικὸς τὴν πολιτείαν καὶ ἔγινε Μοναχός. Κάποτε λοιπὸν ἠσθένησε σωματικῶς καὶ ὑπέστη ὑδρωπικίαν, ἐκ τῆς ὁποίας ὑπέφερε πάρα πολύ. Ὑποφέρων δὲ ἀπὸ τὴν ἀσθένειαν ἔστειλε πρὸς τὸν Ἀββᾶν Βαρσανούφιον ἄνθρωπον καὶ τὸν παρεκάλεσε νὰ τὸν βοηθήσῃ, ὅπως δύναται, διὰ νὰ ἀνακουφισθῇ ἀπὸ τὸ πάθος.

4. Τότε ὁ Γέρων Ἀσκητὴς διεμήνυσε πρὸς τὸν ἀδελφόν του:

—Ἡ ἀσθένεια αὐτὴ σὲ κατέλαβε, διὰ νὰ μὴ ἀναχωρήσῃς πρὸς τὸν Θεὸν χωρὶς καρποὺς ἀσκήσεως· ἐὰν λοιπὸν ἐπιδείξῃς ὑπομονὴν καὶ ἀγογγύστως εὐχαριστήσῃς τὸν Θεὸν διὰ τὴν δοκιμασίαν αὐτήν, ὁ Θεὸς θὰ σοῦ λογαριάσῃ αὐτὴν τὴν ταλαιπωρίαν τοῦ σώματος ὡς ἀγῶνα μοναχικῆς πολιτείας, ἐπειδὴ δὲν ἔκαμες πολλὰ ἔτη ὡς Μοναχός. Ἐκτὸς ὅμως αὐτοῦ ἡ θλῖψις τῆς ἀσθενείας ἔχει καὶ ἕνα ἄλλον σκοπόν· τὸ ἔκαμε ὁ Θεὸς διὰ νὰ σὲ ταπεινώσῃ, ἐπειδὴ καὶ ἐμένα, τὸν μηδαμινόν, μὲ ἐθεώρησες ὡς σπουδαῖον ἄνθρωπον, καὶ τὸν ἑαυτόν σου ἐπίσης, ὡς ἀδελφὸν τοιούτου τάχα ἀνθρώπου, χωρὶς νὰ λάβῃς ὑπ' ὄψιν σου, ὅτι εἴμεθα καὶ οἱ δύο τέκνα τῆς παραβάσεως τοῦ Ἀδάμ· ὡς τοιαῦτα δὲ δὲν ἀξίζομεν περισσότερον ἀπὸ τὸ χῶμα καὶ τὴν στάκτην.

5. Εὐχαρίστησε λοιπόν, ἀδελφέ μου, τὸν Θεόν, διότι σὲ ἔφερεν εἰς αὐτὴν τὴν κατάστασιν, ἐκ τῆς ὁποίας τόσον θὰ ὠφεληθῇς. Ἐὰν δὲ εἴχαμεν τὴν ταπείνωσιν τοῦ γλυκυτάτου Ἰησοῦ, τότε θὰ ἠδυνάμεθα νὰ εἴπωμεν ποία εἶναι ἡ μητέρα μας καὶ ποῖοι οἱ ἀδελφοί μας, καὶ τὰ λοιπὰ ὅσα ἀνέφερεν εἰς τὸ Εὐαγγέλιόν του ὁ Ἰησοῦς. «Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ, ἔφη· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου· ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ

ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστὶν« (Ματθ. ιβ', 49—50).

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΓΕΡΩΝ τις ἦν, καὶ συνεχῶς ἐκακοῦτο καὶ ἠσθένει· συνέβη δὲ αὐτὸν ἕνα ἐνιαυτὸν μὴ κακωθῆναι, καὶ ἐδυσφόρει δεινῶς καὶ ἔκλαιε λέγων· ἐγκατέλιπέ με ὁ Θεὸς καὶ οὐκ ἐπεσκέψατό με.

2. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἐάν εἰσι τρεῖς ἐπὶ τὸ αὐτό, καὶ ὁ μὲν εἷς ἡσυχάζει καλῶς, ὁ δὲ ἄλλος ἀσθενεῖ καὶ εὐχαριστεῖ, ὁ δὲ ἕτερος ὑπηρετεῖ μετὰ καθαροῦ λογισμοῦ, οἱ τρεῖς μιᾶς ἐργασίας εἰσί.

3. Ἠσθένησέ τις Γέρων ποτὲ εἰς τὰ κελλία καταμόνας καθήμενος, καὶ μὴ ἔχων τὸν ὑπηρετοῦντα αὐτῷ, ἀνιστάμενος εἴ τι εὕρισκεν ἐν τῷ κελλίῳ μετελάμβανε, καὶ οὕτως ἐποίει ἐπὶ πολλὰς ἡμέρας, μή τινος ἐλθόντος εἰς ἐπίσκεψιν αὐτοῦ. Διελθουσῶν οὖν τριάκοντα ἡμερῶν, ὡς οὐδεὶς ἦλθε πρὸς αὐτόν, ἀπέστειλεν ὁ Θεὸς Ἄγγελον ὑπηρετεῖν αὐτῷ, καὶ ἔμενε μετ' αὐτοῦ ἡμέρας ἑπτά.

4. Εἶτα ἐμνήσθησαν οἱ ἀδελφοὶ καὶ ἦλθον εἰς ἐπίσκεψιν αὐτοῦ· ὡς οὖν ἔκρουσαν, ὑπεχώρησεν ὁ Ἄγγελος, ὁ δὲ γέρων ἔκραζεν ἔσωθεν· ὑπάγετε ἐντεῦθεν, ἀδελφοί· οἱ δὲ καταβαλόντες τὴν θύραν εἰσῆλθον, καὶ ἠρώτων αὐτὸν διατί ἔκραζεν· ὁ δὲ εἶπεν αὐτοῖς, ὅτι τριάκοντα ἡμέρας εἶχον κοπιῶν, καὶ οὐδεὶς ἐπεσκέψατό με, καὶ ἰδοὺ ἑπτὰ ἡμέραι εἰσίν, ἀφ' οὗ ἀπέστειλεν ὁ Θεὸς Ἄγγελον ὑπηρετεῖν μοι, ὡς δὲ ἤλθετε, ἀπέστη ἀπ' ἐμοῦ. Καὶ ταῦτα εἰπὼν ἐκοιμήθη. Οἱ δὲ ἀδελφοὶ θαυμάσαντες ἐδόξασαν τὸν Θεόν.

5. Εἶπε Γέρων· ἐὰν ἔλθῃ σοι ἀῤῥωστία σώματος μὴ ὀλιγώρει· εἰ γὰρ θέλει σε ὁ Δεσπότης κακοῦσθαι τῷ σώματι, σὺ τίς εἶ ὁ δυσχεραίνων; οὐκ Αὐτός σου φροντίζει ἐν πᾶσι; μὴ πάρεξ αὐτοῦ ζῇς; ἀνεξικάκει οὖν, καὶ παρακάλει Αὐτόν σοι παρασχεῖν τὰ συμφέροντα, τουτό ἐστι τὸ θέλημα Αὐτοῦ, κάθου μετὰ μακροθυμίας καὶ φάγε ἀγάπην.

6. Μοναχὸς ἐν πᾶσιν ἀγωνιζόμενος κατὰ τοῦ Σατανᾶ, ἐξεκόπη τοὺς ὀφθαλμοὺς καὶ οὐκ ηὔξατο ἀναβλέψαι, ἀλλ' ὑπομονὴν εἶχε, καὶ διὰ τὴν καρτερίαν αὐτοῦ ἐχαρίσατο αὐτῷ ὁ Θεὸς τὴν ὅρασιν καὶ ἀνέβλεψεν.

Ἑρμηνεία

ΕΝΑΣ γέρων Ἀσκητὴς συνεχῶς ὑπέφερεν ἀπὸ ἀσθένειαν· κάποτε λοιπόν, ἐπὶ ἓν ἔτος, διῆλθε τελείως ὑγιής, χωρὶς νὰ κακοπαθήσῃ ἀπὸ ἀσθένειαν. Ἡ κατάστασις αὐτὴ τὸν ἔκαμε νὰ στενοχωρῆται ὑπερβολικῶς καὶ νὰ κλαίῃ, διότι, ὅπως ἔλεγε, τὸν ἐγκατέλειψεν ὁ Θεὸς καὶ δὲν τὸν ἐπεσκέφθη.

2. Ὁ Ἀββᾶς Ποιμὴν ἔλεγε τὸ ἑξῆς: Ἐὰν τρεῖς ἀδελφοὶ ἀσκητεύουν εἰς τὸ ἴδιον μέρος καὶ ὁ εἷς ἐξ αὐτῶν ἡσυχάζει ὅπως πρέπει, ὁ δεύτερος εἶναι ἄρρωστος καὶ εὐχαριστεῖ ἀγογγύστως τὸν Θεὸν καὶ ὁ τρίτος τοὺς ἐξυπηρετεῖ μετὰ προθυμίας, διατηρῶν συγχρόνως καθαρὸν τὸν λογισμόν του, ἀσφαλῶς τότε καὶ οἱ τρεῖς ἓν καὶ μόνον ἔργον συγχρόνως κατεργάζονται, τὸ ἔργον τῆς ἀρετῆς.

3. Κάποτε ἕνας γέρων Ἀσκητής, ποὺ ἔζη ἐντελῶς μόνος εἰς τὸ κελλίον του, ἠσθένησεν. Ἐπειδὴ δὲ δὲν εἶχε κανένα νὰ τὸν ὑπηρετῇ, παρέμενε μόνος καὶ ὁσάκις τὸ ἐπέτρεπον αἱ δυνάμεις του ἐσηκώνετο ἐκ τῆς κλίνης καὶ ἔτρωγεν ὀλίγον ἀπὸ ὅ,τι ὑπῆρχεν εἰς τὸ κελλίον. Τοιουτοτρόπως παρῆλθον τριάκοντα ἡμέραι, χωρὶς νὰ ἀντιληφθῇ κανεὶς ἐκ τῶν γειτόνων του τίποτε. Τὴν δοκιμασίαν αὐτὴν τὴν ἀντιμετώπισε χωρὶς νὰ γογγύσῃ. Τότε ὁ Θεός, ἐπιβραβεύων τὴν ἀγόγγυστον ὑπομονήν του, ἔστειλεν Ἄγγελον διὰ νὰ τὸν ὑπηρετῇ. Ὁ Ἄγγελος παρέμεινεν εἰς τὴν ὑπηρεσίαν τοῦ Μοναχοῦ ἐπὶ ἑπτὰ ἡμέρας.

4. Ἐν τῷ μεταξὺ τὸν ἐνεθυμήθησαν οἱ ἀδελφοί, καὶ ἦλθον εἰς τὸ κελλίον του διὰ νὰ τὸν ἐπισκεφθοῦν. Μόλις λοιπὸν ἐκτύπησαν τὴν θύραν τοῦ κελλίου, διὰ νὰ τοὺς ἀνοίξῃ ὁ Μοναχός, ἀνεχώρησεν ὁ Ἄγγελος. Ὁ γέρων Ἀσκητὴς λυπούμενος διὰ τὴν ἀναχώρησιν αὐτὴν τοῦ οὐρανίου ἐπισκέπτου ἔκραζεν ἀπὸ μέσα πρὸς τοὺς ἀδελφούς:

— Πηγαίνετε ἀπὸ ἐδῶ, ἀδελφοί μου.

Ἐκεῖνοι ἀνησυχοῦντες παρεβίασαν τὴν θύραν καὶ εἰσῆλθον· τὸν ἠρώτων λοιπὸν μετὰ περιεργείας, διατί ἔκραζε καὶ δὲν ἤνοιγεν; Ὁ γέρων Ἀσκητὴς μετὰ συγκινήσεως τοὺς ἀπεκάλυψε τὸ περιστατικόν. Ἐπὶ τριάκοντα ἡμέρας, τοὺς ἔλεγεν, ὑπέφερα πολὺ ἄρρωστος καὶ κανεὶς ἀπὸ σᾶς δὲν μὲ ἐπεσκέφθη. Καὶ νά, πρὸ ἑπτὰ ἡμερῶν ὁ Κύριός μας μοῦ ἀπέστειλεν Ἄγγελόν του, διὰ νὰ μὲ ὑπηρετῇ· μόλις λοιπὸν ἤλθατε, ἀνεχώρησεν ἀπὸ τὸ κελλίον μου ὁ Ἄγγελος. Μόλις ἐτελείωσε τὴν ἀφήγησίν του ὁ Γέρων, ἐκοιμήθη· κατάπληκτοι δὲ οἱ ἀδελφοὶ ἀπὸ θαυμασμὸν ἐδόξασαν τὸν Θεόν.

5. Ἕνας γέρων Ἀσκητὴς ἔλεγε πρὸς τοὺς μαθητάς του· ἐὰν ἀρρωστήσετε, μὴ ἀμελῆτε τὰ καθήκοντά σας, ἀπορροφούμενοι ἀπὸ τὴν φροντίδα τῆς θεραπείας· διότι ἐὰν ὁ Δεσπότης τῶν ὅλων ἐπιθυμῇ νὰ σὲ ταλαιπωρήσῃ σωματικῶς πρὸς ψυχικήν σου ὠφέλειαν, σύ, ποῖος εἶσαι, ποὺ δυσανασχετεῖς εἰς αὐτὴν τὴν δεσποτικὴν πρόθεσιν; Μήπως Αὐτὸς δὲν ἔχει τὴν φροντίδα σου δι' ὅλα τὰ ζητήματα, ποὺ σὲ ἀπασχολοῦν; Μήπως ζῇς χωρὶς τὸ θέλημά Του; Νὰ ἀνέχεσαι λοιπὸν μὲ ὑπομονὴν τὴν σωματικὴν αὐτὴν δοκιμασίαν καὶ νὰ παρακαλῇς τὸν Θεὸν νὰ σοῦ χαρίζῃ τὰ συμφέροντα διὰ τὴν ψυχήν σου· αὐτὸ εἶναι τὸ θέλημα τοῦ Κυρίου, ὑπόμενέ το χωρὶς νὰ ἀγανακτῇς καὶ χόρτασε ἀπὸ τὴν ἀγάπην τοῦ Κυρίου.

6. Ἕνας ἄλλος Μοναχός, ὅστις μὲ ἀνδρείαν ἠγωνίζετο ἐναντίον τοῦ Σατανᾶ, ἐτυφλώθη! Τυφλὸς δὲ ὢν δὲν παρεκάλεσε τὸν Θεὸν νὰ ἀναβλέψῃ, ὑπομένων ἀγογγύστως τὸ φρικτὸν μαρτύριον τοῦ σκότους. Ὁ Θεὸς ἐπιβραβεύων τὴν ὑπομονὴν καὶ τὴν καρτερίαν του αὐτὴν τοῦ ἔδωσε καὶ πάλιν τὴν ὅρασίν του καὶ ὁ Μοναχὸς αὐτὸς διὰ θαύματος ἀνέβλεψεν.

Η'. Τοῦ Ἁγίου Ἐφραὶμ

ἈΓΑΠΗΤΕ, ἐὰν περιπέσῃς ἀῤῥωστίᾳ, μνήσθητι τοῦ λέγοντος, «Τέκνον, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται»· ὁ κατακεκλεισμένος ἐν φυλακῇ καὶ δοκῶν ἀνταίρειν κατὰ βασιλέως, τί ὠφεληθήσεται; ὁ δὲ προσπίπτων καὶ παρακαλῶν, οὗτος μᾶλλον οἰκτειρηθήσεται.

Ἑρμηνεία

ἈΓΑΠΗΤΕ ΜΟΥ, ἔλεγεν ὁ Ἅγιος Ἐφραίμ, ἐὰν περιπέσῃς εἰς ἀσθένειαν, ὁσονδήποτε σοβαρὰ καὶ ἐὰν εἶναι, νὰ ἐνθυμῆσαι τὸ ρητόν· «Υἱέ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται» (Παροιμίαι Σολομῶντος γ', 11—12). Ἐκεῖνος ὁ ἄνθρωπος, ποὺ ἔχει κλεισθῇ εἰς τὴν φυλακήν, καταδικασθεὶς ὑπὸ τοῦ βασιλέως, εἰς τί θὰ ὠφεληθῇ σκεπτόμενος πῶς νὰ ἐπαναστατήσῃ ἐναντίον τοῦ βασιλέως; Ἀπ' ἐναντίας, ἐκεῖνος ποὺ μετανοεῖ καὶ παρακαλεῖ νὰ τύχῃ χάριτος, ἀσφαλῶς αὐτὸς θὰ προκαλέσῃ τὸν οἶκτον τοῦ βασιλέως καὶ θὰ ἐξέλθῃ τῆς φυλακῆς.



ΥΠΟΘΕΣΙΣ ΙΘ΄

Ὅτι καὶ βιαίῳ θανάτῳ πολλάκις συμφερόντως οἱ δίκαιοι παραδίδονται.

Ὁ Θεὸς ἐπιτρέπει, ὥστε καὶ οἱ δίκαιοι, πολλὰς φοράς, νὰ ἀποθνήσκουν μὲ βίαιον θάνατον.

Αʹ. Γρηγορίου τοῦ Διαλόγου

ΒΑΛΕΝΤΙΟΣ ἐν τῇ τῶν Ῥωμαίων πόλει, κἀμοῦ καὶ τοῦ ἐμοῦ Μοναστηρίου προεστώς, πρότερον δὲ ἐν τῇ χώρᾳ τῆς Βαλλερίας τὸ αὐτοῦ Μοναστήριον ἐποίμαινεν· οὗτος ἐξηγεῖτο, ὅτι θυμομαχοῦντες οἱ Λογγόβαρδοι, ἐκεῖσε ἐλθόντες, δύο Μοναχοὺς αὐτοῦ εἰς κλάδους δένδρων ἐκρέμασαν· οἵτινες κρεμασθέντες, ἐν τῇ αὐτῇ ἡμέρᾳ ἀπέθανον.

2. Ὀψίας δὲ γενομένης, ἑκατέρων αὐτῶν τὰ πνεύματα λαμπραῖς ἐκεῖσε καὶ φανεραῖς ταῖς φωναῖς ψάλλοντα ἠκούοντο, ἃς καὶ ἀκούσαντες οἱ φονεύσαντες αὐτούς, λίαν ἐφοβήθησαν, ταύτης δὲ τῆς ψαλμῳδίας τὰς φωνὰς ἐν τοῖς σκηνώμασιν ἀκουσθῆναι εὐδόκησεν, ὅπως οἱ ζῶντες ἐν σαρκὶ μάθωσιν, ὅτι ἐὰν τῷ Θεῷ γνησίως δουλεῦσαι ἀγωνίσωνται, καὶ μετὰ τὸν τῆς σαρκὸς θάνατον ἀληθῶς ζῶσι.

3. Καὶ τοῦτο δὲ ἔτι ἐν τῷ Μοναστηρίῳ ὑπάρχων παρὰ εὐλαβεστάτων ἀνδρῶν ἔγνων.

4. Ἔλεγον γὰρ ὅτι ἐν τῇ χώρᾳ, τῇ καλουμένῃ Σούρᾳ, ὑπῆρχέ τις ἀνὴρ πάνυ τῇ ζωῇ εὐλαβέστατος, Πατὴρ Μοναστηρίου, ὀνόματι Σουρανός· ὃς τοῖς πρὸς αὐτὸν ἐρχομένοις αἰχμαλώτοις ἅπερ ἅπαντα ἐν τῷ Μοναστηρίῳ πράγματα εἶχεν ἐδωρήσατο, ἕως καὶ τὰ ἱμάτια αὐτοῦ καὶ τὰ τῶν ἀδελφῶν, καὶ τὰ ἐν τῷ κελλαρίῳ ἅπαντα εἰς ἐλεημοσύνην δέδωκεν, εἴ τι δὲ καὶ ἐν τῷ κήπῳ ὑπῆρχεν, ἅπαντα ἐξωδίασεν.

5. Πάντων δὲ τῶν πραγμάτων πληρωθέντων, αἴφνης Λογγόβαρδοι ἐπῆλθον αὐτῷ, καὶ τοῦτον κρατήσαντες χρυσίον ἐπεζήτουν. Ὁ δὲ διεβεβαιοῦτο μηδὲν τὸ σύνολον ἔχειν· τότε ἐν τῷ γειτνιάζοντι ὄρει ὑπ᾿ αὐτῶν ἀνηνέχθη, ἐν ᾧ ὕλη ἦν παμμεγέθης καὶ κάταλσος.

6. Αἰχμάλωτος δέ τις ἐκεῖσε φυγὼν ἐν ὑποκούφῳ δένδρῳ ἐκρύπτετο, ὃς καὶ τὸ γεγονὸς ἀνήγγειλεν. Ἐν αὐτῷ οὖν τῷ τόπῳ εἷς τῶν Λογγοβάρδων τὴν μάχαιραν ἐκβαλὼν τὸν προλεχθέντα εὐλαβέστατον ἄνδρα ἐφόνευσε, τοῦ δὲ σκηνώματος αὐτοῦ ἐν τῇ ὕλῃ πεσόντος, πᾶσα ἡ ὕλη καὶ τὸ ὄρος ἐδονήθη, φωνῆς ὥσπερ ἀφιείσης τῆς γῆς, μὴ δύνασθαι τῆς ἁγιωσύνης αὐτοῦ τὸ βάρος ὑποφέρειν.

7. Ἕτερος ἐν τῇ χώρᾳ Μάρσῃ Διάκονος πάνυ τῇ πολιτείᾳ εὐλαβέστατος ἦν· καὶ τοῦτον δὲ οἱ Λογγόβαρδοι κρατήσαντες, εἷς δὲ ἐξ αὐτῶν τὴν μάχαιραν κρατήσας, τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμεν. Ὡς δὲ τὸ σῶμα αὐτοῦ ἔπεσεν, ἐκεῖνος ὁ τὴν

κεφαλὴν αὐτοῦ ἀποτεμών, ἀκαθάρτῳ πνεύματι συσχεθείς, εἰς τοὺς πόδας τοῦ θανόντος ἔπεσεν ἵνα δειχθῇ, ὅτι ἐπειδὴ φίλον τοῦ Θεοῦ ἐφόνευσε, τῷ τοῦ Θεοῦ ἐχθρῷ παρεδόθη.

Πέτρος

8. Τί τοῦτο ὑπάρχει, αἰτῶ σε, ὅτι ὁ παντοδύναμος Θεὸς οὕτως ἀποθανεῖν παραχωρεῖ οὓς μετὰ θάνατον Ἁγίους εἶναι ἀποφαίνει;

Γρηγόριος

9. Γέγραπται ὅτι οἵῳ ἂν θανάτῳ προφθασθῇ ὁ δίκαιος, ἡ δικαιοσύνη αὐτοῦ οὐκ ἀφαιρεθήσεται ἀπ᾿ αὐτοῦ· ὅθεν τοῖς ἀγαθοῖς ἐν τῇ αἰωνίῳ ζωῇ τὰ ἀγαθὰ πλεονάζουσιν, εἰ καὶ πρὸς τὸ παρὸν πικρῷ θανάτῳ τελευτήσωσι.

10. Πολλάκις δὲ καὶ μικρὸν πταῖσμα τούτοις ὑπολέλειπται, ὅπερ ἐν τῷ βιαίῳ θανάτῳ ἐκκοπῆναι ὀφείλει· διὸ καὶ συμβαίνει, ἔτι ζώντων αὐτῶν, τοὺς ἐναντίους κατ᾿ αὐτῶν ἐξουσίαν λαβεῖν, ἵνα μετὰ τὴν τελευτὴν ἡ ἐκδίκησις τῆς ἐκείνων ὠμότητος δι᾿ αὐτῶν τῶν ὑπ᾿ ἐκείνων ἀναιρεθέντων γένηται· καθὼς καὶ ἐπὶ τοῦ προλεχθέντος Διακόνου γέγονεν· ὁ γὰρ συγχωρηθεὶς τοῦτον φονεῦσαι, νεκρωθέντος αὐτοῦ, χαρῆναι ἐπάνω αὐτοῦ οὐ συνεχωρήθη.

11. Τοῦτο δὲ καὶ ἐκ τῆς θείας Γραφῆς ἐστι μαθεῖν· καὶ γὰρ κἀκεῖ τὸν τοῦ Θεοῦ ἄνθρωπον τὸν ἐν Σαμαρείᾳ ἀποσταλέντα, ἐπειδὴ διὰ τὴν παρακοὴν αὐτοῦ λέων αὐτὸν ἐν τῇ ὁδῷ ἐφόνευσε· γέγραπται γάρ, ὅτι ἔστη ὁ λέων πλησίον τῆς ὄνου, ἐκ δὲ τοῦ πτώματος οὐκ ἔφαγεν· ὅθεν δείκνυται, ὅτι ἡ τῆς παρακοῆς ἁμαρτία ἐν αὐτῷ τῷ θανάτῳ συνεχωρήθη· ὃν γὰρ ὁ αὐτὸς λέων ζῶντα ἐφόνευσε, τούτου ἅψασθαι φονευθέντος οὐκ ἐτόλμησεν· ἐπειδὴ γὰρ ἐκεῖνος ἐν τῇ ζωῇ πταίσματι ὑποπεσών, διὰ τοῦ θανάτου τοῦ βιαίου δίκαιος γέγονεν, ὁ λέων ὁ πρότερον τὴν ζωὴν τοῦ ἁμαρτωλοῦ θανατώσας, μετὰ θάνατον τὸ τοῦ δικαίου πτῶμα ἐφύλαξε.

12. Συμβαίνει δὲ πολλάκις τὰς τῶν δικαίων ψυχὰς ἐν τῷ μέλλειν τοῦ σώματος χωρίζεσθαι τὸν θάνατον σφόδρα δειλιᾶν καὶ φοβεῖσθαι· καὶ περί τινος ἀνδρὸς ἁγίου ἀνέμαθον, ὅτι ἐν τῷ θανάτῳ ἐλθὼν σφόδρα ἐφοβήθη· μετὰ δὲ τὸν θάνατον τοῖς ἑαυτοῦ μαθηταῖς ἐν στολῇ λευκῇ ἐπιφανείς, ἔδειξεν ἐν ποίᾳ δόξῃ ὑπῆρχε· καὶ λέγομεν, ὅτι εἰ εἶχον τινὰ πταίσματα οὗτοι, διὰ τοῦ φόβου ἐκείνου ταῦτα παντελῶς ἐκαθαρίσθησαν.

Ἑρμηνεία

ΕΝΑΣ ΜΟΝΑΧΟΣ, κατῴκει εἰς τὴν Ρώμην, ὠνομάζετο Βαλέντιος, καὶ ἦτο Ἡγούμενος τοῦ Μοναστηρίου μου καὶ πνευματικός μου Πατήρ. Αὐτὸς λοιπόν, μεταξὺ τῶν ἄλλων, διηγεῖτο εἰς ἡμᾶς, ὅτι ὅταν ἐποίμαινε ἕνα Μοναστήριον εἰς Βαλλερίαν, οἱ Λογγοβάρδοι ἐπολέμουν πεισματωδῶς· οὗτοι πλήρεις πολεμικῆς λύσσης καὶ μένους συνέλαβον δύο Μοναχούς, ὑποτακτικούς του, ποὺ ἐπέστρεφον ἀπὸ μίαν διακονίαν, καὶ τοὺς ἐκρέμασαν ἀπὸ τὰ δένδρα. Οἱ Μοναχοὶ αὐτοὶ αὐθημερὸν ἀπέθανον.

2. Τὴν ἰδίαν ἡμέραν, τοῦ φρικτοῦ αὐτῶν θανάτου, ὅταν ἐνύκτωσε, ἠκούοντο εἰς τὸ μέρος τῆς ἐκτελέσεώς των αἱ ψυχαὶ τῶν δύο αὐτῶν Μοναχῶν νὰ ψάλλουν μὲ κρυσταλλίνας καὶ ἀγγελικὰς φωνάς, τὰς ὁποίας ἤκουον ὅλοι, ἀκόμη δὲ καὶ οἱ φονεύσαντες αὐτούς, οἱ ὁποῖοι μάλιστα ἐκ τοῦ γεγονότος αὐτοῦ ἐταράχθησαν. Αὐταὶ αἱ φωναὶ ὁ Θεὸς ἐπέτρεψε νὰ ἀκουσθῶσιν εἰς ὅλα τὰ πλησίον μέρη, ὅπου διέμενον ἄνθρωποι, διὰ νὰ πεισθοῦν οἱ ζῶντες ὅτι, ἐφ᾿ ὅσον δουλεύσουν

τὸν Θεὸν δι' εἰλικρινοῦς ἀσκητικοῦ ἀγῶνος, τότε καὶ μετὰ τὴν ἐκ τοῦ σώματος ἐκδημίαν θὰ ζῶσι πραγματικῶς.

3. Θὰ σᾶς διηγηθῶ προσέτι καὶ τὸ κατωτέρω περιστατικόν, τὸ ὁποῖον ἐπληροφορήθην παρ' εὐλαβεστάτων ἀνδρῶν, ὅτε ἀκόμη εὑρισκόμην εἰς τὸ ἀνωτέρω Μοναστήριον.

4. Εἰς μίαν χώραν, ἥτις ὠνομάζετο Σούρα, ἔζη ἕνας εὐλαβέστατος Ἡγούμενος Μοναστηρίου, ποὺ τὸν ἔλεγον Σουρανόν. Αὐτὸς ὁ ἐνάρετος καὶ εὐλαβὴς ἄνθρωπος ἐδώρησεν ὅλα τὰ ἀντικείμενα τοῦ Μοναστηρίου εἰς τοὺς αἰχμαλώτους τῶν Λογγοβάρδων, ποὺ κατέφευγον εἰς αὐτόν. Ἔφθασε μάλιστα νὰ προσφέρῃ ὡς ἐλεημοσύνην εἰς τοὺς δυστυχεῖς αὐτοὺς αἰχμαλώτους καὶ τὰ ἱμάτιά του καὶ τὰ ἱμάτια τῶν ἀδελφῶν, καὶ τὰ τρόφιμα τῆς ἀποθήκης καὶ αὐτοὺς ἀκόμη τοὺς καρποὺς τοῦ κήπου. Τὰ ἐξώδευσε τελείως ὅλα.

5. Ἀφοῦ λοιπὸν δὲν εἶχε πλέον τίποτε, ἐπέρχονται ἐναντίον του οἱ Λογγοβάρδοι καί, ἀφοῦ τὸν ἔδεσαν, τοῦ ἐζήτουν νὰ τοὺς παραδώσῃ χρυσίον. Ὁ Ἅγιος τοὺς ἐβεβαίωνεν, ὅτι δὲν ἔχει ἀπολύτως τίποτε. Οἱ βάρβαροι ὅμως δὲν ἐπείθοντο· πλήρεις δὲ θυμοῦ τὸν σύρουν βιαίως εἰς τὸ γειτονικὸν ὄρος, εἰς τὸ ὁποῖον ὑπῆρχε δάσος μεγάλο καὶ πυκνόν.

6. Τὸ μαρτύριον δὲ τοῦ ἁγίου αὐτοῦ ἀνθρώπου τὸ παρηκολούθει κάποιος φυγὰς αἰχμάλωτος, ὁ ὁποῖος εἶχε κρυφθῆ εἰς τὴν κουφάλα ἑνὸς δένδρου, καὶ ὁ ὁποῖος τὸ ἀπεκάλυψε μετὰ ταῦτα. Εἰς αὐτὸ λοιπὸν τὸ δάσος ἕνας Λογγοβάρδος ἐφόνευσε διὰ μαχαίρας τὸν ἀναφερθέντα εὐλαβέστατον Σουρανόν. Μόλις ὅμως τὸ σῶμα του νεκρὸν πλέον κατέπεσεν ἐπὶ τοῦ δάσους, ὅλον τὸ δάσος καὶ τὸ ὄρος συνεκλονίσθη ὡς ἀπὸ σεισμικὴν δόνησιν. Ἠγανάκτει καὶ διεμαρτύρετο, τρόπον τινά, ἡ γῆ, διότι δὲν ἠδύνατο νὰ βαστάσῃ τὸ βάρος τοῦ ἐγκλήματος ἐναντίον ἑνὸς τοιούτου Ἁγίου.

7. Εἰς τὴν χώραν Μάρσην ἔζη ἕνας εὐλαβέστατος καὶ ἠθικώτατος Διάκονος. Καὶ αὐτὸν οἱ Λογγοβάρδοι τὸν συνέλαβον αἰχμάλωτον. Ἕνας ἐκ τῶν βαρβάρων αὐτῶν τὸν ἀπεκεφάλισε διὰ μαχαίρας. Μόλις δὲ τὸ σῶμα του κατέπεσε νεκρόν, ὁ ἀπαίσιος αὐτὸς βάρβαρος ἐδαιμονίσθη καὶ ἔπεσε παρὰ τοὺς πόδας τοῦ νεκροῦ. Αὐτὸ τὸ σημεῖον ἔγινε διὰ νὰ ἀποδειχθῇ, ὅτι παρεδόθη εἰς τὸν διάβολον πρὸς τιμωρίαν του, ἐπειδὴ ἐφόνευσε φίλον τοῦ Θεοῦ.

Πέτρος

8. Σὲ παρακαλῶ, ἐξήγησέ μου· ὁ Παντοδύναμος Θεὸς τοιοῦτον θάνατον παραχωρεῖ εἰς ὅσους ἀναδεικνύει Ἁγίους μετὰ θάνατον;

Γρηγόριος

9. Ἔχει γραφῆ ὅτι μὲ οἱονδήποτε θάνατον καὶ ἐὰν ἀποθάνῃ ὁ δίκαιος, ἡ ἀρετή του δὲν πρόκειται νὰ ἀφαιρεθῇ, διότι θὰ τοῦ ὑπολογι-

σθῇ ὡς ἀξιόμισθος ἀγὼν κατὰ τὴν αἰώνιον ζωήν, ὅπου πλεονάζουν τὰ πνευματικὰ ἀγαθά, ἔστω καὶ ἐὰν ἐτελεύτησε μὲ σκληρὸν καὶ βίαιον θάνατον.

10. Πολλὰς φορὰς δὲ συμβαίνει νὰ ὑπάρχῃ εἰς τὸν βίον τῶν δικαίων καὶ κάποιο παραμικρὸν σφάλμα, τὸ ὁποῖον ἀποκόπτεται ἐκ τῆς ψυχῆς διὰ τοῦ βιαίου θανάτου. Δι' αὐτὸ καὶ συμβαίνει ἐνίοτε, ἐνῷ ἀκόμη ζοῦν οἱ δίκαιοι, νὰ λάβουν κατ' αὐτῶν ἐξουσίαν οἱ διάφοροι ἐχθροὶ καὶ βάρβαροι καὶ νὰ τοὺς φονεύσουν, ὥστε μετὰ τὸν τοιοῦτον ἄδικον καὶ σκληρὸν θάνατον αὐτῶν νὰ τιμωρηθῇ ἡ ὠμότης τῶν κακῶν ἐκείνων ἀνθρώπων, ἐξ αἰτίας τῶν ὑπ' αὐτῶν φονευθέντων. Τὸ τοιοῦτον ἀκριβῶς συνέβη καὶ εἰς τὴν περίπτωσιν τοῦ Διακόνου, ποὺ ἀνέφερα ἀμέσως προηγουμένως· ἐκεῖνος, πού, κατὰ παραχώρησιν Θεοῦ, τὸν ἐφόνευσε, δὲν ἠδυνήθη νὰ χαρῇ ἐπάνω τοῦ νεκροῦ θύματός του, διότι ἀμέσως ἐδαιμονίσθη.

11. Τὸ τοιοῦτον εἶναι δυνατὸν νὰ τὸ πληροφορηθῇ κανεὶς καὶ ἀπὸ τὴν Ἁγίαν Γραφήν. Ἀναφέρεται εἰς αὐτὴν διὰ τὸν ἄνθρωπον τοῦ Θεοῦ, ὁ ὁποῖος ἀπεστάλη εἰς τὴν Σαμάρειαν, ὅτι ἐξ αἰτίας τῆς παρακοῆς του ἐφονεύθη καθ' ὁδὸν ὑπὸ ἑνὸς λέοντος. Ἐν συνεχείᾳ δὲ ἀναφέρει τὸ ἱερὸν βιβλίον, ὅτι ὁ λέων παρέμεινε πλησίον τῆς ὄνου, ποὺ μετέφερε τὸν ἄνθρωπον, χωρὶς νὰ φάγῃ καθόλου οὔτε ἀπὸ τὸ πτῶμα τοῦ ὑπ' αὐτοῦ φονευθέντος, οὔτε καὶ τὴν ὄνον. Ἀπὸ αὐτὸ τὸ περίεργον περιστατικὸν (διότι ὁ λέων ὡς γνωστὸν κατατρώγει σάρκας ζῴων καὶ ἀνθρώπων) ἀποδεικνύεται, ὅτι ὁ ἄνθρωπος τοῦ Θεοῦ, διὰ τοῦ βιαίου καὶ τραγικοῦ αὐτοῦ θανάτου ἐτιμωρήθη δεόντως διὰ τὴν παράβασίν του, καὶ ἀποκατασταθεὶς οὕτω ἐδικαιώθη ἐνώπιον τοῦ Θεοῦ. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ ὁ ἴδιος ὁ λέων, ἐνῷ προηγουμένως ὡς ἁμαρτήσαντα τὸν ἐφόνευσεν, ἀμέσως κατόπιν μεταβάλλεται εἰς φρουρὸν τοῦ πτώματος ἑνὸς δικαίου(1).

---

1) Τὸ ἱστορικὸν τοῦ ἐνταῦθα ἀναφερομένου περιστατικοῦ ἔχει ὡς ἑξῆς: Μετὰ τὸν θάνατον τοῦ Σολομῶντος (975 π. Χ.) ὁ Ἱεροβοὰμ τεθεὶς ἐπὶ κεφαλῆς τῶν δέκα φυλῶν ἐπανεστάτησε κατὰ τοῦ υἱοῦ καὶ διαδόχου τοῦ Σολομῶντος Ροβοὰμ καὶ ἵδρυσε τὸ βασίλειον τοῦ Ἰσραήλ, ἕδραν ἔχων τὴν Βαιθήλ. Εἰς τὸν Ροβοὰμ παρέμειναν πισταὶ δύο μόνον φυλαί, τοῦ Ἰούδα καὶ τοῦ Βενιαμίν. Τὸ βασίλειον αὐτοῦ ὠνομάσθη βασίλειον τοῦ Ἰούδα, ἕδρα δὲ αὐτοῦ ἦσαν τὰ Ἱεροσόλυμα. Ὁ Ἱεροβοὰμ διὰ νὰ ἀποκόψῃ πάντα δεσμὸν μεταξὺ τῶν ἀποσχισθεισῶν ἀπ' ἀλλήλων φυλῶν καὶ νὰ ἀποτρέψῃ τὴν μετάβασιν τῶν ὑπ' αὐτὸν Ἰσραηλιτῶν πρὸς προσκύνησιν εἰς Ἱεροσόλυμα, κατεσκεύασε δύο χρυσοὺς μόσχους καὶ τὸν μὲν ἕνα ἔστησεν ἐν Βαιθήλ, τὸν δὲ ἕτερον εἰς Δάν. Ὥρισε δὲ νὰ γίνωνται ἐκεῖ μεγάλαι ἑορταὶ καὶ θυσίαι εἰδωλολατρικαί.

Εἰς μίαν τοιαύτην θυσίαν εἰς Βαιθήλ, ἐλθὼν ἐκ τοῦ βασιλείου τοῦ Ἰούδα ὁ ἐνταῦθα ἀναφερόμενος ἄνθρωπος τοῦ Θεοῦ, ἀποσταλεὶς ἐκ Θεοῦ, ἤλεγξε τὸν βασιλέα Ἱεροβοάμ· οὗτος ἠθέλησε διὰ τοῦτο νὰ τὸν συλλάβῃ καὶ νὰ τὸν τιμωρήσῃ. Κατὰ πρόρρησιν ὅμως τοῦ ἀνθρώπου τοῦ Θεοῦ ἐξηράνθη ἡ χεὶρ τοῦ βασιλέως καὶ ἄλλα θαυμαστὰ συνέβησαν· ὅθεν θεραπεύσας τὸν βασιλέα ἀφέθη ἐλεύ-

12. Ἄλλοτε πάλιν συμβαίνει αἱ ψυχαὶ τῶν δικαίων ἀνθρώπων, ὅταν πρόκειται νὰ ἀποσπασθοῦν ἐκ τοῦ σώματος, νὰ φοβοῦνται ὑπερβολικὰ τὸν θάνατον καὶ νὰ δειλιοῦν. Συγκεκριμένως μὲ ἐπληροφόρησαν τὸ ἑξῆς δι᾽ ἕνα ἅγιον ἄνθρωπον· οὗτος μόλις ἔφθασεν ἡ ὥρα τοῦ θανάτου ἤρχισε νὰ φοβῆται καὶ νὰ δειλιᾷ πάρα πολύ. Μετὰ τὸν θάνατόν του ὅμως ἐνεφανίσθη εἰς τοὺς μαθητάς του μὲ ὁλόλευκην στολὴν καὶ τοὺς ἔδειξεν εἰς ποίαν δόξαν ὑπῆρχεν. Ἐξ αὐτοῦ συμπεραίνομεν, ὅτι ὁ φόβος τοῦ θανάτου καὶ ἡ ἐξ αὐτοῦ προσγενομένη εἰς τὴν ψυχὴν ἀγωνία ἐξήλειψε τὰ ὀλίγα πταίσματα, τὰ ὁποῖα ὡς ἄνθρωποι ἐνδεχομένως θὰ εἶχον.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Στεφάνου τοῦ Νέου (1)

ΤΟΥ ΟΣΙΟΥ ΣΤΕΦΑΝΟΥ ἐν τῷ Πραιτωρίῳ διάγοντος, καὶ τοῖς λοιποῖς Ὁσίοις Πατράσι τοῖς συγκεκλεισμένοις αὐτῷ ὁμιλοῦντος τὰ ψυχωφελῆ καὶ σωτήρια, αἴφνης εἰσπηδήσαντες, ὥσπερ τινὲς ἄγριοι θῆρες οἱ τῷ τυράννῳ τὰ κεχαρισμένα δρᾶσαι βουλόμενοι, καὶ εἰς γῆν τὸν Ἅγιον διαλαβόντες, καὶ ταράξαντες, κύλων τε τῶν σιδηρῶν ἐκδήσαντες, οἷς τοὺς πόδας αὐτὸς πεπέδητο, ἐπὶ τὴν δημοσίαν ἕλκοντες ἐξῆγον ὁδόν, λὰξ ἐναλλόμενοι, λίθοις βάλλοντες, ξύλοις παίοντες, οὐδένα τρόπον ἀφιέντες τιμωρίας καὶ ὕβρεως.

2. Ὡς δὲ τὴν πρώτην πύλην τοῦ πραιτωρίου ἑλκόμενος ἤγετο, καὶ ἤδη κατὰ τὰ προπύλαια ἦν τοῦ εὐκτηρίου Θεοδώρου λέγω τοῦ Μάρτυρος, τὰς χεῖρας ἐν τῇ γῇ ἀντερείσας, καὶ μικρὸν διάρας τὴν κεφαλήν, τὴν τελευταίαν προσκύνησιν τῷ Μάρτυρι ἀπεδίδου· καὶ γὰρ οὐδὲ ἐν τοιαύτῃ χρώμενος συμφορᾷ τοῦ φιλευσεβοῦς ἐξελάθετο, ὃν ἰδών τις μιαιφόνος, Φιλομάτιος τοὔνομα, μανίας ἀλόγου πλησθεὶς ἔφη· ὁρᾷς, ὁ ἀμνημόνευτος, οἷα δὴ καὶ μάρτυς τελευτᾶν βούλεται;

3. Ταῦτα εἰπών, πρὸς τοὺς ἐκεῖσε σίφωνας ἀποτρέχει, οἳ διὰ τούς, ὡς εἰκός, συμβαίνοντας ἐμπρησμοὺς ἦσαν, καὶ ξύλον αὐτῶν ἀποσπάσας, οὔ τι μικρόν, φθάνει τοῦτον συρόμενον, καὶ παίει κατὰ τῆς μήνιγγος ὅλῃ χειρί, καὶ οὕτως εὐθὺς

θερος. Ὁ ἄνθρωπος αὐτὸς τοῦ Θεοῦ ἐξετέλεσε πλήρως καὶ καλῶς τὴν ἀποστολήν του. Εἶχεν ὅμως ἐντολὴν παρὰ τοῦ Θεοῦ νὰ μὴ φάγῃ ἄρτον καὶ νὰ μὴ πίῃ ὕδωρ εἰς τὸν τόπον ἐκεῖνον. Καὶ κατ᾽ ἀρχὰς μὲν καλῶς ἐτήρησε τὴν ἐντολὴν μὴ πεισθεὶς οὔτε ὑπὸ τοῦ βασιλέως διὰ νὰ φάγῃ. Φεύγων δὲ δι᾽ ἄλλης ὁδοῦ ἐξηπατήθη ὑπό τινος, ὅστις τοῦ εἶπε ψευδῶς ὅτι ἦτο ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ διὰ νὰ τοῦ δώσῃ νὰ φάγῃ, καὶ ἔφαγεν ἄρτον καὶ ἔπιεν ὕδωρ. Διὰ τὴν ἔστω καὶ ἀκουσίαν αὐτὴν παράβασιν, ἐτιμωρήθη νὰ φονευθῇ ὑπὸ τοῦ λέοντος διὰ νὰ μὴ εἰσέλθῃ εἰς τὴν γῆν τῶν πατέρων του. Εὐθὺς ὅμως, ὡς κατεσπάραξεν αὐτὸν ὁ λέων καὶ διὰ τοῦ μαρτυρίου ἐξέπλυνε τὴν ἁμαρτίαν τῆς παραβάσεως, ἠμποδίσθη ὁ λέων νὰ ἐγγίσῃ τὸ μαρτυρικὸν αὐτοῦ λείψανον, μάλιστα δὲ προσετάχθη νὰ γίνῃ καὶ φύλαξ αὐτοῦ καὶ τῆς ὄνου. (Βλέπε πλατύτερον εἰς τὸ ιγ' Κεφάλαιον τῆς Γ' τῶν Βασιλειῶν).

1) Οὗτος εἶναι ὁ Ὅσιος πατὴρ ἡμῶν καὶ Ὁμολογητὴς Στέφανος ὁ Νέος, ὁ μαρτυρήσας διὰ τὴν προσκύνησιν τῶν ἁγίων Εἰκόνων. Οὗτος ἑορτάζεται κατὰ τὴν κη' (28ην) Νοεμβρίου (βλέπε ἡμέτερον «Μέγαν Συναξαριστὴν τῆς Ὀρθοδόξου Ἐκκλησίας», Τόμ. ΙΑ', ἔκδ. α', σελ. 640—665).

ἀνελών, ἐκεῖνον μὲν δηλαδὴ Μάρτυρα, ἑαυτὸν δὲ Μάρτυρος ἀναιρέτην τῶν πάντων ἐναγέστατον καθιστᾷ.

4. Ὅρα δὲ καὶ τὴν δίκην· οὐ γὰρ ἔμελλεν ὥς περ αὐτῇ τὰ πολλὰ ἔθος, ἀλλ' ὀξέως ἐχώρει, καὶ ἅμα τῷ πλῆξαι, καὶ αὐτὸς εἰς γῆν καταφέρεται, δαιμονίᾳ πληγῇ παταχθείς, τοὺς ὀδόντας δὲ δεινότατα τετριγὼς καὶ ἀφρὸν παραπτύων τοῦ στόματος, καὶ διέμενεν οὕτως ἡ χαλεπὴ αὕτη μάστιξ ἄχρι τέλους συνέχουσα τὸν ἄθλιον καὶ παιδεύουσα.

Ἑρμηνεία

Ο ΟΣΙΟΣ Στέφανος παρέμενεν εἰς τὴν φυλακὴν τοῦ Πραιτωρίου καὶ ἐδίδασκε τὰ πρὸς ψυχικὴν σωτηρίαν ὠφέλιμα εἰς τοὺς μαθητάς του, οἱ ὁποῖοι, μαζὶ μὲ αὐτόν, εἶχον κλεισθῆ εἰς τὸν ἴδιον τόπον. Εἰς μίαν λοιπὸν στιγμὴν καὶ ἐντελῶς ἀπροσδοκήτως εἰσορμοῦν εἰς τὴν φυλακήν, ὡς ἄγρια θηρία, ἐκεῖνοι ποὺ ἤθελαν νὰ εὐχαριστήσουν τὸν τύραννον μὲ τὴν ἀπάνθρωπον δρᾶσιν των καὶ ἀφοῦ τὸν ἔρριψαν κατὰ γῆς καὶ τὸν ἐκουνοῦσαν μὲ ὁρμήν, τοῦ ἔβγαλαν τὰ σιδερένια καὶ ξύλινα δεσμὰ ἀπὸ τὰ πόδια του καὶ τὸν ἔσυραν εἰς τὸν δημόσιον δρόμον. Ἐκεῖ ἤρχισαν νὰ τὸν κλωτσοῦν, νὰ τὸν πετροβολοῦν, νὰ τὸν κτυποῦν μὲ ξύλα καὶ ἐν γένει νὰ χρησιμοποιοῦν κάθε τρόπον βασανισμοῦ καὶ προσβολῆς.

2. Εἰς τοιαύτην κατάστασιν εὑρισκόμενος καὶ συρόμενος πάντοτε ἔφθασεν εἰς τὴν πρώτην πύλην τοῦ Πραιτωρίου· εἰς τὸ σημεῖον αὐτὸ εὑρίσκεται ὁ Ναὸς τοῦ Μάρτυρος Θεοδώρου. Μόλις λοιπὸν ὁ Ὅσιος διήρχετο, συρόμενος, ἀπὸ τὰ προπύλαια τοῦ Ναοῦ, προσεκύνησε διὰ τελευταίαν φορὰν τὸν Μάρτυρα, στηρίξας ἐπ' ὀλίγον τὰς χεῖράς του ἐπὶ τῆς γῆς καὶ ὑψώσας ἐλαφρῶς τὴν κεφαλήν του πρὸς τὴν διεύθυνσιν τοῦ Ναοῦ, διότι καὶ εἰς αὐτὴν τὴν ἀξιοθρήνητον κατάστασιν εὑρισκόμενος δὲν ἐλησμόνησε τὸ καθῆκον αὐτὸ τῆς εὐσεβείας. Μόλις ἀντελήφθη τὴν κίνησιν αὐτὴν τοῦ Ὁσίου ἕνας αἱμοχαρής, ὁ Φιλομάτιος, κατελήφθη ἀπὸ παράλογον μανίαν, ἀπὸ λύσσαν, καὶ δεικνύων τὸν αἱμόφυρτον Ὅσιον εἶπε :

— Βλέπεις, ποὺ αὐτὸς ὁ ἀμνημόνευτος (¹), θέλει νὰ πεθάνῃ ὡς Μάρτυς; Πῶς σοῦ φαίνεται;

3. Μόλις εἶπεν αὐτά, τρέχει πρὸς τὰς πλησίον ἐκεῖ εὑρισκομένας ἐγκαταστάσεις διὰ τὴν κατάσβεσιν πυρκαϊῶν, αἱ ὁποῖαι συχνὰ συνέβαινον, ἀποσπᾷ μίαν μεγάλην δοκὸν καὶ ἐπιστρέφει πάλιν πρὸς τὸν ἀπανθρώπως συρόμενον Ὅσιον καὶ τὸν κτυπᾷ μὲ ὅλην τὴν δύναμίν του εἰς τὰ μηνίγγια του. Μὲ τὸ κτύπημα αὐτὸ τὸν ἐφόνευσεν ἀμέσως, ἀναδείξας τοιουτοτρόπως τὸν μὲν Ὅσιον Μάρτυρα, τὸν ἑαυτόν του δὲ περισσότερον ἀπὸ ὅλους κατηραμένον φονέα ἑνὸς τοιούτου Ἁγίου.

4. Ἄκουσε τώρα καὶ τὴν ὑπὸ τοῦ Θεοῦ καταδίκην τοῦ αἱμοστα-

---

1) Ἀμνημονεύτους ἀπεκάλουν τοὺς Ὀρθοδόξους ἀγωνιστὰς οἱ Εἰκονομάχοι.


Ο ΑΓΙΟΣ ΣΤΕΦΑΝΟΣ
Ο ΟΜΟΛΟΓΗΤΗΣ
Ο ΝΕΟΣ

γοῦς αὐτοῦ φονέως, ἡ ὁποία ἐπῆλθεν ἀμέσως, καὶ δὲν ἐβράδυνε καθόλου, ὅπως συνήθως συμβαίνει. Μόλις κατέφερε τὸ θανατηφόρον κατὰ τοῦ Ἁγίου κτύπημα ὁ Φιλομάτιος αὐτός, κατέπεσε καὶ ὁ ἴδιος εἰς τὴν γῆν δαιμονισθείς! Ὑπὸ τὸ κράτος τοῦ δαίμονος εὑρισκόμενος ἔτριζε τοὺς ὀδόντας καὶ ἔβγαζεν ἀφροὺς ἀπὸ τὸ στόμα, προκαλῶν τὸν φόβον τῶν βλεπόντων. Ἡ φοβερὰ δὲ αὐτὴ μάστιξ ἐτιμώρει καὶ κατεῖχε τὸν ἄθλιον αὐτὸν μέχρι τέλους τῆς ζωῆς του.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΣΕΝ ὁ Ἀββᾶς Μάρκος τὸν Ἀββᾶν Ἀρσένιον λέγων· διατί εἰσί τινες καλοὶ ἄνθρωποι καὶ ἐν τῷ ἀποθνήσκειν αὐτοὺς μετὰ πολλῆς θλίψεως καὶ σωματικῶν ἀναγκῶν μεγάλων, οὕτω χωρίζονται; ὁ δὲ ἀπεκρίθη· ἵνα, ὥς περ ἐν ἅλατι ἁλισθέντες ἐνταῦθα, καθαροὶ ἀπέλθωσιν ἐκεῖ.

2. Ἐν τῇ Λαύρᾳ τοῦ Ἑπταστόμου, ἥτις διέστηκε τῆς Λαύρας τοῦ Ὁσίου Σάββα ἑπτὰ σταδίους, ἦν τις Ἀναχωρητὴς θαυμαστός, ὀνόματι Ἰωάννης, εἶχε δὲ καὶ μαθητήν, ὃς θεωρῶν τὰ γινόμενα ὑπὸ τῶν Περσῶν κακὰ τῇ Ἁγίᾳ τοῦ Θεοῦ πόλει, παρεκάλει τὸν Γέροντα εἰπεῖν αὐτῷ, εἰ μέλλει ἡ πόλις ὑπὸ τῶν ἐχθρῶν καταληφθῆναι.

3. Ὁ δὲ πρῶτα μὲν ἀνένευε λέγων· πόθεν ἐγὼ ἐπίσταμαι περὶ τούτου, ἄνθρωπος ἁμαρτωλὸς ὤν;

4. Ὡς δὲ ἐπέμενεν ὁ νέος παρακαλῶν καὶ θέλων μαθεῖν, ἔφη ὁ γέρων δακρύσας· ἐπειδὴ θεωρῶ σε, ὦ τέκνον, ἐμπόνως θέλοντα περὶ τούτου μαθεῖν, ἐγώ σοι ἐρῶ ὅσα ὁ Θεὸς ἔδειξέ μοι· πρὸ τῶν πέντε ἡμερῶν τούτων ἤμην ἀδολεσχῶν περὶ τούτου καὶ προσευχόμενος, θεωρῶ ἐμαυτὸν ἁρπαγέντα ἔμπροσθεν τοῦ Ἁγίου Κρανίου, καὶ πᾶς ὁ λαὸς ἔκραζον σὺν τῷ κλήρῳ τὸ Κύριε ἐλέησον· ἀτενίσας δὲ θεωρῶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προσηλωμένον τῷ Σταυρῷ, καὶ τὴν Παναγίαν Θεοτόκον τὴν Δέσποιναν τοῦ κόσμου δυσωποῦσαν ὑπὲρ τοῦ λαοῦ, ὁ δὲ ἀπεστρέφετο τὸν λαὸν λέγων· οὐ μὴ ἐπακούσομαι αὐτῶν, ἐβεβήλωσαν γὰρ τὸ θυσιαστήριόν μου.

5. Οὕτως οὖν κράζοντες τὸ Κύριε ἐλέησον σὺν στεναγμοῖς ἤλθομεν εἰς τὸν Ναὸν τοῦ Ἁγίου Κωνσταντίνου, ἐγὼ δὲ ἀπελθὼν προσκυνῆσαι ἐν τῷ τόπῳ ἐν ᾧ εὕρηνται τὰ τίμια ξύλα τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ, ὁρῶ βόρβορον ἐκεῖθεν ἀναδιδόμενον, καὶ ἐπὶ τὸν Ναὸν καταῤῥέοντα, καί τινες δὲ δύο ἱεροπρεπεῖς αὐτῷ παρειστήκεισαν, οἷς καὶ εἶπον· οὐ φοβεῖσθε τὸν Θεόν, ὅτι οὐδὲ εὔξασθαι δυνάμεθα ἐκ τοῦ βορβόρου; πόθεν ἡ τοσαύτη δυσωδία ἐνταῦθα;

6. Οἱ δὲ ἀπεκρίθησαν· ἐκ τῶν ἀνομιῶν τῶν κληρικῶν τοῦ τόπου τούτου ἐγὼ δὲ πρὸς αὐτούς· καὶ οὐ δύνασθε τὸν βόρβορον καθαρίσαι, ὅπως συγχωρηθῶμεν εὔξασθαι; λέγουσιν ἐκεῖνοι· πίστευσον, ἀδελφέ, οὐ μὴ καθαρισθῶσι τὰ ὧδε ἄλλως εἰ μὴ διὰ πυρός.

7. Ταῦτα εἰπὼν ὁ Γέρων ἐδάκρυσε καὶ λέγει πάλιν τῷ μαθητῇ· καὶ τοῦτο δέ σοι φημί, τέκνον· ἐξῆλθεν ἀπόφασις, ἵνα ἐγὼ ἀποκεφαλισθῶ, καὶ πολλὰ παρεκάλεσα τὸν Θεόν, ἵνα συγχωρηθῇ μοι, καὶ ἀπεκάλυψέ μοι, ὅτι ἀπόφασίς ἐστι, καὶ πάντως γενέσθαι ἔχει.

8. Ὅθεν καὶ ἔτι ταῦτα λαλοῦντος τοῦ Γέροντος, ἰδοὺ οἱ βάρβαροι ἦλθον ἐπ' αὐτόν, καὶ ὁ μὲν μαθητὴς δειλιάσας ἔφυγεν, ὁ δὲ Γέρων κρατηθεὶς ὑπ' αὐτῶν ἀνῃρέθη. Μετὰ οὖν τῷ ὑποχωρῆσαι τοὺς βαρβάρους, ἐπανελθὼν ὁ μαθητής, καὶ εὑρὼν τὸν Γέροντα τεθνεῶτα, ἐδάκρυσε πικρῶς, καὶ λαβὼν ἐκήδευσεν αὐτὸν μετὰ τῶν Πατέρων.

9. Καθημένων ποτὲ ἑπτὰ ἀδελφῶν μετὰ τοῦ Ἀββᾶ Μωϋσέως, ἔφη αὐτοῖς ὁ Γέρων· ἰδοὺ σήμερον βάρβαροι εἰς σκῆτιν ἔρχονται, ἀλλ' ὑμεῖς ἀναστάντες φύγετε· οἱ δὲ εἶπον αὐτῷ· σὺ οὖν οὐ φεύγεις, Ἀββᾶ; Ἔφη ὁ Γέρων· ἐγὼ τοσαῦτα ἔτη προσδοκῶ τὴν ἡμέραν ταύτην, ἵνα πληρωθῇ ὁ λόγος τοῦ Δεσπότου εἰπόντος· «Πάντες οἱ λαβόντες μάχαιραν, ἐν μαχαίρᾳ ἀποθανοῦνται» καὶ νῦν φεύξομαι; Οὐδαμῶς.

10. Λέγουσιν οἱ ἀδελφοί· οὐδὲ ἡμεῖς φευξόμεθα, ἀλλὰ μετὰ σοῦ ἀποθανούμεθα. Εἶπε δὲ αὐτοῖς ὁ Γέρων· ἐγὼ πρᾶγμα οὐκ ἔχω, ἕκαστος δὲ βλεπέτω πῶς καθέζεται. Καὶ ἐπισχὼν μικρὸν ἔφη· ἰδοὺ οἱ βάρβαροι ἐγγίζουσι τῇ θύρᾳ· καὶ εἰσελθόντες ἐφόνευσαν αὐτούς, εἷς δὲ ἐξ αὐτῶν ἐκρύβη ὀπίσω τῆς θύρας, καὶ εἶδεν ἑπτὰ στεφάνους ἐλθόντας καὶ στεφανώσαντας αὐτούς.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Μάρκος ἠρώτησε τὸν Ἀββᾶν Ἀρσένιον:

— Διατί μερικοὶ καλοὶ ἄνθρωποι, ὅταν ἀποθνήσκουν, μετὰ μεγάλης θλίψεως καὶ πολλῆς σωματικῆς ταλαιπωρίας ἀποχωρίζεται ἡ ψυχή των ἀπὸ τὸ σῶμά των;

— Διὰ νὰ ἀπέλθωσι καθαροὶ ἀπὸ κάθε ἐνοχὴν (ἀπήντησεν ὁ Ἀββᾶς Ἀρσένιος) ἐκ τοῦ κόσμου τούτου πρὸς τὴν αἰωνιότητα. Ἁλατίζονται, τρόπον τινά, ἐδῶ μὲ τὸ ἁλάτι τῆς ταλαιπωρίας καὶ τῶν θλίψεων, διὰ νὰ καταστοῦν ἐκλεκτοί.

2. Εἰς τὴν Λαύραν τοῦ Ἑπταστόμου, ἡ ὁποία ἀπέχει 7 (ἑπτὰ) στάδια (1) ἀπὸ τὴν Λαύραν τοῦ Ὁσίου Σάββα, ἔζη ἕνας ἀξιοθαύμαστος Ἀναχωρητής, ὁ Ἰωάννης. Οὗτος εἶχεν ἕνα μαθητήν, ὁ ὁποῖος βλέπων αὐτὰ ποὺ ἔκαμαν οἱ Πέρσαι ἐναντίον τῆς ἁγίας πόλεως τῶν Ἱεροσολύμων, παρεκάλει τὸν Γέροντά του, τὸν ἀναχωρητὴν Ἰωάννην, νὰ τοῦ εἰπῇ ἐὰν πρόκειται ἡ πόλις νὰ κυριευθῇ ἀπὸ τοὺς ἐχθρούς.

3. Ὁ Ὅσιος κατ' ἀρχὰς ἠρνεῖτο καὶ ἔλεγεν:

— Ἀπὸ ποῦ ἐγώ, τέκνον μου, ποὺ εἶμαι ἁμαρτωλὸς ἄνθρωπος νὰ γνωρίζω αὐτό, ποὺ μοῦ ζητεῖς;

— Γέροντα, μὴ μοῦ ἀρνεῖσαι αὐτὸ ποὺ θέλω νὰ μάθω, ἐπέμενεν ὁ μαθητής.

4. Κατόπιν αὐτῆς τῆς ἐπιμονῆς ἐδάκρυσεν ὁ Γέρων καὶ τοῦ εἶπε:

— Ἐπειδὴ σὲ βλέπω μετὰ πόνου νὰ ἐπιθυμῇς νὰ μάθῃς αὐτὸ τὸ ζήτημα, θὰ σοῦ εἰπῶ ὅσα μοῦ ἀπεκάλυψεν ὁ Θεὸς πρὸ πέντε ἀκριβῶς ἡμερῶν. Ἄκου λοιπόν. Καθὼς μὲ ἀπασχολοῦσε ἐπιμόνως ἡ σκέψις αὐτή, τοῦ μέλλοντος δηλαδὴ τῆς Ἱερᾶς Πόλεως, καὶ προσηυχόμην, βλέπω τὴν ἑξῆς τρομακτικὴν ὀπτασίαν. Μοῦ ἐφάνη, ὅτι ἀνηρπάγην καὶ εὑρέθην πρὸ τοῦ φρικτοῦ Γολγοθᾶ. Πλῆθος δὲ κόσμου μετὰ τῶν Ἱερέων ἔκραζον· «Κύριε, ἐλέησον». Ὑψώσας δὲ τὸ βλέμμα μου, βλέπω τὸ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν προσηλωμένον ἐπάνω εἰς τὸν Σταυρόν. Κάτω δὲ τοῦ Σταυροῦ τὴν Κυρίαν καὶ Δέσποιναν τοῦ κόσμου

1) Στάδιον, παλαιὸν μέτρον μήκους, ἀντιστοιχοῦν πρὸς 185 μέτρα.

ἱκετευτικῶς νὰ ἐκδυσωπῇ τὸν Ἐσταυρωμένον Ἰησοῦν χάριν τοῦ λαοῦ. Εἰς τὰς μητρικὰς Αὐτῆς ἱκεσίας ἀπήντησεν ἀπὸ τὸ ὕψος τοῦ Σταυροῦ ὁ Ἰησοῦς, ἀποστρεφόμενος τὸν παρευρισκόμενον λαόν.

— Δὲν ἀκούω τὰς προσευχάς των, διότι μὲ τὰς ἁμαρτίας των ἐβεβήλωσαν τὸ θυσιαστήριόν μου.

5. Κατόπιν αὐτοῦ, μὲ περισσοτέραν ἔντασιν καὶ βαθέως ἀναστενάζοντες ἐκράζομεν τὸ «Κύριε, ἐλέησον». Τοιουτοτρόπως ὅλοι ἤλθομεν εἰς τὸν Ναὸν τοῦ Ἁγίου Κωνσταντίνου. Τότε ἐγὼ ἀπεχώρησα ὀλίγον ἀπὸ τὸ πλῆθος καὶ ἐπῆγα νὰ προσκυνήσω εἰς τὸν τόπον εἰς τὸν ὁποῖον φυλάσσονται τὰ Τίμια ξύλα τοῦ Τιμίου καὶ Ζωοποιοῦ Σταυροῦ. Ἀλλὰ τί νὰ ἰδῶ! Ἀπὸ ἕνα σημεῖον, ὅπου ὑπῆρχεν ὁ Σταυρός, ἀνεδίδετο δυσώδης βόρβορος καὶ ἐχύνετο εἰς τὸ κέντρον τοῦ Ναοῦ. Δύο δὲ ἱεροπρεπεῖς ἄνδρες ἐστέκοντο μετ' εὐλαβείας ἑκατέρωθεν τοῦ Τιμίου Σταυροῦ. Εἰς αὐτοὺς ἀπευθυνόμενος εἶπον: Δὲν φοβεῖσθε τὸν Θεόν; Πῶς ἀνέχεσθε τὴν κατάστασιν αὐτὴν τοῦ βορβόρου, ἐκ τῆς ὁποίας δὲν δυνάμεθα οὔτε νὰ προσευχηθῶμεν; Ἀπὸ ποῦ προέρχεται αὐτὴ ἡ δυσωδία τοῦ βορβόρου;

6. Ἐκεῖνοι δὲ οἱ δύο ἄνδρες μοῦ ἀπήντησαν: Αἰτία εἶναι αἱ ἀνομίαι τῶν κληρικῶν αὐτοῦ τοῦ τόπου! Δευτερολογῶν πάλιν ἠρώτησα τοὺς δύο αὐτοὺς ἄνδρας: Δὲν ἠμπορεῖτε νὰ καθαρίσετε αὐτὸν τὸν βόρβορον, ὥστε νὰ καταστῇ δυνατὴ ἡ προσευχή μας ἐδῶ; Καὶ τότε οἱ δύο ἐκεῖνοι ἄνδρες μοῦ ἐφανέρωσαν τὰ φοβερὰ γεγονότα:

— Πίστευσε, ἀδελφὲ (μοῦ εἶπον), ὅτι ἡ κατάστασις αὐτὴ ἐδῶ μόνον διὰ τοῦ πυρὸς θὰ καθαρισθῇ. Δὲν εἶναι δυνατὸν κατ' ἄλλον τρόπον.

7. Λέγων αὐτὰ ὁ Γέρων ἐδάκρυσεν· ἀφοῦ συνῆλθεν ὀλίγον συνέχισε τὴν προφητικὴν ἀφήγησιν πρὸς τὸν μαθητήν του:

— Ἀκόμη θὰ σοῦ εἴπω καὶ αὐτό, τέκνον μου. Ἡ ἀπόφασις δι' ἐμὲ εἶναι νὰ ἀποκεφαλισθῶ. Πάρα πολὺ παρεκάλεσα τὸν Θεὸν νὰ ἀποφύγω αὐτὸν τὸν φρικτὸν θάνατον καὶ μοῦ ἀπεκαλύφθη, ὅτι εἶναι ἀπόφασις καὶ πρέπει νὰ ἐκπληρωθῇ.

8. Καὶ πράγματι! ἐνῷ ὁ Γέρων διηγεῖτο πρὸς τὸν μαθητήν του αὐτά, εἰσώρμησαν οἱ βάρβαροι εἰς τὴν πόλιν καὶ ἀμέσως συνέλαβον αὐτόν. Ὁ μαθητὴς κατώρθωσε νὰ διαφύγῃ, ἐνῷ τὸν Γέροντα τὸν ἐφόνευσαν. Μετὰ τὴν ἀποχώρησιν τῶν βαρβάρων ἐπέστρεψεν ὁ μαθητὴς καὶ εὗρε νεκρὸν τὸν Γέροντά του. Ἀφοῦ δὲ τὸν ἔκλαυσε πικρῶς τὸν ἐκήδευσε μαζὶ μὲ τοὺς Πατέρας.

9. Κάποτε ὁ Ἀββᾶς Μωϋσῆς ἐκάθητο μαζὶ μὲ ἑτέρους ἑπτὰ ἀδελφούς. Εἰς μίαν στιγμὴν ἀπευθυνόμενος πρὸς αὐτοὺς ὁ Γέρων τοὺς λέγει:

— Σηκωθῆτε νὰ φύγετε, διότι σήμερον θὰ ἐπιδράμουν βάρβαροι εἰς τὴν σκῆτιν μας.

— Σύ, διατί δὲν φεύγεις, ἀφοῦ τὸ γνωρίζεις; τὸν ἠρώτησαν οἱ ἀδελφοί.

Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Γέρων ἀπήντησεν.

— Τόσα χρόνια ἀναμένω τὴν πολύτιμον αὐτὴν στιγμήν, διὰ νὰ ἐφαρμοσθῇ ὁ λόγος τοῦ Θεοῦ· «Πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται» (Ματθ. κς', 52) καὶ τώρα νὰ φύγω; καθόλου δὲν θὰ κινηθῶ ἀπὸ ἐδῶ! (1)

10. Λέγουσι τότε οἱ ἀδελφοὶ πρὸς τὸν Γέροντα:

— Ἔ! τότε καὶ ἡμεῖς δὲν σὲ ἐγκαταλείπομεν μόνον! θὰ ἀποθάνωμεν μαζί σου!

— Ἐγὼ δὲν ἔχω λόγον νὰ σᾶς ἐμποδίσω. Ὁ καθείς σας ἂς ἐξετάσῃ ἐπισταμένως τὴν ψυχικήν του διάθεσιν καὶ ὑπευθύνως ἂς λάβῃ τὴν ἀπόφασίν του, ἐὰν θὰ καθίσῃ.

Ἀφοῦ ἐπέρασε μία μικρὰ περίοδος σιωπῆς, εἶπε πάλιν πρὸς τοὺς μαθητάς του:

— Νά, οἱ βάρβαροι ἔφθασαν. Αὐτὴν τὴν στιγμὴν εὑρίσκονται πρὸ τῆς θύρας.

Δὲν ἐπρόλαβε νὰ τελειώσῃ τὸν λόγον του καὶ πράγματι εἰσελθόντες βιαίως οἱ βάρβαροι τοὺς ἐφόνευσαν ὅλους. Ἕνας ἐκ τῶν μαθητῶν του, ποὺ ἐκρύβη πίσω ἀπὸ τὴν θύραν καὶ διέφυγε τὸν θάνατον τῶν βαρβάρων, εἶδεν ἑπτὰ στεφάνους, ποὺ ἐστεφάνωσαν τὸν Ἀββᾶν Μωϋσῆν καὶ τοὺς ἓξ μαθητάς του.



1) Ὁ Ἀββᾶς Μωϋσῆς ἦτο πρότερον λῃστὴς καὶ μετανοήσας ἐγένετο Μοναχός, δι' αὐτὸ λέγει ὅτι ἀναμένει νὰ θανατωθῇ, διὰ νὰ ἐξιλεωθῇ διὰ τοὺς φόνους τῆς περιόδου ἐκείνης.

ΥΠΟΘΕΣΙΣ Κ'

Ὅτι οὐ δεῖ ξενίζεσθαι, ὅταν τι περιστατικὸν δικαίοις ἀνδράσι συμβῇ.

Δὲν πρέπει νὰ παραξενευώμεθα, ὅταν συμβῇ κανὲν περιστατικὸν εἰς δικαίους ἀνθρώπους.

Α'. Παλλαδίου

ΕΝ ΤΩ ΟΡΕΙ τῆς Νιτρίας γέγονεν ἀνὴρ θαυμαστός, ὀνόματι Βενιαμίν, ζωὴν βιώσας ἐνάρετον ἐπὶ ἔτη ὀγδοήκοντα, καὶ εἰς ἄκρον ἀσκήσας τὴν ἀρετήν, κατηξιώθη χαρίσματος ἰαμάτων, ὡς πάντα, ᾧ ἂν χεῖρας ἐπετίθει ἢ ἔλαιον εὐλογήσας ἐδίδου, πάσης ἀπαλλάττεσθαι ἀῤῥωστίας τὸν ἐνοχλούμενον.

2. Οὗτος πρὸ ὀκτὼ μηνῶν τῆς κοιμήσεως αὐτοῦ ὑδρωπίασε, καὶ ἐπὶ τοσοῦτον ὠγκώθη τὸ σῶμα αὐτοῦ, ὡς μὴ δύνασθαι τὸν μικρὸν δάκτυλον τῆς χειρὸς αὐτοῦ ταῖς δυσὶ χερσὶ περιλαβεῖν. Μὴ δυνάμενοι οὖν ἡμεῖς ἀτενίζειν τῇ τοῦ πάθους δεινότητι, τοὺς ὀφθαλμοὺς ἡμῶν ἀπ' αὐτοῦ ἐστρέφομεν.

3. Τότε λέγει ἡμῖν ὁ μακάριος· εὔξασθε, τέκνα, ἵνα μή μου ὁ ἔσωθεν ἄνθρωπος ὑδρωπιάσῃ· τοῦτο γὰρ τὸ σῶμα, οὔτε εὐπαθοῦντα μέ τι ὤνησεν, οὔτε δυσπαθοῦντα παρέβλαψε.


4. Τοὺς ὀκτὼ οὖν μῆνας ἐκείνους ὁ δίφρος αὐτοῦ πλατύτατος ἐγένετο, ἐν ᾧ ἀεὶ ἐκαθέζετο, μηκέτι ἐν κλίνῃ ἀναπεσεῖν δυνάμενος διὰ τὰς λοιπὰς χρείας τοῦ σώματος, καὶ ἐν τούτῳ ὢν τῷ ἀνιάτῳ πάθει ἄλλους ἰᾶτο, τοὺς ἐν οἱῳδήποτε νοσήματι συνεχομένους.

5. Τελευτήσαντος δὲ αὐτοῦ, αἱ φλιαὶ τῆς θύρας καὶ αἱ παραστάδες ἐπήρθησαν, ἵνα δυνηθῇ τὸ σῶμα αὐτοῦ ἐξενεχθῆναι τοῦ κελλίου· τοσοῦτος ἦν ὁ ὄγκος τοῦ σώματος τοῦ μακαρίου καὶ ἀοιδίμου Βενιαμίν.

Ἑρμηνεία

ΕΙΣ ΤΟ ΟΡΟΣ τῆς Νιτρίας ἔζη κάποτε ἕνας ἀξιοθαύμαστος Ἀσκητής, ποὺ ἐλέγετο Βενιαμίν. Οὗτος ἔζη ἐπὶ ὀγδοήκοντα ἔτη ζωὴν λίαν ἐνάρετον, λόγῳ δὲ τῆς ἀσκήσεώς του ἔλαβε παρὰ Θεοῦ τὸ χάρισμα τῆς θεραπείας διαφόρων ἀσθενειῶν. Εἶχε τὴν δύναμιν, ὥστε εἰς οἱονδήποτε ἀσθενῆ ἀκουμποῦσε τὴν χεῖρά του ἢ εὐλόγει ἔλαιον καὶ τοῦ τὸ προσέφερεν, ἀμέσως ὁ ἀσθενὴς οὗτος ἐθεραπεύετο ἀπὸ πᾶσαν ἀσθένειαν, ποὺ ὑπέφερε.

2. Οὗτος ὀκτὼ μῆνας πρὸ τῆς ὁσίας αὐτοῦ κοιμήσεως ἔπαθεν


Ὁ Ἅγιος
ΒΕΝΙΑΜΗΝ

ὑδρωπικίαν καὶ τόσον πολὺ διωγκώθη ἐκ τῆς ἀσθενείας τὸ σῶμά του, ὥστε τὸ μικρὸν δάκτυλον τῆς χειρός του νὰ μὴ ἠμποροῦν καὶ μὲ τὰς δύο παλάμας νὰ τὸ περιβάλουν. Τόσον δὲ φοβερὸν ἦτο τὸ θέαμα τοῦ ἀσθενοῦς, ὥστε ἡμεῖς δὲν εἴχομεν τὴν δύναμιν νὰ τὸν βλέπωμεν καὶ δι' αὐτὸ ἐστρέφαμεν ἀλλοῦ τὸ πρόσωπόν μας.

3. Καὶ ὅμως εἰς τὴν κατάστασιν αὐτὴν ὁ Ἅγιος Ἀσκητὴς δὲν ἔχασεν οὔτε ἴχνος ἀπὸ τὴν ἀρετήν του· ἀπ' ἐναντίας! εἶχε τὴν δύναμιν νὰ μᾶς λέγῃ:

— Προσευχηθῆτε, τέκνα μου, νὰ μὴ ὑδρωπιάσῃ ὁ ἐσωτερικός μου ἄνθρωπος· διότι αὐτὸ τὸ σῶμα, ποὺ βλέπετε, οὔτε ὅταν ἦτο ὑγιὲς μὲ ὠφέλησε εἰς τίποτε ψυχικῶς, οὔτε ὅταν ἀρρώσταινε, μὲ ἔβλαψε.

4. Κατὰ τοὺς ὀκτὼ μῆνας τῆς ἀσθενείας του, ἐπειδὴ δὲν ἠμποροῦσε πλέον νὰ πέσῃ εἰς τὸ κρεββάτι, ἐκάθητο διαρκῶς εἰς τὸ κάθισμα, τὸ ὁποῖον, λόγῳ τοῦ ὄγκου τοῦ ἀσθενοῦς, διαρκῶς ἐπλατύνετο. Ἐκεῖ δὲ ἐξετέλει καὶ τὰς διαφόρους ἀνάγκας τοῦ σώματος. Εἰς αὐτὴν δὲ τὴν ἀνίατον κατάστασιν εὑρισκόμενος εἶχε τὴν δύναμιν νὰ θεραπεύῃ τοὺς ἐκ διαφόρων ἀσθενειῶν πάσχοντας.

5. Ὅταν ἐκοιμήθη, τόσον πολὺ εἶχε διογκωθῆ τὸ σῶμα τοῦ μακαρίου καὶ ἀοιδίμου Βενιαμίν, ὥστε διὰ νὰ βγάλουν τὸν νεκρὸν ἀπὸ τὸ κελλί του παρέστη ἀνάγκη νὰ ἀφαιρέσουν καὶ τὰ στηρίγματα τῆς θύρας διὰ νὰ μεγαλώσῃ τὸ ἄνοιγμα τῆς εἰσόδου.

Β'. Τοῦ αὐτοῦ

ΣΤΕΦΑΝΟΣ τις Λίβυς τὸ γένος ἐκ πλαγίου τῆς Μαρμαρικῆς καὶ τοῦ Μαριώτου, ἐπὶ ἑξήκοντα ἔτη ἐκαθέσθη, εἰς ἄκρον γενόμενος ἀσκητὴς καὶ διακριτικός.

2. Οὗτος κατηξιώθη χαρίσματος τοιούτου, ὡς πάντα τὸν ἐν οἱαδήποτε λύπῃ ὄντα, συντυχόντα αὐτῷ, ἄλυπον ἀναχωρεῖν ἀπ' αὐτοῦ· ᾧ συντυχόντες αὐτῷ καὶ Ἀμμώνιος καὶ Εὐάγριος, αὐτοί μοι διηγήσαντο, ὅτι κατελάβομεν αὐτὸν δεινῇ ἀῤῥωστίᾳ περιπεσόντα.

3. Κατ' αὐτοὺς γάρ, ὡς εἶπον, τοὺς τόπους τῶν διδύμων καὶ τῆς βαλάνου ἕλκος ἐποίησε, τὴν λεγομένην φαγέδαιναν, καὶ ἐπεμελεῖτο παρά τινος ἰατροῦ, καὶ ταῖς μὲν χερσὶ θαλλοὺς ἔπλεκεν, ἡμῖν δὲ ἐλάλει, οὕτω δὲ εὐχαρίστως καὶ ὑπομονητικῶς τὴν συμφορὰν ἔφερεν, ὡς ἄλλου τινὸς διακοπτομένου καὶ οὐκ αὐτοῦ· τῶν γὰρ μελῶν αὐτοῦ, καθάπερ τριχῶν ἀνεπαισθήτως ἀποκοπτομένων, ἄτρεπτος ἔμενεν ὑπερβολῇ παρασκευῆς θεϊκῆς.

4. Αἰσθόμενος δὲ ἡμᾶς ὁ μακάριος λυπουμένους, λέγει ἡμῖν· μὴ βλαβῆτε, τέκνα· οὐδὲν γὰρ ὧν ποιεῖ ὁ Θεὸς κακίᾳ ποιεῖ ποτέ, ἀλλὰ τέλει χρηστῷ· ἴσως γὰρ ὑπεύθυνα ἦν τὰ μέλη κολάσεων, καὶ συμφέρον ἐστὶ ταῦτα ὧδε δοῦναι δίκην, ἢ μετὰ τὴν ἔξοδον τοῦ ἐνθάδε σταδίου.

5. Οὕτως ἡμᾶς τῆς ὑπομονῆς λόγοις παρακαλέσας ἐστήριξεν ἐγκαρτερεῖν ἐν τοῖς θλιβεροῖς, καὶ μηδὲν ξενίζεσθαι εἰ καὶ Ἅγιοι ταῦτα πάσχουσι τὰ δεινά.

Ἑρμηνεία

ΕΝΑΣ ΛΙΒΥΣ, κατὰ τὴν καταγωγήν, ποὺ ἐλέγετο Στέφανος, προερχόμενος ἀπὸ τὴν μεταξὺ Μαρμαρικῆς καὶ Μαρεώτου

χώραν, ἐπὶ ἑξήκοντα ἔτη ἠσκήτευεν αὐστηρότατα ἀναδειχθεὶς εἰς τὸ τέλος τέλειος Ἀσκητὴς καὶ ἱκανὸς νὰ διακρίνῃ, ἀπὸ θεῖον φωτισμόν, τὰς σκέψεις καὶ τοὺς λογισμοὺς τῶν ἄλλων.

2. Οὗτος, μεταξὺ ἄλλων, εἶχε καὶ τὸ χάρισμα νὰ διαλύῃ τὴν λύπην ἀπὸ τὴν ψυχὴν τῶν προσερχομένων εἰς αὐτόν, ἀπὸ οἱανδήποτε αἰτίαν καὶ ἐὰν προήρχετο αὕτη, καὶ νὰ καθιστᾷ αὐτοὺς χαρούμενους καὶ εὐδιαθέτους. Ὁ Ἀμμώνιος λοιπὸν καὶ ὁ Εὐάγριος, οἱ ὁποῖοι συχνὰ τὸν ἐπεσκέπτοντο, μοῦ διηγήθησαν τὸ ἑξῆς περιστατικόν, τὸ ὁποῖον ἐκ προσωπικῆς ἀντιλήψεως ἐγνώρισαν.

3. Κάποτε ἠσθένησε βαρέως ἀπὸ μίαν φοβερὰν πληγήν, τὴν φαγέδαιναν, ἡ ὁποία ἀνεπτύχθη εἰς τὴν περιοχὴν τῶν γεννητικῶν του ὀργάνων. Διὰ τὴν ἀσθένειαν αὐτὴν τὸν περιεποιεῖτο κάποιος ἰατρός. Τόσον ὅμως ἡ κατάστασίς του, ὅσον καὶ ἡ φροντίς τοῦ ἰατροῦ δὲν τὸν ἠμπόδισαν οὔτε ἀπὸ τὸ ἐργόχειρον (τὸ πλέξιμον βλαστῶν φοινικοδένδρων πρὸς κατασκευὴν ζεμπιλίων), ἀλλ' οὔτε καὶ ἀπὸ τὴν πρὸς ἡμᾶς διδακτικήν του ὁμιλίαν. Μὲ ἀφάνταστον δὲ ὑπομονὴν καὶ εὐχαρίστησιν ἐσήκωνε τὸν Σταυρὸν τῆς δοκιμασίας αὐτῆς, ὥστε ἐδημιούργει τὴν ἐντύπωσιν, ὅτι δὲν ὑπέφερεν αὐτός, ἀλλὰ ἄλλος. Ἐν τῷ μεταξὺ ἡ ἀσθένεια ἐπροχώρει ἐπικινδύνως, μὲ ἀποτέλεσμα νὰ πίπτουν αἱ σάρκες του ἀπὸ τὴν σηψαιμίαν, ὅπως πίπτουν αἱ τρίχες τοῦ σώματος, χωρὶς τοῦτο νὰ γίνεται ἀντιληπτόν. Καὶ ὅμως ὁ ἅγιος αὐτὸς ἄνθρωπος παρέμενε σταθερὸς καὶ ἀμετάβλητος, λόγῳ ἀκριβῶς τῆς ὑπερβολικῆς ἐσωτερικῆς προσπαθείας, διὰ προσευχῆς καὶ ὑπομονῆς.

4. Εἶχε μάλιστα τὴν δύναμιν ὁ μακάριος, ὁσάκις μᾶς ἀντελαμβάνετο ὅτι ἐλυπούμεθα διὰ τὴν κατάστασίν του αὐτήν, νὰ μᾶς λέγῃ: μὴ στενοχωρῆσθε καὶ μὴ σκανδαλίζεσθε, τέκνα μου· τίποτε ἀπὸ ὅσα κάνει ὁ Θεός, δὲν κάνει ἀπὸ κακίαν· ἀπ' ἐναντίας, ἐπιδιώκει διὰ τῶν παθημάτων ἀγαθὸν ἀποτέλεσμα. Ἴσως τὰ μέλη αὐτά, ποὺ ὑποφέρουν, νὰ ἦσαν ἔνοχα καὶ δι' αὐτὸ τιμωροῦνται. Εἶναι λοιπὸν πρὸς τὸ συμφέρον μου αὐτό, διότι διὰ τῆς προσκαίρου αὐτῆς τιμωρίας, ἀπαλλάσσομαι τῆς αἰωνίου μετὰ θάνατον τοιαύτης.

5. Μὲ τοιούτους λόγους περὶ ὑπομονῆς μᾶς παρηγόρει ὁ μακάριος αὐτὸς Ἀσκητὴς καὶ μᾶς ἐστήριζε νὰ ἀνεχώμεθα ἀγογγύστως τὰ θλιβερά, χωρὶς νὰ παραξενευώμεθα, ὅταν καὶ οἱ Ἅγιοι ἀκόμη ὑποφέρουν ἀπὸ τοιαύτας φοβερὰς δοκιμασίας.

Γ'. Γρηγορίου τοῦ Διαλόγου

ΕΝ ΤΗ ΕΚΚΛΗΣΙΑ τῆς Ἀγκώνων πόλεως Ἐπίσκοπος ἦν πάνυ εὐλαβέστατος, Μαρκελλῖνος τοὔνομα· τούτου τοὺς πόδας τοσοῦτον ἡ τῆς ποδαλγίας νόσος κατέσχεν, ὡς μηδὲ βαδίσαι αὐτὸν ὅλως δύνασθαι, ἀλλ' ὅπου χρεία ἦν αὐτῷ ἀπελθεῖν, φορείῳ μετακομίζεσθαι.

2. Ἐν μιᾷ οὖν διά τινος ἀμέλειαν πταίσαντος, ἐν τῇ αὐτοῦ πόλει τῇ εἰρημένῃ, ἐμπρησμὸς γέγονε μέγιστος· τοῦ οὖν πυρὸς σφοδρῶς κατανεμομένου τὴν πό-

λιν, καὶ μηδὲ ὑπό τινος ἀνθρωπίνης ἐπινοίας σβεσθῆναι δυναμένης τῆς φλογός, ἀλλ' ἀπειλούσης τῇ πόλει παντελῆ τὴν ἀπώλειαν, ἤδη δὲ καὶ πολὺ μέρος τῆς πόλεως ἀναλώσαντος, κατέλαβεν ὁ Ἐπίσκοπος χερσὶ βασταζόμενος καὶ ὀδυνώμενος σφόδρα τῇ ἀπωλείᾳ τῆς πόλεως· τοῖς τοῦτον βαστάζουσι παρεκελεύσατο φέροντες θεῖναι αὐτὸν κατέναντι τοῦ πυρός, ὃ καὶ γέγονε, καὶ εἰς ἐκεῖνον ἐτέθη τὸν τόπον, εἰς ὃν πᾶσα ἡ φλὸξ κλεισθεῖσα ἐφαίνετο.

3. Ἤρξατο οὖν θαυμαστῷ τινι τρόπῳ τὸ πῦρ πρὸς ἑαυτὸ ἐπιστρέφειν, ὥσπερ εὐλαβηθὲν τὸν Ἐπίσκοπον, καὶ οἷα φωνὴν ἀφὲν μὴ δύνασθαι αὐτὸν παρελθεῖν· οὕτως οὖν ἡ φλὸξ δεσμευθεῖσα, καὶ πρὸς ἑαυτὴν ὑποστρέψασα, τελείως ἐσβέσθη. Κατανοεῖς οὖν, Πέτρε, ποίαν οὗτος ὁ ἄνθρωπος ἔσχε τὴν ἀρετήν, ὅτι ἀσθενὴς ὢν καὶ καθεζόμενος, τὴν τοιαύτην φλόγα κατέσβεσεν;

Πέτρος

4. Κατανοῶ καὶ λίαν ἐκπλήττομαι.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ ΕΚΚΛΗΣΙΑΝ τῆς πόλεως Ἀγκῶνος ἦτο Ἐπίσκοπος ὁ ὑπερευλαβέστατος Μαρκελλῖνος. Αὐτὸς λοιπὸν ὁ ἐκλεκτὸς Ἐπίσκοπος προσεβλήθη ἀπὸ ἰσχυρὰν ποδαλγίαν, εἰς σημεῖον ὥστε νὰ μὴ δύναται πλέον νὰ βαδίσῃ, ἀλλ' ὅπου παρίστατο ἀνάγκη νὰ μεταβῇ, μετεφέρετο διὰ φορείου.

2. Κάποτε λοιπόν, ἐξ ἀφορμῆς ἀπροσεξίας ἑνὸς κατοίκου τῆς πόλεως, ἐξερράγη εἰς τὴν πόλιν τοῦ ἀσθενοῦς Ἐπισκόπου Μαρκελλίνου μεγάλη πυρκαϊά. Τὸ πῦρ ἤρχισε νὰ ἐξαπλοῦται ἐπικινδύνως εἰς ὅλην τὴν πόλιν καὶ καμμία ἀνθρωπίνη δύναμις δὲν ἠδύνατο νὰ κατανικήσῃ τὰς φλόγας, αἱ ὁποῖαι ἠπείλουν νὰ καταστρέψουν τελείως τὴν πόλιν αὐτήν. Πρὸ τῆς ἀπειλῆς αὐτῆς καὶ ἐνῷ εἶχεν ἀποτεφρωθῆ ἀρκετὸν μέρος τῆς πόλεως ὁ Ἐπίσκοπος πονῶν διὰ τὴν συμφορὰν αὐτὴν ἐξῆλθεν εἰς τὸν τόπον τῆς πυρκαϊᾶς, βασταζόμενος εἰς τὰς χεῖρας. Εἰς μίαν στιγμήν, δανούμενος ἀπὸ ἰσχυρὰν συγκίνησιν διὰ τὴν συμφορὰν ἐκ τῆς πυρκαϊᾶς, διέταξε τοὺς βαστάζοντας νὰ τὸν φέρουν καὶ νὰ τὸν τοποθετήσουν ἀκριβῶς ἀπέναντι τοῦ πυρὸς πλησίον τοῦ χώρου τῆς καταστροφῆς.

3. Μόλις τὸν μετέφεραν καὶ τὸν ἐτοποθέτησαν συνέβη τὸ ἑξῆς παράδοξον θαῦμα: Αἱ φλόγες περιωρίσθησαν καὶ τὸ πῦρ, κατὰ θαυμαστὸν τρόπον, ἤρχισε νὰ περιμαζεύεται, ὡς νὰ ἐφοβεῖτο τὸν Ἐπίσκοπον καὶ νὰ ἐφώναζεν, ὅτι δὲν ἠδύνατο νὰ περάσῃ τὴν θέσιν, ὅπου ἔμενεν ὁ Ἐπίσκοπος. Τοιουτοτρόπως λοιπὸν συνεστάλη τὸ πῦρ καὶ ἐντὸς ὀλίγου κατεσβέσθη τελείως.

— Βλέπεις λοιπόν, Πέτρε, πόσον μεγάλην ἀρετὴν εἶχεν ὁ ἄνθρωπος αὐτός; Εἶχε τὴν δύναμιν καὶ ἀσθενὴς ἀκόμη καὶ χωρὶς νὰ μετακινῆται, λόγῳ τῆς ἀσθενείας του, νὰ κατασβέσῃ τόσον φοβερὰν πυρκαϊάν.

Πέτρος

4. Τὸ βλέπω, καὶ καταπλήσσομαι.

Δ'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΟΡΩΝ ὁ μισόκαλος δαίμων τὴν μακαρίαν Συγκλητικὴν κούφως τῶν αὐτοῦ ὑπεριπταμένην παγίδων, καὶ οὐ μόνον αὐτήν, ἀλλὰ καὶ πολλὰς ἄλλας, δι' ὧν τε ἐποίει καὶ ἐδίδασκε συγκροτοῦσαν εἰς τὴν κατ' αὐτοῦ νίκην, ἐξαιτεῖται λοιπὸν ταύτην πρὸς τὸν τελευταῖον ἀγῶνα, καὶ τῶν ἐντοσθίων αὐτῆς ἀψάμενος, βαθεῖαν αὐτῇ τὴν πληγὴν ἐνῆκε, καὶ τὸ ἀναγκαιότατον πρὸς τὸ ζῆν μόριον, τὸν πνεύμονα, πλήττει δεινῶς, καὶ ἀφορήτους αὐτῇ ἐμποιεῖ ἀλγηδόνας, καὶ οὕτω κατ' ὀλίγον αὐτῆς τὴν ζωὴν ἐδαπάνα.

2. Ἐνεχώρει μὲν γὰρ καὶ ἐν βραχεῖ καιρῷ, ἐπεὶ ταύτην ἐξαιτησάμενος ἔλαβε, συντεμεῖν αὐτῆς τὴν τελευτήν· ἀλλ' ἐκεῖνος μὲν ὥς περ αἱμοβόρος δήμιος διὰ πολλῶν πληγῶν καὶ χρόνου μακροῦ τὴν οἰκείαν ὠμότητα ἐθεράπευε, κἀκείνην ἀπαγορεῦσαι πρὸς τὸ τοῦ χρόνου μῆκος καὶ τὸ βαρὺ τῶν κολάσεων ἐπειρᾶτο.

3. Καὶ διὰ τοῦτο κατὰ μικρὸν ἀναλύων τὸν πνεύμονα, διὰ τῶν ἐναγομένων πτυσμάτων τοῦτον ἀπέβαλλε· πρὸς δὲ καὶ πυρετοὺς ἀδιαλείπτους ὑπανῆψεν αὐτῇ, οἳ καὶ ῥίνης δίκην τὸ πολύαθλον σῶμα ἐδαπάνων τε καὶ ἀνήλισκον.

4. Καὶ ὥς περ οἱ δικασταί, ὁπηνίκα βούλωνται τοὺς ἁμαρτήσαντας καὶ καταδίκους γεγονότας βαρυτέρας ὑποσχεῖν τιμωρίας, δι' ὀλίγου πυρὸς κατὰ μικρὸν ἀναλωθῆναι αὐτοὺς προστάττουσιν, οὕτω καὶ ὁ ἐχθρός, ἐκ τῶν ἐντοσθίων αὐτῆς τὸ πῦρ ἐξάπτων, ἅπαν τὸ σῶμα αὐτῆς κατηνάλου καὶ ἐπεβόσκετο, καὶ ἄπαυστον ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ἐπῆγε τὴν τιμωρίαν.

5. Τρία μὲν οὖν καὶ ἥμισυ ἔτη ἡ γενναία, διὰ τῶν εὐκλεῶν τούτων πόνων πρὸς τὸν ἐχθρὸν ἀπεμάχετο, γενναίως τὰς πληγὰς καὶ εὐχαρίστως ὑποφέρουσα, καὶ μὴ συμπίπτουσα τῷ φρονήματι, μᾶλλον δὲ καὶ γενναιότερον ὡπλίζετο κατ' αὐτοῦ, καὶ πολλοὺς ὑπ' αὐτοῦ τραυματιζομένους ταῖς διδασκαλίαις ἰᾶτο.

6. Ὁ δὲ ταῦτα ὁρῶν ἤχθετο, καὶ μὴ φέρων τὴν ἧτταν, τῇ γενναίᾳ καὶ ἑτέραν τιμωρίαν βαρυτάτην προστίθησι· πλήττει τὰ φωνητικὰ ὄργανα, τὴν προφορὰν τοῦ λόγου στῆσαι ὁ δόλιος μηχανώμενος καὶ πολλοὺς στερῆσαι τῆς ἐξ αὐτοῦ ὠφελείας.

7. Ἀλλ' εἰ καὶ ἡ ἀκοὴ τῶν προσιόντων τῆς ἐκ τῶν λόγων ὠφελείας ἐστέρητο, ἀλλ' ἡ ὄψις αὐτῶν ἐκέρδαινε μείζονα· τῷ γὰρ δριμεῖ τοῦ πάθους οἱ παραγεγονότες ἐνατενίζοντες, καὶ τῆς μακαρίας τὸ ἐν τοῖς πόνοις καρτερὲς κατανοοῦντες καὶ μεγαλόψυχον, καὶ αὐτοὶ ἐκραταιοῦντο τὴν γνώμην, καὶ εἰς τὸν κατὰ τοῦ ἐχθροῦ πόλεμον ἐγίνοντο εὐτολμότεροι.

8. Πόθεν οὖν ὁ ἐχθρὸς τῆς πληγῆς ἤρξατο; ἐκ τοῦ στόματος· ὅθεν καὶ τὰ τῶν λόγων ἤεσαν γλυκύτατα νάματα καὶ μίαν μύλην ὀδυνήσας, σήπει παραυτα τὸ οὖλον, καὶ ἐκπίπτει μὲν ἡ μύλη, ἡ δὲ νομὴ διατρέχει εἰς ἅπασαν τὴν γένυν, καὶ γίνεται φθορὰ τῆς ὑποκειμένης σαρκός, καὶ ἐν τεσσαράκοντα ἡμέραις τερηδονίζεται τὸ ὀστέον, καὶ μετὰ δύο μῆνας γίνεται ἔκτρησις· καὶ πᾶς δὲ ὁ πέριξ τόπος ἰσχυρῶς ἐμεμελάνωτο, καὶ τὸ ὀστοῦν δὲ καὶ αὐτὸ φανὲν κατ' ὀλίγον ἐδαπανᾶτο.

9. Ἐκ δὲ τῆς σήψεως βαρυτάτη δυσωδία καὶ ἀνύποιστος ἀπέπλει, ὥς τε τὰς ὑπουργούσας μηδὲ πλησιάσαι αὐτῇ δυναμένας, διὰ τὸ τῆς δυσωδίας ἀπάνθρωπον· εἰ δέ ποτε καὶ ὑπὸ τῆς ἀναγκαίας χρείας καλούμεναι ἐγγίσαι αὐτῇ ἤθελον, θυμιαμάτων ἀποκαίουσαι πλῆθος εἰσῄεσαν, καὶ συντόμως αὖθις ὑπεχώρουν, τὸ δεινὸν ἐκ τῆς δυσωδίας ἐκεῖνο μὴ φέρουσαι.

10. Ἡ δὲ γενναία, ὡς ἐν ὀφθαλμοῖς ὁρῶσα τὸν ἀντίπαλον ἐνώπιον αὐτῆς ἑστῶτα, ἀνδρείως αὐτῷ ἀντεμάχετο καὶ οὐκ ἠνείχετο ὅλως ἀνθρώπινόν τι προσαχθῆναι τῇ νόσῳ βοήθημα, καί περ πολλῶν τῶν συνελθουσῶν γυναικῶν ἀξιουσῶν διὰ τὴν ἑαυτῶν ἀσθένειαν, κἂν μύρῳ τινὶ ὑπαλεῖψαι τὸ ἕλκος, ἵνα τὸ πολὺ τῆς δυσωδίας ἀπελαθέν, φορητὴν αὐταῖς θήσῃ τὴν μετ' ἐκείνης διαγωγήν· ἀλλ' ἡ μακαρία οὐ κατεδέχετο, νομίζουσα διὰ τῆς ἀνθρωπίνης συμμαχίας καθαιρεῖσθαι τοῦ ενδοξοτάτου ἀγῶνος.

11. Αἱ οὖν παροῦσαι ἰατρόν τινα μετακαλεσάμεναι, δι' ἐκείνου ἐπεχείρουν πεῖσαι αὐτὴν θεραπείας τινὸς τυχεῖν· ἡ δὲ πάλιν οὐχ ὑπήκουε λέγουσα· τί με τῆς ἀγαθῆς ταύτης πάλης ἐκκόπτετε; τί ζητεῖτε τὸ φαινόμενον, ἀγνοοῦσαι τὸ κρυπτόμενον; τί πολυπραγμονεῖτε τὸ γινόμενον, τὸν ποιοῦντα μὴ θεωροῦσαι;

12. Καὶ ὁ ἰατρός φησι πρὸς αὐτήν· οὐχ ἕνεκεν θεραπείας τινὸς ἢ παραμυθίας προσφέρομεν φάρμακον, ἀλλ' ἵνα τὸ νεκρωθὲν ἀπαλλοτριωθὲν μόριον θάψωμεν, πρὸς τὰς παρούσας μὴ διαφθαρῆναι· ὅπερ γὰρ εἰς τοὺς τεθνῶτας ποιοῦσι, τοῦτο καὶ ἡμεῖς προσάγομεν, ἀλόην ἅμα καὶ μυρσίνην, οἴνῳ δεύσας ἐπιτίθημι.

13. Ἡ δὲ καταδεξαμένη τὴν συμβουλίαν ἠνέσχετο, τὰς συνελθούσας μᾶλλον ἐλεήσασα· ἐκαθαίρετο γὰρ διὰ τούτου ἡ ἀμετρία τῆς δυσωδίας. Μυοὶ μὲν οὖν καὶ πρὸς τοῦτον τὸν ἀγῶνα ἐνήθλησε, δυνάμει δὲ θείᾳ συνεκρατεῖτο τὸ σῶμα· τὰ γὰρ αὐτῷ συνιστῶντα ἐξέλιπον παντελῶς· οὔτε γὰρ τροφῆς μεταλαβεῖν ἠδύνατο, τοιαύτης σήψεως καὶ δυσωδίας ἐπικρατούσης, οὔτε ὅλως ὑπνῶσαι δριμυτάταις ἀλγηδόσι βαλλομένη διηνεκῶς, ὑφ' ὧν ὁ ὕπνος ἀνεκόπτετό τε καὶ ἀπηλαύνετο.

14. Ὡς δὲ τῷ τέλει τοῦ ἀγῶνος προσήγγισε καὶ τὸν τῆς δικαιοσύνης στέφανον ἀναδήσασθαι ἔμελλεν, ἐπιστασίας Ἀγγέλων νοερῶς ἐχώρησε, καὶ ἐλλάμψεις ἀνεκλαλήτου φωτός, καὶ Παρθένων Ἁγίων χοροὺς προτρεπομένους αὐτῇ τὴν ἄνοδον.

15. Καὶ ὥς περ ἐν ἑαυτῇ γενομένη, ταῖς παρούσαις, ἃ εἶδεν, ἀπήγγειλε, γενναίως τε φέρειν πρὸς τοὺς πόνους καὶ μὴ ὀλιγωρεῖν προετρέψατο· προσέθετο δέ, ὅτι καὶ μετὰ τρεῖς ἡμέρας τοῦ σώματος χωρισθήσομαι κατὰ τήνδε τὴν ὥραν.

16. Διελθουσῶν δὲ τῶν τριῶν ἡμερῶν, καθ' ἣν ὥραν προεῖπεν, ἀπῆλθε πρὸς Κύριον, ἔπαθλον τῶν ἀγώνων παρ' αὐτοῦ ληψομένη τὴν μακαρίαν ἐν οὐρανοῖς διαγωγὴν καὶ ἀπόλαυσιν.

Ἑρμηνεία

ΒΛΕΠΩΝ ὁ μισόκαλος διάβολος τὴν εὐλογημένην ἀσκήτριαν, τὴν Ὁσίαν Συγκλητικήν, νὰ ὑπερπηδᾷ μὲ εὐκολίαν τὰς παγίδας του καὶ νὰ μὴ παγιδεύεται ἀπὸ αὐτάς, ἀλλὰ καὶ τὰς ἄλλας Μοναχὰς νὰ προφυλάσσῃ μὲ τὸ παράδειγμα καὶ τὴν διδασκαλίαν της, ἐστενοχωρεῖτο, διότι ἐνικᾶτο ἀπὸ γυναῖκας. Δι' αὐτὸ ἀποφασίζει νὰ τὴν περιπλέξῃ εἰς μίαν τελευταίαν καὶ ἀποφασιστικὴν μάχην, μὲ τὴν ὁποίαν ἤλπιζε νὰ τὴν κατανικήσῃ. Καὶ τί κάμνει λοιπόν; Προσβάλλει διὰ φρικτῆς ἀσθενείας τὰ ἐντόσθια αὐτῆς καὶ πρὸ παντὸς τὸ ἀπαραίτητον διὰ τὴν ζωὴν ὄργανον, τοὺς πνεύμονας. Διὰ τῆς ἀσθενείας αὐτῆς (πιθανῶς νὰ ἐπρόκειτο περὶ φυματιώσεως), προεκάλεσε φρικτοὺς πόνους καὶ τοιουτοτρόπως ἡ ζωή της ὀδυνηρῶς ἐδαπανᾶτο.

2. Τόση ἦτο ἡ μανία τοῦ διαβόλου κατὰ τῆς Ὁσίας Συγκλητικῆς, ὥστε ἐπεδίωκε συντομώτατα νὰ προκαλέσῃ τὸν θάνατόν της, ἐφ' ὅσον, κατὰ παραχώρησιν Θεοῦ, ἦτο ἐλεύθερος νὰ βασανίζῃ τὸ σῶμά της. Ὡς σκληρὸς δὲ καὶ ἀπαίσιος δήμιος, ποὺ διψᾷ δι' αἷμα, ἐπεδίωκε νὰ ἱκανοποιήσῃ τὸ πάθος του αὐτὸ ἐπαυξάνων τὰς πληγάς της καὶ πολλαπλασιάζων τὸν χρόνον τῆς δοκιμασίας της. Συγχρόνως μὲ τὰς βαρείας αὐτὰς τιμωρίας προσεπάθει νὰ τὴν κάμῃ νὰ γογγύσῃ διὰ τὴν μακροχρόνιον καὶ ὀδυνηρὰν αὐτῆς ἀσθένειαν.

3. Πρὸς τὸν σκοπὸν τοῦτον ὀλίγον κατ' ὀλίγον ὁ πνεύμων τῆς ἀσθενοῦς κατετρώγετο ὑπὸ τοῦ μικροβίου, καὶ τὸν ὁποῖον μὲ τὸν ἐκ τῆς φυματιώσεως βῆχα καὶ τὰ ἐξ αὐτοῦ ἐμπτύσματα ὀλίγον κατ' ὀλί-

γον ἀπέβαλλεν. Ἐπιπροσθέτως τὴν κατέφλεγε διὰ συνεχῶν ὑψηλῶν πυρετῶν, οἱ ὁποῖοι, ὅπως ἡ λίμα τοῦ σιδηρουργοῦ, διέλυον τὸ πολυβασανισμένον σῶμα τῆς Ὁσίας.

4. Ἡ ταλαιπωρία αὐτὴ τῆς Ὁσίας Συγκλητικῆς ὑπενθύμιζε τὴν τακτικὴν μερικῶν αὐστηρῶν δικαστῶν τοῦ καιροῦ ἐκείνου, οἵτινες, ὅταν ἤθελον νὰ τιμωρήσουν βαρύτερον καταδικασθέντας ἐγκληματίας, διέτασσον νὰ ριφθοῦν εἰς ὀλίγην πυράν, ὥστε νὰ διαρκέσῃ ἐπὶ πολὺ ἡ ὀδύνη τοῦ βραδέος αὐτοῦ θανάτου. Τοιουτοτρόπως καὶ ὁ διάβολος ἐνήργει ἐπὶ τῆς Ὁσίας· ἤναψε τὴν φλόγα τοῦ πυρετοῦ εἰς τὰ ἐντόσθιά της, ἀπὸ ἐκεῖ δὲ ὁ πυρετὸς αὐτὸς ἐτρέφετο ἀπὸ τὸ ἐξησθενημένον καὶ ἀναλισκόμενον ἀπὸ τοὺς πόνους σῶμα, ὥστε ἀπαύστως, ἡμέραν καὶ νύκτα, τὴν ἐτιμώρει.

5. Ἐπὶ τριάμισυ λοιπὸν ἔτη ἡ γενναία Συγκλητικὴ ἠγωνίζετο νικηφόρως ἐναντίον τοῦ ἐχθροῦ διὰ τῶν ἐνδόξων αὐτῶν πόνων καὶ σωματικῶν πληγῶν, τὰ ὁποῖα εὐχαρίστως καὶ ἀγογγύστως ὑπέμενε, χωρὶς καθόλου νὰ καταπέσῃ τὸ ἀσκητικόν της φρόνημα καὶ νὰ μετριασθῇ ἡ ψυχική της διάθεσις. Ἀπ' ἐναντίας μάλιστα, ἡ ταλαιπωρία τοῦ σώματος καὶ ἡ δριμύτης τῶν πόνων τὴν ἔκαμαν γενναιοτέραν καὶ τὴν ἐξώπλιζον ἀποτελεσματικώτερον κατὰ τοῦ κοινοῦ ἐχθροῦ, τοῦ διαβόλου, ὥστε διὰ τῶν πολυτίμων καὶ ὑψηλῶν διδαχῶν της νὰ θεραπεύῃ πολλοὺς τραυματιζομένους ὑπ' αὐτοῦ.

6. Ὁ διάβολος βλέπων τὴν ψυχικὴν αὐτὴν γενναιότητα καὶ τὴν δρᾶσιν τῆς Ὁσίας ἐστενοχωρεῖτο καὶ μὴ ὑποφέρων νὰ νικᾶται ἀπὸ μίαν γυναῖκα προσθέτει καὶ ἄλλην, βαρυτέραν ἀκόμη τιμωρίαν, ἐπὶ τῆς Ὁσίας. Οὕτω διὰ νὰ κατορθώσῃ νὰ ἀποστερήσῃ πολλοὺς ἀπὸ τὴν ὠφέλειαν τῶν λόγων τῆς Ὁσίας Συγκλητικῆς σκέπτεται ὁ πολυμήχανος νὰ ἀχρηστεύσῃ τὴν φωνήν της καὶ πρὸς τοῦτο πλήττει τὰ φωνητικὰ ὄργανα τῆς Ὁσίας.

7. Μετὰ ταῦτα δὲν ἠδύνατο πλέον νὰ ὁμιλῇ ἡ Ὁσία καὶ οἱ ἐπισκέπται της ἐστερήθησαν τῆς ὠφελείας τῶν διδαχῶν της· ἐν τούτοις ὅμως, ἐὰν τὰ ὦτα των δὲν ἐγλυκαίνοντο, οἱ ὀφθαλμοί των περισσότερον κέρδος ἀπέφερον εἰς τὴν ψυχήν των, διότι οἱ προσερχόμενοι βλέποντες μετὰ προσοχῆς τὸ δριμύτατον πάθος τῆς ἀσθενείας καὶ ἀντιλαμβανόμενοι τὴν ἀγόγγυστον ὑπομονὴν τῆς μακαρίας εἰς τοὺς πόνους καὶ τὴν παραδειγματικήν της μεγαλοψυχίαν, ἀσφαλῶς καὶ οἱ ἴδιοι ἐστηρίζοντο περισσότερον εἰς τὴν εὐσέβειαν καὶ ἐγίνοντο τολμηρότεροι εἰς τὸν πόλεμον κατὰ τοῦ ἐχθροῦ.

8. Ἀπὸ ποῦ, ἀπὸ ποῖον σημεῖον τοῦ σώματος, ὁ ἐχθρὸς ἤρχισε τὰς πληγάς; Ἀπὸ τὸ στόμα!

Δι' αὐτὸ καὶ ἐχάθησαν τὰ γλυκύτατα νάματα τῶν λόγων, ποὺ ἐξεπήγαζον ἀπὸ τὸ στόμα τῆς Ὁσίας. Ὡς νὰ μὴ ἤρκει δὲ ἡ θλιβερὰ αὐτὴ σιωπή, εἰς τὴν ὁποίαν ἀκουσίως ὑπεβλήθη ἡ Ὁσία, καὶ ἰδοὺ ἑτέρα φρικτὴ καὶ ὀδυνηρὰ δοκιμασία.

Ἐπόνεσεν ἕνα δόντι τῆς Ὁσίας· ἀπὸ τὸ δόντι αὐτὸ σαπίζει ὁλόκληρον τὸ οὖλον. Καὶ τὸ μὲν δόντι κατεστράφη καὶ ἔπεσε· ἐξ αἰτίας ὅμως αὐτοῦ ἐσχηματίσθη ἀπόστημα, τὸ ὁποῖον διέβρωσεν ὁλόκληρον τὴν κάτω σιαγόνα καὶ κατέστρεψε καὶ ἐξωτερικῶς ἀκόμη τὴν σάρκα τῆς σιαγόνος. Μέσα δὲ εἰς τεσσαράκοντα ἡμέρας ὅλα τὰ ὀστᾶ τῆς κάτω σιαγόνος προσβάλλονται ἀπὸ τερηδόνα καὶ μετὰ δύο μῆνας ἐτρύπησε τὸ μάγουλο καὶ ἐμελάνιασεν ὁλόκληρος ἡ περιοχὴ τοῦ προσώπου εἰς τὸ σημεῖον αὐτό. Ἡ σχηματισθεῖσα ὀπὴ ἐμεγάλωσε καὶ ἀπ' αὐτὴν ἐφαίνοντο τὰ ὀστᾶ τῆς σιαγόνος, τὰ ὁποῖα σιγὰ-σιγὰ κατετρώγοντο ἀπὸ τὴν τερηδόνα.

9. Ἐξ αἰτίας δὲ τῆς σήψεως ὁ χῶρος, ὅπου παρέμενεν ἡ ἀσθενής, κατελήφθη ἀπὸ μίαν βαρεῖαν καὶ ἀνυπόφορον δυσοσμίαν, ὥστε αὐταὶ ποὺ ἐξυπηρέτουν τὴν Ὁσίαν νὰ μὴ δύνανται νὰ τὴν πλησιάσουν λόγῳ αὐτῆς τῆς δυσωδίας. Ὁσάκις δὲ ἐπρόκειτο νὰ πλησιάσουν τὴν ἀσθενῆ διὰ κατεπείγουσάν τινα ἀνάγκην της, ἔκαιον ἀρωματικὰ φυτὰ προηγουμένως καὶ συντομώτατα εἰσήρχοντο εἰς τὸ κελλὶ τῆς ἀσθενοῦς, ἐξερχόμεναι ἀμέσως, μὴ ἀνεχόμεναι τὴν φοβερὰν ἐκείνην δυσοσμίαν.

10. Ἡ γενναία Συγκλητικὴ ἀντηγωνίζετο μὲ ἀνδρείαν τὸν διάβολον, ὡς νὰ τὸν ἔβλεπεν ἔμπροσθέν της διὰ τῶν ὀφθαλμῶν της καὶ δὲν ἐδέχετο καμμίαν ἀνθρωπίνην βοήθειαν εἰς τὴν νόσον της. Ἀπέκρουσε μάλιστα πρότασιν πολλῶν γυναικῶν, ποὺ ἦλθον μίαν ἡμέραν κοντά της, καὶ τὴν παρεκάλουν ἐπιμόνως νὰ δεχθῇ νὰ βάλῃ εἰς τὰς πληγὰς τοῦ σώματός της ὀλίγον ἄρωμα, ὥστε νὰ μετριασθῇ ἡ δυσοσμία καὶ νὰ ἠμποροῦν νὰ τὴν συναναστρέφωνται. Τὸ τοιοῦτον τὸ ἐζήτουν ὡς χάριν δι' ἑαυτάς. Ἡ μακαρία ὅμως Ἀσκήτρια δὲν ἤκουε τὰς συστάσεις καὶ ὑποδείξεις αὐτάς, διότι ἐνόμιζεν, ὅτι διὰ τῆς παρασχεθησομένης ἀνθρωπίνης βοηθείας θὰ ἐξέπιπτε τοῦ ἐνδοξοτάτου ἀγῶνος, ποὺ τόσον σκληρῶς διεξῆγε καὶ οὕτω θὰ ἔχανε παρὰ Θεοῦ τὸν μισθόν της.

11. Αἱ ὑποτακτικαί της ἔστειλαν καὶ ἐκάλεσαν πλησίον τῆς ἀσθενοῦς ἕνα ἰατρόν. Ἀνέθεσαν δὲ εἰς τὸν ἰατρὸν νὰ τὴν πείσῃ νὰ δεχθῇ κάποιαν παραμικρὰν θεραπείαν. Ματαίως ὅμως! Ἡ Ἁγία Συγκλητικὴ δὲν ὑπήκουεν εἰς τὰς συστάσεις καὶ ὑποδείξεις τοῦ ἰατροῦ. Ἀπευθυνομένη δὲ πρὸς τὸν ἰατρὸν καὶ τὰς Μοναχὰς τοὺς ἔλεγεν:

— Διατί μὲ ἐμποδίζετε ἀπὸ αὐτὴν τὴν ἀγαθὴν καὶ ὠφέλιμον πάλην; Διατί προσέχετε τὰ φαινόμενα (δηλαδὴ τὰς πληγάς, τὰς κακώσεις) καὶ ἀγνοεῖτε τί κρύπτεται κάτω ἀπὸ αὐτά; (δηλαδὴ ὁ φθόνος τοῦ διαβόλου καὶ ἡ κατ' αὐτοῦ πάλη;) Διατί μετὰ τοσαύτης φροντίδος περιεργάζεσθε αὐτὸ ποὺ συμβαίνει, ἐνῷ δὲν δύνασθε νὰ παρατηρήσετε τὸν δράστην καὶ αἴτιον αὐτῶν τῶν γεγονότων;

12. Εἰς τοὺς λόγους αὐτοὺς τῆς Ἁγίας ὁ ἰατρὸς ἀπήντησε.

— Δὲν σοῦ προσφέρομεν φάρμακον διὰ νὰ σὲ θεραπεύσωμεν ἀπὸ τὴν ἀσθένειαν, ἢ διὰ νὰ σοῦ ἀνακουφίσωμεν τοὺς πόνους! Τοιαύτη δυνατότης δὲν ὑπάρχει. Τὸ φάρμακον, ποὺ θὰ σοῦ δώσωμεν, ἔχει

σκοπὸν νὰ θάψῃ τὰ νεκρωθέντα σημεῖα τοῦ σώματός σου, ποὺ εἶναι ξένα πλέον πρὸς αὐτό. Τοῦτο δὲ τὸ κάμνομεν, διὰ νὰ μὴ βλαφθῶσιν αἱ Μοναχαὶ αὐταί, ποὺ εἶναι κοντά σου. Θὰ κάμωμεν δηλαδὴ διὰ τὰ νεκρὰ μόρια τοῦ σώματός σου, αὐτὸ ποὺ κάμνομεν εἰς τοὺς ἀποθανόντας. Ἐπάνω εἰς τὰς σάπιας σάρκας θὰ βάλω ἀλόην καὶ μυρσίνην, ποὺ θὰ τὰς ἔχω μουσκέψει μὲ κρασί (1).

13. Τότε ἡ Ἁγία ἐδέχθη τὰς συμβουλὰς αὐτὰς τοῦ ἰατροῦ, ὄχι χάριν τοῦ ἑαυτοῦ της, ἀλλ' ἐκ συμπαθείας πρὸς τὰς συγκεντρωθείσας ὑποτακτικάς της. Κατόπιν τῆς ἐπεμβάσεως αὐτῆς τοῦ ἰατροῦ ἐμετριάσθη κατὰ πολὺ ἡ δυσοσμία. Μὲ κολοβωμένον πλέον σῶμα ἠγωνίσθη τὸν ὑπόλοιπον ἀγῶνα της. Μόνον δὲ ἀπὸ τὴν θείαν δύναμιν συνεκρατεῖτο τὸ σῶμα αὐτό, τὸ ὁποῖον κυριολεκτικῶς διελύθη ἀπὸ τὰς σάρκας καὶ τὰ μέλη, ποὺ τὸ συνιστοῦσαν. Εἰς τὴν ἀθλίαν αὐτὴν κατάστασιν εὑρισκομένη δὲν ἠδύνατο οὔτε νὰ τρώγῃ, ἐφ' ὅσον ἡ σῆψις καὶ ἡ ἐκ ταύτης δυσωδία ἦσαν τόσον ἀποπνικτικαί, ἀλλ' οὔτε καὶ καθόλου νὰ κοιμηθῇ, ἐνοχλουμένη διαρκῶς ἀπὸ δριμυτάτους πόνους, ἐξ ἀφορμῆς τῶν ὁποίων ὁ ὕπνος της διεκόπτετο καὶ ἐχάνετο.

14. Μόλις δὲ ἐπλησίαζε τὸ τέλος τοῦ ἀγῶνος αὐτοῦ καὶ ἐπρόκειτο νὰ λάβῃ παρὰ τοῦ Θεοῦ τὸν στέφανον τῆς δικαιοσύνης διὰ τὴν ἀγόγγυστον ὑπομονήν της, ἔφθασεν εἰς τοιαύτην πνευματικὴν κατάστασιν, ὥστε νοερῶς νὰ βλέπῃ ἐπισκέψεις Ἁγίων Ἀγγέλων καὶ νὰ καταυγάζεται ἀπὸ ἀνεκλάλητον φῶς, συνοδεῖαι δὲ ἁγίων παρθένων νὰ τὴν προτρέπουν διὰ τὴν ἔνδοξον ἄνοδον.

15. Κατὰ διαστήματα δέ, ὡς νὰ συνήρχετο ἀπὸ ὅσα ἔβλεπεν ἐν ἐκστάσει, ἀνέφερεν εἰς τὰς παρευρισκομένας αὐτά, ποὺ ἔβλεπε καὶ τὰς συνεβούλευε νὰ ὑπομένουν μετὰ γενναιότητος τοὺς πόνους καὶ νὰ μὴ χαλαρώνουν τοὺς πνευματικούς των ἀγῶνας. Ἐν τέλει τοὺς εἶπεν, ὅτι μετὰ τρεῖς ἡμέρας θὰ ἀποχωρισθῇ ἡ ψυχή της ἀπὸ τὸ σῶμα, εἰς ὥραν, τὴν ὁποίαν προσδιώρισε.

16. Πράγματι μετὰ τὴν πάροδον τῶν τριῶν ἡμερῶν καὶ κατὰ τὴν ὥραν ἀκριβῶς, ποὺ προεῖπεν, ἐξεδήμησε πρὸς Κύριον, λαβοῦσα ἀπὸ Αὐτὸν ὡς ἔπαθλον τὴν εὐτυχισμένην ζωὴν ἐν οὐρανοῖς καὶ τὴν ἀπόλαυσιν τῶν αἰωνίων ἀγαθῶν.

---

(1) Ἡ ἀλόη εἶναι φυτὸν μὲ φαρμακευτικὰς ἰδιότητας, ὀνομάζεται δὲ οὕτω καὶ ὁ χυμὸς αὐτοῦ, ὅστις ξηραίνεται, ὡς ἡ ρητίνη· ἡ δὲ μυρσίνη εἶναι ἡ κοινῶς λεγομένη μυρτιά. Ὁ οἶνος ἐπίσης ἔχει ἀπολυμαντικὰς καὶ στυπτικὰς ἰδιότητας, λόγῳ τοῦ περιεχομένου οἰνοπνεύματος.

ΥΠΟΘΕΣΙΣ ΚΑ΄

"Ότι δεῖ τὸν πιστόν, καὶ τῶν ἀναγκαίων κἄν ποτε συμφερόντως στερηθῇ, μὴ ὀλιγωρεῖν εὐθέως, ἀλλ' εὐχαριστεῖν καὶ ὑπομένειν τὸν Κύριον, καὶ ἀδιστάκτως ἐλπίζειν ὡς πάντως ὁ ἀγαθὸς Θεὸς αὐτοῦ προνοήσεται. Καὶ ὅτι αἰσχρὸν τῷ Ἀσκητῇ, ὑπηρέτῃ ὄντι Θεοῦ, κοσμικοῖς προσιέναι, καὶ τὰ πρὸς χρείαν αἰτεῖν κἂν ἐν ἐνδείᾳ πιέζηται.

Πρέπει ὁ πιστὸς καὶ ὅταν ἀκόμη κάποτε στερηθῇ, πρὸς τὸ συμφέρον του, τῶν ἀναγκαίων, νὰ μὴ λιποψυχήσῃ ἀμέσως, ἀλλὰ νὰ εὐχαριστῇ τὸν Κύριον καὶ νὰ ὑπομένῃ, καὶ νὰ ἐλπίζῃ, χωρὶς δισταγμόν, ὅτι ὁπωσδήποτε ὁ καλὸς Θεὸς θὰ προνοήσῃ καὶ δι' αὐτόν. Εἶναι αἰσχρὸν διὰ τὸν Ἀσκητήν, ποὺ εἶναι ὑπηρέτης τοῦ Θεοῦ, νὰ συναναστρέφεται μὲ κοσμικοὺς καὶ νὰ ζητῇ παρ' αὐτῶν τὰ πρὸς συντήρησιν, ἔστω καὶ ἂν ὑποφέρῃ.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου

ΕΟΡΤΗ ἦν, καὶ ἑορτῶν ἡ πρώτη καὶ κυρία, αὐτό φημι τὸ Θεῖον Πάσχα. Τῆς ἱερᾶς οὖν νυκτὸς ἡ μὲν ἡμέρα παρῆν, τοῖς δὲ τοῦ Μεγάλου Θεοδοσίου φοιτηταῖς τῶν ἀναγκαίων εἰς βρῶσιν οὐδὲν ἦν, οὐχ ἄρτος, οὐχ ἔλαιον, οὐχ ἄλλο τι τῶν ἐδωδίμων οὐδέν. Ὁ μὲν οὖν τῶν μαθητῶν χορὸς ἤχθετο, δώδεκα ἤδη τὸν ἀριθμὸν ὄντες· ἤχθετο δὲ οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλ' ὅτι μηδὲ τοῦ προσφερομένου πρὸς θυσίαν ὑπάρχοντος, ἄθυτον αὐτοῖς τὸ Πάσχα, καὶ σώματος τοῦ Χριστοῦ χωρὶς ἔμελλε τελεσθήσεσθαι, καὶ τὸν διδάσκαλον περιστάντες, τὴν ἔνδειαν ἀπήγγελλον.

2. Ὁ δὲ τοσοῦτον εἰρηκώς, εὐπρεπῆ τὴν ἱερὰν μόνον τράπεζαν γενέσθαι χρή, τὸ λοιπὸν ἔφη μηδενὶ περὶ μηδενὸς ἔστω λόγος· ὁ γὰρ πάλαι τὸν Ἰσραὴλ ἐν ἐρήμῳ τὰς τοσαύτας χιλιάδας, εἶτα καὶ ὕστερον οὐκ ὀλίγον πλῆθος διαθρέψας εἰς κόρον, αὐτὸς οὖν καὶ ἡμῶν ἐστι προνοῶν, οὔτε περὶ τὴν δύναμιν ἀσθενέστερος νῦν, οὔτε περὶ τὴν χορήγησιν ἀτονώτερος γεγονώς.

3. Ταῦτα μὲν ἐκεῖνος ἔφη· ἀλλ' ὅπως αὐτῷ τὰ ῥήματα καὶ εἰς πραγμάτων δύναμιν τὸ τάχος ἐξέβη, ὡς τῆς ἐλπίδος τοὺς φοιτητὰς οὐ διέψευσεν, ὁ λόγος ἤδη ἐρεῖ. Ὥς περ γὰρ πάλαι τὸ πρόβατον ἐν φυτῷ Σαβὲκ τῷ Ἀβραὰμ παρέστη πρὸς ὁλοκάρπωσιν ἕτοιμον, οὕτω δὴ καὶ τῷ δε τῷ μακαρίῳ.

4. Τοῦ ἡλίου τὴν γῆν ἀπολιπόντος ἤδη, ζεῦγος ἡμιόνων ἄγων τις παραγίνεται, φόρτος τε ποικίλης τροφῆς ἀνδράσιν Ἀσκηταῖς οἰκεῖος ἐκομίζετο· καὶ οὐχ αὐτὸς ἀπῆν ὁ τῆς ἱερᾶς τραπέζης δρώμενός τε καὶ νοούμενος ἄρτος, ἀλλὰ τοῖς

ἄλλοις συνῆν, ἐφʼ ᾧ καὶ μᾶλλον οἱ μαθηταὶ ἥσθησαν· τὰ δὲ κομισθέντα μέχρι τῆς Πεντηκοστῆς αὐτῆς διήρκεσαν.

5. Ἄλλοτε πάλιν ἀνήρ τις τῶν πλουσίων καὶ ἀγαθοῖς ἔργοις πλουτεῖν ἐγνωκώς, τὸν οἰκεῖον βίον ἐπʼ εὐλογίαις διέσπειρε, καὶ ὕλην σωτηρίας ψυχῶν τὴν τῶν χρημάτων ὕλην ἐποίει· πᾶσιν οὖν τοῖς ἄλλοις, καὶ προηγουμένως τοῖς κατὰ Θεὸν ζῶσι, καὶ μακρὰν οὖσι τοῦ κόσμου διὰ τῷ ἐγγίζειν Θεῷ ἀφθόνως μεταδιδούς, τοῖς τοῦ Θεοδοσίου μόνοις κατὰ λήθην ἢ ἄγνοιαν τῆς εὐποιΐας οὐκ ἐκοινώνησεν, ἢ τάχα καὶ τοῦ Θεοῦ τὸν Ἅγιον ἐν τούτῳ δοκιμάζοντος ἢ δοξάζοντος.

6. Οἱ μὲν οὖν μαθηταὶ προσιόντες ἠνώχλουν τῷ διανομεῖ, φανερὸν ἑαυτόν τε κἀκείνοις ποιεῖν, καὶ μετὰ πολλῆς ἐνέκειντο τῆς σπουδῆς, μηδὲν γὰρ ἔχειν ᾧ τὸ λοιπὸν τραφήσονται· οἵ γε κερατίων μὲν ηὐπόρουν ὀλίγων, ἔστι δʼ ὅτε καὶ τούτων ἐπιλιπόντων, τὰ καταλειφθέντα ἐκ τῶν φοινίκων ὀστᾶ ἕψοντες, τούτοις τὸ τῆς πείνης παραμύθιον.

7. Οὕτως ἐκεῖνοι ἄνθρωπον ἀεὶ τὸ λαθεῖν σπεύσαντα, δῆλον γενέσθαι διὰ μικροψυχίας ἠνάγκαζον, καὶ τὸν εἰς Θεὸν ῥέπειν ὀφθαλμοὺς εἰθισμένον, πρὸς ἀνθρώπους ὀρέγειν τὰς χεῖρας ἀγενῶς ἤπειγον, χεῖρα τὴν ἀνοιγομένην ἀπολιπόντα, καὶ πᾶν ζῷον εὐδοκίας ἀποπληροῦσαν, οἱονεὶ στένωσιν αὐτοῖς ἢ μικρολογίαν τό γε νῦν ἔχον κατεγνωκότα.

8. Οἱ μὲν οὖν ἠθύμουν, ὁ δὲ παραινῶν ἠρέμα· τίς, ἔλεγε, τῶν πώποτε θαῤῥήσας Θεῷ μέχρι παντὸς κατελείφθη; ἢ τίς ὑπομείνας Αὐτὸν εἰς τὸ τέλος οὐ παρακέκληται; ὃς πᾶσαν ψυχὴν ἐμπίπλησιν, ὃς ἑτοιμάζει κόραξι βορὰν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων, ἵνα καὶ Ἰὼβ ἅμα καὶ τὸν θεῖον Δαβὶδ εἰσαγάγω συμφθεγγομένους.

9. Γνῶμεν ὅσον τῷ μεταξὺ ἀνθρωπίνης ἐστὶ σπουδῆς καὶ προνοίας θεϊκῆς, μέχρι καὶ τῶν ἐσχάτων ἡκούσης, καὶ εἰσόμεθα ὅπως, καὶ ὧν ἑκόντες διὰ Χριστὸν ἀπέστημεν, τούτων αὖθις κατὰ Χριστοῦ πρόνοιαν δαψιλῶς ἀπολαύομεν.

10. Ταῦτα εἶπε, καὶ μετʼ ὀλίγον ἀναφαίνεταί τις ζῷον ἄγων πεφορτισμένον· ἀπῄει δὲ οὐ πρὸς τὴν τοῦ Μεγάλου μονήν, ἀλλὰ σκοπὸς αὐτῷ, ταύτην μὲν παρελθεῖν, ἀλλαχοῦ δέ που καταθεῖναι τὸν φόρτον. Ὡς δὲ πλησίον τῆς Μονῆς ἤδη ἦν, καὶ ἄκοντα τὸν ἄνδρα τὸ ὑποζύγιον ἵστη, καὶ πολλὰς τῇ μάστιγι ἐντείνοντι τὰς πληγάς, ἐκεῖνο πέτραις ὁμοίως ἀκίνητον ἦν.

11. Εὖ τοίνυν ὑπολαβὼν ὁ ἄνθρωπος μὴ ἀθεεὶ τοῦτο γίνεσθαι, στρέψας παραχρῆμα τὴν τάξιν, ὡς ὁδηγῷ μᾶλλον αὐτὸς ἐχρῆτο τῷ ζῴῳ, καὶ τὸν χαλινὸν ὑπανείς, ἐδίδου φέρεσθαι ᾗ περ αὐτῷ ἡ ὁρμή· οὕτω τοῦ ἀνδρὸς πράξαντος, τὸ ζῷον εὐθέως ἀλλαχοῦ μὲν οὐδαμοῦ ἀλλʼ ὥς περ τινὸς ἀοράτως τὸν χαλινὸν ἕλκοντος καὶ εὐθύνοντος, εὐθὺ τῆς Μονῆς ἐχώρει.

12. Ἔνθα δὴ καὶ εἰσελθὼν ὁ ἀνὴρ καὶ τὴν ἔνδειαν, ἣ τούτους συνεῖχεν, ὡς πλείστην μαθών, καὶ τῆς τοῦ Θεοῦ προνοίας τὸ ἀπόῤῥητον ἐκπλαγείς, ὅπως ἐκείνοις μὲν πρόφασιν στεφάνων τῆς ἐνδείας τὸ λυπηρόν, αὐτῷ δὲ τοῦ λυπηροῦ τὴν λύσιν ἐμηχανήσατο, καὶ ὅτι πρὸς τοῦτο φανερῶς ἡ τοῦ ζῴου ἀπείθεια, καλούσης αὐτὸν τῆς προνοίας θρέψαι ψυχάς, Θεῷ μὲν λειτουργούσας, ἀσθενείᾳ δὲ καμνούσας τοῦ λειτουργοῦ σώματος.

13. Ταῦτα δὲ ἐκεῖνος καταμαθών, διπλῇ παρέσχε τὸν ἀριθμόν, καθʼ ὃν ὁ πρῶτος διανομεὺς ἐδίδου τὸν ἔλεον. Τὸ λοιπὸν οὖν οἱ μαθηταὶ τοῦ διοχλεῖν αὐτῷ παυσάμενοι καὶ μικροψυχεῖν, τοῦ μιμεῖσθαι μᾶλλον ἔσπευδον καὶ ζηλοῦν τὸν Πατέρα τῆς πρὸς Θεὸν ἐλπίδος καὶ πίστεως.

Ἑρμηνεία

ΗΤΟ Η ΠΡΩΤΗ καὶ κυρία ἐξ ὅλων τῶν ἑορτῶν, τὸ Ἅγιον Πάσχα. Εἶχεν ἤδη παρέλθει ἡ ἱερὰ νὺξ καὶ ἀνέτελλεν ἡ ἡμέρα

τῆς πανηγύρεως καὶ οἱ ὑποτακτικοὶ τοῦ Μεγάλου Θεοδοσίου, οἱ ὁποῖοι ἦσαν τότε δώδεκα τὸν ἀριθμόν, δὲν εἶχον τίποτε ἀπὸ τὰ ἀπαραίτητα τρόφιμα, οὔτε ἄρτον, οὔτε ἔλαιον. Ἡ ἔνδεια αὐτὴ τοὺς ἐστενοχώρει πάρα πολύ, ὄχι μόνον διότι δὲν εἶχον οἱ ἴδιοι τρόφιμα κατὰ τὴν ἑορτήν, ἀλλὰ καὶ διότι δὲν θὰ ἠμποροῦσαν νὰ τελέσουν τὴν θείαν λειτουργίαν καὶ ἑπομένως θὰ ἑώρταζον τὸ Πάσχα χωρὶς τὴν μυστικὴν θυσίαν τοῦ Σώματος τοῦ Χριστοῦ. Τότε καὶ οἱ δώδεκα μαθηταὶ τοῦ Μεγάλου Θεοδοσίου παρουσιάσθησαν ἐνώπιον τοῦ Διδασκάλου των καὶ τοῦ ἀνέφεραν τὴν παντελῆ ἔλλειψιν τροφίμων.

2. Ἀφοῦ τοὺς ἤκουσε μετὰ στοργῆς ὁ Μέγας Ἀσκητής, ἀπήντησε:

— Πρέπει νὰ ἔχετε ἑτοιμασμένην διὰ τὴν θείαν λειτουργίαν τὴν Ἁγίαν Τράπεζαν. Αὐτὸ μόνον. Κατὰ τὰ ἄλλα μὴ ἀσχολεῖσθε μὲ τίποτε. Μὴ λησμονεῖτε—συνέχισεν—ὅτι ἐκεῖνος ποὺ διέθρεψε, κατὰ τρόπον θαυμαστόν, τόσας χιλιάδας Ἰσραηλιτῶν εἰς τὴν ἔρημον (1) καὶ πάλιν μετά, ἀρκετὸν πλῆθος, ὥστε νὰ χορτάσουν (2), αὐτὸς καὶ τώρα φροντίζει δι' ἡμᾶς. Εἶναι δὲ γνωστόν, ὅτι ὁ φιλόστοργος αὐτὸς χορηγὸς καὶ προνοητὴς ἡμῶν οὔτε ἔχει ἐξασθενήσει τώρα τελευταίως, οὔτε καὶ κατέστη φειδωλότερος κατὰ τὴν χορήγησιν τῶν ἀναγκαίων ἀγαθῶν. Ἂς μὴ ἀπελπιζώμεθα λοιπόν.

3. Αὐτὰ εἶπεν εἰς τοὺς ὑποτακτικούς του ὁ Μέγας Θεοδόσιος. Καὶ ὢ τοῦ θαύματος! Ὡς νὰ εἶχον δύναμιν οἱ λόγοι αὐτοὶ καὶ ἀμέσως ἐπραγματοποιήθησαν, διὰ νὰ δικαιωθοῦν αἱ ἐλπίδες τῶν μαθητῶν!

Ὅπως ἀκριβῶς κατὰ τοὺς χρόνους τῆς Παλαιᾶς Διαθήκης ἐπαρουσιάσθη εἰς τὸν Ἀβραὰμ τὸ πρόβατον ἕτοιμον διὰ τὴν θυσίαν μέσα ἀπὸ τὸν θάμνον Σαβὲκ (3), χωρὶς νὰ τὸ ἔχῃ ὑπ' ὄψιν του ὁ Ἀβραάμ, τοιουτοτρόπως καὶ εἰς τὴν περίπτωσιν τοῦ μακαρίου Θεοδοσίου κάτι παρόμοιον συνέβη.

4. Συγκεκριμένως μετὰ τὴν δύσιν τοῦ ἡλίου ἔρχεται ἕνας ἄνθρωπος ὁδηγῶν δύο ἡμιόνους. Τὰ ζῷα αὐτὰ ἦσαν κατάφορτα ἀπὸ τὰς ἀπαραιτήτους διὰ τοὺς Ἀσκητὰς τροφὰς εἰς μίαν θαυμαστὴν ποικιλίαν εἰδῶν. Ἀπὸ τὸ θαυμαστὸν αὐτὸ φορτίον, ποὺ μετεφέρετο εἰδικῶς διὰ τὴν συνοδείαν τοῦ Μεγάλου Θεοδοσίου, δὲν ἔλειπον οὔτε τὰ ἀπαραίτητα διὰ τὴν θείαν λειτουργίαν πρόσφορα. Ἀπὸ τὸ περιστατικὸν αὐτὸ εὐχαριστήθησαν πάρα πολὺ οἱ μαθηταί. Τὰ τρόφιμα δὲ αὐτὰ τοὺς ἔφθασαν μέχρι τῆς Πεντηκοστῆς.

5. Ἄλλοτε πάλιν συνέβη τὸ ἑξῆς χαρακτηριστικὸν περιστατικόν. Ἕνας πλούσιος ἄνθρωπος, ποὺ ἐγνώριζε νὰ πλουτῇ εἰς ἔργα ἀγαθά, διεσκόρπιζεν εἰς ἐλεημοσύνας τὴν περιουσίαν του. Μετέβαλλε δὲ τοι-

---

1) «Οἱ δὲ υἱοὶ Ἰσραὴλ ἔφαγον τὸ μὰν ἔτη τεσσαράκοντα» (Ἐξ. ιϛ', 35).

2) «Καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν» (Ματθ. ιδ', 20).

3) «Καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων» (Γεν. κβ', 13).

ουτοτρόπως τὰ χρήματά του εἰς πολύτιμον ὑλικὸν σωτηρίας ψυχῶν. Ὁ ἄνθρωπος αὐτὸς εἰς ὅλους τοὺς ἀνθρώπους, ποὺ εἶχον ἀνάγκην, ἐχορήγει τὰ ἀγαθά· προτιμοῦσεν ὅμως πάντοτε αὐτούς, ποὺ εὑρίσκοντο μακρὰν τοῦ κόσμου, διὰ νὰ προσεγγίζουν τὸν Θεόν. Εἰς αὐτοὺς μὲ ἀφθονίαν ἔδιδεν ἐλεημοσύνην. Περιέργως ὅμως ὁ ἐλεήμων αὐτὸς ἄνθρωπος καὶ φίλος τῶν Ἀσκητῶν, μόνον εἰς τοὺς Μοναχοὺς τοῦ Μεγάλου Θεοδοσίου δὲν ἔδωσεν οὐδέποτε τίποτε, εἴτε διότι τοὺς εἶχε λησμονήσει, εἴτε διότι τοὺς ἀγνοοῦσε, εἴτε, ἴσως, διότι ὁ Θεὸς ἐδοκίμαζε τὸν Ἅγιον ἢ ἤθελε νὰ τὸν δοξάσῃ.

6. Οἱ μαθηταὶ λοιπὸν τοῦ Ἁγίου προσερχόμενοι εἰς τὸν διανομέα, ὅταν οὗτος ἤρχετο εἰς τὸν τόπον τῶν Ἀσκητῶν, τὸν ἠνώχλουν, διὰ νὰ τοὺς γνωρίσῃ καὶ καταστήσῃ γνωστὴν τὴν ἔνδειάν των· ἐπέμενον δὲ εἰς τὴν προσπάθειάν των αὐτήν, διότι πράγματι δὲν εἶχον κανένα, ἀπὸ τὸν ὁποῖον νὰ ἐξασφαλίσουν τὴν τροφήν των. Κάπου - κάπου εἶχον εἰς τὴν διάθεσίν των μερικὰ χαρούπια· ὁσάκις δὲ ἐτελείωναν καὶ αὐτά, τότε ἔψηναν τὰ κουκούτσια ἀπὸ τοὺς χουρμάδες τῶν φοινίκων καὶ τὰ ἔτρωγον, διὰ νὰ ξεγελοῦν τὴν πεῖναν των.

7. Μὲ τὴν συμπεριφοράν των αὐτὴν καὶ μὲ τὴν μικροψυχίαν των ἐξηνάγκαζον τὸν Ἅγιον Θεοδόσιον, ἄνθρωπον ποὺ ἐπεδίωκε πάντοτε νὰ ζῇ ἀφανῶς καὶ ποὺ ἦτο συνηθισμένος μόνον πρὸς τὸν Θεὸν νὰ ἐκτείνῃ τοὺς ὀφθαλμούς του, τὸν ἐξηνάγκαζον νὰ φανερώνεται καὶ τὸν ἐπίεζον νὰ ἁπλώνῃ ὡς ἐνοχλητικὸς ἐπαίτης τὰς χεῖρας του πρὸς ἀνθρώπους, καὶ οὕτω νὰ ἐγκαταλείπῃ τὴν γενναιόδωρον ἐκείνην χεῖρα, ποὺ γεμίζει μὲ ὅλα τὰ ἀγαθὰ τὰς διαφόρους ὑπάρξεις (1). Ὑπεχώρει δὲ καὶ ἐκεῖνος, διότι ἀντελαμβάνετο τὴν ἀδυναμίαν των, ἀπὸ τὴν ὁποίαν προήρχετο καὶ στενοχώρια καὶ ἡ ἐπίμονος φροντίς των διὰ ζητήματα ἀσήμαντα καὶ ἀνάξια λόγου.

8. Οἱ ὑποτακτικοὶ τοῦ Ἁγίου Θεοδοσίου μελαγχολοῦσαν καὶ ἐσκυθρώπαζον· οὗτος ὅμως μὲ ἠρεμίαν τοὺς συνεβούλευε καὶ τοὺς ἔλεγε:

— Ποτὲ κανείς, ἀπὸ ὅσους ἐστήριξαν τὸ θάρρος των καὶ τὰς ἐλπίδας των εἰς τὸν Θεόν, δὲν ἐγκατελείφθη τελείως εἰς τὴν ζωήν του. Ποῖος εἶναι αὐτός, ποὺ ἐπέδειξεν ὑπομονὴν μέχρι τέλους, χωρὶς νὰ δεχθῇ τὴν ὑπὸ τοῦ Θεοῦ ἱκανοποιητικὴν παρηγορίαν; Μὴ λησμονῆτε, ὅτι δι' ὅλους φροντίζει Ἐκεῖνος, ποὺ ἱκανοποιεῖ ὅλας τὰς κατὰ Θεὸν ἐπιθυμίας παντὸς ἀνθρώπου· Ἐκεῖνος, ποὺ ἐξασφαλίζει τὴν τροφὴν τῶν κοράκων καὶ συντηρεῖ καὶ τοὺς νεοσσοὺς αὐτῶν, διὰ νὰ σᾶς ὑπενθυμίσω καὶ τὰ ὅσα λέγουν ὁ Ἰὼβ (2) μετὰ τοῦ Δαβίδ (3).

---

1) «Οἱ ὀφθαλμοὶ πάντων εἰς Σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. Ἀνοίγεις σὺ τὰς χεῖράς σου καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας» (Ψαλμ. ρμδ', 15 – 16).

2) «Τίς δὲ ἡτοίμασε κόρακι βοράν; νεοσσοὶ γὰρ αὐτοῦ πρὸς Κύριον κεκράγασι πλανώμενοι, τὰ σῖτα ζητοῦντες» (Ἰώβ, λη', 41).

3) «Καὶ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κορά-

9. Ἂς μάθωμεν πόσον μεγάλη διαφορὰ ὑπάρχει μεταξὺ τῆς ἀνθρωπίνης φροντίδος καὶ τῆς Θείας Προνοίας, ἡ ὁποία ἐνεργεῖ καὶ εἰς τὰς πλέον ἀσημάντους περιπτώσεις τῆς ζωῆς. Ἐφ' ὅσον δὲ γνωρίσωμεν τὴν διαφορὰν αὐτήν, τότε θὰ πρέπει νὰ εἴμεθα βέβαιοι, ὅτι καὶ αὐτά, τὰ ὁποῖα δι' ἀγάπην Χριστοῦ ἐγκατελείψαμεν, ἀσφαλῶς, χάρις εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, θὰ τὰ ἀπολαμβάνωμεν πλουσιοπαρόχως.

10. Μόλις ἐτελείωσε τὴν διδαχήν του αὐτήν, ἐμφανίζεται ἕνας ἄγνωστος, ποὺ ὡδήγει ἕνα ζῷον φορτωμένον μὲ διάφορα εἴδη. Τὸ περίεργον ἦτο τὸ ἑξῆς: Ὁ ἄνθρωπος αὐτὸς κατηυθύνετο ἀλλοῦ διὰ νὰ ἀποθέσῃ τὸ φορτίον τοῦ ζῴου, καὶ ὄχι εἰς τὴν Μονὴν τοῦ Μεγάλου Θεοδοσίου, τὴν ὁποίαν ἐσκόπευε νὰ προσπεράσῃ. Ὅταν ὅμως ἔφθασε πλησίον τῆς Μονῆς, τὸ ζῷον, παρὰ τὴν θέλησιν τοῦ ὁδηγοῦ του, ἐσταμάτησεν ἀποτόμως· παρέμεινε δὲ ἀκίνητον ὡς βράχος, καίτοι ὁ ὁδηγός του τὸ ἐκτυποῦσε σκληρότατα.

11. Πρὸ τῆς ἐπιμονῆς αὐτῆς τοῦ ζῴου ὁ ἄνθρωπος, κατ' ἀγαθὴν σκέψιν, ἐσκέφθη μήπως τὸ περιστατικὸν αὐτὸ ὠφείλετο εἰς θείαν ἐνέργειαν. Δι' αὐτὸ ἀμέσως ἀντιστρέφει τοὺς ὅρους τῆς πορείας καὶ ἀφήνει τὸ ζῷον νὰ προπορευθῇ αὐτό, ὡς ὁδηγός. Ἀφοῦ λοιπὸν τὸ ἠλευθέρωσεν ἀπὸ τὸν χαλινόν, τὸ ἄφησε νὰ πηγαίνῃ, ὅπου ἡ ὁρμή του τὸ ὡδήγει. Τότε τὸ ζῷον, χωρὶς νὰ περιπλανᾶται ἀσκόπως, ἀλλ' ὡς νὰ τὸ ὡδήγει κάποιος καὶ νὰ τὸ ἔσυρεν ἀπὸ τὸν χαλινόν, ἐπροχώρησε κατ' εὐθεῖαν πρὸς τὴν Μονὴν τοῦ Μεγάλου Θεοδοσίου.

12. Ἀκολουθῶν τὸ ζῷον εἰσῆλθεν εἰς τὴν Μονὴν καὶ ὁ ἄγνωστος ἄνθρωπος, ὅστις κατάπληκτος ἔμαθε πόσον ὑπέφερον οἱ Ἀσκηταὶ ἀπὸ τὴν ἔλλειψιν τῶν τροφίμων καὶ τὴν δυστυχίαν. Περισσότερον ὅμως κατεπλάγη ἀντιληφθεὶς μὲ πόσον θαυμαστὸν τρόπον ἐνήργησεν ἡ Θεία Πρόνοια, ὥστε καὶ εἰς τοὺς Ἀσκητὰς νὰ ἐξασφαλίσῃ τὸν στέφανον τῆς ὑπομονῆς καὶ τῆς καρτερίας μὲ τὴν λύπην τῆς δυστυχίας, αὐτὸν δὲ νὰ χρησιμοποιήσῃ ὡς ὄργανόν της, διὰ νὰ δοθῇ λύσις εἰς τὴν λύπην αὐτήν. Εἰς τὴν ἐπιτυχίαν δὲ τοῦ σχεδίου αὐτοῦ συνετέλεσε, κατὰ τρόπον ὁλοφάνερον, ἡ πεισμωσύνη τοῦ ζῴου. Διὰ τοῦ πείσματος τοῦ ζῴου τὸν ὡδήγησεν ἡ Θεία Πρόνοια νὰ διαθρέψῃ ψυχάς, ποὺ εὐηρέστουν διὰ τῆς πολιτείας των τὸν Θεόν, καὶ αἱ ὁποῖαι ὅμως ὑπέφερον καὶ ἐταλαιπωροῦντο ἐξ ἀφορμῆς τῆς ἀσθενείας τοῦ ὑπηρέτου τῆς ψυχῆς, τοῦ σώματος.

13. Ὁ καλὸς αὐτὸς καὶ ἄγνωστος εἰς τοὺς Ἀσκητὰς ἄνθρωπος, μόλις κατενόησε τὰ θαυμαστὰ αὐτὰ πράγματα, διπλάσια ἀγαθὰ προσέφερεν, ἀπ' ὅσα ἐχορήγει ὡς ἐλεημοσύνην ὁ πρῶτος διανομεύς. Κατόπιν τοῦ θαύματος αὐτοῦ οἱ μαθηταὶ ἔπαυσαν πλέον νὰ ἐνοχλοῦν τὸν Μέγαν Θεοδόσιον καὶ νὰ λιποψυχοῦν ἐξ ἀφορμῆς τῆς ἐνδείας. Ἀπ' ἐναντίας! ἐφρόντιζον μετὰ σπουδῆς νὰ μιμοῦνται τὸν πνευματικόν

κῶν τοῖς ἐπικαλουμένοις αὐτόν», Ψαλμ. ρμς', 9).

των Πατέρα καὶ νὰ ἁμιλλῶνται πρὸς αὐτὸν μετὰ ζήλου εἰς τὴν πρὸς τὸν Θεὸν πίστιν καὶ ἐλπίδα.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΣΑΒΒΑ ἐν τῷ Καστελλίῳ πλείους οἰκοδομῆσαι καταγωγὰς σπεύδοντος, καὶ τὸν τόπον εἰς Κοινόβιον ἀποτάξαι, καὶ περὶ ταύτας τῶν ὑπ' αὐτῷ καταπιεζομένων, μηδενὸς δὲ φροντίζοντος τῶν ἀναγκαίων, καὶ ὧν ἀπαραίτητος ἡ χρεία, Θεός, ᾧ γε κατὰ νοῦν ὁ τόπος ᾠκίζετο, καὶ Οὗ τὸ μὴ μεριμνᾶν ἐντολὴ τί φάγωμεν, μηδὲ τί πίωμεν, ὁ καὶ μητρὸς περὶ ἡμᾶς φιλοστοργότερος, καὶ πατρὸς κηδεμονικώτερος, Αὐτὸς καὶ πρὸς τοῦτο φέρουσαν ὄψιν Μαρκιανῷ τῷ πάντα χρηστῷ ἐπιπέμπει, ὃς ἄρα καὶ τῶν ἐν Βηθλεὲμ Κοινοβίων ἀρχηγὸς ἦν, καὶ κοινῇ τῶν πανταχοῦ Μοναχῶν πολλὴν ἐτίθετο κηδεμονίαν.

2. Ἑώρα γοῦν νυκτὸς οὗτος Ἀγγελικὴν οἷα καὶ ξένην μορφήν, ἡδὺ καὶ κάλλιστον ἀπολάμπουσαν, ἐῴκει δὲ καὶ τοιαῦτα φωνεῖν πρὸς αὐτόν· σὺ μέν, Μαρκιανέ, λέγουσα, ἄλυπός τε καὶ ἄπονος διανυκτερεύεις, οὐδενὸς τῶν τοῦ σώματος ἐνδεὴς ὤν, τῷ δὲ δούλῳ τοῦ Θεοῦ Σάββᾳ διὰ πολλὴν τὴν πρὸς τὸν Δεσπότην στοργήν, πολλοὺς ἐν τῷ Καστελλίῳ σὺν ἅμα τισὶν ἀδελφοῖς ὑπομένοντι μόχθους συχνὴ τῶν ἀναγκαίων ἡ ἀπορία, καὶ οὐδεὶς ὁ καὶ ὀλίγα τῶν πρὸς χρείαν αὐτοῖς κοινωνήσων· μετάδος τοιγαροῦν, ὧν ἔχεις, μηδὲν τὸ παράπαν ὑπερτιθέμενος, ἵνα μὴ πλείονι καὶ ἔτι πιέζοιτο ἐνδείᾳ.

3. Καὶ ταῦτα μὲν ἡ ὄψις· ὁ Μαρκιανὸς δὲ μηδὲν αὐτίκα διαμελήσας, πολλὰ τῶν ἐπιτηδείων ἐπιστέλλει τῷ Σάββᾳ, τοῖς τῇ Μονῇ διακονοῦσιν ὑποζυγίοις ἐπὶ τὸ μετακομίζειν αὐτὰ χρησάμενος. Ὁ δὲ δεξάμενος τὰ πεμφθέντα, καὶ ἥτις ἡ τῆς ἀποστολῆς αἰτία μεμαθηκώς, σύμβολον καὶ τοῦτο θεραπείας Θεοῦ περὶ τὸν τοῦ τόπου συνοικισμὸν ἐποιεῖτο. Καὶ ὁμοῦ μὲν θερμότερον εἴχετο τῆς πρὸς τὸν Δεσπότην εὐχαριστίας, ὁμοῦ δὲ καὶ τὴν τοῦ Κοινοβίου οἰκοδομὴν συντονωτέραν ἐτίθει.

4. Μετὰ τοῦτο δὲ καὶ Ἠλία τοῦ Πατριάρχου Ἱεροσολύμων σπουδὴν ποιουμένου, ὥς τε συναθροῖσαι πρὸς ἑαυτὸν παρὰ τῇ Ἐπισκοπῇ τῆς Ἁγίας Ἀναστάσεως τοὺς τῶν Μοναχῶν σπουδαίους ἔν τισι κελλίοις, περὶ τὸν Πύργον Δαβὶδ διεσκεδασμένοις, καὶ πάντων τῶν τοιούτων Μοναχῶν ἐκεῖ συναθροιζομένων, ὁ θεῖος Σάββας πολλὰ τῶν κελλίων, ὧν οἱ Μοναχοὶ ἀπανίσταντο πριάμενος, εἰς ξενίαν τῶν παραβαλλόντων τῇ Λαύρᾳ καὶ αὐτὰ προσετίθει.

5. Ἐβούλετο δὲ καὶ τἄλλα ὠνήσασθαι προσεχῶς τε ὄντα τῇ Λαύρᾳ καὶ αὐτά, καὶ τῷ σκοπῷ χρήσιμα, ἀλλ' ἡ τοῦ χρυσοῦ ἔνδεια προΐστατο τῇ θελήσει καὶ περὶ τὴν κτῆσιν θερμότατα ἔχων, οὐκ εἶχεν ὅμως καὶ τὴν χεῖρα συναιρομένην· οὐδὲν γὰρ ἕτερον ὑπελείφθη, ὅτι μὴ νομίσματος ἥμισυ.

6. Ἀλλ' ἐκεῖνος τὸ εὔφορον τοῦ Θεοῦ καὶ σοφὸν καὶ πρὸς πάντα ἰσχυρὸν εἰδώς, κἀκείνῳ τὸ πᾶν ἐπιτρέψας, ὃ τέως εἶχε, τοῖς τῶν κελλίων δεσπόταις ὡς ἀῤῥαβῶνα κατέβαλεν, ἐπαγγειλάμενος εἰ μὴ τὴν ἐπιοῦσαν καὶ τὸ λοιπὸν ἀποδῷ, καὶ τοῦ ἤδη καταβληθέντος καταπεσεῖν.

7. Ὁ μὲν οὖν οὕτω πρὸς τοὺς Μοναχοὺς συμπεφωνηκώς, πρὸς μόνην ἑώρα τὴν ἀκένωτον δεξιάν. Ἧκει δέ τις ξένος ἀγνὼς τὸ παράπαν· ἧκει δὲ ὥς περ ἐκ θείας ἀποστολῆς, καὶ μηδὲν εἰπών, ἢ παρ' αὐτοῦ πάλιν ἀκούσας, ἑβδομήκοντα πρὸς τοῖς ἑκατὸν δωρεῖται χρυσοῦς· καὶ δούς, εὐθὺς ἀπιὼν ᾤχετο, μηδὲ ὄνομα, ὃ καλεῖται, γνωρίσας.

8. Συμβαλών τε ὁ Σάββας εὐθέως, ὅθεν, καὶ ὅπως ταχίστη τῶν δοθέντων ἡ χορηγία, καὶ ὅτι προδήλως ἐκ τοῦ Θεοῦ, παραχρῆμά τε τὴν τιμὴν τῶν κελλίων κατεβάλετο, καὶ οἶκον εἰς ὑποδοχὴν ἑτέρων τῶν ἀπὸ τῆς ξένης παραβαλλόντων ἐδείματο Μοναχῶν· ἀλλὰ καὶ δύο τῷ Καστελλίῳ καταγωγὰς προσεκτήσατο, τὴν μὲν πρὸς τὴν ἁγίαν πόλιν, τὴν ἑτέραν δὲ εἰς Ἱεριχώ.

9. Ἔπειτα δὲ μετὰ τὴν ἄδικον ἐκείνην Ἠλιοῦ τοῦ τῆς Παλαιστίνης προεστῶτος ὑπερορίαν, λιμὸς ἄγαν καὶ σπάνις τῶν ἀναγκαίων, πρὸς δὲ καὶ αὐχμός, καὶ ἀκρίς, καὶ βαρεῖαι τινὲς μάστιγες, παρ' ὅλους πέντε χρόνους τὴν Παλαιστίνην ἐπίεζον. Ἑπτὰ δὲ ὄντων τῶν ὑπὸ τὴν σύστασιν τοῦ θείου Σάββα εἰληφότων, καὶ ὧν αὐτὸς τὴν πρόνοιαν, σὺν Θεῷ, ἐποιεῖτο Μοναστηρίων, οὐδενὶ τούτων πρόσοδον ἐνενόησεν οὐδεμίαν, ἀλλὰ Θεῷ τὸ πᾶν τῆς φροντίδος αὐτῶν ἐπιτρέψας.

10. Καὶ αὐτῶν ὁμοίως τῇ τῶν ἀναγκαίων ἐνδείᾳ πιεζομένων, ἐκεῖνος οὐ μόνον οὐδὲν μικρόψυχον καὶ τῷ καιρῷ προσῆκον ἢ ἔπαθεν ἢ ἐφθέγξατο, ἀλλὰ καὶ τοὺς τῶν Μοναστηρίων Ἡγουμένους συγκαλῶν παρῄνει μὴ ἀλύειν ἐν τούτοις, μηδὲ τῶν τοῦ σώματος ὅλως μηδὲν μεριμνᾶν, ἀλλὰ τῷ εἰδότι Πατρὶ πιστεύειν, ὅτι τούτων ἐπιδεεῖς ἡμεῖς, καὶ τὴν αὐτῶν χορηγίαν τῆς πολυαρκοῦς αὐτοῦ δεξιᾶς ἀπαρτήσαντες.

11. Οὕτως οὖν εὐγνωμόνως τοῦ Σάββα καὶ γενναίως διακειμένου, εἰς τοσοῦτον ποτὲ καὶ τὴν ὑπ' αὐτοῦ Λαύραν ἐπελελοίπει τὰ ἀναγκαῖα, ὡς μηδὲ τοῦ εἰς θυσίαν ἄρτου τῷ Θεῷ καὶ προσφορᾶς εὐπορεῖν· πρόσεισι τοίνυν ὁ τὴν διακονίαν πεπιστευμένος, μηνύων αὐτῷ τὴν συμφοράν, καὶ ἅμα περὶ τῆς ἐγγιζούσης Κυριακῆς ἰσχυρῶς διαβεβαιούμενος, ὡς ἀτελέστατα δήπου τὰ τῆς θείας ἔσται τηνικαῦτα μυσταγωγίας, μήτε ἄρτου τῇ Λαύρᾳ προσόντος εἰς προσφοράν, μήτε τινὸς ἄλλου τῶν ἀναγκαίων.

12. Ἀλλὰ ταῦτα μὲν ἐκεῖνος· ἡ δὲ μεγάλη τῷ ὄντι καὶ θαυμασία ψυχὴ οὐδὲ οὕτως ἀπεγνώκει κηδεμονίαν Θεοῦ καὶ προνοίας ὁδοὺς ἀποῤῥήτους, ἀλλ' ἐγώ, φησι, πρὸς αὐτούς, οὐμενουν Θεοῦ λειτουργίας οὐδαμῶς κωλύσω, εἰ δὲ τοσαύτη τῶν ἀναγκαίων ἡ ἔνδεια, κειμήλιόν τι τῶν ἱερῶν ἀποδοθέν, τὰ εἰς λειτουργίαν ἡμῖν ποριεῖται, πλὴν ἀλλὰ πιστὸς ὁ τὴν αὔριον μερίμνης ἐλευθέραν, ὅσα γε εἰς σώματος χρείαν μένειν ἡμῖν διακελευόμενος, εἶπε.

13. Καὶ μήπω τῆς Κυριακῆς ἐπιστάσης, ἧκουσί τινες ὡς αὐτόν, καθάπερ ἐκ προνοίας ἀπεσταλμένοι, τριάκοντα φόρτους ὑποζυγίων ὁμοῦ διακομιζόμενοι· ὁ δὲ φόρτος σῖτος ἦν καὶ οἶνος καὶ ἔλαιον, καὶ ἄλλα Μοναχοῖς ἀνδράσιν εἰς τροφὴν ἐπιτήδεια, ὡς σχεδὸν τὴν Λαύραν στενοχωρεῖσθαι τοῖς ἐδωδίμοις.

14. Αὐτίκα τοίνυν ὁ θεῖος Σάββας τῷ πρὸ μικροῦ τὴν ἔνδειαν ὑπομνήσαντι μικρολόγως, τί λέγεις, φησίν; ἐάσομεν τὰ τῆς λειτουργίας; ὁ δὲ συνεὶς τὴν ἐρώτησιν ἔλεγχον εἶναι λογισμῶν τῷ πρὸς Θεὸν ἐλπίζειν οὐκ ἐῤῥωμένων, πίπτει πρὸς τοῖς ἐκείνου ποσί, συγγνώμην αἰτῶν, καὶ μικροψυχίας οὕτως ἀγενοῦς μετάνοιαν θερμὴν ἀντεισφέρων.

15. Κἀκεῖνος ταχέως τε αὐτὸν τῷ μαθητῇ δίδωσι καὶ παραινεῖ τὰ προσήκοντα, μὴ οὕτω μικροψυχεῖν λέγων, ἀλλὰ τῶν θείων ἐλπίδων θαῤῥοῦντας ἔχεσθαι, καὶ τὸ τοῦ Δαβίδ, ἐπιῤῥίπτειν τὴν μέριμναν πρὸς Θεόν, ᾧ πολλῷ καὶ πατέρων πλείω μέλει περὶ ἡμῶν.

Ἑρμηνεία

ΟΤΑΝ ὁ Ὁσιώτατος Σάββας προσεπάθει μετὰ ζήλου νὰ κτίσῃ εἰς τὴν περιοχὴν τοῦ Καστελλίου(1) πολλὰ μοναχικὰ κελλία, διὰ νὰ μεταβάλῃ τὸν τόπον εἰς Κοινόβιον, κανεὶς δὲν ὑπῆρχε, ποὺ νὰ φροντίζῃ διὰ τὰ ἀπαραίτητα ἐφόδια καὶ δι' αὐτὸ ἐβασανίζοντο πολὺ οἱ Μοναχοί του.

---

1) Καστέλλιον εἶναι λέξις λατινικὴ καὶ σημαίνει φρούριον. Ὠνομάζετο δὲ τὸ ὄρος ἐκεῖνο Καστέλλιον, διότι ὑπῆρχεν ἐκεῖ ἀρχαῖον ρωμαϊκὸν φρούριον.

Ὁ Θεὸς ὅμως, τὸν ὁποῖον οἱ Μοναχοὶ ἤθελον νὰ εὐχαριστήσουν μὲ τὸ κτίσιμον τῶν μοναχικῶν κελλίων, (διότι θὰ μετεβάλλετο ὁ τόπος εἰς κέντρον λατρείας τοῦ Θεοῦ) καὶ ὁ ὁποῖος ἔδωσε τὴν ἐντολὴν νὰ μὴ μεριμνῶμεν τί θὰ φάγωμεν καὶ τί θὰ πίωμεν (1), καὶ ποὺ εἶναι πλέον φιλόστοργος καὶ ἀπὸ τὴν μητέρα μας, ἀλλὰ καὶ μᾶς φροντίζει περισσότερον ἀπὸ τὸν πατέρα μας, ὁ ἴδιος ἐβοήθησεν ἀποτελεσματικῶς καὶ τὸν Ἅγιον Σάββαν εἰς τὸ ἔργον του μὲ τὸν ἑξῆς τρόπον. Ἐκεῖ πλησίον διέμενεν ὁ ἐκλεκτὸς Μαρκιανός, ποὺ ἦτο πνευματικὸς ἀρχηγὸς τῶν Κοινοβίων εἰς τὴν Βηθλεὲμ καὶ ἐφρόντιζε δι᾿ ὅλους ἐν γένει τοὺς Μοναχοὺς τῆς περιοχῆς.

2. Αὐτὸν λοιπὸν τὸν ἐκλεκτὸν Μαρκιανὸν εἰδοποιεῖ ὁ Θεὸς δι᾿ ἑνὸς ἀποκαλυπτικοῦ ὁράματος. Ἕνα βράδυ, ἀφοῦ εἶχε πλέον προχωρήσει ἡ νύκτα, βλέπει ὁ Μαρκιανὸς ἕνα ξένον καὶ ἄγνωστον ἐπισκέπτην, τοῦ ὁποίου ἔλαμπε τὸ πρόσωπόν ἀπὸ καλωσύνην καὶ εὐγένειαν. Αὐτὸς λοιπὸν ὁ φωτεινὸς Ἄγγελος τοῦ λέγει τὰ ἑξῆς:

— Σύ, Μαρκιανέ, διέρχεσαι ἀμέριμνος τὴν νύκτα σου, χωρὶς λύπας καὶ πόνους, διότι δὲν σοῦ λείπει τίποτε ἀπὸ τὰ ἀναγκαῖα διὰ τὴν συντήρησιν τοῦ σώματος. Ὁ δοῦλος τοῦ Θεοῦ ὅμως Σάββας, ἀπὸ ὑπερβολικὴν ἀγάπην καὶ ἀφοσίωσιν πρὸς τὸν Θεὸν ὑπομένει ἀγογγύστως, μαζὶ μὲ μερικοὺς ἀδελφούς, πολλὰς στενοχωρίας ἐκεῖ μέσα εἰς τὸ Καστέλλιον, διότι σχεδὸν πάντοτε στεροῦνται τὰ ἀπαραίτητα ὑλικὰ ἐφόδια, καὶ δὲν ὑπάρχει κανεὶς διὰ νὰ τοὺς συνδράμῃ ἔστω καὶ ὀλίγον. Πρέπει λοιπόν, Μαρκιανέ, — συνέχισεν ὁ Ἄγγελος — νὰ τοῦ στείλῃς μερικὰ πράγματα, ἄνευ οὐδεμιᾶς ἀναβολῆς, διὰ νὰ μὴ πιέζηται περισσότερον ἀπὸ τὴν παντελῆ ἔλλειψιν τῶν ἀναγκαίων.

3. Αὐτὰ τὸν ἐπληροφόρησε τὸ ὅραμα· κατόπιν αὐτοῦ ὁ Μαρκιανός, χωρὶς καθόλου νὰ ἀμελήσῃ, ἀποστέλλει πρὸς τὸν Ἅγιον Σάββαν πολλὰ ἐφόδια, χρησιμοποιήσας διὰ τὴν μεταφορὰν αὐτῶν τὰ ὑποζύγια τῆς Μονῆς. Ὁ Ἅγιος Σάββας, μόλις ἐδέχθη τὰ ὑλικὰ αὐτὰ ἀγαθὰ καὶ ἐπληροφορήθη τὴν αἰτίαν τῆς ἀποστολῆς των, ἐδόξασε μὲ εὐγνωμοσύνην τὸν Θεὸν καὶ ἐθεώρησε τὸ γεγονὸς ὡς ἀπόδειξιν τῆς συγκαταθέσεως τοῦ Θεοῦ διὰ τὸν μοναχικὸν συνοικισμὸν τῆς περιοχῆς. Κατόπιν αὐτοῦ θερμότερον πλέον ἐλάτρευε τὸν Θεόν, ποὺ τόσον θαυμαστῶς τὸν ἐπροστάτευεν, ἐντατικώτερον δὲ ἠσχολεῖτο μὲ τὴν ἀνοικοδόμησιν τοῦ Κοινοβίου.

4. Μετὰ ταῦτα, ἐπειδὴ ὁ Ἠλίας, ὁ τότε Πατριάρχης τῶν Ἱεροσολύμων, εἶχε πόθον νὰ συναθροίσῃ πλησίον του πολλοὺς σπουδαίους Μοναχούς, ᾠκοδόμησε Μοναστήριον πλησίον εἰς τὴν Ἐπισκοπήν του, παρὰ τὸν Ναὸν τῆς Ἀναστάσεως, καὶ συνεκέντρωσεν ἐκεῖ τοὺς σπουδαιοτέρους ἐκ τῶν Μοναχῶν τῆς Ἁγίας Πόλεως, ποὺ παρέμενον πρό-

1) «Μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα» (Ματθ. ϛ', 31).

τερον εἰς διάφορα κελλία πλησίον τοῦ πύργου τοῦ Δαβίδ. Τὰ κελλία αὐτὰ τῶν Μοναχῶν ποὺ μετεκομίσθησαν τὰ ἠγόρασεν ὁ Ἅγιος Σάββας, διὰ νὰ τὰ κάμῃ πανδοχεῖα καὶ νὰ ὑποδέχεται εἰς αὐτὰ τοὺς ξένους, οἱ ὁποῖοι ἤρχοντο εἰς τὴν Λαύραν.

5. Ἐσκέπτετο δὲ συντόμως νὰ ἀγοράσῃ καὶ τὰ ἄλλα κελλία, ποὺ ἦσαν πλησίον εἰς τὴν Λαύραν, ἀπὸ τὰ ὁποῖα εἶχον ἐπίσης ἀναχωρήσει οἱ πρότερον κατοικοῦντες Μοναχοὶ καὶ νὰ τὰ χρησιμοποιήσῃ διὰ τὸν ἴδιον σκοπόν. Ἡ οἰκονομικὴ ὅμως στενότης ἀνέστελλε τὴν ἐκπλήρωσιν τῆς θελήσεώς του αὐτῆς. Οὕτω κατεκαίετο ἀπὸ τὴν σφοδρὰν ἐπιθυμίαν τῆς ἀποκτήσεως τῶν ἀπαραιτήτων αὐτῶν κελλίων, χωρὶς ὅμως νὰ ἔχῃ ἀπὸ πουθενὰ οὐδεμίαν βοήθειαν, καὶ χωρὶς νὰ διαθέτῃ τίποτε πλέον ἄλλο ὑλικὸν ἐφόδιον, παρὰ μόνον ἥμισυ νόμισμα.

6. Παρ' ὅλα ταῦτα ὁ Ὅσιος Σάββας δὲν ἀπηλπίσθη, οὔτε ἔχασε τὸ θάρρος του· ἀπ' ἐναντίας, γνωρίζων καλῶς πόσον ἀφθόνως ἐπιχορηγεῖ ὁ Θεὸς τοὺς ἐλπίζοντας εἰς αὐτόν, ἀλλὰ καὶ πόσον πανσόφως ἐξοικονομεῖ τὰ διάφορα ζητήματα, ὡς καὶ τὸ μέγεθος τῆς παντοδυναμίας Του, ἀνέθεσεν εἰς Αὐτὸν τὸν φιλόστοργον Πατέρα τὰ πάντα. Γεμᾶτος λοιπὸν ἀπὸ πεποίθησιν εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ ἀποτολμᾷ μίαν, πράγματι, θαρραλέαν πρᾶξιν· ὅσα εἶχε τὰ συνεκέντρωσε καὶ τὰ ἔδωσεν εἰς τοὺς ἰδιοκτήτας τῶν κελλίων ὡς ἀρραβῶνα, ὑποσχεθεὶς συγχρόνως εἰς αὐτούς, ὅτι ἐὰν τὴν ἐπομένην ἡμέραν δὲν κατέβαλε καὶ τὸ ὑπόλοιπον τῆς ἀξίας των, θὰ ἔχανε καὶ τὴν προκαταβολὴν αὐτήν.

7. Αὐτὴν τὴν τολμηρὰν συμφωνίαν ἔκαμε πρὸς τοὺς ἰδιοκτήτας τῶν κελλίων Μοναχοὺς καὶ ἐνεπιστεύετο, διὰ τὴν ἐκπλήρωσίν της, εἰς μόνην τὴν ἀδαπάνητον γενναιοδωρίαν τοῦ Θεοῦ. Αἱ σκέψεις του καὶ ἀποφάσεις του αὐταί, ἐπειδὴ ἦσαν κατὰ Θεόν, ἐπεβραβεύθησαν κατὰ θαυμαστὸν τρόπον!

Ἰδοὺ λοιπὸν τί συνέβη!

Εἰς τὴν Λαύραν ἦλθε κάποιος ξένος, ὅστις ἠγνόει τελείως τὰ ζητήματα τοῦ Ὁσίου Σάββα. Ἦλθε δὲ κατευθυνόμενος εἰς τὴν ἐνέργειάν του αὐτὴν ὑπὸ τοῦ Θεοῦ. Χωρὶς δὲ νὰ ἀκούσῃ σχετικὴν παράκλησιν τοῦ Ὁσίου Σάββα καὶ τῆς συνοδείας του καὶ χωρὶς νὰ εἴπῃ τίποτε δωρίζει, κατὰ τρόπον μυστικόν, ἑκατὸν ἑβδομήκοντα χρυσᾶ νομίσματα. Ἀφοῦ δὲ ἄφησε τὴν δωρεάν του, ἔφυγε κρυφίως χωρὶς νὰ εἴπῃ οὔτε τὸ ὄνομά του.

8. Ἀμέσως ὁ Ὅσιος Σάββας ἐγνώρισεν ἀπὸ ποῦ προήρχετο ἡ τόσον σύντομος αὐτὴ ἐπιχορήγησις τοῦ χρήματος· ἀσφαλῶς ὠφείλετο εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ. Δι' αὐτὸ ἀμέσως καταβάλλει τὴν ἀξίαν τῶν κελλίων καὶ συγχρόνως ἔκτισε καὶ ἕτερον οἴκημα, διὰ νὰ ὑποδεχθῇ τοὺς Μοναχούς, ποὺ θὰ ἤρχοντο ἀπὸ ξένα μέρη. Κατώρθωσεν ἀκόμη νὰ ἀποκτήσῃ ἡ Λαύρα, ποὺ ᾠκοδομήθη εἰς τὸ Καστέλλιον, δύο μετόχια· ἕνα εἰς τὰ Ἱεροσόλυμα καὶ ἕνα εἰς τὴν Ἱεριχώ.

9. Ὅταν ὁ Πατριάρχης Ἱεροσολύμων Ἠλίας ὅλως ἀδίκως ἐξωρί-

σθη, ἐνέσκηψεν εἰς τὴν Παλαιστίνην φοβερὰ πεῖνα καὶ ἔλλειψις τροφίμων. Καὶ ὡς νὰ μὴ ἤρκουν αὐτὰ καὶ ἄλλαι βαρεῖαι μάστιγες ἔπληξαν τὴν περιοχήν, ὅπως ξηρασία καὶ ἀνομβρία καὶ ἐπιδρομὴ ἀκρίδων. Ἡ δοκιμασία αὐτὴ ἐκράτησε πέντε ὁλόκληρα ἔτη. Καθ' ὅλον αὐτὸ τὸ διάστημα ὁ Ὅσιος Σάββας δὲν ἠσχολήθη μὲ τὴν ἐξασφάλισιν εἰσοδήματος εἰς οὐδὲν ἐκ τῶν ἑπτὰ Μοναστηρίων, τὰ ὁποῖα εἶχεν ἱδρύσει ὁ ἴδιος καὶ διὰ τὰ ὁποῖα, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, ἐφρόντιζεν. Ἀνέθεσε τὴν φροντίδα τῆς συντηρήσεώς των εἰς τὸν Θεόν.

10. Καὶ αὐτά, ὡς ἦτο ἑπόμενον, ὑπέφερον ἀπὸ τὴν ἔλλειψιν ἀγαθῶν· καὶ ὅμως ὁ Ὅσιος Σάββας οὔτε ἐπηρεάσθη ἀπὸ τὴν κατάστασιν αὐτήν, οὔτε διετύπωσε κανὲν παράπονον· ἀπ' ἐναντίας, συγκεντρώνων τοὺς Ἡγουμένους τῶν Μοναστηρίων αὐτῶν, τοὺς συνεβούλευε νὰ μὴ θλίβωνται διὰ τὴν δοκιμασίαν αὐτήν, οὔτε νὰ ἀδημονοῦν, οὔτε καὶ νὰ φροντίζουν καθόλου διὰ τὰς σωματικάς των ἀνάγκας, ἀλλὰ νὰ ἔχουν ἐμπιστοσύνην εἰς τὸν ἐπουράνιον Πατέρα των, ὁ ὁποῖος γνωρίζει τὰς ὑλικὰς αὐτὰς ἀνάγκας καὶ εἶναι εἰς θέσιν, διὰ τῆς παντοδυναμίας Αὐτοῦ, πλουσίως νὰ τὰς ἱκανοποιήσῃ.

11. Πάντοτε ἡ μακαρία ψυχὴ τοῦ Ὁσίου Σάββα ἦτο πλήρης εὐγνωμοσύνης πρὸς τὸν Θεὸν καὶ γενναιότητος, διὰ τῆς ὁποίας ἀντιμετώπιζεν ἀγογγύστως τὰς διαφόρους δοκιμασίας. Κάποτε μάλιστα συνέβη καὶ ἀπὸ τὴν ἰδικήν του Λαύραν νὰ λείψουν ὅλα τὰ ἀναγκαῖα πρὸς συντήρησιν, εἰς τοιοῦτον βαθμόν, ὥστε νὰ μὴ εὑρίσκεται οὔτε τὸ ἀπαραίτητον πρόσφορον διὰ τὴν καθιερωμένην λειτουργίαν τῆς Κυριακῆς. Προσέρχεται λοιπὸν ὁ ἐντεταλμένος εἰς τὸ διακόνημα τῆς Ἐκκλησίας Μοναχὸς καὶ ὡς νὰ ἀνέφερεν εἰς τὸν Ὅσιον ἀνεπανόρθωτον συμφοράν, τοῦ λέγει στενοχωρημένος:

— Πάτερ, εἶναι ἀδύνατον νὰ γίνῃ τὴν Κυριακὴν λειτουργία, διότι δὲν ἔχομεν οὔτε ἄρτον, οὔτε τὰ ἄλλα ἀπαραίτητα πράγματα ποὺ ἀπαιτοῦνται.

12. Ἀφοῦ ὁ Μοναχὸς εἶπεν αὐτὰ μὲ κατώδυνον θλῖψιν, τὰ ἤκουσε μὲ ἠρεμίαν ὁ Ὅσιος, τοῦ ὁποίου ἡ μεγάλη, πράγματι, καὶ θαυμασία ψυχὴ οὐδόλως ἀμφέβαλλεν, ὅτι ἡ πρόνοια τοῦ Θεοῦ καὶ ἡ φροντίς, τὴν ὁποίαν ἔχει δι' αὐτούς, ἀσφαλῶς θὰ εὕρῃ τρόπους, ἀγνώστους εἰς τὸν ἄνθρωπον, διὰ νὰ τοὺς ἐξαγάγῃ ἀπὸ αὐτὸ τὸ ἀδιέξοδον. Ἀπευθυνόμενος λοιπὸν πρὸς τοὺς ἀνησύχους καὶ ἀδημονοῦντας Μοναχοὺς τοὺς καθησύχασεν ὡς ἑξῆς:

—Ἐγὼ νομίζω ὅτι δὲν θὰ ἐμποδισθῶμεν καθόλου ἀπὸ τοῦ νὰ τελέσωμεν τὴν Κυριακὴν τὴν ἱεράν μας λειτουργίαν. Ἐὰν δὲ ὑπάρχῃ τόσον ἀπόλυτος ἔλλειψις τῶν ἀναγκαίων εἰς ἡμᾶς, θὰ χρησιμοποιήσωμεν ἕνα ἀπὸ τὰ πολύτιμα ἀφιερώματα ἀπὸ αὐτά, ποὺ προσφέρουν οἱ προσκυνηταί, καὶ ἐκ τῆς ἀξίας του θὰ ἀγοράσωμεν τὰ ἀναγκαῖα διὰ τὴν θείαν λειτουργίαν. Εἶμαι ὅμως βέβαιος, ὅτι εἶναι ἀξιόπιστος ἐκεῖνος ποὺ μᾶς παρήγγειλε νὰ μὴ μεριμνῶμεν διὰ τὴν λύσιν τῶν προβλη-

μάτων τῆς συντηρήσεως τῆς αὐριανῆς ἡμέρας καὶ ἑπομένως, ἐὰν ἔχωμεν πίστιν, θὰ ἐξεύρῃ τρόπον νὰ μᾶς βοηθήσῃ.

13. Καὶ πράγματι ἐπεβραβεύθη πλουσίως ἡ ἐμπιστοσύνη τοῦ Ὁσίου πρὸς τὸν Θεόν! Πρὶν ἔλθῃ ἡ Κυριακὴ ἔρχονται μερικοὶ ἄνθρωποι εἰς τὴν Λαύραν, πραγματικοὶ Ἄγγελοι τῆς θείας Προνοίας, φέροντες τριάκοντα φορτώματα τροφίμων καταλλήλων διὰ τοὺς Μοναχούς, ἤτοι σῖτον, οἶνον, ἔλαιον καὶ ἄλλα. Ἦτο δὲ τόσον τὸ πλῆθος τῶν τροφίμων, ὥστε δὲν εἶχον καταλλήλους ἀποθήκας εἰς τὴν Λαύραν διὰ τὴν τοποθέτησίν των.

14. Κατόπιν τοῦ θαύματος αὐτοῦ ὁ θεῖος Σάββας καλεῖ ἀμέσως τὸν Μοναχόν, ποὺ πρὸ ὀλίγου τοῦ ὑπέδειξε μὲ τόσην μικροψυχίαν τὴν ἔλλειψιν, καὶ τὸν ἐρωτᾷ:

— Λοιπὸν τί λέγεις; Θὰ ἀφήσωμεν τὴν θείαν λειτουργίαν;

Ὁ Μοναχὸς ἀντελήφθη, ὅτι σκοπὸς τῆς ἐρωτήσεως ἦτο νὰ ἐλέγξῃ τοὺς λογισμοὺς ὅσων δὲν ἔχουν τὴν δύναμιν νὰ ἐλπίζουν πρὸς τὸν Θεόν· δι᾽ αὐτὸ πίπτει εἰς τοὺς πόδας τοῦ Ὁσίου Σάββα καὶ ζητεῖ μετὰ θέρμης μετάνοιαν διὰ τὴν ἀχαρακτήριστον μικροψυχίαν τὴν ὁποίαν ἔδειξεν.

15. Ὁ Ὅσιος Σάββας ἀμέσως συνεχώρησε τὸν μαθητήν του καὶ τὸν συνεβούλευσε νὰ μὴ χάνῃ τὸ θάρρος του, ἀλλὰ νὰ ἐλπίζῃ σταθερῶς εἰς τὸν Θεὸν καὶ νὰ ἐπιρρίπτῃ τὴν μέριμνάν του εἰς Αὐτόν, ὅπως λέγει καὶ ὁ Δαβίδ [1], διότι ὁ Θεὸς πολὺ περισσότερον καὶ ἀποτελεσματικώτερον ἀπὸ τοὺς φυσικοὺς πατέρας φροντίζει δι᾽ ἡμᾶς.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΕ, ἐὰν συμβῇ σοι ἀσθενείᾳ περιπεσεῖν, μὴ γράφε περὶ χρειῶν τοῖς κατὰ σάρκα συγγενέσι σου ἢ γνωστοῖς ἄλλοις καὶ φίλοις τοῖς κατὰ κόσμον, μηδὲ φεῦγε ἐπὶ νεκρὰν βοήθειαν καὶ σκέπην ἀνθρωπίνην, ἀλλὰ μακροθύμησον μᾶλλον ἐλπίζων ἐπὶ Κύριον, καὶ ἐκδεχόμενος τὸ παρ᾽ αὐτοῦ ἔλεος, ἵνα σε κυβερνήσῃ κατὰ πάντα.

2. Ὁ γὰρ συγχωρήσας σε συμφερόντως ἀῤῥωστῆσαι, αὐτός σου καὶ προνοήσεται, καὶ οὐκ ἐάσει σε πειρασθῆναι ὑπὲρ ὃ δύνασαι, κατὰ τὴν Γραφήν· τούτῳ οὖν εὐαρεστεῖν ἐν πᾶσιν σπουδάζωμεν, ὅτι αὐτῷ μέλει περὶ ἡμῶν.

3. Οἶδα γὰρ ἀδελφόν, ὃς ἀῤῥωστήσας ποτέ, ἐβιάζετο εἰς τὸ ἔργον, κλαίων δὲ κατ᾽ ἰδίαν ἐν τῷ κελλίῳ αὐτοῦ παρεκάλει τὸν Κύριον ὑγείαν αὐτῷ χαρίσασθαι, λέγων· Κύριε Ἰησοῦ Χριστέ, οἶδα ὅτι ἡ ἀῤῥωστία τοῦ σώματος εἰς θεραπείαν ἐστὶ τῆς ψυχῆς μου, ἀλλ᾽ ἵνα μὴ γένωμαι εἰς βάσταγμα τοῖς ἀδελφοῖς μου, δέομαί σου, φιλάνθρωπε, αὐτὸς τῇ παρὰ σοῦ χάριτι ἴασαί μου τὴν ψυχὴν καὶ τὸ σῶμα, ὅτι σὺ εἶ ὁ τοῦ ἐλέους Θεός, καὶ ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ δέξαι μου τὴν μετάνοιαν, καὶ ἐν ἐμοὶ δεῖξον τὴν μεγαλωσύνην σου, καὶ τὰ ἄπειρα καὶ ἀνεξιχνίαστα ἐλέη σου, ὧν οὐκ ἔστιν ἀριθμός.

4. Οὕτω δεόμενος τοῦ Θεοῦ, ἐν αὐτῷ τῷ ἔργῳ εὐθὺς ἰάθη.

---

1) «Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει». (Ψαλ. νδ΄, 23).

Ἑρμηνεία

ἈΔΕΛΦΕ ΜΟΥ, ἐὰν κάποτε ἀσθενήσῃς, μὴ γράφῃς διὰ τὰς ἀνάγκας σου εἰς τοὺς σαρκικούς σου συγγενεῖς ἢ εἰς τοὺς γνωστούς σου καὶ τοὺς κοσμικούς σου φίλους, οὔτε καὶ νὰ καταφεύγῃς εἰς τὴν ἀνθρωπίνην βοήθειαν καὶ σκέπην, ποὺ διὰ σὲ εἶναι νεκρά, κατὰ τὴν ὑπόσχεσίν σου, καὶ οὐδεμίαν δύναμιν διαθέτει. Ἀπ' ἐναντίας· ὅταν ἀσθενήσῃς, προσπάθησε νὰ μὴ ὀλιγοψυχήσῃς, νὰ φανῇς καρτερικός, ἐλπίζων εἰς τὸν Κύριον, ἀναμένων μετὰ βεβαιότητος τὸ ἔλεος Αὐτοῦ καὶ ἐπιζητῶν διὰ τῆς προσευχῆς σου παρ' Αὐτοῦ νὰ σὲ ὁδηγήσῃ ἀσφαλῶς εἰς τὴν θείαν ὁδόν.

2. Διότι δὲν πρέπει νὰ λησμονῇς, ὅτι ὁ Κύριος ἐπέτρεψε νὰ ἀρρωστήσῃς κατὰ τὸ σῶμα, διὰ νὰ ὠφεληθῇς ψυχικῶς· νὰ εἶσαι λοιπὸν βέβαιος, ὅτι δὲν θὰ σὲ ἀφήσῃ νὰ δοκιμασθῇς περισσότερον ἀπὸ αὐτὸ ποὺ δύνασαι, ὅπως μᾶς διαβεβαιώνῃ διὰ μέσου τῆς Ἁγίας Γραφῆς [1]. Ἂς προσπαθῶμεν λοιπὸν πάντοτε νὰ εὐχαριστῶμεν τὸν Θεόν, διότι αὐτὸς φροντίζει δι' ἡμᾶς.

3. Κάποτε ἐγνώρισα κάποιον ἀδελφόν, ὁ ὁποῖος, ὅταν ἀρρώστησεν, ἐβίαζε τὸν ἑαυτόν του νὰ ἐκτελῇ τὸ ἔργον του, ἐνῷ μόνος του, χωρὶς νὰ τὸν ἀντιλαμβάνεται κανείς, ἔκλαιε εἰς τὸ κελλίον του καὶ παρεκάλει τὸν Κύριον νὰ τοῦ χαρίσῃ τὴν ὑγείαν του. Κατὰ τὴν προσευχήν του, εἰς ἕνα τόνον στοργικῆς οἰκειότητος, ἔλεγε πρὸς τὸν Κύριον· «Κύριέ μου Ἰησοῦ Χριστέ, γνωρίζω ὅτι ἡ ἀρρώστεια μου αὐτή, ἡ ὁποία ταλαιπωρεῖ καὶ βασανίζει τὸ σῶμά μου, ἔχει σκοπὸν τὴν θεραπείαν τῆς ψυχῆς μου· διὰ νὰ μὴ γίνωμαι ὅμως βάρος εἰς τοὺς ἀδελφούς μου, σὲ παρακαλῶ, ὡς φιλάνθρωπος ποὺ εἶσαι, νὰ θεραπεύσῃς μὲ τὴν χάριν σου καὶ τὴν ψυχὴν καὶ τὸ σῶμά μου, διότι σὺ εἶσαι ὁ μόνος ἱκανὸς ἰατρὸς τῶν ψυχῶν μας καὶ τῶν σωμάτων. Δέξου λοιπὸν καὶ τὴν ἰδικήν μου μετάνοιαν, διότι ἐκ τῶν ἁμαρτιῶν μου ὑποφέρω, καὶ δεῖξε εἰς ἐμένα τὴν μεγαλωσύνην σου, καθὼς καὶ τὰς ἀναριθμήτους καὶ ἀνεξερευνήτους εὐσπλαγχνίας σου».

4. Διὰ τοῦ θερμοῦ αὐτοῦ τρόπου προσευχόμενος ὁ ἀδελφὸς αὐτὸς πράγματι ἔγινε καὶ πάλιν καλά, χωρὶς καθόλου νὰ σταματήσῃ ἀπὸ τὴν ἐργασίαν του.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ἈΔΕΛΦΕ, πρόσεχε σεαυτῷ ἀκριβῶς, ὡς ἐνώπιον τοῦ Θεοῦ ὢν πάντοτε, ἵνα παρὰ μηδενὸς μηδὲν ἐλπίζῃς, εἰ μὴ παρ' αὐτοῦ μόνου μετὰ πίστεως· καὶ εἴ τινος χρήζεις, δέου τοῦ Θεοῦ τοῦ γενέσθαι σοι τὴν

---

1) «Πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν» (Α' Κορινθ. ι', 13).

χρείαν κατὰ τὸ αὐτοῦ θέλημα, καὶ ἐν οἷς εὑρίσκεις, εὐχαρίστει τῷ Θεῷ πάντοτε, ὡς αὐτοῦ σοι δεδωκότος.

2. Καὶ ἐὰν ὑστερηθῇς τινος τὸ καθόλου, μὴ ἐλπίσῃς ἐπ' ἄνθρωπον, μηδὲ λυπηθῇς, μηδὲ γογγύσῃς κατά τινος, ἀλλὰ βάσταζε προθύμως καὶ ἀταράχως λογιζόμενος, ὅτι ἄξιός εἰμι πολλῶν θλίψεων διὰ τὰς ἁμαρτίας μου, πλὴν ἐὰν θέλῃ με ὁ Θεὸς ἐλεῆσαι δύναται, καὶ οὕτω σοῦ διανοουμένου αὐτὸς πᾶσάν σου τὴν χρείαν πληρώσει.

3. Ὅταν ἄνθρωπος ἄνθρωπον ὠφελήσῃ ἐν λόγοις ἢ ἐν ἔργοις ἢ ἐν πράγματι, Θεοῦ εἶναι τὴν χάριν ὁμολογείτωσαν ἀμφότεροι, ὁ δὲ μὴ συνιῶν τοῦτο, παρὰ τοῦ συνιέντος ἐξουσιασθήσεται.

4. Ὁ ἐπαινῶν τὸν πλησίον κατά τινα ὑπόκρισιν ἢ δοσοληψίαν, ὀνειδήσει αὐτὸν ἐν καιρῷ, καὶ αὐτὸς ἐντραπήσεται.

5. Ὅταν διὰ σωματικὴν παροχήν, ἄνθρωπον ὡς ἀγαθόν, ἐκτὸς τοῦ Θεοῦ, ἐπαινέσῃς, ὕστερον ὁ αὐτὸς πονηρός σοι καταφανήσεται.

6. Πᾶν ἀγαθὸν παρὰ Κυρίῳ οἰκονομικῶς ἐπέρχεται, καὶ οἱ φέροντες αὐτὸ εἰσιν ἀγαθοῦ διάκονοι.

7. Ὁ ἀσπάλαξ ὑπὸ γῆν ἕρπων, τυφλός, εἰς ἀστέρας ἰδεῖν οὐ δύναται, καὶ ὁ μὴ πιστεύων περὶ προσκαίρων, οὔτε περὶ αἰωνίων πιστεύειν δύναται.

8. Χάρις πρὸ χάριτος ἡ ἀληθὴς γνῶσις ἀνθρώποις δεδώρηται παρὰ Θεοῦ, πρὸ πάντων τῷ δωρησαμένῳ πιστεύειν τοὺς μετόχους αὐτῆς ἐκδιδάσκουσα.

9. Περὶ ὧν τις ἤλπισε πρὸς Θεόν, οὐκέτι περὶ ἐκείνων τῷ πλησίον διαμάχεται.

10. Πάντων τῶν κακῶν προηγεῖται ἡ ἄγνοια, δευτέρα δὲ ταύτης ἐστὶν ἡ ἀπιστία.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, πρόσεχε λεπτομερῶς τὸν ἑαυτόν σου, διότι πάντοτε εὑρίσκεσαι ἐνώπιον τοῦ Θεοῦ· ἀπὸ κανένα δὲ ἄνθρωπον νὰ μὴ ἐλπίζῃς τίποτε. Τὰς ἐλπίδας σου νὰ τὰς στηρίζῃς εἰς τὴν πρὸς τὸν Θεὸν πίστιν. Ἐὰν δὲ ἔχῃς ἀνάγκην ἑνὸς πράγματος, παρακάλει τὸν Θεὸν νὰ πραγματοποιηθῇ τὸ αἴτημά σου, ὅπως Ἐκεῖνος θέλῃ. Εἰς οἱανδήποτε δὲ περίστασιν καὶ ἂν εὑρίσκεσαι, νὰ εὐχαριστῇς δι' ὅλα τὸν Θεόν, διότι ἐκεῖνος δίδει εἰς τὸν ἄνθρωπον ὅλα.

2. Ἐὰν σοῦ λείψῃ τελείως κάτι, μὴ ἐλπίσῃς νὰ σοῦ τὸ προσφέρῃ ἄνθρωπος, οὔτε νὰ λυπηθῇς διὰ τὴν ἀπώλειαν αὐτήν, οὔτε καὶ νὰ γογγύσῃς ἐναντίον κάποιου διὰ τὴν κατάστασίν σου αὐτήν. Ἀπ' ἐναντίας μάλιστα νὰ ὑπομείνῃς μὲ προθυμίαν τὴν δοκιμασίαν αὐτήν, χωρὶς νὰ ταραχθῇς καὶ νὰ λέγῃς εἰς τὸν ἑαυτόν σου· «Καὶ χειρότερα μοῦ ἔπρεπον, διότι, λόγῳ τῶν ἁμαρτιῶν μου, εἶμαι ἄξιος διὰ πολλὰς θλίψεις. Ἀλλὰ ἐὰν ὁ Θεός, ὡς πολυεύσπλαγχνος, θέλῃ, δύναται νὰ μὲ ἐλεήσῃ». Ὅταν σὺ σκέπτεσαι κατ' αὐτὸν τὸν τρόπον καὶ ἐμπιστευθῇς τὸν ἑαυτόν σου εἰς τὸν Θεόν, ὁ Θεὸς θὰ ἱκανοποιήσῃ ὅλας σου τὰς ἀνάγκας, ἀποβλέπων βεβαίως εἰς τὸ ψυχικόν σου συμφέρον.

3. Ὅταν ἕνας ἄνθρωπος ὠφελήσῃ τὸν συνάνθρωπόν του ἢ δι' ἔργων ἢ διὰ τῆς προσφορᾶς εἰς αὐτὸν ἀπαραιτήτων πραγμάτων, ἤ, ἀκόμη, καὶ διὰ λόγων (συμβουλευτικῶν, παρακλητικῶν), θὰ πρέπει τότε καὶ οἱ δύο νὰ θεωρήσουν τὴν πρᾶξιν αὐτὴν ὡς χάριν Θεοῦ καὶ νὰ τὸ ὁμολογήσουν. Ἐὰν ἕνας ἐκ τῶν δύο δὲν ἀντιληφθῇ αὐτὸ τὸ πρᾶγμα,

ὅτι δηλαδὴ χάρις Θεοῦ ἦτο τὸ νὰ ὠφελήση ἢ νὰ ὠφεληθῇ, τότε ἀσφαλῶς αὐτὸς ποὺ δὲν ἀντελήφθη τὸ νόημα, θὰ ἐξουσιασθῇ ἀπὸ ἐκεῖνον ποὺ τὸ ἀντελήφθη (=ὅταν ἀπὸ τὴν σχέσιν μεταξὺ εὐεργέτου καὶ εὐεργετηθέντος λείψῃ ὁ χαρακτὴρ πράξεως, ὀφειλομένης εἰς τὴν θείαν χάριν, τότε γεννᾶται εἰς μὲν τὴν ψυχὴν τοῦ εὐεργέτου ἡ ἔπαρσις, εἰς δὲ τὴν ψυχὴν τοῦ εὐεργετηθέντος τὸ δουλικὸν συναίσθημα).

4. Ἐκεῖνος, ποὺ ἐπαινεῖ ὑποκριτικῶς τὸν πλησίον, ὅταν μετ᾽ αὐτοῦ συζητῇ ἢ ἐξ αἰτίας μιᾶς ἐπωφελοῦς συναλλαγῆς, ἀσφαλῶς θὰ ἔλθῃ ἡμέρα, ποὺ θὰ τὸν κατηγορήσῃ, καὶ τότε ἀσφαλῶς θὰ ἐντραπῇ ὁ πρὸ ὀλίγου δεχθεὶς τοὺς ἐπαινετικοὺς λόγους.

5. Ὅταν ἐπαινέσῃς ἕνα ἄνθρωπον καὶ τὸν χαρακτηρίσῃς ἀγαθόν, ἐνῷ μόνον ὁ Θεὸς εἶναι ἀγαθός, ἐπειδὴ σοῦ προσέφερε μίαν ὑλικὴν ἐκδούλευσιν ἢ ὑλικὰ πράγματα, μετὰ ἀπὸ ὀλίγον, ὅταν πλέον δὲν θὰ σὲ ὠφελῇ ὑλικῶς, θὰ σοῦ φανῇ πονηρὸς καὶ κακός.

6. Κάθε ἀγαθὸν ποὺ γίνεται ἐπ᾽ ὠφελείᾳ τῶν ἀνθρώπων ὀφείλεται εἰς τὸν Κύριον, ἐνεργοῦντα κατ᾽ οἰκονομίαν πρὸς τὸ συμφέρον τοῦ ἀνθρώπου. Ἐκεῖνοι δὲ ποὺ ἐκτελοῦν τὴν ἀγαθὴν πρᾶξιν, εἶναι ἁπλῶς ὑπηρέται τοῦ ἀγαθοῦ.

7. Ὁ τυφλοπόντικας ζῇ κάτω ἀπὸ τὴν γῆν διαρκῶς· ἐξ αἰτίας τοῦ τρόπου αὐτοῦ τῆς ζωῆς του κατέστη τυφλὸς καὶ δὲν ἠμπορεῖ νὰ ἴδῃ τὸ φῶς τοῦ ἡλίου καὶ τῶν ἀστέρων ἀκόμη. Κάτι ἀνάλογον συμβαίνει καὶ μὲ τὸν ἄνθρωπον, ὁ ὁποῖος δὲν ἔχει ἐμπιστοσύνην εἰς τὸν Θεὸν διὰ τὴν παροχὴν τῶν προσκαίρων ὑλικῶν πραγμάτων· αὐτὸς ἀσφαλῶς δὲν ἠμπορεῖ νὰ πιστεύσῃ οὔτε περὶ τῶν αἰωνίων ἀγαθῶν, ποὺ ὑπεσχέθη ὁ Θεὸς εἰς τοὺς ἀγαπῶντας Αὐτόν.

8. Ἡ πραγματικὴ γνῶσις εἶναι μία μικρὰ χάρις τοῦ Θεοῦ προσφερομένη εἰς τὸν ἄνθρωπον πρὸ τῆς μεγαλειώδους χάριτος τῆς αἰωνίου δόξης τῆς Βασιλείας τῶν οὐρανῶν. Αὐτὴ ἔχει δωρηθῇ ὑπὸ τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους, διὰ νὰ διδάξῃ σαφῶς αὐτοὺς ποὺ τὴν κατέχουν, ὅτι πρέπει νὰ ἔχουν ἐμπιστοσύνην εἰς τὸν Θεὸν δι᾽ ὅλα τὰ ζητήματα.

9. Δι᾽ ὅσα πράγματα ὁ ἄνθρωπος κατ᾽ ἀλήθειαν ἔχει στηρίξει τὰς ἐλπίδας του εἰς τὸν Θεόν, ποτὲ πλέον δὲν δύναται νὰ φιλονικήσῃ δι᾽ αὐτὰ μὲ τὸν πλησίον του.

10. Ὅσα κακὰ συμβαίνουν, ὀφείλονται πρῶτον εἰς τὴν ἄγνοιαν καὶ ὕστερον εἰς τὴν ἀπιστίαν.

Ε'. Τοῦ Ἁγίου Ἰσαὰκ

ΕΑΝ ΠΙΣΤΕΥΗΣ ὅτι ὁ Θεὸς πρόνοιάν σου ποιεῖται, τί μεριμνᾷς καὶ φροντίζεις περὶ προσκαίρων καὶ τῶν τῆς σαρκὸς χρειῶν;

2. Εἰ δὲ οὐ πιστεύεις ὅτι πρόνοιάν σου ποιεῖται ὁ Θεός, καὶ διὰ τοῦτο φροντίζεις ἐκτὸς αὐτοῦ τὰ τῆς χρείας σου, ταλαιπωρότερος εἶ πάντων ἀνθρώπων, καὶ ἵνα τί καὶ ζῇς;

3. Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ οὐ μὴ πτοηθῇς πτόησιν ἐπερχομένην σοι· καθάπερ ἑαυτὸν ἀφιερώσας τῷ Θεῷ, ἐν ἀναπαύσει νοὸς δίαγε.

Ἑρμηνεία

ΕΑΝ ΠΡΑΓΜΑΤΙ πιστεύῃς, ὅτι ὁ Θεὸς προνοεῖ διὰ σέ, τότε διατί μεριμνᾷς καὶ φροντίζεις διὰ τὰ πρόσκαιρα καὶ τὰ ὑλικὰ ζητήματα;

2. Ἐὰν πάλιν δὲν πιστεύῃς εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ καὶ δι' αὐτὸ ἀγωνιωδῶς φροντίζεις νὰ ἐπιλύσῃς, μακρὰν Ἐκείνου, τὰ ζητήματά σου, τότε εἶσαι ὁ πλέον ταλαίπωρος ἀπὸ ὅλους τοὺς ἀνθρώπους· πρὸς τίνα δὲ σκοπὸν ζῇς;

3. «Ἐπίρριψον ἐπὶ Κύριον τὴν μέριμνάν σου» (Ψαλ. νδ', 23), καὶ κανεὶς φόβος δὲν θὰ σὲ φοβήσῃ, ἐξ οἱασδήποτε ἀφορμῆς. Ἐφ' ὅσον ἀφιέρωσες τὸν ἑαυτόν σου εἰς τὸν Θεόν, νὰ ζῇς μὲ ἤρεμον τὴν σκέψιν, ὅτι ὁ Θεὸς σὲ προστατεύει.

ς'. Τοῦ Ἁγίου Μαξίμου

ΠΑΝΤΑ μὲν ἄνθρωπον ἐκ ψυχῆς ἀγαπητέον, ἐπὶ τῷ Θεῷ δὲ μόνῳ τὴν ἐλπίδα θετέον καὶ ἐξ ὅλης τῆς ἰσχύος θεραπευτέον· ἐὰν μὲν γὰρ αὐτὸς ἡμᾶς συντηρῇ, οἵ τε φίλοι πάντες ἡμᾶς περιέπουσι καὶ οἱ ἐχθροὶ ἡμῶν πρὸς ἡμᾶς ἀδυνατοῦσιν· ἐὰν δὲ ἡμᾶς ἀποστρέφηται, καὶ οἱ ἐχθροὶ πάντες καθ' ἡμῶν ἰσχύουσιν.

Ἑρμηνεία

ΝΑ ΑΓΑΠΑΣ μὲν ὁλοψύχως κάθε ἄνθρωπον, ἀλλὰ μόνον εἰς τὸν Θεὸν νὰ στηρίζῃς τὰς ἐλπίδας σου καὶ μὲ ὅλην σου τὴν δύναμιν νὰ τὸν ὑπηρετῇς. Ὅταν ὁ Θεὸς μᾶς συντηρῇ μὲ τὴν πρόνοιαν καὶ τὴν ἀγάπην Του, τότε καὶ οἱ φίλοι φιλοστόργως θὰ μᾶς πλησιάζουν καὶ θὰ μᾶς περιποιοῦνται, ἐνῷ οἱ ἐχθροί μας δὲν θὰ ἠμποροῦν νὰ μᾶς κάμουν κακόν. Ὅταν ὅμως ὁ Θεὸς μᾶς ἀποστραφῇ, τότε ὅλοι οἱ ἐχθροί μας θὰ μᾶς καταβάλλουν.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ Γέρων· οἱ Ἅγιοι, ἔχοντες τὸν Θεὸν ἐν ἑαυτοῖς, καὶ τὰ ὧδε κληρονομοῦσι διὰ τῆς ἀπαθείας καὶ τὰ ἐκεῖ· ἐπεὶ καὶ ταῦτα κἀκεῖνα τοῦ Χριστοῦ ἐστι, καὶ οἱ ἔχοντες αὐτόν, ἔχουσι καὶ τὰ αὐτοῦ· ὁ δὲ ἔχων τὸν κόσμον, ἤγουν τὰ πάθη, κἂν τὸν κόσμον ἔχῃ, οὐδὲν ἔχει, εἰμὴ τὰ πάθη τὰ κυριεύοντα αὐτοῦ.

2. Εἶπεν ὁ Ἀββᾶς Εὐπρέπιος· εἰ πιστεύεις τὸν Θεὸν πιστὸν εἶναι καὶ δυνατόν, εἰς αὐτὸν ἔλπιζε μόνον καὶ μεθέξεις τῶν αὐτοῦ· εἰ δὲ ὀλιγωρεῖς, δῆλόν ἐστιν ὅτι οὐ πιστεύεις αὐτὸν τοιοῦτον εἶναι· ὁ γὰρ μὴ πιστεύων αὐτῷ ἐν τοῖς κατὰ σὲ πράγμασι, πῶς ἐν τοῖς ἀλλοτρίοις πιστεύεις αὐτὸν δυνατὸν εἶναι, καὶ πάντα δύνασθαι;

3. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μωϋσέως εἰς σκῆτιν, ὅτι ὡς ἔμελλεν εἰσελθεῖν εἰς τὴν πέτραν, ἤτοι εἰς τὸ σπήλαιον, ἐν ᾧ κατῴκησεν, ἐκοπίασεν ὁδεύων ἕως ἔλθῃ ἐκεῖ, καὶ ἔλεγεν ἐν ἑαυτῷ· πῶς δύναμαι τὸ ὕδωρ μου συναγαγεῖν ὧδε; καὶ ἦλθεν αὐτῷ φωνὴ λέγουσα· εἴσελθε καὶ μηδενὸς φροντίσῃς.

4. Εἰσῆλθεν οὖν, καὶ μετὰ τοῦτο παρέβαλον αὐτῷ τινες τῶν Πατέρων, καὶ οὐκ εἶχεν εἰμὴ ἓν λαγήνιον ὕδατος, ὃ καὶ ἕψοντος αὐτοῦ μικρὸν φακὸν ἀνηλώθη· ὁ δὲ γέρων ἐθλίβετο καὶ ἀγωνιῶν εἰσήρχετο καὶ ἐξήρχετο καὶ ηὔχετο τῷ Θεῷ, καὶ ἰδοὺ νεφέλη ἦλθεν ἐπάνω αὐτῆς τῆς πέτρας, καὶ ἔβρεξεν ἐπὶ τοσοῦτον, ὥς γεμίσαι πάντα τὰ ἀγγεῖα αὐτοῦ.

5. Μετὰ δὲ τοῦτο λέγουσιν αὐτῷ οἱ παραβαλόντες Πατέρες· εἰπὲ ἡμῖν, διατί συνεχῶς εἰσήρχου καὶ ἐξήρχου; Ἀπεκρίθη αὐτοῖς ὁ Γέρων· δίκην ἐποιούμην μετὰ τοῦ Θεοῦ λέγων, ὅτι ἤνεγκάς με ὧδε καὶ ἰδοὺ ὕδωρ οὐκ ἔχω, ἵνα πίωσιν οἱ δοῦλοί σου, καὶ τούτου χάριν εἰσηρχόμην καὶ ἐξηρχόμην, παρακαλῶν τὸν Θεόν, ἕως οὗ ἔπεμψεν ἡμῖν.

6. Εἶπεν ὁ Ἀββᾶς Σιλουανός· ἐγὼ δοῦλός εἰμι, καὶ ὁ Κύριός μου εἶπέ μοι, ἐργάζου τὸ ἔργον μου, κἀγὼ σὲ τρέφω, τὸ δὲ πόθεν, μὴ ζήτει· ἐγὼ οὖν, εἰ μὲν ἐργάζομαι, ἐκ τοῦ μισθοῦ μου ἐσθίω, ἤγουν ἐκ τοῦ ἐλέους τοῦ Θεοῦ.

7. Προσήνεγκέ τις Γέροντι χρήματα λέγων· ἔχε αὐτὰ εἰς ἀνάλωμά σου, ὅτι ἐγήρασας καὶ ἀσθενεῖς (ἦν γὰρ λελωβημένος). Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· ἑξήκοντα ἔτη ἔχω ἐν τῇ ἀσθενείᾳ ταύτῃ, καὶ οὐδενὸς ὑστερήθην, τοῦ Θεοῦ ἐπιχορηγοῦντος καὶ τρέφοντός με ἀνελλιπῶς, καὶ σὺ νῦν ἦλθες ἆραι τὸν τροφέα μου; καὶ οὐ κατεδέξατο λαβεῖν.

8. Διηγήσαντο οἱ Γέροντες περί τινος κηπουροῦ, ὅτι εἰργάζετο καὶ πάντα τὸν κόπον αὐτοῦ παρεῖχεν εἰς ἀγάπην, κατέχων μόνον τὸ ἑαυτοῦ ἀνάλωμα. Ὕστερον δὲ ὑπέβαλεν αὐτῷ ὁ σατανᾶς λέγων· σύναξον σεαυτῷ ὀλίγον κέρμα, μήπως γηράσῃς ἢ κακωθῇς, καὶ χρείαν σχῇς ἀναλωμάτων· καὶ συνήγαγε καὶ ἐγέμισε κεράμιον κέρματος.

9. Καὶ μετὰ τοῦτο συνέβη αὐτὸν ἀσθενῆσαι καὶ σαπῆναι τὸν πόδα αὐτοῦ, καὶ ἀναλῶσαι τὸ κέρμα αὐτοῦ εἰς ἰατρούς, καὶ μηδὲν ὠφελῆσαι. Ὕστερον δὲ ἔρχεταί τις ἔμπειρος ἰατρὸς καὶ λέγει αὐτῷ· ἐὰν μὴ κοπῇ ὁ πούς σου, ὅλον τὸ σῶμά σου σαπήσεται, καὶ ἐκρίθη, ἵνα πρισθῇ ὁ πους αὐτοῦ τῇ ἐπαύριον.

10. Τῇ δὲ νυκτὶ ἐκείνῃ, ἐλθὼν ὁ κηπουρὸς εἰς ἑαυτόν, καὶ μεταμεληθεὶς ἐφ' ᾧ ἔπραξε, συναγαγὼν τὸ κέρμα, καὶ ἐπ' αὐτῷ ἐλπίσας μᾶλλον ἢ ἐπὶ τὸν Θεὸν τὸν διοικοῦντα τὰ πάντα καὶ διατρέφοντα καὶ στενάξας, ἔκλαυσε καὶ εἶπε· μνήσθητι, Κύριε, τῶν εὐτελῶν μου ἔργων τῶν προτέρων, ὧν ἐποίουν ἐργαζόμενος καὶ παρέχων τοῖς ἀδελφοῖς μου, μᾶλλον δὲ πρὸ τούτων, τῆς σῆς ἀγαθότητος καὶ τῶν ἀπείρων σου οἰκτιρμῶν, καὶ ἐλέησόν με κατὰ τὸ μέγα καὶ πλούσιόν σου ἔλεος.

11. Καὶ ταῦτα εἰπόντι παρέστη αὐτῷ Ἄγγελος Κυρίου καὶ λέγει αὐτῷ· ποῦ ἐστι τὸ κέρμα ὃ συνῆξας; καὶ ποῦ ἐστιν ἡ βουλή, ἣν ἐβουλεύσω; ὁ δὲ σφόδρα κατανυγεὶς καὶ δακρύσας, εἶπεν· ἥμαρτον, Κύριε, καὶ συγχώρησόν μοι, καὶ ἀπὸ τοῦ νῦν οὐκέτι αὐτὸ ποιῶ· τότε ἥψατο ὁ Ἄγγελος τοῦ ποδὸς αὐτοῦ, καὶ εὐθέως ἰάθη, καὶ ἀναστὰς ἕωθεν ἀπῆλθεν εἰς τὸν ἀγρὸν ἐργάσασθαι.

12. Ἦλθε δὲ ὁ ἰατρὸς μετὰ βραχὺ κατὰ τὴν συνταγὴν πρίσαι αὐτοῦ τὸν πόδα, καὶ μὴ εὑρὼν αὐτόν, ἠρώτα περὶ αὐτοῦ, καὶ λέγουσιν αὐτῷ· ἀπὸ πρωῒ ἀπῆλθεν ἐργάσασθαι εἰς τὸν ἀγρόν. Ὁ δὲ ἰατρὸς ἀπῆλθεν εἰς τὸν ἀγρόν, ἐν ᾧ ἐκεῖνος εἰργάζετο, θέλων ἰδεῖν αὐτόν· καὶ θεασάμενος αὐτὸν σκάπτοντα τὴν γῆν ἐδόξασε τὸν Θεόν, τὸν παραδόξως αὐτὸν θεραπεύσαντα.

13. Ἀσκητής τις ὑπὸ φιλαργυρίας πολεμούμενος εἰργάζετο περισσὸν κοπιῶν πάνυ, καὶ ἐκ τοῦ ἐργοχείρου αὐτοῦ συνήγαγε νόμισμα ἕν, εἶτα δεύτερον, εἶτα τρίτον, εἶτα ἐσπούδασεν αὐτὰ ποιῆσαι πέντε, καὶ συναγαγὼν τὰ πέντε, εὐθὺς περιπίπτει πάθει σωματικῷ, ἤτοι ἀσθενείᾳ, καὶ ὀγκωθεὶς ὁ πους αὐτοῦ ἔβρυεν ἕλκεσι.

14. Ὁ δὲ μετεπέμψατο ἰατρούς, καὶ ἀνήλωσε τὰ πέντε νομίσματα· μὴ θεραπευθέντος δὲ τοῦ πάθους, ἀλλὰ καὶ χείρονος γεγονότος, καὶ τοῦ ποδὸς αὐτοῦ τελείως

σαπέντος, ἐλθὼν τελευταῖον ἰατρός, λέγει αὐτῷ, ὅτι ὀφείλει ὁ πούς σου κοπῆναι, Ἀββᾶ, ἐπεὶ ὅλον τὸ σῶμά σου σήπει· ὁ δὲ διὰ τὴν ἀνάγκην κατένευσε τὴν τομήν, καὶ ὡρίσθη τῇ ἐπαύριον κοπῆναι τὸν πόδα αὐτοῦ.

15. Τῇ δὲ νυκτὶ κλαίοντος αὐτοῦ καὶ τὸν Θεὸν ἱκετεύοντος, ἐφίσταται αὐτῷ Ἄγγελος καὶ λέγει αὐτῷ· ποιεῖς πέντε νομίσματα; καὶ ὡς ἐν ἐκστάσει γενομένου αὐτοῦ, κατέχει ὁ Ἄγγελος τὸν πόδα αὐτοῦ, καὶ τῇ χειρὶ ἀπαλείψας τὸ πάθος, παραχρῆμα αὐτὸν ἐθεράπευσε, καὶ ἀφανὴς γέγονεν· ὁ δὲ ἐν ἑαυτῷ γενόμενος, καὶ γνοὺς ὅτι ἐθεραπεύθη, ηὐχαρίστει τῷ Θεῷ.

16. Ἕωθεν οὖν ἐλθὼν ὁ ἰατρὸς κατὰ τὴν συνταγήν, ἔκρουσε τὴν θύραν, ὁ δὲ ἀναστὰς ὑπήντησεν αὐτῷ, καὶ ἰδὼν αὐτὸν ὁ ἰατρὸς περιπατοῦντα ἐθαύμασε, καὶ μαθὼν τὸ γεγονός, γέγονε Χριστιανός, Ἕλλην ὤν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ Γέρων Ἀσκητὴς εἶπε τὰ ἑξῆς πρὸς τοὺς μαθητάς του:

— Οἱ Ἅγιοι, ἐπειδὴ ὁ Θεὸς κατοικεῖ εἰς τὰς ψυχάς των, κατορθώνουν καὶ τὰ ἐγκόσμια νὰ κερδίσουν, διότι δὲν ἔχουν πάθος διὰ τὴν ἀπόκτησίν των, ἀλλὰ καὶ τὰ αἰώνια. Τὸ ἐπιτυγχάνουν δὲ αὐτό, διότι καὶ τὰ ἐπίγεια ἀγαθὰ καὶ τὰ ἐπουράνια εἶναι τοῦ Χριστοῦ, ὡς δημιουργοῦ καὶ παροχέως αὐτῶν· ἐπομένως ὅσοι ἔχουν τὸν Χριστὸν μέσα των, ἔχουν καὶ ἐκεῖνα, ποὺ παρέχει Ἐκεῖνος. Αὐτὸς ὅμως ποὺ ἔχει εἰς τὴν ψυχήν του κοσμικὸν φρόνημα, δηλαδὴ τὰ πάθη, καὶ ἐὰν ἀκόμη κατακτήσῃ τὸν κόσμον, τίποτε δὲν θὰ κατέχῃ, παρὰ μόνον τὰ πάθη, ποὺ τὸν κυριεύουν.

2. Ὁ Ἀββᾶς Εὐπρέπιος ἔλεγεν:

— Ἐὰν πράγματι πιστεύῃς, ὅτι ὁ Θεὸς εἶναι ἄξιος τῆς ἐμπιστοσύνης σου, ἀλλὰ καὶ δύναται νὰ ἐκπληρώσῃ τὰς ἐπιθυμίας σου, τότε μόνον εἰς Αὐτὸν νὰ πιστεύῃς καὶ ἀσφαλῶς θὰ καταστῇς μέτοχος τῶν εὐεργεσιῶν Του. Ἐὰν ὅμως ἀδιαφορῇς καὶ κάπως ἀνησυχῇς, φανερώνεις μὲ τὰς διαθέσεις σου αὐτάς, ὅτι δὲν πιστεύεις, ὅτι ὁ Θεὸς εἶναι πράγματι ἄξιος ἐμπιστοσύνης καὶ δυνατός. Διότι ἐκεῖνος ποὺ δὲν πιστεύει, ὅτι ὁ Θεὸς ἔχει τὴν δύναμιν νὰ τὸν βοηθήσῃ εἰς τὰς προσωπικάς του ὑποθέσεις, πῶς εἶναι δυνατὸν νὰ πιστεύσῃ εἰς τὴν παντοδύναμον πρόνοιαν τοῦ Θεοῦ ἐπὶ ξένων πρὸς τὸ ἀτομόν του ζητημάτων; Καὶ ἐπομένως, ὅτι ὅλα δύναται νὰ τὰ ἐπιτύχῃ;

3. Διηγοῦντο εἰς μίαν σκήτην διὰ τὸν Ἀββᾶν Μωϋσῆν τὸ ἑξῆς περιστατικόν:

Ἀπεφάσισε, διὰ νὰ ἐπιτείνῃ τὴν ἄσκησίν του, νὰ εἰσέλθῃ εἰς ἀπομεμακρυσμένον σπήλαιον, εἰς τὸ ὁποῖον καὶ ἐγκατεστάθη τελικῶς.

Διὰ νὰ φθάσῃ ὅμως ἕως ἐκεῖ ἐκοπίασε βαδίζων ἀρκετὸν διάστημα, διὰ μέσου ἀγόνου καὶ ἀνύδρου περιοχῆς. Μόλις ἔφθασε διελογίσθη: Πῶς θὰ ἠμπορῶ νὰ συγκεντρώνω ἐδῶ τὸ ἀπαραίτητον νερό; Δὲν εἶχεν ὅμως προφθάσει νὰ τελειώσῃ τὴν σκέψιν του καὶ ἤκουσε μίαν προστακτικὴν φωνήν.

— Εἴσελθε εἰς τὸ σπήλαιον καὶ διὰ τίποτε μὴ φροντίζῃς!

4. Κατόπιν αὐτοῦ εἰσῆλθε καὶ ἐγκατεστάθη. Ὀλίγον μετὰ τὴν ἐγκατάστασίν του ἦλθον νὰ τὸν ἐπισκεφθοῦν μερικοὶ ἐκ τῶν Πατέρων. Ὁ Ἀββᾶς Μωϋσῆς εἶχε μόνον ἕνα μικρὸν σταμνάκι νερό, ποὺ τὸ ἐχρησιμοποίησε διὰ νὰ μαγειρεύσῃ ὀλίγην φακῆν. Ἤρχισε λοιπὸν νὰ στενοχωρῆται διὰ τὴν ἔλλειψιν αὐτὴν τοῦ ὕδατος. Ἐξ αἰτίας δὲ τῆς θλίψεως καὶ ἀγωνίας αὐτῆς εἰσήρχετο καὶ ἐξήρχετο ἀπὸ τὸ σπήλαιον, προσευχόμενος εἰς τὸν Θεὸν νὰ τὸν βοηθήσῃ, ὅπως ἐκεῖνος γνωρίζῃ. Καὶ ὢ τοῦ θαύματος! Ἕνα σύννεφον ἦλθεν ἐπάνω ἀπὸ τὸ σπήλαιον, καὶ ἔβρεξεν ἀρκετά, ὥστε νὰ δυνηθῇ ὁ Ἀββᾶς Μωϋσῆς νὰ γεμίσῃ ὅλα τὰ δοχεῖα μὲ νερό.

5. Μετὰ ταῦτα ἡσύχασε· τότε τὸν ἐρωτοῦν οἱ Πατέρες, ποὺ τὸν ἐπεσκέφθησαν.

— Ἀββᾶ Μωϋσῆ, ἐξήγησέ μας, διατί πρὸ ὀλίγου συνεχῶς εἰσήρχεσο καὶ ἐξήρχεσο τοῦ σπηλαίου;

— Μὲ τὸ θάρρος, ποὺ ἐμπνέει ἡ πρὸς τὸν Θεὸν ἀγάπη καὶ μὲ ἐλπίδα ἀντιδικοῦσα μὲ τὸν Θεὸν καὶ τοῦ ἔλεγα: Σὺ μὲ ἔφερες ἐδῶ· ἐγὼ ὑπήκουσα. Τώρα ὅμως δὲν ἔχω νερό, διὰ νὰ πίουν οἱ δοῦλοί Σου. Ἐξ ἀφορμῆς δὲ αὐτοῦ εἰσηρχόμην καὶ ἐξηρχόμην παρακαλῶν τὸν Θεὸν νὰ προσφέρῃ αὐτό, ποὺ ὅσον καὶ ἐὰν κατεπονούμην δὲν ἦτο δυνατὸν νὰ τὸ εὕρω συντόμως. Ἤμουν βέβαιος διὰ τὸ θαῦμα αὐτὸ καὶ παρεκάλουν τὸν Θεόν, μέχρις ὅτου ἔστειλε εἰς ἡμᾶς τὸ ἀπαραίτητον ὕδωρ.

6. Ὁ Ἀββᾶς Σιλουανὸς διδάσκων ἔλεγεν. Ἐγὼ εἶμαι δοῦλος καὶ ὁ Κύριός μου μὲ διέταξε νὰ ἐργάζωμαι τὸ ἔργον Του, ὑποσχεθεὶς ὅτι θὰ μὲ διατρέφῃ κατὰ τρόπον ἄρρητον καὶ θαυμαστόν, ποὺ δὲν ἠμπορῶ νὰ γνωρίζω. Δι' αὐτὸ λοιπὸν καὶ ἐγὼ ἐργάζομαι χωρὶς ἀντίρρησιν καὶ τρέφομαι ἀπὸ τὸν μισθόν μου, δηλαδὴ ἀπὸ τὸ ἔλεος τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν.

7. Κάποιος ἐλεήμων ἄνθρωπος προσέφερεν εἰς ἕνα γέροντα Ἀσκητὴν χρήματα καὶ τοῦ εἶπε:

— Πάρε αὐτὰ νὰ ἔχῃς ἕνα μικρὸν ἀπόθεμα διὰ τὰς ἀνάγκας σου, ἐπειδὴ ἐγήρασες καὶ εἶσαι συγχρόνως ἀσθενὴς (ἦτο πράγματι ὁ Γέρων λωβός).

— Ἑξήκοντα ἔτη εὑρίσκομαι εἰς τὴν κατάστασιν αὐτὴν—τοῦ ἀπήντησεν ὁ Γέρων—καὶ τίποτε δὲν μοῦ ἔλειψεν, ἐπειδὴ ὁ Θεὸς συχνῶς μὲ τρέφει καὶ μοῦ προσφέρει αὐτά, ποὺ χρειάζομαι. Καὶ σὺ ἦλθες τώρα ἐδῶ νὰ ἀπομακρύνῃς ἀπὸ κοντά μου τὸν τροφέα μου;

Τὰ δὲ προσφερθέντα χρήματα δὲν κατεδέχθη νὰ κρατήσῃ.

8. Οἱ Πατέρες διηγήθησαν τὴν ἑξῆς ὠφέλιμον διήγησιν περὶ ἑνὸς κηπουροῦ.

Ἕνας κηπουρὸς ὅ,τι ἀπεκόμιζεν ἐκ τῆς ἐργασίας του τὸ ἔδιδεν

ἐλεημοσύνην, κρατῶν μόνον ὅσα τοῦ ἦσαν ἀπολύτως ἀπαραίτητα διὰ τὴν συντήρησίν του.

Κάποτε ὁ διάβολος τοῦ ἔβαλε τὸν λογισμὸν νὰ συγκεντρώσῃ μερικὰ χρήματα, διὰ νὰ ἀντιμετωπίσῃ τὰ γηρατειά του ἢ διὰ νὰ ἔχῃ μίαν μικρὰν ἀποταμίευσιν, μήπως ἀσθενήσῃ. Ὁ κηπουρὸς δεχθεὶς τὸν λογισμὸν ἐγέμισε μίαν στάμναν ἀπὸ κέρματα.

9. Τί συμβαίνει ὅμως μετὰ ταῦτα;

Ἠσθένησε καὶ ἐν συνεχείᾳ ἐσάπησε τὸ πόδι του. Ἠναγκάσθη τότε νὰ δαπανήσῃ ὅλα τὰ χρήματα εἰς τοὺς ἰατρούς, χωρὶς οὐδόλως νὰ ὠφεληθῇ.

Μεταξὺ τῶν πολλῶν ἰατρῶν, ποὺ τὸν ἐπεσκέφθησαν, ἔρχεται καὶ ἕνας ποὺ τοῦ λέγει:

—Ἐὰν δὲν ἀποκοπῇ τὸ πόδι σου, ὅλον σου τὸ σῶμα θὰ σαπίσῃ. Κατόπιν τῆς διαγνώσεως αὐτῆς ἀπεφασίσθη τὴν ἐπομένην νὰ ἀποκοπῇ μὲ χειρουργικὸν πριόνι τὸ σάπιο πόδι.

10. Τὴν προηγουμένην τῆς ἐπικινδύνου ἐγχειρήσεως νύκτα, ἀνελογίσθη ὁ κηπουρὸς τὴν αἰτίαν τῆς συμφορᾶς του καὶ μετανοήσας διὰ τὴν ὀλιγοπιστίαν του, ἐξ αἰτίας τῆς ὁποίας συνεκέντρωνε χρήματα καὶ δὲν ἐτέλει, ὡς καὶ πρότερον, ἐλεημοσύνας, στηρίξας τὰς ἐλπίδας του εἰς τὸ χρῆμα καὶ ὄχι εἰς τὸν Θεόν, ποὺ διοικεῖ τὰ πάντα, ἤρχισε νὰ κλαίῃ μὲ ἀναστεναγμοὺς καὶ μετὰ δακρύων νὰ λέγῃ: Κύριέ μου, ἐνθυμίσου τὰ προηγούμενα τιποτένια ἔργα τῆς ἐλεημοσύνης μου, τὰ ὁποῖα ἔκαμα ἀπὸ τὴν ἐργασίαν μου πρὸς τοὺς ἀδελφούς μου· ἐπειδὴ δὲ αὐτὰ εἶναι πράγματι ἀνάξια λόγου καὶ εὐτελῆ, ἐνθυμήσου, Κύριέ μου, τῆς ἀγαθότητός Σου, τῶν ἀπείρων σου οἰκτιρμῶν. Συγχώρησέ με διὰ τὴν ὀλιγοπιστίαν μου, ἐξ ἧς τιμωροῦμαι, καὶ ἐλέησόν με, ὄχι διότι τὸ ἀξίζω, ἀλλὰ κατὰ τὸ μέγα καὶ πλούσιον ἔλεός Σου.

11. Μόλις εἶπεν αὐτὰ μὲ πόνον, παρουσιάζεται ἔμπροσθέν του ἕνας Ἄγγελος Κυρίου καὶ λέγει εἰς αὐτόν:

— Ποῦ εἶναι τὰ κέρματα ποὺ συνεκέντρωσες; Τί ἀπέγινεν ἡ σκέψις, τὴν ὁποίαν ἔκανες, διὰ νὰ ἀντιμετωπίσῃς τὰ γηρατειά σου καὶ τὰς ἀσθενείας σου;

Μὲ τοὺς λόγους αὐτοὺς ὁ κηπουρὸς συνεκινήθη, κατενύγη πολὺ καὶ μὲ δάκρυα εἶπε πρὸς τὸν Ἄγγελον:

- Ἡμάρτησα, Κύριε, συγχώρησόν με. Ἀπὸ ἐδῶ καὶ εἰς τὸ ἑξῆς δὲν θὰ ἐπαναλάβω τὸ τῆς ὀλιγοπιστίας ἔργον.

Τότε ἤγγισεν ὁ Ἄγγελος τὸ σάπιο πόδι καὶ ἀμέσως, διὰ θαύματος, ἐθεραπεύθη. Πρωΐ-πρωΐ δὲ ἠγέρθη τῆς κλίνης του καὶ μετέβη εἰς τὸν κῆπον νὰ ἐργασθῇ.

12. Ὀλίγον μετὰ τὴν ἀναχώρησιν τοῦ κηπουροῦ ἦλθεν ὁ ἰατρός, διὰ νὰ ἀποκόψῃ τὸ σαπισμένο πόδι. Ἀνήσυχος δέ, διότι δὲν τὸν εὗρεν, ἐζήτει πληροφορίας δι' αὐτόν. Κατάπληκτος μανθάνει τότε ὁ ἰατρός, ὅτι ἀπὸ τὸ πρωῒ μετέβη εἰς τὸν ἀγρὸν διὰ νὰ ἐργασθῇ.

Ὁ ἰατρός, ἐπιθυμῶν νὰ τὸν ἴδῃ, μετέβη εἰς τὸν ἀγρόν, ὅπου εἰργάζετο καὶ μόλις τὸν εἶδε νὰ σκάπτῃ, χωρὶς νὰ πονῇ, διότι εἶχε θεραπευθῇ, ἐδόξασε τὸν Θεόν, ποὺ τόσον παράδοξα τὸν ἐθεράπευσε.

13. Ἕνας Ἀσκητὴς πολεμούμενος ἀπὸ λογισμοὺς φιλαργυρίας εἰργάζετο περισσότερον ἀπ' ὅ,τι ἀπῃτεῖτο, διὰ νὰ καλύψῃ τὰς ὀλίγας ἀνάγκας του κοπιάζων ἀσκόπως. Ἀπὸ τὸ ἐργόχειρόν του ἀπεταμίευσε κατ' ἀρχὴν ἕνα νόμισμα, ἐν συνεχείᾳ δεύτερον καὶ μετὰ τρίτον· ἐφρόντισε δὲ νὰ τὰ κάμῃ πέντε.

Ἀφοῦ πλέον εἶχεν εἰς τὴν διαθεσίν του πέντε νομίσματα ἐχάρη ὀλίγον σκεπτόμενος ἀνθρωπίνως.

Ἰδοὺ ὅμως τί τοῦ συμβαίνει! Ἠσθένησε σοβαρῶς καὶ διωγκώθη τὸ πόδι του μέχρι σημείου νὰ σκάσῃ τὸ δέρμα καὶ νὰ γεμίσῃ πληγάς.

14. Ὁ Μοναχὸς ἐκάλεσεν ἰατροὺς καὶ κατεδαπάνησεν εἰς ματαίαν θεραπείαν καὶ τὰ πέντε νομίσματα.

Δυστυχῶς ὅμως ὄχι μόνον δὲν ἐθεραπεύθη, ἀλλὰ ἔγινε χειρότερα, διότι τὸ πόδι του ἐσάπησε τελείως

Εἰς τὴν κατάστασιν αὐτὴν τὸν ἐπεσκέφθη τελευταίως ἕνας ἰατρὸς καὶ τοῦ λέγει:

— Δυστυχῶς, Ἀββᾶ, ἄλλη θεραπεία δὲν χωρεῖ· πρέπει νὰ κοπῇ τὸ πόδι, διότι ὑπάρχει κίνδυνος νὰ σαπίσῃ ὁλόκληρον τὸ σῶμά σου.

Ὁ Μοναχὸς ἐξ ἀνάγκης, διότι δὲν ἐγίνετο διαφορετικά, ἐδέχθη τὴν ἐπώδυνον αὐτὴν ἀποκοπὴν τοῦ ποδός. Συνεφώνησε δὲ μετὰ τοῦ ἰατροῦ νὰ γίνῃ τὴν ἐπομένην ἡμέραν ἡ ἐγχείρησις.

15. Τὴν νύκτα, ποὺ προηγεῖτο τῆς ἐγχειρήσεως, δὲν ἠδύνατο νὰ ἡσυχάσῃ ὁ Μοναχός· ἔκλαιε καὶ ἱκέτευε τὸν Θεὸν νὰ τὸν λυπηθῇ.

Εἰς τὴν δραματικήν του αὐτὴν ἀγωνίαν τὸν ἐπισκέπτεται Ἄγγελος Κυρίου καὶ τοῦ λέγει:

— Κατώρθωσες λοιπὸν νὰ συγκεντρώσῃς πέντε νομίσματα;

Περιέπεσε δὲ εἰς ἔκστασιν ὁ Μοναχὸς καὶ ὁ Ἄγγελος Κυρίου κρατεῖ τὸ πόδι του, τὸ καθαρίζει ἀπὸ τὰς σεσηπώδεις πληγὰς καὶ θεραπεύει τὸν Μοναχόν, ἐξαφανισθεὶς ἀμέσως. Ὁ Μοναχός, ἀφοῦ συνῆλθεν ἀπὸ τὴν ἔκστασιν καὶ διεπίστωσεν ὅτι πράγματι ἐθεραπεύθη, ηὐχαρίστει τὸν Θεόν.

16. Πρωῒ - πρωῒ ἦλθεν ὁ ἰατρὸς διὰ τὴν ἐγχείρησιν. Κτυπᾷ τὴν θύραν τοῦ κελλίου καὶ ἐγερθεὶς ὁ Μοναχὸς ἐκ τῆς κλίνης του τελείως ὑγιής, τὸν ὑπεδέχθη.

Μόλις τὸν εἶδεν ὁ ἰατρὸς νὰ βαδίζῃ ἐθαύμασε καὶ ἐζήτησε νὰ μάθῃ τί συνέβη.

Κατάπληκτος τότε ἐπληροφορήθη τὸ θαῦμα.

Κατόπιν αὐτοῦ ὁ ἰατρὸς ἀπὸ εἰδωλολάτρης, ποὺ ἦτο, ἐπίστευσεν εἰς τὸν Χριστὸν καὶ ἔγινε Χριστιανός.

ΥΠΟΘΕΣΙΣ ΚΒ'

Τίς ἐστιν ὁ ἀφρόνως τὴν εἰς Χριστὸν ἔχων ἐλπίδα.

Ποία ἐλπὶς εἰς τὸν Χριστὸν εἶναι παράλογος.

Α'. Τοῦ Ἁγίου Ἰσαὰκ τοῦ Σύρου

ΕΣΤΙΝ ἐλπίς τινι ἐπὶ τῷ Θεῷ διὰ τῆς καρδιακῆς πίστεως, ἥτις ἀληθὴς πέφυκεν, ὡς μετὰ διακρίσεως καὶ γνώσεως γενομένη· καὶ ἔστιν ἄλλῳ παρηλλαγμένη, ἐξ ἀσυνεσίας καὶ ὀκνηρίας ἐγγινομένη· ἥτις καὶ ψευδὴς ὑπάρχει.

2. Ἄνθρωπος γὰρ ὁ μὴ παντελῶς φροντίδα ποιούμενος τῶν ἐπικήρων πραγμάτων, ἀλλ' ὅλον ἑαυτὸν παραθέμενος τῷ Θεῷ, καὶ πᾶσαν τὴν αὐτοῦ σχολήν τε καὶ ἐπιμέλειαν εἰς τὴν Αὐτοῦ λατρείαν καὶ εὐαρέστησιν ἐν νυκτὶ καὶ ἡμέρᾳ διηνεκῶς ἐνδεικνύμενος, καὶ διὰ τοῦτο ἀμελῶν εὐτρεπίσαι ἑαυτῷ τὰ πρὸς τὴν χρείαν τοῦ σώματος, οὗτος καλῶς καὶ ἐπιστημόνως ἐλπίζει ἐπὶ Κύριον, ὅτι αὐτὸς ἑτοιμάσει αὐτῷ τὰ πρὸς τὴν χρείαν.

3. Δίκαιον γάρ ἐστι καὶ τὸν Θεὸν πᾶσαν εἰς τὸν τοιοῦτον ἐνδείκνυσθαι ἐπιμέλειαν καὶ χορηγεῖν αὐτῷ τὰ ἐν χρείᾳ ἀπόνως, ὡς ὑπηρέτῃ αὐτοῦ γνησίῳ, καὶ φυλάττοντι τὴν ἐντολὴν Αὐτοῦ τὴν λέγουσαν· «Ζητεῖτε πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην Αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν».

4. Τῷ γὰρ οὕτως ὁλοκλήρως ἑαυτὸν εἰς τὴν τοῦ Θεοῦ λατρείαν ἀφιερώσαντι, ἅπας ὁ κόσμος ὥς πέρ τις δοῦλος ἕτοιμα αὐτῷ παρέχει, καὶ τῷ θελήματι αὐτοῦ ὑποτάσσεται, καὶ τοῖς λόγοις ὑπηρετεῖ, οἷα δεσπότῃ τούτῳ ἐν πᾶσι πειθόμενος.

5. Ἵνα γὰρ μὴ ἀργήσῃ ὁ τοιοῦτος ἐκ τῆς ἐνώπιον τοῦ Θεοῦ παραστάσεως, καὶ τῆς πρὸς Αὐτὸν διηνεκοῦς ὁμιλίας καὶ νεύσεως, ἧς μόνης ἀδιαλείπτως ἐπιμελούμενος οὐδενὸς ἄλλου τὸ παράπαν φροντίζειν ἀνέχεται, πρέπον ἐστὶ πᾶσαν τὴν κτίσιν ὑπηρετεῖν αὐτῷ, καὶ ἀπόνως καὶ ἀμερίμνως τὰ πρὸς τὴν χρείαν αὐτῷ χορηγεῖν, τοῖς τοῦ κοινοῦ Δεσπότου πειθομένη κελεύσμασιν, ὃς τοὺς Αὐτῷ γνησίως δουλεύοντας τροφὴν ὡς τὰ πετεινά, ἀκόπως καὶ ἀφροντίστως παρέσχετο.

6. Καλὴ οὖν καὶ λελογισμένη ἡ τοῦ τοιούτου ἐλπίς, καὶ οὐκ ἐνδέχεται μὴ ἐπιτυγχάνειν αὐτῆς τὸν οὕτως ἔχοντα.

7. Εἰ δέ τις τῇ γῇ ἔτι καὶ τῇ τῶν γηΐνων προσπαθείᾳ τὸν νοῦν ἔχων προσηλωμένον, καὶ τὸν χοῦν ἐσθίοντα μετὰ τοῦ ὄφεως, μετεωρισμοῖς τε καὶ αἰχμαλωσίαις καρδίας, τάχα δὲ καὶ ἀργολογίαις γινόμενος ἔκδοτος, τανύων τε τοὺς πόδας αὐτοῦ ἐν τῇ ἀργίᾳ, λέγει ὅτι πιστεύω τῷ Θεῷ χορηγῆσαί μοι τὰ πρὸς τὴν χρείαν, ἀκούσεται πάντως ὁ τοιοῦτος τοῦ Θεοῦ ταῦτα καὶ πρὸς αὐτὸν διὰ τοῦ Προφήτου λέγοντος, ὅτι ἐγγίζεις μοι τῷ στόματι, ἡ δὲ καρδία σου πόῤῥω ἐστὶν ἀπ' ἐμοῦ, καὶ βούλει μαθεῖν τὰς ὁδούς μου, αἰτῶν κρίσιν καὶ δικαιοσύνην, ὥς περ

τις δικαιοσύνην ποιῶν, καὶ μὴ καταλιπών μου τὰ δικαιώματα· ὁμοίως δὲ καὶ ὁ Ἀδελφόθεος Ἰάκωβος ἐρεῖ πρὸς αὐτόν· «εἰ πιστεύεις τῷ Θεῷ, καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίττουσιν· ἀλλ' ἡ πίστις καὶ ἔργων δέεται, ἄνευ δὲ τῶν ἔργων νεκρά ἐστι».

8. Μὴ πλανῶ, ὦ ἄφρον· προηγούμενός ἐστιν ὁ διὰ τὸν Θεὸν κόπος καὶ ἱδρώς, ὁ ἐν τῇ γεωργίᾳ τῶν ἀρετῶν, τῆς εἰς Θεὸν ἐλπίδος· καὶ σὺ οὖν, εἰ πιστεύεις ὅτι ὁ Θεὸς προνοεῖται τῶν κτισμάτων Αὐτοῦ, καὶ δυνατός ἐστιν εἰς πάντα, ἐπίδειξαι καὶ ἐργασίαν τῇ πίστει σου πρέπουσαν, καὶ τότε ἕξεις τὸν Θεὸν ὑπακούοντά σου, καὶ πάντων, ὧν δέῃ, τὴν χορηγίαν σοι ἄπονον παρεχόμενον, ἔτι τε καὶ παντός σε κινδύνου καὶ πάσης βλάβης καὶ θλίψεως ἐξαιρούμενον.

9. Πᾶσι γὰρ τοῖς ἄλλοις ἀνθρώποις διακριτικῶς ἐκέλευσεν ὁ Θεὸς τὰ κατ' αὐτοὺς διοικεῖν, καὶ συγκιρνᾶν τῇ τοῦ Θεοῦ προνοίᾳ καὶ τῇ γνώσει, ἣν παρ' Αὐτοῦ ἔλαβον.

10. Ὁ μέν τοι πᾶσαν αὐτοῦ τὴν ζωὴν τῷ Θεῷ ἀναθέμενος, καὶ μόνης φροντίζων τῆς Ἐκείνου εὐαρεστήσεως, οὐ δέεται διὰ ταύτης τῆς γνώσεως τὰ καθ' ἑαυτὸν διοικεῖν· ἔχει γὰρ ἀντὶ ταύτης τὴν πίστιν, δι' ἧς καθαιρεῖται πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ λογισμοὺς ἀνθρωπίνους, ἢ φυσικούς, οὐ προσίεται, ὡς ὑπεραναβὰς τὴν φύσιν καὶ Θεῷ κολληθείς, διὰ τῆς ἀδιστάκτου καὶ στεῤῥᾶς πίστεως, δι' ἧς τολμᾷ καὶ κατὰ παντός, οὐχ ὡς πειράζων τὸν Κύριον, ἀλλ' ὡς θαῤῥῶν Αὐτῷ, καὶ καθωπλισμένος τὴν τοῦ πνεύματος ἀήττητον δύναμιν.

11. Περὶ τοῦ τοιούτου ἀληθῶς ἐρεῖ ὁ Θεός· «μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν· μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου».

Ἑ ρ μ η ν ε ί α

ΥΠΑΡΧΕΙ ἡ ἀληθὴς πρὸς τὸν Θεὸν ἐλπὶς καὶ ἡ ψευδὴς τοιαύτη. Ἡ ἀληθὴς πρὸς τὸν Θεὸν ἐλπὶς στηρίζεται ἐπὶ τῆς πρὸς τὸν Θεὸν ἀπὸ καρδίας πίστεως καὶ γεννᾶται μετὰ διακρίσεως καὶ γνώσεως. Ἡ ψευδὴς ἐλπὶς εἶναι τελείως παρηλλαγμένη καὶ ὀφείλεται εἰς ἔλλειψιν συνέσεως καὶ εἰς ὀκνηρίαν.

2. Πράγματι! Ἄνθρωπος, ὁ ὁποῖος καθόλου δὲν φροντίζει διὰ τὰ φθαρτὰ πράγματα τοῦ κόσμου αὐτοῦ, ἀλλ' ἔχει ἀφιερωθῆ ὁλόκληρος εἰς τὸν Θεόν, διαρκῶς δὲ νύκτα καὶ ἡμέραν προσπαθεῖ νὰ τὸν λατρεύῃ καὶ νὰ τὸν εὐαρεστῇ, διαθέτων πρὸς τοῦτο ὁλόκληρον τὴν φροντίδα καὶ ὅλον του τὸν χρόνον, ὁ ἄνθρωπος αὐτὸς καλῶς καὶ μετὰ βαθείας γνώσεως καὶ συνέσεως ἐλπίζει εἰς τὸν Θεόν, ὅτι θὰ φροντίσῃ διὰ τὰς ὑλικάς του ἀνάγκας.

3. Διὰ τὸν ἄνθρωπον αὐτὸν εἶναι δίκαιον καὶ ὁ Θεὸς νὰ ἐπιδείξῃ πρὸς αὐτὸν ὅλην τὴν φιλόστοργον φροντίδα Του καὶ νὰ τοῦ χορηγήσῃ ἀκόπως τὰ πρὸς συντήρησιν, διότι εἶναι γνήσιός Του ὑπηρέτης καὶ φυλάσσει τὴν θείαν Του ἐντολὴν «ζητεῖτε δὲ πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην Αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν» (Ματθ. ς', 33).

4. Εἰς αὐτὸν λοιπόν, ὁ ὁποῖος τόσον προθύμως ἀφιερώθη ἐξ ὁλοκλήρου εἰς τὴν λατρείαν τοῦ Θεοῦ, ὅλος ὁ κόσμος τοῦ τὰ προσφέρει

ἕτοιμα καὶ πειθαρχεῖ εἰς τὸ θέλημά του, καὶ ὡς δοῦλος ἐκτελεῖ τὰς ἐντολάς του, ὑπακούων ὡς πρὸς δεσπότην του.

5. Εἶναι δὲ πρέπον ὁλόκληρος ἡ κτίσις νὰ ὑπηρετῇ αὐτόν, διὰ νὰ μὴ καθυστερήσῃ ἀπὸ τὴν ἁγίαν του ἐνασχόλησιν, τὴν συνεχῆ ἐνώπιον τοῦ Θεοῦ παρουσίαν, τὴν διαρκῆ μετὰ τοῦ Θεοῦ ἐπικοινωνίαν καὶ ἀσυγκράτητον πρὸς Αὐτὸν ροπήν. Ἀπασχολούμενος ὁ ἄνθρωπος αὐτὸς μὲ τὴν χωρὶς διαλείμματα ἁγίαν καὶ ὑψηλὴν αὐτὴν ἐπιμέλειαν, καὶ ἀπορροφώμενος ἐξ αὐτῆς τῆς θείας ἐνασχολήσεως, δὲν συγχωρεῖ εἰς τὸν ἑαυτόν του νὰ φροντίζῃ διὰ τίποτε ἄλλο. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἡ φύσις, ὡς θεραπαινὶς τοῦ κοινοῦ τῶν ὅλων Δεσπότου, ἐκτελεῖ τὰ προστάγματά Του καὶ χορηγεῖ εἰς τὸν ἐκλεκτόν Του δοῦλον ὅλα τὰ ἀπαραίτητα διὰ τὴν συντήρησιν, χωρὶς αὐτὸς νὰ κοπιάζῃ καὶ νὰ μεριμνᾷ. Ὁ Δεσπότης καὶ Κύριος τῶν ὅλων φροντίζει διὰ μέσου τῆς φύσεως δι' ὅλους τοὺς ἐκλεκτούς του δούλους, ὅπως τρέφει καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, χωρὶς αὐτὰ νὰ φροντίζουν καὶ νὰ κοπιάζουν.

6. Ἡ ἐλπὶς λοιπὸν τοῦ ἀνθρώπου αὐτοῦ, ποὺ ἐγκατέλειψε τὰ πάντα διὰ τὸν Θεὸν καὶ τὴν ἀγάπην Του, εἶναι καλή, χωρὶς παραλογισμοὺς καὶ εἶναι ἀδύνατον νὰ μὴ ἐπιτύχῃ τῶν προσδοκωμένων ἀγαθῶν ὁ τοιοῦτος ἄνθρωπος.

7. Ἐκτὸς ὅμως τοῦ ἀνθρώπου αὐτοῦ τοῦ ἀφιερωμένου εἰς τὸν Θεόν, ὑπάρχει καὶ ὁ ἀντίθετος. Εἶναι ἐκεῖνος, ποὺ εἶναι ἀκόμη δεμένος μὲ τὴν γῆν καὶ ἡ σκέψις του εἶναι αἰχμαλωτισμένη ἀπὸ τὴν προσπάθειαν τῶν γηΐνων ἔργων καὶ φροντίδων· ὁ ἄνθρωπος αὐτὸς ἐξακολουθεῖ νὰ τρέφεται, ὅπως ὁ ὄφις, μὲ τὸ χῶμα, δηλαδὴ ἱκανοποιεῖ τὴν διάνοιάν του μὲ ταπεινὰς καὶ χαμαιζήλους σκέψεις. Ἡ καρδία του πλανᾶται ἀσκόπως εἰς ἀπραγματοποιήτους ἐπιθυμίας, αἱ ὁποῖαι καὶ τὸν αἰχμαλωτίζουν, καὶ ὁ ἴδιος ρέπει εὐκόλως εἰς ἄσκοπον καὶ ἐνοχλητικὴν φλυαρίαν. Εὑρίσκεται συνήθως ξαπλωμένος ἀπὸ ὀκνηρίαν καὶ τεντώνων τοὺς πόδας του λέγει· «Πιστεύω ὅτι ὁ Θεὸς θὰ μοῦ χορηγήσῃ τὰ ἀπαραίτητα».

Αὐτὴ ἡ ἐλπὶς εἶναι ψευδής, διότι γεννᾶται εἰς ἄνθρωπον στερούμενον πνευματικότητος, ἀργόσχολον καὶ ὀκνηρόν. Δι' αὐτὸ καὶ ὁ ἄνθρωπος αὐτὸς θὰ ἀκούσῃ ἀπὸ τὸν Θεὸν αὐτά, ποὺ ὁ Θεὸς πληροφορεῖ διὰ τοῦ Προφήτου Ἡσαΐου: «Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ» (Ἡσ. κθ', 13—14). Καὶ ἀλλαχοῦ ὁ αὐτὸς λέγει· «Καὶ γνῶναι μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς», (Ἡσ. νη', 2). Ἀλλὰ καὶ ὁ Ἀδελφόθεος Ἰάκωβος θὰ εἴπῃ πρὸς τὸν ἄνθρωπον αὐτόν· «Σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίττουσιν» (Ἰακ. β', 19)· ἀλλ' ἡ πίστις ἔχει ἀνάγκην νὰ ἐκδηλωθῇ μὲ ἔργα· ἐὰν δὲ δὲν ἐκδηλώνεται μὲ ἔργα, τότε ἡ πίστις αὐτὴ εἶναι νεκρά. «Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν» (Ἰάκ. β', 20).

8. Μὴ πλανᾶσαι, ἀπερίσκεπτε ἄνθρωπε, διότι πρέπει νὰ γνωρίζῃς τὰ ἑξῆς: Πρέπει νὰ προηγηθῇ ὁ κόπος καὶ ὁ ἱδρὼς διὰ τὸν Θεόν, ποὺ προέρχεται ἀπὸ τὴν καλλιέργειαν τῶν ἀρετῶν, καὶ μετὰ νὰ ἀκολουθήσῃ ἡ γνησία καὶ ἀληθὴς πρὸς τὸν Θεὸν ἐλπίς. Καὶ σὺ λοιπόν, ἐὰν πράγματι πιστεύῃς, ὅτι ὁ Θεὸς φροντίζει διὰ τὰ πλάσματά Του καὶ εἶναι δυνατὸς εἰς ὅλα, πρέπει νὰ ἐμφανίσῃς ἐργασίαν πρὸς τὸν Θεόν, ποὺ νὰ ἁρμόζῃ εἰς τὴν πίστιν αὐτήν. Τότε δέ, ἐφ' ὅσον θὰ ἐργάζεσαι διὰ τὸν Θεόν, θὰ ἔχῃς τὴν μοναδικὴν εὐκαιρίαν ὁ ἴδιος ὁ Θεὸς νὰ ἀκούῃ εὐχαρίστως τὰ αἰτήματά σου καὶ χωρὶς σὺ νὰ κοπιάζῃς, νὰ σοῦ χορηγῇ ὅσα ἔχεις ἀνάγκην· ἐκτὸς δὲ τῆς φροντίδος αὐτῆς θὰ σὲ προφυλάσσῃ ὁ Θεὸς ἀπὸ ὅλους τοὺς κινδύνους, τὰς ζημίας καὶ τὰς θλίψεις, εἰς τὰς ὁποίας ὑπόκειται ὁ ἄνθρωπος.

9. Ὅλους τοὺς ἄλλους ἀνθρώπους ὁ Θεὸς διέταξε μὲ διάκρισιν καὶ προσοχὴν νὰ τακτοποιοῦν τὰς ὑποθέσεις των καὶ νὰ ἀντιμετωπίζουν τὴν ζωὴν μὲ τὴν ἱκανότητα τῆς γνώσεως, τὴν ὁποίαν ἔλαβον ἀπὸ τὸν Θεόν, διασφαλίζων αὐτοὺς καὶ διὰ τῆς Θείας Προνοίας.

10. Ἐκεῖνος ὅμως, ποὺ ἀφιέρωσεν ὁλόκληρον τὴν ζωήν του εἰς τὸν Θεὸν καὶ ἀποκλειστικῶς φροντίζει πῶς νὰ εὐχαριστήσῃ τὸν Θεόν, δὲν ἔχει ἀνάγκην νὰ τακτοποιήσῃ τὴν ζωήν του μὲ τὴν γνῶσιν καὶ τὴν σοφίαν, ποὺ ἐδώρησεν εἰς πάντα ἄνθρωπον ὁ Θεός. Ὁ ἄνθρωπος αὐτὸς ἀντὶ τῶν πνευματικῶν αὐτῶν ὅπλων, ποὺ διαθέτουν ὅλοι, ἔχει τὴν ἀκλόνητον καὶ τὴν ἀκράδαντον πρὸς τὸν Θεὸν πίστιν, μὲ τὴν δύναμιν τῆς ὁποίας κατακρημνίζεται κάθε ἔπαρσις, ποὺ ἀντιστέκεται εἰς τὴν ἐσωτερικὴν γνῶσιν τοῦ Θεοῦ, τὴν θείαν ἐνόρασιν. Ὁ ἄνθρωπος αὐτός, ποὺ ἡ καρδία του κατελήφθη ἐξ ὁλοκλήρου ἀπὸ τὴν τοιαύτην πρὸς τὸν Θεὸν πίστιν, δὲν ἐνοχλεῖται πλέον ἀπὸ ἀνθρωπίνους λογισμούς [1], ποὺ εἶναι τελείως φυσικοὶ διὰ τοὺς ἄλλους, διότι ἀνέβη ὑψηλότερον τῆς ἀνθρωπίνης φύσεως καὶ προσεκολλήθη εἰς τὸν Θεόν, διὰ τῆς ἀδιστάκτου καὶ ἀκλονήτου αὐτῆς πίστεως. Μὲ τὴν δύναμιν τῆς πίστεως αὐτῆς ἀποτολμᾷ κάθε τι, ποὺ θεωρεῖται ὡς ἐκ τῆς φύσεώς του ἀκατόρθωτον, ὄχι διὰ νὰ πειράξῃ τὸν Κύριον, ἀλλὰ διότι στηρίζει τὸ θάρρος του εἰς Αὐτὸν καὶ ἔχει ἐξοπλισθῇ μὲ τὴν ἀκαταγώνιστον δύναμιν τοῦ Παναγίου Πνεύματος.

11. Διὰ τὸν εὐλογημένον καὶ μακάριον αὐτὸν ἄνθρωπον ἰσχύουν πραγματικῶς οἱ λόγοι τοῦ Θεοῦ· «Μετ' αὐτοῦ εἰμι ἐν θλίψει· καὶ ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν· μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου» (Ψαλμ. ϟ', 15—16).

---

1) «Λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ» (Β. Κορινθ. ι', 5).

ὙΠΟΘΕΣΙΣ ΚΓ΄

Ὅτι μηδὲ τὴν τυχοῦσαν ἐντολὴν δεῖ προδιδόναι διά τινα σωματικὴν χρείαν, κἂν κατεπείγουσα ᾖ, ἢ διὰ φόβον ἀνθρώπινον.

Δὲν πρέπει ὁ ἄνθρωπος νὰ παραβαίνῃ καὶ τὴν παραμικροτέραν ἐντολὴν διὰ σωματικὴν ἀνάγκην, ὅσον σοβαρὰ καὶ νὰ εἶναι, ἢ διὰ φόβον ἀνθρώπινον.

Α.΄ Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΤΟΥ ΠΟΛΛΟΥ ΠΛΗΘΟΥΣ τὴν περσικὴν χεῖρα διαφυγόντος καὶ εἰς τὴν Ἀλεξάνδρειαν καταπεφευγότος, τῶν τροφῶν σφόδρα σπανιζουσῶν (τῷ μάλιστα κατ' ἐκεῖνο καιροῦ· μηδὲ τὸν Νεῖλον, ὥς περ σύνηθες, ποιήσασθαι τὴν ἀνάβασιν), καὶ τῶν τῆς Ἐκκλησίας χρημάτων ἀναλωθέντων, ἀπηναγκάσθη ὁ Μέγας Ἰωάννης χιλίας χρυσοῦ λίτρας παρά τινων ἐκδανείσασθαι.


2. Ὡς δὲ καὶ ταύτας ἀνήλωσε, πολλή τις ἐκλόνει αὐτὸν φροντὶς καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐδεῖτο πόρον ἐν ἀπόροις ποιήσασθαι, ἀλλὰ καὶ οὕτως εἰς ἔσχατον ἀπορίας ἐληλακώς, οὐχ ἧττον ὤφθη τῆς συμφορᾶς. οὐ τοὺς θείους νόμους καὶ τὰς ἱερὰς ᾔσχυνε διατάξεις, οὐδὲ καθυφῆκέ τι τοῦ μὴ πρὸς ἀκρίβειαν ἰθύνειν τὸ πιστευθὲν ποίμνιον.

3. Ταύτῃ τοι καὶ κληρικός τις τῶν δευτέροις γάμοις ὡμιληκότων, πλούτου περιττῶς ἔχων, τοῦ τῶν Διακόνων βαθμοῦ ἐφιέμενος, τὴν στένωσιν ταύτην τοῦ Πατριάρχου μεμαθηκώς, καὶ τὸν καιρὸν ἁρπάσας ὡς ἐπιτήδειον, εἴ γε χρήμασι τὴν ἔνδειαν θεραπεύσας, αὐτὸς ἐπιτύχοι τοῦ ποθουμένου, χάρτην ἐγχειρίζει τῷ μακαρίῳ, οὕτω πως ἔχοντα· τὴν συνέχουσαν στένωσιν τὴν μεγαλόδωρον δεξιὰν τοῦ ἐμοῦ Δεσπότου καταμαθὼν οὐ δέον ἡγησάμην ἐμὲ μὲν ἐν ἀπολαύσει διάγειν καὶ ἀφθονίᾳ, τὸν Δεσπότην δὲ τὸν ἐμὸν ἐν στενώσει διατελεῖν· εἰσὶ τοίνυν παρ' ἐμοὶ σίτου μὲν χιλιάδες πολλαί, χρυσίου δὲ λίτραι ἑκατὸν καὶ πεντήκοντα.

4. Ταῦτα δέομαι δοθῆναι παρὰ σοῦ τῷ Χριστῷ, εἰ μόνον ἄξιος κριθείην τῆς Αὐτοῦ διακονίας, διὰ τῆς σῆς ἁγίας χειροτονίας· εἴρηται γάρ που τοιοῦτον παρὰ τοῦ Ἀποστόλου λεχθέν, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.

5. Μεταστέλλεται τοίνυν ὁ Πατριάρχης ἰδίᾳ τὸν ἄνδρα, αἰσχύνειν τοῦτον ἐπὶ πολλῶν μὴ βουλόμενος, καί φησι πρὸς αὐτόν· ἡ μὲν προσαγωγή σου, τέκνον, πολλὴ. καὶ τῷ νῦν καιρῷ ἀναγκαία, ἐπίμωμος δέ, καὶ δι' αὐτὸ τοῦτο καὶ ἀπαράδεκτος

6. Οὐκ ἀγνοεῖς γὰρ ὅτι τὰ κατὰ νόμον προσαγόμενα πρόβατα, εἰ μὴ ἄμωμα ἦν, εἰ καὶ μεγάλα ἐτύγχανεν ὄντα, εἰς θυσίαν ἀπρόσδεκτα ἦν, καθ' ἣν αἰτίαν οὐδὲ



Ὁ ἍΓΙΟΣ
ἸΩ Ὁ ἘΛΕΗΜΩΝ

τὰ τοῦ Κάϊν τῷ Θεῷ προσηνέχθη; τὸ δὲ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσιν γίνεσθαι, τοῦτο περὶ τοῦ παλαιοῦ νόμου εἰρῆσθαι τῷ Ἀποστόλῳ γινώσκομεν, ἄλλον καὶ κατὰ νοῦν· ἐπεί, τί σοι δοκεῖ τὸ παρὰ τῷ Ἀδελφοθέῳ Ἰακώβῳ, ἔχει δὲ οὕτω· τὸν πάντα τὸν νόμον τελέσαντα, πταίσαντα δὲ ἐν ἑνί, ἔνοχον εἶναι πάντων. Τοὺς δὲ ἀδελφοὺς ἡμῶν τοὺς πένητας κἂν ἡμεῖς ἀπορήσαιμεν, ἀλλ' ὅ γε θρέψας εἰς δεῦρο Θεός, αὐτὸς περὶ τούτων καὶ τοῦ λοιποῦ φροντιεῖ, μόνον εἰ ἡμεῖς τὰς ἐντολὰς Αὐτοῦ εἴημεν ἀκινήτους διατηροῦντες.

7. Τί γὰρ ἀδύνατον ἢ δυσχερὲς τῷ τοὺς πέντε ἄρτους ἐν ἐρήμῳ ποτὲ πληθύναντι, καὶ τοὺς δέκα μοδίους ἐν τῷ σιῶνι τῷ ἐμῷ εὐλογήσαντι εἰς πολὺ πλῆθος αὐξῆσαι; διό σοι, τέκνον, τὸ ἐν ταῖς Πράξεσι πρὸς Σίμωνα εἰρημένον ἁρμόσει, ὅτι οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τούτῳ τῷ μέρει.

8 Οὔπω τὸν ἑαυτοῦ οἶκον ἐκεῖνος ἀποπεμφθεὶς ἄπρακτος ὑπῆρχε καταλαβών, καὶ μηνύεται τῷ μεγάλῳ, δύο τῶν τῆς Ἐκκλησίας πλοίων τῷ λιμένι κατάραι, σίτου πολλὰς χιλιάδας ἐκ Σικελίας ἄρτι διακομίζοντα, ὅπερ ἀκούσας ἐκεῖνος, εἰς γόνατα πεσών, ηὐχαρίστει τῷ Θεῷ λέγων· ὅτι οἱ ἐκζητοῦντές Σε, Κύριε, καὶ τὰς ἐντολάς Σου φυλάττοντες, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ· διό, μεγαλύνω τὸ Πανάγιον ὄνομά Σου, ὅτι μὴ συνεχώρησας τῷ δούλῳ σου χρημάτων ὤνιον τὴν χάριν Σου θέσθαι.

9. Οὕτως ἐν στενώσει πλατυνθεὶς ὁ ἀοίδιμος, οὐ προήκατο τῆς ἀναγκαίας χρείας τὴν τοῦ κανόνος ἀκρίβειαν.

Ἑρμηνεία

ΟΤΑΝ πλῆθος πολὺ προσφύγων διαφυγὸν τὴν περσικὴν αἰχμαλωσίαν κατέφυγεν εἰς τὴν Ἀλεξάνδρειαν, τότε παρουσιάσθη καὶ μεγάλη ἔλλειψις τροφίμων, διότι, κατὰ σύμπτωσιν, τὸ ἔτος ἐκεῖνο δὲν ἀνυψώθη ἡ στάθμη τῶν ὑδάτων τοῦ Νείλου, ὥστε νὰ ὑπάρξη ἐσοδεία (1). Εἰς τὴν κατάστασιν αὐτὴν ποὺ ἐδημιουργήθη, ὁ Μέγας Πατριάρχης, ὁ Ἰωάννης ὁ Ἐλεήμων, εὑρέθη εἰς πολλὴν δύσκολον θέσιν, προκειμένου νὰ βοηθήση τοὺς πρόσφυγας καὶ τοὺς πεινῶντας. Ἐπειδὴ δὲ ἐξώδευσε τὰ χρήματα τῆς Ἐκκλησίας εἰς τὴν φιλανθρωπικήν του αὐτὴν προσπάθειαν, ἠναγκάσθη νὰ δανεισθῆ ἀπὸ μερικοὺς χιλίας λίτρας χρυσοῦ διὰ τὸ ἔργον τῆς προνοίας.

2. Ὅταν ἐξώδευσε καὶ αὐτά, ἤρχισε νὰ ἀγωνιᾷ ἀπὸ τὴν εὐθύνην τῆς φροντίδος. Παρεκάλει τὸν φιλάνθρωπον Θεὸν νὰ τοῦ ἐξασφαλίσῃ διέξοδον ἀπὸ τὸ ἀδιέξοδον αὐτὸ εἰς τὸ ὁποῖον περιῆλθε. Παρ' ὅλον δὲ ποὺ ἔφθασεν εἰς τοιαύτην κρίσιμον κατάστασιν διὰ τὴν ἐξεύρεσιν τῶν ἀναγκαίων, ἐν τούτοις δὲν ἐφάνη κατώτερος τῆς συμφορᾶς οὔτε κατήσχυνε τὰς ἱερὰς διατάξεις καὶ τοὺς θείους νόμους διὰ τῆς παραβάσεως αὐτῶν, ἀλλ' οὔτε καὶ παρημέλησε τίποτε ἀπὸ ὅσα εἶναι ἀπαραίτητα διὰ τὴν ἀκριβῆ διαποίμανσιν τοῦ ἐμπιστευθέντος ποιμνίου.

3. Τὸ ὑψηλὸν αὐτὸ φρόνημα τοῦ Ἁγίου Πατριάρχου ἀποδεικνύεται ἀπὸ τὸ ἑξῆς περιστατικόν: Ἕνας κατώτερος κληρικὸς (ἴσως Ἀναγνώ-

1) Εἰς τὴν Αἴγυπτον, ὅπου αἱ βροχαὶ εἶναι σπανιώταται, οἱ καλλιεργούμενοι ἀγροὶ ποτίζονται ἐκ τοῦ ποταμοῦ Νείλου, ὅταν τὰ ὕδατα αὐτοῦ ἀνυψωθοῦν καὶ ἐκχειλίζουν.

στης), ὅστις εἶχεν ἔλθει εἰς δεύτερον γάμον, ἐπεθύμει νὰ λάβῃ τὸν βαθμὸν τοῦ Διακόνου. Αὐτὸς λοιπόν, ἐπειδὴ εἶχεν εἰς τὴν διάθεσίν του πολλὰ χρήματα, μόλις ἐπληροφορήθη τὴν στενοχωρίαν αὐτὴν τοῦ Πατριάρχου, ἐσκέφθη νὰ ἐκμεταλλευθῇ τὴν δυσκολίαν αὐτὴν διὰ νὰ ἐπιτύχῃ τὸ ποθούμενον, ἐπιλύων διὰ τῶν χρημάτων του τὸ πρόβλημα τῆς οἰκονομικῆς ἀνεχείας τοῦ Πατριάρχου. Πρὸς τοῦτο ἀποστέλλει εἰς τὸν Πατριάρχην ἐπιστολήν, ἔχουσαν περίπου ὡς ἑξῆς· «Μόλις ἐπληροφορήθην, ὅτι ὁ Δεσπότης μου στενοχωρεῖται ἀπὸ ἔλλειψιν ἀγαθῶν καὶ δὲν δύναται ἡ πλουσιοπάροχος χείρ του νὰ ἐργάζεται τὸ καλόν, ἐσκέφθην, ὅτι δὲν εἶναι σωστὸν ἐγὼ μὲν νὰ περνῶ μὲ ἀφθονίαν, ὁ δὲ Δεσπότης μου νὰ ὑποφέρῃ. Ἔχω εἰς τὴν διάθεσίν μου πολλὰς χιλιάδας ὀκάδας σίτου καὶ χρυσάφι ἑκατὸν πενῆντα λίτρας».

4. Αὐτὰ τὰ ἀγαθὰ παρακαλῶ νὰ δοθοῦν ἀπὸ Σὲ εἰς τὸν Χριστόν, ἐφ' ὅσον κριθῶ ἄξιος νὰ τὸν ὑπηρετήσω χειροτονούμενος ἀπὸ Σὲ Διάκονος. Ἄλλωστε καὶ ὁ Ἀπόστολος δικαιολογεῖ μίαν τοιαύτην παρέκκλισιν διὰ τοῦ λόγου του· «Ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται» (Ἑβρ. ζ', 12).

5. Μόλις ἔλαβεν αὐτὴν τὴν ἐπιστολὴν ὁ Πατριάρχης στέλλει καὶ καλεῖ πλησίον του κατ' ἰδίαν τὸν ἄνδρα, διότι δὲν ἤθελε νὰ τὸν καταισχύνῃ ἐνώπιον πολλῶν ἄλλων. Ἀφοῦ συνηντήθησαν τοῦ λέγει· «Τέκνον μου, ἡ προσφορά σου εἶναι ἀρκετὰ ὑπολογίσιμος διὰ τὴν ποσότητά της καὶ διὰ τοῦτο ἀπολύτως ἀναγκαία εἰς τὴν παροῦσαν περίστασιν· ἡ πρόθεσίς σου ὅμως καὶ τὰ ἐλατήριά σου τὴν καθιστοῦν ἀξιοκατάκριτον καὶ δι' αὐτὸ δὲν δύναται νὰ γίνῃ ἀποδεκτή.

6. Θὰ πρέπει νὰ ἔχῃς ὑπ' ὄψιν σου, ὅτι τὰ προσφερόμενα πρὸς θυσίαν πρόβατα, καὶ ἐὰν ἀκόμη ἦσαν παχέα καὶ εὔτραφῆ, ἀπερρίπτοντο ἀπὸ τὸν Μωσαϊκὸν νόμον, ἐφ' ὅσον δὲν ἦσαν καθαρὰ καὶ ἄμωμα (1). Ἄλλωστε καὶ τὴν θυσίαν τοῦ Κάϊν δὲν τὴν ἐδέχθη ὁ Θεός, διότι οἱ σκοποί του καὶ ἡ πρόθεσίς του δὲν ἦσαν ἁγνοὶ καὶ καθαροί. Τὸ ἀποστολικὸν δὲ χωρίον, ποὺ ἐπεκαλέσθης, ὅτι δηλαδὴ «ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται» (Ἑβρ. ζ', 12), εἶναι γνωστὸν ὅτι ὑπὸ τοῦ ἰδίου τοῦ Ἀποστόλου ἀναφέρεται εἰς τὸν παλαιὸν νόμον καὶ εἶναι ἄλλη ἡ σημασία του. Ἀντιθέτως εἰς τὴν ὑπόθεσίν σου ἐφαρμόζεται αὐτό, ποὺ εἶπεν ὁ ἀδελφόθεος Ἰάκωβος· «Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος» (Ἰάκ. β', 10)· ὅσον ἀφορᾷ δὲ τοὺς πτωχοὺς καὶ δυστυχεῖς ἀδελφούς μας καὶ ἐὰν ἀκόμη ἡμεῖς, λόγῳ ἀκατανικήτου ἀδιεξόδου, δὲν δυνηθῶμεν νὰ τοὺς συντηρήσωμεν, ὁ Θεός, ὅστις μέχρι σήμερον τοὺς διέθρεψε, θὰ φροντίσῃ δι' αὐτοὺς καὶ καθ' ὅλας τὰς ἡμέρας· ἀρκεῖ ἡμεῖς νὰ σεβασθῶμεν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ νὰ μὴ τὰς μετακινήσωμεν ἐξ οἱασδήποτε αἰτίας.

---

1) «Καὶ ἄνθρωπος ὃς ἂν προσενέγκῃ θυσίαν... ἢ ἐκ τῶν προβάτων, ἄμωμον ἔσται εἰσδεκτόν, πᾶς μῶμος οὐκ ἔσται ἐν αὐτῷ...» (Λευϊτικὸν κβ', 21).

7. Διότι μήπως δὲν δύναται ἢ μήπως δυσκολεύεται Αὐτός, ποὺ ἐπολλαπλασίασεν εἰς τὴν ἔρημον τοὺς πέντε ἄρτους, ὥστε νὰ χορτάσουν ἀρκεταὶ χιλιάδες ἀνθρώπων, δὲν δύναται, λέγω, νὰ εὐλογήσῃ καὶ τοὺς δέκα μοδίους σίτου, ποὺ ἔχω εἰς τὴν ἀποθήκην μου καὶ νὰ πληθύνῃ τὸν σῖτον; Δι' αὐτό, τέκνον μου, θὰ ἐφαρμοσθῇ εἰς σὲ αὐτὸ ποὺ ἀναφέρουν αἱ Πράξεις τῶν Ἁγίων Ἀποστόλων διὰ τὸν Σίμωνα· «Οὐκ ἔστι σοι μερίς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ» (Πράξ. η', 21).

8. Δὲν εἶχεν ἀκόμη προφθάσει νὰ φθάσῃ εἰς τὴν οἰκίαν του ὁ τοιουτοτρόπως ἀποπεμφθεὶς ὑπὸ τοῦ Πατριάρχου καὶ λαμβάνει ὁ μέγας οὗτος Ἅγιος τὴν ἑξῆς εἴδησιν: δύο πλοῖα τῆς Ἐκκλησίας προσωρμίσθησαν εἰς τὸν λιμένα μεταφέροντα ἐκ Σικελίας πολλὰς χιλιάδας λίτρας σίτου. Μόλις ἤκουσε τὴν εἴδησιν αὐτὴν ὁ Πατριάρχης ἐγονάτισε καὶ εὐχαριστοῦσε τὸν Θεὸν λέγων· «Ἐκεῖνοι, ποὺ Σὲ ζητοῦν, Κύριε, καὶ φυλάσσουν τὰς ἐντολάς Σου δὲν θὰ ζημιωθοῦν τίποτε, οὔτε θὰ στερηθοῦν τὰ ἀπαραίτητα ἀγαθὰ (1). Μεγαλύνω τὸ πανάγιον ὄνομά Σου, Κύριέ μου, διότι δὲν ἐπέτρεψες εἰς τὸν δοῦλόν Σου νὰ μεταβάλῃ τὴν χάριν Σου εἰς ἐμπόρευμα».

9. Τοιουτοτρόπως ἀνεκουφίσθη ἀπὸ τὴν στενοχωρίαν του ὁ ἀοίδιμος, διότι δὲν ἐπροτίμησε νὰ θυσιάσῃ τὴν ἀκρίβειαν τοῦ κανόνος διὰ τὰς ὑλικὰς ἀνάγκας.

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ἈΔΕΛΦΕ, νῆφε ἀεί, καὶ πρόσεχε σεαυτῷ, καὶ μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, μὴ μικρόν, μὴ μέγα, μὴ δυνάστην· οὐδεὶς γὰρ δυνήσεταί σε ἐξελέσθαι ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου· ἄκουε τοῦ λέγοντος· τί γὰρ ὠφεληθήσεται ἄνθρωπος, ὅταν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;

2. Μὴ οὖν ἀπολέσῃς τὴν πρὸς Θεὸν δόξαν, διὰ τιμὴν ἢ δόξαν ἀνθρωπίνην, ἢ διὰ βρῶμα ἢ διὰ πόμα ἢ ἔνδυμα ἢ ἄλλο τι τῶν ἀναγκαίων· ταῦτα μὲν γὰρ πάντα εἰς φθορὰν χωροῦσιν, αἱ δὲ πράξεις ἑκάστου, εἴτε ἀγαθαί, εἴτε φαῦλαι, γράφονται καὶ εἰς τὸν αἰῶνα μένουσιν ἀνεξάλειπτοι.

3. Τὰ ἄνω φρόνει, μὴ τὰ ἐπὶ γῆς, ἵνα ἐπιτύχῃς τῶν ἐπαγγελιῶν τοῦ Πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, καὶ ἀπολαύσῃς τῆς δόξης τῶν Ἁγίων τῶν εὐαρεστησάντων Αὐτῷ.

Ἑρμηνεία

ἈΔΕΛΦΕ ΜΟΥ, νὰ εἶσαι πάντοτε νηφάλιος καὶ νὰ προσέχῃς τὸν ἑαυτόν σου. Ποτὲ νὰ μὴ ἐπηρεάσῃ τὴν ψυχήν σου ἀνθρώπου πρόσωπον, εἴτε μικροῦ, κατὰ τὴν κοινωνικὴν θέσιν, εἴτε μεγάλου, εἴτε δυνάστου. Κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν θὰ ἠμπορέσῃ νὰ σὲ γλυτώσῃ ἀπὸ τὸ ἄσβεστον πῦρ τῆς κολάσεως. Πρόσεξε τί λέγει

1) «Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ» (Ψαλμ. λγ', 11).

τὸ Πνεῦμα τοῦ Θεοῦ· «Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;» (Ματθ. ιϛ', 26).

2. Μὴ χάσῃς λοιπὸν τὴν δόξαν τοῦ Θεοῦ, ἐξ αἰτίας τῆς προσκαίρου δόξης καὶ τιμῆς τῶν ἀνθρώπων, διὰ φαγητόν, ἢ ποτόν, ἢ ἔνδυμα ἢ ὅ,τι δήποτε ἄλλο ἀπὸ τὰ ὑλικὰ πράγματα. Ὅλα αὐτὰ τὰ ὑλικὰ πράγματα φθείρονται καὶ καταστρέφονται· αἱ πράξεις ὅμως ἑνὸς ἑκάστου, καὶ αἱ ἀγαθαὶ καὶ αἱ πονηραί, γράφονται καὶ μένουν παντοτεινά, χωρὶς νὰ σβύσουν.

3. Ἀδελφέ μου, ὁ νοῦς σου πρὸς τὰ ἐπουράνια νὰ στρέφεται καὶ αὐτὰ νὰ σκέπτεται· ὄχι τὰ ἐπίγεια, ποὺ εἶναι πρόσκαιρα, διὰ νὰ ἐπιτύχῃς ὅσα ὑπεσχέθη ὁ ἐπουράνιος Πατὴρ εἰς τὰ τέκνα του καὶ ἀπολαύσῃς τὴν δόξαν, ποὺ ἀπολαμβάνουν ὅσοι εὐηρέστησαν τὸν Κύριον, δηλαδὴ οἱ Ἅγιοι.



ΥΠΟΘΕΣΙΣ ΚΔ΄.

Ὅτι δεῖ τὸν πιστὸν κἄν ποτε καὶ θορύβοις ἐμπέσῃ, μὴ τοῖς ἔξωθεν συσχηματίζεσθαι πράγμασιν, ἀλλὰ πρὸς τὸν Θεὸν ἀποβλέπειν, καὶ τὸ ἐκείνῳ ἀρέσκον ποιεῖν.

Πρέπει ὁ πιστός, καὶ ἐὰν ἀκόμη περιπέσῃ εἰς θορύβους, νὰ μὴ μεταβληθῇ ὑπὸ τῶν ἐξωτερικῶν συνθηκῶν, ἀλλὰ πάντοτε πρὸς τὸν Θεὸν νὰ ἀποβλέπῃ καὶ νὰ κάμῃ ἐκεῖνο, πού ἀρέσει εἰς Αὐτόν.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Σάββα

ΤΟΥ ΟΣΙΟΥ Πατρὸς ἡμῶν Σάββα τῇ Κωνσταντινουπόλει ἐπιδεδημηκότος τὸ δεύτερον, γνώμῃ καὶ δεήσει Πέτρου τοῦ τηνικαῦτα Ἱεροσολύμων Πατριάρχου, ἐπὶ τῷ διαπρεσβεύσασθαι πρὸς τὸν βασιλέα καὶ λῦσαι τὴν κατὰ τῶν ἐν Παλαιστίνῃ Χριστιανῶν αὐτοῦ ἀγανάκτησιν, καὶ ἀπαλλάξαι αὐτοὺς τῶν ἐπηρτημένων κινδύνων, ὧν ὑφίστασθαι ἔμελλον, συκοφαντηθέντες ὡς αἴτιοι γεγονότες τῆς τῶν Σαμαρειτῶν στάσεως, καὶ ἀποστασίας.

2. Τούτου οὖν τῇ πόλει ἐγγίσαντος, καὶ λαμπρῶς λίαν ὑπὸ τοῦ βασιλέως Ἰουστινιανοῦ εἰσδεχθέντος, καὶ γὰρ ἐπειδὴ πόῤῥωθεν ἔτι προϊόντα διέγνω ὁ βασιλεύς, τῆς καθέδρας, ὡς εἶχεν, ἐξαναστάς, εὐλαβῶς ἄγαν τὴν ἱερὰν ἐκείνην κεφαλὴν κατησπάζετο. εἶτα καὶ συγκαθεσθέντος αὐτῷ, ὁ μὲν ἐνεφάνισε τῷ βασιλεῖ δι' ἃ παραγέγονεν, ὁ δὲ βασιλεὺς ἑτοίμως ταῦτα χαρισάμενος τῷ Ἁγίῳ, οὐ μέχρι τούτων ἵστησι τὸ πρόθυμον τῆς ψυχῆς, ἀλλὰ τὴν ἐσχάτην ἐνόμιζεν ὑπομένειν ζημίαν, εἰ μὴ βασιλικῶς αὐτὸν εὐεργετήσει καὶ φιλοτίμως, ἀμέλει καὶ σφοδρῶς ἐπέκειτο, καὶ πρόσοδόν τινα χρημάτων τοῖς ὑπ' αὐτῷ Μοναχοῖς ἐντάξαι.

3. Ὁ δὲ προσόδων μέν, ἔφη, καὶ χρημάτων, ὅσον ἐπὶ ταῖς ἀναγκαίαις χρείαις, Ἐκεῖνος ἡμῖν φροντιστής, ὁ καὶ λαὸν ἐν ἐρήμῳ πλουσίως ἀπειθοῦντα ποτὲ διαθρέψας, καὶ ὕδωρ ἐκ πέτρας ἐξαγαγών, καὶ παρέχων, οὐ τῶν ἀναγκαίων μόνον, ἀλλὰ καὶ τῶν περιττῶν πολλάκις τὴν χορηγίαν.

4. Σοὶ δὲ εἰ μέλει τοσοῦτον, ὦ βασιλεῦ, καὶ χάριτος ἡμετέρας, πάρεισι καὶ ἄλλαι οὐ μικραὶ καὶ ἄξιαι παριδεῖν ἀφορμαί, δι' ὧν ἕξεις τὸ περὶ ἡμᾶς φιλότιμον ἐπιδείξασθαι· καὶ ἑξῆς αἰτεῖται ὁ αὐτὸς κοινωφελεῖς αἰτήσεις τινάς, οἷον τοῖς Παλαιστινοῖς ἀτέλειαν ἐπὶ χρόνον τινὰ χαρίσασθαι, κακῶς ὑπὸ Σαμαρειτῶν παθοῦσι· τοῖς κατὰ προσκύνησιν τοῦ Ζωοποιοῦ Τάφου πρὸς τὴν Ἁγίαν ἀφικνουμένοις Πόλιν οἶκόν τινα εἰς κατάληξίν τε καὶ κατάλυμα ἀνεγεῖραι· παῦσαι τὰς αἱρέσεις τὰς ἔτι διενοχλούσας ταῖς Ἐκκλησίαις, καὶ τοῖς ἑαυτοῦ Μοναστηρίοις φρούριόν τι εἰς καταφυγὴν ἐξ ἐφόδου πολεμίας οἰκοδομῆσαι.

5. Τοιαύτας οὖν πρὸς τὸν βασιλέα τοῦ θείου Σάββα τὰς αἰτήσεις προτείναν-

τος, καθάπερ ἐκ πολλοῦ διψῶν ἐκεῖνος χαρίσασθαι τῷ Ἁγίῳ, γράφων εὐθὺς ἦν, προστάσσων, διατάγματα πανταχοῦ πέμπων, πάντα ποιῶν, ὥστε μὴ ἀναμοναῖς δοθῆναι ταῦτα καὶ χρόνου τριβαῖς, ἵνα μὴ τῶν γινομένων ἡ βραδύτης χαρίτων οὕτω καλῶν ἀμβλύνῃ φιλοτιμίαν.

6. Οὕτως οὖν ἀπασχολουμένου τοῦ βασιλέως περὶ τὰς αὐτοῦ αἰτήσεις, ἅμα Τριβουνιανῷ τῷ κοιαίστωρι, περὶ τὴν καλουμένην Μαγναύραν, σύνεδρον δὲ καὶ τὸν ἄνδρα πεποιημένου, ὡς εἴρηται, ἐκεῖνος ἤδη τῆς τρίτης ὥρας καταλαβούσης, τὸν βασιλέα καταλιπών, ἰδίᾳ που τὰς εἰωθυίας εὐχὰς ἀπεδίδου Θεῷ, τοῖς ἱεροῖς τοῦ Δαβὶδ Ψαλμοῖς προσκείμενος.

7. Ἱερεμίου δὲ τῶν μαθητῶν ἑνὸς προσελθόντος αὐτῷ, καί τι δή ποτε, Πάτερ, εἰπόντος οὕτω σπουδὴν πᾶσαν τοῦ βασιλέως εἰσφέροντος, καὶ περὶ τοῦ πληρῶσαί σου τὰς αἰτήσεις θερμότατα διαπονουμένου, σὺ τοῦτον ἀπολιπών, ἀλλαχοῦ νῦν διάγεις;

8. Ἐκεῖνος ἄγαν ἐλευθερίως ὑπολαβών, οὐδὲν ἀπεικός, ὦ τέκνον, ἔφη, αὐτός τε γάρ, ὃ προσῆκεν αὐτῷ ποιεῖ, καὶ ἡμεῖς πάντως τὸ ἡμῖν ὀφειλόμενον· οὕτως οὐδὲν αὐτὸν τοῦ τῆς χρείας καιροῦ πρὸς ἀγενῆ βλέψαι κολακείαν ἢ ἄλλην τινὰ παρεσκεύαζε δουλοπρέπειαν, ἀλλὰ τῇ προσηκούσῃ πρὸς πάντας ἐκέχρητο συμμετρίᾳ σεμνότητός τε καὶ φιλοσοφίας πολὺν ἐποιεῖτο λόγον.

Ἑρμηνεία.

Ο ΟΣΙΩΤΑΤΟΣ Πατὴρ ἡμῶν Σάββας μετέβη διὰ δευτέραν φορὰν εἰς Κωνσταντινούπολιν, κατόπιν ἀποφάσεως τοῦ τότε Πατριάρχου Ἱεροσολύμων Πέτρου, ὁ ὁποῖος καὶ τὸν παρεκάλεσε νὰ πραγματοποιήσῃ τὸ ταξίδιον αὐτό, διὰ νὰ παρακαλέσῃ θερμῶς τὸν βασιλέα νὰ παύσῃ οὗτος τὴν ἀγανάκτησίν του ἐναντίον τῶν Χριστιανῶν τῆς Παλαιστίνης καὶ νὰ ἀνακαλέσῃ τὰς ἐναντίον αὐτῶν ἀποφασισθείσας τιμωρίας, τὰς ὁποίας ἀφεύκτως θὰ ὑφίσταντο, διότι τοὺς διέβαλον εἰς τὸν αὐτοκράτορα, ὅτι δῆθεν ἐγένοντο αἴτιοι νὰ ἐπαναστατήσουν καὶ ἀποστατήσουν οἱ Σαμαρεῖται.

2. Ὁ βασιλεὺς Ἰουστινιανὸς ὁ Α', μόλις ἐπληροφορήθη τὴν ἄφιξίν του εἰς τὴν Κωνσταντινούπολιν, ἐχάρη καὶ τοῦ ἡτοίμασε λαμπρὰν ὑποδοχὴν εἰς τὸ ἀνάκτορόν του· ὁ σεβασμός του μάλιστα εἰς τὸ πρόσωπον τοῦ Ἀσκητοῦ ἦτο τοιοῦτος, ὥστε ὅταν τὸν ἀντελήφθη νὰ εἰσέρχεται εἰς τὴν αἴθουσαν, ἐσηκώθη ἀπὸ τὸν θρόνον του ἀμέσως καὶ μὲ εὐλάβειαν κατησπάζετο τὴν ἁγίαν κεφαλὴν τοῦ Ὁσίου. Μετά, ἀφοῦ ἐκάθισαν πλησίον ὁ εἷς τοῦ ἄλλου, ὁ Ὅσιος Σάββας ἐξέθεσεν εἰς τὸν αὐτοκράτορα τὸν σκοπὸν τοῦ ταξιδίου του. Ἀφοῦ μετὰ προσοχῆς ἤκουσεν ὁ αὐτοκράτωρ τὸν Ὅσιον μετὰ προθυμίας, χάριν αὐτοῦ, συνεχώρησε τοὺς Χριστιανοὺς τῆς Παλαιστίνης καὶ ἀνεκάλεσε τὰς αὐστηρὰς ἀποφάσεις του. Ἡ προθυμία ὅμως τοῦ αὐτοκράτορος νὰ εὐχαριστήσῃ, ὅσον τὸ δυνατόν, περισσότερον τὸν Ὅσιον δὲν ἱκανοποιήθη μόνον μὲ τὴν συγγνώμην πρὸς τοὺς Χριστιανοὺς τῆς Παλαιστίνης· ἀπ' ἐναντίας ὁ εὐσεβὴς αὐτὸς αὐτοκράτωρ ἐθεώρει ὡς σοβαρὰν ζημίαν τὸ νὰ μὴ εὐεργετήσῃ βασιλικῶς τὸν Ὅσιον καὶ μάλιστα μὲ μεγάλην γενναιοδωρίαν. Ἡ σκέψις αὐτὴ μετ' ἐπιτάσεως τὸν ἀπησχόλει στριφογυρίζουσα εἰς τὴν διάνοιάν του· μεταξὺ δὲ τῶν δωρεῶν, τὰς ὁποίας ἀπεφάσισε νὰ

προσφέρῃ εἰς τὸν Ὅσιον, ἦτο καὶ ἡ ἐξασφάλισις εἰς τοὺς Μοναχοὺς τοῦ Ὁσίου μιᾶς σταθερᾶς χρηματικῆς προσόδου. Ἀνεκοίνωσε λοιπὸν ὁ αὐτοκράτωρ εἰς τὸν Ὅσιον τὰς σκέψεις του καὶ τὸν παρεκάλεσε νὰ δεχθῇ τὴν προσφοράν του.

3. Ὁ Ὅσιος, χωρὶς νὰ θαμβωθῇ ἀπὸ τὴν βασιλικὴν αὐτὴν τιμὴν καὶ γενναιοδωρίαν, ἀπήντησε μὲ εὐγένειαν πρὸς τὸν αὐτοκράτορα:

— Διὰ τὴν ἐξεύρεσιν ὅσων πραγμάτων εἶναι ἀναγκαῖα πρὸς ἀντιμετώπισιν τῶν διαφόρων ἀναγκῶν μας, φροντίζει Ἐκεῖνος, ποὺ διέθρεψε κάποτε τὸν ἀπειθῆ καὶ σκληροτράχηλον ἑβραϊκὸν λαὸν εἰς τὴν ἔρημον καὶ τοῦ ἐξησφάλισεν ὄχι μόνον τὰ ἀπολύτως ἀπαραίτητα, ἀναβλύσας ὕδωρ ἐκ πέτρας [1], ἀλλὰ καὶ μερικὰ πράγματα ἐντελῶς δευτερεύοντα.

4. Εἰς σὲ λοιπόν, βασιλεῦ, ἐφ' ὅσον ἡ καρδία σου διαφλέγεται ὑπὸ ζωηρᾶς ἐπιθυμίας νὰ μᾶς εὐχαριστήσῃς, ὑπάρχει καὶ ἄλλη δυνατότης, ἀξιόλογος καὶ οὐχὶ εὐκαταφρόνητος, νὰ ἐπιδείξῃς ἀπέναντι ἡμῶν τὴν εὐγενικήν σου φιλοτιμίαν. Ἄκουσε λοιπὸν πόσα καλὰ ἠμπορεῖ νὰ πραγματοποιήσῃ ἡ βασιλική σου γενναιοδωρία: Νὰ ἐπιβάλῃς, δι' ὡρισμένον χρόνον, ἀτέλειαν ἐκ φόρων εἰς τοὺς κατοίκους τῆς Παλαιστίνης, οἱ ὁποῖοι ἐδεινοπάθησαν ἀπὸ τοὺς Σαμαρείτας. Νὰ ἱδρύσῃς ξενῶνα εἰς τὰ Ἱεροσόλυμα, διὰ νὰ παραμένουν εἰς αὐτὸν ὅσοι φθάνουν εἰς τὴν Ἁγίαν Πόλιν διὰ νὰ προσκυνήσουν τὸν Ζωοποιὸν Τάφον τοῦ Λυτρωτοῦ. Νὰ καταπαύσῃς τὰς αἱρέσεις, ποὺ ἐξακολουθοῦν ἀκόμη νὰ ταράσσουν τὰς ἐπὶ μέρους Ἐκκλησίας. Καί, τέλος, ἐὰν δὲν εἶναι τολμηραὶ καὶ ὑπερβολικαὶ αἱ αἰτήσεις αὐταί, νὰ κατασκευάσῃς φρούρια εἰς τὰ Μοναστήρια μας, ὥστε νὰ καταφεύγουν εἰς αὐτὰ οἱ Μοναχοὶ κατὰ τὴν περίοδον ἐχθρικῶν ἐπιθέσεων.

5. Αὐτὰ τὰ αἰτήματα ὑπέβαλε πρὸς τὸν βασιλέα ὁ Ὅσιος Σάββας. Μόλις ἤκουσε, μετὰ προσοχῆς τὰ αἰτήματα αὐτὰ ὁ βασιλεύς, ἀμέσως σπεύδει νὰ τὰ ἱκανοποιήσῃ, ὡς νὰ ἀνέμενε μοναδικὴν εἰς τὴν ζωήν του εὐκαιρίαν νὰ εὐχαριστήσῃ τοιοῦτον Ἅγιον. Πρὸς τοῦτο ἐκάθισεν εἰς τὸ ἰδιαίτερον γραφεῖον του καὶ ἤρχισε νὰ συντάσσῃ διάφορα διατάγματα, νὰ ἀπευθύνῃ ἐπιστολὰς ὅπου ἔπρεπε, καὶ ἐν γένει νὰ ἐκτελῇ ὅ,τι ἐπεβάλλετο πρὸς ἐκπλήρωσιν τῆς ἐπιθυμίας τοῦ Ἁγίου Σάββα, φοβούμενος μήπως καὶ ἡ παραμικροτέρα ἀναβολὴ καὶ βραδύτης μετριάσουν τὸν φλογερόν του ζῆλον καὶ ἀμβλύνουν τὴν φιλοτιμίαν του νὰ πραγματοποιήσῃ τόσον λαμπρὰς πράξεις πρὸς ἱκανοποίησιν τῶν ἐπιθυμιῶν τοῦ Ἁγίου Σάββα.

6. Διὰ τὰ ζητήματα αὐτὰ ἀπησχολεῖτο ὁ βασιλεὺς μὲ τὸν Τριβωνιανόν, τὸν πρωτοσύμβουλόν του, εἰς τὴν μεγάλην αἴθουσαν τῶν συν-

---

1) «Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν... καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. Ἐποίησε δὲ Μωϋσῆς οὕτως» (Ἐξοδ. ιζ', 5—6).

εδριάσεων. Εἰς τὴν συνεργασίαν βασιλέως καὶ Τριβωνιανοῦ συμμετεῖχε καὶ ὁ Ἅγιος ὡς σύνεδρος δίδων τὴν γνώμην του πῶς ἐπεθύμει νὰ τακτοποιηθοῦν καλλίτερα τὰ ζητήματα αὐτά. Ὅταν ὅμως ἦλθεν ἡ τρίτη ὥρα (1) ἐγκατέλειψε τὸν βασιλέα μόνον ὁ Ὅσιος καὶ ἀπῆλθε κάπου κατ' ἰδίαν διὰ τὸ καθῆκον τῆς συνηθισμένης ἱερᾶς προσευχῆς ἀφοσιούμενος κυρίως εἰς τὴν ἀνάγνωσιν τῶν ψαλμῶν τοῦ Δαβίδ.

7. Ἕνας δὲ ἐκ τῶν μαθητῶν του, ὁ Ἱερεμίας, ἐλθὼν εἰς τὸ ἰδιαίτερον διαμέρισμα, ὅπου προσηύχετο ὁ Ὅσιος Σάββας, τοῦ λέγει κάπως στενοχωρημένος.

— Πάτερ μου, ὁ βασιλεὺς καταβάλλει κάθε φροντίδα νὰ ἱκανοποιήσῃ τὰς ἐπιθυμίας σου καὶ κουράζεται διὰ σέ· διατί λοιπὸν σὺ τὸν ἐγκαταλείπεις μόνον καὶ περνᾷς τώρα τὴν ὥραν σου μακρὰν αὐτοῦ;

8. Εἰς τὴν παρατήρησιν αὐτὴν τοῦ μαθητοῦ του ἀπαντᾷ ὁ Ἅγιος Σάββας χωρὶς περιστροφὰς καὶ δικαιολογίας, ὅπως ἀκριβῶς ᾐσθάνετο.

— Τέκνον μου, τίποτε τὸ περίεργον δὲν συμβαίνει· ἐκεῖνος κάμνει τὸ καθῆκον του· πρέπει λοιπὸν καὶ ἡμεῖς τὸ καθῆκον μας νὰ κάμωμεν.

Οὐδέποτε ἡ ὑλικὴ ἀνάγκη ἠδυνήθη νὰ καταστήσῃ τὸν Ἅγιον αὐτὸν Ἀσκητήν, τὸν Ὅσιον Σάββαν, κόλακα ἢ δουλοπρεπῆ· ἀπ' ἐναντίας συμπεριεφέρετο πρὸς ὅλους μὲ τὴν ἁρμόζουσαν συμμετρίαν, οἱ δὲ λόγοι του ἐκοσμοῦντο ἀπὸ σεμνότητα καὶ ἦσαν φιλοσοφημένοι,

Β'. Ἐν τῷ Γεροντικῷ

ΗΡΩΤΗΘΗ ἡ Ἀμμᾶς Θεοδώρα, ὅτι πῶς δύναταί τις ἐν μέσῳ θορύβων γενόμενος καὶ κοσμικοὺς λόγους ἀκούων ἔχειν τὸν νοῦν μετὰ τοῦ Θεοῦ; καὶ ἀπεκρίθη· ὥς περ ὅταν καθίσῃς εἰς τράπεζαν, ἐν ᾗ εἰσιν ἐδέσματα πολλά, καὶ λαμβάνεις μέν, οὐχ ἡδέως δέ, οὐ κατακρίνῃ, οὕτω καὶ ἐὰν λόγοι κοσμικοὶ κατ' ἀνάγκην εἰς τὰς ἀκοάς σου εἰσέλθωσι, τὴν καρδίαν σου ἔχε πρὸς τὸν Θεόν, καὶ μὴ ἐπιλάθῃ αὐτοῦ· καὶ ταύτῃ τῇ διαθέσει μὴ ἡδέως ἀκούων, οὐ τοσοῦτον βλαβήσῃ.

2. Εἶπε Γέρων· ἡ μέλισσα ὅπου ὑπάγει, μέλι ποιεῖ· καὶ ὁ Μοναχὸς ὅπου εὑρεθῇ, τὸ ἔργον τοῦ Θεοῦ ἐργάζεται.

3. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ὅτι ἔλεγεν ὁ Ἀββᾶς Σισώης, ὅτι ἔστιν αἰσχύνη, ἀφοβίας ἔχουσα ἁμαρτίαν· ὅταν γάρ τις ἐνδοξαζόμενος, ἤγουν αἰσχυνόμενος τοὺς ἀνθρώπους, οὐ ποιεῖ τὸ καλόν, ἀφοβίας Θεοῦ ἔγκλημα ἑαυτῷ περιάπτει.

4. Εἶπε Γέρων· ὅπου ἐὰν ὑπάγῃς, πρόσεχε σεαυτῷ διαπαντός, ὅτι τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν· ἤγουν ὁ Μοναχὸς ἐρωδιῷ παρεικάζεται διὰ τὸ ἄσκευον καὶ φιλέρημον, ὅπου ἂν ὑπάγῃ, τὴν ἑαυτοῦ κατοικίαν ἔχει προηγουμένην, καὶ πᾶς τόπος κατοικία αὐτῷ ἐστι· σπούδαζε οὖν, ἐν ᾧ ἂν τόπῳ εὑρεθῇς, ποιεῖν τὸν κανόνα σου, καὶ μὴ ἀμελεῖν τῶν τεταγμένων προσευχῶν· φρόντιζε δὲ καὶ τῶν ἐννοιῶν, ὅση δύναμις· καὶ πᾶσαν θλῖψιν ἔχε πρὸ ὀφθαλμῶν σου· ταῦτα δὲ ἄνευ προσοχῆς καὶ κόπου πολλοῦ κατορθωθῆναι οὐ δύνανται.

1) Πιθανώτερον τῆς νυκτός, ἤτοι τρεῖς ὥρας μετὰ τὴν δύσιν τοῦ ἡλίου.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἠρώτησαν τὴν Ἀμμᾶς (=Γερόντισσα) Θεοδώραν:

— Πῶς εἶναι δυνατὸν νὰ ζῇ κανεὶς μέσα εἰς κοσμικοὺς θορύβους, νὰ ἀκούῃ κοσμικοὺς λόγους καὶ νὰ κατορθώνῃ νὰ ἔχῃ προσηλωμένον τὸν νοῦν του εἰς τὸν Θεόν;

—Ὅπως ἀκριβῶς συμβαίνει—ἀπήντησεν ἡ Ὁσία—καὶ εἰς μίαν τράπεζαν, ὅπου σὲ ἐκάλεσαν· ὑπάρχουν ἐπάνω εἰς τὴν τράπεζαν αὐτὴν πολλὰ φαγητά. Ὅταν ἀπὸ ὅλα τὰ φαγητά, ἔστω καὶ ἐὰν δὲν σὲ εὐχαριστοῦν, λαμβάνεις, καὶ δοκιμάζεις ὀλίγον, κατ' ἀνάγκην, τότε δὲν κατακρίνεσαι δι' αὐτό. Ὅταν λοιπὸν καὶ ἐξ ἀνάγκης, καὶ παρὰ τὴν θέλησίν σου, ἀκούσῃς κοσμικοὺς λόγους, μὴ τοὺς ἀφήσῃς νὰ εἰσέλθουν εἰς τὴν καρδίαν σου, τὴν ὁποίαν νὰ ἔχῃς διαρκῶς ἐστραμμένην πρὸς τὸν Θεόν. Πρόσεχε τὸν Θεὸν νὰ μὴ λησμονήσῃς. Μὲ αὐτὴν τὴν ψυχικὴν διάθεσιν, ἐφ' ὅσον χωρὶς εὐχαρίστησιν θὰ ἀκούῃς τοὺς κοσμικοὺς αὐτοὺς λόγους, δὲν θὰ ζημιωθῇς τόσον πολύ.

2. Ἕνας γέρων Ἀσκητὴς εἶπε τὴν ἑξῆς σοφὴν γνώμην· ἡ μέλισσα, ὅπου καὶ νὰ ὑπάγῃ, μέλι κάμνει. Καὶ ὁ Μοναχός, ὅπου καὶ νὰ εὑρεθῇ, τὸ ἔργον τοῦ Θεοῦ ὀφείλει νὰ ἐργάζεται.

3. Ὁ Ἀββᾶς Ποιμὴν ἐπανέλαβε τὴν ἑξῆς διδακτικὴν καὶ ὠφέλιμον γνώμην τοῦ Ἀββᾶ Σισώη: Ὑπάρχει ἐντροπή, ποὺ ἐξομοιώνεται μὲ τὴν ἁμαρτίαν τῆς ἀφοβίας. Καὶ ἰδοὺ πῶς συμβαίνει αὐτό. Ὅταν ἕνας ἄνθρωπος, διὰ νὰ δοξασθῇ ἀπὸ τοὺς ἀνθρώπους, δὲν κάμνει τὸ καλόν, διότι ὡς ἀνθρωπάρεσκος ἐντρέπεται τοὺς ἀνθρώπους, ἀσφαλῶς περιπίπτει εἰς τὸ ἔγκλημα τῆς ἀφοβίας τοῦ Θεοῦ (1).

4. Ἕνας ἄλλος Γέρων ἔλεγεν· ὅπου καὶ ἐὰν πηγαίνῃς, νὰ προσέχῃς πάντοτε τὸν ἑαυτόν σου, καὶ νὰ μὴ λησμονῇς τὴν ἀλληγορικὴν ρῆσιν· «Τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν» (Ψαλμ. ργ', 17). Κατὰ τὴν ἔννοιαν δηλαδὴ τοῦ ρητοῦ αὐτοῦ ὁ Μοναχὸς παρομοιάζει μὲ τὸν ἐρωδιόν, διότι καὶ τὸ πτηνὸν αὐτὸ ἀγαπᾷ τὴν ἔρημον καὶ δὲν φροντίζει διὰ τὴν κατασκευὴν τῆς φωλεᾶς· ὅπου δὲ μεταβαίνει ἔχει ἑτοίμην τὴν φωλεάν του, ἡ ὁποία τὸν ἀναμένει, ἐπειδὴ ὅλος ὁ τόπος εἶναι κατοικία του. Φρόντιζε λοιπὸν καὶ σύ, ὁπουδήποτε καὶ ἐὰν εὑρεθῇς, νὰ ἐκτελῇς τὸν κανόνα σου καὶ νὰ μὴ ἀμελῇς τὰς ὡρισμένας προσευχάς. Ἀκόμη νὰ ἔχῃς εἰς τὸν νοῦν σου, ὅσον δύνασαι, τὰς ὑψηλὰς ἐννοίας καὶ θείας θεωρίας καὶ νὰ φέρῃς πρὸ ὀφθαλμῶν σου τὴν θλῖψιν, ἡ ὁποία θὰ σὲ καταλάβῃ, ἐὰν κολασθῇς. Ὅλα ὅμως αὐτὰ διὰ νὰ κατορθωθοῦν χρειάζεται προσευχή, ἄγρυπνος προσοχὴ καὶ πολὺς κόπος.

---

1) «Μὴ κατ' ὀφθαλμοδουλίαν, ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, μετ' εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις» (Ἐφεσ. ϛ', 6—7).

ΥΠΟΘΕΣΙΣ ΚΕ΄

Ὅτι δεῖ τὸν τῷ Θεῷ ἀρέσαι ζητοῦντα, τὰς ἐκ τῶν ἀνθρώπων ἀτιμίας ἢ τιμὰς εἰς οὐδὲν λογίζεσθαι.

Αὐτός, ποὺ θέλει νὰ εὐαρεστῇ εἰς τὸν Θεόν, οὐδόλως πρέπει νὰ λαμβάνῃ ὑπ' ὄψιν του τοὺς ἐξευτελισμοὺς ἢ τὰς τιμὰς τῶν ἀνθρώπων.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ παρέβαλε τῷ Ἁγίῳ Μακαρίῳ τῷ Αἰγυπτίῳ, καὶ εἶπεν αὐτῷ· Ἀββᾶ, εἰπέ μοι ῥῆμα πῶς σωθῶ; καὶ ἀπεκρίθη ὁ Γέρων· ὕπαγε εἰς τὰ μνημεῖα, καὶ ὕβρισον τοὺς νεκρούς.

2. Ἀπελθὼν οὖν ὁ ἀδελφὸς ὕβρισε καὶ ἐλίθασε· καὶ ἐλθὼν ἀπήγγειλε τῷ Γέροντι· ὁ δὲ εἶπεν· οὐδέν σοι ἐλάλησαν; Ἀπεκρίθη ὁ ἀδελφός· οὐχί. Λέγει αὐτῷ ὁ Γέρων· Ὕπαγε πάλιν αὔριον καὶ δόξασον αὐτούς.

3. Ἀπελθὼν οὖν ὁ ἀδελφός, ἐδόξασεν αὐτούς, λέγων· Ἀπόστολοι, Ἅγιοι καὶ Δίκαιοι· καὶ ὑποστρέψας πρὸς τὸν Γέροντα, εἶπεν· Ἐδόξασα· ὁ δὲ ἔφη· Οὐδέν σοι ἀπεκρίθησαν; Λέγει ὁ ἀδελφός· Οὐδαμῶς. Τότε λέγει αὐτῷ ὁ Γέρων· Οἶδας πόσα ἠτίμασας αὐτοὺς καὶ οὐδέν σοι ἀπεκρίθησαν, καὶ πόσα ἐδόξασας καὶ οὐδέν σοι ἐλάλησαν; Οὕτω ποίει καὶ σύ, ἐὰν θέλῃς σωθῆναι. Γενοῦ νεκρός, καὶ μήτε τὴν ἀτιμίαν τῶν ἀνθρώπων, μήτε τὴν τιμὴν λογίσῃ, ὡς οἱ νεκροί, καὶ δύνασαι σωθῆναι.

4. Εἶπεν ἡ Ἀμμᾶς Σάῤῥα· ἐὰν εὔξωμαι τῷ Θεῷ, ἵνα πάντες οἱ ἄνθρωποι πληροφορῶνται εἰς ἐμέ, εὑρεθήσομαι εἰς τὴν θύραν ἑκάστου μετανοοῦσα, ἀλλὰ μᾶλλον εὔξομαι τὴν καρδίαν μου ἁγνὴν εἶναι μετὰ πάντων.

5. Εἶπε Γέρων· μὴ θέλε εἶναι ἀκαταφρόνητος.

6. Ὁ αὐτὸς εἶπεν· οὐαὶ ἀνθρώπῳ, ὅταν τὸ ὄνομα αὐτοῦ μεῖζόν ἐστι τῆς ἐργασίας αὐτοῦ.

7. Εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος, ὅτι ἔρχεται καιρός, ἵνα οἱ ἄνθρωποι μανῶσι· καὶ ἐπὰν ἴδωσί τινα μὴ μαινόμενον, ἐπαναστήσονται αὐτῷ λέγοντες· ὅτι σὺ μαίνῃ, διὰ τὸ μὴ εἶναι ὅμοιον αὐτοῖς· οἷς οὐ δεῖ ὅλως προσέχειν τὸν ἀγωνιζόμενον.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἐπεσκέφθη τὸν Ἅγιον Μακάριον τὸν Αἰγύπτιον. Μεταξύ των δὲ διημείφθη ὁ ἑξῆς διάλογος:

—Ἀββᾶ — ἠρώτησεν ὁ ἐπισκέπτης — συμβούλευσέ με πῶς δύναμαι νὰ σωθῶ;

— Πήγαινε εἰς τὰ μνήματα—ἀπήντησεν ὁ Ἅγιος Μακάριος— νὰ ὑβρίσης τοὺς νεκροὺς καὶ μετὰ ἔλα νὰ σοῦ εἰπῶ.

2. Πράγματι μετέβη ὁ ἀδελφὸς εἰς τὸ νεκροταφεῖον καὶ ὕβρισεν, ἔρριψε πέτρας εἰς τοὺς τάφους καὶ ἐπέστρεψε πρὸς τὸν Γέροντα.

—Ἔ! λοιπόν,—τὸν ἐρωτᾷ ὁ Ἅγιος Μακάριος—τί συνέβη;

— Τοὺς ὕβρισα, τοὺς ἐπετροβόλησα!

— Τί σοῦ ἀπήντησαν οἱ νεκροὶ δι' ὅσα τοὺς εἶπες;

— Τίποτε!

— Νὰ ὑπάγης πάλιν αὔριον εἰς τὰ ἴδια ἐκεῖνα μνήματα καὶ νὰ τοὺς ἐπαινέσης.

3. Τὴν ἄλλην ἡμέραν, ἐκτελῶν τὴν ἐντολὴν τοῦ Ἁγίου Μακαρίου ὁ Μοναχός, μετέβη εἰς τὰ ἴδια μνήματα καὶ ἤρχισε νὰ τοὺς ἐπαινῇ, ἀποκαλῶν αὐτοὺς Ἀποστόλους, Ἁγίους, Δικαίους. Ἀφοῦ ἐτελείωσε τὸ ἔργον αὐτὸ ἐπέστρεψε πάλιν εἰς τὸν Ἀββᾶν Μακάριον, ὁ ὁποῖος τὸν ἠρώτησεν:

—Ἔκαμες αὐτό, ποὺ σοῦ εἶπα;

— Μάλιστα, Γέροντα· ἐπῆγα, τοὺς ἐπῄνεσα καὶ τοὺς ἐδόξασα!

— Καὶ τί σοῦ εἶπαν λοιπόν;

— Τίποτε!

— Εἶδες, τέκνον μου, πόσον τοὺς προσέβαλες καὶ τίποτε δὲν σοῦ εἶπαν· ἀλλὰ καὶ πόσον τοὺς ἐδόξασας καὶ ἐσιώπησαν! Ἔτσι καὶ σὺ νὰ κάνης, ἐὰν θέλης νὰ σωθῇς! Νὰ γίνης νεκρὸς καὶ νὰ μὴ λαμβάνης ὑπ' ὄψιν σου οὔτε τὰς κατὰ σοῦ ἀτίμους ἐπιθέσεις τῶν ἀνθρώπων, οὔτε τοὺς ἐπαίνους των, ὅπως ἔκαμαν οἱ νεκροί, τοὺς ὁποίους ἐπεσκέφθης. Τότε μόνον θὰ ἠμπορέσης νὰ σωθῇς.

4. Ἡ Ἀμμᾶς (=Γερόντισσα) Σάρρα ἔλεγεν· ἐὰν παρακαλέσω τὸν Θεόν, νὰ πληροφοροῦνται ἐσωτερικῶς ὅλοι οἱ ἄνθρωποι τὰς ἔναντι αὐτῶν ψυχικάς μου διαθέσεις, τότε, ἐφ' ὅσον εἰσακουσθῇ ἡ δέησίς μου, θὰ πρέπει νὰ εὑρίσκωμαι πρὸ τῶν θυρῶν των καὶ νὰ μετανοῶ, διότι ἐνδεχομένως αἱ διαθέσεις μου νὰ μὴ ἀνταποκρίνωνται εἰς τὴν πραγματικότητα· ἢ θὰ τοὺς ἐπαινῶ ὑπερβαλλόντως, ἢ θὰ τοὺς κρίνω ἀδίκως. Ἀπ' ἐναντίας θὰ παρακαλέσω τὸν Θεὸν νὰ παραμένῃ ἡ καρδία μου ἁγνή, χωρὶς νὰ αἰσθάνεται πάθος τι, ἔπαινον ἢ κατάκρισιν, ἀπέναντι πάντων.

5. Ἕνας γέρων Ἀσκητὴς εἶπε· νὰ μὴ θέλης, ἄνθρωπε, τὸ νὰ μὴ σὲ καταφρονοῦν οἱ ἄνθρωποι.

6. Ὁ ἴδιος Ἀσκητὴς ἔλεγεν· ἀλλοίμονον εἰς τὸν ἄνθρωπον, ποὺ ἡ περὶ αὐτοῦ ἀγαθὴ φήμη τῶν συνανθρώπων του εἶναι μεγαλυτέρα τῆς ἐργασίας του.

7. Ὁ Ἀββᾶς Ἀντώνιος, ἀναφερόμενος εἰς τὴν πνευματικὴν κατά-

στασιν τῶν ἀνθρώπων τοῦ μέλλοντος ἔλεγεν: Θὰ ἔλθῃ ἐποχή, ποὺ ὅλοι οἱ ἄνθρωποι θὰ εἶναι μανιακοί· ὅταν δὲ συναντοῦν κάποιον, ποὺ εἶναι γνωστικός, θὰ ἐπαναστατοῦν κατ᾿ αὐτοῦ καὶ θὰ τοῦ λέγουν· εἶσαι τρελλός! Θὰ λέγουν δὲ αὐτό, διότι δὲν θὰ τοὺς ὁμοιάζῃ εἰς τὴν μανίαν. Τοὺς μανιακοὺς ὅμως αὐτοὺς καθόλου δὲν πρέπει νὰ λαμβάνῃ ὑπ᾿ ὄψιν του ὁ ἀγωνιζόμενος τὸν ἀγῶνα τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς.

Β΄. Τοῦ Ἁγίου Ἐφραὶμ

ΑΔΕΛΦΟΙ, εἴ ποτε συμβῇ ἡμᾶς ὀνειδισθῆναι περὶ ἀγαθοῦ ἔργου, μὴ ἐντραπῶμεν τὸν ὀνειδισμὸν τὸν ὑπὸ τῶν ἀνθρώπων ἀδίκως ἡμῖν ἐπαγόμενον, καὶ πράξωμεν ἃ μὴ δεῖ· γέγραπται γάρ· «Λαός μου, οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν· μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὡς γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου, καὶ ὡς ἔριον βρωθήσεται ὑπὸ σητός· ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, καὶ τὸ σωτήριόν μου εἰς γενεὰς γενεῶν»· καὶ πάλιν λέγει· «Ἐγὼ οὐκ ἀπειθῶ οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ᾿ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν· καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ».

2. Διό περ καὶ ἡμεῖς, ἀγαπητοί, κἂν ὑβριζώμεθα, ἢ ἐμπαιζώμεθα, ἢ ἄλλο τι τῶν δεινῶν πάσχωμεν παρὰ τῶν ἀνθρώπων, ἕνεκεν τοῦ ἀγαθοῦ, μὴ δειλιάσωμεν, μηδὲ ἐγκαταλίπωμεν τὴν εὐθεῖαν ὁδόν, κατὰ τὸν Προφήτην τὸν λέγοντα· «ἐὰν παρατάξηται ἐπ᾿ ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου»· καὶ πάλιν· «ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα καὶ ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμὸν καὶ ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου»· λέγει δὲ καὶ ὁ Σωτήρ· «Μακάριοι ἐστὲ ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι», καὶ τὰ ἑξῆς.

3. Μὴ οὖν αἰσχυνθῶμεν, ἀγαπητοί, κληθῆναι ὑποκριταὶ ὑπὸ τῶν ἀθετούντων τὰς ἐντολὰς τοῦ Κυρίου· δῆλον γὰρ ὅτι οὐ κατὰ διόρθωσιν ἡμῶν τὴν μνήμην τῆς ὑποκρίσεως ἄγουσιν, ἀλλ᾿ ἵνα ἐντραπέντες, ἀναιδεῖς ὁμοίως καὶ αὐθάδεις καὶ ἀλλότριοι τῆς εὐλαβείας καὶ πάσης ἄλλης ἀρετῆς γενώμεθα· τοὺς γὰρ εὐλαβεῖς, ὑποκριτὰς ὀνομάζουσιν.

4. Ἡμεῖς δὲ μὴ ἐντραπέντες τοὺς ὀνειδισμοὺς αὐτῶν, ἀπαιδευσίαν ἀναλάβωμεν· τοῖς γὰρ ἀπαιδεύτοις θάνατος συναντᾷ κατὰ τὴν Γραφήν· λέγει δὲ καὶ ἐν ἑτέρῳ· «Ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεόν»· καὶ πάλιν· «εἰ ὀνειδίζεσθε ἐν ὀνόματι τοῦ Θεοῦ, μακάριοι, ὅτι τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ᾿ ὑμᾶς ἀναπέπαυται· μή τις γὰρ ἡμῶν πασχέτω ὡς φονεὺς καὶ ὡς κλέπτης· εἰ δὲ ὡς Χριστιανός, μὴ αἰσχυνέσθω· δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ ὀνόματι τούτῳ»· καὶ «εἰ ὁ δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται»;

5. Φεύγωμεν οὖν τὴν παῤῥησίαν καὶ τὸν γέλωτα· ταῦτα γὰρ καταστρέφει τὴν ψυχὴν τοῦ Μοναχοῦ· διὸ λέγει· «Μακάριος ἀνήρ, ὃς καταπτύσσει πάντα δι᾿ εὐλάβειαν καὶ τοὺς γελοιαστὰς ἀνθρώπους καὶ ἀπροσεχεῖς ἐκτρεπώμεθα. Τίς γάρ, φησι, μερὶς πιστῷ μετὰ ἀπίστου; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ;»

Ἑρμηνεία

ΑΔΕΛΦΟΙ, ἐὰν κάποτε συμβῇ νὰ μᾶς εἰρωνευθοῦν οἱ ἄνθρωποι δι᾿ ἓν ἀγαθὸν ἔργον, τὸ ὁποῖον ἐπετελέσαμεν, δὲν

πρέπει νὰ ἐντραπῶμεν διὰ τὴν ἄδικον αὐτὴν εἰρωνείαν καὶ σπεύσωμεν νὰ κάμωμεν ἐκεῖνα, ποὺ δὲν πρέπει, διὰ νὰ μᾶς ἐπαινέσουν. Μὴ λησμονῶμεν αὐτό, ποὺ ἔχει γραφή· «Λαός μου, οὗ ὁ νόμος μου ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ φοβεῖσθε ὀνειδισμὸν ἀνθρώπων, καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε· ὥσπερ γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου καὶ ὡσεὶ ἔριον βρωθήσεται ὑπὸ σητός, ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται, τὸ δὲ σωτήριόν μου εἰς γενεὰς γενεῶν» (Ἡσ. να', 7—8). Ἀλλοῦ πάλιν λέγει· «Ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ραπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη, διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλ' ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ» (Ἡσ. ν', 5—7).

2. Δι' αὐτὸ ἀκριβῶς καὶ ἡμεῖς, ἀγαπητοί, καὶ ἐὰν ἀκόμη ὑβριζώμεθα, καὶ ἐὰν ἐμπαιζώμεθα, καὶ ὅ,τιδήποτε κακὸν πάσχωμεν ἀπὸ τοὺς ἀνθρώπους, ἐπειδὴ ἐκτελοῦμεν τὸ ἀγαθόν, ἂς μὴ δειλιάσωμεν, οὔτε νὰ ἐγκαταλείψωμεν τὸν ἴσιον δρόμον, ἐφαρμόζοντες τὴν ὑπόδειξιν τοῦ προφητάνακτος Δαβίδ. «Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου» (Ψαλμ. κς', 3). Ἢ τὴν ἄλλην συμβουλήν· «Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου Σου οὐκ ἐξέκλινα» (Ψαλμ. ριη', 51). Καὶ «Ὅτι ἕνεκά Σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου» (Ψαλ. ξη', 8). Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Σωτὴρ μᾶς λέγει· «Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ρῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ» (Ματθ. ε', 11).

3. Ἂς μὴ ἐντραπῶμεν λοιπόν, ἀγαπητοί, νὰ ὀνομασθῶμεν ὑποκριταὶ ἀπὸ τοὺς παραβάτας τῶν ἐντολῶν τοῦ Κυρίου. Εἶναι φανερόν, ὅτι οἱ τοιοῦτοι τύποι μᾶς χαρακτηρίζουν ὑποκριτὰς ὄχι διὰ νὰ μᾶς διορθώσουν, ἀλλὰ διὰ νὰ μᾶς κάμουν νὰ χάσωμεν τὴν ἠθικήν μας εὐθιξίαν καὶ νὰ γίνωμεν καὶ ἡμεῖς, ὡς ἐκεῖνοι, ἀναιδεῖς, αὐθάδεις, νὰ ἀποξενωθῶμεν ἀπὸ τὴν εὐλάβειαν καὶ ἀπὸ κάθε ἄλλην ἀρετήν. Διότι οἱ ἄνθρωποι τῆς ἁμαρτίας ὀνομάζουν ὑποκριτὰς τοὺς εὐλαβεῖς.

4. Ἂς προσέξωμεν λοιπὸν καὶ πάλιν, ἀδελφοί, νὰ μὴ παρασυρθῶμεν ἀπὸ τοιούτους χαρακτηρισμοὺς καὶ ἐντραπῶμεν ἀπὸ τοιαύτας ἁμαρτωλὰς εἰρωνείας. Ἀλλοίμονον τότε· κινδυνεύομεν νὰ ἀπολέσωμεν τὴν κατὰ Χριστὸν ὠφέλιμον μόρφωσιν τῆς εὐσεβείας καὶ νὰ γίνωμεν ἀπαίδευτοι, ὁπόταν, κατὰ τὴν Ἁγίαν Γραφήν, μᾶς ἀναμένῃ ὁ θάνατος. «Ἀπαιδεύτοις συναντᾷ θάνατος» (Παρ. Σολ. κδ', 8). Ἐνθυμηθῆτε τί λέγει ἡ Ἁγία Γραφὴ εἰς ἄλλο σημεῖον· «Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν» (Α' Ἰωάν. γ', 21). Ἀλλοῦ πάλιν ἡ Ἁγία Γραφὴ μᾶς ὑπενθυμίζει· «Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτοὺς

βλασφημεῖται, κατὰ δὲ ἡμᾶς δοξάζεται. Μὴ γάρ τις ἡμῶν πασχέτω ὡς φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ ὡς Χριστιανός, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ μέρει τούτῳ» (Α' Πέτρ. δ', 14—16). Ὀλίγον δὲ περαιτέρω ὁ αὐτὸς θεῖος Ἀπόστολος λέγει· «Εἰ ὁ δίκαιος μόλις σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;» (Α' Πέτρ. δ', 18).

5. Ἂς ἀποφεύγωμεν λοιπόν, ἀδελφοί μου, τὸ ἀναιδὲς θάρρος καὶ τὸν γέλωτα, διότι αὐταὶ αἱ κακαὶ συνήθειαι καταστρέφουν τὴν ψυχὴν τοῦ Μοναχοῦ. Ἡ Ἁγία Γραφὴ μακαρίζει καὶ ἐπαινεῖ ἐκεῖνον, ὁ ὁποῖος «Καταπτύσσει πάντα δι' εὐλάβειαν» (Παροιμ. Σολ. κη', 14). Ἂς ἀποστρεφώμεθα δὲ τοὺς φαιδροὺς καὶ εὐκολογελῶντας ἀνθρώπους, καθὼς καὶ τοὺς ἀπροσέκτους. Διότι καὶ τὸ πνεῦμα τοῦ Θεοῦ λέγει· «Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; Τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;» Β' (Κορινθ. ς', 14—15).

Γ'. Τοῦ Ἀββᾶ Μάρκου

Ο ΟΡΘΩΣ μετανοῶν ὑπὸ ἀνόμων χλευάζεται, τοῦτο δὲ ἐστιν αὐτῷ τεκμήριον εὐαρεστήσεως.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ εἰλικρινῶς μετανοεῖ χλευάζεται ἀπὸ τοὺς ἀνόμους καὶ ἁμαρτωλούς· αὐτὸ ὅμως εἶναι καὶ ἀπόδειξις, ὅτι εὐχαριστεῖ τὸν Θεόν.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς τῷ μαθητῇ αὐτοῦ· τέκνον, τιμήσωμεν τὸν Ἕνα, καὶ πάντες τιμῶσιν ἡμᾶς· ἐὰν δὲ καταφρονήσωμεν τοῦ Ἑνός, ὅς ἐστιν ὁ Θεός, καταφρονοῦσιν ἡμῶν πάντες καὶ εἰς ἀπώλειαν ὑπάγομεν,

2. Ἔλεγεν ὁ Ἀββᾶς Ματόης περὶ τοῦ Ἀββᾶ Τιθόη, ὅτι οὐχ εὑρίσκει ἄνθρωπος ἀνοῖξαι τὸ στόμα αὐτοῦ εἰς αὐτὸν ἔν τινι πράγματι· ἀλλ' ὥσπερ τὸ καθαρὸν χρυσίον ἵσταται ἐν ζυγῷ, οὕτω καὶ ὁ Ἀββᾶς Τιθόης.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ Ἰωάννης ὁ Κολοβὸς ἔλεγε πρὸς τὸν μαθητήν του. — Τέκνον μου, ἂς τιμήσωμεν τὸν Ἕνα καὶ ὅλοι θὰ μᾶς τιμήσουν· ἐὰν δὲ περιφρονήσωμεν τὸν Ἕνα, ὁ ὁποῖος εἶναι ὁ Θεός, θὰ μᾶς περιφρονήσουν ὅλοι καὶ τότε ὁδηγούμεθα εἰς βεβαίαν ἀπώλειαν.

2. Ὁ Ἀββᾶς Ματόης, ὁμιλῶν περὶ τοῦ Ἀββᾶ Τιθόη, ἔλεγεν ὅτι δὲν εὑρίσκεται κανεὶς ποὺ νὰ ἠμπορῇ νὰ τοῦ ὁμιλήσῃ δι' ὅ,τιδήποτε πρᾶγμα, διότι ὅπως τὸ καθαρὸ χρυσάφι τὸ ζυγίζουν μὲ ζυγὸν ἀκριβείας, τοιουτοτρόπως καὶ ὁ Ἀββᾶς Τιθόης ἀκούει καὶ ὁμιλεῖ μόνον περὶ ὅσων ἔχουν ἀξίαν.

ΥΠΟΘΕΣΙΣ ΚΣΤ΄

Ὅτι δεῖ ἐν κρυπτῷ τὴν ἀρετὴν μετιέναι, καὶ μὴ φανητιᾶν ἢ καυχᾶσθαι, καὶ περὶ κενοδοξίας καὶ ἀνθρωπαρεσκείας· καὶ πόθεν ἡ κενοδοξία τίκτεται, καὶ τίνα ἐργάζεται, καὶ πῶς ἀναιρεῖται.

Πρέπει τὴν ἀρετὴν νὰ τὴν ἀσκῇ ὁ ἄνθρωπος κρυφά, χωρὶς ἐπιδείξεις ἢ καυχησιολογίας. Τί εἶναι κενοδοξία καὶ τί ἀνθρωπαρέσκεια· ἀπὸ ποῦ γεννᾶται ἡ κενοδοξία, ποῖα κακὰ ἐπιφέρει καὶ πῶς πολεμεῖται.

Α΄. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητικὴ πρὸς τὰς συνελθούσας, ὅτι μεγάλων ἂν ὄντως ἠξιώθημεν ἀγαθῶν, εἰ τοσούτους ἐφέρομεν πόνους ζητοῦντες τὸ δόκιμον ἀργύριον τῶν ἐντολῶν, ὅσοις ἀνιαροῖς περιπίπτουσιν οἱ τοῦ ματαίου κόσμου θηραταί.

2. Καὶ γὰρ ναυάγια ὑπομένουσι· πειρατηρίοις προσομιλοῦσι· λῃσταῖς περιπίπτουσι· καὶ συντόμως εἰπεῖν, μυρίων ἄλλων δεινῶν ἀνέχονται, καὶ πολλάκις κερδαίνοντες, πένητας ἑαυτοὺς καλοῦσι διὰ τοὺς φθονοῦντας, καὶ τὸ κέρδος κρύπτουσιν.

3. Ἡμεῖς δέ, οὐ μόνον οὐ κατατολμῶμεν ὑπὲρ τῶν εὐτελεστέρων κινδύνων διὰ τὸ ἀληθινὸν κέρδος, ἀλλ' εἴ ποτε καὶ βραχὺ πονήσασαι μικροῦ τινος ἀγαθοῦ εὐπορήσαιμεν, μεγαλύνομεν ἑαυτάς, καὶ τὸ ἀγαθὸν ἐκεῖνο τοῖς ἀνθρώποις μετὰ προσθήκης ἐπιδεικνύομεν· καὶ λοιπὸν διὰ τοῦ φανητιασμοῦ αὐτὸ πάλιν σκορπίζομεν.

4. Καὶ οἱ μὲν κοσμικοί, κἂν πολλὰ κερδήσωσιν, ἔτι τῶν πλειόνων ἐφίενται· ἡμεῖς δὲ καὶ τοῖς ὀλίγοις ἐκείνοις ὡς μεγάλοις δή τισιν ἀρκεσθεῖσαι, κοπιάσαι ἔτι πρὸς τὸ μείζονα κατορθῶσαι οὐ προθυμούμεθα.

5. Δεῖ οὖν ἀεὶ μὲν τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι, τῶν ὑψηλοτέρων δὲ ὀρέγεσθαι, πᾶσάν τε σπουδὴν τίθεσθαι ὑπὲρ τοῦ λανθάνειν τὸ κέρδος· ὥς περ γὰρ θησαυρὸς φανερωθεὶς σπανίζεται, οὕτω καὶ ἀρετὴ γνωριζομένη καὶ δημοσιευομένη ἀφανίζεται.

6. Οἱ δὲ τὰ ἑαυτῶν κατορθώματα ἐκδιηγούμενοι, πειράσθωσαν καὶ τὰ ἐλαττώματα, ἃ ἔχουσι, λέγειν· εἰ δὲ ταῦτα κρύπτουσιν ἕνεκεν τοῦ μὴ ψεχθῆναι, φυλακτέον μὴ ἐκδιηγεῖσθαι τὰ ἑαυτῶν κατορθώματα, ἵνα μὴ τοῖς ἀνθρώποις γνωσθέντα ἀπόλωνται.

7. Οἱ γὰρ κατ' ἀρετὴν βιοῦντες, τὰ μὲν μικρὰ ἑαυτῶν πταίσματα, μετὰ καὶ προσθήκης, ὧν οὐκ ἔπραξαν ἐκδιηγοῦνται, τὴν ἐκ τῶν ἀνθρώπων δόξαν ἀποβάλλοντες, τὰ δὲ κατορθώματα κρύπτουσι πρὸς ἀσφάλειαν τῆς ψυχῆς, ἵνα μὴ τούτων

διαγνωσθέντων ἐπαινεθῶσι παρὰ τῶν ἀνθρώπων, καὶ τὴν σπουδὴν χαυνωθέντες ἀπολέσωσιν.

8. Ὡς γὰρ ὁ κηρὸς τήκεται ἀπὸ προσώπου πυρός, οὕτω καὶ ἡ ψυχὴ ὑπὸ ἐπαίνων διαχεῖται, καὶ τὸν ἑαυτῆς ἀποβάλλει τόνον.

9. Ἐν κοινοβίῳ μὲν οὖσαι, τὴν ὑπακοὴν μᾶλλον τῆς ἀσκήσεως προκρίνωμεν· ἡ μὲν γὰρ ὑπεροψίαν διδάσκει, ἡ δὲ ὑπακοὴ ταπεινοφροσύνην ἡμῖν προξενεῖ.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ διδάσκουσα τὰς συγκεντρωθείσας πλησίον της Μοναχὰς ἔλεγε:

— Πραγματικῶς, ἀδελφαί μου, θὰ εἴχομεν ἀξιωθῆ πολλῶν καὶ μεγάλων πνευματικῶν ἀγαθῶν, ἐὰν κατὰ τὴν ἀναζήτησιν τοῦ γνησίου νομίσματος, τῆς ἐφαρμογῆς δηλαδὴ τῶν ἐντολῶν, κατωρθώναμεν νὰ ὑπομένωμεν τόσους κόπους, ὅσους ὑφίστανται, ἀνιαροὺς καὶ ματαίους, αὐτοὶ ποὺ κυνηγοῦν τὴν ματαιότητα τοῦ κόσμου.

2. Οἱ κυνηγοὶ τῆς κοσμικῆς ματαιότητος ὑπομένουν ναυάγια, ἀντιμετωπίζουν πολλὰς δοκιμασίας, περιπίπτουν εἰς λῃστάς, καὶ διὰ νὰ μὴ μακρηγορῶμεν, ἀνέχονται ἀναριθμήτους δυσκολίας, διὰ νὰ ἐπιτύχουν τὸν σκοπόν τους. Πολλὰς φορὰς δὲ ἐνῷ κερδίζουν ἀρκετά, ἐν τούτοις ὀνομάζουν τοὺς ἑαυτούς των πένητας, καὶ ἀποκρύπτουν τὰ κέρδη των, διὰ νὰ μὴ προκαλέσουν τὸν φθόνον τῶν κακοποιῶν ἀνθρώπων.

3. Ἡμεῖς ὅμως, αἱ ὁποῖαι ἐπιδιώκομεν ὄχι τὴν ἐπίγειον ματαιότητα, ἀλλὰ τὴν ἐπουράνιον δόξαν καὶ αἰωνιότητα, δὲν τολμῶμεν νὰ ἐκτεθῶμεν εἰς τοὺς πλέον ἀσημάντους κινδύνους διὰ νὰ καρπωθῶμεν τὸ πραγματικὸν κέρδος. Ἐὰν δὲ τύχῃ κάποτε καὶ κουρασθῶμεν ὀλίγον καὶ πραγματοποιήσωμεν μικράν τινα ἀρετήν, ἀμέσως φουσκώνομεν ἀπὸ κενοδοξίαν καὶ τὸ μικρὸν ἐκεῖνο ἀγαθὸν τὸ μεγαλοποιοῦμεν ἐνώπιον τῶν ἀνθρώπων, ὥστε μὲ τὴν ἀθλίαν αὐτὴν ἐπίδειξιν ἀμέσως τὸ διασκορπίζομεν καὶ τὸ καταστρέφομεν.

4. Ἀκόμη καὶ εἰς ἄλλο σημεῖον ὑστεροῦμεν ἀπὸ τοὺς κοσμικούς· ἐνῷ οἱ κοσμικοί, καὶ ἐὰν ἀκόμη κερδίσουν πολλά, ἐν τούτοις ἐπιθυμοῦν ἀκόμη περισσότερα νὰ ἀποκτήσουν, ἡμεῖς ἀρκούμεναι εἰς τὰς ἀσημάντους ἐκείνας ἐπιτυχίας, τὰς ὁποίας διογκώνομεν, ὥστε νὰ φανοῦν μεγάλαι, δὲν προθυμοποιούμεθα νὰ κοπιάσωμεν, διὰ νὰ κατορθώσωμεν ἀκόμη μεγαλυτέρας ἀρετάς.

5. Πρέπει λοιπὸν πάντοτε, κατὰ τὸν θεῖον Παῦλον, νὰ προοδεύωμεν πρὸς τὰ ἐμπρός, «τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος» (Φιλιπ. γ', 14) καὶ νὰ νοσταλγοῦμεν τὰ ὑψηλότερα, νὰ καταβάλλωμεν δὲ κάθε φροντίδα, ὥστε νὰ ἀποκρύπτωμεν τὰ πνευματικὰ κέρδη, καὶ νὰ μὴ τὰ διακηρύσσωμεν, ὅπως οἱ ὑποκριταί. Διότι ὅπως ἀκριβῶς, ὅταν ἀποκαλυφθῇ ἕνας θησαυρός, διαρπάζεται καὶ ὡς ἐκ τούτου καθίσταται πλέον δυσεύρετος, τοιουτοτρόπως καὶ ἡ ἀρετή, ὅταν δημοσιεύεται καὶ τὴν μαθαίνουν οἱ ἄνθρωποι, χάνει τὴν ἀξίαν της καὶ ἐξαφανίζεται.

6. Αὐτοί, ποὺ μὲ αὐταρέσκειαν διηγοῦνται τὰ κατορθώματά των,

ἐὰν θέλουν νὰ εἶναι εἰλικρινεῖς, πρέπει νὰ ἀποπειραθοῦν νὰ εἴπουν καὶ τὰ ἐλαττώματά των. Ἐφ' ὅσον δὲ ἀποκρύπτουν τὰ ἐλαττώματά των, διὰ νὰ μὴ τοὺς κατηγορήσουν, πρέπει νὰ προφυλάσσωνται, ὥστε καὶ τὰ προτερήματά των νὰ μὴ διηγοῦνται εἰς τοὺς ἀνθρώπους, διὰ νὰ μὴ χάσουν τὴν ἀξίαν των διὰ τῆς κοινολογήσεως.

7. Ὅσοι πράγματι ζοῦν ἐναρέτως, διὰ νὰ ἀποφύγουν τὸν ἔπαινον καὶ τὴν δόξαν τῶν ἀνθρώπων, διηγοῦνται εἰς αὐτοὺς διάφορα μικροπταίσματα, ποὺ συνήθως κάμνουν οἱ ἄνθρωποι ὡς νέοι, διογκώνοντες μάλιστα αὐτά, ὥστε νὰ φαίνωνται τρομακτικώτερα· διὰ νὰ ἀσφαλίσουν δὲ τὴν ψυχήν των ἀπὸ τὴν ὑπερηφάνειαν καὶ διὰ νὰ μὴ χάσουν τὴν ἀξίαν τῆς ἀρετῆς, ἐπαινούμενοι ὑπὸ τῶν ἀνθρώπων, ἀποκρύπτουν ἐπιμελῶς τὰ κατορθώματά των. Ἀποκρύπτοντες δὲ αὐτὰ δὲν διατρέχουν τὸν κίνδυνον νὰ ἐξατμισθῇ ὁ ζῆλός των καὶ νὰ μαρανθῇ ἡ πρὸς τὴν ἀρετὴν φιλοτιμία των.

8. Ὅπως ἀκριβῶς τὸ κερὶ λειώνει ὅταν πλησιάζῃ τὴν φωτιά, τοιουτοτρόπως καὶ ἡ ψυχὴ παραλύει ἀπὸ τοὺς ἐπαίνους καὶ χάνει τὴν ἀγωνιστικήν της διάθεσιν.

9. Ἐφ' ὅσον μονάζομεν εἰς Κοινόβιον πρέπει νὰ προτιμῶμεν τὴν ὑπακοὴν πρὸς τοὺς προϊσταμένους ἀπὸ τὴν ἄσκησιν· διότι ἡ ἄσκησις δυνατὸν νὰ μᾶς γεννήσῃ τὴν ὑπεροψίαν, ἐνῷ ἡ ὑπακοὴ διασφαλίζει τὸν Μοναχὸν μὲ τὴν ταπεινοφροσύνην.

Β. Ἐν τῷ Γεροντικῷ

ἘΚΑΘΗΤΟ ποτε εἰς τὴν Ἐκκλησίαν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός, καὶ ἐστέναξεν, ἀγνοῶν ὅτι ἔστι τις ὄπισθεν αὐτοῦ· στραφεὶς δὲ καὶ ἰδών, ἔβαλε μετάνοιαν λέγων· συγχώρησόν μοι, Ἀββᾶ, οὔπω κατηχήθην.

2. Διηγήσατο ὁ Ἀββᾶς Ἰωσὴφ ὁ τοῦ Πηλουσίου, ὅτι ὅτε ἐκαθήμην εἰς τὸ Σινᾶ, ἦν ἐκεῖ ἀδελφὸς ἀσκητὴς ἄκρος καὶ εὐειδὴς τῇ θεωρίᾳ τοῦ σώματος, καὶ ἤρχετο εἰς τὴν σύναξιν φορῶν τὸ πολύρραφον καὶ μικρὸν μαφόριον παλαιόν.

3. Ἐγὼ οὖν θεωρῶν αὐτὸν διηνεκῶς οὕτως εἰς τὴν σύναξιν ἐρχόμενον, ἐν μιᾷ λέγω αὐτῷ· ἀδελφέ, οὐ βλέπεις τοὺς ἀδελφοὺς πῶς ὡς Ἄγγελοι Θεοῦ εἰς τὴν σύναξιν ἔρχονται; σὺ δὲ διατί πάντοτε οὕτως ἔρχῃ; ὁ δὲ ἔφη· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι οὐκ ἔχω ἄλλα· καὶ λαβὼν αὐτὸν ἐν τῷ κελλίῳ μου, ἔδωκα αὐτῷ λεβίτωνα, καὶ εἴ τινος ἄλλου ἔχρῃζε· καὶ ἐφόρει λοιπὸν ὡς καὶ οἱ λοιποὶ ἀδελφοί, καὶ ἦν ἰδεῖν αὐτὸν ὡς Ἄγγελον.

4. Ἐγένετο δέ ποτε χρεία τοῖς Πατράσιν ἀποστεῖλαι δέκα ἀδελφοὺς πρὸς τὸν βασιλέα, διά τινα χρείαν· καὶ ἐψηφίσαντο καὶ αὐτὸν μετὰ τῶν ἀποστελλομένων· ὡς δὲ ἔμαθε τοῦτο, ἔβαλε μετάνοιαν τοῖς Πατράσι λέγων· διὰ τὸν Κύριον, συγχωρήσατέ μοι, ὅτι δοῦλός εἰμί τινος μεγάλου τῶν ἐκεῖ, καὶ ἐὰν γνωρίσῃ με, ἀποσχηματίσει με, καὶ φέρει πάλιν εἰς τὸ δουλεύειν αὐτῷ.

5. Οἱ οὖν Πατέρες ἀκούσαντες τοῦτο, ἀφῆκαν αὐτόν· ὕστερον δὲ ἔμαθον παρά τινος ἀκριβῶς ἐπισταμένου αὐτόν, ὅτι ὅτε ἦν ἐν τῷ κόσμῳ, ἔπαρχος Πραιτωρίων ὑπῆρχε, καὶ ἵνα μὴ γνωρισθῇ καὶ ὄχλησιν εὕρῃ ἀπὸ τῶν ἀνθρώπων, τοῦτο προεφασίσατο. Οὕτως οἱ Πατέρες τὴν δόξαν καὶ τὴν ἀνάπαυσιν τοῦ κόσμου τούτου ἔφυγον.



Ὁ ἍΓΙΟΣ
ΙΩ
Ὁ ΚΟΛΟΒΟΣ
Ἡ ΤΑΠΕΙΝΟΦΡΟΣΥΝΗ ΚΑΙ Ὁ ΦΟΒΟΣ ΤΟΥ ΘΕΟΥ
Ράλλης Κοψίδης

6. Εἶπε Γέρων· ἢ φεύγων φεῦγε τοὺς ἀνθρώπους, ἢ ἐμπαίζων ἔμπαιξον τῷ κόσμῳ καὶ τοῖς ἀνθρώποις, μωρὸν σεαυτὸν ὡς τὰ πολλὰ ποιῶν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς ἐκάθητο εἰς τὴν Ἐκκλησίαν καὶ ἀνεστέναξεν ἀπὸ κατάνυξιν, χωρὶς νὰ ἀντιληφθῇ, ὅτι ὄπισθέν του εὑρίσκεται ἄλλος. Μόλις ἐγύρισε καὶ τὸν εἶδε τοῦ ἔβαλε μετάνοιαν καὶ τοῦ εἶπε· «Συγχώρησόν με, Ἀββᾶ, διότι ἀκόμη δὲν ἔχω διδαχθῆ πῶς πρέπει νὰ συμπεριφέρωμαι».

2. Ὁ Ἀββᾶς Ἰωσήφ, ποὺ ἠσκήτευεν εἰς τὸ Πηλούσιον, διηγήθη τὴν κατωτέρω ὠφέλιμον ἱστορίαν:

—Ὅταν ἤμουν εἰς τὸ Σινᾶ, παρέμενε καὶ ἕνας ἀδελφὸς ποὺ ἠσκήτευεν αὐστηρότατα. Οὗτος ἦτο ὡραῖος καὶ εἶχεν ἀθλητικὸν παράστημα. Εἰς τὴν σύναξιν τῶν ἀδελφῶν ἤρχετο φορῶν πολύρραφον καὶ μικρὸν παλαιὸν ἐπανωφόριον.

3. Ἐγὼ λοιπὸν βλέπων αὐτὸν νὰ ἔρχεται συνεχῶς εἰς τὴν σύναξιν μὲ τὴν ἀμφίεσιν αὐτήν, ἡ ὁποία δὲν ἦτο σύμφωνος μὲ τὸ Μοναχικὸν σχῆμα, ἔλαβα τὸ θάρρος μίαν ἡμέραν καὶ τοῦ λέγω:

—Ἀδελφέ μου, δὲν παρατηρεῖς πῶς ἔρχονται οἱ ἀδελφοὶ εἰς τὴν σύναξιν; Φέρουν ἁπλᾶ καὶ ταπεινὰ ἐνδύματα καὶ ὁμοιάζουν ὡς Ἄγγελοι Θεοῦ! Σὺ διατί πάντοτε προσέρχεσαι μὲ τὴν ἐμφάνισιν αὐτήν;

— Συγχώρησέ με, Ἀββᾶ, δὲν ἔχω ἄλλα νὰ φορέσω—ἀπήντησε.

Ἀφοῦ τελείωσεν ἡ σύναξις, ἐπήγαμε μαζὶ εἰς τὸ κελλίον μου καὶ τοῦ ἔδωσα ἕνα κολόβιον καὶ ὅ,τι ἄλλο εἶχεν ἀνάγκην.

Ἔκτοτε ἐφόρει τακτικῶς αὐτά, ὅπως καὶ οἱ ἄλλοι ἀδελφοί, καὶ ἦτο πράγματι ὡς Ἄγγελος Θεοῦ!

4. Κάποτε παρέστη ἀνάγκη εἰς τοὺς Πατέρας τῆς σκήτης νὰ ἀποστείλουν δέκα ἀδελφούς, ὡς ἐπιτροπήν, εἰς τὸν βασιλέα. Μεταξὺ αὐτῶν, ποὺ ἐπρόκειτο νὰ ἀποστείλουν, ἐξέλεξαν καὶ τὸν ἐν λόγῳ ἀδελφόν. Οὗτος μόλις ἔμαθε τὴν ἐκλογήν του, ἐλυπήθη· ἔβαλε μετάνοιαν εἰς τοὺς ἀδελφοὺς καὶ τοὺς εἶπε:

— Πατέρες, συγχωρήσατέ με καὶ ἐπιτρέψατέ μου νὰ μὴ λάβω μέρος εἰς τὴν ἐπιτροπήν, ποὺ θὰ μεταβῇ εἰς τὸν βασιλέα, διότι εἶμαι δοῦλος ἑνὸς μεγιστᾶνος. καὶ ἐὰν θὰ μὲ ἀναγνωρίσῃ, θὰ μὲ ὑποχρεώσῃ νὰ ἀποβάλω τὸ μοναχικὸν σχῆμα καὶ νὰ γίνω πάλιν δοῦλός του.

5. Κατόπιν τῆς παρακλήσεως αὐτῆς οἱ Πατέρες δὲν ἐπέμειναν καὶ τὸν ἀπήλλαξαν τῆς ὑπηρεσίας αὐτῆς. Μετά, ἀφοῦ οἱ ὑπόλοιποι μετέβησαν εἰς τὴν ἀποστολήν των, ἐπληροφορήθησαν ἀπὸ κάποιον, ποὺ ἐγνώριζε καλῶς τὸν ἐν λόγῳ ἀδελφόν, ὅτι δὲν ἦτο δοῦλος—ἀπ' ἐναντίας ἦτο στρατιωτικὸς διοικητὴς μιᾶς ἐπαρχίας. Διὰ νὰ μὴ ἀναγνωρισθῇ δὲ καὶ ἐνοχληθῇ ἀπὸ τοὺς ἀνθρώπους, οἱ ὁποῖοι ἐκ σεβασμοῦ καὶ περιεργείας θὰ ἔσπευδον να τὸν ἴδουν, προεφασίσθη αὐτό, διὰ

νὰ ἀποφύγῃ τὴν ἀποστολὴν εἰς τὰ ἀνάκτορα. Μὲ αὐτὸν τὸν τρόπον οἱ Πατέρες ἀπέφευγον τὴν δόξαν τοῦ κόσμου καὶ τὰς περιποιήσεις τῶν ἀνθρώπων.

6. Ἕνας γέρων Ἀσκητὴς ἔλεγεν· ἢ νὰ ἀποφεύγῃς τοὺς ἀνθρώπους διὰ τῆς ἐξ αὐτῶν φυγῆς, ἢ νὰ ἐμπαίζῃς τὸν κόσμον προσποιούμενος εἰς τοὺς ἀνθρώπους τὸν μωρόν, διὰ νὰ μὴ σὲ ἐπαινοῦν.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΑΝ ἀποταξάμενος τῷ βίῳ ἐξέλθῃς ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ καταπαύσῃ σε Κύριος ὁ Θεὸς εἰς τόπον, ἐν ᾧ μέλλεις αὐτῷ δουλεύειν, μὴ θελήσῃς ἐξενεγκεῖν ὄνομα ἐν τῷ τόπῳ, κἂν ἄρχων ὑπῆρχες μέγας σφόδρα ἐν τῇ γῇ σου, ἀλλ' εἰπὲ τῷ λογισμῷ σου καὶ τοῖς ἀνθρώποις, ὡς καὶ ὁ Προφήτης· «πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ» καὶ ὁ Θεὸς ἀντιλήψεταί σου καὶ ὑψώσει σε.

2. Μοναχέ, μὴ ἔξω εὐλάβειαν δείκνυσο, ἐν δὲ τῷ κελλίῳ ἀδιαφορίαν, ἵνα μὴ παρομοιωθῇς τάφοις κεκονιαμένοις, οἳ ἔξωθεν μὲν φαίνονται λευκοί, ἔσωθεν δὲ γέμουσιν ὀστέων ἀνθρωπίνων καὶ ἀκαθαρσίας· ἐν παντὶ γὰρ τόπῳ εἷς ἐστιν ὁ Θεός, πρὸς ὃν ἀφορῶν ἀεί, ποίει, ἃ ποιεῖς, καὶ οὐχ ἁμαρτήσεις ποτέ.

3. Οἰκία οἰκοδομηθεῖσα ἐπὶ ψάμμου οὐ σταθήσεται· καὶ ἄσκησις συγκαταμεμιγμένη τῇ ἀνθρωπαρεσκείᾳ οὐ διαμενεῖ· ὁ δὲ κατεργαζόμενος ἐν φόβῳ Θεοῦ, τὸν μισθὸν οὐ ζημιωθήσεται· ἕως τίνος κατακρύψῃ ἡ γῆ τὸν ἐσπαρμένον ἐν αὐτῇ σπόρον; πάντως ἕως ἀναλάβῃ τὴν ὀσμὴν τοῦ ὕδατος, τότε ἐξανατελεῖ πολλαπλασίονα μετὰ κάλλους τὰ ἐν αὐτῇ ἐσπαρμένα.

4. Καὶ σὺ οὖν, ἀγαπητέ, ἔργασαι κρυπτῶς τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ λαμπρῶς τὰς ἀντιμισθίας ἀνταποδώσει σοι ἐν τῷ φανερῷ· ἐὰν φανῇς ἐν ὀφθαλμοῖς ἀδελφῶν σου ὡς τὸ χρυσίον καθαρός, σὺ ἡγοῦ σεαυτὸν ὡς τὸ ἀχρεῖον σκεῦος, καὶ φεύξῃ ὑπερηφανίαν, τὴν μισουμένην ὑπὸ Θεοῦ καὶ ἀνθρώπων.

5. Ὅρα, ἀγαπητέ, μήπως, περισσοτέρας τιμῆς ὀρεγόμενος, ἐπισπάσῃ σεαυτῷ ἀτιμίαν· ἀληθῶς τιμὴ ἀνδρὶ πάντα τὰ κατὰ Θεὸν πράττειν, ἀτιμία δὲ μεγάλη παραβαίνειν ἐντολάς.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ἐὰν ἐγκαταλείψῃς τὸν κοσμικὸν βίον, καὶ φύγῃς μακρὰν ἀπὸ τὸν τόπον σου καὶ τοὺς συγγενεῖς σου, διὰ νὰ ὑπηρετήσῃς τὸν Κύριον, εἰς τόπον, ποὺ θὰ σὲ ἐγκαταστήσῃ ὁ ἴδιος, πρόσεξε νὰ μὴ σὲ παρασύρῃ καμμία κρυφὴ ματαιοδοξία καὶ θελήσῃς νὰ ἀκουσθῇ τὸ ὄνομά σου εἰς τὴν νέαν σου πνευματικὴν πατρίδα· ἀλλὰ καὶ ἐὰν ἀκόμη διετέλεσες μέγας καὶ ἐξακουστὸς ἄρχων εἰς τὴν χώραν σου, νὰ εἰπῇς εἰς τὸν λογισμόν σου καὶ εἰς τοὺς ἄλλους ἀνθρώπους αὐτό, ποὺ ἔλεγεν ὁ προφητάναξ Δαβίδ· «Πτωχὸς καὶ πένης εἰμὶ ἐγὼ» (Ψαλμ. πε', 1). Τότε ἀσφαλῶς καὶ ὁ Θεὸς θὰ φροντίσῃ διὰ σὲ καὶ θὰ σὲ ὑψώσῃ.

2. Μοναχέ, μὴ ἐπιδεικνύῃς ἔξω, εἰς τοὺς ἀνθρώπους, εὐλάβειαν, εἰς δὲ τὸ κελλίον σου, ὅταν εὑρίσκεσαι μόνος σου καὶ δὲν σὲ βλέπουν οἱ ἄνθρωποι, ἀδιαφορίαν. Ἐὰν συμπεριφέρεσαι μὲ τὴν ὑποκρισίαν αὐ-

τήν, ἀσφαλῶς θὰ εἶσαι ὅμοιος μὲ καλλιμαρμάρους τάφους, οἱ ὁποῖοι ἀπ' ἔξω μὲν φαίνονται λευκοὶ καὶ ὡραῖοι, ἀπὸ μέσα ὅμως εἶναι γεμᾶτοι ἀπὸ σκελετοὺς νεκρῶν καὶ ἀπὸ ἄλλας ἀκαθαρσίας. Εἰς ὅλα τὰ μέρη ὁ ἴδιος Θεὸς ὑπάρχει, πρὸς τὸν ὁποῖον πρέπει νὰ ἀποβλέπῃς πάντοτε καὶ νὰ κάνῃς ὅσα πρέπει. Τότε ἀσφαλῶς ποτὲ δὲν θὰ ἁμαρτήσῃς.

3. Σπίτι τὸ ὁποῖον ἔκτισαν ἐπάνω εἰς τὴν ἄμμον δὲν εἶναι δυνατὸν νὰ σταθῇ· ἀλλὰ καὶ ἄσκησις, ποὺ εἶναι ἀνακατεμένη μὲ ἐπιθυμίαν νὰ ἀρέσῃ εἰς τοὺς ἀνθρώπους, δὲν εἶναι δυνατὸν νὰ διατηρηθῇ. Ἐκεῖνος ὅμως, ποὺ ἐκτελεῖ τὸ μοναχικὸν ἔργον, ἀλλὰ καὶ τὸ ἔργον τῆς ἀρετῆς γενικώτερον, μὲ φόβον Θεοῦ, ποτὲ δὲν θὰ χάσῃ τὴν ἀξίαν του, ὅπως ὁ ἐργαζόμενος εἰς εὐσυνείδητον ἐργοδότην δὲν χάνει τὸν μισθόν του. Μέχρι πότε ἡ γῆ ἠμπορεῖ νὰ ἀποκρύπτῃ τὸν σπόρον, ποὺ ἔχει σπαρῇ ἐντὸς αὐτῆς; Ἀσφαλῶς μόλις ἡ γῆ δεχθῇ τὴν πρώτην βροχήν, τότε θὰ ἐκβλαστήσῃ περισσότερα καὶ ὡραιότερα αὐτά, ποὺ ἔχουν σπαρῇ μέσα της.

4. Καὶ σὺ λοιπόν, ἀγαπητέ μου, νὰ ἐργασθῇς κρυπτῶς καὶ χωρὶς ἐπίδειξιν τὰς ἐντολὰς τοῦ Θεοῦ· ὁ δὲ Θεὸς θὰ σοῦ ἀνταποδώσῃ τὸν κόπον σου φανερῶς, μὲ ἀξιοζήλευτον λαμπρότητα, ἐνώπιον ὅλων. Ἐὰν ἡ ἐργασία σου ἑφελκύσῃ τὴν ἐκτίμησιν τῶν ἀδελφῶν σου καὶ σὲ θεωρήσουν οὗτοι ὡς καθαρὸν χρυσάφι, σὺ νὰ ἔχῃς τὴν γνώμην διὰ τὸν ἑαυτόν σου, ὅτι εἶσαι πρᾶγμα εὐτελὲς καὶ τιποτένιο. Μὲ τὰς σκέψεις αὐτὰς θὰ ἀποφύγῃς τὴν ὑπερηφάνειαν, τὴν ὁποίαν μισεῖ καὶ ὁ Θεός, ἀλλὰ μισοῦν καὶ οἱ ἄνθρωποι.

5. Πρόσεχε, ἀγαπητέ μου, νὰ μὴ νοσταλγήσῃς τιμὰς περισσοτέρας, διότι τότε ὑπάρχει κίνδυνος νὰ καταστήσῃς τὸν ἑαυτόν σου ἐνώπιον τῶν ἀνθρώπων ἄτιμον καὶ ἐπονείδιστον. Πραγματικὴ τιμὴ διὰ τὸν ἄνθρωπον εἶναι νὰ ἐκτελῇ ὅλα, ὅσα θέλει ὁ Θεός· μεγάλη δὲ ἀτιμία δι' αὐτὸν νὰ παραβαίνῃ τὰς ἐντολάς του.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ᾖ ἐν πολιτείᾳ κακουχῶν τὸ σῶμά σου διὰ τὸν Θεόν, ἡ δὲ ἀνθρωπότης ζηλώσῃ καὶ τιμήσῃ σε δι' αὐτήν, ἄφες αὐτὴν καὶ ἐπιβαλοῦ εἰς ἄλλην, ἵνα μὴ ὁ κόπος σου εἰς ἀργὸν γένηται.

2. Ἐὰν δὲ παρῆλθες τὴν κενοδοξίαν, μὴ πρόσχῃς τῇ ἀνθρωπότητι, εἰδὼς ὅτι εἰς ὃ ποιεῖς συμπείθεταί σοι καὶ ὁ Θεός.

3. Ὥσπερ οἰκίας μὴ ἐχούσης θύρας μηδὲ θυρίδας καὶ τὸ βουλόμενον τῶν ἑρπετῶν εἰσέρχεται ἐν αὐτῇ, οὕτως ἐστὶν ὁ ποιῶν τὸν κόπον αὐτοῦ καὶ μὴ φυλάσσων αὐτόν.

4. Ὥς περ ἰὸς κατατρώγει σίδηρον, οὕτως ἡ τιμὴ τῶν ἀνθρώπων τὴν καρδίαν, ἐὰν πεισθῇ αὐτῇ.

5. Ὥς περ σμίλαξ συμπλακεὶς ἀμπέλῳ ἀφανίζει τὸν καρπὸν αὐτῆς, οὕτως ἡ κενοδοξία ἀφανίζει τὸν καρπὸν τοῦ Μοναχοῦ, ἐὰν πεισθῇ αὐτῇ.

6. Μέγα οὖν καὶ τίμιον νομίζω τὸ τὴν κενοδοξίαν νικῆσαι, καὶ προκόψαι εἰς γνῶσιν Θεοῦ. Ὁ γὰρ ἐμπεσὼν εἰς τὰς αἰσχρότητας τοῦ δεινοῦ πάθους τῆς κενοδοξίας, τῆς εἰρήνης ἀλλοτριοῦται, καὶ σκληρύνεται τὴν καρδίαν πρὸς τοὺς Ἀ-

γίους, καὶ φθόνος οἰκεῖ ἐν αὐτῷ, καὶ σφάττεται ὑπὸ τῶν δαιμόνων, καὶ ἐν τέλει τῶν κακῶν αὐτοῦ εἰς ὑψηλοφροσύνην ἐμπίπτει τὴν ἄθεον.

7. Σὺ δέ, ὦ πιστέ, ἔχε κρυπτοὺς τοὺς πόνους σου, καὶ φρόντισον ἐν πόνῳ καρδίας σου, μὴ ἀφέληται αὐτὸ ἡ γλῶσσά σου, καὶ παραδῷ τοῖς ἐχθροῖς σου· ἐὰν θέλῃς παρὰ Κυρίου ἐπικαλυφθῆναι τὰς ἁμαρτίας σου, μὴ φανεροποιήσῃς τοῖς ἀνθρώποις τὰς ἑαυτοῦ ἀρετάς· ὃ γὰρ ποιοῦμεν ἐπὶ ταύτας, τοῦτο καὶ ὁ Θεὸς ἐπ' ἐκείνας ἐργάζεται.

8. Κρύψας ἀρετήν, μὴ ἐπαίρου δικαιοσύνην ἐκτελῶν· δικαιοσύνη γάρ ἐστιν οὐ μόνον τὸ κρύπτειν τὰ καλά, ἀλλὰ καὶ τὸ μηδὲν ἐννοεῖν τῶν ἀπηγορευμένων.

9. Ἀσφάλισαι λόγον ἀπὸ καυχήσεως, καὶ λογισμὸν ἀπὸ οἰήσεως, ἵνα μὴ παραχωρηθῇς πράξαι τὰ ἐναντία· οὐ γὰρ ἐξ ἀνθρώπων μόνον τελεσιουργεῖται τὸ ἀγαθόν.

Ἑρμηνεία

ΕΑΝ ΕΥΡΙΣΚΕΣΑΙ μέσα εἰς πολιτείαν καὶ κοπιάζῃς σωματικῶς πρὸς δόξαν Θεοῦ, καὶ οἱ ἄνθρωποι τὸ ἀντιληφθοῦν καὶ σὲ μακαρίσουν τιμῶντές σε διὰ τὴν ἀρετὴν αὐτήν, νὰ ἐγκαταλείψῃς τὴν πολιτείαν αὐτὴν καὶ νὰ μεταβῇς εἰς ἄλλην, διὰ νὰ μὴ πάῃ χαμένος ὁ κόπος σου διὰ τὴν ἀρετήν.

2. Ἐὰν πράγματι διέφυγες τὸν κίνδυνον τῆς κενοδοξίας, τότε δὲν πρέπει νὰ προσέχῃς εἰς τὰς κρίσεις τῶν ἀνθρώπων, διότι, ὅπως γνωρίζεις, βλέπει ὁ Θεὸς τὰ καλά σου ἔργα καὶ συμφωνεῖ μαζί σου.

3. Ἐκεῖνος ὁ ὁποῖος κοπιάζει καὶ ἀγωνίζεται διὰ τὴν ἀρετὴν καὶ δὲν φροντίζει νὰ ἀποκρύπτεται, ὥστε νὰ μὴ ἀντιλαμβάνωνται οἱ ἄνθρωποι τὴν καλήν του αὐτὴν ἐργασίαν, ὁμοιάζει πρὸς οἰκίαν, τῆς ὁποίας ἔχουν ἀφαιρεθῇ ἡ θύρα καὶ τὰ παράθυρα καὶ ὡς ἐκ τούτου εὐκόλως εἰσέρχεται ἐντὸς αὐτῆς ὁποιοδήποτε ἑρπετὸν θελήσῃ.

4. Ὅπως ἀκριβῶς ἡ σκουριὰ κατατρώγει τὸν σίδηρον, τοιουτοτρόπως καὶ ὁ ἔπαινος τῶν ἀνθρώπων διαφθείρει τὴν καρδίαν, ἐφ' ὅσον ὁ ἐπαινούμενος βεβαίως πιστεύσῃ τὸν ἔπαινον.

5. Ὅπως ἀκριβῶς ὁ ἀναρριχώμενος θάμνος, ὁ σμῖλαξ, ἐξαφανίζει τὸν καρπόν, ὅταν ἀναρριχηθῇ ἐπάνω εἰς τὴν ἄμπελον, τοιουτοτρόπως καὶ ἡ κενοδοξία καταστρέφει τοὺς πνευματικοὺς καρποὺς τοῦ Μοναχοῦ, ὅταν καταλάβῃ καὶ κατακτήσῃ τὴν καρδίαν του.

6. Ἔχω λοιπὸν τὴν γνώμην, ὅτι εἶναι μεγάλον πρᾶγμα καὶ πολύτιμον τὸ νὰ νικήσῃ ὁ Μοναχὸς τὴν κενοδοξίαν καὶ νὰ προκόψῃ εἰς τὴν πραγματικὴν θεογνωσίαν. Αὐτὸς ὁ ὁποῖος θὰ ἐμπλακῇ εἰς τὰς αἰσχρὰς παγίδας τῆς κενοδοξίας, τοῦ φοβεροῦ αὐτοῦ πάθους, χάνει τὴν εἰρήνην τῆς ψυχῆς του, σκληραίνει ἡ καρδία του ἀπέναντι τῶν Ἁγίων τοῦ Θεοῦ, δηλαδὴ τῶν τιμίων ἐργατῶν τῶν ἐντολῶν Του, γεμίζει ἐσωτερικῶς ἀπὸ φθόνον, σφάζονται ἀπὸ τοὺς δαίμονας τοῦ φθόνου τὰ σπλάγχνα του, ὁσάκις βλέπει τὴν πρόοδον τῶν ἀδελφῶν του, καὶ τὸ τέλος ὅλων αὐτῶν τῶν κακιῶν εἶναι ἡ ὑπὸ τοῦ Θεοῦ μισουμένη ὑψηλοφροσύνη, εἰς τὴν ὁποίαν καταβαραθροῦται ὁ κενόδοξος.

7. Σὺ δέ, ὦ πιστέ, φρόντιζε νὰ ἔχῃς ἀποκεκρυμμένους ἀπὸ τοὺς

ἀνθρώπους τοὺς κόπους, ποὺ καταβάλλεις διὰ τὴν ἀρετήν· πρόσεξε τὸ ὡραῖον αὐτὸ μυστικὸν νὰ μὴ τὸ προδώσῃ ἡ γλῶσσά σου, καὶ τοιουτοτρόπως σὲ παραδώσῃ εἰς τοὺς ἐχθρούς σου. Ἐὰν ἐπιθυμῇς ὁ Κύριος νὰ παραβλέψῃ τὰς ἁμαρτίας σου, κατὰ τὴν ἡμέραν τῆς Κρίσεως, πρέπει καὶ σὺ νὰ προσέξῃς νὰ μὴ φανερώσῃς εἰς τοὺς ἀνθρώπους τὰς ἀρετάς σου κατὰ τὴν παροῦσαν ζωήν· διότι αὐτὸ ποὺ θὰ κάμωμεν ἡμεῖς διὰ τὰς ἀρετάς μας, θὰ κάμῃ καὶ ὁ Θεὸς διὰ τὰς ἁμαρτίας μας.

8. Ὅταν ἀποκρύπτῃς τὰς ἀρετάς σου, μὴ νομίσῃς, ὅτι τάχα ἐκτελεῖς δικαιοσύνην, ὥστε νὰ καυχᾶσαι δι' αὐτό· δικαιοσύνη εἶναι ὄχι μόνον νὰ ἀποκρύπτῃς τὰς ἀρετάς σου, ἀλλὰ καὶ τίποτε νὰ μὴ σκέπτεσαι ἀπὸ ὅσα ἔχουν ἀπαγορευθῆ.

9. Νὰ προφυλάσσῃς τοὺς λόγους σου ἀπὸ καυχήματα ἐνώπιον τῶν ἀνθρώπων, τὰς δὲ ἀνεκφράστους σκέψεις σου ἀπὸ τὴν ἐσωτερικὴν αὐταρέσκειαν, ὅτι τάχα κάτι εἶσαι, δηλαδὴ τὴν οἴησιν (1), διὰ νὰ μὴ παραχωρήσῃ ὁ Θεὸς νὰ περιπέσῃς εἰς τὰς ἀντιθέτους κακίας, καὶ οὕτω πράξῃς τὰ ἀντίθετα ἐκείνων διὰ τὰ ὁποῖα καυχᾶσαι. Μὴ λησμονῇς δέ, ὅτι ἡ ἐπιτυχία τοῦ ἀγαθοῦ δὲν εἶναι ἀποτέλεσμα τῆς ἀνθρωπίνης μόνον δραστηριότητος, ἀλλὰ καὶ τῆς θείας Χάριτος, ἡ ὁποία συνεργάζεται μὲ τὸν ταπεινόν.

Ε'. Τοῦ Ἁγίου Ἰσαὰκ

ΚΥΩΝ ὁ λείχων τὸ ῥινίον, ἐκ τοῦ ἰδίου αἵματος πίνει, καὶ ἐκ τῆς γλυκύτητος οὐκ αἰσθάνεται τῆς ἑαυτοῦ βλάβης.

2. Οὕτω καὶ ὁ Μοναχὸς ὁ πίνων κενοδοξίαν, ἐκ τῆς ἰδίας ζωῆς συμπίνει, καὶ οὐ γινώσκει τὴν ἑαυτοῦ βλάβην, ἐκ τῆς γλυκύτητος τῆς πρὸς ὥραν γινομένης.

3. Ἡ κοσμικὴ δόξα, ὕφαλός ἐστι πέτρα, πάντοθεν ὑπὸ τῶν ὑδάτων καλυπτομένη, καὶ οὐ γινώσκεται τῷ ναύτῃ τῷ δι' αὐτῆς παρερχομένῳ, ἕως ἂν προσαρήξῃ ταύτῃ τὸ πλοῖον, καὶ ποιῆσαν ὀπήν, γεμισθῇ τε ὕδατος καὶ παραπεμφθῇ τῷ βυθῷ.

4. Οὕτω καὶ ἡ κενοδοξία οὐ παύεται τὰ πικρὰ καὶ ταραχώδη τοῦ κόσμου ὕδατα τῇ ψυχῇ ἐμβάλλουσα τοῦ ἐν αὐτῇ προσκρούσαντος, ἕως ἂν αὐτὸν βυθίσῃ καὶ ἀπολέσῃ.

5. Περὶ ταύτης εἶπον οἱ Πατέρες, ὅτι τὰ ἅπαξ ἡττηθέντα πάθη δι' ἀσκήσεως καὶ χρόνου πολλοῦ, συντόμως ἀνακαλεῖται, καὶ ἀνακαινίζει ἐν τῇ ψυχῇ.

Ἑρμηνεία

Ο ΚΥΩΝ (ὁ σκύλος), ποὺ γλύφει τὴν λίμαν πίνει τὸ αἷμα του χωρὶς νὰ ἀντιλαμβάνεται τὴν ζημίαν, ἐπειδὴ γλυκαίνεται ἀπὸ τὸ αἷμα του.

---

1) Θαυμάσια ὁ Ἀββᾶς Ἡσαΐας διακρίνει τὰς δύο μορφὰς τοῦ ἐγωϊσμοῦ· τὴν μίαν, ἡ ὁποία ἐξωθεῖ τὸν ἄνθρωπον εἰς καυχησιολογίαν, τὴν καύχησιν, ὅπως τὴν ὀνομάζει καὶ τὴν ἄλλην, ἡ ὁποία ἔχει τὴν μορφὴν ἐσωτερικῆς αὐταρεσκείας, διὰ νομιζομένην τελειότατα, τὴν οἴησιν.

2. Τὸ ἴδιον ὑφίσταται καὶ ὁ Μοναχὸς ποὺ εὐχαριστεῖται ἀπὸ τὴν κενοδοξίαν· διὰ τῆς κενοδοξίας καταπίνει τὴν πνευματικήν του ζωὴν καὶ τὴν ἐξαφανίζει· δὲν ἀντιλαμβάνεται ὅμως τὴν βλάβην αὐτήν, ἐξ αἰτίας τῆς γλυκύτητος, ποὺ προκαλεῖ εἰς αὐτόν, πρὸς στιγμήν, τὸ πάθος τῆς κενοδοξίας.

3. Ἡ δόξα τοῦ κόσμου τούτου, τὴν ὁποίαν ἐξασφαλίζουν οἱ ἄνθρωποι μὲ τοὺς ἐπαίνους των, ὁμοιάζει μὲ βράχον, ποὺ εὑρίσκεται κάτω ἀπὸ τὴν ἐπιφάνειαν τῆς θαλάσσης καὶ δὲν φαίνεται, ἐπειδὴ τὸν σκεπάζουν τὰ ὕδατα. Τὴν παρουσίαν τοῦ ἐπικινδύνου αὐτοῦ βράχου δὲν τὴν ὑποπτεύεται ὁ ναύτης, ποὺ περνᾷ μὲ τὸ πλοῖον του ἀπὸ ἐπάνω, δι᾿ αὐτὸ καὶ ἀνύποπτος πίπτει ἐπὶ τοῦ ὑφάλου αὐτοῦ βράχου, ὁπόταν ἀνοίγει εἰς τὸ πλοῖον ὀπή, γεμίζει ἀπὸ τὴν θάλασσαν καὶ ἀμέσως βυθίζεται.

4. Τὸ ἴδιον κακὸν ἐπιφέρει εἰς τὸν ἄνθρωπον καὶ ἡ κενοδοξία· δὲν σταματᾷ ἀπὸ τοῦ νὰ βάζῃ μέσα εἰς τὴν ψυχὴν ἐκείνου, ποὺ προσέκρουσεν ἐπάνω εἰς αὐτήν, τὰ πικρὰ καὶ ἀφρισμένα κύματα τῆς κοσμικῆς ματαιότητος, ἕως ὅτου τὸν βυθίσῃ εἰς διάφορα πάθη καὶ τὸν καταστρέψῃ.

5. Δι᾿ αὐτὴν τὴν κενοδοξίαν εἶπον οἱ Πατέρες, ὅτι, ἐξ αἰτίας της, τὰ πάθη, ποὺ κατ᾿ ἀρχὴν ἐνίκησεν ὁ Μοναχὸς διὰ σκληρᾶς καὶ μακροχρονίου ἀσκήσεως, συντόμως ἐπανέρχονται καὶ ξαναζωντανεύουν εἰς τὴν ψυχήν.

ϛ΄. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΤΟ ΤΗΣ ΚΕΝΟΔΟΞΙΑΣ πάθος πολύμορφόν ἐστι καὶ λεπτότατον, καὶ οὐδὲ ταχέως οὐδὲ ὑπ᾿ αὐτοῦ τοῦ πειραζομένου καταλαμβανόμενον· καὶ γὰρ τῶν ἄλλων παθῶν αἱ προσβολαὶ φανερώτεραι τυγχάνουσι, καὶ εὐκολωτέραν τὴν πρὸς αὐτὰς μάχην ἔχουσι, τῆς ψυχῆς ἐπιγινωσκούσης τὸν πόλεμον, καὶ διὰ τῆς ἀντιῤῥήσεως καὶ προσευχῆς τοῦτον εὐθέως ἀποτρεπούσης.

2. Ἡ δὲ τῆς κακίας κενοδοξία, πολύμορφος οὖσα, ὡς εἴρηται, δυσκαταγώνιστός ἐστι· καὶ γὰρ ἐν παντὶ ἐπιτηδεύματι παρυφίσταται, ἐν σχήματι, ἐν φωνῇ, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν εὐχῇ, ἐν ἀναγνώσει, ἐν ἡσυχίᾳ, ἐν μακροθυμίᾳ· διὰ πάντων γὰρ τούτων ἐπιχειρεῖ τὸν στρατιώτην τοῦ Χριστοῦ κατατοξεύειν.

3. Καὶ γὰρ ὅν τινα μὴ δυνηθῇ πολυτελείᾳ ἐνδυμάτων πρὸς κενοδοξίαν ἀπατῆσαι, τοῦτον δι᾿ εὐτελοῦς ἐσθῆτος ἐπιχειρεῖ πειράζειν· καὶ ὃν οὐκ ἴσχυσε διὰ τιμῆς ἐπᾶξαι, τοῦτον δῆθεν διὰ τοῦ φέρειν ἀτιμίαν εἰς ἀπόνοιαν αἴρει· καὶ ὃν οὐκ ἠδυνήθη πειράσαι δι᾿ ἐπιστήμης λόγων κενοδοξεῖν, τοῦτον διὰ σιωπῆς, ὡς ἡσυχον, δελεάζει· καὶ ὃν οὐκ ἴσχυσε διὰ πολυτελείας βρωμάτων χαυνῶσαι, τοῦτον διὰ νηστείας πρὸς ἔπαινον ἐκλύει· καὶ ἁπλῶς πᾶν ἔργον, πᾶν ἐπιτήδευμα, πρόφασιν πολέμου παρέχει τῷ πονηρῷ τούτῳ δαίμονι· ἔτι δὲ πρὸς τούτοις, καὶ κλῆρον φαντάζεσθαι ὑπομένειν ὑποβάλλει.

4. Μέμνημαι γάρ τινος Γέροντος, ἡνίκα ἐν σκήτει διέτριβον, ἀπελθόντος εἰς κελλίον ἀδελφοῦ ἐπισκέψεως χάριν, καὶ ὡς ἐπλησίασεν αὐτοῦ τῇ θύρᾳ, ἀκούει ἔνδοθεν λαλοῦντος αὐτοῦ, καὶ νομίσας ὁ Γέρων ἀπὸ γραφῆς μελετᾶν, ἔστη ἀκροώμενος, καὶ αἰσθάνεται αὐτοῦ ὑπὸ τῆς κενοδοξίας παραφρονοῦντος καὶ ἑαυτὸν χει-

ροτονοῦντος Διάκονον, καὶ τοῖς κατηχουμένοις ἀπόλυσιν παρέχοντος.

5. Ὡς οὖν ἤκουσε τοῦτο ὁ Γέρων, τέλος ὠθήσας τὴν θύραν εἰσῆλθε, καὶ ἀπαντήσας αὐτῷ ὁ ἀδελφός, προσεκύνησε κατὰ τὸ ἔθος, καὶ ἠξίου μαθεῖν αὐτοῦ εἰ πολλὴν ὥραν ἔχει ἐν τῇ θύρᾳ ἱστάμενος· ὁ δὲ γέρων ἀπεκρίθη πρὸς αὐτόν, ἄρτι φησὶν ἦλθον, ὅτε σὺ τὴν ἀπόλυσιν ἐπετέλεις· ὁ δὲ ἀδελφὸς ἐρυθριάσας καὶ κατανυγείς ἔπεσε παρὰ τοὺς πόδας τοῦ Γέροντος, καὶ παρεκάλει αὐτὸν εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα ρυσθῇ ἐκ τῆς τοιαύτης πλάνης.

6. Τούτου δὲ ἐμνήσθην, δεῖξαι βουλόμενος εἰς ὅσην ἀναισθησίαν φέρει τὸν ἄνθρωπον οὗτος ὁ δαίμων· ὁ βουλόμενος τοίνυν τελείως ἀθλῆσαι καὶ τὸν τῆς δικαιοσύνης στέφανον ἀναδήσασθαι, πᾶσι τρόποις σπουδασάτω τὸ πολύμορφον τοῦτο θηρίον νικῆσαι, μνημονεύων ἀεὶ τοῦ προφητικοῦ τούτου ῥήματος· Κύριος διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· καὶ μηδὲν ποιείτω περιβλεπόμενος τὸν τῶν ἀνθρώπων ἔπαινον, ἀλλὰ τὸν παρὰ τοῦ Θεοῦ μισθὸν ἐπιζητείτω μόνον, ἀποῤῥίπτων ἀεὶ τοὺς ἐπερχομένους ἐν τῇ καρδίᾳ αὐτοῦ λογισμούς, καὶ ἐπαινοῦντας αὐτὸν καὶ ἐξουθενείτω ἑαυτὸν ἐνώπιον τοῦ Θεοῦ· οὕτω γὰρ δυνήσεται σὺν Θεῷ ἀπαλλαγῆναι τοῦ πνεύματος τῆς κενοδοξίας.

Ἑρμηνεία

ΤΟ ΠΑΘΟΣ τῆς κενοδοξίας εἶναι πολύμορφον καὶ πολὺ δυσδιάκριτον· δι' αὐτὸ καὶ ἐκεῖνος, ποὺ προσβάλλεται ἀπὸ αὐτό, δὲν τὸ ἀντιλαμβάνεται ἀμέσως. Αἱ ἐπιθέσεις τῶν ἄλλων παθῶν διακρίνονται ἀμέσως καὶ δι' αὐτὸ εὐκόλως πολεμοῦνται ἀπὸ τὴν ψυχήν, ποὺ γνωρίζει νὰ πολεμῇ τὰ πάθη. Ἀμέσως δηλαδὴ ἡ ψυχὴ ἀντιστέκεται εἰς τὰς ἐπιθέσεις καί, διὰ τῆς προσευχῆς, ἀποτρέπει τὸν πόλεμον.

2. Ἡ κακία ὅμως τῆς κενοδοξίας, ὅπως εἶπον, ἐπειδὴ εἶναι πολύμορφος, δι' αὐτὸ καθίσταται καὶ δυσκολοπολέμητος· διότι εἰς κάθε πνευματικὸν ἔργον ὑπάρχει πλησίον καὶ ἡ κενοδοξία· ὄχι δὲ μόνον εἰς κάθε πνευματικὸν ἔργον, ἀλλὰ καὶ εἰς ὅλας τὰς μορφὰς καὶ ἐκδηλώσεις τοῦ βίου ἐνυπάρχει ἡ δυνατότης τῆς κενοδοξίας· εἰς τὸ βάδισμα, εἰς τὴν φωνήν, εἰς τὴν ὁμιλίαν, εἰς τὴν ἐργασίαν, εἰς τὴν ἀγρυπνίαν, εἰς τὴν νηστείαν, εἰς τὴν προσευχήν, εἰς τὴν ἀνάγνωσιν, εἰς τὴν ἡσυχίαν, εἰς τὴν φιλάδελφον ἀνεκτικότητα τῶν ἐλαττωμάτων τοῦ πλησίον, εἰς ὅλα αὐτὰ ἐνυπάρχει ἡ δυνατότης τῆς κενοδοξίας, διότι δι' ὅλων αὐτῶν ὁ διάβολος τῆς κενοδοξίας προσπαθεῖ νὰ πληγώσῃ μὲ τὸ τόξον τοῦ πάθους τὸν στρατιώτην τοῦ Χριστοῦ.

3. Ὅποιον δὲν ἠμπορεῖ νὰ τὸν ρίψῃ εἰς τὴν κενοδοξίαν μὲ τὴν πολυτέλειαν τῶν ἐνδυμάτων, αὐτὸν προσπαθεῖ νὰ τὸν κάμῃ νὰ ὑπερηφανευθῇ μὲ τὴν τιποτένια ἐσθῆτα· καὶ ὅποιον ὁ διάβολος δὲν κατώρθωσε νὰ τοῦ φουσκώσῃ τὰ μυαλὰ μὲ τοὺς ἐπαίνους τῶν ἀνθρώπων, διότι δὲν εὑρέθη κανεὶς νὰ τὸν ἐπαινέσῃ, αὐτὸν τὸν κάμνει νὰ παραφρονήσῃ ἀπὸ τὴν κενοδοξίαν, μὲ τὴν σκέψιν, ὅτι τάχα ἔχει τὴν δύναμιν νὰ ὑπομένῃ ἀγογγύστως τὴν περιφρόνησιν καὶ τὴν ἀτιμίαν. Ὅποιον πάλιν δὲν ἠμπόρεσε νὰ τὸν πειράξῃ μὲ τὴν μόρφωσιν καὶ τὴν ρητορικὴν ἱκανότητα, αὐτὸν προσπαθεῖ νὰ τὸν ἀγκιστρώσῃ εἰς τὸ πάθος τῆς κενοδοξίας μὲ τὸ δόλωμα τῆς σιωπῆς, ὅτι τάχα ἐπέτυχεν εἰς τὴν ἡσυχίαν. Αὐτόν, ποὺ δὲν κατάφερε νὰ ἀποχαυνώσῃ διὰ μέσου τῶν

πολυτελῶν φαγητῶν, αὐτὸν τὸν παγιδεύει μὲ τὸν ἔπαινον τῶν ἀνθρώπων, ἐπειδὴ νηστεύει. Καὶ διὰ νὰ μὴ ἐπεκτείνωμαι καὶ μακρηγορῶ, λέγω συντόμως, ὅτι ὁ διάβολος τῆς κενοδοξίας χρησιμοποιεῖ κάθε ἐργασίαν, κάθε συνήθειαν τοῦ ἀνθρώπου, ὡς ἀφορμὴν διὰ νὰ ἐπιτύχῃ τὸν σκοπόν του.

Ἐπὶ πλέον δὲ ὁ διάβολος ἐμπνέει εἰς τὸν κενόδοξον τὴν ἰδέαν, ὅτι τάχα καὶ κληρικός, λόγῳ τῶν ἀρετῶν του, εἶναι ἄξιος νὰ γίνῃ, ἢ καὶ ὅτι εἶναι κληρικός, χειροτονηθεὶς κατ' εὐθεῖαν ὑπὸ τοῦ Θεοῦ!

4. Σχετικῶς ἐνθυμοῦμαι τὸ ἑξῆς χαρακτηριστικὸν περιστατικὸν ἀπὸ μίαν σκήτην, εἰς τὴν ὁποίαν παρέμενον.

Ἕνας γέρων Μοναχὸς μετέβη πρὸς ἐπίσκεψιν ἑνὸς ἄλλου ἀδελφοῦ συμμοναστοῦ του. Μόλις λοιπὸν ἐπλησίασε τὴν θύραν τοῦ κελλίου ἀκούει ὁ ἐπισκέπτης νὰ ὁμιλῇ μέσα εἰς τὸ κελλίον του ὁ ἀδελφός. Κατ' ἀρχὴν ὁ Γέρων, ὁ ἐπισκέπτης, ἐνόμισεν, ὅτι ὁ ἀδελφὸς ἀναγιγνώσκει μεγαλοφώνως τὰς Γραφὰς καί, διὰ νὰ μὴ τὸν διακόψῃ, ἐστάθη νὰ ἀκούσῃ. Δὲν ἤργησεν ὅμως νὰ ἀντιληφθῇ, ὅτι ὁ ἀδελφός, ὑπὸ τὸ κράτος τῆς κενοδοξίας, παρελογίζετο καὶ ἐφαντάζετο ὅτι ἐχειροτονεῖτο Διάκονος, μάλιστα δὲ καὶ ἔκαμε τὴν ἀπόλυσιν τῶν κατηχουμένων, ὡς νὰ εὑρίσκετο πρὸ τῆς λειτουργίας τῶν πιστῶν!

5. Μόλις ἀντελήφθη ὁ Γέρων αὐτὴν τὴν παραφροσύνην, χωρὶς κἂν νὰ κτυπήσῃ, ἔσπρωξε τὴν θύραν καὶ εἰσῆλθεν εἰς τὸ κελλίον. Ὁ ἀδελφός, τὸν ὑπεδέχθη, τοῦ ὑπέβαλε τὴν συνηθισμένην ἐδαφιαίαν ὑπόκλισιν καὶ ἐπιμόνως ἐζήτει νὰ μάθῃ ἀπὸ αὐτὸν ἐὰν ἐστέκετο ἐπὶ πολλὴν ὥραν πρὸ τῆς θύρας. Τότε ὁ Γέρων μὲ ἐλεγκτικὸν ὕφος τοῦ εἶπε:

—Ἦλθον, μόλις σὺ ἔκαμες τὴν καθιερωμένην εἰς τὴν θείαν λειτουργίαν ἀπόλυσιν τῶν κατηχουμένων.

Τότε ὁ ἀδελφός, ἀντιληφθεὶς τὸν ὑπαινιγμὸν τοῦ Γέροντος, ἐκοκκίνισεν ἀπὸ ἐντροπὴν καὶ συνελθὼν ἀπὸ τὴν παραφροσύνην τῆς κενοδοξίας του, ἔπεσε κλαίων εἰς τοὺς πόδας τοῦ Γέροντος καὶ τὸν παρεκάλει νὰ προσευχηθῇ εἰς τὸν Θεόν, διὰ νὰ γλυτώσῃ ἀπὸ τὴν ἐπικίνδυνον αὐτὴν πλάνην.

6. Αὐτὸ τὸ περιστατικὸν τὸ ἀνέφερα, διότι ἐπιθυμῶ νὰ ἀποδείξω πόσην ἀναισθησίαν ἐπιφέρει εἰς τὸν ἄνθρωπον ὁ δαίμων τῆς κενοδοξίας. Ἐκεῖνος λοιπὸν ποὺ θέλει νὰ ἀναδειχθῇ τέλειος ἀθλητής, ὥστε νὰ νικήσῃ καὶ νὰ λάβῃ τὸν στέφανον, ποὺ προσφέρει ὡς ἔπαθλον ὁ δίκαιος Θεός, ἂς φροντίσῃ μὲ ὅλα τὰ μέσα νὰ καταβάλῃ τὸ πολύμορφον αὐτὸ θηρίον, ἐνθυμούμενος πάντοτε τὸ ῥητὸν τοῦ Προφήτου· «Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων» (Ψαλμ. νβ', 6).

Τίποτε δὲ δὲν πρέπει νὰ κάμῃ ὁ Μοναχός, ἀλλὰ καὶ ὁ λαϊκὸς Χριστιανὸς ἀκόμη, ἐπιδιώκων τὸν ἔπαινον τῶν ἀνθρώπων, ἀλλὰ νὰ ἐπιζητῇ μόνον τὴν ἀμοιβήν, τὴν ὁποίαν δίδει ὁ Θεός. Ὁ ἄνθρωπος, ποὺ θέλει νὰ εὐαρεστήσῃ εἰς τὸν Θεόν, πρέπει νὰ ἀπορρίπτῃ πάντοτε τοὺς κακοὺς λογισμοὺς ποὺ ἐνοχλοῦν τὴν καρδίαν του, ὑπὸ τὸ προσφι-

λὲς καὶ ἀπατηλὸν σχῆμα τοῦ αὐτοεπαίνου, καὶ νὰ αὐτοεξευτελίζεται ἐνώπιον τοῦ Θεοῦ, ἔχων ἐπίγνωσιν τῆς ἐκ τῆς ἁμαρτίας ἀθλιότητος. Μόνον διὰ τοῦ τρόπου αὐτοῦ θὰ ἠμπορέσῃ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ ἐλευθερωθῇ ἀπὸ τὸ πνεῦμα τῆς κενοδοξίας.

Ζ'. Τοῦ Ἁγίου Μαξίμου

ΟΤΑΝ τινὰ νικήσῃς τῶν ἀτιμοτέρων παθῶν, οἷον ἢ γαστριμαργίαν, ἢ πορνείαν, ἢ ὀργήν, ἢ πλεονεξίαν, εὐθὺς ἐφίπταταί ἐπὶ σὲ ὁ τῆς κενοδοξίας λογισμός· ἐὰν δὲ καὶ τοῦτον νικήσῃς, ὁ τῆς ὑπερηφανίας διαδέχεται· πάντα τὰ ἄτιμα πάθη τῆς ψυχῆς τὸν τῆς κενοδοξίας ἀπελαύνουσι λογισμόν· καὶ πάντων τῶν προειρημένων ἡττημένων, ἐπ' αὐτὴν αὐτὸν ἀναλύουσιν.

2. Ὅταν ἴδῃς Ἡρώδην καὶ Πιλάτον ἀλλήλοις φιλιάζοντας ἐπὶ τῇ ἀναιρέσει τοῦ Χριστοῦ, τότε νόει τὴν εἰς τὸ αὐτὸ συνδρομὴν τοῦ τε τῆς πορνείας καὶ τῆς κενοδοξίας δαίμονος, ἐπὶ τῷ θανατῶσαι τὸν λόγον τῆς ἀρετῆς, καὶ τὴν γνῶσιν ἀλλήλοις συμφωνούντων.

3. Ὁ μὲν γὰρ κενόδοξος δαίμων, πνευματικὴν γνῶσιν ὑποκρινόμενος, παραπέμπει τῷ δαίμονι τῆς πορνείας, ὁ δὲ τῆς πορνείας καθ' ὑποχώρησιν, καθαρότητα προσποιούμενος, ἀναπέμπει τῷ δαίμονι τῆς κενοδοξίας· διὸ λαμπρὰν περιθεὶς ἐσθῆτα, φησίν, ὁ Ἡρώδης ἀνέπεμψε Πιλάτῳ τὸν Ἰησοῦν.

4. Κενοδοξίαν ἀναιρεῖ ἡ κρυπτὴ ἐργασία, ὑπερηφανίαν δὲ τὸ τῷ Θεῷ ἐπιγράφειν τὰ κατορθώματα· ὁ διὰ κενοδοξίαν τὰς ἀρετὰς μετερχόμενος, δῆλον ὅτι καὶ τὴν γνῶσιν διὰ κενοδοξίαν μετέρχεται· ὁ δὲ τοιοῦτος οὐδὲν πρὸς οἰκοδομὴν πράττει, ἢ διαλέγεται, ἀλλ' ἐν πᾶσι τὴν παρὰ τῶν βλεπόντων ἢ ἀκουόντων δόξαν θηρώμενος· ἐλέγχεται δὲ τὸ πάθος, ὅταν τινὲς τῶν προειρημένων τοῖς ἔργοις ἢ τοῖς λόγοις αὐτοῦ ψόγον ἐπιφέρωσι, καὶ διὰ τοῦτο σφόδρα λυπεῖται· οὐ διὰ τὸ ἐκείνους μὴ οἰκοδομεῖσθαι (οὐδὲ γὰρ τοῦτο εἶχε σκοπόν), ἀλλὰ διὰ τὸ αὐτὸν ἐξουδενωθῆναι.

5. Κενοδοξία καὶ φιλαργυρία ἀλλήλων εἰσὶ γεννήτριαι· οἱ μὲν γὰρ κενοδοξοῦντες πλουτοῦσιν, οἱ δὲ πλουτοῦντες κενοδοξοῦσιν, ἀλλ' ὡς κοσμικοί· ἐπεὶ ὁ Μοναχὸς ἀκτήμων ὢν μᾶλλον κενοδοξεῖ· ἀργύριον δὲ ἔχων, κρύπτει αὐτὸ αἰσχυνόμενος, ὡς ἀνοίκειον πρᾶγμα τοῦ σχήματος ἔχων.

6. Τῆς τοῦ Μοναχοῦ κενοδοξίας ἴδιον τὸ ἐπ' ἀρετῇ κενοδοξεῖν, καὶ τοῖς ταύτῃ ἀκολουθοῦσι· τῆς δὲ ὑπερηφανίας αὐτοῦ, τὸ ἐπὶ κατορθώμασιν ἐπαίρεσθαι καὶ ἐξουθενεῖν τοὺς λοιπούς· καὶ τὸ ἑαυτῷ ταῦτα καὶ μὴ τῷ Θεῷ ἐπιγράφειν.

7. Τῆς δὲ τοῦ κοσμικοῦ κενοδοξίας καὶ ὑπερηφανίας ἴδιον, τὸ ἐπὶ κάλλει, καὶ πλούτῳ, καὶ δυναστείᾳ, καὶ φρονήσει ἐπαίρεσθαι καὶ κενοδοξεῖν.

8. Οὐ μικρὸς ἀγὼν κενοδοξίας ἀπαλλαγῆναι· ἀπαλλάττεται δέ τις διὰ κρυπτῆς τῶν ἔργων ἐργασίας, καὶ συχνοτέρας προσευχῆς· σημεῖον δὲ τῆς ἀπαλλαγῆς, τὸ μηκέτι μνησικακεῖν τῷ κακολογήσαντι ἢ τῷ κακολογοῦντι.

Ἑρμηνεία

ΟΤΑΝ κατανικήσῃς μερικὰ ἀπὸ τὰ ἀτιμότερα πάθη, ὅπως τὴν γαστριμαργίαν, τὴν πορνείαν, τὴν ὀργήν, τὴν πλεονεξίαν, ἀμέσως πτερυγίζει πρὸς τὴν καρδίαν σου ὁ λογισμὸς τῆς κενοδοξίας· ἂν κατορθώσῃς νὰ νικήσῃς καὶ αὐτόν, τότε δέχεσαι δευτέραν ἐπίθεσιν ἀπὸ τὸν λογισμὸν τῆς ὑπερηφανείας (1). Ὅλα τὰ πάθη τῆς

1) Ἐδῶ ὁ Ἅγιος Μάξιμος διαστέλλει τὴν κενοδοξίαν ἀπὸ τὴν ὑπερη-

ψυχῆς, ποὺ ἐπιφέρουν ἀτιμίαν καὶ αἰσχύνην, ἀποδιώκουν τὸν λογισμὸν τῆς κενοδοξίας, διότι ὁ ἄνθρωπος δὲν ἀπεργάζεται κάτι, ποὺ νὰ ἐφελκύσῃ τὴν προσοχὴν τῶν ἀνθρώπων καὶ νὰ ἐπισπάσῃ τὴν δόξαν των· ὅταν δὲ κατορθώσῃ νὰ νικήσῃ ὅσα ἀνέφερα προηγουμένως, τότε ἀνοίγει εἰς τὴν ψυχὴν τὸν δρόμον πρὸς τὸν λογισμὸν τῆς κενοδοξίας.

2. Ὅταν ἀναγνώσῃς εἰς τὸ Ἱερὸν Εὐαγγέλιον τὸν Ἡρώδην καὶ τὸν Πιλᾶτον νὰ συμφιλιώνωνται μεταξύ των, διὰ νὰ θανατώσουν τὸν Ἰησοῦν (1), τότε, ἑρμηνεύων ἀλληγορικῶς τὸ περιστατικόν, νὰ βλέπῃς μὲ τὸν νοῦν σου μίαν ἄλλην συνεργασίαν· τὴν συνεργασίαν τοῦ δαίμονος τῆς κενοδοξίας καὶ τοῦ δαίμονος τῆς πορνείας διὰ νὰ θανατώσουν εἰς τὴν ψυχὴν τὴν ἰδέαν καὶ τὴν πρόθεσιν τῆς ἀρετῆς, ἐξοικειουμένων τοιουτοτρόπως, μεταξύ των, τῶν δύο ἐπικινδύνων παθῶν, τῆς πορνείας καὶ τῆς κενοδοξίας. Ἡ ἀθλία αὐτὴ συνεργασία διεξάγεται κατὰ τὸν ἑξῆς τρόπον:

3. Ὁ δαίμων τῆς κενοδοξίας, κρυπτόμενος κάτω ἀπὸ τὴν γνῶσιν δῆθεν ὑψηλῶν πνευματικῶν ζητημάτων, ἐμβάλλει εἰς τὴν ψυχὴν μίαν ἀλαζονικὴν αὐτοπεποίθησιν καὶ καθιστᾷ τὸν ἄνθρωπον ἀπρόσεκτον· ἀπρόσεκτον δὲ καὶ ἀλαζόνα τὸν στέλλει εἰς τὸν δαίμονα τῆς πορνείας. Μὲ τὴν σειράν του τώρα ὁ δαίμων τῆς πορνείας, ἀποφεύγων ἀμέσως νὰ ρίψῃ τὴν ψυχὴν εἰς τὸν βόρβορον τῆς πορνείας, ἐπιτυγχάνει νὰ ἐμπνεύσῃ εἰς τὸν ἄνθρωπον τὴν προσποίησιν τῆς καθαρότητος, ἐφ' ὅσον ἐξωτερικῶς τοὐλάχιστον διετήρησε τὰ γνωρίσματα τῆς ἐγκρατείας, ἔστω καὶ ἐὰν ἐσωτερικῶς, κατὰ νοῦν καὶ διάνοιαν, περιέπεσεν εἰς ἀτόπους λογισμούς· διὰ τῆς προσποιητῆς αὐτῆς καθαρότητος, ἐφ' ὅσον τὸ ἐσωτερικὸν εἶναι βρωμερόν, ἐπισπᾷ τὸν ἔπαινον τῶν ἀνθρώπων καὶ οὕτω ὁ δαίμων τῆς πορνείας ἐπιστρέφει τὴν ψυχὴν εἰς τὸν δαίμονα τῆς κενοδοξίας. Αὐτὴ εἶναι ἡ συνεργασία τῶν δύο δαιμόνων, ἀποβλέπουσα εἰς τὴν καταστροφὴν τῆς ἰδέας τῆς ἀρετῆς εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου, ὁπόταν ὁ ἄνθρωπος ἀμαχητὶ πλέον παραδίδεται εἰς τὴν ἁμαρτίαν. Δι' αὐτό, λέγει τὸ Ἱερὸν Εὐαγγέλιον, ἀφοῦ ὁ Ἡρώδης ἐφόρεσεν εἰς τὸν Ἰησοῦν λαμπρὸν καὶ πολύτιμον ἔνδυμα, τὸν ἐξαπέστειλεν εἰς τὸν Πιλᾶτον (2).

φάνειαν. Ὀρθῶς, διότι πρῶτον ὁ ἄνθρωπος θὰ ἐπιθυμήσῃ τὴν παρ' ἀνθρώπων δόξαν (κενοδοξίαν) καὶ μετὰ θὰ θεωρήσῃ ἑαυτὸν ἱστάμενον ἐπὶ ἐπιπέδου ὑψηλοτέρου τῶν ἄλλων (ὑπερηφάνεια).

1) «Ἐγένοντο δὲ φίλοι ὅ τε Ἡρώδης καὶ ὁ Πιλᾶτος ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς» (Λουκ. κγ', 12),

2) «Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρώδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξων, περιβαλὼν αὐτῷ ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ» (Λουκ. κγ', 11). Εἰς τὴν ἀλληγορικὴν αὐτὴν ἑρμηνείαν τοῦ εὐαγγελικοῦ περιστατικοῦ ὁ Ἅγιος Μάξιμος διαβλέπει τὸ ἑξῆς νόημα: Ὁ Πιλᾶτος, ὡς ἐκπρόσωπος τῆς ὑπερηφάνου Ρώμης, ἐνδιαφερόμενος μόνον διὰ τὴν ἐξωτερικὴν λαμπρότητα, ἐνσαρκώνει τὸ πνεῦμα τῆς κενοδοξίας. Ὁ Ἡρώδης μὲ τοὺς ἀθέσμους ἔρωτάς του (εἶχε

4. Τὴν κενοδοξίαν ἐξαφανίζει ἡ κρυπτή, ἀπὸ τὰ βλέμματα τῶν ἀνθρώπων, πνευματικὴ ἐργασία· ἡ δὲ θυγάτηρ τῆς κενοδοξίας, ἡ ὑπερηφάνεια, ἐξαφανίζεται τότε, ὅταν ὁ ἄνθρωπος ἀποδίδῃ τὰ κατορθώματα τῆς ἀρετῆς του ἀποκλειστικῶς καὶ μόνον εἰς τὸν Θεόν. Ἐκεῖνος ὁ ὁποῖος προσπαθεῖ νὰ πραγματοποιήσῃ τὰς ἀρετὰς διὰ νὰ κερδίσῃ τὴν ματαίαν δόξαν τῶν ἀνθρώπων, εἶναι φανερὸν ὅτι καὶ τὴν θρησκευτικὴν διδασκαλίαν τὴν κάμνει μόνον καὶ μόνον διὰ τὴν κενοδοξίαν καὶ τὴν ἀνθρωπαρέσκειαν. Ὁ ἄνθρωπος αὐτὸς τίποτε δὲν κάμνει χάριν πνευματικῆς οἰκοδομῆς, ἀλλὰ καὶ αἱ συζητήσεις του δὲν ἔχουν σκοπὸν τὸ θεῖον αὐτὸ ἔργον· εἰς ὅλας τὰς περιπτώσεις, καὶ ὅταν πράττῃ ἢ καὶ ὅταν διδάσκῃ, μετὰ μανίας κυνηγᾷ τοὺς ἐπαίνους καὶ τὴν δόξαν αὐτῶν, ποὺ τὸν βλέπουν ἢ τὸν ἀκούουν. Ὅτι δὲ πράγματι αὐτὸ συμβαίνει, δηλαδὴ τὸ ἐλατήριον τῶν ἐνεργειῶν του εἶναι ἡ κενοδοξία, ἀποδεικνύεται ἀπὸ τὴν λύπην, τὴν ὁποίαν δοκιμάζει, ὁσάκις μερικοὶ ἀπὸ αὐτοὺς ποὺ τὸν ἀκούουν ἢ τὸν βλέπουν κατηγορήσωσιν ἢ καὶ αὐστηρῶς ἐλέγξωσι τοὺς λόγους ἢ τὰς πράξεις του· ἡ σφοδρὰ δὲ λύπη, τὴν ὁποίαν δοκιμάζει ὁ κενόδοξος ἀπὸ τὴν κατάκρισιν τῶν πράξεών του ἢ τῶν λόγων του, δὲν ὀφείλεται εἰς τὸ ὅτι δὲν ἐπέτυχεν ἡ πνευματικὴ οἰκοδομὴ τῶν ἀδελφῶν (αὐτὸ οὔτε κἂν τὸ ἐπεδίωκεν), ἀλλὰ εἰς τὸ ὅτι τὸν ἐταπείνωσαν καὶ δὲν τοῦ προσέφεραν ἐπαίνους, τιμὰς καὶ καὶ δόξαν.

5. Ἡ κενοδοξία συγγενεύει καὶ μὲ τὴν φιλαργυρίαν· ἡ μία γεννᾷ τὴν ἄλλην· οἱ κενόδοξοι (αὐτοὶ ποὺ κυνηγοῦν τοὺς ἐπαίνους καὶ τὴν δόξαν τῶν ἀνθρώπων) εὐκόλως πλουτοῦν, διότι ἐκμεταλλεύονται τὰς περὶ αὐτῶν διαθέσεις τῶν ἄλλων· ἐκεῖνοι πάλιν ποὺ ἀποκτοῦν πλούτη, περιπίπτουν εἰς τὴν κενοδοξίαν, διότι οἱ ἄνθρωποι, διὰ νὰ ὠφεληθοῦν κάτι ἐξ αὐτῶν, τοὺς ἐπαινοῦν καὶ τοὺς δοξάζουν. Ἡ σχέσις αὐτὴ μεταξὺ τῆς κενοδοξίας καὶ τῆς φιλαργυρίας πραγματοποιεῖται εἰς τοὺς κοσμικούς· καὶ ὁ Μοναχὸς ὅμως, παρ' ὅλον ὅτι εἶναι ἀκτήμων, ἐν τούτοις περισσότερον τῶν κοσμικῶν ἐνίοτε κενοδοξεῖ. Ἡ κενοδοξία τοῦ Μοναχοῦ δὲν στηρίζεται εἰς τὴν ἐπίδειξιν πλούτου, διότι οὗτος, ὁσάκις ἀποκτήσῃ χρήματα, φροντίζει νὰ τὰ ἀποκρύπτῃ, αἰσθανόμενος ἐντροπὴν ἀπὸ τὴν κατοχὴν χρημάτων, ἐπειδὴ δὲν ταιριάζει ὁ πλοῦτος πρὸς τὸ σχῆμα τοῦ Μοναχοῦ.

6. Χαρακτηριστικὸν γνώρισμα τῆς κενοδοξίας τοῦ Μοναχοῦ εἶναι ἡ προσπάθειά του νὰ ἑφελκύῃ τὴν ἐκτίμησιν τῶν ἀνθρώπων διὰ τὴν

παρ' ἑαυτῷ τὴν Ἡρωδιάδα, σύζυγον τοῦ ἀδελφοῦ του), ἐνσαρκώνει τὸ πνεῦμα τῆς πορνείας. Οἱ δύο αὐτοὶ ἄνδρες, «ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτοὺς» (Λουκᾶ κγ', 12) συνεφιλιώθησαν τὰς παραμονὰς τῆς ἀνόμου καταδίκης τοῦ Ἰησοῦ! Τί ἦτο δὲ ὁ Ἰησοῦς; Ἡ ἐνσάρκωσις τῆς Ἀρετῆς!

Ἡ κενοδοξία λοιπὸν (ὁ Πιλᾶτος) καὶ ἡ προσποιουμένη καθαρότητα πορνεία (ὁ Ἡρώδης) συμφιλιώνονται πρὸς τὸν σκοπὸν τῆς ἐξαφανίσεως τοῦ Πνεύματος τῆς Ἀρετῆς (τοῦ Ἰησοῦ).

ἀρετὴν καὶ δι' ὅσα ἀκολουθοῦν τὴν ἀρετήν. Ὡσαύτως χαρακτηριστικὸν γνώρισμα τῆς ὑπερηφανείας τοῦ Μοναχοῦ εἶναι ἡ καύχησίς του διὰ τὰ κατορθώματα τῶν πνευματικῶν του ἀγώνων καὶ ἡ περιφρόνησίς του πρὸς τοὺς λοιπούς. Κοινὸν δὲ γνώρισμα καὶ τῶν δύο ἀνωτέρω παθῶν τοῦ Μοναχοῦ εἶναι ἡ μὴ ἀπόδοσις τῶν κατορθωμάτων του εἰς τὸν Θεόν, μὲ τὴν βοήθειαν τοῦ ὁποίου τὰ ἐπετέλεσεν.

7. Ὁ ὑπερήφανος πάλιν καὶ κενόδοξος κοσμικὸς καυχᾶται διὰ τὴν ὡραιότητά του, τὸν πλοῦτον του, τὴν δύναμίν του, τὰς γνώσεις του καὶ δι' αὐτῶν ἐπιδιώκει νὰ ἐπισπάσῃ τὸν ἔπαινον καὶ τὴν δόξαν τῶν ἀνθρώπων.

8. Δὲν εἶναι εὔκολον πρᾶγμα νὰ ἀπαλλαγῇ κανεὶς ἀπὸ τὴν κενοδοξίαν. Κατορθώνει δὲ ὁ ἄνθρωπος νὰ ἀπαλλαγῇ μόνον διὰ τῆς μακρᾶν τῆς ἀνθρωπίνης προσοχῆς, ἐν κρυπτῷ, διεξαγωγῆς τοῦ πνευματικοῦ ἔργου καὶ διὰ τῆς συχνῆς προσευχῆς.

Καὶ πῶς καταλαβαίνει κανείς, ὅτι ἔχει ἀπαλλαγῇ ἀπὸ τὴν ὑπερηφάνειαν καὶ τὴν κενοδοξίαν;

Ὅταν φθάσῃ εἰς τὸ σημεῖον νὰ μὴ μνησικακῇ ἐναντίον ἐκείνου, ποὺ τὸν ἐκακολόγησε καὶ ἐξακολουθεῖ νὰ τὸν κακολογῇ!

Η'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Ἀρσενίου καὶ τοῦ Ἀββᾶ Θεοδώρου τοῦ τῆς Φέρμης, ὅτι ὑπὲρ πάντας ἐμίσουν τὴν τῶν ἀνθρώπων δόξαν· καὶ ὁ μὲν Ἀββᾶς Ἀρσένιος οὐχ ὑπήντα ταχέως τινί· ὁ δὲ Ἀββᾶς Θεόδωρος ὑπήντα μέν, ὡς ῥομφαία δὲ ἦν ὁ λόγος αὐτοῦ.

2. Ἦν τις Ἀσκητὴς μέγας καὶ ἱερεύς, Εὐλόγιος καλούμενος, ὃς ἐνήστευε δύο δύο· πολλάκις δὲ καὶ ὅλην τὴν ἑβδομάδα ἄσιτος εἶλκεν· ὅτε δὲ κατέλυεν, ἄρτον μόνον καὶ ἅλας ἤσθιεν· οὗτος διὰ τὴν ἄσκησιν αὐτοῦ ἐδοξάζετο ὑπὸ τῶν ἀνθρώπων.

3. Ἐν μιᾷ δὲ παρέβαλε τῷ Ἀββᾷ Ἰωσὴφ εἰς Πανεφώ, προσδοκῶν μείζονά τινα σκληραγωγίαν ἰδεῖν ἐπ' αὐτῷ· καὶ δεξάμενος αὐτὸν ὁ Γέρων μετὰ χαρᾶς, ἐκέλευσε τῷ αὐτοῦ μαθητῇ οἷς ἔχουσι ποιῆσαι παράκλησιν· εἶτα, ὡς ἐκάθισαν ἵνα φάγωσι, λέγουσιν οἱ μαθηταὶ Εὐλογίου· οὐκ ἐσθίει ὁ Πρεσβύτερος, πλὴν ἄρτου καὶ ἅλατος· ὁ δὲ Ἀββᾶς Ἰωσὴφ σιωπῶν ἔτρωγεν.

4. Ἔμεινεν οὖν ὁ Εὐλόγιος σὺν τοῖς μαθηταῖς αὐτοῦ ἡμέρας τρεῖς, καὶ οὐκ ἤκουσαν αὐτοῦ ἢ τινος τῶν μαθητῶν αὐτοῦ ψάλλοντος ἢ εὐχομένου (κρυπτὴ γὰρ ἦν ἡ ἐργασία αὐτοῦ)· καὶ ἐξῆλθον μὴ ὠφεληθέντες.

5. Κατ' οἰκονομίαν δὲ γίνεται γνόφος, καὶ πλανηθέντες ὑπέστρεψαν πρὸς τὸν Γέροντα, καὶ πρὸ τοῦ κροῦσαι τὴν θύραν ἤκουσαν αὐτοῦ μετὰ τῶν μαθητῶν ἔνδοθεν ψάλλοντος, καὶ προσμείναντες ἐπὶ πολύ, ὡς ἐκεῖνοι τῆς ψαλμῳδίας οὐκ ἐπαύοντο, ἔκρουσαν. Καὶ αἰσθόμενοι τοῦ κρούσαντος ἔσωθεν, εὐθὺς τὴν ψαλμῳδίαν κατέπαυσαν καὶ ἐδέξαντο αὐτοὺς χαίροντες.

6. Ὄντος δὲ καύσωνος καὶ τοῦ Εὐλογίου διψήσαντος, εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ βαλὼν ὕδωρ εἰς τὸ βαυκάλιον, ἔδωκεν αὐτῷ, ἦν δὲ μεμιγμένον ἐκ τῆς θαλάσσης καὶ τοῦ ποταμοῦ· καὶ γευσάμενος ὁ Εὐλόγιος οὐκ ἠδυνήθη πιεῖν, καὶ ἐν ἑαυτῷ γενόμενος, προσέπεσε τῷ Γέροντι λέγων· τί ἐστι τοῦτο, Ἀββᾶ; ὅτι ὄντων ἡμῶν μεθ' ὑμῶν οὐκ ἐψάλλετε, ἀλλὰ μετὰ τὸ ἐξελθεῖν ἡμᾶς ἀφ' ὑμῶν, τότε τῆς

ψαλμῳδίας ἐπὶ πολὺ εἴχεσθε· ὁμοίως δὲ καὶ τότε μὲν ἔμπροσθεν ἡμῶν οἶνον ἐπίνετε, νῦν δὲ γευσάμενος τοῦ παρ' ὑμῶν ὕδατος εὗρον αὐτὸ ἁλμυροῦν, καὶ σχεδὸν ἄποτον;

7. Ἀπεκρίθη δὲ αὐτῷ ὁ Γέρων· ὁ ἀδελφός, ὁ τὸ ὕδωρ κομίσας, σαλός ἐστι, καὶ κατὰ πλάνην ἔμιξεν αὐτῷ θαλάσσιον· ὁ δὲ παρεκάλει τὸν Γέροντα εἰπεῖν αὐτῷ τὴν ἀλήθειαν· τότε λέγει αὐτῷ ὁ Γέρων· ἐκεῖνο τὸ μικρὸν τοῦ οἴνου ποτήριον, τῆς ἀγάπης ἦν, τοῦτο δὲ τὸ ὕδωρ ἐστὶ τὸ τοῖς ἀδελφοῖς σύνηθες· τοιοῦτον γὰρ διὰ παντὸς πίνουσιν· ὁμοίως καὶ περὶ τῆς ψαλμῳδίας ἀπελογήθη, ὅτι κατ' οἰκονομίαν τὴν ἰδίαν ἐργασίαν ἔκρυψαν, ποιοῦντες ἐν τῷ ἀφανεῖ.

8. Καὶ λοιπὸν ἐδίδαξε καὶ αὐτὸν οἰκονομικὸν εἶναι καὶ διακριτικόν, καὶ ἔκοψεν ἀπ' αὐτοῦ πάντα τὰ ἀνθρώπινα, ἐν τῷ κρυπτῷ πείσας ἐργάζεσθαι καὶ αὐτὸν ἀπὸ τότε· καὶ τὰ μεγάλα ὠφεληθεὶς ὁ Εὐλόγιος, εἶπε τῷ Γέροντι· ὄντως ἐν ἀληθείᾳ ἐστὶν ἡ ἐργασία ὑμῶν.

9. Διηγήσατό τις τῶν πατέρων περὶ τοῦ Ἀββᾶ Θεοδώρου τοῦ τῆς Φέρμης, ὅτι ἀπήλθον ποτὲ τῇ δείλῃ πρὸς αὐτόν, θέρους ὄντος, καὶ εὗρον αὐτὸν φοροῦντα κεκομμένον λεβίτωνα, καὶ τὸ στῆθος αὐτοῦ γυμνόν, καὶ τὸ κουκούλιον αὐτοῦ ἔμπροσθεν κείμενον· καὶ ὁμιλούντων ἡμῶν, ἰδού τις κόμης ἦλθεν ἰδεῖν αὐτόν· καὶ ὡς ἔκρουσεν, ἐξῆλθεν ὁ Γέρων ἀνοῖξαι· καὶ ὑπαντήσας αὐτῷ, ἐκάθισεν εἰς τὴν θύραν σὺν τῷ ἐλθόντι, καὶ ἐλάλει αὐτῷ· ἐγὼ δὲ ἔλαβον κόμμα μαφορίου, καὶ ἐσκέπασα τοὺς ὤμους αὐτοῦ· ὁ δὲ Γέρων τῇ χειρὶ κρατήσας, ἔῤῥιψεν αὐτό.

10. Καὶ ὡς ἀπῆλθεν ὁ κόμης, εἶπον αὐτῷ· Ἀββᾶ, τί τοῦτο ἐποίησας; ἦλθεν ὁ ἄνθρωπος ὠφεληθῆναι μὴ γὰρ βλαβῆναι; καὶ ἀπεκρίθη ὁ Γέρων· τί λέγεις μοι, Ἀββᾶ; ἀκμὴν τοῖς ἀνθρώποις δουλεύειν ὀφείλομεν; ἐποιήσαμεν τὴν χρείαν καὶ ἀπῆλθεν· ὁ θέλων οὖν ὠφεληθῆναι, ὠφεληθήτω, καὶ ὁ θέλων σκανδαλισθῆναι σκανδαλισθήτω· ἐγὼ δὲ ὡς ἂν εὑρεθῶ, οὕτως ἀπαντῶ.

11. Παρήγγειλε δὲ τῷ μαθητῇ αὐτοῦ ἵνα ἐάν τις ἔλθῃ ἰδεῖν θέλων τὸν Γέροντα, μὴ εἴπῃ αὐτῷ τίποτε ἀνθρώπινον, ἤτοι ψεῦδος, δι' ἀνθρωπαρέσκειαν λεγόμενον, ἀλλ' ἐὰν τρώγῃ ὁ Γέρων, εἰπεῖν τῷ ἐλθόντι ὅτι τρώγει, καὶ ἐὰν κοιμᾶται εἰπεῖν ὅτι κοιμᾶται· οὕτως ὑπερβαλλόντως ὁ Γέρων τὴν ἀνθρωπίνην δόξαν ἐμίσησεν· ἡμεῖς δὲ κἂν ὡς ἀσθενεῖς τὴν θαυμασίαν ταύτην ἐργασίαν τοῦ Γέροντος ἐντελῶς μιμήσασθαι οὐ δυνάμεθα, καὶ τὴν ἀνθρωπαρέσκειαν οὕτω πατῆσαι, ἀλλὰ κἂν γε ἐν οἷς μολύνομεν τὴν συνείδησιν, αὐτὴν βδελυξώμεθα, καὶ μὴ διὰ τὸ ἀνθρώποις ἀρέσαι, ἐχθροὶ τοῦ Θεοῦ γενώμεθα.

12. Ἀδελφός τις ἠρώτησε τὸν αὐτὸν λέγων· θέλεις, Ἀββᾶ, ἤτοι ἐπιτρέπεις, μικρὰς ἡμέρας μὴ φαγεῖν με ἄρτον; ἀπεκρίθη αὐτῷ ὁ Γέρων· καλῶς ποιεῖς, καὶ γὰρ κἀγὼ ἐποίησα οὕτω· λέγει ὁ ἀδελφός· θέλω οὖν λαβεῖν τὰ ἐρεβίνθιά μου εἰς τὸ ἀρτοκοπεῖον, καὶ ποιῆσαι αὐτὰ ἄλευρον· καὶ εἶπεν ὁ Γέρων· εἰ ὑπάγεις ὅλως εἰς τὸ ἀρτοκοπεῖον, ποίησον τὸν ἄρτον σου καὶ τίς ἡ χρεία τῆς ἐξαγωγῆς ταύτης;

13. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Μώτιον λέγων· ἐὰν ἀπέλθω μεῖναι εἰς τόπον, θέλεις διδάξω ἐκεῖ; ἀπεκρίθη αὐτῷ ὁ Γέρων· ἐὰν οἰκήσῃς εἰς τόπον, μὴ θελήσῃς ἑαυτῷ ἐκβαλεῖν ὄνομα, ὅτι οὐκ ἐξέρχομαι εἰς σύναξιν, ἢ εἰς ἀγάπην οὐκ ἐσθίω· ταῦτα γὰρ ὄνομα ποιοῦσι κενόν, καὶ ὕστερον εὑρήσεις ὄχλησιν· οἱ γὰρ ἄνθρωποι, ὅπου ἂν εὑρίσκωσι ταῦτα, ἐκεῖ τρέχουσι.

14. Σὺ οὖν, ὅπου ἂν καθίσῃς, ἴσος φαίνου τοῖς πᾶσι, καὶ εἴ τι βλέπεις τοὺς εὐλαβεστέρους ποιοῦντας εἰς οὓς πληροφορῇ, ποίησον καὶ αὐτὸς καὶ ἀναπαύῃ· δύο γὰρ ἀγαθὰ κερδαίνεις ἐκ τῆς πρὸς ἀλλήλους ἰσότητος, καὶ ταπείνωσιν κτώμενος, καὶ διαφεύγων τὴν ἐκ τῶν ἀνθρώπων δόξαν καὶ ὄχλησιν.

15. Ὁ Ἀββᾶς Νισθερὼ ὁ Μέγας περιεπάτει μετὰ ἀδελφοῦ τινος ἐν τῇ ἐρήμῳ

καὶ ἰδόντες δράκοντα ἔφυγον· καὶ λέγει αὐτῷ ὁ ἀδελφός· καὶ σὺ φοβῇ, Πάτερ; ἀπεκρίθη αὐτῷ ὁ Γέρων· οὐ φοβοῦμαι, τέκνον, ἀλλὰ συμφέρει ὅτι ἔφυγον, ἐπεὶ οὐκ εἶχον ἐκφυγεῖν τὸ πνεῦμα τῆς κενοδοξίας, ἤτοι ὑπερηφανίας.

16. Ἔλεγεν ὁ Ἀββᾶς Δανιήλ, ὅτι παρεβάλομέν ποτε τῷ Ἀββᾷ Ποιμένι, καὶ ἐγευσάμεθα ὁμοῦ· ὡς δὲ ἀνέστημεν ἀπὸ τῆς τραπέζης, εἶπεν ἡμῖν· ὑπάγετε ἀναπαυθῆτε μικρόν, ἀδελφοί· ἀπῆλθε δὲ κἀκεῖνος εἰς τὸ ἑαυτοῦ κελλίον· οἱ μὲν οὖν ἄλλοι, οἱ σὺν ἐμοὶ ἐλθόντες, ἀπῆλθον ἀναπαυθῆναι, ἐγὼ δὲ παρέμεινα λαλῆσαι τῷ Γέροντι κατὰ μόνας βουλόμενος· ὥρμησα οὖν ἀπελθεῖν πρὸς αὐτόν· ὁ δέ, ὡς εἶδε με ἐρχόμενον, ἔθηκεν ἑαυτὸν ὡς κοιμώμενον· αὕτη γὰρ ἦν ἡ ἐργασία τοῦ Γέροντος, τὸ πάντα ποιεῖν ἐν κρυπτῷ.

17. Ἦλθέ ποτε ὁ Ἀββᾶς Ἀδέλφιος ὁ Ἐπίσκοπος Ἡλιουπόλεως εἰς τὸν Ἀββᾶν Σισώην, εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου, καὶ μείνας παρὰ τῷ Γέροντι, ὡς ἔμελλεν ἐξελθεῖν, ἐποίησεν αὐτὸν ὁ Γέρων μετὰ τῶν ὑπ' αὐτὸν φαγεῖν ἔτι πρωΐας οὔσης, καὶ νηστείας, ἤγουν νηστίμου ἡμέρας· τεθείσης οὖν τραπέζης, ἐκάθισε καὶ ὁ Γέρων μετ' αὐτῶν φαγεῖν, καὶ ὡς ἤρξατο ἐσθίειν, ἰδοὺ ἀδελφοὶ ἔκρουσαν, καὶ εἶπεν ὁ Γέρων τῷ μαθητῇ αὐτοῦ· ὕπαγε δὸς αὐτοῖς μικρὰν ἀθήραν, ὅτι ἀπὸ κόπου εἰσί.

18. Λέγει αὐτῷ ὁ Ἀββᾶς Ἀδέλφιος· ἄφες πρὸς τὸ παρόν, ἵνα μὴ εἴπωσιν, ὅτι ὁ Ἀββᾶς Σισώης ἀπὸ πρωΐας ἐσθίει· προσχὼν δὲ αὐτῷ ὁ Γέρων, λέγει τῷ μαθητῇ αὐτοῦ· ὕπαγε δὸς αὐτοῖς· οἱ δὲ ἐλθόντες, ὡς εἶδον τὴν ἀθήραν, εἶπον τῷ ἀδελφῷ τῷ ταύτην ἐνεγκόντι· ξένους ἔχετε; μὴ καὶ ὁ Γέρων μεθ' ὑμῶν ἐσθίει; οἱ δὲ εἶπον, ναί.

19. Οἱ δὲ ἀκούσαντες, ἤρξαντο θλίβεσθαι καὶ λέγειν· ὁ Θεὸς συγχωρήσαι ὑμῖν, ὅτι ἀφήκατε τὸν Γέροντα φαγεῖν ἄρτι, ἢ οὐκ οἴδατε ὅτι ἕνεκεν τούτου ἐπὶ πολλὰς ἡμέρας ἔχει κοπιάσαι; ἤκουε δὲ ταῦτα καὶ ὁ Ἐπίσκοπος, καὶ ἔβαλε μετάνοιαν τῷ Γέροντι λέγων· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι ἀνθρώπινόν τι ἐλογισάμην, σὺ δὲ τὸ τοῦ Θεοῦ ἐποίησας· ἀπεκρίθη δὲ αὐτῷ ὁ Ἀββᾶς Σισώης· ἐὰν μὴ ὁ Θεὸς δοξάσῃ ἄνθρωπον, ἡ δόξα τοῦ ἀνθρώπου οὐδέν ἐστιν.

20. Ἔλεγον περὶ τῶν σκητιωτῶν, ὅτι εἰ κατέλαβέ τις τὴν ἐργασίαν αὐτῶν, ἤγουν ἔγνω, οὐκέτι ὡς ἀρετὴν εἶχον αὐτήν, ἀλλ' ὡς ἁμαρτίαν.

21. Εἶπε Γέρων· ἡ ἀνθρωπαρέσκεια πᾶσαν τὴν ποιότητα τοῦ ἀνθρώπου ἀναιρεῖ, ἤγουν τὴν διάθεσιν, ἢ καὶ ἕξιν ἐνάρετον, καὶ ἀφίησιν αὐτὸν ξηρόν.

22. Εἶπε πάλιν· ὁ φανερῶν καὶ δημοσιεύων τὰ καλὰ ἔργα αὐτοῦ, ὅμοιός ἐστι τῷ σπείροντι ὑπεράνω τῆς γῆς, καὶ ἐλθόντα τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγον αὐτά· ὁ δὲ κρύπτων τὴν πολιτείαν αὐτοῦ, ὡς ἐν αὔλαξι μέσον τῆς γῆς σπείρων, ὅς καὶ θερίσει πολλαπλασίονα.

Ἑρμηνεία

ΔΙΗΓΟΥΝΤΟ διὰ τὸν Ἀββᾶν Ἀρσένιον καὶ τὸν Ἀββᾶν Θεόδωρον, ποὺ ἠσκήτευεν εἰς Φέρμην, ὅτι ἐμίσουν τὴν δόξαν τῶν ἀνθρώπων περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους. Διὰ νὰ ἀποφεύγουν δὲ τὴν ματαίαν αὐτὴν δόξαν ὁ μὲν Ἀββᾶς Ἀρσένιος ἔκαμε πολὺν χρόνον νὰ συναντήσῃ ἄνθρωπον· ὁ δὲ Ἀββᾶς Θεόδωρος δὲν ἀπέφευγε μὲν τὴν συνάντησιν, ἀπευθυνόμενος ὅμως καὶ συζητῶν μετὰ τῶν ἀνθρώπων ἦτο τόσον ἀπότομος κατὰ τὴν ὁμιλίαν του, ὡς ἡ ρομφαία. Τοιουτοτρόπως δὲν προεκάλει τὴν συμπάθειαν τῶν ἀνθρώπων.

2. Κάποτε ἔζη ἕνας μεγάλος Ἀσκητής, ὅστις ἦτο καὶ Ἱερεύς. Τὸν ἔλεγον Εὐλόγιον. Αὐτὸς λοιπὸν ἐνήστευε δύο συγχρόνως ἡμέρας ἢ καὶ ὁλόκληρον τὴν ἑβδομάδα τὴν ἐπερνοῦσε χωρὶς νὰ φάγῃ ἀπολύτως τίποτε. Ὅταν δὲ κατέλυεν, ἔτρωγε μόνον ὀλίγον ἄρτον καὶ ἁλάτι. Τὸν Εὐλόγιον διὰ τὴν ἄσκησίν του τὸν ἐδόξαζον πολὺ οἱ ἄνθρωποι.

3. Μίαν ἡμέραν ὁ Εὐλόγιος ἐπεσκέφθη τὸν Ἀββᾶν Ἰωσήφ, ὅστις παρέμενεν εἰς Πανεφώ, καὶ ἀνέμενε νὰ συναντήσῃ πλησίον αὐτοῦ σκληροτέραν ἄσκησιν. Ὁ Ἀββᾶς Ἰωσὴφ τὸν ὑπεδέχθη χαρούμενος καὶ ἔδωσεν ἐντολὴν εἰς τὸν μαθητήν του νὰ ἑτοιμάσῃ τράπεζαν, πρὸς τιμὴν τῶν ἐπισκεπτῶν, ἀπὸ ὅσα ἔχουσιν. Ὅταν ἦλθεν ἡ ὡρισμένη ὥρα ἐκάθισαν διὰ νὰ φάγουν. Οἱ μαθηταί, ποὺ συνώδευον τὸν Εὐλόγιον, εἶπον εἰς τὸν Ἀββᾶν Ἰωσήφ: Ὁ Πρεσβύτερος δὲν τρώγει παρὰ μόνον ἄρτον καὶ ἁλάτι. Εἰς τὴν παρατήρησιν αὐτὴν ὁ Ἀββᾶς Ἰωσὴφ οὐδεμίαν ἀπάντησιν ἔδωσεν, ἀλλὰ ἔτρωγε σιωπηλός.

4. Ὁ Εὐλόγιος λοιπὸν μὲ τοὺς μαθητάς του παρέμειναν τρεῖς ἡμέρας· κατὰ τὸ διάστημα τῶν τριῶν αὐτῶν ἡμερῶν δὲν ἤκουσαν οὔτε τὸν Ἀββᾶν Ἰωσήφ, οὔτε κανένα ἀπὸ τὴν συνοδείαν του νὰ ψάλλῃ ἢ νὰ προσεύχεται ἐκφώνως. Αὐτὸ δὲ συνέβη, διότι ὁ Ἀββᾶς Ἰωσὴφ καὶ ἡ συνοδεία του ἐξετέλουν τὴν πνευματικὴν ἐργασίαν σιωπηλῶς καὶ μακρὰν τῆς προσοχῆς τῶν ἄλλων. Μετὰ ἀπὸ τρεῖς ἡμέρας οἱ ἐπισκέπται ἀνεχώρησαν, χωρὶς νὰ συναντήσουν αὐτό, ποὺ ἀνέμενον, καὶ ὡς ἐκ τούτου δὲν ὠφελήθησαν.

5. Τί οἰκονομεῖ ὅμως ὁ Θεὸς διὰ τὴν ψυχικήν των ὠφέλειαν;


Καθὼς ἐπέστρεφον εἰς τὴν σκήτην των ἔγινεν ὁμίχλη καὶ ἐσκοτείνιασε σχεδὸν ὁ τόπος· ὁ Εὐλόγιος λοιπὸν μὲ τὴν συνοδείαν του περιεπλανήθησαν εἰς τὴν ἔρημον· περιπλανώμενοι δὲ εὑρέθησαν πάλιν πρὸ τοῦ ἀσκητηρίου τοῦ Ἀββᾶ Ἰωσήφ. Ἐνῷ δὲ ἡτοιμάζοντο νὰ κτυπήσουν τὴν θύραν, διὰ νὰ τοὺς ἀνοίξουν, ἔξαφνα ἤκουσαν ἀπὸ μέσα νὰ ψάλλουν οἱ Μοναχοί. Τόσον δὲ κατανυκτικὴ ἦτο ἡ ψαλμῳδία, ὥστε παρέμειναν ἀκροώμενοι ἀρκετὸν διάστημα, χωρὶς ὅμως νὰ καταπαύῃ ἡ ψαλμῳδία. Τότε ἠναγκάσθησαν νὰ κτυπήσουν. Μόλις ἀντελήφθησαν τὰ κτυπήματα οἱ Μοναχοὶ τοῦ Ἀββᾶ Ἰωσὴφ ἀπὸ τὸ ἐσωτερικὸν τοῦ κελλίου, ἀμέσως ἐσταμάτησαν τοὺς ψαλμοὺς καὶ ἤνοιξαν, ὑποδεχθέντες μετὰ χαρᾶς τοὺς ξένους.

6. Τὴν πρώτην αὐτὴν κατάπληξιν διεδέχθη καὶ δευτέρα.

Ὁ Εὐλόγιος, λόγῳ τῆς ζέστης, ἐδίψασε καὶ ἐζήτησε νερό. Ἕνας λοιπὸν ἐκ τῶν Μοναχῶν τοῦ Ἀββᾶ Ἰωσὴφ τοῦ προσέφερε μὲ ἕνα πήλινον δοχεῖον νερὸ ποταμίσιον, ποὺ εἶχεν ὅμως ἀνακατευθῆ μὲ θαλασσινόν. Μόλις τὸ ἔβαλεν εἰς τὸ στόμα του ὁ Εὐλόγιος δὲν ἠδυνήθη νὰ τὸ πιῇ.

Ἀμέσως δὲ ἀντελήφθη, ὅτι αὐτὸ ἐγίνετο δι᾽ ἄσκησιν καὶ δι᾽ αὐτὸ ἔπεσε γονατιστὸς πρὸ τῶν ποδῶν τοῦ Ἀββᾶ Ἰωσὴφ καὶ τοῦ εἶπε:

— Τί εἶναι αὐτό, ποὺ βλέπω, Ἀββᾶ; Ὅταν εἴμεθα μαζὶ δὲν


Ο ΑΓΙΟΣ
ΕΥΛΟΓΙΟΣ

ἐψάλλετε καθόλου, ἐνῷ ἀφοῦ ἐφύγαμεν ἠσχολήθητε ἐπὶ μακρὸν μὲ τὴν ψαλμῳδίαν. Εἰς τὴν τράπεζαν πάλιν, ὅταν ἐκαθίσαμεν νὰ φάγωμεν, ἐπίνατε οἶνον. Τώρα ὅμως διαπιστώνω, ὅτι σεῖς χρησιμοποιεῖτε διὰ νὰ πίνετε νερὸ ἁλμυρό, ποὺ σχεδὸν δὲν ἠμπορεῖ νὰ τὸ πιῇ κανείς.

7. Ὁ Ἀββᾶς Ἰωσήφ, καταβάλλων καὶ τὴν ὑστάτην προσπάθειαν νὰ ἀποφύγῃ τὸν ἔπαινον καὶ τὰ ἐγκώμια τῶν ἀνθρώπων, ἀπήντησεν:

— Εὐλογημένε, λάθος ἔγινεν· ὁ ἀδελφός, ποὺ σοῦ προσέφερε νερό, εἶναι ὀλίγον ἐλαφρὸς κατὰ τὸν νοῦν καὶ τὸ ἀνακάτεψε μὲ θαλασσινό, χωρὶς νὰ τὸ προσέξῃ.

Αὐτὴν ὅμως τὴν ἐξήγησιν δὲν τὴν ἐδέχθη ὁ Εὐλόγιος καὶ δι' αὐτὸ μετ' ἐπιμονῆς παρεκάλει τὸν Γέροντα, νὰ τοῦ εἰπῇ τί ἀκριβῶς συμβαίνει.

Ὑπὸ τὴν πίεσιν αὐτὴν ὁ Ἀββᾶς Ἰωσὴφ ἠναγκάσθη νὰ τοῦ ἀποκαλύψῃ, μὲ μεγάλην του στενοχωρίαν, τὴν ἀλήθειαν.

—Ἐκεῖνος ὁ ὀλίγος οἶνος, ποὺ παρεθέσαμεν εἰς τὸ φαγητόν, ἦτο διὰ τὴν ἀγάπην σας. Οἱ Μοναχοὶ πίνουν μόνον ἀπὸ τὸ ὑφάλμυρον αὐτὸ ὕδωρ. Ἐπίσης, ὅταν εἴμεθα μόνοι, ψάλλομεν, ὅπως ἤκουσες. Ὅταν ὅμως ἔχωμεν ἐπισκέπτας, διὰ νὰ ἀποφεύγωμεν τοὺς ἐπαίνους, ἀποκρύπτομεν ἀπὸ τὴν προσοχήν των τὴν ἐργασίαν ἡμῶν· δι' αὐτὸ δὲν ἐψάλλαμεν τότε, κατ' οἰκονομίαν, περιφρουροῦντες τὴν ψυχὴν ἡμῶν ἀπὸ τῆς κενοδοξίας.

8. Ἐκ τῆς ἀφορμῆς αὐτῆς καὶ κατ' ἐπιθυμίαν τοῦ Ἀββᾶ Εὐλογίου, συνέχισεν ὁ Ἀββᾶς Ἰωσήφ.

— Οἱ Μοναχοὶ πρέπει νὰ εἶναι διακριτικοὶ καὶ νὰ ἐξοικονομοῦν μὲ σύνεσιν τὰς διαφόρους καταστάσεις, ὥστε οὔτε νὰ σκανδαλίζουν, οὔτε νὰ διεγείρουν τοὺς ἐπαίνους καὶ τὰ ἐγκώμια τῶν ἀνθρώπων.

Μὲ τὴν ὡραίαν αὐτὴν διδασκαλίαν ἀπέκοψεν ἀπὸ τὸν Ἀββᾶν Εὐλόγιον τὰ ὀλίγα ἴχνη τῆς ἀνθρωπαρεσκείας καὶ τὸν ἔπεισε νὰ ἐργάζεται πλέον κρυπτῶς, μακρὰν τῆς ἀνθρωπίνης προσοχῆς.

Ὁ Εὐλόγιος καὶ οἱ μαθηταί του ὠφελήθησαν πάρα πολύ. Ἀναχωροῦντες δὲ εἶπεν ὁ Εὐλόγιος πρὸς τὸν Ἀββᾶν Ἰωσήφ.

— Αὐτό, πράγματι, ποὺ κάνετε, εἶναι ἡ γνησία ἐργασία τῶν Μοναχῶν.

9. Ἕνας Ἀσκητὴς διηγήθη τὸ ἑξῆς περιστατικὸν διὰ τὸν Ἀββᾶν Θεόδωρον τῆς Φέρμης.

Κάποτε—ἔλεγεν ὁ Ἀσκητὴς αὐτὸς—μετέβην ἕνα ἀπόγευμα διὰ νὰ τὸν ἐπισκεφθῶ. Ἦτο καλοκαίρι καὶ τὸν εὑρῆκα νὰ φορῇ ἕνα πλεκτὸν ἐσχισμένον τόσον, ὥστε ἄφηνεν ἀκάλυπτον τὸ στῆθος του ἀπὸ τὴν μέσην καὶ ἐπάνω. Τὸ δὲ κουκούλιόν του δὲν τὸ ἐφόρει, ἀλλὰ ἦτο ριγμένον ἔμπροσθέν του.

Ἐνῷ δὲ συζητούσαμεν, ἦλθεν ἕνας ἀξιωματοῦχος ἐκ τῆς πόλεως διὰ νὰ τὸν ἴδῃ. Μόλις ἐκτύπησεν ὁ ξένος, ἐπετάχθη ἔτσι ὅπως ἦτο ὁ

Ἀββᾶς Θεόδωρος καὶ τὸν ὑπεδέχθη. Ἐκάθισε μαζί του εἰς τὴν θύραν καὶ ἤρχισαν νὰ συνομιλοῦν. Τότε ἐγώ, διὰ νὰ μὴ συνομιλῇ ἡμίγυμνος, ἔλαβον ἕνα μικρὸ κομμάτι παλαιοῦ ἐπανωφορίου καὶ τὸ ἔρριξα ἐπάνω εἰς τοὺς ὤμους του. Ἀμέσως ὅμως ὁ Γέρων τὸ ἐπῆρε μὲ τὴν χεῖρα του καὶ τὸ ἔρριψε κάτω.

10. Ὅταν ἔφυγεν ὁ ἐπισκέπτης μας, τοῦ εἶπον:

— Διατί, Ἀββᾶ, τὸ ἔκαμες αὐτό; ὁ ἄνθρωπος ἦλθε διὰ νὰ ὠφεληθῇ, ἢ μήπως διὰ νὰ βλαβῇ; Τί ἐντύπωσιν θὰ ἀπεκόμισεν, ἔτσι ποὺ σὲ εἶδε; Πῶς ἐξηγεῖς τὴν στάσιν σου αὐτήν;

— Μήπως ἔχεις τὴν γνώμην, ὅτι πρέπει ἀκόμη νὰ δουλεύωμεν τοὺς ἀνθρώπους, διὰ νὰ εἴμεθα ἀνθρωπάρεσκοι; Ἐκάμαμεν τὴν δουλειά μας καὶ ἔφυγεν. Ὅποιος λοιπὸν ἔχει ἐπιθυμίαν νὰ ὠφεληθῇ, θὰ ὠφεληθῇ· ὅποιος πάλιν ἀναζητεῖ ἀφορμὰς διὰ σκανδαλοθηρίαν, ἂς σκανδαλισθῇ. Ἐγὼ πάντως ὅπως εὑρεθῶ, χωρὶς νὰ προσποιηθῶ, διὰ νὰ ἀρέσω εἰς τοὺς ἀνθρώπους, θὰ ὑποδέχωμαι τοὺς ἐπισκέπτας μου.

11. Μετὰ τὴν ἐξήγησιν αὐτὴν ἔδωσε καὶ τὴν ἑξῆς ἐντολὴν εἰς τὸν μαθητήν του:

—Ἐὰν ἔλθῃ κανεὶς νὰ μὲ ἰδῇ, νὰ τοῦ εἰπῇς τὴν ἀλήθειαν· ἐὰν τρώγω, θὰ τοῦ εἰπῇς τρώγει, ἐὰν κοιμοῦμαι, θὰ τοῦ εἰπῇς κοιμᾶται. Δὲν θὰ μεταβάλῃς τὴν πραγματικότητα, διὰ νὰ τοῦ δημιουργήσῃς ψευδῆ ἐντύπωσιν, χάριν ἀνθρωπαρεσκείας.

Τόσον πολὺ ὁ Ἀββᾶς Θεόδωρος ἀπέφευγε τὴν ἀνθρωπίνην δόξαν, τὴν ὁποίαν θανασίμως ἐμίσει.

Ἡμεῖς, ποὺ πληροφορούμεθα τὰ λαμπρὰ αὐτὰ παραδείγματα, καὶ ἐὰν ἀκόμη δὲν ἠμποροῦμεν νὰ μιμηθῶμεν καθ' ὁλοκληρίαν τὴν ἀξιοθαύμαστον αὐτὴν πνευματικὴν ἐργασίαν τοῦ Γέροντος, διότι εἴμεθα ἀκόμη ἀσθενεῖς, ὥστε νὰ καταπατήσωμεν τελείως τὴν ἀνθρωπαρέσκειαν, τοὐλάχιστον ὅμως νὰ τὴν σιχαθῶμεν, ὁσάκις μολύνει τὴν συνείδησίν μας, διὰ νὰ μὴ γίνωμεν ἐχθροὶ τοῦ Θεοῦ, ἐπιδιώκοντες νὰ ἀρέσωμεν εἰς τοὺς ἀνθρώπους.

12. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν ἴδιον Ἀββᾶν Θεόδωρον:

— Μοῦ ἐπιτρέπεις, Ἀββᾶ, ὀλίγας ἡμέρας νὰ μὴ φάγω ἄρτον;

— Καλὰ κάμνεις—τοῦ ἀπήντησε—καὶ ἐγὼ τὸ ἴδιον ἔκαμα.

—Ἐπιθυμῶ λοιπὸν νὰ πάρω τὰ ρεβίθια μου καὶ νὰ πάω εἰς τὸ ἀρτοποιεῖον νὰ κάμω ἀλεύρι.

—Ἐὰν ἔχῃς σκοπὸν νὰ μεταβῇς εἰς τὸ ἀρτοποιεῖον, πήγαινε καλύτερα νὰ ζυμώσῃς τὸ ψωμί σου. Εἰς τί ἐχρειάζετο ὅμως ὅλη αὐτὴ ἡ συζήτησις;

13. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶ Μώτιον:

—Ἐὰν φύγω εἰς ἕνα μέρος, ποὺ ἔχω ὑπ' ὄψιν μου, θέλεις νὰ διδάξω τοὺς ἀνθρώπους τοῦ μέρους ἐκείνου;

— Πρόσεξε, τέκνον μου,—ἀπήντησεν ὁ Γέρων. Ὅπου κατοικήσῃς, μὴ ἐπιδιώξῃς νὰ προβάλῃς τὸ ὄνομά σου. Καὶ θὰ προβάλῃς τὸ ὄνομά σου, ἐφελκύων τοὺς ἐπαίνους τῶν ἀνθρώπων, ὅταν σὲ ἀντιληφθοῦν νὰ ζῇς αὐστηρὰ καὶ νὰ λέγῃς π. χ., ἐγὼ παραμένω ἔγκλειστος καὶ δὲν δύναμαι νὰ προσέλθω εἰς τὴν σύναξιν τῶν ἀδελφῶν, ἢ νηστεύω καὶ δὲν δύναμαι νὰ παρακαθήσω εἰς τράπεζαν διὰ νὰ φάγω.

Κάτι τέτοια διαφημίζουν χωρὶς λόγον τὸν ἄνθρωπον καὶ μετὰ θὰ ἐνοχληθῇς, διότι οἱ ἄνθρωποι—ἐξ εὐλαβείας—ὅπου ἀνακαλύπτουν τοιαύτας ἀρετὰς (τὰς ὁποίας θεωροῦν τελειότητας) ἐκεῖ τρέχουν μετὰ προθυμίας.

14. Σὺ λοιπόν, ὅπου πρόκειται νὰ παραμείνῃς, νὰ ζῇς, ὅπως ζοῦν καὶ οἱ ἄλλοι, διὰ νὰ μὴ φαίνεσαι ἀνώτερος ἀπὸ αὐτούς. Ἐὰν βλέπῃς νὰ κάνουν κάτι ἐπὶ πλέον οἱ εὐλαβέστεροι, διὰ τοὺς ὁποίους ἔχεις τὴν πληροφορίαν τῆς Χάριτος, ὅτι κατὰ Θεὸν καὶ γνησίως ἐργάζονται, φρόντιζε καὶ σὺ νὰ τὸ κάμῃς, διὰ νὰ ἀναπαύῃς τὸν λογισμόν σου. Μὲ τὴν ὁμοιότητα αὐτὴν τῆς ζωῆς σου, πρὸς τὴν ζωὴν τῶν ἄλλων, δύο πολύτιμα ἀγαθὰ κερδίζεις· καὶ ταπείνωσιν ἀποκτᾷς, ἀλλὰ καὶ ἀποφεύγεις τοὺς ἐπαίνους καὶ τὴν ἐνόχλησιν τῶν ἀνθρώπων, τὰ ὁποῖα εἶναι ἐνδεχόμενον νὰ σὲ ρίψουν εἰς τὴν κενοδοξίαν.

15. Κάποτε ὁ Μέγας Νισθερώ, ὁ Ἀββᾶς, ἐβάδιζεν εἰς τὴν ἔρημον μαζὶ μὲ ἕνα ἄλλον ἀδελφόν. Ἔξαφνα βλέπουν μέγαν ὄφιν καὶ ἐκ φόβου ἔφυγον.

Ὅταν ἀπεμακρύνθησαν ἀπὸ τὸ ἐπικίνδυνον αὐτὸ ἑρπετόν, λέγει ὁ ἀδελφὸς εἰς τὸν Ἀββᾶν Νισθερώ:

— Καὶ σύ, Πάτερ μου, ἐφοβήθης;

— Δὲν φοβοῦμαι, τέκνον μου, ἀλλὰ συμφέρει νὰ ἀποφεύγωμεν τὸν κίνδυνον, ἀπομακρυνόμενοι ἐξ αὐτοῦ, διότι τοιουτοτρόπως δὲν θὰ πολεμηθῶμεν ἀπὸ τὸ κακὸν πνεῦμα τῆς κενοδοξίας, δηλαδὴ τῆς ὑπερηφανείας (1).

16. Ὁ Ἀββᾶς Δανιὴλ διηγεῖτο τὸ ἑξῆς περιστατικόν: Κάποτε, ἔλεγε, συνηντήθημεν μὲ τὸν Ἀββᾶν Ποιμένα καὶ ἐφάγαμεν μαζί. Ὅταν δὲ ἐτελείωσε τὸ φαγητὸν καὶ ἐσηκώθημεν ἀπὸ τὸ τραπέζι, μᾶς εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ἀδελφοί, πηγαίνετε τώρα νὰ ξεκουρασθῆτε λιγάκι. Οἱ σύντροφοί μου λοιπὸν ἀπεχώρησαν διὰ νὰ ἀναπαυθοῦν· ἐγὼ ὅμως παρέμεινα ὀλίγον, διότι ἐπεθύμουν νὰ συνομιλήσω ἰδιαιτέρως μὲ τὸν

---

1) Ἡ σκέψις αὕτη τοῦ Ἁγίου Ἀσκητοῦ εἶναι ἐμπεποτισμένη ἀπὸ κατανυκτικὴν ταπείνωσιν, ἀλλὰ καὶ ἀπὸ τὸ παράδειγμα τοῦ εἰς τὴν ἔρημον πειρασθέντος Ἰησοῦ· «Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γάρ, ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἔφη αὐτῷ ὁ Ἰησοῦς, πάλιν γέγραπται· οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου» (Ματθ. δ', 6—7).

Γέροντα. Πρὸς τὸν σκοπὸν λοιπὸν αὐτὸν εἰσῆλθον εἰς τὸ κελλίον τοῦ Γέροντος. Ὁ Ἀββᾶς, ποὺ δὲν ἀνέμενεν ἐπίσκεψιν, προσηύχετο. Μόλις ὅμως μὲ ἀντελήφθη, ἀμέσως ἔπεσεν εἰς τὸ κρεββάτι του καὶ προσεποιεῖτο τὸν κοιμισμένον. Μὲ αὐτὸν τὸν ἀξιέπαινον τρόπον εἰργάζετο ὁ Γέρων· κρυφά, χωρὶς ἐπιδείξεις, χωρὶς νὰ τὸν προσέχουν οἱ ἄνθρωποι.

17. Κάποτε ὁ Ἀββᾶς Ἀδέλφιος, ὁ Ἐπίσκοπος Ἡλιουπόλεως, ἐπεσκέφθη τὸν Ἀββᾶν Σισώην, ποὺ διέμενεν εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου. Πλησίον του παρέμεινεν ἀρκετὰς ἡμέρας. Ὅταν δὲ ἐπρόκειτο νὰ ἀναχωρήσῃ, ὁ Ἀββᾶς Σισώης ἡτοίμασε φαγητὸν διὰ τὸν Ἀββᾶν Ἀδέλφιον καὶ τὴν συνοδείαν του, καίτοι ἦτο πρωῒ καὶ ἡμέρα μάλιστα νηστείας. Ἀφοῦ λοιπὸν ἡτοιμάσθη ἡ τράπεζα ἐκάθισε καὶ ὁ Ἀββᾶς Σισώης νὰ φάγῃ μαζί των. Μόλις ἤρχισαν νὰ τρώγουν ἐκτύπησεν ἡ θύρα. Τότε ὁ Ἀββᾶς Σισώης, χωρὶς νὰ διακόψῃ τὸ φαγητόν του, ἀπευθύνεται πρὸς τὸν ὑποτακτικόν του καὶ τοῦ λέγει:

— Πήγαινε καὶ δῶσε τους ὀλίγον πληγούρι, διότι οἱ ἀδελφοί, ποὺ μᾶς ἦλθαν, εἶναι κουρασμένοι.

18. Παρεμβαίνων ὁ Ἀββᾶς Ἀδέλφιος καὶ διὰ νὰ μὴ κατηγορήσωσι τὸν Γέροντα, ἐπειδὴ ἔτρωγεν εἰς ἀκατάλληλον ὥραν, λέγει:

—Ἄς παραμείνωσιν ὀλίγον ἔξω, ἕως ὅτου φύγωμεν, διὰ νὰ μὴ εἴπουν, ὅτι ὁ Ἀββᾶς Σισώης τρώγει εἰς ἀκατάλληλον ὥραν.

Ὁ Ἀββᾶς Σισώης, ἀφοῦ τὸν ἐκοίταξεν ὀλίγον, ἐπανέλαβε πάλιν πρὸς τὸν μαθητήν του τὴν ἐντολήν:

— Πήγαινε, φίλεψέ τους, ὅπως σοῦ εἶπα. Οἱ ἀδελφοί, ποὺ ἦλθον τὴν ὥραν ἐκείνην, μόλις εἶδον τὰ φιλεύματα, ποὺ τοὺς παρέθεσαν, ἠρώτησαν τὸν ὑποτακτικόν, ποὺ τὰ ἔφερεν.

—Ἔχετε ξένους;

— Μάλιστα, ἀπήντησεν ὁ ὑποτακτικός.

— Μήπως τρώγει μαζί σας καὶ ὁ Γέροντας;

— Μάλιστα, ἐπανέλαβεν.

19. Οἱ ἀδελφοί, μόλις ἤκουσαν αὐτό, ἤρχισαν νὰ στενοχωροῦνται.

—Ἄχ! εὐλογημένοι — τοὺς εἶπον — ὁ Θεὸς νὰ σᾶς συγχωρήσῃ, ποὺ ἀφήσατε τοιαύτην ὥραν, καὶ μάλιστα εἰς ἡμέραν νηστείας, τὸν Γέροντα νὰ φάγῃ. Ἤ μήπως δὲν γνωρίζετε, ὅτι δι' αὐτὴν τὴν συγκατάβασιν θὰ ἀγωνισθῇ σκληρῶς ἐπὶ πολλὰς ἡμέρας;

Τὴν συζήτησιν αὐτὴν τὴν ἤκουσε καὶ ὁ Ἐπίσκοπος. Ἀμέσως δὲ ἐσηκώθη καὶ ἔβαλε μετάνοιαν εἰς τὸν Ἀββᾶν λέγων συγκινημένος πρὸς αὐτόν:

— Συγχώρεσέ με, Ἀββᾶ, διότι ἐγὼ ἐσκέφθην ὡς ἄνθρωπος, ἐνῷ σὺ ἐξετέλεσας αὐτό, ποὺ διατάσσει ὁ Θεός (1).

—Ἐὰν ὁ Θεὸς δὲν δοξάσῃ τὸν ἄνθρωπον, καμμίαν ἀξίαν δὲν

---

1) Ὁ Ἐπίσκ[illegible] δηλαδὴ συνέστησεν εἰς τὸν Ἀσκητὴν νὰ ἀποκρύψῃ τὴν

ἔχει ἡ δόξα τῶν ἀνθρώπων. Ἄς μὴ μᾶς ἐνοχλοῦν λοιπὸν οἱ ἔπαινοι ἢ αἱ ἐπικρίσεις τῶν ἀνθρώπων.

20. Ὅσοι ἐγνώρισαν ἐκ τοῦ πλησίον τοὺς Μοναχούς, ποὺ ἔζων αὐστηρῶς εἰς τὰς σκήτας, ἔλεγον περὶ αὐτῶν ὅτι ἐὰν κανεὶς ἀντελαμβάνετο τὴν πνευματικὴν ἐργασίαν των, ἐθεώρουν πλέον αὐτὴν ὡς ἁμαρτίαν, καὶ ὄχι ὡς ἀρετήν.

21. Ἕνας γέρων Ἀσκητὴς εἶπεν, ὅτι ἡ ἀνθρωπαρέσκεια καταστρέφει τὸ ἐσωτερικὸν ἦθος τοῦ ἀνθρώπου, δηλαδὴ τὴν διάθεσιν νὰ ἐκτελῇ τὸ ἀγαθόν, ἢ καὶ αὐτὴν ἀκόμη τὴν συνήθειαν τῆς ἀρετῆς, καὶ τὸν ἀφήνει ξηρόν, ὅπως τὸ ἄγονον ἔδαφος εἰς τὸ ὁποῖον δὲν φυτρώνει τίποτε.

22. Ὁ ἴδιος πάλιν ἐχρησιμοποίησε τὴν κατωτέρω ὡραίαν παρομοίωσιν διὰ τὸν ἀνθρωπάρεσκον:

—Ἐκεῖνος, ποὺ φανερώνει τὰ καλά του ἔργα καὶ τὰ γνωρίζει ὁ κόσμος, ὁμοιάζει μὲ αὐτὸν ποὺ σπέρνει, ἀλλὰ οἱ σπόροι πέφτουν ἔξω ἀπὸ τὸ καλλιεργημένο χωράφι καὶ ἔρχονται τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τοὺς τρώγουν. Ἀπ' ἐναντίας, αὐτὸς ποὺ ἀποκρύπτει εἰς τὴν σιωπὴν τὴν πνευματικήν του πολιτείαν, ὁμοιάζει μὲ ἐκεῖνον, ποὺ προσέχει καὶ ρίπτει τοὺς σπόρους μέσα εἰς τὰ αὐλάκια τοῦ καλλιεργημένου χωραφιοῦ· αὐτὸς ἀσφαλῶς πολλὰ θὰ θερίσῃ κατὰ τὴν ἐποχὴν τοῦ θερισμοῦ:



παρατυπίαν ἀπὸ τοὺς ἐλθόντας ἀδελφούς, διὰ νὰ μὴ κατηγορηθῇ· ἐνῷ ὁ Ἀσκητής, διὰ νὰ μὴ ὑποκριθῇ, προετίμησε τὴν κατάκρισιν τοῦ ἑαυτοῦ του ἀπὸ τὴν ἀνθρωπαρέσκειαν.

1) Ἡ παρομοίωσις στηρίζεται εἰς τὴν παραβολὴν τοῦ Σπορέως (Ματθ. ιγ', 3—9, Μάρκ. δ', 3—9, Λουκ. η', 5—9).

ΥΠΟΘΕΣΙΣ ΚΣΤ'

Ὅτι οὐ δεῖ μεταδιώκειν τὰς φιλίας τῶν κατὰ κόσμον περιφανῶν.

Δὲν πρέπει νὰ ἐπιδιώκωμεν τὰς φιλίας τῶν κατὰ κόσμον ἐπιφανῶν.

Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀρσενίου

Ο ΜΕΓΑΣ ΑΡΣΕΝΙΟΣ οὐ μόνον τοῖς πλησίον ἀξιοθέατος ἦν, καὶ πολλοῖς πρὸς αὐτὸν ἰοῦσιν ὠφελείας αἴτιος, ἀλλὰ καὶ μήκοθεν οὐκ ὀλίγοι φοιτῶντες, πολὺν ἔρωτα εἶχον ὄψιν τε ἰδεῖν Ἀρσενίου καὶ τοῖς αὐτοῦ ῥήμασιν ἐνεστιαθῆναι.

2. Ἁπανταχοῦ γὰρ ἡ τῆς ἀρετῆς ἐκείνου διέδραμε φήμη, καὶ τὰς ἀκοὰς πεπλήρωκε πάντων, δι' ἣν αἰτίαν καὶ πολλοὶ τῶν Ἀλεξανδρέων ὡς αὐτὸν ἦεσαν, ὥστε καὶ αὐτὸν ἐκεῖνον Θεόφιλον, φημὶ δὴ τὸν Ἀρχιεπίσκοπον, μέγα τὸ πρᾶγμα ἡγησάμενον, καὶ περὶ ἐλαχίστου τοὺς τῆς ὁδοῦ κόπους θέμενον ἅμα τῷ Ἄρχοντι τῆς πόλεως ἀφικέσθαι καὶ λόγων ὠφελείας δεῖσθαι τῶν παρ' αὐτοῦ.

3. Ὁ δὲ μικρὸν ἀποσιωπήσας, εἶτα καὶ ἀπεκρίνατο· καὶ ἐὰν ὑμῖν εἴπω τι, ὁμολογεῖτε τοῦτο φυλάξαι; καὶ αὐτοὶ εὐθὺς κατετίθεντο· ὁ δέ, ἔνθα ἂν καὶ ἀκούσητε Ἀρσένιον εἶναι, τοῦτο δὴ φυλακτέον ὑμῖν, τοῦ μὴ ἐθελῆσαι ποτὲ πρὸς αὐτὸν ἀφικέσθαι· εὔφρανε τὸ ῥηθὲν αὐτούς, οὐκ ἐλύπησε, τὸ φιλήσυχον τοῦ ἀνδρὸς τούτου καὶ μέτριον ἄκρως μεμαθηκότας.

4. Πλὴν ἀλλὰ καὶ μετὰ ταῦτα γοῦν τοῦ Ἀρχιεπισκόπου τὴν πρὸς αὐτὸν ἄφιξιν ἐκζητήσαντος, καὶ διά τινος ἐρωμένου, εἴ γε δὴ παραγενομένῳ διανοίξειεν αὐτῷ τὴν θύραν, εἰ παραγένῃ ἔφησεν, ἀνοίξω· εἰ δέ σοι ἀνοίξω, εὔδηλον ὅτι καὶ πολλοῖς ἑτέροις, τὸ δὲ λειπόμενον, ἐμὲ τῶν ἐνταῦθα μακρὰν ἀποστῆναι· τοῦτο ἀκούσαντα τὸν Ἀρχιεπίσκοπον, μὴ προσθῆναι ἔτι μηδὲν τοιοῦτον παρ' αὐτοῦ αἰτῆσαι.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΑΡΣΕΝΙΟΣ ἦτο περιζήτητος ὄχι μόνον εἰς ὅσους παρέμενον κοντά του, ἀλλὰ ὠφέλει ψυχικῶς καὶ πολλοὺς ἐξ αὐτῶν, ποὺ ἤρχοντο εἰς τὴν σκήτην του. Ἐπὶ πλέον καὶ πολλοὶ ἄλλοι, μακρὰν αὐτοῦ εὑρισκόμενοι, ἔτρεφον φλογερὰν ἐπιθυμίαν νὰ ἴδουν τὸ πρόσωπόν του καὶ νὰ τραφοῦν ἀπὸ τὴν διδασκαλίαν του.

2. Εἰς ὅλα τὰ μέρη εἶχε τρέξει ἡ φήμη τῆς ἀρετῆς του καὶ ὅλοι εἶχον ἀκούσει περὶ αὐτοῦ. Ἐξ αἰτίας τῆς καλῆς αὐτῆς φήμης πολλοὶ κάτοικοι τῆς Ἀλεξανδρείας ἤρχοντο πρὸς αὐτόν, διὰ νὰ τὸν γνωρίσουν καὶ νὰ λάβουν τὴν εὐλογίαν του. Καὶ αὐτὸς ἀκόμη ὁ Πατριάρχης Ἀ-

λεξανδρείας, ὁ Θεόφιλος, τὸ ἐθεώρησε σπουδαῖον πρᾶγμα νὰ τὸν ἐπισκεφθῇ· δι' αὐτό, χωρὶς νὰ ὑπολογίσῃ τοὺς κόπους τῆς ὁδοιπορίας, τὸν ἐπεσκέφθη μαζὶ μὲ τὸν διοικητὴν τῆς πόλεως, αἰσθανόμενος τὴν ἀνάγκην νὰ ὠφεληθῇ ἐκ τῆς διδασκαλίας του. Ὁ Μέγας Ἀρσένιος, ἀφοῦ ὑπεδέχθη φιλοφρόνως τοὺς ὑψηλοὺς αὐτοὺς ξένους, ἐπί τι διάστημα τοὺς παρετήρει σιωπηλός.

3. Μετὰ τὴν χαρακτηριστικὴν αὐτὴν σιωπὴν τοὺς ἠρώτησεν:

—Ἐὰν σᾶς εἰπῶ κάτι, ἠμπορεῖτε νὰ μὲ βεβαιώσετε, ὅτι θὰ τὸ ἐφαρμόσετε;

Οἱ ἐπισκέπται του τὸν ἐβεβαίωσαν, ὅτι θὰ ἐφαρμόσουν τὰς ὑποδείξεις του.

Τότε ἐκεῖνος συνέχισεν:

— Αὐτό, ποὺ ζητῶ ἀπὸ σᾶς νὰ φυλάξετε, εἶναι νὰ μὴ θελήσετε ποτὲ νὰ μεταβῆτε ἐκεῖ, ποὺ θὰ ἀκούσετε, ὅτι εὑρίσκεται ὁ Ἀρσένιος!


Ἡ σύστασις αὐτὴ ἰδιαιτέρως ἐχαροποίησε τοὺς ἐπισκέπτας τοῦ Μεγάλου Ἀρσενίου, χωρὶς νὰ τοὺς λυπήσῃ ἡ ἀξίωσίς του νὰ ἀποφεύγῃ τοὺς ἀνθρώπους. Εἰς τοὺς λόγους αὐτοὺς διέκριναν τὴν ἀγάπην πρὸς τὴν ἡσυχίαν καὶ τὴν μετριοφροσύνην τοῦ Μεγάλου Ἀρσενίου.

4. Μεταξὺ τῶν ἄλλων ὁ Ἀρχιεπίσκοπος ἐζήτησεν ἀπὸ τὸν Μέγαν Ἀρσένιον νὰ τὸν ἐπισκεφθῇ εἰς Ἀλεξάνδρειαν· ἐπίσης παρεκάλεσεν ὁ Θεόφιλος ἕνα προσφιλὲς εἰς τὸν Ἀσκητὴν πρόσωπον, νὰ ἐρωτήσῃ ἐὰν θὰ τοῦ ἤνοιγε τὴν θύραν τοῦ κελλίου του, ὅταν θὰ ἤρχετο καὶ πάλιν. Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Μέγας Ἀρσένιος ἀπήντησεν, ὅτι ἐφ' ὅσον ἔλθῃς, θὰ σοῦ ἀνοίξω· ὄχι μόνον δὲ εἰς σὲ θὰ ἀνοίξω, ἀλλὰ καὶ εἰς πολλοὺς ἄλλους, ποὺ θὰ ἔλθουν ἐδῶ· τότε ὅμως ἕνα πρᾶγμα θὰ ἀπομένῃ πλέον εἰς ἐμέ· νὰ ἀπομακρυνθῶ ἀπὸ ὅσους θὰ συναχθοῦν ἐδῶ. Μόλις ἤκουσεν αὐτὸ ὁ Ἀρχιεπίσκοπος καὶ ἀντελήφθη, ὅτι ὁ Μέγας Ἀρσένιος δὲν ἐνθουσιάζεται ἀπὸ τὴν φιλίαν καὶ τὴν ἐκτίμησιν τῶν σπουδαίων ἀνθρώπων τοῦ κόσμου, ἐσταμάτησε πλέον καὶ δὲν ἐζήτησε τίποτε σχετικόν.

Β'. Ἐν τῷ Γεροντικῷ

ΗΝ ΤΙΣ ΚΟΜΗΣ ἐν τοῖς μέρεσι τοῦ Ἀββᾶ Ὢρ, Λογγῖνος καλούμενος, καὶ πολλὰς ἐλεημοσύνας ἐποίει, καὶ παραβαλών τινι τῶν Πατέρων παρεκάλεσεν ἵνα ἀπαγάγῃ αὐτὸν πρὸς τὸν Ἀββᾶν Ὢρ. Ἀπελθὼν οὖν πρὸς τὸν Γέροντα ὁ Μοναχός, ἐνεκωμίαζε τὸν κόμητα, ὅτι καλός ἐστι, καὶ πολλὰς ἐλεημοσύνας ποιεῖ, καὶ νοήσας ὁ Γέρων λέγει· ναί, καλός ἐστι· ὁ δὲ Μοναχὸς ἤρξατο παρακαλεῖν αὐτὸν λέγων· συγχώρησον αὐτῷ, Ἀββᾶ, ἵνα ἔλθῃ καὶ ἴδῃ σε· καὶ ἀποκριθεὶς ὁ Γέρων εἶπε· φύσει οὐ περᾷ τὴν φάραγγα ταύτην, οὐδὲ βλέπει με.

2. Ἔμεινέ τις Μοναχὸς Αἰγύπτιος ἐν προαστείῳ Κωνσταντινουπόλεως, ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως· διαβαίνων δὲ τὴν ὁδὸν ἐκείνην ὁ βασιλεύς, κατέλιπε πάντας καὶ ἔρχεται μόνος, καὶ στὰς πρὸ τῆς θύρας τοῦ Μοναχοῦ,


Ο ΟϹΙΟϹ
ΩΡ
IC XC
NI KA

ἔκρουεν· ὁ δὲ ἀνοίξας ἐπέγνω μὲν τίς ἦν, ἐδέξατο δὲ αὐτὸν ὡς ἕνα ταξεώτην.

3. Ὡς οὖν εἰσῆλθεν, ἐποίησεν ὁ Γέρων εὐχὴν καὶ ἐκάθισαν· ἠρώτησε δὲ αὐτὸν ὁ βασιλεύς· πῶς οἱ Πατέρες οἱ ἐν Αἰγύπτῳ; ἀπεκρίθη ὁ Γέρων· πάντες εὔχονται τὴν σωτηρίαν σου· ἀναστὰς δὲ ὁ Γέρων, ἔβρεξεν αὐτῷ ἄρτους καὶ ἔβαλε μικρὸν ἔλαιον καὶ ἅλας, καὶ παραθεὶς αὐτῷ εἶπε· φάγε μικρόν· ὁ δὲ ἔφαγε, καὶ ἐπέδωκεν αὐτῷ ὕδωρ καὶ ἔπιεν· εἶπε δὲ αὐτῷ ὁ βασιλεύς· οἶδας τίς εἰμι; καὶ φησιν ὁ Γέρων· ὁ Θεὸς οἶδέ σε· εἶτα ἐκεῖνος· Θεοδόσιος εἰμί, ὁ βασιλεύς· καὶ εὐθὺς προσεκύνησεν αὐτῷ ὁ Γέρων.

4. Λέγει πάλιν ὁ βασιλεύς· Μακάριοι ἡμεῖς οἱ ἀμέριμνοι τοῦ βίου· ἐπ' ἀληθείας δὲ λέγω, ὅτι καίπερ ἐν τῇ βασιλείᾳ γεννηθείς, οὐδέ ποτε ἀπήλαυσα ἄρτου καὶ ὕδατος ὡς σήμερον, πάνυ γὰρ ἡδέως ἔφαγον· ἤρξατο δὲ ἀπὸ τότε τιμᾶν αὐτὸν ὁ βασιλεύς· ὁ δὲ Γέρων ἀναστάς, ἔφυγε καὶ ἦλθε πάλιν εἰς Αἴγυπτον.

5. Εἶπε Γέρων· μὴ ἔχε γνῶσιν μετὰ Ἡγουμένου, μηδὲ σύχναζε πρὸς αὐτόν· ἐκ τούτου γὰρ καὶ παῤῥησίαν ἕξεις, καὶ τοῦ ἡγεῖσθαι λοιπὸν ἐπιθυμήσεις.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ ΠΕΡΙΟΧΗΝ, ποὺ ἠσκήτευεν ὁ Ἀββᾶς Ὢρ, εἰς μίαν πόλιν πλησίον αὐτῆς, ἔζη ἕνας κόμης, ὀνομαζόμενος Λογγῖνος. Ὁ Λογγῖνος αὐτὸς ἦτο ἐλεήμων καὶ εὐλαβής. Ἐπειδὴ δὲ ἐσέβετο πολὺ τὸν Ἀββᾶν Ὢρ, τὸν ὁποῖον μόνον ἐκ φήμης ἐγνώριζεν, παρεκάλεσεν ἕνα Μοναχὸν νὰ τὸν ὁδηγήσῃ πλησίον τοῦ ὀνομαστοῦ αὐτοῦ Ἀσκητοῦ. Ὁ Μοναχός, ποὺ ἐγνώριζε πόσον δυσκόλως δέχεται ὁ Ὅσιος Ὢρ κοσμικοὺς ἀνθρώπους, ἦλθε μίαν ἡμέραν εἰς αὐτὸν καὶ ἤρχισε νὰ ἐπαινῇ τὸν Λογγῖνον, ἐξαίρων τὰς ἀρετάς του καὶ τὰς ἐλεημοσύνας του. Ὁ Γέρων ἀντελήφθη τὸν σκοπὸν τῶν ἐπαίνων καὶ τῶν ἐγκωμίων καὶ τοῦ ἀπαντᾷ· πράγματι καλὸς εἶναι· ὁ Θεὸς νὰ τὸν στηρίζῃ.

Ὁ Μοναχὸς τότε, ὡς νὰ ἔλαβε θάῤῥος, ἤρχισε νὰ τὸν παρακαλῇ:

— Γέροντά μου, κάμε ἀγάπην νὰ τοῦ ἐπιτρέψῃς νὰ ἔλθῃ νὰ σὲ γνωρίσῃ.

— Εἶναι ἀδύνατον, ἀπήντησεν ὁ Ὅσιος Ὢρ, νὰ περάσῃ αὐτὸ τὸ φαράγγι καὶ νὰ μὲ ἰδῇ.

2. Ἕνας Μοναχὸς ἀπὸ τὴν Αἴγυπτον διέμενεν εἰς ἕνα προάστιον τῆς Κωνσταντινουπόλεως, κατὰ τὴν ἐποχήν, ποὺ ἐβασίλευεν εἰς τὸ Βυζάντιον ὁ αὐτοκράτωρ Θεοδόσιος ὁ Μικρός.

Μίαν λοιπὸν ἡμέραν διήρχετο ἐκ τοῦ δρόμου, ὅπου ἦτο ὁ οἰκίσκος τοῦ Μοναχοῦ, ὁ αὐτοκράτωρ. Οὗτος ἀμέσως ἐγκατέλειψε τὴν συνοδείαν του καὶ ἐκτύπησε τὴν θύραν τοῦ μοναχικοῦ καταλύματος. Εἰς τοῦτο προέβη ὁ αὐτοκράτωρ ἐξ ἑνὸς αἰσθήματος σεβασμοῦ πρὸς τὸ μοναχικὸν σχῆμα. Ὁ Μοναχὸς ἤνοιξε καὶ ἀντελήφθη ἀμέσως τὴν ἰδιότητα τοῦ ἐπισκέπτου του, πλὴν ὅμως τὸν ὑπεδέχθη ὡς ἕνα κοινὸν ἄνθρωπον, χωρὶς ἰδιαιτέρας φιλοφρονήσεις.

3. Ἀφοῦ εἰσῆλθεν ὁ αὐτοκράτωρ καὶ ὁ Γέρων ἔκαμε τὴν καθιερωμένην εὐχήν, ἐκάθισαν καὶ ἤρχισαν νὰ συζητοῦν.

— Πῶς περνοῦν, Γέροντα, οἱ Πατέρες εἰς τὴν Αἴγυπτον; ἠρώτησεν ὁ αὐτοκράτωρ.

—Ὅλοι εὔχονται διὰ τὴν σωτηρίαν τῆς ψυχῆς σου, ἀπήντησε μὲ ἁπλότητα ὁ Γέρων.

Ἐνῷ δὲ συνεζήτουν, ἠγέρθη ὁ Γέρων καὶ ἔβρεξεν ὀλίγα παξιμάδια· αὐτὰ τὰ παξιμάδια μὲ ὀλίγον ἔλαιον καὶ ἁλάτι τὰ παρέθεσεν ἐνώπιον τοῦ αὐτοκράτορος, διὰ νὰ τὸν φιλεύσῃ.

— Φάγε ὀλίγον, εἶπεν ὁ Γέρων πρὸς τὸν αὐτοκράτορα.

Ὁ αὐτοκράτωρ μὲ εὐχαρίστησιν καὶ προθυμίαν ἔφαγε τὰ προσφερθέντα· τοῦ προσέφερε δὲ καὶ ὕδωρ καὶ ἔπιεν.

Εἰς μίαν στιγμὴν ἐρωτᾷ ὁ αὐτοκράτωρ τὸν Μοναχόν:

— Γνωρίζεις ποῖος εἶμαι;

—Ὁ Θεὸς σὲ γνωρίζει, ἀπήντησε χωρὶς ταραχὴν ὁ Μοναχός.

— Εἶμαι ὁ βασιλεὺς Θεοδόσιος.

Τότε ὁ Μοναχὸς ὑπέβαλε τὸν ὀφειλόμενον σεβασμὸν πρὸς τὸν αὐτοκράτορα, χωρὶς ἄλλας δουλοπρεπεῖς ἐκδηλώσεις.

4. Κατόπιν αὐτοῦ συνέχισε πάλιν ὁ αὐτοκράτωρ:

— Σεῖς οἱ Μοναχοὶ εἶσθε πράγματι μακάριοι, διότι δὲν ἐνοχλεῖσθε ἀπὸ τὰς μερίμνας τοῦ βίου. Πραγματικὰ σοῦ λέγω, Γέροντά μου, ὅτι ἂν καὶ ἔχω γεννηθῇ μέσα εἰς τὰ βασιλικὰ παλάτια, ἐν τούτοις ποτὲ δὲν ἔφαγα μὲ τόσην εὐχαρίστησιν ψωμὶ καὶ νερό, ὅπως σήμερα, ποὺ μὲ τὴν καρδιά μου τὰ ἀπήλαυσα.

Ἀπὸ τότε ὁ βασιλεὺς περιέβαλε μὲ ἰδιαιτέραν εὔνοιαν καὶ τιμὴν τὸν Μοναχόν. Ὁ Μοναχὸς ὅμως, στενοχωρούμενος διὰ τὴν εὔνοιαν αὐτήν, ἀνεχώρησεν ἀμέσως καὶ ἦλθε πάλιν εἰς τὴν Αἴγυπτον.

5. Ἕνας γέρων Μοναχὸς εἶπε τὴν ἑξῆς πολύτιμον συμβουλήν· νὰ ἀποφεύγῃς νὰ γνωρίζεσαι μὲ προεστῶτα ἢ ἄρχοντα καὶ νὰ μὴ συχνάζῃς πλησίον του, διότι ἀπὸ τὴν γνωριμίαν καὶ τὴν οἰκειότητα αὐτὴν εἶναι ἐνδεχόμενον νὰ ἀποκτήσῃς θάρρος καὶ ἀδιαντροπίαν, ἀλλὰ καὶ νὰ ἐπιθυμήσῃς νὰ ἐξουσιάζῃς καὶ σύ.

Γ΄. Ἡσαΐου τοῦ Ἀναχωρητοῦ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἡσαΐας· οὐαὶ ἡμῖν ὅτι, ἐκ πενήτων καὶ ἀδόξων ὄντες γονέων, ἑαυτοὺς ἠγνοήσαμεν, καὶ πενίαν καὶ ἀτιμίαν ἀγαπᾶν διὰ τὸν Θεὸν ἐπαγγειλάμενοι, τοῖς πλουσίοις καὶ ἐνδόξοις συγκρίνεσθαι φιλονικοῦμεν· οὐαὶ ἡμῖν, ὅτι τοῖς πλουσίοις καὶ δυνάσταις συντυγχάνοντες, ἀρέσκειν σπουδάζομεν, τοὺς δὲ πένητας καὶ ἱκετικῶς προσιόντας ἡμῖν ὡς ὀχληροὺς ἀποστρεφόμεθα.

2. Ἤκουσέ ποτε ὁ ἄρχων τῆς χώρας περὶ τοῦ Ἀββᾶ Μωϋσέως καὶ ἀπῆλθεν εἰς Σκῆτιν ἰδεῖν αὐτόν· προσδραμόντες δέ τινες ἀνήγγειλαν τῷ Γέροντι τὴν τοῦ ἄρχοντος ἔλευσιν, καὶ ἀκούσας ὁ Γέρων ἀνέστη φυγεῖν εἰς τὸ ἕλος· καὶ ὡς ἀπῄει,

ἀπήντησε τῷ ἄρχοντι καὶ τοῖς μετ' αὐτοῦ καὶ εἶπον αὐτῷ· εἰπὲ ἡμῖν, Γέρον, ποῦ ἔστιν ἡ κέλλα Μωϋσέως; ὁ δὲ λέγει αὐτοῖς· τί θέλετε ἀπ' αὐτοῦ; ἐκεῖνος ἄνθρωπος σαλός ἐστι· καὶ ἀκούσας ὁ ἄρχων οὐ προσέθετο ἀπελθεῖν πρὸς αὐτόν.

3. Παραγενόμενοι δὲ εἰς τὴν Ἐκκλησίαν, λέγει τοῖς κληρικοῖς· ἐγὼ ἀκούων τὰ περὶ τοῦ Ἀββᾶ Μωϋσέως, κατῆλθον ἰδεῖν αὐτόν, καὶ ἰδοὺ ὑπήντησεν ἡμῖν Γέρων ὑπάγων εἰς Αἴγυπτον, καὶ εἴπομεν αὐτῷ, ποῦ ἐστιν ἡ κέλλα τοῦ Ἀββᾶ Μωϋσέως; καὶ εἶπεν ἡμῖν· τί θέλετε ἀπ' αὐτοῦ, ἐκεῖνος σαλός ἐστιν· οἱ δὲ κληρικοὶ ἀκούσαντες ἐλυπήθησαν καὶ εἶπον· ποταπὸς ἦν ὁ γέρων ὁ ταῦτα λαλήσας κατὰ τοῦ Ἁγίου; ἀπεκρίθη ὁ ἄρχων· Γέρων παλαιὰ φορῶν, μακρὸς καὶ μελανός· οἱ δὲ εἶπον αὐτῷ· αὐτός ἐστιν ὁ Μωϋσῆς· ταῦτα δὲ εἶπεν ὑμῖν, διότι ὑπηντήσατε αὐτῷ, ἵνα λαθὼν παρέλθῃ ὑμᾶς· καὶ ὠφεληθεὶς ὁ ἄρχων ἀνεχώρησεν.

4. Ἦλθέ ποτε ὁ ἄρχων ἰδεῖν καὶ τὸν Ἀββᾶν Σίμωνα· ὁ δὲ ἀκούσας ἔλαβε τὴν ζώνην, καὶ ἀπῆλθεν εἰς φοίνικα καθαρίσαι αὐτόν· οἱ δὲ μετὰ τοῦ ἄρχοντος, ἐλθόντες καὶ ἰδόντες αὐτὸν τὸν φοίνικα καθαρίζοντα, ἔκραξαν λέγοντες· Γέρον, ποῦ ἐστιν ὁ ἀναχωρητής; ὁ δὲ εἶπεν· οὐκ ἔστιν ὧδε ἀναχωρητής· καὶ ἀκούσαντες ἀπῆλθον.

5. Ἄλλοτε πάλιν ἕτερος ἄρχων ἦλθεν ἰδεῖν αὐτόν· καὶ προλαβόντες οἱ κληρικοὶ εἶπον αὐτῷ· Ἀββᾶ, ἑτοίμασον, ὅτι ὁ ἄρχων, ἀκούων περὶ σοῦ, ἔρχεται εὐλογηθῆναι παρὰ σοῦ· ὁ δὲ ἔφη· ναί, ἐγὼ ἑτοιμάζω ἑαυτόν· καὶ φορέσας τὸ κεντώνιον αὐτοῦ, καὶ λαβὼν ἄρτον καὶ τυρὸν ἐν ταῖς χερσὶν αὐτοῦ, ἀναστὰς εἰς τὸν πυλῶνα ἐκάθισεν ἐσθίων· ἐλθὼν δὲ ὁ ἄρχων μετὰ τῆς τάξεως αὐτοῦ, καὶ ἰδόντες αὐτόν, ἐξουθένησαν αὐτὸν λέγοντες· οὗτός ἐστιν ὁ ἀναχωρητὴς περὶ οὗ ἠκούσαμεν; καὶ εὐθέως ἀνέκαμψαν.

6. Κοινοβιάρχης τις ἦν ἔχων πολλὴν δόξαν παρὰ τῶν ἀνθρώπων (ἦν δὲ Πατὴρ διακοσίων Μοναχῶν)· ποτὲ δὲ τῷ τούτων Κοινοβίῳ παρέβαλεν ὁ Χριστὸς ἐν εἴδει πτωχοῦ γέροντος γνωρίμου αὐτῷ πρωΐ, καὶ παρεκάλει τὸν θυρωρὸν εἰπεῖν τῷ Ἀββᾷ, ὅτι ὁ δεῖνα ὁ συνάδελφός ἐστιν· ὁ δὲ θυρωρὸς μόλις πεισθείς, εἰσῆλθε μηνῦσαι περὶ αὐτοῦ· εὗρε δὲ τὸν Ἀββᾶν τισὶ ξένοις διαλεγόμενον, καὶ προσμείνας ὀλίγον ἀνήνεγκε περὶ τοῦ πτωχοῦ γέροντος· ὁ δὲ ἀπεκρίθη αὐτῷ μετ' ὀργῆς λέγων· οὐχ ὁρᾷς με μετὰ τῶν ἀνθρώπων λαλοῦντα; ἄφες τέως ἄρτι.

7. Καὶ ὑποσταλεὶς ὁ θυρωρὸς ὑπεχώρησε· καὶ ὑποστρέψας, εἶπε τῷ δῆθεν πτωχῷ γέροντι τὴν τοῦ προεστῶτος ἀπολογίαν. Ὁ δὲ μακρόθυμος καὶ ἀνεξίκακος Κύριος ἔμεινε καὶ ἔτι ἐν τῷ πυλῶνι παρακαθήμενος, καὶ περὶ πέμπτην ὥραν πλούσιός τις τῷ Κοινοβίῳ παρέβαλεν, ᾧ τινι γοργῶς ὁ θυρωρὸς ὑπακούσας ἤνοιξε, καὶ ἀνήνεγκε τῷ Κοινοβιάρχῃ περὶ αὐτοῦ· ὁ δὲ ἐξελθὼν μετὰ σπουδῆς, ὑπήντησεν αὐτῷ πρὸς τὴν θύραν.

8. Ἰδὼν δὲ αὐτὸν ὁ πλούσιος ἐν ἐλέει, ταπεινῶν καὶ φίλος Θεός, προσελθὼν ἐν τῷ εἴδει τοῦ πτωχοῦ γέροντος, παρεκάλει λέγων, ὅτι λαλῆσαί σοι θέλω, Ἀββᾶ· ὁ δέ, μηδὲ ἀποκρίσεως αὐτὸν ἀξιώσας, εἰσῆλθε σὺν τῷ πλουσίῳ, σπουδάζων ἑτοιμάσαι αὐτῷ ἄριστον· μετὰ οὖν τὸ ἀριστῆσαι τὸν πλούσιον προπέμψας αὐτὸν ὁ Ἀββᾶς ἕως τῆς θύρας, ὑπέστρεψε, ταῖς πολλαῖς φροντίσιν αἰχμαλωτισθείς, καὶ ἐπιλαθόμενος τῆς παρακλήσεως τοῦ πτωχοῦ καὶ ἀνεξικάκου γέροντος.

9. Ὀψίας δὲ γενομένης, ὡς οὐδεὶς τὸν εὐλογημένον ἐκεῖνον ξένον ἐκάλεσεν ἢ ὅλως ἠξίωσε, προσελθὼν αὖθις τῷ θυρωρῷ, παρήγγειλε ταῦτα τῷ προεστῶτι εἰπεῖν· εἰ τὴν δόξαν τῶν ἀνθρώπων θέλεις, ἐγώ σοι διὰ τὸν πρότερόν σου κόπον καὶ τὰς πολλάς σου πολιτείας, ἐκ τῶν τεσσάρων μερῶν πέμπω παραβαλεῖν σοι· ἐπειδὴ χρίειν καὶ χρίεσθαι θέλεις, τῶν δὲ ἀγαθῶν τῆς ἐμῆς Βασιλείας οὐ μὴ γεύσῃ· καὶ ἐκ τούτων τῶν ῥημάτων ἐγνώσθη ὁ Παντοκράτωρ πτωχός.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΗΣΑΪΑΣ ἔλεγε πρὸς τοὺς συμμοναστάς του· ἀλλοίμονόν μας, διότι ἐλησμονήσαμεν, ὅτι ἔχομεν γεννηθῆ ἀπὸ ἀφανεῖς καὶ ἀδόξους γονεῖς καὶ ὅτι ἔχομεν ὑποσχεθῆ, δι' ἀγάπην Θεοῦ, νὰ ἐπιδιώκωμεν καὶ νὰ ἀγαπῶμεν τὴν πτωχείαν καὶ τὴν ἀφάνειαν· λησμονήσαντες δὲ αὐτά, φροντίζομεν μετὰ σφοδρότητος νὰ ἐξομοιωνώμεθα μὲ τοὺς ἐνδόξους καὶ πλουσίους ἐπιζητοῦντες τὴν ἐκτίμησιν τῶν ἀνθρώπων. Ἀλλοίμονόν μας, διότι καταβάλλομεν προσπαθείας νὰ συναναστρεφώμεθα τοὺς ἰσχυροὺς καὶ τοὺς πλουσίους καὶ νὰ ἀρέσωμεν εἰς αὐτούς, ἐνῷ, ἀπ' ἐναντίας, ἀποφεύγομεν ὡς ἐνοχλητικοὺς τοὺς πτωχοὺς καὶ ἀφανεῖς, ποὺ παρακαλοῦν νὰ μᾶς πλησιάσουν.

2. Κάποτε ὁ ἄρχων τῆς χώρας ἐπληροφορήθη διὰ τὴν ἀρετὴν καὶ τὴν ἀξίαν τοῦ Ἀββᾶ Μωϋσέως· ἀνεχώρησε λοιπὸν διὰ τὸ μέρος, ὅπου ὑπῆρχεν ἡ σκήτη, ἐπιθυμῶν νὰ γνωρίσῃ τὸν Ἀββᾶν Μωϋσῆ.

Μερικοὶ Μοναχοί, ποὺ ἐπληροφορήθησαν τὴν ἄφιξιν τοῦ ἄρχοντος, ἔτρεξαν ἐνωρίτερον πρὸς τὸν Ἀββᾶν Μωϋσῆ καὶ τὸν ἐπληροφόρησαν διὰ τὴν ἐπικειμένην ἐπίσκεψιν.

Μόλις ἤκουσε τὴν εἴδησιν αὐτὴν ὁ Ἀββᾶς Μωϋσῆς ἀνεχώρησε διὰ τὸ ἕλος (1), ὥστε νὰ ἀποφύγῃ τὴν ἐπίσκεψιν τῶν ἐπισήμων.

Καθ' ὁδὸν ὅμως συνήντησε τὸν ἄρχοντα μετὰ τῆς συνοδείας του. Ἕνας ἐκ τῆς συνοδείας τὸν ἠρώτησε:

— Γέροντα, ποῦ εἶναι τὸ κελλὶ τοῦ Μωϋσέως;

— Τί γυρεύετε ἀπὸ αὐτὸν τὸν ἄνθρωπον; Εἶναι τρελλός!

Ὅταν ἤκουσε τὸ πρᾶγμα αὐτὸ ὁ ἄρχων, χωρὶς νὰ ὑποπτευθῇ ὅτι αὐτὸς ἦτο ὁ Ἀββᾶς Μωϋσῆς καὶ ὅτι ἀπὸ ταπείνωσιν κατηγόρει τὸν ἑαυτόν του, ἐματαίωσε τὸν σκοπὸν τῆς ἐπισκέψεώς του καὶ ἐπέστρεψεν ὀπίσω.

3. Ἀφοῦ δὲ ἔφθασαν εἰς τὴν Ἐκκλησίαν λέγει πρὸς τοὺς κληρικούς:

— Πατέρες, μανθάνων τὴν καλὴν φήμην περὶ τοῦ Ἀββᾶ Μωϋσέως, ἀπεφάσισα νὰ μεταβῶ εἰς τὴν σκήτην διὰ νὰ τὸν γνωρίσω. Ἕνας ὅμως γέρων Μοναχός, ποὺ μετέβαινεν εἰς τὴν Αἴγυπτον καὶ ὁ ὁποῖος ἐφαίνετο σεβαστός, ὅταν τὸν ἠρωτήσαμεν νὰ μᾶς ὑποδείξῃ τὸ κελλὶ τοῦ Μωϋσέως, μᾶς εἶπε· τί τὸν θέλετε; αὐτὸς εἶναι τρελλός! Ἔβγαλα λοιπὸν τὸ συμπέρασμα, ὅτι δὲν ἀξίζει τὸν κόπον νὰ ἐπισκεφθῶμεν ἕνα τρελλόν, δι' αὐτὸ καὶ ἐπέστρεψα.

Οἱ κληρικοὶ ἐλυπήθησαν διὰ τὸ περιστατικὸν αὐτὸ καὶ ἠθέλησαν νὰ πληροφορηθοῦν ποῖος ἦτο αὐτός, ποὺ ἐλάλησε τόσον σκληρῶς κατὰ τοῦ Ἁγίου. Πρὸς τοῦτο ἠρώτησαν τὸν ἄρχοντα:

— Ποῖα χαρακτηριστικὰ εἶχεν ὁ Γέρων, ποὺ σᾶς ἔδωσε τὴν πληροφορίαν αὐτήν;

---

1) Οὕτως ἐκαλεῖτο ὁ τόπος, διότι ἦτο περιοχὴ ἑλώδης.

—Ἦτο γέρων, ἐφόρει παλαιὰ καὶ ἐφθαρμένα ἐνδύματα, ὑψηλὸς καὶ μαῦρος.

— Αὐτὸς ἦτο ὁ Μωϋσῆς, ἀπήντησαν μὲ συγκίνησιν οἱ Κληρικοί· σᾶς εἶπε δὲ αὐτά, διότι τὸν συναντήσατε καὶ ἐπεθύμει, ἀπὸ ταπείνωσιν, νὰ ἀποφύγῃ τὴν συνάντησίν σας.

Ἀπὸ αὐτὴν τὴν ἔμπρακτον ταπεινοφροσύνην τοῦ Ἁγίου ὠφελήθη ὁ ἄρχων καὶ εὐχαριστημένος ἀνεχώρησε διὰ τὴν ἕδραν του.

4. Ὁ ἄρχων μετέβη κάποτε εἰς τὴν ἔρημον, διὰ νὰ γνωρίσῃ καὶ τὸν Ἀββᾶν Σίμωνα. Ὁ Ἀββᾶς, μόλις ἐπληροφορήθη τὸν σκοπὸν τοῦ ἄρχοντος, ἐφόρεσε τὴν ζώνην του καὶ ἀνεχώρησε πρὸς ἕνα φοινικόδενδρον, διὰ νὰ τὸ καθαρίσῃ.

Ἐν τῷ μεταξὺ ἔφθασαν εἰς τὸ σημεῖον αὐτό, ὅπου εἰργάζετο ὁ Ἀββᾶς, ὁ ἡγεμὼν μὲ τοὺς ἀνθρώπους του. Μόλις τὸν εἶδαν νὰ καθαρίζῃ τὸ φοινικόδενδρον, ἐφώναξαν ἀπὸ μακριά:

— Γέροντα, ποῦ εἶναι ὁ Ἀναχωρητής;

— Δὲν εὑρίσκεται ἐδῶ κανένας Ἀναχωρητής! Ὅταν δὲ ἤκουσαν τὴν πληροφορίαν αὐτὴν ὁ ἡγεμὼν καὶ οἱ σύντροφοί του ἀνεχώρησαν.

5. Ἕνας ἄλλος ἄρχων ἠθέλησε καὶ αὐτὸς νὰ ἔλθῃ εἰς τὴν ἔρημον, διὰ νὰ γνωρίσῃ τὸν Ἀββᾶν Σίμωνα.

Ἐν τῷ μεταξὺ οἱ κληρικοὶ τοῦ Ναοῦ τῆς Σκήτης μετέβησαν συντόμως εἰς τὸ κελλίον τοῦ Ἀββᾶ καὶ τοῦ εἶπον:

—Ἀββᾶ, ἑτοιμάσου, διότι ἐντὸς ὀλίγου θὰ σὲ ἐπισκεφθῇ ὁ ἄρχων, νὰ τὸν εὐλογήσῃς, ἐπειδὴ σὲ εὐλαβεῖται ἀπὸ ὅσα ἔχει ἀκούσει διὰ σέ.

— Ναί, θὰ ἑτοιμασθῶ· ἀπήντησεν ὁ Ἀββᾶς.

Πράγματι ἐφόρεσε ἕνα παλαιομανδύαν, ἐπῆρε εἰς τὸ χέρι του ψωμὶ καὶ τυρὶ καὶ ἐκάθισεν εἰς τὴν ἐξώθυραν τρώγων. Ἐν τῷ μεταξὺ ἦλθεν ὁ ἄρχων μὲ τοὺς ἀξιωματικούς του καὶ ὅταν τὸν εἶδον εἰς αὐτὴν τὴν στάσιν, νὰ τρώγῃ χωρὶς νὰ εἶναι ἡ ὥρα τοῦ φαγητοῦ καὶ νὰ παραμένῃ ἀργός, τοῦ ἔρριξαν ἕνα περιφρονητικὸ βλέμμα καὶ εἶπαν μὲ εἰρωνείαν:

—Αὐτὸς εἶναι ὁ Ἀναχωρητής; κρῖμα εἰς τὰ καλὰ λόγια, ποὺ ἠκούσαμεν.

Ἀμέσως δὲ χωρὶς καμμίαν ἄλλην συζήτησιν ἀνεχώρησαν.

6. Ἔζη κάποτε ἕνας Κοινοβιάρχης, ποὺ ἦτο πνευματικὸς πατὴρ διακοσίων Μοναχῶν. Τὸν Ἡγούμενον αὐτὸν τὸν ἐτίμων καὶ τὸν ἐδόξαζον πολὺ οἱ ἄνθρωποι. Μίαν ἡμέραν ἦλθεν εἰς τὸ Κοινόβιον αὐτοῦ τοῦ Ἡγουμένου ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὑπὸ τὸ σχῆμα ἑνὸς πτωχοῦ Γέροντος Ἀσκητοῦ, γνωστοῦ εἰς τὸν Ἡγούμενον. Ἦλθε πρωῒ—πρωῒ καὶ παρεκάλει τὸν θυρωρὸν νὰ ἀναγγείλῃ εἰς τὸν Ἡγούμενον, ὅτι τὸν ζητεῖ ὁ τάδε γνωστός του.

Ὁ θυρωρὸς ἀπεφάσισε, χωρὶς διάθεσιν, νὰ ἐξυπηρετήσῃ τὸν ἄγνωστόν του αὐτὸν πτωχὸν καὶ εἰσῆλθεν εἰς τὸ Κοινόβιον νὰ ἀναφέρῃ σχετικῶς εἰς τὸν Ἡγούμενον. Ἐκείνην τὴν στιγμὴν ὁ Ἡγούμενος συνεζήτει μετά τινων ξένων· ἀφοῦ λοιπὸν ἐπερίμενεν ὀλίγον, ἀνέφερεν εἰς αὐτὸν διὰ τὸν πτωχόν, ποὺ ἀνέμενεν εἰς τὸ θυρωρεῖον.

Μόλις τὸν ἤκουσεν ὁ Ἡγούμενος τοῦ ἀπαντᾷ μὲ ὀργήν.

— Δὲν βλέπεις, ὅτι συζητῶ μὲ τοὺς ἐπισήμους αὐτοὺς ἀνθρώπους; Ἄφησέ με τώρα, μὴ μὲ ἐνοχλεῖς.

7. Τρομαγμένος ὁ θυρωρὸς ἔφυγε σιγὰ-σιγὰ καὶ ἀνέφερεν εἰς τὸν κατὰ τὸ σχῆμα πτωχὸν Γέροντα τὸν λόγον, διὰ τὸν ὁποῖον δὲν ἠμποροῦσε νὰ τὸν δεχθῇ ὁ Ἡγούμενος. Ὁ μακρόθυμος καὶ ἀνεξίκακος Κύριος, χωρὶς νὰ ὀργισθῇ διὰ τὴν διαγωγὴν αὐτὴν τοῦ Ἡγουμένου, ἐκάθησε καὶ ἐπερίμενε μὲ ἀγόγγυστον ὑπομονὴν εἰς τὸ θυρωρεῖον. Κατὰ τὴν πέμπτην ὥραν τῆς ἡμέρας (11ην π.μ.) ἕνας πλούσιος ἦλθεν εἰς τὸ Κοινόβιον. Μόλις τὸν ἀντελήφθη ὁ θυρωρὸς ἔτρεξε γρήγορα-γρήγορα καὶ τοῦ ἤνοιξε· ἀμέσως δὲ τρέχει εἰς τὸν Ἡγούμενον καὶ ἀναφέρει τὸν ἐπισκέπτην. Αὐτοστιγμεὶ ὁ Ἡγούμενος βγαίνει ἀπὸ τὸ Μοναστῆρι, κατεβαίνει εἰς τὸ θυρωρεῖον καὶ ὑποδέχεται μὲ πολλὰς φιλοφρονήσεις τὸν πλούσιον ἐπισκέπτην.

8. Μόλις τὸν εἶδεν ὁ πλούσιος εἰς εὐσπλαγχνίαν καὶ φίλος τῶν πτωχῶν Θεός, ποὺ ἐκρύπτετο ὑπὸ τὸ σχῆμα τοῦ πτωχοῦ γέροντος, τὸν ἐπλησίασε καὶ τοῦ λέγει ἱκετευτικῶς:

— Σὲ παρακαλῶ, Ἀββᾶ, θέλω νὰ σοῦ ὁμιλήσω.

Ὁ Ἀββᾶς ὅμως τὸν περιεφρόνησε, χωρὶς νὰ τοῦ δώσῃ καμμίαν σημασίαν καὶ εἰσῆλθε μαζὶ μὲ τὸν πλούσιον εἰς τὸ Μοναστήρι, διὰ νὰ τοῦ ἑτοιμάσῃ ἐκλεκτὰ φαγητά.

Ἀφοῦ λοιπὸν ἔφαγε καλὰ-καλὰ ὁ πλούσιος, ἡτοιμάσθη νὰ ἀναχωρήσῃ. Ὁ Ἡγούμενος φιλοφρονέστατα τὸν κατευώδωσε μέχρι τοῦ θυρωρείου· αἰχμαλωτισμένος δὲ ἀπὸ τὰς πολλὰς φροντίδας, ἐγύρισεν ὀπίσω, χωρὶς νὰ ἐνθυμηθῇ τὸν πτωχὸν καὶ ἀνεξίκακον Γέροντα, ποὺ τόσον τὸν παρεκάλεσε νὰ τοῦ ὁμιλήσῃ.

9. Ὅταν πλέον ἐβράδυασε καὶ ἀφοῦ κανεὶς δὲν ἐφώναξε τὸν εὐλογημένον ἐκεῖνον ξένον καὶ δὲν τοῦ ἔδωσε κἂν προσοχήν, ἦλθε πάλιν εἰς τὸν θυρωρὸν καὶ τοῦ παρήγγειλε νὰ εἰπῇ τὰ ἑξῆς εἰς τὸν Ἡγούμενον:

— Ἀφοῦ θέλεις τὴν δόξαν τῶν ἀνθρώπων, ἐγώ, ἀνταμείβων σε διὰ τὴν προηγουμένην ἄσκησίν σου καὶ τὸν καλὸν τρόπον τῆς ζωῆς σου, θὰ σοῦ στείλω ἀπὸ τὰ τέσσαρα σημεῖα τοῦ ὁρίζοντος ἐπισκέπτας, ἐπειδὴ σοῦ ἀρέσουν αἱ ἐπισημότητες καὶ αἱ τιμαί. Ἀλλὰ δὲν θὰ δοκιμάσῃς ὅμως ποτὲ τὰ ἀγαθὰ τῆς ἐπουρανίου Βασιλείας μου.

Ἀπὸ τὰ λόγια αὐτὰ ἀνεγνωρίσθη ὅτι ὁ πτωχὸς αὐτὸς ἦτο ὁ Παντοκράτωρ Κύριος.

ΥΠΟΘΕΣΙΣ ΚΗ΄

Ὅτι οὐ δεῖ ἐξ αὐταρεσκείας ποιεῖν ὑπὲρ τοὺς λοιποὺς ἀδελφοὺς τοὺς συνόντας ἐν τῇ Μονῇ.

Δὲν πρέπει νὰ κάμνωμεν τίποτε περισσότερον ἀπὸ τοὺς ἄλλους ἀδελφοὺς τῆς Μονῆς, ἐξ αἰσθήματος αὐταρεσκείας.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΤΩ ΜΕΓΑΛῼ ΕΥΘΥΜΙῼ παράλογον πάντι ἐδόκει καὶ βλαβερὸν τὸ τινὰς τῶν ἀδελφῶν, καὶ μάλιστα νέους ὄντας, πλείονα τοῖς λοιποῖς ἐν τῷ Κοινοβίῳ φανερὰν καὶ δεδημοσιευμένην ἐπιδείκνυσθαι νηστείαν, καὶ τὸν κοινὸν λύειν κανόνα τῶν ἀδελφῶν, ἰδίῳ θελήματι καὶ νόμῳ στοιχοῦντας, οὐδὲ σαλπίζεσθαι τὸ ἀγαθὸν ἐκεῖνο, οὐδὲ μὴν ἔκδηλον εἶναι καὶ διαβεβοημένον, ἀλλ᾽ ὡς οἷόν τε λανθάνειν ἠβούλετο.

2. Διὰ τοῦτο ἀρίστην ἔλεγεν ἐγκράτειαν εἶναι τὴν τὸν κόρον μὴ φθάνουσαν καὶ δεομένοις ἡμῖν ἔτι, τὴν τροφὴν ἱστῶσαν, ὅπερ ἐστὶ τὸ παραμικρὸν τῆς χρείας τροφῆς κοινωνεῖν· κρυφίως δὲ πρὸς τὰ τῆς σαρκὸς ἵστασθαι πάθη, καὶ ἀσφαλῶς πάντοθεν συμπεφράχθαι τοῖς ὅπλοις τῶν ἀρετῶν, ἔστι δὲ ταῦτα· ταπείνωσις, σωφροσύνη, μελέτη, διάκρισις, καὶ ἡ κατὰ Θεὸν ὑπακοή, καὶ τῷ ὄντι θεομίμητος ἀρετή.

Ἑρμηνεία

Ο ΕΥΘΥΜΙΟΣ ὁ Μέγας ἐθεώρει τελείως παράλογον καὶ βλαβερὸν πρᾶγμα τὴν ὑπὸ μερικῶν Μοναχῶν, καὶ μάλιστα τῶν νεωτέρων, ἐπίδειξιν νηστείας φανερᾶς μεγαλυτέρας τῆς νηστείας τῶν ἀδελφῶν τοῦ Κοινοβίου. Μὲ τὴν δημοσίευσιν τῆς νηστείας αὐτῆς καταργεῖται ὁ κοινὸς εἰς ὅλους τοὺς ἀδελφοὺς κανὼν καὶ οἱ ἀδελφοὶ αὐτοὶ καθιερώνουν ἄλλον νόμον, ὑπαγορευόμενον ὑπὸ τοῦ θελήματός των. Δὲν ἤθελεν ὁ Μέγας Εὐθύμιος νὰ διασαλπίζουν τὸ ἀγαθόν, νὰ τὸ φανερώνουν καὶ νὰ τὸ κάμνουν περιβόητον· ἀπ᾽ ἐναντίας, ἐπεθύμει νὰ κρύπτεται ὅσον τὸ δυνατὸν ὁ ἐργαζόμενος τὸ ἀγαθόν.

2. Διὰ τοῦτο ὁ Μέγας Πατὴρ ἐχαρακτήριζεν ὡς ἀρίστην ἐγκράτειαν τὸ νὰ τρώγωμεν τόσον, ὥστε νὰ μὴ χορταίνωμεν καὶ νὰ αἰσθανώμεθα ἀκόμη τὴν ἀνάγκην τροφῆς· κρυφὰ δὲ καὶ χωρὶς ἐπιδείξεις νὰ ἀνθιστάμεθα πρὸς τὰ πάθη τῆς σαρκὸς καὶ νὰ περιφρουρούμεθα ἀσφαλῶς ἀπὸ παντοῦ μὲ τὰ ὅπλα τῶν ἀρετῶν· αὐτὰ δὲ τὰ ὅπλα εἶναι ἡ ta-

πείνωσις, ἡ σωφροσύνη, ἡ μελέτη, ἡ διάκρισις, καὶ ἡ κατὰ Θεὸν ὑπακοή, ἡ ὁποία εἶναι πράγματι θεομίμητος ἀρετή.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

Ο ΟΣΙΟΣ ΠΑΧΩΜΙΟΣ ἀδελφόν τινα, οὐκ ὀρθῶς πορευόμενον, ἀλλὰ τῷ ἰδίῳ ἐξακολουθοῦντα θελήματι, κατ' ἰδίαν λαβών, παρῄνει λέγων αὐτῷ· «Ἀδελφέ, λέγει ὁ Κύριος, ἐκ τοῦ οὐρανοῦ καταβέβηκα οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός»· καὶ αὐτὸς ὀφείλεις ἀκούειν ἡμῶν· ὁρῶ γάρ σε φθονούμενον ὑπὸ τοῦ ἐχθροῦ, καὶ τὸν κάματόν σου διὰ πολλῶν συλούμενον.

2. Στοίχει οὖν τῷ κανόνι, καὶ ὅταν καλῇ πρὸς ἑστίασιν, μὴ διαμείνῃς ἄσιτος, ἀλλὰ συνερχόμενος μετὰ τῶν ἀδελφῶν μεταλάμβανε καὶ αὐτὸς μεμετρημένως τοῦ ἄρτου καὶ τοῦ παρατιθεμένου σοι ἑψήματος, καὶ μήτε πάνυ κορεσθῇς, εὔτονος τῷ σώματι ὑπάρχων, μήτε πάλιν ἄτονος ὤν, τὸ σῶμα σφόδρα κατατήξῃς· ἀλλ' ἑαυτὸν δουλαγώγει πρὸς τὰς δυνάμεις τοῦ σώματος, ἄχρις ἂν τὸν τῆς καυχήσεως νικήσῃς δαίμονα· πολὺς γάρ σοι ἐπίκειται.

3. Ὁ δὲ ἀκούσας, πρὸς μὲν τὸ παρόν, ἐπείσθη τῇ συμβουλίᾳ· αὖθις δὲ ἐπηκολούθει τῇ πλάνῃ λέγων· τί τοῦτο; ποῦ γέγραπται μὴ νηστεύσῃς, μὴ ἀσκήσῃς; οὕτως οὖν αὐτοῦ ἐξακολουθοῦντος ταῖς ἰδίαις ὁρμαῖς κατεκυρίευσεν αὐτοῦ ὁ ἐχθρός.

4. Καλέσας δὲ ὁ Μέγας τὸν Θεόδωρον, λέγει αὐτῷ· οἶδας ὅτι σφόδρα με λυπεῖ τὰ κατὰ τὸν ἀδελφὸν τόνδε; ἀπελθὼν τοίνυν ἐπίσκεψαι αὐτόν, καὶ γνῶθι τί διαπράττεται· ὁ δὲ πορευθεὶς εὗρε μὲν αὐτὸν ὡσανεὶ εὐχόμενον, παρηλλαγμένα δὲ ῥήματα προϊέμενον, καὶ ἐπανελθὼν ἐδήλωσε τῷ μεγάλῳ τὴν ἀδολεσχίαν αὐτοῦ.

5. Διαλογιζόμενος δὲ ὁ Θεόδωρος τὴν ἐνέργειαν τοῦ διαβόλου, καὶ τὸν ποικίλον πρὸς ἡμᾶς αὐτοῦ πόλεμον, ἐθαύμασε καὶ ἐφοβήθη σφόδρα, ἐννοῶν μεθ' ὅσης ἄρα νήψεως τὸν μονάζοντα χρὴ πρὸς τὰς ἀντιτέχνους ἵστασθαι ὁρμὰς τοῦ ἀντιπάλου· ἐλθόντος οὖν τοῦ Ἁγίου καὶ εὐχὴν ποιήσαντος ὑπὲρ αὐτοῦ, ὁ πανοικτίρμων Κύριος ἰάσατο αὐτόν· καὶ αὐτὸς σωφρονισθεὶς ἐφύλαξεν ἑαυτὸν τοῦ λοιποῦ τοῖς ἔμπροσθεν ἐπεκτεινόμενος.

6. Ἔλεγεν οὖν τοῖς συνελθοῦσιν ἀδελφοῖς ὁ Παχώμιος· μεγάλης δεῖ, νήψεως, ἀδελφοί, πρὸς τὸ σωθῆναι· καὶ γὰρ ἀκούω τῶν πονηρῶν πολλάκις καυχωμένων δαιμόνων, ἐφ' οἷς ἀπατῶσι τοὺς ἀσκητάς· τοιγαροῦν τηρήσατε ἑαυτοὺς πάντοτε, καὶ τειχίζεσθε τῷ ὀνόματι τοῦ Χριστοῦ, τῷ γὰρ θελήματι Αὐτοῦ ἐξακολουθούντων ἡμῶν, οἱ ἐχθροὶ πρὸς ἡμᾶς οὐκ ἰσχύουσι· τέφρα γάρ εἰσι καὶ καπνός, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ὑπόστασις ἀπὸ προσώπου τῶν φοβουμένων τὸν Κύριον.

7. Ἐγένετό ποτε καθημένου τοῦ μεγάλου Παχωμίου ἐν τόπῳ τινὶ τῆς Μονῆς μετὰ ἄλλων τινῶν μεγάλων ἀδελφῶν· ἐγένετο δὲ ἀδελφόν τινα τῶν ἐκεῖσε ὄντων ἐν αὐτῇ τῇ ἡμέρᾳ, δύο ψιάθια ποιήσαντα, προθεῖναι αὐτὰ ἔμπροσθεν τοῦ κελλίου αὐτοῦ, κατέναντι τοῦ τόπου, οὗ μετὰ τῶν ἀδελφῶν ἐκαθέζετο ὁ μακάριος· τοῦτο δὲ ἐποίησε, τῷ κενοδοξίας ἐπαιρόμενος λογισμῷ, οἰόμενος ἐπαινεθῆναι παρὰ τοῦ Ὁσίου, ὅτι τοῦ κανόνος ἔχοντος ἓν ψιάθιον τῆς ἡμέρας ποιεῖν ἕκαστον ἀδελφόν, ἐκεῖνος τὸ ἔργον ἐδιπλασίασε.

8. Ἰδὼν δὲ ὁ Μέγας τὸ γενόμενον καὶ γνούς, ὅτι πρὸς ἐπίδειξιν ἐποίησε τοῦτο ὁ ἀδελφός, στενάξας μέγα, εἶπε τοῖς συγκαθημένοις αὐτῷ ἀδελφοῖς· βλέπετε τοῦτον τὸν ἀδελφόν; ἐργασάμενον μὲν ἀπὸ πρωΐας ἕως ἄρτι, ὅλον δὲ τὸν κόπον αὐτοῦ τῷ διαβόλῳ χαρισάμενον, καὶ μηδὲν τοῦ ἔργου αὐτοῦ εἰς παραμυθίαν τῆς ἑαυτοῦ ψυχῆς ἐάσαντα· ὅτι τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἢ τοῦ Θεοῦ ἠγάπησε· καὶ τῷ μὲν καμάτῳ τὸ σῶμα αὐτοῦ ἀνήλωσε, κενὴν δὲ τὴν ψυχὴν αὐτοῦ τῆς ἀπὸ τῶν ἔργων ἀπολαύσεως κατέστησε.

9. Καλέσας οὖν τὸν ἀδελφὸν ἐκεῖνον ἐπετίμησεν αὐτῷ, καὶ παρήγγειλεν ἵνα

ἐρχομένων τῶν ἀδελφῶν, κατέχων τὰ δύο ψιάθια, στὰς ὄπισθεν αὐτῶν εἴπη· δέομαι ὑμῶν, ἀδελφοί, εὔξασθε ὑπὲρ τῆς ἀθλίας μου ψυχῆς, ἵνα ὁ πανοικτίρμων Θεός, ταῖς ὑμετέραις εὐχαῖς, ἐλεήσῃ αὐτήν, προκρίνασαν μᾶλλον τὰ δύο ψιάθια ταῦτα τῆς Βασιλείας Αὐτοῦ.

10. Καὶ πάλιν ἐν τῷ ἐσθίειν τοὺς ἀδελφούς, ἐκέλευσε τὸν αὐτὸν τρόπον ἑστάναι ἐν μέσῳ μετὰ τῶν ψιαθίων, ἕως οὗ ἀναστῶσιν ἐκ τῶν τραπεζῶν οἱ ἀδελφοί· καὶ μετὰ ταῦτα ἐκέλευσεν αὐτὸν ἐγκλεισθῆναι μόνον εἰς κελλίον, καὶ ἐπὶ πενταμηνιαῖον χρόνον καθ' ἑκάστην ἡμέραν δύο ψιάθια ποιεῖν, καὶ ἐσθίειν ἄρτον μετὰ ἅλατος μόνον καὶ μηδένα τῶν ἀδελφῶν συντυγχάνειν αὐτῷ.

Ἑρμηνεία

Ο ΟΣΙΟΣ ΠΑΧΩΜΙΟΣ εἶχε κάποιον ὑποτακτικόν, ὁ ὁποῖος δὲν ἐβάδιζε μὲ τὴν ἀπαιτουμένην μοναχικὴν ὀρθότητα, ἀλλὰ ἔκαμνε τὸ θέλημά του· μίαν ἡμέραν λοιπὸν τὸν παρέλαβεν ἰδιαιτέρως καὶ τὸν συνεβούλευσε μὲ ἀδελφικὴν στοργήν. Μεταξὺ ἄλλων τοῦ ἔλεγε:

— Ἀδελφέ μου, ὁ ἴδιος ὁ Κύριος λέγει· κατῆλθον ἐκ τοῦ οὐρανοῦ ὄχι διὰ νὰ κάμω τὸ θέλημά μου, ἀλλὰ τὸ θέλημα τοῦ ἐπουρανίου μου Πατρός, ποὺ μὲ ἀπέστειλε (1). Καὶ σὺ λοιπὸν πρέπει νὰ ὑπακούῃς εἰς ἡμᾶς, διότι βλέπω, ὅτι σὲ φθονεῖ ὁ διάβολος καὶ προσπαθεῖ μὲ κάθε τρόπον νὰ σοῦ ληστεύσῃ τοὺς κόπους σου.

2. Πρόσεχε λοιπὸν νὰ ἐφαρμόζῃς τὸν κανόνα τοῦ Κοινοβίου καὶ ὅταν εἶναι ἡ ὥρα τοῦ κοινοῦ φαγητοῦ, σὺ νὰ μὴ μένῃς νηστικὸς δι' ἄσκησιν. Προσερχόμενος μαζὶ μὲ τοὺς ἀδελφοὺς εἰς τὴν τράπεζαν τρῶγε καὶ σὺ μὲ ἐγκράτειαν ἀπὸ τὸν παρατιθέμενον ἄρτον καὶ τὸ φαγητόν, ὥστε οὔτε πολὺ διὰ νὰ χορτάσῃς, ὅταν αἰσθάνεσαι τὸ σῶμα σου ἀκμαῖον, ἀλλ' οὔτε πάλιν καὶ δι' ἀμέτρου νηστείας νὰ τὸ καταπονήσῃς, ὅταν αἰσθάνεσαι κουρασμένος. Νὰ δουλαγωγῆσαι καὶ νὰ ἀσκῆσαι ἀναλόγως τῆς ἀντοχῆς τοῦ σώματος, μέχρις ὅτου νικήσῃς τὸν δαίμονα τῆς καυχήσεως, διότι πολὺ ἐνοχλεῖσαι ἀπὸ αὐτόν.

3. Ὁ ἀδελφὸς ἐδέχθη πρὸς στιγμὴν τὴν συμβουλὴν τοῦ Ὁσίου Παχωμίου καὶ τὴν ἐφήρμοσε. Μετ' ὀλίγον ὅμως πάλιν περιέπεσεν εἰς τὴν πλάνην του καὶ ἤρχισε τὰ ἴδια. Διὰ νὰ δικαιολογήσῃ δὲ τὴν ἰδιορρυθμίαν του ἔλεγε· ποῦ ἔχει γραφῆ νὰ μὴ νηστεύῃς καὶ νὰ μὴ ἀσκητεύῃς; Ἑπομένως δὲν παραβαίνω νόμον Θεοῦ! Μὲ τὴν τακτικήν του ὅμως αὐτήν, τῆς πορείας δηλαδὴ κατὰ τὸ θέλημά του, τὸν κατενίκησεν εἰς τὸ τέλος ὁ ἐχθρός, ὁ διάβολος.

4. Ἀνησυχῶν διὰ τὴν πνευματικὴν κατάστασιν τοῦ ἐν λόγῳ ἀδελφοῦ ὁ Μέγας (Παχώμιος) καλεῖ πλησίον του τὸν Θεόδωρον καὶ τοῦ λέγει:

— Γνωρίζεις πόσον στενοχωροῦμαι διὰ τὸν ἀδελφόν μας. Θέλω νὰ μάθω πῶς βαδίζει! Σὲ παρακαλῶ λοιπὸν νὰ μεταβῇς πρὸς ἐπίσκεψίν του καὶ νὰ ἴδῃς τί κάμνει.

---

1) «Ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός». (Ἰωάν. ε', 30).

Πράγματι ὁ Θεόδωρος μετέβη εἰς τὸ κελλὶ τοῦ ἀδελφοῦ. Τὸν εὗρε δὲ ὡς νὰ προσηύχετο, ἀλλ' ὄχι μὲ τὰς καθιερωμένας εὐχάς· ἀπήγγελλεν ἀκατανοήτους φράσεις. Ἀφοῦ ἐπέστρεψεν ὁ Θεόδωρος ἀνέφερεν εἰς τὸν Μέγαν (Παχώμιον) τὴν φλυαρίαν τοῦ Μοναχοῦ.

5. Ἐν τῷ μεταξὺ ὁ Θεόδωρος ἐσκέπτετο πόσον πολυμήχανος εἶναι ὁ διάβολος καὶ μὲ πόσην ποικιλίαν παγίδων πολεμεῖ τὸν ἄνθρωπον· κατεπλάγη δὲ καὶ ἐφοβήθη πάρα πολύ. Ἐννόησε δὲ ἀρκετὰ καλὰ μὲ πόσον ἄγρυπνον προσοχὴν καὶ νηφαλιότητα πρέπει ὁ Μοναχὸς νὰ ἀντιμετωπίζῃ τὰς διαφόρους πολυτέχνους ἐπιθέσεις τοῦ ἀντιπάλου. Μόλις ἐπληροφορήθη ὁ Ὅσιος Παχώμιος τὸν πνευματικὸν κίνδυνον, ποὺ διέτρεχεν ὁ ἀδελφὸς ἐκεῖνος, ἦλθε πλησίον του καὶ προσηυχήθη μὲ θέρμην ὑπὲρ αὐτοῦ. Καὶ ὢ τοῦ θαύματος! Ὁ πανοικτίρμων Κύριος τὸν ἐθεράπευσεν. Ἔκτοτε καὶ ὁ ἀδελφὸς αὐτός, ποὺ τόσον ἐκινδύνευσεν ἀπὸ τὴν ἰδιορρυθμίαν του, ἐσωφρονίσθη, ἔβαλε μυαλό, περιεφρούρησε τὸν ἑαυτόν του ἀπὸ τὰς παγίδας τοῦ διαβόλου καὶ ἤρχισε πλέον νὰ βελτιοῦται, «τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος» (Φιλιπ. γ', 14)) κατὰ τὸν οὐρανοβάμονα Ἀπόστολον.

6. Μετὰ τὸ περιστατικὸν αὐτὸ ὁ θεῖος Παχώμιος, ἀπευθυνόμενος πρὸς τοὺς συγκεντρωθέντας Μοναχούς, ἔλεγεν· «Ἀδελφοί μου, ἀπαιτεῖται μεγάλη ἐπαγρύπνησις καὶ νηφαλιότης διὰ νὰ σωθῶμεν· πολλὰς φορὰς ἀκούω τοὺς πονηροὺς δαίμονας νὰ καυχῶνται μὲ τί τρόπους ἐξαπατοῦν τοὺς Ἀσκητάς. Φροντίζετε λοιπὸν νὰ περιφρουρῆτε τοὺς ἑαυτούς σας πάντοτε καὶ νὰ ὀχυρώνεσθε διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Χριστοῦ· διότι ἐφ' ὅσον θὰ πορευώμεθα συμφώνως μὲ τὸ θέλημά Του, τίποτε δὲν θὰ ἠμπορέσουν νὰ μᾶς κάμουν οἱ ἐχθροί, οἱ ὁποῖοι, κατὰ τὴν δύναμιν, εἶναι πράγματι στάκτη καὶ καπνὸς καὶ δὲν ἠμποροῦν νὰ σταθοῦν ἐνώπιον ἐκείνων, ποὺ σέβονται τὸν Κύριον.

7. Ὁ Μέγας Παχώμιος ἐκάθητο κάποτε εἰς ἕνα μέρος τοῦ Μοναστηρίου συνομιλῶν μὲ μερικοὺς ἀδελφούς, μεγαλυτέρους τῶν ἄλλων, κατὰ τὴν ἡλικίαν ἀλλὰ καὶ τὸν χρόνον τῆς μοναχικῆς ζωῆς. Καθὼς λοιπὸν συνωμίλουν, ἕνας ἀδελφὸς τῆς Μονῆς ἐτοποθέτησεν ἐπιδεικτικὰ ἔμπροσθεν τοῦ κελλίου του δύο ψάθες, τὰς ὁποίας ἔπλεξε τὴν ἡμέραν ἐκείνην, εἰς τρόπον ὥστε νὰ φαίνωνται ἀπὸ τὸν Ὅσιον Παχώμιον καὶ τοὺς συνομιλητάς του. Αὐτὸ τὸ ἔκαμε φουσκωμένος ἀπὸ τὸν λογισμὸν τῆς κενοδοξίας, διότι ἐφαντάζετο, ὅτι θὰ τὸν ἐπαινοῦσεν ὁ Ὅσιος, ἐπειδὴ παρήγαγε διπλάσιον ἔργον ἀπ' αὐτὸ ποὺ ἐπέβαλλεν ὁ κανὼν εἰς τοὺς Μοναχούς. Ὁ κανὼν δηλαδὴ ὑπεχρέωνε τοὺς Μοναχοὺς νὰ κατασκευάσουν μίαν ψάθαν τὴν ἡμέραν, ἐνῷ ὁ ἐν λόγῳ Μοναχὸς κατεσκεύασε δύο.

8. Μόλις εἶδεν αὐτὸ τὸ πρᾶγμα ὁ Ὅσιος καὶ ἀντιληφθείς, ὅτι χάριν ἐπιδείξεως τὸ ἔκαμεν ὁ Μοναχός, ἀνεστέναξε βαθέως καὶ εἶπεν εἰς τοὺς συνομιλητάς του· «Βλέπετε αὐτὸν τὸν ἀδελφόν; εἰργάσθη μὲ ζῆλον ἀπὸ τὸ πρωῒ ἕως τώρα· δυστυχῶς ὅμως ὅλον τὸν κόπον του τὸν

ἐχάρισεν εἰς τὸν διάβολον! Δὲν ἐκράτησε τίποτε δι' ἀνακούφισιν τῆς ψυχῆς του ἐκ τοῦ ἔργου αὐτοῦ, ἐπειδὴ ἐπροτίμησε τὴν δόξαν τῶν ἀνθρώπων περισσότερον ἀπὸ τὴν δόξαν τοῦ Θεοῦ. Μὲ τὸν κόπον τοῦ ἐργοχείρου ἐξήντλησε τὸ σῶμά του, ἀλλὰ ἡ ψυχή του δὲν ὠφελήθη οὐδόλως, οὔτε θὰ ἀπολαύσῃ τὴν πνευματικὴν ἀπόλαυσιν ἐκ τῶν ἔργων του».

9 Ἐν συνεχείᾳ ἐκάλεσεν ὁ Ὅσιος τὸν ἀδελφὸν ἐκεῖνον καὶ τὸν ἐπέπληξεν αὐστηρῶς. Τοῦ ἐπέβαλε δὲ καὶ τὴν ἑξῆς πνευματικὴν ποινήν: Ἔδωσεν ἐντολὴν νὰ προσέλθουν ὅλοι οἱ ἀδελφοὶ τῆς Μονῆς· ἀφοῦ δὲ προσῆλθον, ὑπεχρέωσε τὸν παρασυρθέντα ὑπὸ τῆς κενοδοξίας Μοναχὸν νὰ λάβῃ τὰς δύο ψάθας καὶ ἀφοῦ σταθῇ εἰς τὸ τέλος τῆς σειρᾶς, ὡς ἔσχατος πάντων, νὰ λέγῃ εἰς τοὺς ἀδελφούς, ποὺ θὰ ἀπέρχωνται· «Σᾶς παρακαλῶ, ἀδελφοί μου, νὰ προσευχηθῆτε διὰ τὴν ἀθλίαν μου ψυχήν, νὰ τὴν ἐλεήσῃ ὁ πανοικτίρμων Κύριος μὲ τὰς εὐχάς Σας, ἐπειδὴ ἐπροτίμησε τὸν ἔπαινον τῶν ἀνθρώπων διὰ τὰ δύο αὐτὰ ψαθιὰ ἀπὸ τὴν ἐπουράνιον Βασιλείαν Του».

10. Μετά, πάλιν κατὰ τὴν ὥραν, ποὺ ἔτρωγον οἱ ἀδελφοὶ εἰς τὴν κοινὴν τράπεζαν, τὸν ὑπεχρέωσε νὰ παραμένῃ ὄρθιος εἰς τὸ μέσον τῆς τραπέζης μὲ τὰς ψάθας εἰς τὰς χεῖρας, ἕως ὅτου τελειώσουν τὸ φαγητὸν καὶ ἀναχωρήσουν τῆς τραπέζης οἱ ἀδελφοί. Τέλος τὸν προσέταξε νὰ κλεισθῇ μόνος του εἰς τὸ κελλί του ἐπὶ πέντε μῆνας, κατὰ τὸ διάστημα τῶν ὁποίων νὰ κατασκευάζῃ ἡμερησίως δύο ψάθες καὶ νὰ τρώγῃ μόνον ψωμὶ μὲ ἁλάτι, χωρὶς νὰ τὸν πλησιάζῃ κανεὶς ἐκ τῶν ἄλλων ἀδελφῶν τῆς Μονῆς.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΟΝ περὶ τοῦ Ἀββᾶ Δανιήλ, ὅτι ὅτε ἦλθον οἱ βάρβαροι εἰς Σκῆτιν, ἔφυγον οἱ Πατέρες, ὁ δὲ ὑπελείφθη εἰπών· εἰ μὴ φροντίζει μου ὁ Θεός, ἵνα τί καὶ καθέζομαι ὧδε; Καὶ παρῆλθε διὰ τῶν βαρβάρων, καὶ οὐκ εἶδον αὐτόν· τότε λέγει πρὸς ἑαυτόν· ἰδοὺ ἐφρόντισέ μου ὁ Θεός, καὶ οὐκ ἀπέθανον· ποίησον οὖν καὶ σὺ τὸ ἀνθρώπινον, καὶ φύγε ὡς οἱ Πατέρες.

Ἑρμηνεία

ΑΝΑΦΕΡΟΥΝ τὸ ἑξῆς περιστατικὸν διὰ τὸν Ἀββᾶν Δανιήλ. Κάποτε εἰς τὴν σκήτην ἔκαμαν ἐπιδρομὴν βάρβαροι. Πρὸ τοῦ κινδύνου τῆς βαρβαρικῆς ἐπιδρομῆς οἱ Πατέρες ἔφυγον εἰς ἀσφαλέστερα μέρη. Ὁ Ἀββᾶς Δανιὴλ δὲν ἠδυνήθη νὰ φύγῃ ἐγκαίρως καὶ παρέμεινεν ὀπίσω. Μὲ βαθεῖαν δὲ πίστιν πρὸς τὸν Θεὸν εἶπεν· ἐὰν ὁ Θεὸς δὲν φροντίζῃ διὰ τὴν προστασίαν μου, τότε διατί νὰ παραμένω καὶ εἰς τὴν ἔρημον; Ἐπέρασε δὲ πράγματι διὰ μέσου τῶν βαρβάρων, χωρὶς νὰ τὸν ἰδῇ κανείς. Κατόπιν αὐτοῦ καὶ ἐπειδὴ ἀκόμη ὑπῆρχεν ὁ κίνδυνος, εἶπε πάλιν εἰς τὸν ἑαυτόν του· ὁ Θεὸς μὲ ἐπροστάτευσε καὶ δὲν μὲ ἐφόνευσαν οἱ βάρβαροι. Ἂς λάβω τώρα καὶ ἐγὼ τὰ ἀνθρώπινα μέτρα ἀσφαλείας καὶ ἂς φύγω, ὅπως οἱ Πατέρες, ἀπὸ τὴν ἐπικίνδυνον αὐτὴν περιοχήν.

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΑΝ ἐν Κοινοβίῳ, ἀδελφέ, καθέζῃ, μὴ ἐκκλίνῃς ἐκ τοῦ θεσμοῦ καὶ ἀποστολικοῦ κανόνος· τὰ γὰρ μικρὰ δοκοῦντα εἶναι παροράματα οὐ τὴν τυχοῦσαν βλάβην ἐμποιοῦσι. Καλὸν οὖν καὶ πάνυ καλὸν τὸ μὴ ὑψηλοφρονεῖν, μηδὲ τὰ τῆς φιλαυτίας ἔργα πράσσοντα ὑπὸ κατάγνωσιν γίνεσθαι, ἀλλ' ὁμοίως τοῖς ἄλλοις τὰ πάντα ποιεῖν, καὶ ἀπαντᾶν ἅμα τοῖς ὁμοψύχοις ἀδελφοῖς τῇ συνάψει, τῇ ἀγρυπνίᾳ, τῷ ἐργοχείρῳ, τοῖς παρέργοις, ὅπερ ἐστὶ σημεῖον μέγιστον ταπεινοφροσύνης.

2. Ὁμοίως τῇ τραπέζῃ δίχα σωματικῆς ἀῤῥωστίας, καὶ μὴ κρατεῖσθαι θελήματι ἰδίῳ, ἤγουν φυσήματι κενῷ, ἀλλὰ τῷ κανόνι ἀκολουθεῖν ἐν πάσῃ εὐλαβείᾳ, καὶ φόβῳ Θεοῦ, κἂν ἴσως δὶς τῆς ἡμέρας ἐσθίειν παραδέδοται, μετάλαβε τῶν σιτίων μετὰ εὐχαριστίας, καὶ εἴ τι ποιοῦσιν οἱ εὐλαβέστεροι τῶν ἀδελφῶν, ποίει καὶ αὐτὸς ἐν καθαρᾷ συνειδήσει, καὶ προκόψεις συντόμως ἐν Κυρίῳ.

3. Εἰ δὲ ἔλθῃ εἰς διάκρισιν ὁ λογισμός, ὡς πολλὰ τὰ παρατιθέμενα ἐπὶ τῆς τραπέζης· ἀλλ' ἐννοηθῶμεν ὅτι οὐ διὰ τῆς ἡμῶν διαταγῆς ἡ παρασκευὴ τῶν ἐδωδίμων γεγένηται, εἰ δὲ πάλιν πενιχρὰ καὶ στενὰ τὰ εὐκαιρούμενα, καὶ ἄρξηται δυσφορεῖν ὁ λογισμὸς ἐπὶ τούτοις, λογισώμεθα, ὅτι ὁ τῆς δόξης Κύριος ἐνανθρωπήσας, κριθίνους ἄρτους μεταλαβεῖν οὐκ ἀπηξίωσε.

4. Δεῖ οὖν ἐν συνέσει πνευματικῇ ἀπαντᾶν τῷ πολέμῳ δι' ἑκάστης μεθόδου, καὶ ἀποκρούεσθαι αὐτοῦ τὰς μαγγανείας διὰ τῆς σταυροφόρου δυνάμεως. Χρὴ δὲ εἰδέναι, ὅτι πολλάκις τῶν ἀδελφῶν τινι ὁ ἐχθρὸς δίδωσι προθυμίαν πολλὴν εἰς ἄσκησιν καὶ σκληραγωγίαν καὶ πολιτείαν ἄκραν· καὶ εἰ μέν ἐστιν ὁ ἀδελφὸς ταπεινόφρων καὶ τὸ οἰκεῖον ἀπαρνησάμενος θέλημα, οὐ καταθαῤῥεῖ ἑαυτὸν τοῖς ἀπατηλοῖς λογισμοῖς, ἀλλ' ἢ ἀποδιώκει τούτους εὐθύς, ἢ ἀπαγγέλλει τῷ προεστῶτι, καὶ πειθαρχεῖ τῇ ἐκείνου παραινέσει καὶ συμβουλίᾳ.

5. Εἰ δέ ἐστιν ἰδιόῤῥυθμος καὶ αὐτάρεσκος, κρύπτει αὐτοῦ τὸ πάθος, καὶ οὐκ ἀποκαλύπτει τινί, καὶ ἐνδοῦναι τῆς ἀσκήσεως μὴ βουλόμενος ἐξέρχεται ἐκ τοῦ τόπου τῆς ἀδελφότητος χωρισθείς, ἵνα δῆθεν χρήσηται τῇ ἐπιθυμίᾳ ὡς θέλει καὶ οὕτως ἐκπίπτει εἰς τελείαν ἀπώλειαν, παραδοθεὶς εἰς χεῖρας τῶν ἐχθρῶν αὐτοῦ, καὶ κατακυριευθεὶς ὑπ' αὐτῶν· οὐ γὰρ ὁ θεμέλιος αὐτοῦ ἐπὶ τὴν πέτραν ᾠκοδόμητο, ἤτοι τὴν ταπεινοφροσύνην, καὶ τὴν πίστιν τὴν ἄσειστον, ἀλλ' ἐπὶ τὴν ἄμμον, ἤγουν τὴν ἀνθρωπαρέσκειαν καὶ ὑπερηφάνειαν· διὸ καὶ κατασεισθεὶς ὑπὸ τῆς βροχῆς, καὶ τῶν ποταμῶν καὶ τῶν ἀνέμων, ἔπεσεν εἰς τὸν τῆς ἀπογνώσεως βυθὸν τὸν ὀλέθριον.

6. Καὶ γὰρ μετὰ τὸ διαιρεθῆναι αὐτὸν τῆς ἀδελφότητος, τοιούτοις λογισμοῖς ὁ πειράζων μετέρχεται· φαντάζει γὰρ αὐτὸν ἔκτασιν χρόνου καὶ μακροζωΐαν, καὶ λέγει· κόπος ἐστὶν ὑπομεῖναί σε ἄχρι τέλους ἐν τῇ σκληραγωγίᾳ ταύτῃ, μήπως καὶ εἰς τέλος ἐξασθενήσῃ σου τὸ σῶμα, καὶ οὐκέτι αὐτῷ ἐπαρκεῖν δυνήσῃ· καὶ οὕτω κατακυριεύσας αὐτόν, εἰς ἀδιαφορίαν αὐτὸν ἐκδίδωσι, καὶ κατακρημνίζει εἰς τὴν ἀπόγνωσιν, τῆς τοῦ Θεοῦ βοηθείας ἀποστάσης αὐτοῦ, διὰ τὴν ὑπερηφάνειαν καὶ αὐταρέσκειαν.

Ἑρμηνεία

ΑΔΕΛΦΕ ΜΟΥ, ἐὰν μονάζῃς εἰς Κοινόβιον, μὴ παρεκκλίνῃς ἀπὸ τὸ τυπικὸν τοῦ Κοινοβίου καὶ τὸν ἀποστολικὸν κανόνα, δηλαδὴ τὴν κοινοβιακὴν ζωήν (1). Ἔχε δὲ ὑπ' ὄψιν σου, ὅτι αὐτά, ποὺ

1) «Πάντες δὲ οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον ἅπαντα κοινὰ καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον....» (Πραξ. β', 44—45). «Τοῦ δὲ

θεωροῦνται μικραὶ ἀπροσεξίαι, ἐπιφέρουν ἀνυπολόγιστον βλάβην. Εἶναι λοιπὸν καλόν, καὶ μάλιστα πάρα πολὺ καλόν, νὰ μὴ ὑψηλοφρονῇς, οὔτε νὰ κάμνῃς ἔργα ἐμπνεόμενα ἀπὸ ἐγωϊσμὸν καὶ νὰ τίθεσαι τοιουτοτρόπως ὑπὸ κατηγορίαν. Νὰ ἐνεργῇς ὅλα τὰ καθήκοντά σου συμφώνως μὲ τοὺς ἄλλους, νὰ συναντᾶσαι μὲ τοὺς ὁμοψύχους ἀδελφούς σου εἰς τὴν σύναξιν τῆς Μονῆς, εἰς τὸ ἐργόχειρον, νὰ βοηθῇς καὶ σὺ ἀπὸ κοινοῦ εἰς τὰ βοηθητικὰ ἔργα τῆς Μονῆς, πρᾶγμα ποὺ ἀποδεικνύει μεγίστην ταπεινοφροσύνην.

2. Ἐπίσης νὰ λαμβάνῃς μέρος εἰς τὴν κοινὴν τράπεζαν τῶν ἀδελφῶν, ἐφ' ὅσον δὲν εἶσαι ἄρρωστος, καὶ νὰ μὴ παραμένῃς μακρὰν αὐτῆς μὲ τὸ θέλημά σου, ἀπὸ ἐγωϊσμόν. Νὰ ἐφαρμόζῃς πάντοτε τὸ τυπικὸν τοῦ Κοινοβίου μὲ μεγάλην εὐλάβειαν καὶ φόβον Θεοῦ. Καὶ ἐὰν ἀκόμη ἡ παράδοσις τοῦ Κοινοβίου ἔχει καθιερώσει δύο φορὰς τὴν ἡμέραν φαγητόν, νὰ τρώγῃς καὶ σὺ μὲ εὐχαρίστησιν τὰς παρατιθεμένας τροφάς. Καὶ ἐν γένει νὰ κάμνῃς καὶ σὺ μὲ καθαρὰν συνείδησιν αὐτὰ ποὺ κάμνουν οἱ εὐλαβέστεροι ἐκ τῶν Μοναχῶν καὶ τότε ἀσφαλῶς σύντομα θὰ προκόψῃς, μὲ τὴν δύναμιν τοῦ Κυρίου, εἰς τὴν πνευματικὴν ζωήν.

3. Ἐὰν ὁ λογισμός σου ἀρχίζῃ νὰ ἐξετάζῃ ὅτι πολλὰ φαγητὰ προσφέρονται εἰς τὴν τράπεζαν καὶ ἐνοχλεῖται δι' αὐτό, σκέψου, ὅτι τὰ φαγητὰ αὐτὰ δὲν ἡτοιμάσθησαν κατόπιν προσωπικῆς σου ἐντολῆς. Ἐὰν πάλιν, ἀντιθέτως, στενοχωρεῖται ὁ λογισμός σου, διότι τὰ φαγητὰ θεωροῦνται ἀσήμαντα, ὀλίγα καὶ ὄχι χορταστικά, σκέψου, ὅτι ὁ Κύριος τῆς δόξης, ὅταν ἐγένετο ἄνθρωπος, κατεδέχθη νὰ φάγῃ κριθαρένιο ψωμί.

4. Εἶναι λοιπὸν ἀνάγκη μὲ πνευματικὴν σύνεσιν νὰ ἀντιμετωπίζωμεν τὰς διαφόρους μεθόδους, μὲ τὰς ὁποίας μᾶς πολεμεῖ ὁ ἐχθρὸς καὶ νὰ ἀποκρούωμεν τὰ πονηρά του τεχνάσματα μὲ τὴν δύναμιν τοῦ Σταυροῦ. Πρέπει δὲ νὰ γνωρίζωμεν, ὅτι εἰς μερικοὺς ἐκ τῶν ἀδελφῶν ὁ ἐχθρὸς ἐμπνέει μεγάλην προθυμίαν εἰς ἄσκησιν καὶ σκληραγωγίαν καὶ τελειοτάτην ζωήν, προφανῶς διὰ νὰ ρίψῃ τὸν πειθόμενον εἰς τὰς συμβουλάς του εἰς κενοδοξίαν καὶ ὑπερηφάνειαν. Εἰς τὴν περίπτωσιν αὐτήν, ἐφ' ὅσον ὁ ἀδελφὸς εἶναι ταπεινόφρων καὶ ἔχει ἀπαρνηθῆ τὸ θέλημά του, δὲν ἐμπιστεύεται εἰς τοὺς λογισμοὺς αὐτούς, ποὺ εἶναι ἀπατηλοί· ἀλλὰ ἢ τοὺς διώκει ἀμέσως ἢ τοὺς ἐξομολογεῖται εἰς τὸν προεστῶτα καὶ ὑπακούει εἰς ὅ,τι ἐκεῖνος τὸν συμβουλεύσῃ καὶ τὸν καθοδηγήσῃ.

5. Ἐὰν ὅμως εἶναι ἰδιόρρυθμος καὶ εὐχαριστεῖται ἀπὸ ὅσα κάμνει, ἀποκρύπτει τὸ πάθος αὐτό, δὲν τὸ φανερώνει σὲ κανένα, διότι δὲν ἐπιθυμεῖ νὰ ἐγκαταλείψῃ τὸν λογισμὸν τῆς κατὰ μόνας ἀσκήσεως. Κυ-

---

πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινὰ» (Πράξ. δ', 32—33).

ριευμένος δὲ ἀπὸ τοὺς ἀπατηλοὺς λογισμοὺς ἐγκαταλείπει τὸ Κοινόβιον καὶ τὴν ἀδελφότητα, διὰ νὰ καλλιεργήση, δῆθεν, τὴν ἐσωτερικήν του ἐπιθυμίαν πρὸς αὐστηροτέραν ἄσκησιν, ὅπως αὐτὸς θέλει. Τοιουτοτρόπως, χωρὶς τὴν καθοδήγησιν καὶ τὴν συμβουλὴν οὐδενός, πίπτει εἰς ὁλοκληρωτικὴν ἀπώλειαν, παραδίδεται εἰς τὰς χεῖρας τοῦ ἐχθροῦ, ἀπὸ τὸν ὁποῖον καὶ εἰς τὸ τέλος αἰχμαλωτίζεται.

Ἡ πτῶσις δὲ καὶ ἡ ἀπώλεια αὐτὴ συνέβη, διότι δὲν ἐστήριξε τὰ θεμέλια τοῦ πνευματικοῦ του ἔργου ἐπάνω εἰς τὴν πέτραν (1), δηλαδὴ τὴν ταπεινοφροσύνην καὶ τὴν ἀκλόνητον πίστιν, ἀλλ' ἐπάνω εἰς τὴν ἄμμον, δηλαδὴ τὴν ἀνθρωπαρέσκειαν καὶ τὴν ὑπερηφάνειαν. Δι' αὐτὸ καὶ ὅταν ἐδέχθη τὴν ἐπίθεσιν τῆς βροχῆς, τῶν ποταμῶν καὶ τῶν ἀνέμων, ἐσείσθη καὶ κατέπεσεν εἰς τὸν καταστρεπτικὸν βυθὸν τῆς ἀπελπισίας καὶ τῆς καταδίκης.

6. Ὁ τοιοῦτος ἀδελφός, ὅταν ἀπομακρυνθῇ ἀπὸ τὴν ἀδελφότητα, ἐνοχλεῖται ἀπὸ τὸν διάβολον μὲ τοὺς ἑξῆς λογισμούς. Τὸν κάμνει, π.χ. νὰ φαντάζεται, ὅτι θὰ ζήσῃ πολλὰ χρόνια καὶ θὰ παραμείνῃ ἐπ' ἀρκετὸν διάστημα εἰς τὴν ἄσκησιν τῆς ἐρήμου· εἶναι κόπος — τοῦ ὑποβάλλει τότε ὁ κακὸς λογισμὸς—νὰ ὑπομείνῃς μέχρι τέλους τῆς ζωῆς σου εἰς αὐτὴν τὴν σκληραγωγίαν· δὲν ἀποκλείεται νὰ καταπέσουν τελείως αἱ σωματικαί σου δυνάμεις καὶ νὰ μὴ δύναται πλέον τὸ σῶμα σου νὰ σὲ βοηθήσῃ εἰς τὴν ἄσκησιν.

Μὲ αὐτοὺς τοὺς λογισμοὺς τῆς φιλαυτίας τὸν κατανικᾷ ὁ διάβολος, τὸν ρίπτει εἰς πνευματικὴν ἀδιαφορίαν καί, τέλος, τὸν γκρεμίζει εἰς τὴν φοβερὰν ἀπελπισίαν καὶ αὐτοκαταδίκην, διότι ἀπεμακρύνθη πλέον ἀπὸ πλησίον του ἡ βοήθεια τοῦ Θεοῦ, λόγῳ τῆς ὑπερηφανείας καὶ τῆς ἐπιθυμίας του νὰ ἀρέσῃ μόνον εἰς τὸν ἑαυτόν του.



1) «Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν» (Ματθ. ζ', 24—25). Καί· «...τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν» (Λουκ. ς', 48).

ΥΠΟΘΕΣΙΣ ΚΘ΄

Ὅτι καὶ μόνη ἡ ὑπερηφανία ἀπολέσαι τὸν Χριστιανὸν δύναται, καὶ ὅτι οἱ φυσιούμενοι ἐπὶ κατορθώμασιν, ἐγκαταλειφθέντες ὑπὸ τῆς Χάριτος, πίπτουσιν.

Καὶ μόνον ἡ ὑπερηφάνεια εἶναι ἱκανὴ νὰ καταστρέψῃ τὸν Χριστιανόν. Ἐκεῖνοι ποὺ φουσκώνουν ἀπὸ ὑπερηφάνειαν διά, δῆθεν, κατορθώματα, ἐγκαλείπονται ἀπὸ τὴν Θείαν Χάριν καὶ πίπτουν θανασίμως.

Α΄. Παλλαδίου

ΟΥΑΛΗΣ τις, τὸ γένος Παλαιστινός, τὴν ἔρημον καταλαβών, ᾤκησε μεθ' ἡμῶν ἐπὶ πλεῖστον χρόνον, ὅστις μεγάλῃ βίου σκληραγωγίᾳ τὴν ἄκραν ἄσκησιν κατορθώσας, εἰς ὑπερηφανίαν ὠλίσθησε, καὶ ἐπὶ τοσοῦτον ὑπὸ τοῦ δαίμονος ἠπατήθη, ὡς δοκεῖν Ἀγγέλους αὐτῷ συντυγχάνειν καὶ τὰ πρὸς ἑκάστην διακονίαν εὐτρεπίζειν.

2. Καί ποτε σπυρίδα ῥάπτοντος αὐτοῦ ἐν ἑσπέρᾳ, σκοτίας οὔσης βαθείας, καὶ τὴν βελόνην ἀπολέσαντος δι' ἧς ἔρραπτεν, ὡς διηγοῦνται οἱ τούτου συνήθεις, λαμπάδα αὐτῷ ἀνῆψεν ὁ δαίμων, ὡς καὶ εὑρεῖν τὴν βελόνην, καὶ ἐπὶ τούτῳ ἐφυσιώθη ὁ ἄθλιος.

3. Ἄλλοτε πάλιν συνέβη ξένους τινὰς ὀπώρας ἐνεγκεῖν τῇ ἀδελφότητι, ὁ δὲ κύριος Μακάριος ὁ Πρεσβύτερος ἀπέστειλε πρὸς δράκα ἑκάστῳ εἰς τὰ κελλία, ὁμοίως καὶ τούτῳ τῷ ἀθλίῳ Οὐάλῃ. Ὁ δέ, τὸν κομίσαντα ἔτυψε καὶ ὕβρισε, λέγων· εἰπὲ Μακαρίῳ, οὐκ εἰμί σου χείρων, ἵνα σύ μοι εὐλογίαν πέμπῃς.

4. Καὶ γνοὺς ὁ Μακάριος τὴν πλάνην αὐτοῦ, μεθ' ἡμέρας ἀπῆλθε παρακαλέσαι αὐτόν, καὶ λέγει αὐτῷ· ἀδελφὲ Οὐάλη, ἐπαίχθης, παῦσαι, καὶ δεήθητι τοῦ Θεοῦ· ὁ δὲ οὐ προσέσχηκε τῇ παραινέσει ἀπειθῶν καὶ ἀντιλέγων. Πληροφορηθεὶς οὖν ὁ διάβολος ὅτι εἰς ἄκρον αὐτῷ πείθεται, σχηματίζει ἑαυτὸν εἰς τὸν Σωτῆρα, καὶ παραγίνεται πρὸς αὐτὸν νυκτὸς ἐν φαντασίᾳ μετὰ δαιμόνων χιλίων λαμπαδηφόρων, δεικνύων τροχὸν πύρινον, καὶ ἐν μέσῳ τὸν Σωτῆρα σχηματίζων, καὶ ἕνα προλαβόντα καὶ λέγοντα αὐτῷ· ἠράσθη σου ὁ Χριστὸς διὰ τὴν τοῦ βίου σου καθαρότητα καὶ πολιτείαν, καὶ παρεγένετο πρὸς σὲ τοῦ ἰδεῖν σε· ἔξελθε τῆς κέλλης σου καὶ τοῦτον πόῤῥωθεν ἑστῶτα ἰδών, κύψας προσκύνησον.

5. Ὁ δὲ προελθὼν εἶδε παράταξιν λαμπαδηφόρων, καὶ ὡς ἀπὸ σταδίου τὸν Ἀντίχριστον, καὶ πεσὼν προσεκύνησεν· ἐπὶ τοσοῦτον δὲ ἐφρενοβλάβησεν αἰχμαλωτισθεὶς ὁ ἄθλιος, ὡς μεθ' ἡμέρας ἐλθόντα αὐτὸν εἰς τὴν Ἐκκλησίαν ἐπὶ πάντων εἰπεῖν· ἐγὼ κοινωνίας χρείαν οὐκ ἔχω, τὸν Χριστὸν γὰρ ἑώρακα σήμερον.

6. Τότε λαβόντες αὐτὸν οἱ Πατέρες δεσμοῦσι σιδήρῳ ἐπὶ ἕνα χρόνον, καὶ συνεχέσι ταῖς ὑπὲρ αὐτοῦ εὐχαῖς, καὶ ποικίλῃ ἀδιαφορήσει καὶ ἀπραγμοτέρῳ βίῳ τὸ οἴημα αὐτοῦ καθελόντες, ἀπεθεράπευσαν· τοῖς γὰρ ἐναντίοις τὰ ἐναντία ἰάματα.

7. Ἐν μιᾷ τῶν ἡμερῶν, ἐγώ τε καὶ οἱ μακάριοι Διάκονοι Εὐάγριος καὶ Ἀλβῖνος, συνελθόντες, ἀπήλθομεν πρὸς Κρόνιον καὶ Ἰάκωβον καὶ Παφνούτιον τοὺς Ὁσίους Πατέρας, καὶ ἐζητοῦμεν μαθεῖν παρ' αὐτῶν τὰς αἰτίας τῶν παραπτωμάτων τῶν ἐκπιπτόντων ἀδελφῶν.

8. Ταύτην οὖν τὴν κρίσιν οἱ τῆς διακρίσεως λύχνοι ἡμῖν δεδώκασι, φήσαντες, ὅτι πάντα τὰ γινόμενα διαιρεῖται εἰς δύο, εἴς τε εὐδοκίαν Θεοῦ, καὶ συγχώρησιν· ὅσα τοίνυν γίνεται κατ' ἀρετὴν εἰς δόξαν Θεοῦ, ταῦτα εὐδοκίᾳ Θεοῦ γίνεται· ὅσα δὲ ἐπιζήμια καὶ ἐπικίνδυνα καὶ ἐκπτωτικά, ταῦτα συγχωρήσει Θεοῦ γίνονται ἐξ ἀλογίας ἢ ὑπερηφανίας τῶν καταλιμπανομένων· ἀδύνατον γὰρ τὸν ὀρθῶς φρονοῦντα καὶ εὐσεβῶς βιοῦντα, ἐγκαταλειφθῆναι καὶ παραπεσεῖν πταίσμασιν αἰσχύνης ἢ πλάνης δαιμόνων.

9. Ὅσοι τοίνυν διεφθαρμένῳ σκοπῷ ἢ ἀνθρωπαρεσκείᾳ ἢ οἰήσεως λογισμῷ μετέρχονται τὴν ἀρετήν, συμβαίνει αὐτοῖς καὶ σφάλμασι περιπεσεῖν, πρὸς τὸν κατεφθαρμένον αὐτῶν σκοπόν, τοῦ Θεοῦ ἐγκαταλιπόντος αὐτούς, ὅπως αἰσθόμενοι τὴν ἐκ τῆς μεταβολῆς ἀλλοίωσιν διορθώσωνται, ἢ τὴν πρᾶξιν, ἢ τὴν πρόθεσιν· ποτὲ μὲν γὰρ ἡ πρόθεσις ἐξαμαρτάνει, ποτὲ δὲ καὶ ἡ πρᾶξις· οἷον, ὡς τὸν ἀκόλαστον ποιεῖν ἐλεημοσύνην ἐπὶ νεωτέρας διὰ τέλος αἰσχρόν, ἢ πάλιν ὀρθῷ μὲν σκοπῷ ἐλεεῖν νοσοῦντας, ἢ γεγηρακότας, ἢ ἀπὸ πλούτου ἐκπεσόντας, φειδωλῶς δὲ ἢ μετὰ γογγυσμοῦ· καὶ εἶναι τὸν μὲν σκοπὸν ὀρθόν, τὴν δὲ πρᾶξιν ἀναξίαν τοῦ σκοποῦ, ἐν ἀφειδίᾳ δὲ καὶ ἱλαρότητι δεῖ ἐλεεῖν.

10. Ἔλεγον δὲ καὶ τοῦτο, ὅτι προτερήματά εἰσιν ἐν πολλαῖς ψυχαῖς· αἱ μὲν γὰρ εὐφυΐαν ἔχουσι διακονίας· αἱ δὲ ἐπιτηδειότητα ἀσκήσεως· ἀλλ' ὅτε μὴ δι' αὐτὸ τὸ καλὸν γένωνται, ἢ κατὰ θεῖον σκοπόν, μήτε ἡ ἐκ τοῦ προτερήματος πρᾶξις, μήτε ἡ εὐφυΐα τῆς διακονίας οὐ μόνον οὐκ ὠφελοῦσιν, ἀλλὰ καὶ βλάβης αἴτια γίνονται· καὶ ὁ πεφυσιωμένος δὲ ἐπὶ εὐροίᾳ λόγων, οὐκέτι ἐπιγράφει τῷ Θεῷ τὴν δωρεὰν τῆς εὐφυΐας, ἢ τὴν χορηγίαν τῆς γνώσεως, ἀλλὰ τῇ ἰδίᾳ φύσει ἢ ἀσκήσει.

11. Ἀφιστᾷ οὖν ὁ Θεὸς τὸν Ἄγγελον τῆς προνοίας, τὸν ἐπὶ ταύτῃ τῇ χάριτι τεταγμένον, καὶ καταδυναστεύεται ὡς ἀβοήθητος ὑπὸ τοῦ ἀντικειμένου. Ὁ ἐπὶ τῇ εὐφυΐᾳ ἐπαιρόμενος περιπίπτει ἀκολασίᾳ, ὅπως ἡ κυνώδης, ἢ κτηνώδης ἀκολασία ἐξελάσῃ τὸν δαίμονα τῆς ὑπερηφανίας.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἦλθεν εἰς τὴν ἔρημον ἕνας ἀπὸ τὴν Παλαιστίνην, ποὺ ἐλέγετο Οὐάλης. Αὐτὸς ἔμεινε κοντά μας ἀρκετὸν καιρὸν καὶ κατώρθωσε, πράγματι, λόγῳ τῆς μεγάλης σκληραγωγίας, νὰ φθάσῃ εἰς ὑψηλὰ μέτρα ἀσκήσεως. Δυστυχῶς ὅμως, ἐπειδὴ δὲν ἐπρόσεξεν, ἐγλύστρησεν εἰς τὸ πάθος τῆς ὑπερηφανείας καὶ τόσον πολὺ ἐξηπατήθη ἀπὸ τὸν δαίμονα, ὥστε νὰ νομίζῃ, ὅτι συναναστρέφεται μὲ Ἀγγέλους, οἱ ὁποῖοι καθημερινῶς τὸν ἐξυπηρέτουν.

2. Μίαν μάλιστα ἡμέραν συνέβη τὸ ἑξῆς χαρακτηριστικὸν περιστατικόν· ἤρχισε νὰ σκοτεινιάζῃ, μετὰ τὴν δύσιν τοῦ ἡλίου· ὁ Οὐάλης ἐξακολουθοῦσε νὰ ἀσχολῆται μὲ τὸ ἐργόχειρόν του, νὰ ῥάπτῃ ζεμπίλι. Ὅταν πλέον εἶχε νυκτώσει ἀρκετά, τοῦ ἔπεσεν ἀπὸ τὰς χεῖρας ἡ βελόνη. Καὶ καθὼς διηγοῦνται οἱ γνωστοί του, ὁ δαίμων ἧναψε λαμπάδα καὶ τοῦ ἀνεῦρε τὴν βελόνην! Μετὰ ἀπὸ αὐτὸ τὸ περιστατικὸν ἐφούσκωσε πλέον ὁ ἄθλιος ἀπὸ ὑπερηφάνειαν.

3. Κάποτε ἄλλοτε πάλιν μερικοὶ ξένοι προσέφεραν εἰς τὴν ἀδελφό-

τητα ὀπωρικά. Ὁ δὲ ὁσιώτατος Μακάριος, ὁ Πρεσβύτερος, τὰ ἐμοίρασε καὶ ἔστειλεν ἀπὸ μία χοῦφτα εἰς ἕκαστον κελλίον. Δὲν ἐξέχασεν, ὡς ἦτο ἑπόμενον, οὔτε τὸν ἄθλιον Οὐάλην, πρὸς τὸν ὁποῖον ἔστειλε τὴν εὐλογίαν τῶν καρπῶν.

Αὐτὸς ὅμως ὄχι μόνον δὲν ἐδέχθη τὸ δῶρον τῆς ἀγάπης, ἀλλὰ προσέβαλεν, ἐκτύπησε καὶ ὕβρισε τὸν ἀδελφόν, ποὺ τὸ ἔφερε καὶ τοῦ εἶπε μὲ ἀλαζονείαν:

— Εἰπὲ εἰς τὸν Μακάριον, ποὺ ἔστειλεν αὐτὸ τὸ δῶρον, ὅτι δὲν εἶμαι κατώτερός του, διὰ νὰ μοῦ στέλλῃ εὐλογίας!

4. Ἀπὸ αὐτὸ ἀντελήφθη ὁ Μακάριος τὴν πλάνην τοῦ Οὐάλη καὶ μετὰ ἀπὸ ὀλίγας ἡμέρας τὸν ἐπεσκέφθη εἰς τὸ κελλίον του, διὰ νὰ τὸν νουθετήσῃ στοργικῶς. Μεταξὺ δὲ ἄλλων τοῦ εἶπε:

—Ἀδελφέ μου Οὐάλη, σὲ ἐμπαίζει ὁ διάβολος· πρόσεξε, σταμάτησε νὰ τὸν πιστεύῃς καὶ παρακάλεσε τὸν Θεὸν νὰ σὲ λυτρώσῃ ἀπὸ τὴν παγίδα αὐτήν.

Ὁ Οὐάλης οὐδεμίαν προσοχὴν ἔδωσεν εἰς τὰς συμβουλὰς αὐτάς. Ἀπ' ἐναντίας· ὡμίλησε μὲ αὐθάδειαν καὶ δὲν ὑπήκουσε. Κατόπιν αὐτοῦ ἐβεβαιώθη πλέον ὁ διάβολος, ὅτι ὁ Οὐάλης ὑπακούει τελείως εἰς αὐτόν. Καὶ τί κάμνει νὰ τὸν παραπλανήσῃ ἀκόμη περισσότερον; Μετασχηματίζεται ὁ διάβολος εἰς τὸν Σωτῆρα Χριστὸν καὶ τὸν ἐπισκέπτεται τὴν νύκτα, χρησιμοποιῶν διὰ τὸ τέχνασμά του τὴν ἐξημμένην φαντασίαν τοῦ ἐγωπαθοῦς Οὐάλεντος. Κατὰ τὴν παραπλανητικὴν αὐτὴν ὀπτασίαν ὁ μετασχηματισθεὶς εἰς Σωτῆρα διάβολος συνωδεύετο ἀπὸ χιλίους λαμπαδηφόρους δαίμονας· ἡ μορφὴ τοῦ Σωτῆρος ἐσχηματίζετο μέσα εἰς ἕνα πύρινον τροχόν. Ἕνας ἐκ τῶν δαιμόνων προέτρεχε τῆς σατανικῆς συντροφιᾶς καὶ τοῦ ἔλεγε:

— Οὐάλη, ὁ Χριστὸς σὲ ἠγάπησε καὶ διὰ τὴν καθαρότητα τοῦ βίου σου καὶ τὴν θεάρεστον πολιτείαν σου ἦλθεν εἰς τὸ κελλί σου νὰ σ' ἰδῇ. Ἔβγα λοιπὸν ἀπὸ τὸ κελλί σου καὶ ἀφοῦ σταθῇς ἀπὸ μακριά ἀπ' τον καὶ μετὰ σκύψε καὶ προσκύνησέ τον.

5. Πράγματι ὁ πλανηθεὶς Οὐάλης ἐξῆλθε τοῦ κελλίου του καὶ εἶδε τὴν περίεργον παράταξιν τῶν λαμπαδηφόρων, ἐξ ἀποστάσεως δὲ περίπου χιλίων μέτρων τὸν Ἀντίχριστον, μετασχηματισθέντα, ὡς εἴπομεν, εἰς τὸν Σωτῆρα· ἔπεσε δὲ καὶ τὸν προσεκύνησε. Μετὰ ἀπὸ τὴν σατανικὴν αὐτὴν ὀπτασίαν τόσον φοβερὰν σύγχυσιν ὑπέστη ὁ νοῦς του, ὥστε μετὰ ἀπὸ ὀλίγας ἡμέρας ἦλθεν εἰς τὸν Ναὸν τῆς σκήτης καὶ εἰς ἐπήκοον πάντων ἐφώναξεν:

—Ἐγὼ δὲν ἔχω πλέον ἀνάγκην νὰ μεταλαμβάνω ἐδῶ, διότι τὰς ἡμέρας αὐτὰς εἶδον μὲ τοὺς ὀφθαλμούς μου τὸν Χριστόν.

6. Κατόπιν αὐτοῦ τὸν ἔπιασαν οἱ Πατέρες, τὸν ἔδεσαν μὲ ἁλυσίδας ἐπὶ ἕνα χρόνον καὶ ἤρχισαν νὰ παρακαλοῦν συνεχῶς τὸν Θεὸν νὰ τὸν θεραπεύσῃ ἀπὸ τὸ σατανικὸν αὐτὸ πάθος. Παραλλήλως μὲ πολλὰς προσβολάς, ποὺ τοῦ ἔκαμαν καὶ μὲ τὴν ἀπραξίαν εἰς τὴν ὁποίαν

τὸν ὑπέβαλαν, τοῦ ἐξηφάνισαν τὴν φαντασίαν, ποὺ εἶχε διὰ τὸν ἑαυτόν του καὶ τὸν ἐθεράπευσαν τελείως. Τὰ διάφορα πάθη θεραπεύονται μὲ τὰς ἀντιθέτους θεραπείας, ὅπως π. χ. ἡ ὑπερηφάνεια μὲ τὴν καταφρόνησιν καὶ τὰς προσβολάς.

7. Μίαν ἡμέραν ἐγὼ καὶ οἱ μακάριοι Διάκονοι Εὐάγριος καὶ Ἀλβῖνος μετέβημεν ἀπὸ κοινοῦ πρὸς ἐπίσκεψιν τῶν Ὁσίων Πατέρων Κρονίου, Ἰακώβου καὶ Παφνουτίου, προκειμένου νὰ μάθωμεν ἀπὸ αὐτοὺς ποῖα εἶναι τὰ αἴτια τῶν παραπτωμάτων τῶν ἀδελφῶν, ποὺ ἐκπίπτουν ἀπὸ τὸ μοναχικόν των ἀξίωμα καὶ χάνουν τὴν ἀξίαν των.

8. Οἱ Πατέρες λοιπὸν αὐτοί, ποὺ εἶναι πραγματικοὶ λύχνοι διακρίνοντες μὲ τὸ φῶς των τοὺς λογισμοὺς καὶ τὰς διαθέσεις τῶν ἀνθρώπων, διετύπωσαν τὴν ἑξῆς γνώμην: Ὅσα συμβαίνουν εἰς τὴν ζωὴν τῶν ἀνθρώπων—μᾶς εἶπον—δυνάμεθα νὰ τὰ διαιρέσωμεν εἰς δύο κατηγορίας· εἰς αὐτά, ποὺ συμβαίνουν κατ' εὐδοκίαν Θεοῦ καὶ εἰς αὐτά, ποὺ συμβαίνουν κατὰ παραχώρησιν Θεοῦ. Ὅσαι λοιπὸν πράξεις ἐκτελοῦνται κατὰ τοὺς κανόνας τῆς ἀρετῆς καὶ συντελοῦν εἰς τὴν δόξαν τοῦ ὀνόματος τοῦ Θεοῦ, αὐταὶ πραγματοποιοῦνται κατ' εὐδοκίαν Θεοῦ. Ἀντιθέτως ὅσαι πράξεις ἐπιφέρουν ψυχικὴν ζημίαν εἰς τὸν ἄνθρωπον, προκαλοῦν κινδύνους καί, τέλος, συντελοῦν εἰς τὴν ἠθικὴν ἔκπτωσιν τοῦ ἀνθρώπου, αὐταὶ συμβαίνουν κατὰ παραχώρησιν Θεοῦ, καὶ ὀφείλονται εἰς τὴν ἀπερισκεψίαν ἢ καὶ εἰς τὴν ὑπερηφάνειαν αὐτῶν, ποὺ τοὺς ἐγκατέλειψεν ἡ θεία Χάρις, λόγῳ τῆς διαγωγῆς των. Διότι εἶναι ἀδύνατον — λέγουν οἱ Πατέρες — αὐτός, ὁ ὁποῖος φρονεῖ ὀρθῶς περὶ τὴν πίστιν καὶ ζῇ μὲ εὐσέβειαν νὰ ἐγκαταλειφθῇ ἀπὸ τὴν θείαν Χάριν καὶ νὰ περιπέσῃ εἰς σφάλματα, ποὺ φέρουν ἐντροπήν, ἢ εἰς δαιμονικὰς πλάνας.

9. Ὅσοι ὅμως ἐπιδιώκουν νὰ ἐκτελέσουν τὴν ἀρετὴν κατευθυνόμενοι ἀπὸ εὐτελῆ ἐλατήρια, ὅπως ἡ ἀνθρωπαρέσκεια καὶ ὁ λογισμὸς τῆς ὑπερηφανείας, ἢ ἀποβλέπουν εἰς διεφθαρμένους σκοπούς, τοὺς ἐγκαταλείπει ὁ Θεὸς καὶ περιπίπτουν εἰς σφάλματα, ἀνάλογα τοῦ ἁμαρτωλοῦ των σκοποῦ. Τὸ ἐπιτρέπει δὲ ὁ Θεὸς αὐτὸ διὰ νὰ ἀντιληφθοῦν τὴν ἐπικίνδυνον μεταβολήν, εἰς τὴν ὁποίαν περιέπεσαν καὶ νὰ διορθώσουν τὴν ἁμαρτωλὴν πρόθεσίν των ἢ τὴν κακήν των πρᾶξιν· διότι ὁ ἄνθρωπος ἄλλοτε σφάλλει κατὰ τὴν πρόθεσιν καὶ ἄλλοτε κατὰ τὴν πρᾶξιν. Παραδείγματος χάριν, ὅταν ἕνας διεφθαρμένος ἄνθρωπος δίδῃ ἐλεημοσύνην εἰς μίαν νεωτέραν γυναῖκα, διὰ νὰ τὴν παρασύρῃ εἰς ἀκολασίαν, τότε ὁ ἄνθρωπος αὐτὸς ἁμαρτάνει κατὰ τὴν πρόθεσιν· ἀπ' ἐναντίας, ὅταν ἕνας ἄνθρωπος ἐλεῇ ἀσθενεῖς ἢ γέροντας ἢ πτωχεύσαντας, μὲ ἀγαθὴν πρόθεσιν καὶ ἁγνὸν σκοπόν, ἀλλὰ τσιγκουνεύεται εἰς αὐτά, ποὺ δίνει, ἢ τὰ προσφέρει μὲ γογγυσμόν, ὁ ἄνθρωπος αὐτός, καίτοι ἐπιδιώκει καλὸν σκοπόν, ἐν τούτοις ὅμως ἁμαρτάνει κατὰ τὴν πρᾶξιν, διότι ἡ ἐλεημοσύνη πρέπει νὰ γίνεται ἀφειδώλευτα καὶ μὲ ἐσω-

τερικὴν εὐχαρίστησιν· «Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεὸς» (Β' Κορινθ. θ', 7).

+ (10) Ἐπὶ πλέον οἱ Ὅσιοι αὐτοὶ Πατέρες ἔλεγον καὶ τὰ ἑξῆς: Πολλοὶ ἄνθρωποι ἔχουν λάβει παρὰ τοῦ Θεοῦ ὡρισμένα προτερήματα· π.χ. ἄλλοι ἔχουν εὐφυΐαν εἰς τὸ διακόνημά των, ἄλλοι πάλιν ἐπιτηδειότητα εἰς τὸ ἔργον τῆς ἀσκήσεως, ὥστε μὲ εὐκολίαν νὰ ἀγωνίζωνται. Ἐφ' ὅσον ὅμως τὰ προτερήματα αὐτὰ δὲν χρησιμοποιοῦνται διὰ τὸ ἀγαθόν, ἢ δὲν συντελοῦν εἰς τὴν ἐκπλήρωσιν ἑνὸς θείου σκοποῦ, τότε οὔτε ἡ πρᾶξις, ποὺ ὀφείλεται εἰς τὸ προτέρημα, οὔτε ἡ εὐφυΐα μὲ τὴν ὁποίαν ἐξετελέσθη ἡ ὑπηρεσία ὠφελοῦν ψυχικῶς τὸν ἄνθρωπον, ποὺ κατέχει τὸ προτέρημα· ἀπ' ἐναντίας μάλιστα τότε τὸ προτέρημα γίνεται αἰτία βλάβης. Ἐκεῖνος, ὁ ὁποῖος εἶναι φουσκωμένος ἀπὸ ἐγωϊσμόν, διότι τάχα ὁμιλεῖ καλά, δὲν ἀποδίδει πλέον εἰς τὸν Θεὸν τὸ χάρισμα τῆς εὐφυΐας αὐτῆς, καὶ δὲν τὸν θεωρεῖ χορηγὸν τῶν γνώσεών του· νομίζει, ὅτι τὰ προτερήματα αὐτὰ εἶναι τῆς φύσεώς του ἢ ἀποτελέσματα τῆς προσπαθείας του (1).

11. Τότε λοιπὸν καὶ ὁ Θεὸς ἀπομακρύνει ἀπὸ αὐτὸν τὸν ἄνθρωπον τὸν Ἄγγελον τῆς προνοίας Του, αὐτὸν ποὺ ἔχει τάξει διὰ τὸ χάρισμα αὐτό, καὶ ὁ ἄνθρωπος αὐτός, χωρὶς βοήθειαν πλέον, βασανίζεται ἀπὸ τὸν διάβολον.

Ἐκεῖνος, ποὺ καυχᾶται διὰ τὴν εὐφυΐαν του, περιπίπτει εἰς ἀκολασίαν, ὥστε ὁ κιναιδισμὸς ἢ ἡ κτηνωδία νὰ τὸν ταπεινώσῃ καὶ νὰ ἐκδιώξῃ τὸν δαίμονα τῆς ὑπερηφανείας.

Β'. Ἐν τῷ βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητικὴ πρὸς τὰς συνελθούσας, ὅτι ἑκάστῃ ἡμῶν διπλοῦς ὁ φόβος ἐπίκειται, ἢ τοῦ μὴ ἐπιστρέψαι πρὸς τὰ ἀρχαῖα δι' ὀλιγωρίας τῷ ἐχθρῷ προσπαλαίουσαν, ἢ τοῦ μὴ τρέχουσαν σκελισθῆναι· ὁ γὰρ ἐχθρὸς ἡμῶν διάβολος ἢ ὄπισθεν ἕλκει πρὸς ἑαυτόν, ὁπηνίκα βραδεῖαν καὶ νωθρὰν τὴν ψυχὴν θεάσηται, ἢ δοκοῦσαν αὐτὴν σπουδαίαν εἶναι πρὸς ἄσκησιν, ὑπεισέρχεται λεπρῶς καὶ κεκρυμμένως διὰ τῆς ὑπερηφανίας καὶ τελείως τὴν ψυχὴν ἀπόλλυσι.

2. Τοῦτο τὸ ὅπλον ἔσχατον τῷ ἐχθρῷ ἐστιν, ὡς μεῖζον τῶν ἄλλων πρὸς τὸν καθ' ἡμῶν πόλεμον· δι' οὗ γὰρ αὐτὸς κατεβλήθη, διὰ τούτου καὶ τοὺς δυνατωτέρους τῶν ἀνθρώπων πειρᾶται καθαιρεῖν· ὥσπερ γὰρ οἱ δεινότατοι τῶν πολεμιστῶν μετὰ τὸ δαπανῆσαι τὰ λεπτότερα βέλη τότε, ἐπικρατούντων ἔτι τῶν ἐναντίων, τελευταῖον τὴν ἰσχυροτέραν προβάλλονται μάχαιραν, οὕτω καὶ ὁ διάβολος, μετὰ τὸ ἐκκενῶσαι πάντα τὰ βέλη αὐτοῦ, τότε τῷ ἰσχυροτέρῳ ξίφει τῇ ὑπερηφανίᾳ ἐσχάτῃ χρᾶται πρὸς τὴν τοῦ ἀγωνιζομένου καθαίρεσιν.

3. Τίνα δὲ τὰ πρῶτα βέλη αὐτοῦ; δεῖλον ὡς γαστριμαργία, φιληδονία, πορνεία, δι' ὧν τοῖς νέοις οἴωθε πολεμεῖν· ἐπακολουθεῖ δὲ τούτοις φιλαργυρία, πλεονεξία, καὶ τὰ τούτοις ὅμοια· ὅταν οὖν τούτοις, Θεοῦ Χάριτι, ὁ Ἀσκητὴς περιγένηται, τότε τοῖς ἄλλοις ἀπορήσας ὁ δολιόφρων, ὑποβάλλει αὐτῷ ἔννοιαν καὶ μεγε-

1) Ἡ θαυμασία αὐτὴ ἄποψις ἀποτελεῖ ἐφαρμογὴν τῆς σχετικῆς διδασκαλίας τοῦ Ἀπ. Παύλου· «Τί δὲ ἔχεις, ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;» (Α' Κορινθ. δ', 7).


Ἡ
Ἁγία
ΣΥΓ
ΚΛΗ
ΤΙ
ΚΗ

θύνει τοῦτον ἀκρατῶς κατὰ τῶν ἀδελφῶν ἐπαίρεσθαι· κατειληφέναι γὰρ αὐτὸν φαντάζει τὰ τοῖς πολλοῖς ἀγνοούμενα, καὶ ὅτι ἐν νηστείαις καὶ ἀγρυπνίαις καὶ τῇ λοιπῇ ἀσκήσει τοὺς πολλοὺς ὑπερβάλλει, καὶ ἑτέρων δὲ ἀνδραγαθημάτων αὐτῷ πλῆθος ἀπαριθμεῖ.

4. Ἔτι δὲ καὶ τὴν μνήμην τῶν ἁμαρτημάτων ἐκ τοῦ νοὸς ἀπαλείφει, καὶ εἰς λήθην αὐτὸν τελείαν ἐγκαθιστᾷ τῶν οἰκείων πλημμελημάτων, πρὸς τὸ μὴ δυνηθῆναι τοῦτον λοιπὸν πρὸς τὸν Θεὸν εἰπεῖν τὴν ἰατρικὴν ἐκείνην φωνήν, σοὶ μόνῳ ἥμαρτον, ἐλέησόν με, ἀλλ' ὥσπερ αὐτὸς κατὰ διάνοιαν εἶπε τὸ ἀναβήσομαι καὶ θήσω τὸν θρόνον μου καὶ τὰ ἑξῆς, οὕτω καὶ τοῦτον φαντάζει εἰς ἀρχάς τε καὶ πρωτοκαθεδρίας, ἔτι δὲ διδασκαλίας καὶ ἰαμάτων ἐνεργείας.

5. Ἡ οὖν ἀπατωμένη οὕτω ψυχὴ φθείρεται καὶ ἀπόλλυται, δυσιάτῳ ἕλκει πληγεῖσα· τί οὖν δεῖ ποιεῖν ἡμᾶς τῶν τοιούτων λογισμῶν παρόντων; ἀδιαλείπτως μελετᾶν τὰ θεῖα ἐκεῖνα λόγια, τὸ ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, καὶ ἐγώ εἰμι γῆ καὶ σποδός· ἔτι γε μὴν καὶ τὸ τοῦ Ἡσαΐου, ὡς πᾶσα δικαιοσύνη ἀνθρώπου ὡς ῥάκος ἀποκαθημένης, καὶ τὰ τοιαῦτα.

6. Καὶ εἴ γε καθ' ἑαυτὴν ἀναχωρεῖ ἡ τοὺς ψυχοφθόρους τούτους λογισμοὺς ὑποδεξαμένη, εἰσερχέσθω εἰς Κοινόβιον καὶ ἀναγκαζέσθω καὶ δεύτερον τῆς ἡμέρας ἐσθίειν, εἴπερ δι' ὑπερβολὴν ἀσκήσεως τούτῳ ἑάλω τῷ πάθει, καὶ παρὰ τῶν συνηλίκων δὲ ἐπιτιμάσθω καὶ ὀνειδιζέσθω ὡς μηδὲν ἀγαθὸν πράττουσα, καὶ πᾶσαν ὑπηρεσίαν ποιείτω.

7. Ἐξηγείσθωσαν δὲ αὐτῇ καὶ βίοι Ἁγίων ἔξοχοι, καὶ αἱ συνοῦσαι πειράσθωσαν ἐκτείνειν ἑαυτὰς πρὸς ἄσκησιν, ἵνα ἐκείνη θεωροῦσα, ἑαυτὴν ἐλάττονα νομίσῃ· καὶ λεγέτωσαν πρὸς αὐτὴν συνεχῶς, τί φυσιοῦσαι καὶ ὑψηλοφρονεῖς; τυχὸν ὅτι οἶνον οὐ πίνεις; ἄλλοι δὲ οὐδὲ ὕδατος κορέννυνται· ὅτι ἔλαιον οὐκ ἐσθίεις, οὐδὲ ἑψητόν; ἄλλοι δὲ οὐδὲ ἄρτῳ χρῶνται, ἀλλὰ βοτάναις ἀγρίαις παραμυθοῦνται τὴν τοῦ σώματος ἔνδειαν· ὅτι ἕως ὀψὲ νηστεύεις; ἕτεροι δύο καὶ τρεῖς ἡμέρας συνάπτουσιν· ἀλλ' ὅτι οὐ λούῃ μέγα φρονεῖς; πολλοὶ τῶν κοσμικῶν, καὶ διὰ πάθος σωματικόν, τούτῳ οὐδόλως ἐχρήσαντο.

8. Ἀλλὰ θαυμάζεις ἑαυτῇ ὅτι ἐν χαραδρίῳ καθεύδεις καὶ ἐν τριχίνῃ στρωμνῇ; ἄλλοι δὲ χαμευνοῦσι διηνεκῶς· ἀλλ' εἰ καὶ τοῦτο ποιήσειας, οὐδὲν μέγα· τινὲς καὶ λίθους ἑαυτοῖς ὑποστρώσαντες, πρὸς τὸ μὴ καθ' ἡδονὴν ἐπὶ τῶν φυσικῶν τυχεῖν, τινὲς δὲ καὶ ἐκρέμασαν ἑαυτοὺς δι' ὅλης νυκτός· ἀλλ' εἰ καὶ ταῦτα πάντα ποιήσειας, καὶ τὴν ἀκροτάτην ἐπιτελέσειας ἄσκησιν, μηδέ ποτε μέγα φρονήσῃς.

9. Καὶ γὰρ τὰ δαιμόνια πλείω πεποιήκασι καὶ ποιοῦσι τῶν ἀνθρώπων· οὐ ἀρ ἐσθίουσιν, οὔτε πίνουσιν, οὔτε κόσμου τι χρῄζουσιν, οὔτε κοιμῶνται ὅλως· ἀλλὰ κἂν ἐν ἐρήμῳ διάγῃς, εἴ γε καὶ ἐν σπηλαίῳ οἰκοῦσα δοκεῖς μέγα τι ποιεῖν· ἐκ τούτων τῶν λογισμῶν καὶ πράξεων δυνατὸν Θεοῦ Χάριτι τὴν ὑπερηφανίαν ἰάσεσθαι· ὥσπερ γὰρ τὸ σφοδρῶς ἐκφυσώμενον πῦρ, διασκορπιζόμενον ἀπόλλυται, οὕτω καὶ ἡ ἀρετὴ ἀφίπταται δι' ὑπεροψίαν, κἂν πολλὴν σφοδρότητα ἀσκήσεως λάβῃ, καὶ ὥσπερ μάχαιρα ἐπ' ἄκμονος ῥαδίως ὑπὸ λίθου κατεάγνυται, οὕτω καὶ ἡ ἄσκησις ἐπιτεταμένη, συντόμως ἐκ τοῦ ὑπερηφανεύεσθαι ἀπόλλυται.

10. Ὅθεν προσήκει πανταχόθεν ἀσφαλίζεσθαι τὴν ψυχήν, καὶ τὴν ἀκροτάτην ἄσκησιν ἐκ τοῦ καύσωνος τῆς ὑπερηφανίας ἐκκαιομένην ἐπικάμπτειν πρὸς τοὺς σκιώδεις τόπους, ἔσθ' ὅτε καὶ περιτέμνειν τὰ περιττά, πρὸς τὸ τὴν ῥίζαν εὐθαλεστέραν γενέσθαι· μέγιστον γάρ ἐστιν ἐν κακοῖς ὑπερηφανία· καὶ τοῦτο δῆλον, ἐκ τοῦ ἐναντίου αὐτοῦ ἀγαθοῦ τῆς ταπεινοφροσύνης, ἥτις, οὕτω μεγάλη ἐστίν, ὡς πάσας μὲν τὰς ἀρετὰς μιμεῖσθαι τὸν διάβολον, ταύτην δὲ μὴ εἰδέναι ὅλως τί ἐστιν.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ Συγκλητικὴ διδάσκουσα τὰς Μοναχὰς ἔλεγε πρὸς αὐτάς, ποὺ συνεκεντρώθησαν πλησίον της: Προσέχετε,

διότι ἑκάστη ἀπὸ ἡμᾶς ἀντιμετωπίζει διπλοῦν φόβον· ἢ δηλαδὴ κινδυνεύει, ἀπὸ ἀμέλειάν της νὰ πολεμήσῃ τὸν νοητὸν ἐχθρόν, νὰ μὴ ἔλθῃ ποτὲ εἰς τὴν ἀρχαίαν τάξιν τοῦ μοναχικοῦ βίου, ἢ ἐξ αἰτίας πνευματικῆς βραδύτητος καὶ νωθρότητος νὰ μὴ δυνηθῇ νὰ τρέξῃ εἰς τὸ στάδιον τῶν ἀσκητικῶν ἀγώνων καὶ νὰ ὑποσκελισθῇ ἀπὸ τὸν διάβολον. Διότι ὁ ἐχθρὸς ἡμῶν διάβολος ἢ ἐκ τῶν ὄπισθεν μᾶς τραβᾷ κοντά του, ὁσάκις διαπιστώσῃ, ὅτι ἡ ψυχή μας εἶναι βραδυκίνητος εἰς τὴν ἀρετὴν καὶ νωθρά, ἤ, ἐφ' ὅσον θεωρήσῃ αὐτὴν πρόθυμον καὶ εὐκίνητον εἰς τὴν ἄσκησιν, εἰσέρχεται κρυφίως ἐντὸς τῆς ψυχῆς, τῆς μεταδίδει τὸ πάθος τῆς ὑπερηφανείας καὶ οὕτω τὴν καταστρέφει τελείως.

2. Τὴν ὑπερηφάνειαν τὴν διαθέτει ὁ ἐχθρὸς ὡς τὸ τελευταῖον καὶ ἀποτελεσματικὸν ὅπλον, μεγαλύτερον τῶν ἄλλων, κατὰ τὸν ἐναντίον ἡμῶν πόλεμον. Μὲ ὅ,τι πάθος ὁ ἴδιος ἐξέπεσε τῆς ἀγγελικῆς δόξης, μὲ τὸ ἴδιον μέσον ἐπιδιώκει νὰ καταβάλῃ τοὺς ἰσχυροτέρους εἰς τὴν ἀρετήν. Καὶ τὸ πάθος αὐτὸ εἶναι ἡ ὑπερηφάνεια. Συμβαίνει δὲ μὲ τὸν διάβολον αὐτό, ποὺ παρατηρεῖται εἰς τοὺς ἐμπειροτέρους πολεμιστάς. Οὗτοι, ὡς γνωστόν, ὅταν ἐξοδεύσουν ὅλα τὰ βέλη των, τότε, ἐφ' ὅσον ἐξακολουθοῦν νὰ νικοῦν οἱ ἐχθροί, ὡς τελευταῖον ὅπλον κατ' αὐτῶν χρησιμοποιοῦν καὶ τὴν φοβερὰν μάχαιραν. Τοιουτοτρόπως ἐνεργεῖ ἐναντίον τοῦ ἀνθρώπου καὶ ὁ διάβολος· ἀφοῦ ἐκτοξεύσῃ ὅλα τὰ βέλη του κατὰ τοῦ πολεμουμένου ὑπ' αὐτοῦ ἀνθρώπου, τότε χρησιμοποιεῖ καὶ τὴν ὑπερηφάνειαν, ὡς ἰσχυρότερον ξίφος, διὰ νὰ ἐπιτύχῃ τὴν ἐξόντωσιν τοῦ ἀγωνιζομένου ἀνθρώπου.

3. Ποῖα δὲ εἶναι τὰ πρῶτα βέλη; Τὰ πρῶτα βέλη, ποὺ χρησιμοποιεῖ ἐναντίον τοῦ Μοναχοῦ, εἶναι ἡ γαστριμαργία, ἡ φιληδονία, ἡ πορνεία, διὰ τῶν ὁποίων ἔχει συνηθίσει νὰ πολεμῇ τοὺς νέους· ἐὰν δὲν ἀποδώσουν τὰ ὅπλα αὐτά, ἐὰν δηλαδὴ δὲν καταβάλῃ τὸν Μοναχόν, τότε χρησιμοποιεῖ τὴν φιλαργυρίαν, τὴν πλεονεξίαν καὶ τὰ ὅμοια μὲ αὐτά. Ὅταν λοιπὸν καὶ αὐτὰ τὰ ἀντιμετωπίσῃ ἐπιτυχῶς, μὲ τὴν Χάριν τοῦ Θεοῦ, ὁ Ἀσκητής, χωρὶς νὰ τραυματισθῇ, τότε ὁ δόλιος, βλέπων, ὅτι δὲν ἀπέδωσαν τὰ προηγούμενα ὅπλα του, τοῦ ἐμπνέει πονηρῶς τὴν σκέψιν, ὅτι τάχα κάτι εἶναι· τὸν φουσκώνει σιγὰ - σιγὰ καὶ καὶ τὸν κάμνει νὰ ὑπερηφανεύεται ἐναντίον τῶν ἀδελφῶν καὶ νὰ τοὺς περιφρονῇ· τὸν κάμνει νὰ φαντάζεται, ὅτι δῆθεν ἔχει κατανοήσει αὐτὸς αὐτά, ποὺ οἱ περισσότεροι ἀγνοοῦν καὶ ὅτι εἶναι ἀνώτερος τῶν ἄλλων συμμοναστῶν του κατὰ τὰς ἀγρυπνίας, τὴν νηστείαν καὶ τὴν ὑπόλοιπον ἄσκησιν. Ἀλλὰ καὶ πλῆθος ἄλλων ἀνδραγαθημάτων τοῦ ἐμπνέει νὰ ὑπολογίζῃ!

4. Ἐπὶ πλέον καταφέρνει ὁ διάβολος νὰ ξεχνᾷ ὁ ὑπερήφανος Μοναχὸς τὰ ἁμαρτήματά του καὶ τὸν ὑποβάλλει εἰς ἐπικίνδυνον ἀμνησίαν τῶν ὅσων σφάλλει, ὥστε νὰ μὴ ἠμπορέσῃ νὰ ἀπευθύνῃ πλέον πρὸς τὸν Θεὸν τὴν κατανυκτικὴν ἐκείνην δέησιν «Σοὶ μόνῳ ἥμαρτον» (Ψαλμ. ν΄, 4), ἐλέησόν με, διὰ τῆς ὁποίας θὰ θεραπευθῇ ἀπὸ τὰ σφάλ-

ματά του. Ὅπως δὲ ὁ διάβολος, ὅταν ἀπεφάσιζε τὴν κατὰ τοῦ Θεοῦ ἀποστασίαν, εἶπε μὲ τὸν νοῦν του· θὰ ἀναβῶ ἐπάνω ἀπὸ τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ θὰ στήσω ἐκεῖ τὸν θρόνον μου(1), τοιουτοτρόπως ἐμπνέει καὶ εἰς τὸν ὑπερήφανον νὰ φαντάζεται ἀρχάς, πρωτοκαθεδρίας, ἀκόμη δὲ ὅτι εἶναι καὶ ἱκανὸς νὰ ἐνεργῇ θεραπείας ἐπὶ ἀσθενῶν καὶ νὰ διδάσκῃ τοὺς ἄλλους.

5. Ἡ ψυχὴ λοιπόν, ποὺ κατὰ τὸν τρόπον αὐτὸν ἐξαπατᾶται ὑπὸ τοῦ διαβόλου, καταστρέφεται σιγὰ - σιγὰ καὶ χάνεται, διότι ἐκτυπήθη μὲ δυσκολοθεράπευτον πληγήν. Τί πρέπει λοιπὸν ἡμεῖς νὰ κάμωμεν, ὅταν ἀντιληφθῶμεν εἰς τὴν ψυχήν μας τὴν παρουσίαν τοιούτων πονηρῶν λογισμῶν;

Πρέπει συνεχῶς νὰ μελετῶμεν καὶ νὰ στοχαζώμεθα τὴν σημασίαν τῶν λόγων τοῦ Θεοῦ· «Ἐγώ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος» (Ψαλμ. κα΄, 7), «Ἐγώ εἰμι γῆ καὶ σποδὸς» (Γεν. η΄, 27) ἀκόμη καὶ ἐκεῖνο ποὺ ἀναφέρει ὁ Προφήτης Ἡσαΐας· «Πᾶσα δικαιοσύνη (2) ἀνθρώπου ὡς ράκος ἀποκαθημένης(3)» (Ἡσαΐας ξδ΄ 6) καὶ ὅλα ἐν γένει τὰ σχετικὰ ρητά.

6. Ἐὰν δὲ ἡ Μοναχή, ποὺ ἐδέχθη μέσα εἰς τὴν ψυχήν της τὰς ψυχοβλαβεῖς αὐτὰς σκέψεις, οἰκειοθελῶς καὶ ἄνευ γνώμης τῆς Ἡγουμένης, θέλῃ νὰ ἀναχωρήσῃ ὡς Ἀσκήτρια εἰς τὴν ἔρημον, νὰ ὑποχρεωθῇ νὰ εἰσέρχεται πάλιν εἰς τὸ Κοινόβιον καὶ νὰ ἐξαναγκάζεται νὰ τρώγῃ δύο φορὰς τὴν ἡμέραν, ἐφ᾽ ὅσον ἐκυριεύθη ἀπὸ τὸ πάθος τῆς ὑπερηφανείας λόγῳ τῆς ὑπερβολικῆς ἀσκήσεως. Αἱ συνομήλικοί της, ποὺ μονάζουν εἰς τὸ ἴδιον Κοινόβιον, νὰ τὴν ἐπιτιμοῦν καὶ νὰ τὴν εἰρωνεύωνται, ὅτι δὲν κάμει κανένα καλόν· ἐπὶ πλέον δὲ νὰ ἐκτελῇ ὅλας τὰς εὐτελεῖς ὑπηρεσίας τῆς Μονῆς.

7. Νὰ διηγοῦνται ἐπίσης εἰς αὐτὴν βίους Μεγάλων Ἁγίων, ποὺ ἔλαμψαν εἰς ἄσκησιν καὶ ἀγαθὰ ἔργα, καὶ αἱ ἄλλαι Μοναχαὶ τοῦ Κοινοβίου νὰ προσπαθοῦν νὰ ἐντείνουν τὴν ἄσκησίν των, ὥστε βλέπουσα νὰ ἀντιληφθῇ, ὅτι εἶναι κατωτέρα ἀπ᾽ ὅ,τι ἐφαντάσθη. Καθημερινῶς δὲ αἱ σωφρονέστεραι τῶν ἄλλων Μοναχῶν νὰ τῆς λέγουν:

— Διατί εἶσαι φαντασμένη καὶ ὑψηλοφρονεῖς; Ἐπειδὴ δὲν πίνεις τυχὸν κρασί; Ἄλλοι, λόγῳ αὐστηρᾶς ἀσκήσεως, οὔτε νερὸ δὲν χορταίνουν!

Μήπως ἐπειδὴ νηστεύεις ἀπὸ ἔλαιον ἢ δὲν τρώγεις ψημένον φαγητόν; Ἄλλοι Ἀσκηταὶ οὔτε ψωμὶ δὲν τρώγουν, ἀλλὰ παρηγοροῦν τὴν ἑκουσίαν πεῖναν των μὲ ὀλίγα ἄγρια χόρτα!

Ἀλλὰ καὶ τὸ ὅτι νηστεύεις ὅλην τὴν ἡμέραν ἕως ἀργὰ τὸ βρά-

---

1) «Ἀναβήσομαι ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ στήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς Βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ» (Ἡσ. ιδ΄, 14).

2) Δικαιοσύνην ἐννοεῖ ἐδῶ τὴν ἀρετήν.

3) Ἀποκαθημένη=γυνὴ ἔχουσα τὰ καταμήνια.

δυ δὲν εἶναι σπουδαῖον κατόρθωμα· ἄλλοι νηστεύουν συνεχῶς δύο καὶ τρεῖς ἡμέρας!

Φαντάζεσαι, ὅτι εἶναι μεγάλο πρᾶγμα, ἐπειδὴ δὲν λούζεσαι; Μὴ λησμονῇς, ὅτι καὶ πολλοὶ ἐκ τῶν κοσμικῶν, λόγῳ ἀσθενείας, ποτὲ δὲν ἐλούσθησαν!

8. Θαυμάζεις τὸν ἑαυτόν σου, διότι κοιμᾶσαι εἰς μίαν ψάθαν [1] καὶ ἐπάνω εἰς τρίχινον στρῶμα; Τίποτε τὸ σπουδαῖον! Ἄλλοι κοιμοῦνται κατ' εὐθεῖαν εἰς τὸ χῶμα συνεχῶς.

Καὶ αὐτὸ ἀκόμη ἐὰν τὸ κατορθώσῃς, δὲν ἐπέτυχες καὶ μεγάλο πρᾶγμα! Ὑπάρχουν Ἀσκηταί, ποὺ ἔστρωσαν πέτρες καὶ ἐκοιμήθησαν ἐπάνω εἰς αὐτάς, διὰ νὰ μὴ δοκιμάσουν τὴν εὐχαρίστησιν τοῦ φυσιολογικοῦ ὕπνου. Ἄλλοι δὲ πάλιν ὅλην τὴν νύκτα ἐκρεμάσθησαν ἑκουσίως.

Τέλος καὶ ἐὰν ὅλα αὐτὰ τὰ κατορθώσῃς καὶ ἐπιτύχῃς τὴν αὐστηροτέραν ἄσκησιν, ποτὲ δὲν πρέπει νὰ ὑψηλοφρονήσῃς.

9. Διατί ἄλλωστε νὰ ὑψηλοφρονήσῃς; Καὶ τὰ ἴδια τὰ δαιμόνια ἔχουν κατορθώσει καὶ κατορθώνουν περισσότερα ἀνδραγαθήματα ἀπὸ τοὺς ἀνθρώπους· διότι οὔτε τρώγουν, οὔτε πίνουν, οὔτε ἔχουν ἀνάγκην στολισμοῦ, οὔτε κἂν μίαν στιγμὴν κοιμῶνται. Δι' αὐτὸ καὶ σύ, καὶ ἐὰν ἀκόμη ζῇς εἰς τὴν ἔρημον καὶ ἔχῃς τὴν γνώμην, ὅτι κάτι σπουδαῖον κατορθώνεις, ἐπειδὴ κατοικεῖς εἰς ἕνα σπήλαιον, πρόσεξε διότι θὰ χάσουν τὴν ἀξίαν των ὅλα αὐτά, ἐφ' ὅσον δὲν κατανικήσῃς τὴν ὑπερηφάνειαν. Τὴν ὑπερηφάνειαν αὐτὴν εἶναι δυνατὸν νὰ τὴν θεραπεύσῃς, μὲ τὴν Χάριν τοῦ Θεοῦ, χρησιμοποιοῦσα ἐπιτυχῶς τὰς ἀνωτέρω σκέψεις καὶ πράξεις.

Καὶ πρέπει νὰ τὴν θεραπεύσῃς, διότι ὅπως ἀκριβῶς ἡ φωτιά, τὴν ὁποίαν φυσῶμεν, ὅταν σκορπίσῃ σβύνει, τοιουτοτρόπως χάνει τὴν ἀξίαν της καὶ ἡ ἀρετή, ὅταν ἐμφανισθῇ ἡ ὑπεροψία εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἔστω καὶ ἐὰν ἡ ἄσκησις, ἀπὸ τὴν ὁποίαν προῆλθεν ἡ ἀρετή, ὑπῆρξε σφοδροτάτη. Καὶ ὅπως ἀκριβῶς τὴν μάχαιραν ἠμπορεῖ ἐπάνω εἰς τὸ ἀμόνι νὰ τὴν σπάσῃ καὶ τὴν ἀχρηστεύσῃ μία πέτρα, τοιουτοτρόπως καὶ ἡ πλέον ἐντεταμένη ἄσκησις χάνεται συντομώτατα ἀπὸ τὴν ὑπερηφάνειαν τοῦ Ἀσκητοῦ.

10. Δι' αὐτὸ πρέπει ἀπὸ ὅλα τὰ σημεῖα νὰ περιφρουρῆται ἡ ψυχὴ καὶ τὴν σκληροτέραν ἄσκησιν, τὴν ὁποίαν φλογίζει ὁ καύσων τῆς ὑπερηφανείας, νὰ τὴν φέρωμεν εἰς σκιεροὺς τόπους, καί, ἐν ἀνάγκῃ, νὰ κόπτῃ κανεὶς καὶ τὰ περιττά, ὥστε νὰ ἐνισχύεται ἡ ρίζα καὶ νὰ ἀποβαίνῃ ἰσχυροτέρα, διότι τὸ μεγαλύτερον ἀπὸ ὅλα τὰ κακὰ εἶναι ἡ ὑπερηφάνεια. Τὸ μέγεθος τῆς κακίας τῆς ὑπερηφανείας ἀποδεικνύεται ἐκ τῆς ἀντιθέτου ἀρετῆς, ποὺ ἀντιστοιχεῖ εἰς αὐτήν, τῆς ταπεινοφροσύνης· ὅλας τὰς ἀρετὰς δύναται νὰ τὰς μιμηθῇ ὁ διάβολος, αὐτὴν ὅμως καθ' ὁλοκληρίαν δὲν γνωρίζει τί εἶναι.

---

1) Χαράδριον ὠνόμαζον κυρίως τὴν σήμερον λεγομένην κουρελοῦ.

Γ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἰσίδωρος· εἰ νομίμως ἀσκεῖτε, νηστεύοντες μὴ τυφοῦσθε· εἰ δὲ ἐπὶ τούτῳ μέγα φρονεῖτε, τίς χρεία τοῦ νηστεύειν; συμφέρει γὰρ ἀνθρώπῳ μᾶλλον κρέα ἐσθίειν, ἢ νηστεύειν καὶ τυφοῦσθαι καὶ μεγαλαυχεῖν.

2. Ἔλεγον οἱ Γέροντες, ὅτι ἐὰν ἴδῃς νεώτερον τῷ θελήματι αὐτοῦ ἀναβαίνοντα εἰς τὸν οὐρανόν, κράτησον αὐτοῦ τὸν πόδα καὶ ῥίψον αὐτὸν κάτω· συμφέρει γὰρ αὐτῷ.

3. Παρέβαλόν ποτε τρεῖς ἀδελφοὶ τινὶ Γέροντι εἰς σκῆτιν, καὶ ἠρώτησεν ὁ εἷς ἐξ αὐτῶν λέγων· Ἀββᾶ, ἔλαβον τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην ἀπὸ στήθους· καὶ ἀποκριθεὶς ὁ γέρων εἶπεν· ἐγέμισας τὸν ἀέρα λόγων· καὶ ὁ δεύτερος ἠρώτησε λέγων· κἀγὼ τὴν Παλαιὰν καὶ Καινὴν ἔγραψα ἐμαυτῷ· καὶ σὺ τὰς θυρίδας ἐγέμισας χαρτίων· καὶ ὁ τρίτος εἶπε· κἀμοῦ εἰς τὸν χυτρόποδα βρύα ἀνέβησαν· καὶ εἶπεν αὐτῷ ὁ Γέρων· καὶ σὺ τὴν φιλοξενίαν ἐδίωξας ἀπὸ σοῦ.

4. Εἶπε Γέρων, ὅτι καθεζομένου μού ποτε ἐγγὺς ἑτέρου Γέροντος, παρέβαλεν αὐτῷ Παρθένος λέγουσα· Πάτερ, ἐνήστευσα διακοσίας Κυριακὰς ἓξ ἕξ· ἀπήγγειλα δὲ καὶ τὴν Παλαιὰν καὶ Καινήν, τί ἔτι μοι λείπει ἵνα ἐργάσωμαι; καὶ ἀπεκρίθη ὁ Γέρων· καὶ τίς ὁ τούτων καρπὸς παρὰ σοί; ἐγένετό σοι ἡ ἐξουδένωσις ὡς τιμή; ἔφη ἐκείνη· οὐχί· ἡ ζημία ὡς τὸ κέρδος σοι λογίζεται; ἢ οἱ ξένοι ὡς οἱ κατὰ σάρκα συγγενεῖς; ἢ ἡ ἔνδεια ὡς ἡ δαψίλεια; ἡ δὲ εἶπεν, οὐδαμῶς· ὁ δὲ Γέρων ἔφη· λοιπὸν οὐκ ἐνήστευσας ἓξ ἕξ, οὐδὲ Παλαιὰν καὶ Καινὴν ἀπήγγειλας, ἀλλὰ ἀπατᾷς σεαυτήν· ἄπελθε ἐργάζου, οὐδὲν γὰρ ἔχεις.

5. Ἦν τις Μοναχὸς ἐν Θηβαΐδι, ἀκροτάτην ἄσκησιν καὶ πολιτείαν ἔχων· καὶ γὰρ ἀγρυπνίαις διηνεκέσι καὶ προσευχαῖς ἐσχόλαζε, καὶ τελείαν ἀκτημοσύνην ἐπεδείκνυτο, καὶ νηστείᾳ τοσοῦτον προσεῖχεν, ὥστε ἅπαξ τῆς ἑβδομάδος ἐν τῇ Κυριακῇ πρὸς ἑσπέραν τρέφεσθαι τοῖς παρατυχοῦσιν ὀσπρίοις ἢ ἀγρίαις βοτάναις, παραμυθούμενος τῆς φύσεως τὴν ἀσθένειαν· ἐπὶ πολὺν οὖν διετέλεσε χρόνον οὕτω βιούς.

6. Ἀλλ' ὁ τῆς κακίας εὑρετὴς διάβολος, τῆς ἀρετῆς τούτῳ φθονήσας, ἔσπευσε τοῦτον καταβαλεῖν διὰ τοῦ τῆς ὑπερηφανίας πτώματος, δι' οὗπερ κἀκεῖνος κατέπεσεν· ὑποβάλλει οὖν αὐτῷ λογισμοὺς οἰήσεως λέγων, ὅτι ἀκροτάτην μετέρχῃ ἄσκησιν, καὶ ἣν οὐδεὶς ἄλλος κατορθῶσαι δύναται· δεῖ οὖν σε καὶ σημείων ἐπίδειξιν ποιήσασθαι, ἵνα καὶ σὺ προθυμότερος πρὸς τὴν ἄσκησιν γένῃ, καὶ τοὺς ἀνθρώπους οἰκοδομήσῃς, ὁρῶντας τὰ θαυμάσια τοῦ Θεοῦ, καὶ δοξάζοντας τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Αἰτήσωμεν οὖν τὴν τῶν σημείων ἐνέργειαν, αὐτὸς γὰρ ὁ Σωτὴρ εἴρηκεν· αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ταύτην οὖν τὴν δέησιν μετὰ αἰτήσεως ἐκτενεστάτης προσῆγε τῷ Θεῷ.

7. Ὁ δὲ φιλάνθρωπος Θεός, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, ἰδὼν τὴν πλάνην αὐτοῦ καὶ μνησθεὶς τοῦ κόπου αὐτοῦ τῆς ἀσκήσεως, οὐ συνεχώρησεν αὐτὸν νικηθῆναι ὑπὸ τοῦ πονηροῦ· ἔρχεται οὖν αὐτῷ ἔννοια, καὶ ἐλογίσατο, ὅτι φησὶν ὁ Ἀπόστολος, οὐχ ἱκανοί ἐσμεν ἐξ ἑαυτῶν τι λογίσασθαι· εἰ οὖν ὁ τοιοῦτος εἶπεν οὐχ ἱκανός εἰμι, πόσον μᾶλλον ἐγὼ διδασκαλίας δέομαι; ἀπέλθω οὖν πρὸς τόνδε τὸν Ἀναχωρητήν, καὶ ὃ ἐὰν εἴπῃ μοι καὶ συμβουλεύσῃ, ὡς ἐκ Θεοῦ δέξομαι ὁδηγίαν εἰς τὸ σωθῆναι.

8. Ἦν δὲ ὁ Ἀββᾶς, πρὸς ὃν ὑπῆγε, μέγας καὶ ὀνομαστός, προκόψας εἰς θεωρίαν, καὶ δυνάμενος ὠφελῆσαι τοὺς ἐντυγχάνοντας. Καὶ δὴ ἐξελθὼν τῆς κέλλης ἦλθε πρὸς αὐτόν, καὶ εἰσελθόντος εἶδεν ὁ Γέρων δύο πιθήκους εἰς τοὺς ὤμους

αὐτοῦ καθημένους ἑκατέρωθεν, καὶ ἁλύσει τὸν τράχηλον αὐτοῦ περιβάλλοντας καὶ κατέχοντας, καὶ πρὸς ἑαυτὸν ἑκάτερον ἕλκοντας· καὶ ἰδών, ἐπέγνω τούτους εἶναι τὸν μὲν τῆς κενοδοξίας, τὸν δὲ τῆς ὑπερηφανίας δαίμονας· ἦν γὰρ ὁ ἀνὴρ θεοδίδακτος· στενάξας οὖν, ἐδάκρυσεν ἡσυχῇ, καὶ μετὰ τὴν εὐχὴν καὶ τὸν συνήθη ἀσπασμὸν ἐκαθέσθησαν ἐπὶ ὥραν μίαν μὴ λαλοῦντες· τοῦτο γὰρ σύνηθες τοῖς ἐκεῖσε Πατράσι.

9. Εἶτα λέγει ὁ παραγενόμενος· Πάτερ, ὠφέλησόν μοι, καὶ δός μοι ὑποθήκας ὁδοῦ σωτηρίας. Ἀπεκρίθη ὁ Γέρων· οὐχ ἱκανός εἰμι, τέκνον, εἰς τοῦτο· καὶ γὰρ καὶ αὐτὸς χρῄζω χειραγωγίας· ὁ δὲ πρὸς αὐτόν· μὴ παραιτοῦ, κῦρι Ἀββᾶ, τοῦ ὠφελῆσαί με· πεπληροφόρημαι γὰρ εἰς σέ, καὶ ἔδωκα τὸν λογισμόν μου δέξασθαι τὴν συμβουλίαν σου. Ὁ δὲ πάλιν ἀνένευε λέγων· ὅτι οὐκ ἀκούεις μου, διὰ τοῦτο παραιτοῦμαι· ὁ δὲ ἐπέκειτο καὶ διεβεβαιοῦτο λέγων, εἴ τι ἐὰν εἴπῃς μοι, ἀκούσω σου ὡς Ἀγγέλου.

10. Τότε λέγει αὐτῷ ὁ Γέρων· λάβε τὸ βαλάντιον τοῦ κέρματος τούτου, καὶ ὕπαγε εἰς τὴν πόλιν καὶ ἀγόρασον δέκα ἄρτους, καὶ δέκα ξέστας οἴνου, καὶ δέκα λίτρας κρέατος καὶ φέρε ὧδε. Ὁ δὲ ἀκούσας περίλυπος γέγονεν· ὅμως δεξάμενος ἐπορεύετο, ἐν δὲ τῇ ὁδῷ πολλοὺς λογισμοὺς ἀνεκίνει, καὶ ἀπορῶν ἔλεγεν ἐν ἑαυτῷ· τί ἔδοξε τῷ Γέροντι τοῦτο; καὶ πῶς ἀγοράσω ταῦτα; σκανδαλίσονται γὰρ οἱ κοσμικοί, ἐμοῦ ταῦτα λαμβάνοντος.

11. Κλαίων οὖν καὶ αἰσχυνόμενος ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ δι' ἄλλου μὲν τὸν ἄρτον, δι' ἄλλου δὲ τὸν οἶνον ὠνήσατο, περὶ δὲ τοῦ κρέατος ἠπορεῖτο λέγων· οὐαί μοι τῷ ἀθλίῳ, πῶς κρέα ἀγοράσω; ἢ δι' ἑαυτοῦ ἢ δι' ἄλλου; ὅμως εὑρών τινα κοσμικὸν μετὰ αἰσχύνης ἔδωκεν αὐτῷ τὸ κέρμα καὶ ἀγοράσας ὁ κοσμικός, ἔφερε τὸ κρέας τῷ Μοναχῷ.

12. Λαβὼν δὲ ἐκεῖνος αὐτὸ καὶ τὰ λοιπά, ἤνεγκε πρὸς τὸν Γέροντα. Λέγει οὖν αὐτῷ ὁ Γέρων· οἶδας ὅτι δέδωκάς μοι λόγον, ἵνα, ὃ ἐὰν εἴπω σοι, ἐπακούσῃς· λάβε οὖν ταῦτα καὶ ὕπαγε εἰς τὸ κελλίον σου καὶ εὐχόμενος μεταλάμβανε ἄρτον ἕνα, καὶ ξέστην οἴνου καὶ λίτραν κρέατος καθ' ἡμέραν, καὶ μετὰ δέκα ἡμέρας πάλιν ἐλθὲ πρός με.

13. Ὁ δὲ ἀκούσας καὶ μὴ τολμῶν ἀντειπεῖν, λαβὼν ἀπῄει κλαίων καὶ ἀνιώμενος, καὶ λέγων ἐν ἑαυτῷ· οἴμοι! ἐκ ποίας νηστείας εἰς τί κατήντησα; ἆρα ποιήσω ἢ οὔ; ἀλλ' ἐὰν μὴ ποιήσω, παρακούσω τῷ Θεῷ, ὅτι λόγον δέδωκα, ἵνα, ὃ ἐὰν εἴπῃ μοι ὁ Γέρων, τοῦτο ποιήσω ὡς ἀπὸ Θεοῦ δεξάμενος· καὶ νῦν ἔπιδε, Κύριε, ἐπὶ τὴν ἀθλιότητά μου, καὶ ἐλέησόν με, συγχωρήσας τὰς ἁμαρτίας μου, ὅτι ἰδοὺ ἀναγκάζομαι πρᾶξαι παρὰ πρόθεσιν, ἣν εἶχον, τῆς ἐγκρατείας μου.

14. Καὶ οὕτω πενθῶν εἰς τὴν κέλλαν ἦλθε· καὶ καθὼς ἐνετείλατο ὁ Γέρων, οὕτως ἐποίησε, καὶ ἐν τῷ μέλλειν ἐσθίειν, ἔβρεχε τὰ σιτία τοῖς δάκρυσι, λέγων πρὸς τὸν Θεόν· ἵνα τί ἐγκατέλιπές με; καὶ διήγαγεν οὕτω τὰς δέκα ἡμέρας κλαίων καὶ ὀδυρόμενος, καὶ ἑαυτὸν ἀνάξιον τοῦ σχήματος λογιζόμενος.

15. Ὁ δὲ Θεός, προσχὼν τῇ ταπεινώσει αὐτοῦ, ἔδωκε παράκλησιν εἰς τὴν καρδίαν αὐτοῦ, καὶ ἐπέγνω διατί συνέβη αὐτῷ ἀδιαφορῆσαι, ὡς ἐνόμιζε, καὶ ηὐχαρίστησε τῷ φιλανθρώπῳ Θεῷ, λέγων ἐν ἑαυτῷ· ὄντως πᾶσα δικαιοσύνη ἀνθρώπου, ὡς ῥάκος ἀποκαθημένης· καὶ πάλιν, ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ οἰκοδομῶν, ἢ ὁ φυλάσσων. Ἐπανέρχεται οὖν πρὸς τὸν Γέροντα καταπεπονημένος τῷ σώματι πλέον, ἢ ὅτε τὰς ἑβδομάδας διετέλει ἄσιτος.

16. Ἰδὼν δὲ αὐτὸν ὁ Γέρων οὕτω τεταπεινωμένον, τοὺς δὲ πιθήκους ἀφανεῖς γενομένους, ἠγαλλιάσατο σφόδρα, καὶ χαίρων ὑπεδέξατο αὐτόν, καὶ ποιήσαντες εὐχὴν ἐκαθέσθησαν σιωπῶντες.

17. Εἶτα λέγει ὁ Γέρων· τέκνον, ὁ φιλάνθρωπος Θεὸς ἐπεσκέψατό σε, καὶ οὐκ εἴασε τὸν ἐχθρὸν κατακυριεῦσαί σου· εἴωθε γὰρ ὁ πονηρὸς τοὺς ἀγωνιζομένους,

ἐπὰν οὐ δυνηθείη τῆς ἀσκήσεως ἐκκόψαι, εἰς τὰ ὑπέρμετρα προτρέπεσθαι, ἵνα διὰ τούτων εἰς τὸν τῆς οἰήσεως βόθρον καταποντίσῃ, καὶ οὐκ ἔστι τούτου τοῦ πάθους τι παρὰ τῷ Θεῷ βδελυκτότερον.

18. Σὺ οὖν ὁδῷ βασιλικῇ πορεύου, κατὰ τὴν γραφήν, καὶ μὴ ἐκκλίνῃς δεξιὰ ἢ ἀριστερά, ἀλλὰ μεσότητι κέχρησο ἐν τῇ μεταλήψει, μέτρῳ ἐσθίων τὸ καθ' ἑσπέραν· εἰ δὲ γένηταί σοι χρεία ἢ διὰ πάθος, ἢ δι' ἄλλην τινὰ αἰτίαν λῦσαι τὴν ὡρισμένην ὥραν, ἢ πάλιν παρ' ἡμέραν μεταλαμβάνειν, μὴ διακριθῇς· οὐ γὰρ ὑπὸ νόμον, ἀλλ' ὑπὸ Χάριν ἐσμέν.

19. Ἐσθίων γε μήν, μὴ θέλε κορέννυσθαι, ἀλλ' ἔπεχε σεαυτὸν εἰς ἐγκράτειαν· μάλιστα ἀπὸ τῶν λιχνοτέρων βρωμάτων, τὰ εὐτελέστερα ἀσπάζου πάντοτε, καὶ τὴν καρδίαν σου τήρει παντοίως ἀσκῶν ταπεινοφροσύνην· «Θυσία, γάρ, Θεῷ, ὥς φησὶν ὁ Προφήτης, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει»· καὶ πάλιν ὁ αὐτός· «Ἐταπεινώθην καὶ ἔσωσέ με ὁ Κύριος». Πᾶσαν οὖν τὴν ἐλπίδα σου, τέκνον, ἐπιῤῥίψας πρὸς Κύριον, πορεύου ἐν εἰρήνῃ τὴν ὁδόν σου, καὶ αὐτὸς ποιήσει καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρῖμά σου ὡς μεσημβρίαν.

20 Οὕτως οὖν ὠφελήσας τὸν ἀδελφόν, καὶ στηρίξας καὶ τοῖς εὑρεθεῖσιν, εὐωχηθεὶς μετ' αὐτοῦ, ἀπέλυσεν αὐτὸν εὐφραινόμενον, καὶ τῷ Κυρίῳ εὐχαριστοῦντα, καὶ λέγοντα· «Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου», Κύριε· καὶ «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με»· καί, «Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με». Καὶ πρὸς ἑαυτόν· Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε», καὶ τὰ ἑξῆς· καὶ οὕτως εἰσελθὼν εἰς τὸ κελλίον ἐβίωσε κατὰ τὰς ὑποθήκας τοῦ Γέροντος, καὶ γέγονε Μοναχὸς δοκιμώτατος.

21. Ἀδελφὸς ἐκάθητο ἔξω τῆς κώμης ἑαυτοῦ, καὶ ἐπὶ πολλὰ ἔτη οὐκ ἀνέβη εἰς τὴν πόλιν, καὶ ἔλεγε τοῖς ἀδελφοῖς· ἰδοὺ πόσα ἔτη ἔχω καὶ οὐκ ἀνέβην εἰς κώμην, καὶ ὑμεῖς, κἂν ἅπαξ, ἀναβαίνετε· εἶπε δὲ τῷ Ἀββᾷ Ποιμένι περὶ αὐτοῦ, καὶ εἶπεν ὁ Γέρων· ἐγὼ ἤμην ἀναβαίνων τὴν νύκτα καὶ κυκλῶν τὴν κώμην, ἵνα μὴ καυχᾶται ὁ λογισμός μου, ὡς μὴ ἀναβαίνοντός μου.

22. Γέρων τις ἀναχωρητής, πλανώμενος ἐν τῇ ἐρήμῳ, ἔλεγεν ἐν ἑαυτῷ, ὅτι κατώρθωσα τὰς ἀρετάς, καὶ ηὔξατο τῷ Θεῷ λέγων· δεῖξόν μοι, Κύριε, ἐὰν ὑστερῶ τινὸς καὶ ποιήσω. Θέλων δὲ ὁ Θεὸς ταπεινῶσαι τὸν λογισμὸν αὐτοῦ, εἶπεν αὐτῷ· ὕπαγε πρὸς τόν δε τὸν Ἀρχιμανδρίτην, καὶ εἴ τι σοι λέγει ποίησον. Ἀπεστάλη οὖν Ἄγγελος τῷ Ἀρχιμανδρίτῃ λέγων· ἰδοὺ ὁ δεῖνα ὁ Ἀναχωρητὴς ἔρχεται πρὸς σὲ ἐρωτῆσαί σε, καὶ εἰπὲ αὐτῷ λαβεῖν φραγγέλιον καὶ βόσκειν χοίρους.

23. Ὡς οὖν ἦλθεν ὁ Γέρων πρὸς τὸν Ἀρχιμανδρίτην, ἀσπασάμενοι ἀλλήλους ἐκάθισαν, καὶ λέγει αὐτῷ ὁ Ἀναχωρητής· εἰπέ μοι, τί ποιήσω ἵνα σωθῶ; ἔφη αὐτῷ ὁ Ἀρχιμανδρίτης· εἴ τι οὖν ἐάν σοι εἴπω, ποιεῖς; ὁ δὲ εἶπε, ναί· καὶ λέγει αὐτῷ· λάβε τὸ φραγγέλιον, καὶ ὕπαγε βόσκε χοίρους· ἀπελθὼν οὖν ὁ Ἀναχωρητὴς ἐποίησεν οὕτω, καὶ ἔβοσκε τοὺς χοίρους Οἱ οὖν ἰδόντες αὐτὸν τότε βόσκοντα τοὺς χοίρους, ἔλεγον πρὸς ἀλλήλους· ὁρᾶτε τὸν μέγαν Ἀναχωρητήν; ἰδοὺ ἐξέστη καὶ δαιμόνιον ἔχει, καὶ βόσκει χοίρους. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ταπείνωσιν αὐτοῦ, καὶ ὅτι μεγαλοψύχως ὑπέμεινε τοὺς ὀνειδισμοὺς τῶν ἀνθρώπων, ἀπέλυσε πάλιν αὐτὸν εἰς τὸν τόπον αὐτοῦ.

24. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· τί ποιήσω, ὅτι ἡ ὑπερηφανία θλίβει με; ἔφη αὐτῷ ὁ Γέρων· καλῶς ποιεῖς, σὺ γὰρ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ ἐπὶ τούτῳ κατανυγεὶς ὁ ἀδελφός, ἔβαλε μετάνοιαν λέγων· συγχώρησόν μοι, ὅτι οὐδὲν τοιοῦτον ἐποίησα· ἀπεκρίθη ὁ Γέρων· εἰ ὁ ποιήσας αὐτὰ ἐν ταπεινοφροσύνῃ ἦλθε, σύ, ὁ πηλός, διατί κενοδοξεῖς; τί γάρ ἐστι τὸ ἔργον σου, ἄθλιε;

25. Εἶπε Γέρων, ὅτι ὅσα καταλαβεῖν ἠδυνήθην, οὐκ ἐδευτέρωσα, ὅτι ὅσα κατώρθωσα, οὐδ' ἀνελογισάμην αὖθις, τῶν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος.

26. Ἀδελφός τις ἐπολεμεῖτο ὑπὸ λογισμοῦ οἰήσεως λέγων, ὅτι ἤδη κατώρθωσας, ψυχή, τὰς ἀρετάς. Θέλων δὲ νικῆσαι τοῦτον ὁ ἀδελφός, τὴν χεῖρα αὐτοῦ προσήγγιζεν ὑποκάτω τοῦ ὑποκαιομένου λέβητος, καὶ ἔλεγε πρὸς ἑαυτόν· ἰδοὺ καίῃ, μηκέτι ὑψηλοφρόνει.

27. Οἱ γὰρ τρεῖς παῖδες μέσον τῆς φλογὸς ὑπάρχοντες, καὶ μὴ καιόμενοι, οὐκ ἐπήρθησαν τῇ καρδίᾳ, ἀλλ' ἐν ταπεινώσει πολλῇ ὑμνοῦντες τὸν Θεὸν ἐν μέσῳ τῆς καμίνου, ἔλεγον ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν ἐνώπιόν Σου· σὺ δὲ ἐν ἀνέσει ἱστάμενος ὑψηλοφρονεῖς; καὶ ἐν τούτῳ ἐνίκα τὸν τῆς ὑπερηφανίας δαίμονα.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΙΣΙΔΩΡΟΣ εἶπεν. Ἐὰν ἐπιθυμεῖτε νὰ ἐκτελῆτε τὴν ἄσκησίν σας συμφώνως μὲ τὸν νόμον τοῦ Θεοῦ, προσέχετε νὰ μὴ ἀλαζονεύεσθε, ὅταν νηστεύετε. Ἐὰν ὑπερηφανεύεσθε, διότι νηστεύετε, τότε ποία ἡ ἀνάγκη τῆς νηστείας;

Εἶναι προτιμότερον εἰς τὸν ἄνθρωπον νὰ τρώγῃ κρέατα, παρὰ ὅταν νηστεύῃ, καὶ ἐξ ἀφορμῆς τῆς νηστείας, νὰ κομπάζῃ καὶ νὰ ὑπερηφανεύεται.

2. Οἱ Γέροντες ἔλεγον, ὅτι ἐὰν κάποτε ἴδῃς νεώτερον νὰ ἀναβαίνῃ εἰς τὸν οὐρανόν, χωρὶς ὅμως νὰ ὑπακούῃ εἰς Γέροντα, ἀλλὰ μόνον εἰς τὸ θέλημά του, τότε κράτησέ τον ἀπὸ τὸ πόδι καὶ ρίξε τον κάτω. Αὐτὸ τὸν συμφέρει καλύτερα.

3. Κάποτε τρεῖς ἀδελφοὶ ἐπεσκέφθησαν ἕνα Γέροντα εἰς τὴν σκήτην του, πρὸς ὠφέλειαν. Ὁ ἕνας ἐξ αὐτῶν τοῦ εἶπεν:

—Ἀββᾶ, ἔμαθα ἀπ' ἔξω τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην.

—Ἐγέμισες τὸν ἀέρα μὲ λόγια, τοῦ ἀπήντησεν ὁ Γέρων.

Μὲ τὴν σειράν του ὁ δεύτερος τοῦ λέγει:

—Ἐγώ, Ἀββᾶ, ἀντέγραψα τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην, διὰ νὰ τὴν ἔχω πάντοτε μαζί μου.

— Καὶ σύ,—ἀπήντησεν ὁ Ἀββᾶς—ἐγέμισες μὲ χαρτιὰ τὰ συρτάρια τῶν ἑρμαρίων (ντουλαπίων).

Ὅταν ἦλθε καὶ ἡ σειρά τοῦ τρίτου, εἶπεν εἰς τὸν Ἀββᾶν:

— Εἰς τὸ τζάκι μου, Ἀββᾶ, ἐφύτρωσαν χόρτα (1).

— Καὶ σὺ—τοῦ ἀπήντησεν ὁ Ἀββᾶς — ἐξεδίωξες ἀπὸ τὸ κελλί σου τὴν φιλοξενίαν.

---

1) Τοῦτο εἶπε ὑπονοῶν ὅτι δι' ἄσκησιν δὲν ἔτρωγε φαγητὸν μαγειρευμένον, ἀρκούμενος εἰς τὴν ξηροφαγίαν. Ὁ Γέρων ὅμως ἀντιστρέφων τὸν λόγον εἶπεν, ὅτι τοῦτο σημαίνει ἔλλειψιν φιλοξενίας.

4. Ἕνας γέρων Ἀσκητὴς διηγήθη τὴν ἑξῆς ἱστορίαν:

Κάποτε εἶχον γείτονα ἕνα ἄλλον Γέροντα. Αὐτὸν λοιπὸν τὸν Γέροντα ἐπεσκέφθη μίαν ἡμέραν μία παρθένος καὶ τοῦ εἶπε:

— Πάτερ μου, ἐνήστευσα μέχρι σήμερον διακοσίας Κυριακάς, ἀνὰ ἓξ ἓξ μαζί [1]. Ἀνέγνωσα καὶ ἀπεστήθισα ὁλόκληρον τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην· θέλω νὰ μοῦ εἰπῇς τώρα, εἰς τί ὑστερῶ ἀκόμη, ὥστε νὰ ἐργασθῶ διὰ τὴν ἀναπλήρωσίν του.

Καὶ ὁ Γέρων μὲ τὴν σειράν του τὴν ἠρώτησε:

— Καὶ τί ἐκέρδισες ἀπὸ ὅλα αὐτά; Ἔφθασες εἰς τὸ σημεῖον νὰ θεωρῇς τὰς κατὰ σοῦ προσβολὰς ὡς τιμήν σου;

—Ὄχι, ἀπήντησεν ἡ Ἀσκήτρια.

—Ἔφθασες εἰς τὸ σημεῖον νὰ θεωρῇς τὴν ζημίαν ὡς κέρδος; Τοὺς ξένους ὡς κατὰ σάρκα συγγενεῖς σου; Τὴν πενίαν ὡς πλησμονήν;

— Καθόλου, ἀπήντησε πάλιν ἡ Ἀσκήτρια.

— Λοιπὸν δὲν ἐνήστευσας ἀνὰ ἓξ ἓξ, οὔτε ἀνέγνωσες τὴν Παλαιὰν καὶ τὴν Καινὴν Διαθήκην. Τίποτα δὲν ὠφελήθης ἀπὸ ὅλα αὐτά. Τὸν ἑαυτόν σου μόνον ἐμπαίζεις. Πήγαινε νὰ ἐργασθῇς, τίποτα δὲν κατώρθωσες.

5. Ἔζη κάποτε εἰς τὴν Θηβαΐδα ἕνας Μοναχός. Οὗτος ἠδυνήθη νὰ φθάσῃ εἰς μέτρα τελειοτάτης ἀσκήσεως καὶ ζωῆς. Συνεχῶς ἠγρύπνει καὶ προσηύχετο. Ἦτο τελείως ἀκτήμων καὶ ἡ νηστεία του ἦτο τόσον αὐστηρά, ὥστε μόνον μίαν φορὰν τὴν ἑβδομάδα, πρὸς τὴν ἑσπέραν τῆς Κυριακῆς, ἔτρωγεν ὀλίγον μερικὰ ὄσπρια ἢ καὶ ἄγρια τοῦ βουνοῦ χόρτα μόνον καὶ μόνον διὰ νὰ ἱκανοποιῇ τὴν ἀδυναμίαν τῆς φύσεως. Διὰ τοῦ τρόπου αὐτοῦ ἔζησεν ἐπὶ πολλὰ ἔτη.

6. Αὐτὸν λοιπὸν τὸν Ἀσκητὴν ἐφθόνησε διὰ τὴν ἀρετήν του ὁ ἐφευρέτης τῆς κακίας διάβολος. Δι' αὐτὸ καὶ ἔσπευσε νὰ τὸν νικήσῃ καὶ νὰ τὸν ρίψῃ εἰς τὴν ἁμαρτίαν διὰ τῆς ὑπερηφανείας, μὲ τὴν ὁποίαν καὶ αὐτὸς ἐξέπεσεν. Ἀρχίζει λοιπὸν νὰ τοῦ ἐμπνέῃ λογισμοὺς ὅτι τάχα κάτι εἶναι, ὅτι ὑποβάλλεται εἰς τόσον αὐστηρὰν ἄσκησιν, ὥστε κανεὶς νὰ μὴ δύναται νὰ τὸν φθάσῃ. Πρέπει λοιπὸν — τοῦ ἐνέπνεεν ὁ διάβολος— νὰ κάμῃς τώρα πλέον καὶ θαύματα, ὥστε καὶ σὺ νὰ ἀποβῇς προθυμότερος εἰς τὴν ἄσκησιν, ἀλλὰ καὶ τοὺς ἄλλους ἀνθρώπους, ποὺ θὰ βλέπουν τὰ θαύματά σου, νὰ ὠφελῇς καὶ νὰ οἰκοδομῇς, καὶ νὰ τοὺς κάμῃς νὰ δοξάζουν τὸν ἐπουράνιον Πατέρα. Ἂς ζητήσωμεν λοιπὸν ἀπὸ τὸν Θεὸν τὴν δύναμιν νὰ ἐνεργῶμεν θαύματα, διότι ὁ ἴδιος ὁ Σωτὴρ ἔχει εἴπει· «Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν» (Ματθ. ζ', 7).

---

1) Τὸ ὅτι ἐνήστευεν ἀνὰ ἓξ ἓξ, σημαίνει ὅτι ἐπὶ ἓξ συνεχεῖς ἡμέρας ἐνήστευεν παραμένουσα τελείως ἄσιτος. Κατόπιν ἓξ ἡμέρας ἔτρωγε τὴν κεκανονισμένην ἅπαξ τῆς ἡμέρας τροφήν· ἀκολούθως ἤρχιζε πάλιν τὴν ἑξαήμερον νηστείαν καὶ οὕτω καθ' ἑξῆς.

Ὁ Ἀσκητὴς ἤκουσε τὴν συμβουλὴν αὐτὴν τοῦ διαβόλου καὶ ἤρχισε νὰ παρακαλῇ μετ' ἐπιμονῆς τὸν Θεόν.

7. Ὁ φιλάνθρωπος ὅμως Θεός, «ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι» (Α΄ Τιμοθ. β΄, 4), βλέπων τὴν πλάνην τοῦ Ἀσκητοῦ καὶ ἔχων ὑπ' ὄψιν Του πόσον ἐκοπίασεν εἰς τὴν ἄσκησιν, δὲν ἐπέτρεψε νὰ νικηθῇ ἀπὸ τὸν πονηρὸν διάβολον.

Οὕτω κατ' ἔμπνευσιν Θεοῦ ἐσκέφθη τὸ ἀποστολικὸν λόγιον· «Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι» (Β΄ Κορινθ. γ΄, 5). Ἐν συνεχείᾳ δὲ διελογίσθη· «Ἐὰν ἕνας τόσον μέγας καὶ Ἅγιος Ἀπόστολος εἶπε, δὲν εἶμαι ἱκανὸς μόνος μου νὰ σκεφθῶ τίποτε, πόσον μᾶλλον ἐγὼ ἔχω ἀνάγκην διδασκαλίας καὶ συμβουλῆς; Θὰ μεταβῶ λοιπὸν πρὸς ἐκεῖνον τὸν γνωστὸν Ἀναχωρητήν· αὐτὰ δὲ ποὺ θὰ μοῦ εἴπῃ καὶ θὰ μὲ συμβουλεύσῃ, θὰ τὰ δεχθῶ ὡς ὁδηγίας, ποὺ μοῦ ἔδωσεν ὁ Θεὸς διὰ τὴν σωτηρίαν μου».

8. Αὐτὸς δὲ ὁ Ἀββᾶς, πρὸς τὸν ὁποῖον ἀπεφάσισε νὰ μεταβῇ, εἶχε μεγάλην ἀρετὴν καὶ φήμην· εἶχεν ἐμβαθύνει εἰς τὴν θεωρίαν καὶ ἦτο ἱκανὸς νὰ ὠφελήσῃ αὐτοὺς ποὺ τὸν ἐπλησίαζον. Ἐξῆλθε λοιπὸν ἀπὸ τὸ κελλί του καὶ μετέβη εἰς ἐκεῖνον τὸν περίφημον Ἀναχωρητήν.

Ἐνῷ εἰσήρχετο εἰς τὸ κελλὶ τοῦ ἀναχωρητοῦ, βλέπει ἐκεῖνος ἕνα φοβερὸν θέαμα· βλέπει δύο πιθήκους νὰ κάθηνται εἰς τοὺς ὤμους τοῦ Ἀσκητοῦ, ἕναν πρὸς τὰ δεξιὰ καὶ ἕναν πρὸς τὰ ἀριστερά, νὰ τοῦ ἔχουν δέσει μὲ ἁλυσίδας τὸν λαιμὸν καὶ νὰ τὸν τραβοῦν μὲ αὐτὰς ὁ καθένας πρὸς τὸ μέρος του.

Μόλις ὁ προορατικὸς ἐκεῖνος Γέρων τοὺς εἶδεν, ἀντελήφθη ἀμέσως, ὅτι ὁ ἕνας εἶναι ὁ δαίμων τῆς κενοδοξίας καὶ ὁ ἄλλος ὁ δαίμων τῆς ὑπερηφανείας ( ). Εἰς τὴν διάκρισιν αὐτὴν τῶν πνευμάτων καὶ τῶν λογισμῶν, ὁ Γέρων εἶχε διδαχθῆ ὑπὸ τοῦ Θεοῦ.

Ἐξ αἰτίας τοῦ ἀπαισίου αὐτοῦ θεάματος ὁ προορατικὸς Ἀναχωρητὴς ἀνεστέναξε καὶ ἐδάκρυσε σιωπηλῶς. Μετὰ τὴν καθιερωμένην λοιπὸν εὐχὴν καὶ τὸν ἐν Χριστῷ ἀσπασμὸν τῆς εἰρήνης, ἐκάθισαν ἐπὶ μίαν ὥραν ὁ ἕνας ἀπέναντι τοῦ ἄλλου, χωρὶς νὰ συνομιλοῦν μεταξύ των. Αὐτὴ ἡ συνήθεια ἐπεκράτει μεταξὺ ἐκείνων τῶν Πατέρων.

9. Ἀφοῦ ἔληξεν ἡ σιωπὴ ὡμίλησε πρῶτος ὁ ἐπισκέπτης καὶ εἶπε:

— Πάτερ, ὠφέλησέ με καὶ συμβούλευσέ με πῶς νὰ σωθῶ.

— Τέκνον μου, δὲν εἶμαι ἱκανὸς — ἀπήντησεν ὁ Γέρων — δι' αὐτὸ ποὺ μοῦ ζητεῖς· διότι καὶ ἐγὼ ἔχω ἀνάγκην ἀπὸ ἄνθρωπον, ποὺ θὰ μὲ ὁδηγήσῃ ἀπὸ τὴν χεῖρα διὰ νὰ σωθῶ.

— Μὴ ἀποφεύγῃς, κύριε Ἀββᾶ μου, νὰ μὲ ὠφελήσῃς, — ἐπανέ-

1) Καὶ πάλιν ἐδῶ βλέπομεν τὴν διαστολὴν μεταξὺ κενοδοξίας καὶ ὑπερηφανείας. Κενόδοξος εἶναι κυρίως ὁ ἀγαπῶν τοὺς εὐτελεῖς καὶ ἐπιπολαίους ἐπαίνους τῶν ἀνθρώπων· ὑπερήφανος δὲ ὁ περιφρονῶν τοὺς ἀνθρώπους ἐξ ἑνὸς αἰσθήματος ὑπεροψίας.

λαβεν ὁ ἐπισκέπτης—διότι ἡ ψυχή μου μὲ ἔχει πληροφορήσει, ὅτι ἀπὸ σὲ πρέπει νὰ ἀναμένω τὴν ἀπαραίτητον συμβουλήν· δι' αὐτὸ ἔθεσα ὡς ὅρον εἰς τὸν ἑαυτόν μου νὰ δεχθῶ τὴν συμβουλήν σου καὶ πρὸς τὸν σκοπὸν αὐτὸν ἦλθα νὰ σὲ ἐπισκεφθῶ.

— Δὲν πρόκειται νὰ μὲ ἀκούσῃς εἰς ὅ,τι θὰ σοῦ εἰπῶ, ἀντέτεινε πάλιν ὁ Γέρων, καὶ δι' αὐτὸ σιωπῶ.

— Σὲ διαβεβαιῶ, ὅτι θὰ σὲ ἀκούσω ὡς Ἄγγελον, ἐπέμενεν ὁ ἐπισκέπτης.

10. Ἰδὼν τὴν ἐπιμονὴν αὐτοῦ ὁ Γέρων λέγει:

— Τότε ἄκουσε τί θὰ κάμῃς· πάρε αὐτὸ τὸ σακκουλάκι μὲ τὰ χρήματα καὶ πήγαινε εἰς τὴν πόλιν· μὲ τὰ χρήματα αὐτὰ θὰ ἀγοράσῃς δέκα ἄρτους, δέκα ξέστας (1) κρασὶ καὶ δέκα λίτρας κρέας· ἀφοῦ δὲ τὰ ἀγοράσῃς, θὰ τὰ φέρῃς ἐδῶ.

Μόλις ἄκουσε τὴν ἐντολὴν αὐτὴν ὁ ἐπισκέπτης ἐλυπήθη πάρα πολύ. Ἐπειδὴ ὅμως ἔδωσε τὸν λόγον του, ἐδέχθη τὴν ἐντολὴν καὶ ἀνεχώρησε διὰ τὴν πόλιν.

Καθ' ὁδὸν ἀπησχολεῖτο μὲ διαφόρους σκέψεις καὶ μὴ δυνάμενος νὰ ἐξηγήσῃ, διατί τὸν διέταξεν αὐτὸ τὸ πρᾶγμα, ἔλεγε καθ' ἑαυτὸν πλήρης ἀπορίας· διατί νὰ ἀποφασίσῃ ἕνα τέτοιο πρᾶγμα ὁ Γέρων; Πῶς τοῦ ἦλθε; Πῶς νὰ τὰ ἀγοράσω αὐτὰ τὰ πράγματα; Θὰ σκανδαλισθοῦν ἐξ αἰτίας μου οἱ κοσμικοί, ὅταν θὰ τὰ ἀγοράσω καὶ θὰ τὰ μεταφέρω.

11. Μὲ κλάμματα καὶ καταντροπιασμένος ἔφθασεν ἐπὶ τέλους εἰς τὴν πόλιν. Ἤρχισε δὲ νὰ προμηθεύεται τὰ εἴδη δι' ἄλλων προσώπων· μὲ ἄλλον ἠγόρασεν τὸν ἄρτον, καὶ μὲ ἄλλον τὸν οἶνον. Ὅταν ἦλθε καὶ ἡ σειρὰ νὰ ἀγοράσῃ τὸ κρέας ἐστενοχωρεῖτο ὑπερβολικὰ καὶ ἐμονολόγει: ἀλλοίμονον εἰς ἐμὲ τὸν ἄθλιον! πῶς νὰ ἀγοράσω κρέας; Ἢ ὁ ἴδιος, ἢ δι' ἄλλου τινός; Ἐπὶ τέλους εὗρε κάποιον κοσμικόν, εἰς τὸν ὁποῖον ἔδωσε τὰ χρήματα καὶ τοῦ ἠγόρασε κρέας.

12. Ἀφοῦ συνεκέντρωσε τὰ εἴδη αὐτὰ ὁ Μοναχὸς ἐπέστρεψεν εἰς τὸν διακριτικὸν Γέροντα πρὸς τὸν ὁποῖον καὶ τὰ παρέδωσεν.

— Ἐνθυμεῖσαι, ὅτι μοῦ ἔδωσες τὸν λόγον σου, ὅτι θὰ ἐκτελέσῃς αὐτά, ποὺ θὰ σοῦ εἴπω; Τὸν ἠρώτησεν ὁ Γέρων.

— Μάλιστα, ἐνθυμοῦμαι.

— Πάρε λοιπὸν τὰ εἴδη αὐτὰ καὶ πήγαινε εἰς τὸ κελλί σου· ἀφοῦ δὲ ἐπαναλαμβάνεις τὴν εὐχήν, νὰ τρώγῃς κάθε ἡμέραν ἕνα ἄρτον, ἕνα ξέστην οἴνου καὶ μίαν λίτραν κρέατος. Μετὰ δὲ ἀπὸ δέκα ἡμέρας, ὅταν θὰ τὰ ἔχῃς φάγει, νὰ ἔλθῃς πάλιν κοντά μου.

13. Περίλυπος ἤκουσε τὴν ἐντολὴν αὐτὴν ὁ Ἀσκητής! Τί νὰ κάμῃ ὅμως; Εἶχε δώσει τὸν λόγον του. Δι' αὐτὸ χωρὶς νὰ τολμᾷ νὰ φέρῃ ἀντίρρησιν, ἐπῆρε τὰ τρόφιμα καὶ ἔφυγε στενοχωρημένος καὶ κλαίων·

---

1) Ρωμαϊκὸν μέτρον διὰ τὴν μέτρησιν ὑγρῶν.

καθ' ὁδὸν ἔλεγε μόνος του· ἀλλοίμονον! ὕστερα ἀπὸ τόσον αὐστηρὰν νηστείαν ποῦ κατήντησα! Νὰ ἐκτελέσω τὴν ἐντολὴν ἢ ὄχι; Ἐὰν ὅμως δὲν ἐκτελέσω τὴν ἐντολήν, θὰ παρακούσω τὸν ἴδιον τὸν Θεόν, διότι ἔθεσα ὅρον εἰς τὸν ἑαυτόν μου ὅ,τι μοῦ εἴπῃ ὁ Γέρων νὰ τὸ θεωρήσω ὡς θέλημα Θεοῦ. Ὦ! Θεέ μου, ἰδὲ μὲ εὐσπλαγχνίαν τὴν ἀθλιότητά μου, ἐλέησόν με καὶ συγχώρησον τὰς ἁμαρτίας μου· ἰδοὺ ἀναγκάζομαι νὰ κάμω κάτι ἀντίθετον μὲ τὴν πρόθεσιν, ποὺ εἶχα νὰ ἐγκρατεύωμαι.

14. Μὲ εἰλικρινῆ δὲ συντριβὴν καὶ βαθύτατον πένθος ἦλθεν εἰς τὸ κελλί του. Ὅπως δὲ τοῦ εἶπεν ὁ Γέρων, ἐνήργησεν· ὅταν ἐπρόκειτο νὰ φάγῃ τὰ εἴδη τοῦ κανόνος, ἔβρεχε μὲ δάκρυα τὰς τροφὰς καὶ ἔλεγε· Θεέ μου, διατί μὲ ἐγκατέλειψες; Μὲ πόνον δὲ καὶ μὲ δάκρυα, ἀναστενάζων καὶ θλιβόμενος ἐπέρασε τὰς δέκα ἡμέρας τοῦ κανόνος του, σκεπτόμενος μήπως πλέον εἶναι ἀνάξιος καὶ τοῦ μοναχικοῦ σχήματος, ποὺ ἔφερεν.

15. Ὁ Θεός, ἐκτιμήσας τὴν ταπείνωσίν του, τὸν παρηγόρησε καὶ τὸν κατέστησεν ἱκανὸν νὰ ἀντιληφθῇ, διατί ἔφθασεν εἰς αὐτὸ τὸ σημεῖον τῆς ἀδιαφορίας, ὅπως ὁ ἴδιος ἐχαρακτήριζε τὴν κατάστασίν του· δι' αὐτὸ ηὐχαρίστησε τὸν φιλάνθρωπον Θεὸν καὶ ἔλεγε μόνος του· «Πράγματι, πᾶσα δικαιοσύνη ἀνθρώπου, ὡς ράκος ἀποκαθημένης»· καὶ τὸ ἄλλο· «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων» (Ψαλμ. ρκς', 1). Τοσαύτη δὲ ὑπῆρξεν ἡ συντριβή του, ὥστε μετὰ τὰς δέκα ἡμέρας ἐπανέρχεται πρὸς τὸν Γέροντα μὲ περισσότερον ἐξηντλημένον τὸ σῶμά του, παρ' ὅσον ὅταν παρέμενεν ἐπὶ ἑβδομάδας νηστικός.

16. Μόλις τὸν εἶδεν ὁ προορατικὸς Γέρων νὰ ἔχῃ ταπεινωθῆ τόσον πολὺ καὶ νὰ ἔχουν ἀποχωρήσει οἱ πίθηκοι, ποὺ ἐπεκάθηντο εἰς τοὺς ὤμους του, ἐχάρη πάρα πολὺ καὶ τὸν ὑπεδέχθη μὲ ὑπερβολικὴν εὐχαρίστησιν. Ἀνταλλάξαντες δὲ τὴν καθιερωμένην εὐχὴν παρέμειναν, κατὰ τὴν συνήθειαν, σιωπῶντες.

17. Μετὰ λαβὼν τὸν λόγον ὁ Γέρων ἤρχισε νὰ ὁμιλῇ:

— Τέκνον μου, ὁ φιλάνθρωπος Θεὸς σὲ ἐπεσκέφθη· δὲν ἄφησε τὸν ἐχθρὸν νὰ σὲ νικήσῃ τελείως καὶ νὰ σὲ ἀχρηστεύσῃ. Διότι ὁ διάβολος συνηθίζει νὰ προτρέπῃ τὸν ἀγωνιζόμενον εἰς ἀσκητικὰς ὑπερβολάς, ὁσάκις δὲν κατορθώσῃ νὰ τὸν ἀνακόψῃ ἀπὸ τοὺς ἀσκητικούς του ἀγῶνας· τοῦτο δὲ τὸ κάμνει, διὰ νὰ δυνηθῇ νὰ τὸν ρίψῃ εἰς τὸν λάκκον τῆς οἰήσεως, τοῦ νὰ νομίζῃ δηλαδή, ὅτι εἶναι σπουδαῖος Ἀσκητής. Ἀπὸ τὸ πάθος δὲ αὐτό, δὲν ὑπάρχει πλέον μισητὸν διὰ τὸν Θεόν.

18. Δι' αὐτὸ λοιπόν, τέκνον μου, πρέπει νὰ ἀκολουθῇς πάντοτε τὴν βασιλικὴν ὁδόν, ὅπως λέγει ἡ Ἁγία Γραφή, καὶ νὰ ἀποφεύγῃς τὰς ἀκρότητας, εἴτε πρὸς τὰ δεξιά, εἴτε πρὸς τὰ ἀριστερά. Ὅσον ἀφορᾷ τὴν τροφήν, νὰ ἐπιδιώκῃς πάντοτε τὴν καθιερωμένην μετριότητα,

τρώγων ὀλίγον φαγητὸν κατὰ τὴν ἑσπέραν ἑκάστης ἡμέρας. Ἐὰν δὲ σοῦ συμβῇ καμμία ἔκτακτος ἀνάγκη, ἢ ἀσθενήσῃς, ἢ ἐξ οἱασδήποτε ἄλλης αἰτίας, μὴ διστάσῃς νὰ ἀλλάξῃς τὴν καθωρισμένην ὥραν, τρώγων ἐνωρίτερον ἢ ἀργότερον. Ἐὰν πάλιν θελήσῃς, ἐπὶ τὸ αὐστηρότερον, νὰ τρώγῃς ἡμέραν παρ' ἡμέραν, μὴ τὸ θεωρήσῃς αὐτὸ τὸ πρᾶγμα σπουδαῖον, διότι ἐκεῖνο, ποὺ θὰ μᾶς σώσῃ, δὲν εἶναι ἡ ἀκρίβεια τοῦ νόμου, ἀλλὰ ἡ Χάρις τοῦ Θεοῦ ([1]).

19. Ὅταν τρώγῃς, μὴ ἐπιθυμῇς νὰ χορταίνῃς· νὰ συγκρατῆσαι χάριν ἐγκρατείας, ὁσάκις μάλιστα εἰς τὴν τράπεζάν σου ἔχεις λιπαροτέρας τροφάς. Νὰ προτιμᾷς διὰ τροφήν σου φαγητὰ πρόχειρα, χωρὶς πολλὰς οὐσίας καὶ γεῦσιν. Πρόσεχε νὰ διατηρῇς τὴν καρδίαν σου καθαρὰν ἀπὸ τοὺς διαφόρους πονηροὺς λογισμούς· αὐτὸ δὲ θὰ τὸ ἐπιτύχῃς, ἐφ' ὅσον παντοιοτρόπως καλλιεργεῖς εἰς τὴν σκέψιν σου καὶ ἐφαρμόζεις εἰς τὴν ζωήν σου τὴν ταπεινοφροσύνην. Νὰ ἐνθυμῆσαι τί εἶπεν ὁ Προφήτης Δαβίδ· «Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει» (Ψαλμὸς ν', 19)· καὶ «Ἐταπεινώθην καὶ ἔσωσέ με» (Ψαλμ. ριδ', 6). Τὴν ἐλπίδα σου ὅλην, τέκνον μου, νὰ τὴν στηρίζῃς εἰς τὸν Θεόν· περιπάτει εἰρηνικὰ εἰς τὸν δρόμον τῆς ζωῆς σου, νὰ εἶσαι δὲ βέβαιος, ὅτι ὁ Κύριος θὰ κάμῃ καὶ Ἐκεῖνος τὸ καθῆκόν Του καὶ θὰ παρουσιάσῃ ὡς φῶς ἐνώπιον τῶν ἀνθρώπων τὴν ἀρετήν σου καὶ τὸ δίκαιόν σου θὰ λάμψῃ ὅπως ἡ μεσημβρία ([2]).

20. Ἀφοῦ λοιπὸν μὲ τὰς πολυτίμους αὐτὰς συμβουλὰς ὠφέλησε ψυχικῶς τὸν Ἀσκητὴν καὶ τὸν ἐστήριξεν εἰς τὴν κατὰ Χριστὸν ἀρετήν, ἔφαγον μὲ εὐχαρίστησιν ἀπὸ τὰ εὑρεθέντα εἰς τὴν καλύβην τοῦ Γέροντος καὶ τὸν ἄφησε νὰ φύγῃ διὰ τὸ κελλί του, χαίροντα καὶ εὐχαριστοῦντα τὸν Κύριον.

Ἀπερχόμενος δὲ ὁ Ἀσκητὴς διὰ τὸ κελλί του ἔλεγε μόνος του μὲ ψυχικὴν ἀγαλλίασιν διαφόρους ψαλμούς, ὡς «Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου» (Ψαλμ. ριη', 79). «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με» (Ψαλμ. ριζ', 18). «Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με» (Ψαλμ. ρμ', 5). Ὡς νὰ ἀπηυθύνετο δὲ πρὸς τὸν ἑαυτόν του, μεταξὺ ἄλλων, ἔλεγεν· «Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε» (Ψαλμ. ριδ', 7). Μὲ αὐτὴν δὲ τὴν κατανυκτικὴν μυστικὴν συνομιλίαν ἔφθασεν ἐπὶ τέλους εἰς τὸ κελλί του, ὅπου ἔζησε

---

1) «Ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν» (Ρωμ. ς', 14). Καὶ «Χάριτί ἐστε σεσωσμένοι» (Ἐφεσ. β', 5).

2) «Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα,..... καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου· ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου, καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει, καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου καὶ τὸ κρῖμα σου ὡς μεσημβρίαν» (Ψαλμ. λς', 3—6).

συμφώνως μὲ τὰς συμβουλὰς τοῦ εὐλαβεστάτου ἐκείνου Γέροντος καὶ ἀνεδείχθη σπουδαῖος Μοναχός.

21. Ἕνας ἀδελφὸς παρέμενε μονάζων ἔξω ἀπὸ τὸ χωρίον του ἐπὶ πολλὰ ἔτη· καθ' ὅλον δὲ αὐτὸ τὸ διάστημα οὔτε μίαν ἡμέραν δὲν ἐπῆγε μέσα εἰς τὴν πόλιν. Καυχώμενος δὲ κάπως διὰ τὸ κατόρθωμά του αὐτὸ ἔλεγεν εἰς τοὺς ἄλλους Μοναχούς· «Εἴδατε; ἔχω τόσα χρόνια εἰς τὴν θέσιν αὐτὴν καὶ δὲν ἐπῆγα καθόλου εἰς τὸ χωρίον, ἐνῷ σεῖς, ἔστω καὶ διὰ μίαν φοράν, πηγαίνετε».

Κάποτε συνήντησε καὶ τὸν Ἀββᾶν Ποιμένα καὶ τοῦ ἐπανέλαβε τὸ κατόρθωμά του. Εἰς ἀπάντησιν ὁ Ἀββᾶς Ποιμὴν τοῦ εἶπεν. «Ἐγὼ τὴν νύκτα ἐγύριζα τὸ χωριό, χωρὶς νὰ μπαίνω μέσα, διὰ νὰ μὴ εὑρίσκῃ ἀφορμὴν ὁ λογισμός μου νὰ μὲ ἐπαινῇ, ὅτι τάχα εἶχα τόσην αὐτοκυριαρχίαν ὥστε νὰ μὴ ἀνέβω ἕως τὸ χωριό».

22. Ἕνας γέρων Ἀναχωρητὴς ἐπὶ ἔτη ἐπλανᾶτο εἰς τὴν ἔρημον· ἔλεγε δὲ μόνος του· κατώρθωσα τὰς ἀρετάς, ποὺ ἐπιβάλλονται εἰς τὴν μοναχικὴν ζωήν. Κατὰ τὴν προσευχήν του παρεκάλει τὸν Θεόν· «Θεέ μου, δεῖξε μου ἐὰν σὲ κάτι ὑστερῶ καὶ δὲν τὸ κατώρθωσα· σοῦ ὑπόσχομαι, ὅτι θὰ τὸ κάμω».

Ὁ Θεός, θέλων νὰ τὸν ταπεινώσῃ, διὰ νὰ μὴ περιπέσῃ εἰς τὸ ἁμάρτημα τοῦ ἐγωϊσμοῦ, τοῦ ἀπεκάλυψε· «Πήγαινε εἰς ἐκεῖνον τὸν Ἀρχιμανδρίτην [1] καὶ νὰ κάμῃς αὐτό, ποὺ θὰ σοῦ εἰπῇ». Συγχρόνως ἀπέστειλεν ἕνα Ἄγγελον πρὸς τὸν Ἀρχιμανδρίτην καὶ τοῦ μετέδωσε τὴν ἑξῆς ἐντολήν· «Ἐντὸς ὀλίγου θὰ σὲ ἐπισκεφθῇ ὁ τάδε Ἀναχωρητὴς νὰ σὲ ἐρωτήσῃ. Θὰ τοῦ εἰπῇς λοιπὸν νὰ πάρῃ ἕνα φραγγέλιον καὶ νὰ βόσκῃ χοίρους».

23. Πράγματι ἐντὸς ὀλίγου κατέφθασεν ὁ Ἀναχωρητὴς καὶ ἀφοῦ ἀντήλλαξαν τὸν καθιερωμένον ἀδελφικὸν ἀσπασμὸν ἐκάθισαν. Ἀμέσως ἐρωτᾷ ὁ Ἀναχωρητὴς τὸν Ἀρχιμανδρίτην:

— Εἰπέ μου, τί νὰ κάμω διὰ νὰ σωθῶ;

— Ὅ,τι καὶ ἐὰν σοῦ εἰπῶ, θὰ τὸ ἐκτελέσῃς;

— Μάλιστα, ἀπήντησεν ὁ Ἀναχωρητής.

— Λοιπόν, πάρε τὸ φραγγέλιον καὶ πήγαινε νὰ βόσκῃς χοίρους.

Ἀμέσως ὁ Ἀναχωρητὴς προθύμως ἐξετέλεσε τὴν ἐντολὴν τοῦ Ἀρχιμανδρίτου καὶ μετέβη νὰ βόσκῃ χοίρους.

Αὐτοὶ λοιπόν, ποὺ τὸν ἔβλεπον νὰ βόσκῃ χοίρους, ἐξεπλήσσοντο καὶ ἔλεγον μεταξύ των:

— Βλέπετε τὸν μέγαν Ἀναχωρητήν; Ἐσάλευσεν ὁ νοῦς του, ἔχει δαιμόνιον καὶ κατήντησε νὰ βόσκῃ χοίρους!

---

1) Ἀρχιμανδρίτης ἐλέγετο, κατ' ἀρχήν, ὁ πνευματικὸς καὶ ἐκκλησιαστικὸς ἄρχων τοῦ μοναστικοῦ συνοικισμοῦ, ὅστις περιεβάλλετο διὰ μεγάλης μάνδρας. Ὁ ἄρχων λοιπὸν τῆς μάνδρας, Ἀρχιμανδρίτης.

Αὐτὸς ὅμως, ὁ Ἀναχωρητής, ἤκουε ἀταράχως, καὶ χωρὶς νὰ λυπῆται τοὺς ὀνειδιστικοὺς αὐτοὺς λόγους.

Βλέπων λοιπὸν ὁ Θεὸς τὴν ταπείνωσίν του καὶ ὅτι μὲ μεγαλοψυχίαν ὑπέμενε τοὺς ἐξευτελισμοὺς τῶν ἀνθρώπων, τὸν ἀπέλυσεν ἀπὸ τὴν δοκιμασίαν αὐτὴν καὶ ἐπανῆλθε πάλιν εἰς τὸν τόπον του.

24. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

— Τί νὰ κάμω; Μὲ στενοχωροῦν λογισμοὶ ὑπερηφανείας!

— Καλὰ κάμνεις—ἀπήντησεν ἐλεγκτικῶς ὁ Γέρων· — σὺ βεβαίως ἐδημιούργησες τὸν οὐρανὸν καὶ τὴν γῆν!

Μὲ τὴν ἀπάντησιν αὐτὴν συνῆλθεν ὁ ἀδελφός, ἀντελήφθη τὴν ἀθλιότητά του, ἔβαλε μετάνοιαν εἰς τὸν Γέροντα καὶ εἶπε:

— Συγχώρησέ με· τίποτε ἀπὸ αὐτὰ δὲν ἔκαμα ἐγώ. Ὅλα τὰ ἐδημιούργησε μόνον ὁ Θεός.

— Ἐὰν λοιπὸν ὁ Δημιουργὸς ὅλων αὐτῶν ἦλθε μὲ ἄσημον σχῆμα καὶ ἦτο ταπεινόφρων, σὺ ὁ ἀσήμαντος πηλὸς διατί εἶσαι κενόδοξος; Ποῖον εἶναι τὸ ἔργον σου, ἄθλιε, διὰ τὸ ὁποῖον θέλεις νὰ καυχᾶσαι;

25. Ἕνας γέρων Ἀσκητὴς ἀναφερόμενος εἰς τὴν ζωήν του ἔλεγεν: «Ἀπὸ ὅσα ἔπραξα, ὅσα ἠδυνήθην νὰ ἀντιληφθῶ τί ἦσαν κατὰ τὴν ἠθικήν των ἀξίαν καὶ δὲν τὰ ἔκρινα ὡς ὀρθά, δὲν τὰ ἐπανέλαβα· ὅσα πάλιν ἦσαν σπουδαῖα καὶ ἀξιόλογα καὶ τὰ κατώρθωσα, οὐδὲ κἂν τὰ ἐσκέφθην μετά, διὰ νὰ μὴ περιπέσω εἰς αὐταρέσκειαν καὶ ὑπερηφανευθῶ. Τοιουτοτρόπως ἐπορευόμην εἰς τὸν βίον· «τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος» (Φιλιπ. γ', 14).

26. Ἕνας ἀδελφὸς ἐπολεμεῖτο ὑπὸ λογισμοῦ αὐταρεσκείας φανταζόμενος, ὅτι κάτι δῆθεν ἐπέτυχεν· τοῦ ἔλεγε δὲ ὁ λογισμὸς μὲ ἱκανοποίησιν· ψυχή μου, κατώρθωσες νὰ πραγματοποιήσῃς τὰς ἐπιβαλλομένας ἀρετὰς τοῦ μοναχικοῦ βίου. Θέλων δὲ νὰ κατανικήσῃ τὸν ἐπικίνδυνον αὐτὸν λογισμόν, προέβαινεν εἰς τὴν ἑξῆς ἐπώδυνον ἄσκησιν. Ὅταν ἄναβε τὸ καζάνι, διὰ φαγητὸν ἢ δι' ἄλλην ἐργασίαν, ἔφερε τὴν χεῖρα του πλησίον τῆς φωτιᾶς· αἰσθανόμενος δὲ τὸν πόνον τοῦ ἐγκαύματος, ἢ ὑποπτευόμενος τοῦτον, ἔλεγεν ἐπιτιμῶν τὸν ἑαυτόν του· λοιπόν, καίεσαι; Μὴ ὑψηλοφρονεῖς πλέον!

27. Διότι οἱ Ἅγιοι Τρεῖς Παῖδες, ἂν καὶ δὲν ἐκάησαν, ὅταν ἐρρίφθησαν εἰς τὸ μέσον τοῦ πυρός, ἐν τούτοις δὲν ἐπῆρεν ἀέρα τὸ μυαλό τους καὶ δὲν ὑπερηφανεύθη ἡ καρδία των, ἀλλ' ὕμνουν τὸν Θεὸν μὲ μεγάλην ταπείνωσιν ἀπὸ μέσα ἀπὸ τὴν καιομένην κάμινον. Ἔλεγον δὲ πρὸς τὸν Θεὸν μὲ ψυχικὴν συντριβὴν καὶ γεμᾶτοι ταπείνωσιν· εἴθε, Θεέ μου, νὰ εἴμεθα ἄξιοι, διὰ νὰ μᾶς δεχθῇς ἐνώπιόν Σου [1]!

---

1) «Ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν» (Δανιὴλ γ', Προσευχή, 15)

Σὺ λοιπόν, ποὺ περνᾷς ἀνέτως, χωρὶς τὴν φρίκην μαρτυρίων, διατί ὑψηλοφρονεῖς;

Μὲ τὴν ἄσκησιν δὲ αὐτὴν καὶ μὲ τὰς σκέψεις αὐτὰς ἐνίκα τὸν δαίμονα τῆς ὑπερηφανείας.

Δ'. Ἀντιόχου τοῦ Παντέκτου

ΥΠΕΡΗΦΑΝΟΣ Μοναχός, δένδρον ἄκαρπον καὶ ἄῤῥιζον καὶ οὐ μὴ ἐνέγκῃ προσβολὴν ἀνέμου· καὶ ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται, οὕτω μνήμη ὑπερηφάνου μετὰ θάνατον ὄλλυται· καὶ ὥσπερ ἡ τοῦ ταπεινοῦ προσευχὴ κάμπτει Θεόν, οὕτως ἡ τοῦ ὑπερηφάνου δέησις παροργίζει τὸν Ὕψιστον.

Ἑρμηνεία

Ο ΥΠΕΡΗΦΑΝΟΣ Μοναχὸς ὁμοιάζει μὲ δένδρον, ποὺ οὔτε βαθείας ρίζας ἔχει, οὔτε καρπὸν φέρει, ὡς ἐκ τούτου δὲν δύναται νὰ ἀνθέξῃ τὴν πνοὴν τοῦ ἀνέμου. Ὅπως δὲ ἀκριβῶς ἡ πομφόλυξ (=σαπουνόφουσκα) ἐξαφανίζεται μόλις σπάσῃ, τοιουτοτρόπως χάνεται καὶ ἡ ἀνάμνησις τοῦ ὑπερηφάνου μετὰ τὸν θάνατόν του. Κατ' ἀντίθεσιν πρὸς τὴν προσευχὴν τοῦ ταπεινοῦ, ἡ ὁποία προσελκύει τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, ἡ δέησις τοῦ ὑπερηφάνου παροργίζει τὸν Ὕψιστον.

Ε'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΚΑΘΑΠΕΡ νόσος λοιμικὴ καὶ φθοροποιὸς οὐχ ἓν μέλος τοῦ σώματος, ἀλλ' ὅλον διαφθείρει, οὕτω καὶ ὑπερηφανία οὐ μέρος τῆς ψυχῆς, ἀλλὰ πᾶσαν αὐτὴν ἀχρειοῖ καὶ ἀπόλλυσι· τῶν μὲν γὰρ ἄλλων παθῶν ἕκαστον, εἰ καὶ ταράσσει τὴν ψυχήν, ἀλλὰ πρὸς μίαν πολεμεῖ τὴν ἀντικειμένην αὐτῷ ἀρετήν, καὶ ταύτην νικῆσαι φιλονεικεῖ· οἷον, ἡ γαστριμαργία τὴν ἐγκράτειαν διαφθεῖραι σπουδάζει· ἡ πορνεία τὴν σωφροσύνην· καὶ ἡ φιλαργυρία τὴν ἀκτημοσύνην· ὁ θυμὸς τὴν πραότητα καὶ τὰ λοιπὰ τῆς κακίας εἴδη, τὰς ἐναντιουμένας αὐτοῖς ἀρετάς.

2. Ἡ δὲ ὑπερηφανία, ὅταν κυριεύσῃ τῆς ἀθλίας ψυχῆς, ὥσπερ τις χαλεπώτατος τύραννος, μεγάλην πόλιν καὶ ὑψηλὴν παραλαβών, ὅλην αὐτὴν καταστρέφει καὶ ἕως τῶν θεμελίων αὐτῶν κατασκάπτει· καὶ μάρτυς τούτων ὁ Ἄγγελος ἐκεῖνος ὁ ἐκ τοῦ οὐρανοῦ πεσὼν διὰ τὴν ὑπερηφανίαν αὐτοῦ, ὃς φῶς ὢν καὶ ἑωσφόρος καλούμενος, σκότος διὰ τὴν οἴησιν γέγονε, καὶ εἰς ᾅδην ριφθείς, ἀντὶ τῆς οὐρανίου δόξης, πῦρ ἐκληρονόμησεν ἄσβεστον καὶ κόλασιν ἀτελεύτητον.

3. Ταῦτα οὖν ἐνθυμούμενοι φοβηθῶμεν, καὶ πάσῃ φυλακῇ τὴν καρδίαν ἡμῶν τηρήσωμεν ἀπὸ τοῦ ὀλεθρίου πνεύματος τῆς ὑπερηφανίας, ἐπιλέγοντες ἑαυτοῖς ἀεὶ τὸ τοῦ Ἀποστόλου, ὅταν τινὰ ἀρετὴν κατορθώσωμεν· «οὐκ ἐγώ, ἀλλ' ἡ Χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί»· καὶ λογιζόμενοι τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον· «ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν», καὶ τὸ τοῦ Προφήτου, «ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες», καὶ τὸ ὑπὸ τοῦ Ἀποστόλου Ἰακώβου, «πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι καταβαῖνον παρὰ τοῦ Πατρὸς τῶν φώτων». Ὅτι γὰρ χάριτι καὶ ἐλέει Θεοῦ ἡ σωτηρία ἡμῖν προσγίνεται· μάρτυς ἀπαράγραπτος ὁ ἐν τῷ σταυρῷ λῃστής, ὃς οὐχ

ἀρετῆς ἔπαθλον τὴν τῶν οὐρανῶν Βασιλείαν ἐκληρονόμησεν, ἀλλ' ἐλέει καὶ χάριτι.

4. Ἐπὶ τῇ τῶν παθῶν ἀνενεργησίᾳ, ἡ ὑπερηφανία ἐπισυμβαίνει, ἢ τῶν αἰτιῶν ἀποκοπτομένων, ἢ τῶν δαιμόνων δολερῶς ὑποχωρούντων. Ὁ τῆς ὑπερηφανίας δαίμων διπλῆν ἔχει τὴν πονηρίαν· ἢ γὰρ ἑαυτῷ ἀναπείθει τὸν Μοναχὸν ἐπιγράφειν τὰ κατορθώματα καὶ οὐχὶ τῷ Θεῷ, τῷ πάντων τῶν καλῶν χορηγῷ καὶ βοηθῷ πρὸς κατόρθωσιν, ἢ τούτῳ μὴ πειθόμενον, τοὺς ἔτι ἀμελεστέρους τῶν ἀδελφῶν ὑποβάλλει ἐξουθενεῖν.

5. Ἀγνοεῖ δὲ καὶ οὗτος ὁ ἐνεργούμενος, ὅτι τὴν τοῦ Θεοῦ βοήθειαν ἀναπείθει αὐτὸν ἀπαρνεῖσθαι· εἰ γὰρ ἐκείνους ὡς μὴ δυνηθέντας κατορθῶσαι ἐξουθενεῖ, ἑαυτὸν δηλονότι ὡς ἐξ ἰδίας δυνάμεως κατορθώσαντα εἰσάγει, ὅπερ ἐστὶν ἀμήχανον, τοῦ Κυρίου εἰπόντος, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

6. Ἐπειδὴ ἡ ἡμετέρα ἀσθένεια πονουμένη ἐπὶ τὰ καλά, ἄνευ τοῦ χορηγοῦ τῶν καλῶν, εἰς τέλος αὐτὰ ἀγαγεῖν οὐ δύναται· ὁ γὰρ ἐγνωκὼς τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, οὗτος εἴληφε πεῖραν τῆς θείας δυνάμεως, καὶ ὁ τοιοῦτος, δι' αὐτῆς μὲν κατώρθωσεν, οὐκ ἐξουθενεῖ δὲ ποτὲ οὐδένα ἄνθρωπον· οἶδε γὰρ ὅτι ὥσπερ αὐτῷ ἐβοήθησε, καὶ πολλῶν παθῶν χαλεπῶν ἠλευθέρωσε, δυνατός ἐστι καὶ πᾶσι βοηθεῖν, ὅτε θέλει, καὶ μάλιστα τοῖς δι' Αὐτὸν ἀγωνιζομένοις, εἰ καὶ κρίμασί τισι πάντας ὑφ' ἓν τῶν παθῶν οὐκ ἀπαλλάττει, ἀλλ' ἰδίοις καιροῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος ἰατρός, ἕκαστον τῶν παιδευόντων ἰᾶται.

7. Εἰ θέλεις γενέσθαι ἐπιγνώμων καὶ μέτριος, καὶ τῷ πάθει τῆς οἰήσεως μὴ δουλεύειν, ἀεὶ ζήτει ἐν τοῖς οὖσι τί ἐστι κρυπτόμενον τὴν σὴν γνῶσιν; καὶ εὑρίσκων πάμπολλα, καὶ διάφορα πράγματα λανθάνοντά σε, θαυμάσεις ἐπὶ τῇ σῇ ἰδιωτείᾳ καὶ ἀγνωσίᾳ, καὶ συστελεῖς τὸ φρόνημα· καὶ ἑαυτὸν ἐπιγνοὺς συνήσεις πολλά, καὶ μεγάλα, καὶ θαυμαστὰ πράγματα, ἐπὶ τὸ νομίζειν εἰδέναι οὐκ ἐᾷ προκόπτειν εἰς τὸ εἰδέναι.

Ἑρμηνεία

ΟΠΩΣ ἀκριβῶς μία μολυσματικὴ καὶ καταστρεπτικὴ ἀσθένεια δὲν καταστρέφει μόνον ἕνα μέλος τοῦ σώματος, ἀλλὰ τὸ ἀχρηστεύει ὁλόκληρον, τοιουτοτρόπως ἀκριβῶς καὶ ἡ ὑπερηφάνεια ὁλόκληρον τὴν ψυχὴν ἐξαχρειώνει καὶ ὁδηγεῖ εἰς ἀπώλειαν. Διότι κάθε ἕνα ἀπὸ τὰ διάφορα πάθη, ἂν καὶ ἐνοχλεῖ τὴν ψυχήν, ἐν τούτοις μόνον πρὸς τὴν ἀντίθετόν του ἀρετὴν πολεμεῖ καὶ μονομαχεῖ· π. χ. ἡ γαστριμαργία μονομαχεῖ μὲ τὴν ἐγκράτειαν καὶ ἐπιδιώκει νὰ τὴν καταστρέψῃ· ἡ πορνεία μὲ τὴν σωφροσύνην, ἡ φιλαργυρία μὲ τὴν ἀκτημοσύνην, ὁ θυμὸς μὲ τὴν πραότητα καὶ ἐν γένει τὰ διάφορα εἴδη τῆς κακίας μὲ τὰς ἀντιστοιχούσας πρὸς αὐτὰ ἀρετάς.

2. Ἡ ὑπερηφάνεια ὅμως, ὅταν καταλάβῃ τὴν ἀθλίαν ψυχήν, ὁμοιάζει μὲ φοβερώτατον τύραννον, ὁ ὁποῖος ἀφοῦ κυριεύσῃ μεγάλην καὶ ὑψηλὴν πόλιν, τὴν καταστρέφει ὁλόκληρον καὶ τὴν κατασκάπτει ἐκ θεμελίων. Μάρτυς, ποὺ ἐπικυρώνει τὴν ἀλήθειαν αὐτῶν ποὺ λέγω, εἶναι ὁ Ἄγγελος ἐκεῖνος, ποὺ ἀπὸ τὴν ὑπερηφάνειάν του κατέπεσεν ἐκ τοῦ οὐρανοῦ· αὐτὸς καίτοι ἦτο ὅλος φῶς, ὀνομαζόμενος ὡς ἐκ τούτου Ἑωσφόρος, μετεβλήθη ἀπὸ τὴν ὑπερηφάνειάν του εἰς σκότος, ἐρρίφθη εἰς τὸν Ἅδην ἀπὸ τὴν δόξαν τοῦ οὐρανοῦ, καὶ ἐκληρονόμησεν ἄσβεστον πῦρ καὶ ἀτελεύτητον κόλασιν.

3. Ἀναλογιζόμενοι λοιπὸν αὐτά, ἂς φοβηθῶμεν καὶ ἂς περιφρου-

ρήσωμεν τὴν καρδίαν ἡμῶν ἀπὸ τὴν ἐπιδρομὴν τοῦ καταστρεπτικοῦ πνεύματος τῆς ὑπερηφανείας. Ὁσάκις δὲ κατορθώσωμεν καμμίαν ἀρετήν, ἄς λέγωμεν πάντοτε εἰς τὸ τέλος, μὲ ἐπίγνωσιν, τὸ ἀποστολικὸν λόγιον· «Οὐκ ἐγώ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ, ἡ σὺν ἐμοί» (Α' Κορινθ. ιε', 10). Ἄς σκεπτώμεθα ἐπίσης αὐτό, ποὺ εἶπεν ὁ Κύριός μας· «Ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (Ἰωάν. ιε', 5), αὐτὸ ποὺ εἶπεν ὁ Προφήτης· «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες» (Ψαλμ. ρκς', 1). Ἀρκετὰ ὠφέλιμον διὰ τὸν ἀγῶνα ἐναντίον τοῦ ἐγωϊσμοῦ εἶναι καὶ αὐτό, ποὺ εἶπεν ὁ Ἀπόστολος Ἰάκωβος· «Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν φώτων» (Ἰακώβ. α', 17). Ὅτι δὲ ἡ σωτηρία τῆς ψυχῆς μας ἐξαρτᾶται ἀπὸ τὴν χάριν καὶ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, ἀδιάψευστος μάρτυς εἶναι ὁ λῃστὴς ἐπάνω εἰς τὸν Σταυρόν. Αὐτὸς ἐκληρονόμησε τὴν Βασιλείαν τῶν οὐρανῶν οὐχὶ ὡς ἔπαθλον τῆς ἀρετῆς του, ἐφ' ὅσον ἦτο λῃστής, ἀλλὰ ἀπὸ τὸ ἔλεος καὶ τὴν χάριν τοῦ Θεοῦ.

4. Ὅταν πλέον ἀδρανοῦν τὰ πάθη καὶ δὲν ἐνοχλοῦν τὴν ψυχήν, τότε παρουσιάζεται ἡ ὑπερηφάνεια· αὐτὸ δὲ συμβαίνει ἢ διότι ἀποκόπτονται αἱ αἰτίαι, ποὺ προκαλοῦν τὰ πάθη, λόγῳ τῆς ἀσκήσεως, ἢ διότι ὑποχωροῦν μὲ δολιότητα οἱ δαίμονες, διὰ νὰ παγιδεύσουν τὸν Ἀσκητήν. Ὁ δαίμων τῆς ὑπερηφανείας ἔχει διπλῆν πονηρίαν· ἢ πείθει τὸν Μοναχὸν νὰ ἀποδίδῃ τὰ κατορθώματα εἰς τὴν προσωπικήν του ἱκανότητα καὶ ὄχι εἰς τὸν Θεόν, ποὺ εἶναι χορηγὸς ὅλων τῶν καλῶν καὶ βοηθεῖ τὸν ἄνθρωπον νὰ ἐπιτύχῃ τὰ κατορθώματα, ἢ ὅταν ὁ Μοναχὸς δὲν πεισθῇ εἰς αὐτό, τοῦ ἐμπνέει περιφρόνησιν πρὸς τοὺς ἄλλους, ποὺ δὲν εἶναι τόσον ἐπιμελεῖς, ὅσον αὐτός.

5. Ἀγνοεῖ δὲ ὁ οὕτως ἐνοχλούμενος ὑπὸ τοῦ διαβόλου, ὅτι περιφρονῶν τοιουτοτρόπως τοὺς ἀδελφούς του, παραπείθεται ἀπὸ τὸν πειράζοντα νὰ ἀπαρνηθῇ τὴν βοήθειαν καὶ τὴν συμπαράστασιν τοῦ Θεοῦ εἰς τὰ κατορθώματά του· διότι ἐφ' ὅσον προσβάλλει καὶ περιφρονεῖ τοὺς ἄλλους, ἐπειδὴ τάχα δὲν κατώρθωσαν μὲ τὴν δύναμίν των τὰς ἀρετάς, εἶναι ὡς νὰ παραδέχεται, ὅτι αὐτὸς μὲ τὴν δύναμίν του κατώρθωσεν αὐτά, διὰ τὰ ὁποῖα καυχᾶται. Αὐτὸ ὅμως εἶναι ἄτοπον, ὡς ἀντιτιθέμενον εἰς αὐτὰ ποὺ εἶπεν ὁ Κύριος, ὅτι· «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν» (Ἰωάν. ιε', 5).

6. Ἐπειδὴ ὁ ἄνθρωπος, μετὰ τὴν πτῶσιν, κατέστη ἀσθενὴς πνευματικῶς, κουράζεται διὰ νὰ κατορθώσῃ τὰ ἀγαθά· δι' αὐτὸ δὲν ἠμπορεῖ νὰ ὁλοκληρώσῃ τὴν προσπάθειαν τοῦ ἀγαθοῦ, χωρὶς τὴν βοήθειαν τοῦ χορηγοῦ τῶν καλῶν, τοῦ Θεοῦ. Αὐτὸς λοιπόν, ποὺ ἔχει γνωρίσει τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως, αὐτὸς μόνον εἶναι εἰς θέσιν νὰ ἀντιληφθῇ πόσον ἀναγκαία εἶναι ἡ θεία δύναμις εἰς τὸ ἔργον τοῦ ἀγαθοῦ. Αὐτὸς ἔχει ἤδη λάβει πεῖραν τῆς θείας δυνάμεως καὶ δι' αὐτῆς ἐπέτυχεν ὅ,τι καλὸν ἔχει εἰς τὸ ἐνεργητικόν του· ὁ τοιοῦτος ἄν-

θρωπος ποτὲ δὲν περιφρονεῖ, οὔτε προσβάλλει κανένα. Δὲν περιφρονεῖ δὲ κανένα, διότι γνωρίζει ἐξ ἰδίας πείρας, ὅτι ὅπως ἀκριβῶς ἡ θεία δύναμις τὸν ἐβοήθησε καὶ τὸν ἀπηλευθέρωσεν ἀπὸ πολλὰ φοβερὰ πάθη, τοιουτοτρόπως ὁ Θεός, ὁ χορηγὸς τῆς δυνάμεως αὐτῆς, εἶναι ἱκανὸς νὰ βοηθήσῃ ὅλους, ὅταν θέλῃ, καὶ μάλιστα ἐκείνους ποὺ ἀγωνίζονται ἀπὸ ἀγάπην πρὸς Αὐτόν· ἂν καί, δι' οὓς λόγους μόνον ὁ Θεὸς γνωρίζει, δὲν ἀπολυτρώνει ἀμέσως ὅλους ἀπὸ τὰ πάθη, ἀλλὰ εἰς ἐποχὰς καταλλήλους, ποὺ Ἐκεῖνος θὰ κρίνῃ ὡς ἰατρὸς φιλάνθρωπος καὶ ἐπιστήμων, ποὺ γνωρίζει νὰ θεραπεύῃ καθένα ἀνάλογα μὲ τὴν περίπτωσίν του.

7 Ἐὰν θέλῃς νὰ γίνῃς μετριόφρων καὶ συνετὸς καὶ νὰ μὴ ὑποδουλωθῇς εἰς τὸ πάθος τῆς ὑπερηφανείας, πάντοτε νὰ ἐρευνᾷς τὰ βάθη τῶν ὄντων, διὰ νὰ μαθαίνῃς αὐτὰ ποὺ δὲν γνωρίζεις· τοιουτοτρόπως θὰ ἀνακαλύψῃς πάρα πολλά, ἀπὸ ὅσα μέχρι τώρα ἀγνοοῦσες, θὰ θαυμάσῃς τὴν ἀμάθειάν σου καὶ τὴν ἀφέλειάν σου καί, ὡς εἶναι φυσικόν, θὰ ταπεινώσῃς τὸ φρόνημά σου.

Ἀφοῦ δὲ πραγματικῶς καταλάβῃς τὸν ἑαυτόν σου, πόσα ἀγνοεῖς καὶ εἰς πόσα ὑστερεῖς, ἀσφαλῶς τότε πολλὰ καὶ σπουδαῖα ἀξιοθαύμαστα πράγματα θὰ γνωρίσῃς.

Μὴ λησμονῇς, ὅτι τὸ νὰ νομίζῃς ὅτι τὰ γνωρίζεις ὅλα, δὲν σὲ ἀφήνει ποτὲ νὰ προκόψῃς εἰς τὴν γνῶσιν (1).



1) Θαυμασία ἡ διδασκαλία τοῦ Ἀββᾶ Κασσιανοῦ. Προδίδει βαθυτάτην χριστιανικὴν ἐπίγνωσιν, ἀλλὰ καὶ ἀξιοθαύμαστον φιλοσοφικὸν στοχασμόν. Μήτηρ τῆς φιλομαθείας εἶναι ἡ συναίσθησις τῆς ἀγνοίας, καρπὸς δὲ αὐτῆς ἡ πολυμάθεια. Ἡ τελευταία μάλιστα ἄποψις του, μᾶς ὑπενθυμίζει τὸν Σωκράτην διακηρύσσοντα πόσον κακὸν εἶναι τὸ «οἴεσθε εἰδέναι ἃ μὴ εἶδεν».

ΥΠΟΘΕCIC Λ'

Πόθεν ἡ βλασφημία τίκτεται καὶ πῶς θεραπεύεται.

Ἀπὸ ποῦ γεννᾶται ἡ βλασφημία καὶ πῶς θεραπεύεται.

Α'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ τις ἐπολεμήθη εἰς βλασφημίαν, καὶ ᾐσχύνετο εἰπεῖν· ὅπου γὰρ ἤκουσε μεγάλους Γέροντας, παρέβαλεν αὐτοῖς ὥστε ἀναγγεῖλαι, ἔπειτα ᾐσχύνετο ὁμολογῆσαι, καὶ ὑπέστρεφεν οὕτω. Πολλάκις παρέβαλε καὶ τῷ Ἀββᾷ Ποιμένι, καὶ εἰς αὐτὸν ὁμοίως ἐποίει καὶ οὐδὲν ὡμολόγει αἰσχυνόμενος.

2. Ὁ δὲ Γέρων ἐννόει αὐτὸν ἔχοντα λογισμοὺς καὶ ἐλυπεῖτο, τοῦ ἀδελφοῦ μὴ ἀναγγέλλοντος. Ἐν μιᾷ οὖν προπέμπων αὐτόν, εἶπεν· ἀδελφέ, ἰδοὺ τοσοῦτον χρόνον ἔρχῃ ὧδε διὰ τὸ ἀπαγγεῖλαί μοι τοὺς λογισμούς, οὓς ἔχεις, καὶ ὅταν ἔλθῃς οὐ θέλεις αὐτοὺς εἰπεῖν, ἀλλὰ θλιβόμενος ὑποστρέφεις πάλιν ἔχων αὐτούς· εἰπὲ οὖν τί ἐστιν, ὃ ἔχεις; ὁ δὲ εἶπεν αὐτῷ· εἰς βλασφημίαν Θεοῦ πολεμεῖ με ὁ διάβολος καὶ ᾐσχυνόμην εἰπεῖν, νῦν δὲ λέγω· καὶ διηγησάμενος αὐτῷ τὸν λογισμόν, ἐλαφρύνθη.

3. Εἶπε δὲ αὐτῷ ὁ Γέρων· μὴ θλίβου, τέκνον, ἀλλ' ὅταν ἔρχεται ὁ λογισμὸς οὗτος λέγε· ἐγὼ πρᾶγμα οὐκ ἔχω, ἡ βλασφημία σου ἐπάνω σου, Σατανᾶ· τοῦτο γὰρ τὸ πρᾶγμα οὐ θέλει ἡ ψυχή μου· πᾶν δὲ πρᾶγμα, ὃ οὐ θέλει ἡ ψυχή, ὀλιγοχρόνιόν ἐστι· καὶ θεραπευθεὶς ὁ ἀδελφὸς ἀπῆλθεν.

4. Ἀδελφὸς ἠρώτησέ τινα τῶν Πατέρων περὶ τοῦ λογισμοῦ τῆς βλασφημίας λέγων· θλίβεται ἡ ψυχή μου, Ἀββᾶ, ὑπὸ τοῦ δαίμονος τῆς βλασφημίας, ἀλλὰ ποίησον ἔλεος, καὶ εἰπέ μοι πόθεν συνέβη; καὶ τί ποιήσω;

5. Ἀπεκρίθη ὁ Γέρων· ὁ τοιοῦτος λογισμὸς ἐπισυμβαίνει ἡμῖν ἐκ τοῦ καταλαλεῖν καὶ ἐξουθενεῖν καὶ κατακρίνειν· μᾶλλον δὲ ἐξ ὑπερηφανίας, καὶ ἐκ τοῦ ποιεῖν τινα τὰ θελήματα αὐτοῦ, καὶ ἀμελεῖν τῆς προσευχῆς αὐτοῦ, καὶ ἐκ τοῦ ὀργίζεσθαι, καὶ θυμοῦσθαι, ἅπερ πάντα σημεῖά εἰσι τῆς ὑπερηφανίας· αὕτη γὰρ εἰς τὰ προλεχθέντα πάθη ἐμβιβάζει ἡμᾶς, κἀκεῖθεν ὁ τῆς βλασφημίας γεννᾶται λογισμός· καὶ εἰ χρονίσει ἐν τῇ ψυχῇ, παραδίδωσιν αὐτὸν ὁ δαίμων τῆς βλασφημίας εἰς τὸν τῆς πορνείας. Πολλάκις δὲ καὶ εἰς ἔκστασιν φρενῶν φέρει, καὶ εἰ μὴ ἀνανήψει ὁ ἄνθρωπος ἀπόλλυται.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἐπολεμεῖτο ὑπὸ τοῦ διαβόλου εἰς λογισμοὺς βλασφημίας· τὸ πάθος του ὅμως αὐτὸ ἐντρέπετο νὰ τὸ ἀποκαλύψῃ.

Όπου λοιπὸν ἐπληροφορεῖτο, ὅτι ὑπάρχουν ὀνομαστοὶ καὶ ἐνάρετοι Γέροντες, προσέτρεχεν εἰς αὐτούς, διὰ νὰ ἐξομολογηθῇ· ἀμέσως ὅμως μετενόει, ἐντρέπετο νὰ ὁμολογήσῃ τὸ σφάλμα του καὶ ἀπεχώρει ἄπρακτος. Πολλὰς φορὰς ἐπεσκέφθη τὸν Ἀββᾶν Ποιμένα· ἀλλὰ καὶ πάλιν τὰ αὐτὰ ἐπανελάμβανε καὶ τίποτε δὲν ἀνέφερεν ἐξ ἐντροπῆς.

2. Ὁ Ἀββᾶς Ποιμὴν ἀντελαμβάνετο, ὅτι ὁ ἀδελφὸς αὐτὸς ἐβασανίζετο ἀπὸ λογισμοὺς καὶ ἐλυπεῖτο, διότι δὲν τοὺς ἐξωμολογεῖτο. Κάποιαν ἡμέραν ἐπὶ τέλους ὁ Ἀββᾶς Ποιμήν, ἐνῷ τὸν προέπεμπεν διὰ νὰ φύγῃ, τοῦ εἶπε:

—Ἀδελφέ μου, βλέπω ὅτι τόσον καιρὸν ἔρχεσαι ἐδῶ διὰ νὰ μοῦ ἐξομολογηθῇς τοὺς λογισμούς σου· ὅταν ὅμως εὑρεθῇς πλησίον μου, ἀποφεύγεις νὰ τοὺς εἴπῃς, καὶ φεύγεις πάλιν μὲ θλῖψιν εἰς τὴν ψυχήν σου, διότι τοὺς κρατεῖς μέσα σου. Εἰπέ μου λοιπὸν τί εἶναι αὐτό, ποὺ σὲ βασανίζει;

—Ὁ διάβολος μὲ πολεμεῖ διὰ νὰ βλασφημῶ τὸν Θεὸν καὶ ἐντρεπόμην νὰ τὸ εἰπῶ, ἀπήντησεν ὁ ἀδελφός! Τώρα ὅμως, μὲ τὸ θάρρος, ποὺ μοῦ ἐνέπνευσες, θὰ σοῦ τὰ εἰπῶ ὅλα.

Πραγματικῶς δὲ μὲ εἰλικρίνειαν ἐξέθεσε τοὺς λογισμούς του καὶ ἠρέμησεν ἡ συνείδησίς του.

3. Ἀφοῦ ἤκουσε τὴν ἐξομολόγησίν του ὁ Ἀββᾶς Ποιμήν, τὸν συνεβούλευσε μὲ τοὺς ἑξῆς λόγους:

— Τέκνον μου, μὴ στενοχωρεῖσαι. Ὅταν σοῦ ἔρχεται ὁ λογισμὸς τῆς βλασφημίας, νὰ λέγῃς εἰς τὸν διάβολον, ποὺ τὸν ἐμπνέει· ἐγὼ δὲν ἔχω κανένα λόγον νὰ βλασφημήσω τὸν Θεόν. Ἡ βλασφημία, ποὺ φέρεις εἰς τὴν σκέψιν καὶ τὰ χείλη μου, ἂς εἶναι ἐπάνω σου, Σατανᾶ. Ἡ ψυχή μου δὲν ἐπιθυμεῖ αὐτὸ τὸ πρᾶγμα, τὴν βλασφημίαν. Αὐτὸ δὲ ποὺ δὲν θέλει ἡ ψυχή, διαρκεῖ ὀλίγον μόνον χρόνον.

Μὲ τὰς πολυτίμους αὐτὰς συμβουλὰς θεραπευθεὶς ὁ ἀδελφός, ἀπεχώρησε.

4. Ἕνας ἀδελφὸς ἠρώτησε κάποιον ἀπὸ τοὺς Πατέρας διὰ τὸν λογισμὸν τῆς βλασφημίας.

— Βαθύτατα στενοχωρεῖται ἡ ψυχή μου, Ἀββᾶ—εἶπεν—ἀπὸ τὸν δαίμονα τῆς βλασφημίας· ἀλλά, ὡς ἐλεημοσύνην σοῦ τὸ ζητῶ, ἐξήγησέ μου ἀπὸ ποῦ καὶ πῶς μοῦ παρουσιάσθη αὐτὸ τὸ κακόν; ὑπόδειξέ μου, τί νὰ κάμω;

5. Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Γέρων ἀπήντησεν ὡς ἑξῆς:

—Ὁ λογισμὸς αὐτὸς ἐμφανίζεται εἰς τὴν ψυχήν μας, ὁσάκις αὐτὴ περιπέσῃ εἰς τὰ πάθη τῆς συκοφαντίας, τῆς προσβολῆς καὶ περιφρονήσεως τοῦ συνανθρώπου μας, καὶ τῆς κατακρίσεως· ἀκόμη μεταξὺ τῶν αἰτιῶν ποὺ προκαλοῦν τὴν βλασφημίαν, εἶναι καὶ ἡ ὑπερηφάνεια, ἡ ἰδιορρυθμία (1), ἡ ἀμέλεια τῆς προσευχῆς, ἡ ὀργή, ὁ θυμός, τὰ ὁποῖα

1) Ἰδιορρυθμία καλεῖται ἡ κατ' ἴδιον τρόπον διαβίωσις τοῦ Μοναχοῦ. Ὁ-

εἶναι, ὡς ἐπὶ τὸ πλεῖστον, σημάδια τῆς ὑπερηφανείας· διότι ἡ ὑπερηφάνεια μᾶς ρίπτει εἰς τὰ ἀνωτέρω πάθη, ἀπὸ τὰ ὁποῖα γεννᾶται ὁ λογισμὸς τῆς βλασφημίας. Ἐφ' ὅσον δὲ ὁ λογισμὸς τῆς βλασφημίας παραμείνῃ ἐπ' ἀρκετὸν χρόνον εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου, τότε ὁ δαίμων παραδίδει τὸν ἄνθρωπον εἰς τὴν πορνείαν. Πολλὰς φορὰς δὲ ἡ βλασφημία, ἐὰν δὲν συνέλθῃ ὁ ἄνθρωπος, τὸν κάμνει τρελλὸν καὶ τὸν καταστρέφει ἐξ ὁλοκλήρου.

Βʹ. Τοῦ Ἁγίου Ἀναστασίου τοῦ Σιναΐτου

Ἐρώτησις

ΠΟΘΕΝ ἡ ψυχὴ τοῦ ἀνθρώπου πολλάκις λαλεῖ τινας ἔνδοθεν λογισμοὺς καὶ λόγους αἰσχροὺς καὶ ἀκαθάρτους καὶ ῥυπαροὺς ἀκουσίως καὶ ἀπροαιρέτως;

2. Πολλάκις δὲ καὶ ῥήματά τινα ἄθεα καὶ βλάσφημα, κατά τε Αὐτοῦ τοῦ Θεοῦ, καὶ τῶν Ἁγίων Μυστηρίων τῷ καιρῷ τῶν συνάξεων καὶ προσευχῶν, καὶ τῆς θείας μεταλήψεως, ὥστε πολλάκις τινὲς ἐξ ἀθυμίας καὶ ἀπογνώσεως τῶν τοιούτων ἀθέων καὶ δυσφήμων ῥημάτων οὐκέτι Χριστιανοὺς ἑαυτοὺς εἶναι ἐνόμισαν.

3. Ἕτεροι δὲ καὶ ἀνελεῖν ἑαυτοὺς ἐσκέψαντο, ὡς ἐλπίδα σωτηρίας μὴ ἔχοντες, ἐννοούμενοι τὸν τοῦ Κυρίου λόγον τὸν φάσκοντα· «ὅτι τῷ βλασφημοῦντι εἰς τὸ Ἅγιον Πνεῦμα, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι».

Ἀπόκρισις

4. Ὁ μὲν τοιοῦτος λογισμὸς συμβαίνει τοῖς πολλοῖς ἐξ ὑπερηφανίας ἑαυτῶν, τοῦ Θεοῦ συγχωροῦντος τῷ Σατανᾷ πειράζειν αὐτούς, ἵνα ταπεινωθέντες εἰς μετάνοιαν ἔλθωσιν, ἀποῤῥίψαντες τὸ ὑψηλὸν φρόνημα.

5. Ἄλλοις πάλιν εὐλαβέσι καὶ φιλοθέοις οὖσιν, ἀπὸ φθόνου δαιμονικοῦ, διὸ καί τινες τῶν κατὰ τὴν ἔρημον Ὁσίων καὶ Ἀσκητῶν ἐναρέτων τῷ τοιούτῳ περιπίπτουσι λογισμῷ.

6. Τὸ δὲ χαλεπώτερον τοῦ πολέμου τοῦτό ἐστιν, ὅτι οὐδεὶς πειραζόμενος ὑπ' αὐτοῦ τολμᾷ ὅλως ἐξειπεῖν τὸν λογισμὸν ἀνθρωπίναις ἀκοαῖς, νομίζων ὅτι οὐδεὶς ἕτερος τῶν ἐν τῷ κόσμῳ ἀνθρώπων τοιούτους μιαροὺς καὶ βλασφήμους λογισμοὺς ἔχει.

7. Καὶ πᾶσαν μὲν ἄλλην ἁμαρτίαν ποιήσας τις, θαῤῥεῖ ἐξομολογήσασθαι τῷ πλησίον, τοῦτον δὲ τὸν λογισμὸν οὐδαμῶς· ἀλλὰ ἡνίκα αὐτὸν ἐνθυμεῖται ὁ ἄνθρωπος, νομίζει πάραυτα, ἢ ὑπὸ τῆς γῆς καταπίνεσθαι ἀνεῳχθείσης ὑποκάτω αὐτοῦ, ἢ πυρὶ ἐκ τοῦ οὐρανοῦ καταβαίνοντι ἀναλίσκεσθαι· ὅθεν καί τινες ὑπὸ τοῦ πλήθους τῆς ἐξ αὐτοῦ λύπης καὶ ἀπογνώσεως ἐκτήκονται μαραινόμενοι.

8. Τινὲς δὲ καὶ σκληρᾷ ἀσκήσει καὶ παντοδαπῇ κακουχίᾳ τὰ ἑαυτῶν κατεδαπάνησαν σώματα, ἐλπίζοντες ἐλευθερωθῆναι τοῦ λογισμοῦ, ἀλλ' οὐκ ἴσχυσαν τούτου ἀπαλλαγῆναι· ὁ γὰρ τοιοῦτος πειρασμὸς οὐκ ἐκ θελήματος τοῦ ἀνθρώπου, ἀλλὰ ἀκουσίως ἐκ δαιμονικῆς ἐπηρείας καὶ μόνης ἐπέρχεται. Διὸ καὶ ἀκατάκριτός ἐστι πᾶς πιστὸς καὶ ἀναίτιος ἐξ αὐτοῦ.

ταν δηλαδὴ οὗτος δὲν ὑποτάσσεται εἰς πνευματικὸν Πατέρα καὶ Γέροντα καὶ δὲν συμμορφοῦται πρὸς τὰς διατάξεις τοῦ Κοινοβίου, ἀλλὰ πορεύεται κατὰ τὸ ἴδιον αὐτοῦ θέλημα.

9. Πῶς γὰρ δυνατὸν ἡμᾶς τὸν αὐτὸν Θεὸν καὶ προσκυνεῖν καὶ βλασφημεῖν; οὐδὲ γὰρ αὐτοὶ οἱ Ἕλληνες τοὺς θεοὺς οὓς σέβουσι, τούτους καὶ βλασφημοῦσι· πόσῳ γε μᾶλλον ἡμεῖς τὸν Κύριον ἡμῶν, καὶ δημιουργόν, καὶ προνοητήν, ὃν προσκυνοῦμεν, ὃν δοξάζομεν, ὃν ἐπικαλούμεθα, ὃν μόνον Θεὸν καὶ Δεσπότην ἡμῶν γινώσκομεν καὶ ὁμολογοῦμεν, ᾧ λατρεύομεν σώματί τε καὶ πνεύματι, καὶ διηνεκῶς προσεδρεύομεν, δι' ὃν οἴκους, καὶ πατρίδας, καὶ πατέρας, καὶ μητέρας, καὶ ἀδελφούς, καὶ συγγενεῖς, καὶ φίλους, καὶ γυναῖκας, καὶ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτῶν σάρκα ἀπαρνησάμενοι, ἐσταυρώσαμεν ἑαυτοὺς πάσαις ἡδοναῖς καὶ ἡδυπαθείαις καὶ ἀναπαύσεσι προθύμως, καὶ σὺν πάσῃ χαρᾷ, καὶ τὴν κακουχίαν, καὶ ξενιτείαν, καὶ πτωχείαν, καὶ τὰς λοιπὰς θλίψεις φέρομεν, ἔκ τε δαιμόνων καὶ ἀνθρώπων πολεμούντων τῇ ἀληθείᾳ, καὶ ἡμᾶς διωκόντων, καὶ βλασφημούντων, καὶ λυπηροῖς μυρίοις ὑποβαλλόντων, καὶ ταύτας, οὐ θλίψεις, καὶ λύπας, ἀλλ' ἀνέσεις καὶ τρυφὰς μᾶλλον ἡγούμεθα, διὰ τὴν εἰς τὸν Δεσπότην ἀγάπην, ὑπὲρ οὗ εἰ καὶ πολλάκις ἦν ἀποθανεῖν ἐχάρημεν ἄν, καὶ μεθ' ἡδονῆς τοῦτο κατεδεξάμεθα.

10. Πῶς οὖν τὸν μόνον Θεὸν ἡμῶν, ὃν οὕτως ἀγαπῶμεν τε καὶ σεβόμεθα, ὑβρίζειν τοῦτον καὶ βλασφημεῖν ἅμα θελήσωμεν; ἀδύνατον τοῦτο παντελῶς καὶ ἀνένδεκτον· οὐκ ἐξ ἡμετέρας οὖν αἰτίας οὗτος ὁ πειρασμός, ἀλλ' ἐκ τῆς ἐπηρείας τοῦ δαίμονος· εἰ γὰρ ἐξ ἡμῶν ἦν, πάντως ἂν καὶ διὰ στόματος ταῦτα τὰ ῥήματα ἐφθεγγόμεθα, νῦν δὲ αἱρούμεθα μᾶλλον πυρὶ καυθῆναι πρότερον, ἢ τοιαύτας φθέγξασθαι βλασφημίας.

11. Χρὴ δὲ ἡμᾶς καὶ τοῦτο λογίσασθαι, ὅτι πᾶσα μὲν ἁμαρτία, τῶν ἐφ' ἡμῖν ἐστί· καὶ ἑκουσίως εἰς ταύτην ἐρχόμεθα, τοῖς οἰκείοις πειθόμενοι πάθεσι· τοὺς γὰρ πονηροὺς λογισμοὺς θελήσει παραδεχόμενοι τὰ πάθη ἀνακινοῦμεν· εἶτα ὑπὸ τῶν παθῶν εἰς τὰς πράξεις συνελαυνόμεθα.

12. Εἰ δὲ θέλομεν ἀντιστῆναι τοῖς λογισμοῖς, καὶ ἐξ αὐτῶν τούτους ἀποδιῶξαι, δυνάμεθα, σὺν Θεῷ, προσευχῇ συνεχεῖ χρώμενοι κατ' αὐτῶν καὶ τοῖς λοιποῖς τῆς κακίας φαρμάκοις· τοῦτον δὲ τὸν ἀλάστορα καὶ σφόδρα ἀποβαλεῖν θέλοντες, καὶ κατ' αὐτοῦ τῷ Θεῷ ἐντυγχάνοντες, καὶ πᾶσαν ἄσκησιν καὶ κακουχίαν ἐπιτηδεύοντες, διῶξαι ἀφ' ἡμῶν οὐ δυνάμεθα· διὰ τοῦτο πάντως, ὅτι ἀλλότριος ἡμῶν ὅλως ἐστί, καὶ ἀκούσιος, καὶ μόνης τῆς ἐπηρείας τοῦ Σατανᾶ.

13. Ὅθεν καὶ ἀνέγκλητοί ἐσμεν, καὶ ἀκατάγνωστοι παρὰ τῷ Θεῷ· μόνον γὰρ ὑπὲρ τῶν ἑκουσίων παθῶν καὶ λογισμῶν, οὓς κωλῦσαι δυνάμεθα καὶ οὐ κωλύομεν, ἀπαιτούμεθα λόγον ὑπὸ Θεοῦ, οὐχ ὑπὲρ τῶν ἀκουσίως ἐπερχομένων ἡμῖν.

14. Πνεῦμα γὰρ ὑπάρχων ὁ δαίμων, ἀοράτως εἰς τὰ ὦτα τῆς ἀσωμάτου ἡμῶν ψυχῆς, καὶ μὴ βουλομένης αὐτῆς, τὰ τοιαῦτα ἄθεα ῥήματα φθέγγεται· καὶ τοῦτο μάλιστα ποιεῖ, ὅτε εἰς προσευχὴν παριστάμεθα ἢ γόνυ κλίνομεν τῷ Θεῷ, καὶ ἐντυγχάνομεν κατ' αὐτῶν· πολλάκις δέ, καὶ παρὰ τὴν σύναξιν καὶ τὴν μετάληψιν τῶν φρικτῶν μυστηρίων, βουλόμενος πάντως ὁ μιαρὸς ἀποστῆσαι ἡμᾶς καὶ ἐμποδίσαι τῆς πρὸς Θεὸν νεύσεως καὶ τῆς ζωοποιοῦ μεταλήψεως.

15. Ἡμεῖς οὖν μαθόντες τὸν δόλον τοῦ πονηροῦ, μηδαμῶς τὸν τοιοῦτον πειρασμὸν εἰς μέτρον ἔχωμεν, ἀλλ' ἐπὰν ἄρχηται ὁ δαίμων ἐν ἡμῖν τὰ τοιαῦτα φθέγγεσθαι, λέγωμεν πρὸς αὐτόν· ἐπιστρέψει ὁ πόνος σου ἐπὶ τὴν κεφαλήν σου, πονηρὲ καὶ ἀκάθαρτε δαῖμον, καὶ ἐπὶ κορυφήν σου ἡ βλασφημία σου καταβήσεται· ἐγὼ γὰρ Κύριον τὸν Θεόν μου προσκυνῶ, καὶ αὐτῷ μόνον λατρεύω πάσας τὰς ἡμέρας τῆς ζωῆς μου· σὺ δὲ ὑπὲρ ταύτης τῆς βλασφημίας σου βαρυτέραν ἕξεις τὴν κόλασιν, ὡς ἀποστάτης Θεοῦ, καὶ γλῶσσαν κατ' αὐτοῦ κινῶν ἄθεον. Τούτῳ τῷ τρόπῳ καὶ οὐκ ἄλλῳ τινὶ δύναταί τις νικῆσαι τὸν τῆς βλασφημίας δαίμονα.

16. Γνωσόμεθα δὲ καὶ ἐκ τούτου, μὴ εἶναι ἡμέτερον τὸν τοιοῦτον λογισμόν, ἀλλὰ τοῦ ὑπεναντίου, ὅτι καὶ μισούμενος ἐξ ἡμῶν παραμένει ἐπὶ πολύ, καὶ οὐκ ἀφίσταται· ἐπὶ γὰρ τῶν ἄλλων λογισμῶν καὶ παθῶν, τὸ ὁλοψύχως ἀπὸ καρδίας μισούμενον ὀλιγοχρόνιόν ἐστι, καὶ αὐτομόλως ἀφανίζεται· οὗτος δὲ ὁ τῆς βλασφη-

μίας, καὶ οὕτω μισούμενος ὑφ' ἡμῶν, οὐκ ἀναχωρεῖ, ἀλλ' ἐπὶ πλεῖστον προσμένει, ὡς καὶ ἐκ τούτου φαίνεσθαι, ὅτι οὐ λογισμός ἐστι τῶν ἐφ' ἡμῖν, ἀλλὰ πειρασμὸς σατανικὸς καὶ ἐπήρεια· πρὸς δὲ πλείονα πίστωσιν, καί τινος ἱστορίας παλαιᾶς μνημονεύσωμεν.

17. Ἱστόρηται γὰρ παρὰ Φίλωνι τῷ ἱστορικῷ, ὅτι τῷ μακαρίῳ Πέτρῳ τῷ Ἐπισκόπῳ Ἀλεξανδρείας καὶ Μάρτυρι, τὶς τῶν τῆς σκήτεως Πατέρων, τοιοῦτον ἀνέθετο λογισμὸν ἐνοχλούμενος χαλεπῶς ὑπ' αὐτοῦ, πρὸς ὃν ἀπεκρίθη ὁ μακάριος Πέτρος· ἄπελθε, τέκνον, τῶν λοιπῶν ἁμαρτημάτων σου φρόντισον, τὸ δὲ ὑπὲρ τοῦ λογισμοῦ τούτου κρίμα καὶ ἔγκλημα ἐπ' ἐμοὶ κατάλιπε· ἀκατάκριτος γάρ ἐστι πᾶς ὁλοψύχως πιστεύων καὶ προσκυνῶν τὸν Θεόν, ἐκ τοῦ τοιούτου λογισμοῦ· τὸ γὰρ ὅλον ἐπήρεια τοῦ διαβόλου ἐστί, βουλομένου κωλῦσαι ἡμᾶς τῆς κατ' αὐτοῦ πάλης, καὶ ἀποσπάσαι τῆς πρὸς Θεὸν δουλείας καὶ προσεδρείας· καὶ εἰ βούλει, ἐξ ἐμαυτοῦ σοι τοῦτο πιστώσομαι διηγησάμενός σοι, ὃ αὐτὸς ἔπαθόν τε καὶ ἔμαθον.

18. Ποτὲ γὰρ κἀγὼ σφοδρῶς ὑπὸ τοιούτου ὀχλούμενος λογισμοῦ, ἀνεθέμην αὐτῷ τῷ τοῦ Θεοῦ θεράποντι Παφνουτίῳ, καὶ ἐπληροφόρησέ μοι κἀκεῖνος λέγων· ὅτι ἐν τῷ καιρῷ τῆς ὁμολογίας μου ἐν αὐτῷ τῷ δικαστηρίῳ, ἡνίκα βασάνοις διαφόροις καὶ δεινοῖς τὸ σῶμά μου κατεξέετο καὶ πυρὶ κατεκαίετο, ὁ δαίμων ἔνδοθέν μου βλασφημίας ἐφθέγγετο.

19. Πρὸς ὃν ἐμβριμησάμενος μετὰ θυμοῦ, εἶπον· ὦ πονηρὲ καὶ πάσης κακίας δημιουργέ· ὅλον ἐμαυτὸν εἰς μυρίας κολάσεις καὶ θανάτους δέδωκα, ἵνα μὴ τὸν Κύριόν μου ἀρνήσωμαι ἢ βλασφημήσω, καὶ σὺ λογισμούς μοι βλασφημίας ἀποφθέγγῃ; εἰ τὸν Θεόν μου βλασφημῶ, πῶς ὑπὲρ αὐτοῦ τὸ ἴδιον αἷμα ἐκχέω, καὶ τὸ σῶμα κατατεμνόμενος; Ὁμολογῶ τοῦτον καὶ ἐνώπιον πάντων προσκυνῶ· πρόδηλον ὅτι ἡ μὲν καλὴ ὁμολογία καὶ μαρτυρία, ἐμή ἐστιν· ἡ δὲ κατὰ τοῦ Θεοῦ βλασφημία σή ἐστι, καὶ ἐπὶ σὲ ἀποστρέφεται· αὕτη τοῦ μακαρίου Πέτρου πρὸς τὸν Ἀσκητὴν ἡ διήγησις καὶ παραίνεσις.

20. Ἔμαθον δὲ καὶ περὶ τοῦ Ὁσίου Παμβώ, ὅτι καὶ οὗτος ὑπὸ τοῦ τοιούτου δαίμονος ἐνοχληθείς ποτε, καὶ δεόμενος τοῦ Θεοῦ, ἤκουσε φωνῆς ἄνωθεν λεγούσης πρὸς αὐτόν· Παμβώ, Παμβώ, μὴ ἀθύμει ἐπὶ ἀλλοτρίᾳ ἁμαρτίᾳ, ἀλλὰ περὶ τῶν σῶν φρόντισον πράξεων, τὰς δὲ τοῦ πονηροῦ βλασφημίας ἐπ' αὐτὸν κατάλιπε.

21. Καὶ ἡμεῖς οὖν, ἀδελφοί, καταφρονήσωμεν αὐτοῦ ὡς σατανικοῦ καὶ ἀλλοτρίου ἡμῶν, καὶ οὕτω διὰ τῆς ἐξουδενώσεως δυνησόμεθα ἀπαλλαγῆναι αὐτοῦ, Θεοῦ Χάριτι· οὐ γὰρ ἄλλως τούτου περιγενέσθαι ἰσχύσομεν· τὰ γὰρ λοιπὰ πάθη καὶ οἱ διὰ τῶν λογισμῶν πόλεμοι καὶ ἵστανται καὶ χρόνου δέονται καὶ ὕλης, καὶ δύναται ὁ ἄνθρωπος ἀντιμαχῆσαι καὶ κωλῦσαι αὐτά.

22. Οὗτος δὲ ὁ λογισμός, δίκην ἀστραπῆς ἢ βέλους πετομένου ἢ ῥιπῆς ὀφθαλμοῦ, ὀξέως καὶ ἀφθάστως παρατρέχει τὴν ψυχήν· καὶ οὐκ ἔστιν αὐτὸν κρατῆσαι, ἢ ἀντιπολεμῆσαι· διὸ καὶ ἀδύνατον κωλῦσαι αὐτόν, καὶ φιμῶσαι τὸ στόμα τοῦ ἀσωμάτου δαίμονος.

Ἑρμηνεία

Ἐρώτησις

ΑΠΟ ΠΟΙΑΝ αἰτίαν ἡ ψυχὴ τοῦ ἀνθρώπου πολλὰς φορὰς λαλεῖ, ἀπὸ μέσα της, αἰσχρὰ λόγια, ἀκάθαρτα, καὶ ῥυπαρὰ καὶ σχηματίζει ἀναλόγους σκέψεις, χωρὶς νὰ τὸ θέλῃ καὶ νὰ τὸ ἐπιδιώκῃ;

2. Πολλὰς φορὰς ἐπίσης ἡ ψυχὴ τολμᾷ, παρὰ τὴν θέλησίν της βεβαίως, νὰ ἐκφράζῃ καὶ λόγια ἄθεα καὶ βλάσφημα, στρεφόμενα κατὰ τοῦ ἰδίου τοῦ Θεοῦ καὶ τῶν ἱερῶν Μυστηρίων, καὶ μάλιστα κατὰ τὴν

ὥραν τῶν ἀκολουθιῶν, τῆς προσευχῆς καὶ τῆς Θείας Μεταλήψεως!

Τόση μάλιστα εἶναι ἡ σφοδρότης καὶ ἡ ρυπαρότης τοῦ περιέργου αὐτοῦ μονολόγου τῆς ψυχῆς, ὥστε μερικοὶ καταλαμβάνονται ἀπὸ βαθυτάτην λύπην καὶ ἀπελπισίαν καὶ φθάνουν εἰς τὸ σημεῖον, ἐξ αἰτίας τῶν ἀθέων καὶ ἀπρεπῶν αὐτῶν ἐσωτερικῶν λόγων, νὰ μὴ θεωροῦν τοὺς ἑαυτούς των οὔτε χριστιανοὺς πλέον!

3. Ἄλλοι πάλιν τόσον πολὺ ἀπεγοητεύθησαν ἀπὸ τὸ περίεργον καὶ ἐνοχλητικὸν αὐτὸ πάθος, ὥστε ἐσκέφθησαν νὰ ἐγκαταλείψουν τὸν ἀγῶνα τῆς σωτηρίας τῆς ψυχῆς των, διότι, κατὰ τὴν γνώμην των, δὲν ἔχουν πλέον ἐλπίδα σωτηρίας, φέροντες κατὰ νοῦν καὶ τὸν λόγον τοῦ Κυρίου· «Ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται.... οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι» (Ματθ. ιβ', 31—32).

Ἀπόκρισις

4. Ὁ λογισμὸς αὐτὸς τῆς βλασφημίας γεννᾶται εἰς τοὺς περισσοτέρους ἀπὸ τὴν ὑπερηφάνειάν των· ὁ Θεὸς ἐπιτρέπει εἰς τὸν Σατανᾶν νὰ τοὺς πειράζῃ, διὰ νὰ ταπεινωθοῦν ἀπὸ τὸ πάθος αὐτό, νὰ μετανοήσουν καὶ νὰ διώξουν ἀπὸ ἐπάνω των τὴν ὑψηλοφροσύνην.

5. Ἄλλοι πάλιν, οἱ ὁποῖοι εἶναι εὐλαβεῖς καὶ φιλόθεοι, ἐνοχλοῦνται μὲ τὸν λογισμὸν αὐτόν, ἐπειδὴ τοὺς φθονεῖ ὁ Σατανᾶς· δι' αὐτὸ εἰς τὸν λογισμὸν αὐτὸν τῆς βλασφημίας περιπίπτουν καὶ μερικοὶ ἀπὸ τοὺς Ὁσίους καὶ ἐναρέτους Ἀσκητάς, ποὺ κατοικοῦν εἰς τὴν ἔρημον.

6. Τὸ δὲ δυσκολώτερον σημεῖον εἰς τὸν πόλεμον αὐτὸν εἶναι τοῦτο· κανεὶς ἀπὸ ὅσους ἐνοχλοῦνται ἀπὸ τὴν ἀκούσιον αὐτὴν βλασφημίαν δὲν τολμᾷ νὰ ἐξομολογηθῇ τὸν λογισμὸν αὐτὸν εἰς ἄνθρωπον, διότι νομίζει ὅτι οὐδεὶς ἄλλος ἐκ τῶν ἀνθρώπων, ποὺ κατοικοῦν εἰς τὸν κόσμον, ἔχει μέσα του τόσον μιαροὺς καὶ βλασφήμους λογισμούς.

7. Ὁποιανδήποτε δὲ ἄλλην ἁμαρτίαν καὶ ἐὰν κάμῃ ὁ ἄνθρωπος, παίρνει τὸ θάρρος νὰ τὴν ἐξομολογηθῇ εἰς τὸν πλησίον του· αὐτὸν ὅμως τὸν λογισμὸν τῆς βλασφημίας καθόλου δὲν ἀποφασίζει νὰ τὸν ἐμπιστευθῇ κατὰ τὴν ἐξομολόγησίν του. Ὁσάκις σκέπτεται τὴν κατάστασίν του ὁ ἐνοχλούμενος ὑπὸ τοιούτων λογισμῶν, τὴν θεωρεῖ τόσον φοβεράν, ὥστε νομίζει, ὅτι θὰ ἀνοίξῃ ἡ γῆ νὰ τὸν καταπιῇ, ἢ ὅτι θὰ πέσῃ φωτιὰ ἀπὸ τὸν οὐρανὸν νὰ τὸν καύσῃ. Δι' αὐτὸ καὶ μερικοὶ τόσον πολὺ λειώνουν ἀπὸ τὴν λύπην καὶ τὴν ἀπελπισίαν, διὰ τὴν κατάστασίν των, ὥστε ὁμοιάζουν μὲ ἄνθη ποὺ μαραίνονται.

8. Ἄλλοι πάλιν ἐπιζητοῦντες νὰ ἐλευθερωθοῦν ἀπὸ τὸν λογισμὸν αὐτόν, ἐξήντλησαν τελείως τὰ σώματά των μὲ σκληρὰν ἄσκησιν καὶ παντὸς εἴδους σκληραγωγίαν. Παρ' ὅλα ταῦτα δὲν κατάφεραν νὰ ἀπαλλαγοῦν ἀπὸ τὴν φοβερὰν αὐτὴν ἐσωτερικὴν τυραννίαν. Καὶ τοῦτο, διότι ὁ λογισμὸς αὐτὸς δὲν ὀφείλεται εἰς τὴν θέλησιν τοῦ ἀνθρώπου, ἀλλά, χωρὶς νὰ τὸ θέλῃ ὁ ἄνθρωπος, προκαλεῖται ἀπὸ δαιμονικὴν ἐνέργειαν. Δι' αὐτὸν τὸν λόγον καὶ ὁ πιστός, ποὺ ὑφίσταται τὴν

ἐνόχλησιν καὶ τὸν πόλεμον αὐτόν, δὲν δύναται νὰ κατηγορηθῇ οὔτε νὰ θεωρηθῇ ὑπεύθυνος τοῦ ἀκουσίου αὐτοῦ λογισμοῦ τῆς βλασφημίας.

9. Διότι καὶ λογικῶς ἐξεταζόμενον τὸ ζήτημα, πῶς εἶναι δυνατὸν ἡμεῖς, ποὺ πιστεύομεν εἰς τὸν Θεόν, νὰ προσκυνοῦμεν καὶ νὰ βλασφημοῦμεν συγχρόνως τὸν ἴδιον Θεόν; Διότι οὔτε καὶ οἱ εἰδωλολάτραι ἀκόμη δὲν περιπίπτουν εἰς τὸν παραλογισμὸν αὐτὸν νὰ βλασφημοῦν τοὺς θεούς, τοὺς ὁποίους σέβονται. Πῶς λοιπὸν εἶναι δυνατὸν ἡμεῖς νὰ περιπέσωμεν εἰς τοιαύτην κατάστασιν, ποὺ λατρεύομεν τὸν μόνον ἀληθινὸν Θεόν; Πῶς εἶναι δυνατὸν νὰ βλασφημῶμεν ἡμεῖς τὸν Κύριόν μας, τὸν Δημιουργόν, Αὐτόν, ποὺ προνοεῖ δι' ἡμᾶς, Αὐτόν, ποὺ προσκυνοῦμεν, ποὺ δοξάζομεν, Αὐτόν, ποὺ ἐπικαλούμεθα εἰς τὰς ἀνάγκας ἡμῶν, Αὐτὸν ποὺ θεωροῦμεν ὡς μόνον Θεὸν καὶ Δεσπότην μας, καὶ ὁμολογοῦμεν; Πῶς εἶναι δυνατὸν νὰ βλασφημῶμεν Αὐτόν, ποὺ λατρεύομεν καὶ διὰ τῆς ἀσκήσεως τοῦ σώματος καὶ διὰ τοῦ πνεύματος ἡμῶν καὶ ἐνώπιον τοῦ Ὁποίου διαρκῶς παριστάμεθα; Πῶς εἶναι δυνατὸν νὰ βλασφημῶμεν Αὐτόν, χάριν τοῦ Ὁποίου καὶ οἴκους, καὶ πατρίδας, καὶ πατέρας, καὶ μητέρας, καὶ ἀδελφούς, καὶ συγγενεῖς, καὶ φίλους, καὶ γυναῖκας καὶ παιδιά, ἀλλὰ καὶ τὰ ἴδια τὰ σώματα ἡμῶν ἀπηρνήθημεν; Πῶς εἶναι δυνατὸν νὰ βλασφημῶμεν Αὐτόν, χάριν τοῦ Ὁποίου ἐσταυρώθημεν ἑκουσίως ἐπάνω εἰς τὸν Σταυρὸν τῆς ἀσκήσεως, νεκρώσαντες ὅλας τὰς ἡδονάς, τὰς ἡδυπαθείας, τὰς ἀναπαύσεις μὲ προθυμίαν καὶ χαράν, ὑπομένοντες δὲ ἀγογγύστως κακουχίας, ξενιτειάν, πτωχείαν καὶ ὅλας τὰς θλίψεις;

Εἶναι ποτὲ δυνατὸν μὲ τὴν θέλησιν ἡμῶν νὰ βλασφημῶμεν τὸν Κύριον καὶ Δεσπότην ἡμῶν, τὸν ὁποῖον τόσον πολὺ ἠγαπήσαμεν, ὥστε νὰ πολεμούμεθα πραγματικῶς καὶ ἀπὸ ἀνθρώπους καὶ ἀπὸ δαίμονας, οἱ ὁποῖοι μᾶς διώκουν, μᾶς βλασφημοῦν, μᾶς προκαλοῦν ἀναριθμήτους θλίψεις, καὶ τὰ ὁποῖα χάριν τοῦ ὀνόματός Του τὰ θεωρῶμεν, ἀντιθέτως, ἀνέσεις καὶ ἀπολαύσεις, ἀντιμετωπίζοντες μάλιστα μὲ χαρὰν καὶ εὐχαρίστησιν καὶ αὐτὸν ἀκόμη τὸν θάνατον, καὶ πολλάκις, ἐὰν ἦτο δυνατόν, νὰ ἀποθάνωμεν, χάριν τοῦ Κυρίου μας;

10. Πῶς λοιπὸν θὰ θελήσωμεν συγχρόνως νὰ βλασφημήσωμεν τὸν μόνον Θεὸν ἡμῶν, τὸν ὁποῖον τόσον ἀπολύτως καὶ παραφόρως ἀγαπῶμεν καὶ σεβόμεθα; Τὸ τοιοῦτον εἶναι ἀδύνατον καὶ καθ' ὁλοκληρίαν ἀπαράδεκτον. Ἡ αἰτία τοῦ πειρασμοῦ αὐτοῦ δὲν ὀφείλεται εἰς τὴν θέλησίν μας, ἀλλ' εἰς ἐνέργειαν τοῦ διαβόλου. Ἐὰν μὲ τὴν θέλησίν μας συνέβαινεν ὁ πειρασμὸς αὐτός, τότε θὰ ἐκφωνούσαμεν καὶ διὰ τοῦ στόματος ἡμῶν τὰ λόγια αὐτά, ποὺ σχηματίζονται εἰς τὰ βάθη τῆς ψυχῆς μας.

Τώρα ἡμεῖς ὅμως ὄχι μόνον δὲν τὰ ἐκφωνοῦμεν, ἀλλὰ θὰ προτιμούσαμεν καλλίτερα νὰ καῶμεν ζωντανοὶ εἰς τὴν φωτιάν, παρὰ νὰ ἐλέγαμεν τοιαύτας βλασφημίας.

11. Πρέπει νὰ σκεπτώμεθα καὶ τοῦτο· ὅτι δηλαδὴ κάθε ἁμαρτία

ἐξαρτᾶται ἀπὸ ἡμᾶς καὶ περιπίπτομεν μὲ τὴν θέλησίν μα· εἰς αὐτὴν ὑπακούοντες εἰς τὰ ἀνάλογα πάθη μας· διότι ἀνακινοῦμεν εἰς τὴν ψυχήν μας τὰ πάθη, ἀπὸ τὴν στιγμήν, ποὺ θὰ δώσωμεν προσοχήν, μὲ τὴν θέλησίν μας, εἰς τοὺς διαφόρους πονηροὺς λογισμούς. Μετὰ πλέον τὰ πάθη μᾶς παρασύρουν εἰς τὰς αἰσχρὰς καὶ ἁμαρτωλὰς πράξεις.

12. Δυνάμεθα δὲ μεταχειριζόμενοι τὴν συνεχῆ προσευχὴν καὶ τὰ διάφορα κατὰ τῆς κακίας φάρμακα ἐναντίον τῶν πονηρῶν αὐτῶν λογισμῶν, νὰ ἀντισταθῶμεν κατ' αὐτῶν καὶ νὰ τοὺς ἀποδιώξωμεν μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, ἐφ' ὅσον θὰ θελήσωμεν. Αὐτὸν ὅμως τὸν ἄθλιον λογισμὸν τῆς βλασφημίας, καίτοι μετὰ σφοδρότητος ἐπιθυμοῦμεν νὰ τὸν ἀποδιώξωμεν καὶ προσευχόμεθα δι' αὐτὸ πρὸς τὸν Θεόν, ὑποβαλλόμενοι συγχρόνως εἰς αὐστηρὰν ἄσκησιν καὶ κακουχίαν, ἐν τούτοις δὲν δυνάμεθα νὰ τὸν ἀποδιώξωμεν ἀπὸ ἡμᾶς. Καὶ ἐξ αὐτοῦ ἀκόμη ἀποδεικνύεται, ὅτι εἶναι τελείως ξένος πρὸς τὸν ψυχικόν μας κόσμον καὶ μᾶς ἐνοχλεῖ, παρὰ τὴν θέλησίν μας, ἀπὸ μόνην τὴν ἐνέργειαν τοῦ Σατανᾶ.

13. Εἴμεθα λοιπὸν τελείως ἀνεύθυνοι ἀπὸ πᾶσαν κατηγορίαν καὶ δὲν εἶναι δυνατὸν νὰ καταδικασθῶμεν ὑπὸ τοῦ Θεοῦ δι' αὐτό· διότι ὁ Θεὸς θὰ μᾶς ζητήσῃ λόγον μόνον διὰ τὰ πάθη καὶ τοὺς λογισμούς, ποὺ συμβαίνουν μὲ τὴν θέλησίν μας, καὶ τὰ ὁποῖα ἠδυνάμεθα νὰ ἐμποδίσωμεν καὶ δὲν ἠμποδίσαμεν· δὲν θὰ δώσωμεν ὅμως λόγον καὶ διὰ τοὺς λογισμούς, ποὺ μᾶς ἔρχονται χωρὶς τὴν θέλησίν μας.

14. Ὁ δαίμων, ἐπειδὴ εἶναι πνεῦμα, πλησιάζει, χωρὶς ἡμεῖς νὰ τὸ ἀντιληφθῶμεν, τὴν ἀσώματον ψυχήν μας, καί, παρὰ τὴν θέλησίν της, ψιθυρίζει εἰς αὐτὴν τὰ ἄθεα λόγια τῆς βλασφημίας. Ἔχει μάλιστα τὸ θράσος νὰ ἐνοχλῇ τὴν ψυχήν μας τὴν ὥραν, ποὺ κάμνομεν προσευχὴν ἢ μετανοίας καὶ παρακαλοῦμεν τὸν Θεὸν νὰ μᾶς βοηθήσῃ ἐναντίον του. Πολλὰς φορὰς δὲ ἀκόμη μᾶς ἐνοχλεῖ καὶ κατὰ τὴν ὥραν τῆς ἀκολουθίας εἰς τὸν Ναόν, ἀλλὰ καὶ κατ' αὐτὴν τὴν φρικτὴν στιγμὴν τῆς μεταλήψεως τῶν Τιμίων Δώρων. Εἰς αὐτὸ δὲ προβαίνει ὁ μιαρὸς δαίμων, διότι θέλει ὁπωσδήποτε νὰ μᾶς ἀπομακρύνῃ ἀπὸ τὸν Θεὸν καὶ νὰ μᾶς ἐμποδίσῃ νὰ ἐπικοινωνήσωμεν μὲ Αὐτόν, ὅπως ἐπίσης καὶ νὰ δεχθῶμεν εἰς τὴν ψυχήν μας τὴν Μετάληψιν, ποὺ φέρει ζωὴν εἰς τὸν ἄνθρωπον.

15. Ἡμεῖς λοιπόν, ἐφ' ὅσον ἐμάθαμεν πλέον τὴν ἀπάτην τοῦ πονηροῦ, ἂς μὴ ὑπολογίζωμεν καθόλου τὸν πειρασμὸν αὐτὸν τῆς βλασφημίας. Ὅταν δὲ ἀρχίζῃ ὁ δαίμων νὰ μᾶς ψιθυρίζῃ τὰ βλάσφημα αὐτὰ λόγια, ἡμεῖς ἂς τοῦ λέγωμεν· πονηρὲ καὶ ἀκάθαρτε δαῖμον, ματαίως κοπιάζεις· ὁ κόπος σου νὰ μὲ θλίψῃς, εἰς τὴν κεφαλήν σου θὰ γυρίσῃ καὶ ἡ βλασφημία, τὴν ὁποίαν μοῦ ἐμπνέεις, θὰ κατέβῃ ἐπάνω σου [1],

---

1) «Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται (Ψαλμ. ζ', 17).

διότι ἐγὼ προσκυνῶ τὸν Κύριον καὶ Θεόν μου καὶ Αὐτὸν μόνον θὰ λατρεύω, ἐφ' ὅσον ζῶ (1). Σύ, πονηρὲ δαῖμον, ἐξ αἰτίας τῆς βλασφημίας σου αὐτῆς, προετοιμάζεις διὰ τὸν ἑαυτόν σου σφοδροτέραν τὴν κόλασιν καὶ διότι εἶσαι ἐπαναστάτης ἐναντίον τοῦ Θεοῦ, ἀλλὰ καὶ διότι τολμᾶς ἀκόμη καὶ νὰ τὸν βλασφημῇς. Μόνον μὲ τὸν τρόπον αὐτόν, καὶ ὄχι μὲ κανέναν ἄλλον, θὰ ἠμπορέσῃ κανεὶς νὰ νικήσῃ τὸν δαίμονα τῆς βλασφημίας.

16. Ἐκτὸς τῶν ἄλλων λόγων, ποὺ ἀνεφέραμεν προηγουμένως, καὶ ἐκ τοῦ ἑξῆς προσθέτου ἐπιχειρήματος δυνάμεθα νὰ ἀντιληφθῶμεν, ὅτι δὲν ἐξαρτᾶται ἀπὸ τὴν θέλησίν μας ὁ λογισμὸς τῆς βλασφημίας, ἀλλ' ὀφείλεται ἐξ ὁλοκλήρου εἰς τὸν διάβολον· ὅλοι οἱ ἄλλοι λογισμοὶ καὶ τὰ πάθη, ἐφ' ὅσον ὁλοψύχως καὶ ἀπὸ καρδίας τὰ μισήσωμεν, παραμένουν ὀλίγον χρόνον καὶ μετὰ φυγαδεύονται· ἀντιθέτως ὁ λογισμὸς τῆς βλασφημίας, καίτοι τὸν μισοῦμεν καὶ τὸν ἀπεχθανόμεθα, ἐν τούτοις δὲν ἀπομακρύνεται ἀπὸ ἡμᾶς, ἀλλὰ παραμένει ἐπὶ πολὺ καὶ δὲν ἀναχωρεῖ. Ἀπὸ αὐτὴν λοιπὸν τὴν πείσμονα παραμονήν του ἀποδεικνύεται, ὅτι ὁ λογισμὸς αὐτὸς τῆς βλασφημίας εἶναι σατανικὴ ἐνέργεια καὶ ἐπήρεια καὶ δὲν ὀφείλεται εἰς τὴν θέλησίν μας. Πρὸς ἰσχυροτέραν δὲ ἀπόδειξιν ἂς ἀναφέρωμεν καὶ μίαν παλαιὰν χαρακτηριστικὴν ἱστορίαν.

17. Ὁ Φίλων ὁ ἱστορικὸς διηγεῖται τὴν ἑξῆς ἱστορίαν:

Ἕνας Μοναχὸς ἀπὸ τὴν σκήτην τῶν Πατέρων ἠνωχλεῖτο σφοδρῶς ἀπὸ ἕνα τοιοῦτον λογισμὸν βλασφημίας. Τὸν λογισμὸν λοιπὸν αὐτὸν ἐξωμολογήθη εἰς τὸν μακάριον Πέτρον, Ἐπίσκοπον Ἀλεξανδρείας καὶ Μάρτυρα. Ἀφοῦ ἤκουσε τὴν ἐξομολόγησιν τοῦ Μοναχοῦ, ἰδοὺ τί ἀπήντησεν ὁ Ἅγιος ἐκεῖνος Ἐπίσκοπος:

— Πήγαινε, τέκνον μου, καὶ φρόντισε διὰ τὰ ὑπόλοιπα ἁμαρτήματά σου· τὴν εὐθύνην καὶ τὴν ἐνοχὴν διὰ τὸν λογισμὸν αὐτὸν ἄφησέ την εἰς ἐμένα. Μὴ λησμονῇς—συνέχισεν ὁ Ἐπίσκοπος Πέτρος—ὅτι ἐκεῖνος ποὺ πιστεύει ὁλοψύχως εἰς τὸν Θεὸν καὶ τὸν προσκυνεῖ εἶναι τελείως ἀνεύθυνος ἀπὸ τὸν λογισμὸν αὐτόν. Ὁ λογισμὸς αὐτὸς εἶναι καθ' ὁλοκληρίαν διαβολικὴ ἐπήρεια καὶ πονηρὰ ἐφεύρεσις τοῦ Σατανᾶ, θέλοντος δι' αὐτοῦ τοῦ τρόπου νὰ μᾶς ἐμποδίσῃ ἀπὸ τὴν ἐναντίον του πάλην καὶ νὰ μᾶς ἀποσπάσῃ ἀπὸ τὴν διαρκῆ σκέψιν καὶ ἐπικοινωνίαν μὲ τὸν Θεόν. Καί, ἐὰν θέλῃς, θὰ σοῦ διηγηθῶ μίαν προσωπικήν μου περίπτωσιν, τί ἔπαθα καὶ τί ἐδιδάχθην, διὰ νὰ βεβαιωθῇς καὶ σὺ περὶ τούτου.

18. Κάποτε καὶ ἐγὼ ἠνωχλήθην σφοδρῶς ὑπὸ ἑνὸς τοιούτου λογισμοῦ βλασφημίας. Τὸν ἐξωμολογήθην λοιπὸν εἰς τὸν θεράποντα τοῦ Θεοῦ Παφνούτιον. Τότε ἐκεῖνος μοῦ εἶπε τὰ ἑξῆς:

—Ὅταν εἶχον συλληφθῆ ὡς Χριστιανὸς καὶ μὲ ὡδήγησαν εἰς

1) «Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ, γέγραπται γάρ, Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις» (Ματθ. δ', 10).

τὸ δικαστήριον, διὰ νὰ μὲ δικάσουν διὰ τὴν ὁμολογίαν μου, εἰς αὐτὴν τὴν φοβερὰν στιγμήν, ὅπου οἱ δήμιοι ἐβασάνιζαν μὲ φοβερὰ βασανιστήρια τὸ σῶμα μου καὶ μὲ κατέκαιον μὲ φωτιάν, τὴν στιγμὴν αὐτὴν ὁ δαίμων ἐψιθύριζε μέσα εἰς τὴν ψυχήν μου βλασφημίας!

19. Αὐτὸν λοιπὸν τὸν δαίμονα ἐπιτιμῶν μὲ θυμὸν καὶ ταρασσόμενος ἀπὸ ἀγανάκτησιν τοῦ ἔλεγον: «Ὦ πονηρὲ καὶ δημιουργὲ πάσης κακίας, ὁλόκληρος ἔχω δοθῆ εἰς παντοειδῆ βασανιστήρια καὶ φρικτοὺς θανάτους, διὰ νὰ μὴ ἀρνηθῶ τὸν Κύριόν μου ἢ διὰ νὰ μὴ βλασφημήσω καὶ σὺ ψιθυρίζεις μέσα εἰς τὴν ψυχήν μου λογισμοὺς βλασφημίας; Ἐὰν εἶχον πρόθεσιν νὰ βλασφημήσω τὸν Θεόν μου, τότε διατί χύνω τὸ αἷμα μου δι᾿ Αὐτὸν καὶ πληγώνεται ἀπὸ τὰ βασανιστήρια τὸ σῶμα μου; Ὁμολογῶ τὸν Θεόν μου καὶ ἐνώπιον ὅλων τὸν προσκυνῶ· εἶναι λοιπὸν ὁλοφάνερον, ὅτι ἡ μὲν καλὴ ὁμολογία καὶ τὸ μαρτύριον χάριν τοῦ Θεοῦ εἶναι τῆς θελήσεώς μου· ἡ δὲ κατὰ τοῦ Θεοῦ βλασφημία εἶναι ἐνέργεια ἰδική σου καὶ ὡς τοιαύτη εἰς σὲ πάλιν γυρίζει».

Αὐτὴ ἦτο ἡ διήγησις καὶ συμβουλὴ τοῦ μακαρίου Πέτρου πρὸς τὸν Ἀσκητήν.

20. Καὶ διὰ τὸν Ὅσιον Παμβὼ ἔμαθον ἐπίσης τὸ ἑξῆς: Κάποτε καὶ αὐτὸς ἠνωχλήθη ὑπὸ λογισμοῦ βλασφημίας. Ὅταν δὲ παρεκάλει τὸν Θεὸν νὰ τὸν ἀπαλλάξῃ ἀπὸ τὴν ἐνόχλησιν αὐτήν, ἤκουσεν ἀπὸ τὸν οὐρανὸν μίαν φωνὴν ποὺ τοῦ ἔλεγε· «Παμβώ, Παμβώ, μὴ στενοχωρεῖσαι διὰ ξένην ἁμαρτίαν, ἀλλὰ μόνον νὰ φροντίζῃς διὰ τὰς πράξεις σου· τὰς βλασφημίας, ποὺ ἐμπνέει ὁ πονηρός, ἄφησέ τας ἐπάνω του».

21. Καὶ ἡμεῖς λοιπόν, ἀδελφοί, ἂς περιφρονήσωμεν τὸν λογισμὸν αὐτόν, ὡς ἀνήκοντα εἰς τὸν Σατανᾶν καὶ τελείως ξένον πρὸς τὴν θέλησίν μας. Τοιουτοτρόπως περιφρονοῦντες τὸν λογισμὸν αὐτόν, θὰ δυνηθῶμεν, μὲ τὴν χάριν τοῦ Θεοῦ, νὰ ἀπαλλαγῶμεν ἀπὸ αὐτόν. Δὲν ὑπάρχει ἄλλος τρόπος νὰ ἠμπορέσωμεν νὰ καταβάλωμεν τὸν λογισμὸν αὐτόν. Τὰ ἄλλα πάθη καὶ οἱ πόλεμοι, ποὺ σηκώνουν εἰς τὸν ἄνθρωπον οἱ λογισμοί, παραμένουν ἀρκετὸν εἰς τὴν ψυχήν μας, καὶ ἀπαιτεῖται κατάλληλος χρόνος καὶ ὑλικὰ μέσα διὰ τὴν τυχὸν πραγματοποίησίν των, ὡς ἐκ τούτου δίδεται ὁ χρόνος εἰς τὸν ἄνθρωπον νὰ τὰ ἀντιπολεμήσῃ καὶ νὰ ἐμποδίσῃ τὴν ἀνάπτυξίν των.

22. Οἱ λογισμοὶ ὅμως τῆς βλασφημίας παρουσιάζονται εἰς τὴν ψυχὴν μὲ τὴν φευγαλεότητα τῆς ἀστραπῆς, τὴν ταχύτητα τοῦ βέλους ποὺ πετᾷ, τὴν συντομίαν τοῦ ἀνοιγοκλεισίματος τοῦ ὀφθαλμοῦ· τόσον γρήγορα καὶ ἔντονα περνοῦν ἀπὸ τὴν ψυχήν. Δὲν ὑπάρχει δὲ τρόπος νὰ τοὺς καθηλώσῃ κανεὶς ἢ νὰ τοὺς ἀντιπολεμήσῃ. Λόγῳ δὲ ἀκριβῶς τῆς ταχύτητος μὲ τὴν ὁποίαν διέρχεται ἀπὸ τὴν ψυχὴν ὁ λογισμὸς αὐτὸς εἶναι ἀδύνατον νὰ προλάβῃ τὸ πνεῦμα νὰ τὸν ἐμποδίσῃ καὶ νὰ κλείσῃ τὸ στόμα τοῦ ἀσωμάτου δαίμονος.

γ'. Τοῦ Ἁγίου Μαξίμου

ΟΤΑΝ ἄρξηται ὁ νοῦς εἰς τὴν ἀγάπην τοῦ Θεοῦ προκόπτειν, τότε καὶ ὁ δαίμων τῆς βλασφημίας ἄρχεται ἐκπειράζειν αὐτόν· καὶ τοιούτους αὐτῷ λογισμοὺς ὑποβάλλει, οἵους ἀνθρώπων μὲν οὐδείς, μόνος δὲ ὁ τούτου πατὴρ διάβολος ἐφευρίσκει· τοῦτο δὲ ποιεῖ, φθονῶν τῷ θεοφιλεῖ, ἵνα εἰς ἀπόγνωσιν ἐλθὼν ὡς τοιαῦτα διανοηθείς, μηκέτι τολμήσῃ διὰ τῆς συνήθους προσευχῆς πρὸς Αὐτὸν ἀναπτῆναι.

2. Οὐδὲν δὲ ἐντεῦθεν ὠφελεῖται ὁ ἀλάστωρ πρὸς τὸν ἴδιον σκοπόν, ἀλλὰ καὶ μάλιστα βεβαιοτέρους ἡμᾶς ἀπεργάζεται· πολεμούμενοι γὰρ καὶ ἀντιπολεμοῦντες, δοκιμώτεροι καὶ γνησιώτεροι εἰς τὴν ἀγάπην τοῦ Θεοῦ εὑρισκόμεθα, ἡ δὲ ῥομφαία αὐτοῦ εἰσέλθοι εἰς τὴν καρδίαν αὐτοῦ, καὶ τὰ τόξα αὐτοῦ συντριβείη.

Ἑρμηνεία

ΟΤΑΝ ὁ νοῦς τοῦ ἀνθρώπου ἀρχίζῃ νὰ προοδεύῃ πνευματικῶς καὶ νὰ διαφλέγεται ἀπὸ ἀγάπην πρὸς τὸν Θεόν, τότε καὶ ὁ δαίμων τῆς βλασφημίας ἀρχίζει νὰ πειράζῃ τὸν ἄνθρωπον. Καὶ τόσον φρικτοὺς λογισμοὺς τοῦ ἐμπνέει, ποὺ εἶναι ἀδύνατον νὰ τοὺς φαντασθῇ ἄνθρωπος, πάρα μόνον ὁ ἐμπνευστὴς τῆς βλασφημίας διάβολος, ποὺ τοὺς ἐφευρίσκει. Αὐτὸ δὲ τὸ κάμνει, διότι φθονεῖ τὸν ἄνθρωπον, ποὺ ἀγαπᾷ τὸν Θεόν· διὰ νὰ τὸν φέρῃ εἰς ἀπόγνωσιν, ἐπειδὴ ἐσκέφθη τοιαύτας βλασφημίας, καὶ νὰ μὴ τολμήσῃ πλέον νὰ ἀναπτερώσῃ τὸν νοῦν του πρὸς τὸν Θεὸν διὰ τῆς συνήθους προσευχῆς.

2. Τίποτε ὅμως δὲν κερδίζει ἀπὸ τὴν δολίαν αὐτὴν ἐνέργειαν ὁ ἄθλιος διὰ τὸν σκοπόν του· ἀπ' ἐναντίας μᾶς καθιστᾷ περισσότερον σταθεροὺς εἰς τὴν ἄσκησιν. Διότι, ὅταν πολεμούμεθα καὶ ἀντιπολεμῶμεν τὸν διάβολον, ἀναδεικνυόμεθα περισσότερον ἱκανοὶ καὶ γνήσιοι εἰς τὴν ἀγάπην τοῦ Θεοῦ· εἴθε δὲ ἡ ῥομφαία Αὐτοῦ νὰ εἰσέλθῃ εἰς τὴν καρδίαν τοῦ διαβόλου καὶ ἡ δύναμις τοῦ Θεοῦ νὰ συντρίψῃ τὰ τόξα του.



ὙΠΟΘΕΣΙΣ ΛΑ΄

Ὅτι μεγίστη ἐν ἀρεταῖς ἡ διάκρισις καὶ δεῖ τὸν πιστὸν μετ᾿ αὐτῆς ποιεῖν ἃ ποιεῖ· τὰ γὰρ ἀδιακρίτως καὶ ἀσκόπως γινόμενα, κἂν καλὰ ὦσιν, οὐδὲν ὠφελοῦσι, ποτὲ δὲ καὶ βλάπτουσιν.

Μεταξὺ τῶν ἀρετῶν μεγαλυτέρα εἶναι ἡ διάκρισις· ὁ πιστὸς πρέπει νὰ ἐνεργῇ, ὅσα πράττει, μὲ διάκρισιν. Διότι ὅσα γίνονται ἀσκόπως καὶ χωρὶς διάκρισιν, καὶ ἐὰν ἀκόμη εἶναι καλά, δὲν ὠφελοῦν, κάποτε δὲ καὶ βλάπτουν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀντώνιος, ὅτι εἰσί τινες κατατρίψαντες τὰ σώματα αὐτῶν ἐν τῇ ἀσκήσει, καὶ διὰ τὸ μὴ ἐσχηκέναι αὐτοὺς διάκρισιν, μακρὰν ἀπὸ τοῦ Θεοῦ γεγόνασιν.

2. Εἶπεν ὁ Ἀββᾶς Ἀμμωνᾶς, ὅτι ποιεῖ ὁ ἄνθρωπος ὅλον τὸν χρόνον αὐτοῦ βαστάζων ἀξίνην, καὶ οὐχ εὑρίσκει κατενεγκεῖν τὸ δένδρον· ἔστι δὲ ἄλλος ἔμπειρος τοῦ κόπτειν, καὶ δι᾿ ὀλίγου καταφέρει τὸ δένδρον· ἔλεγε δὲ τοῦτον εἶναι τὸν ἔχοντα τὴν διάκρισιν.

3. Ἠρωτήθη Γέρων· τί ἐστι τὸ ἔργον τοῦ Μοναχοῦ; Καὶ ἀπεκρίθη· ἡ διάκρισις.

4. Ὁ αὐτὸς εἶπεν, ὅτι μείζων πασῶν τῶν ἀρετῶν ἐστιν ἡ διάκρισις.

5. Εἶπε Γέρων· νοῦν μὲν πλανώμενον ἵστησιν ἀνάγνωσις καὶ ἀγρυπνία καὶ προσευχή· ἐπιθυμίαν δὲ φλεγομένην, μαραίνει πεῖνα καὶ κόπος καὶ ἀναχώρησις· θυμὸν ταρασσόμενον, καταπαύει ψαλμῳδία καὶ μακροθυμία καὶ ἔλεος, καὶ ταῦτα τοῖς προσήκουσι χρόνοις τε καὶ μέτροις γινόμενα· τὰ γὰρ ἄκαιρα καὶ ἄμετρα, ὀλιγοχρόνια· τὰ δὲ ὀλιγοχρόνια, βλαβερὰ μᾶλλον καὶ οὐκ ὠφέλιμα.

6. Ἠρώτησεν ὁ Ἀββᾶς Λογγῖνος τὸν Ἀββᾶν Λούκιον λέγων· θέλω ξενιτεῦσαι. Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· ἐὰν μὴ κρατήσῃς τῆς γλώσσης σου, οὐκ εἶ ξένος ὅπου ἐὰν ἀπέλθῃς· καὶ ὧδε οὖν κράτησον τῆς γλώσσης σου καὶ ξένος εἶ. Λέγει αὐτῷ πάλιν, θέλω νηστεῦσαι. Ἔφη ὁ Γέρων· εἶπεν Ἡσαΐας ὁ Προφήτης, ἐὰν κάμψῃς ὡσεὶ κρίκον τὸν τράχηλόν σου, οὐδ᾿ οὕτως κληθήσεται νηστεία δεκτή, ἀλλὰ μᾶλλον κράτησον τῶν πονηρῶν λογισμῶν· λέγει αὐτῷ τὸ τρίτον· θέλω φυγεῖν τοὺς ἀνθρώπους. Ἀπεκρίθη ὁ Γέρων· ἐὰν μὴ πρότερον κατορθώσῃς μετὰ τῶν ἀνθρώπων, οὐδὲ κατὰ μόνας δύνασαι κατορθῶσαι.

7. Εἶπε Γέρων· μὴ πρότερον ποίει τι, πρὶν ἐξετάσῃς τὴν καρδίαν σου, εἰ κατὰ Θεὸν γίνεται ὃ μέλλεις ποιεῖν.

8. Εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος· ὁ τύπτων τὸ μαξὶν τοῦ σιδήρου, πρῶτον σκοπεῖ ἐν ἑαυτῷ τί μέλλει ποιεῖν; δρέπανον ἢ μάχαιραν ἢ πέλεκυν, καὶ πρὸς ὅ τυπώσει, ἐργάζεται. Οὕτω καὶ ἡμεῖς ὀφείλομεν λογίζεσθαι ποίαν ἀρετὴν μετερχόμεθα, ἵνα μὴ εἰς κενὸν κοπιῶμεν.

9. Εἶπε Γέρων, ὅτι τὰ ὑπέρμετρα πάντα τῶν δαιμόνων εἰσίν.

10. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· τὸ μὴ προορᾶν τὰ πράγματα ἡμᾶς, οὐκ ἐᾷ ἡμᾶς εἰς τὰ βέλτιστα προκόψαι.

11. Εἶπε Γέρων· οὐδέποτε προέβην ποδὸς βῆμα, εἰ μὴ πρότερον ἔμαθον ποῦ ἔθηκα τὸν πόδα μου· ἀλλ' εἱστήκειν κατανοῶν καὶ ὅλως μὴ ἐνδιδούς, ἄχρις ἂν με ὁ Θεὸς ὁδηγήσῃ.

12. Εἶπε πάλιν· ἀπὸ μικροῦ ἕως μεγάλου ὧν πράττω, ἐννοῶ πρότερον καὶ ἀποβλέπω εἰς τὸν καρπὸν αὐτοῦ τί τέξεται, εἴτε ἐν τοῖς λογισμοῖς, εἴτε ἐν ταῖς πράξεσιν.

13. Ἔλεγον οἱ Γέροντες, ὅτι ὥσπερ τὸ πῦρ καίει τὰ ξύλα, οὕτω τὸ ἔργον τοῦ Μοναχοῦ ὀφείλει καίειν τὰ πάθη.

14. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Νισθερῶ τὸν μέγαν, λέγων· ποῖον καλὸν πρᾶγμα ἐστὶν ἵνα ποιήσω καὶ ζήσωμαι ἐν αὐτῷ; ἀπεκρίθη ὁ Γέρων· οὐ πᾶσαι αἱ ἐργασίαι πᾶσιν ὁμοίως συνέρχονται· λέγει γὰρ ἡ Γραφή, ὅτι ὁ Ἀβραὰμ φιλόξενος ἦν καὶ ὁ Θεὸς ἦν μετ' αὐτοῦ· καὶ Ἠλίας ἠγάπα τὴν ἡσυχίαν, καὶ ὁ Θεὸς ἦν μετ' αὐτοῦ, καὶ ὁ Δαβὶδ ταπεινὸς ἦν, καὶ Θεὸς ἦν μετ' αὐτοῦ· ὃ οὖν θεωρεῖς τὴν ψυχήν σου θέλουσαν κατὰ Θεόν, καὶ ἐπιτηδειοτέρως εἰς αὐτὸ ἔχεις, τοῦτο ἑλοῦ καὶ ποίει, τηρῶν τὴν καρδίαν σου, καὶ σωθήσῃ.

15. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· εἰπέ μοι ῥῆμα πῶς σωθῶ; ὁ δὲ ἔφη· σπουδάσωμεν ἐργάσασθαι κατὰ μικρόν, καὶ ζησόμεθα.

16. Ἔλεγεν ὁ Ἀββᾶς Σισώης· θέλω ἐργασίαν ἐλαφρὰν καὶ ἐμμένουσαν, ἢ ἐπίπονον ἐξ ἀρχῆς, καὶ ταχέως ἐκκοπτομένην.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΑΝΤΩΝΙΟΣ εἶπεν, ὅτι ὑπάρχουν μερικοὶ Ἀσκηταί, οἱ ὁποῖοι κυριολεκτικῶς κατέστρεψαν τὰ σώματά των εἰς τὴν ἄσκησιν· ἐπειδὴ ὅμως δὲν εἶχον διάκρισιν, παρέμειναν μακρὰν τοῦ Θεοῦ.

2. Ὁ Ἀββᾶς Ἀμμωνᾶς εἶπεν, ὅτι ἕνας ἄνθρωπος περιέρχεται ὅλον τὸν χρόνον ἀσκόπως βαστάζων μίαν ἀξίνην, χωρὶς νὰ εὑρίσκῃ τὸ δένδρον, ποὺ θὰ κτυπήσῃ διὰ νὰ τὸ κόψῃ· ἄλλος πάλιν, ἐμπειρότερος εἰς τὴν κοπὴν τῶν δένδρων, ἐντὸς ὀλίγου κόπτει τὸ δένδρον. Αὐτὸς ποὺ κόπτει ἀμέσως τὸ δένδρον, εἶναι αὐτός, ποὺ ἔχει διάκρισιν.

3. Ἕνας Γέρων ἠρωτήθη· ποῖον εἶναι τὸ ἔργον τοῦ Μοναχοῦ; Ἡ διάκρισις, ἀπήντησεν ἐκεῖνος!

4. Ὁ ἴδιος γέρων Ἀσκητὴς ἔλεγεν, ὅτι μεταξὺ τῶν ἀρετῶν μεγαλυτέρα εἶναι ἡ διάκρισις.

5. Ἕνας γέρων Ἀσκητὴς ἔλεγε· τὸν νοῦν, ὅταν περιπλανᾶται ἀσκόπως, τὸν ἐπαναφέρει καὶ τὸν συγκρατεῖ ἡ ἀνάγνωσις, ἡ ἀγρυπνία καὶ ἡ προσευχή· ὅταν ἡ φιλήδονος ἐπιθυμία φλογίζῃ τὴν καρδίαν, εἶναι εὔκολον νὰ τὴν μαράνῃ κανεὶς μὲ πεῖναν, μὲ ταλαιπωρίαν καὶ μὲ τὴν ἀναχώρησιν εἰς ἐρημικοὺς τόπους· ὅταν ὁ θυμὸς ταράσσῃ τὸν ἐσωτερικόν μας κόσμον, εὐκόλως καταστέλλεται μὲ τὴν ψαλμῳδίαν, τὴν μακροθυμίαν καὶ τὴν εὐσπλαγχνίαν· αὐτὰ βεβαίως τὰ ἀντίδοτα τῶν παθῶν. ὠφελοῦν τότε μόνον, ὅταν ἐκτελοῦνται εἰς τὸν καιρόν, ποὺ πρέπει καὶ μὲ τὴν ἐπιβαλλομένην συμμετρίαν. Καὶ τοῦτο, διότι ὅσα πραγματοποιοῦνται μὲ ὑπερβολὴν καὶ χωρὶς νὰ τὸ καλῇ ἡ ἀνάγκη τῆς στιγμῆς, ὀλίγον μόνον χρόνον διαρκοῦν. Ἐκεῖνα πάλιν ποὺ διαρκοῦν ὀλίγον μόνον χρόνον, ὄχι μόνον δὲν ὠφελοῦν, ἀλλὰ συνήθως βλάπτουν (1).

6. Μεταξὺ τοῦ Ἀββᾶ Λογγίνου καὶ τοῦ Ἀββᾶ Λουκίου διημείφθη κάποτε ὁ ἑξῆς διάλογος:

Λογγῖνος: Θέλω νὰ φύγω, νὰ ἀναχωρήσω εἰς ξένον μέρος, νὰ εἶμαι ἄγνωστος.

Λούκιος: Ἐὰν δὲν συγκρατήσῃς τὴν γλῶσσαν σου, πουθενὰ δὲν θὰ ἠμπορέσῃς νὰ παραμείνῃς ξένος· ἀπ' ἐναντίας καὶ εἰς τὸν τόπον αὐτόν, ποὺ εἶσαι γνωστός, ἐὰν συγκρατήσῃς τὴν γλῶσσαν σου, θὰ εἶσαι ὡς ξένος μεταξὺ ἀγνώστων.

Λογγῖνος: Θέλω νὰ νηστεύσω αὐστηρῶς.

Λούκιος: Μὴ λησμονῇς αὐτὸ ποὺ εἶπεν ὁ Προφήτης Ἡσαΐας· ὅτι δηλαδὴ ἐὰν δυνηθῇς μὲ τὴν νηστείαν νὰ στραβώσῃς τὸν τράχηλόν σου καὶ νὰ τὸν κάμῃς ὡσὰν τὸν κρίκον τῆς ἁλυσίδος, πάλιν δὲν πρέπει νὰ νομίζῃς ὅτι ἡ νηστεία σου εἶναι ἀξιόλογος καὶ εὐπρόσδεκτος ἀπὸ τὸν Θεόν, ἐφ' ὅσον δὲν κατορθώσῃς νὰ συγκρατήσῃς τοὺς πονηροὺς λογισμούς, ὥστε νὰ μὴ σὲ ἐνοχλοῦν.

Λογγῖνος: Θέλω νὰ φύγω ἀπὸ τοὺς ἀνθρώπους, νὰ ζῶ μόνος.

Λούκιος: Ἐὰν δὲν κατορθώσῃς ἐνωρίτερον νὰ ζῇς εἰρηνικὰ μὲ τοὺς ἀνθρώπους, ποτὲ δὲν θὰ ἠμπορέσῃς νὰ ζήσῃς μόνος σου χωρὶς πειρασμούς.

7. Ἕνας γέρων Ἀσκητὴς εἶπε· τίποτε νὰ μὴ κάμῃς, ἐὰν προηγουμένως δὲν ἐξετάσῃς μετὰ προσοχῆς εἰς τὴν καρδίαν σου αὐτὸ ποὺ πρόκειται νὰ κάμῃς, διὰ νὰ βεβαιωθῇς, ὅτι εἶναι κατὰ Θεόν.

8. Ὁ Ἀββᾶς Ἀντώνιος ἔλεγεν εἰς τοὺς μαθητάς του· ἐκεῖνος, ποὺ

---

1) Τὸ νόημα τῆς πολυτίμου αὐτῆς συμβουλῆς τοῦ ἀγνώστου Ἀσκητοῦ εἶναι ἡ ἀνάγκη τοῦ μέτρου εἰς ὅλας τὰς ἐκδηλώσεις τοῦ ἀσκητικοῦ βίου. Τὸ μέτρον αὐτό, ἐν συνδυασμῷ μὲ τὴν ἀνάγκην τῆς στιγμῆς, συνιστᾷ τὴν ἀρετὴν τῆς διακρίσεως· τὴν ἀρετὴν αὐτὴν θὰ ἠδυνάμεθα νὰ διατυπώσωμεν μὲ τὴν φράσιν· ὅπως πρέπῃ, ὅσον πρέπει καὶ ὅταν πρέπῃ.

ἐπεξεργάζεται μικρὰν μᾶζαν μετάλλου, διὰ νὰ κατασκευάσῃ ἕνα σιδηροῦν ἐργαλεῖον, προηγουμένως σκέπτεται μετὰ προσοχῆς τί πρόκειται νὰ κατασκευάσῃ· δρεπάνι, ἢ μαχαίρι, ἢ πέλεκυν; Ἀναλόγως δὲ τῆς ἀποφάσεώς του κατασκευάζει τὸ καλούπι καὶ ἐργάζεται μὲ συγκεκριμένον σχέδιον.

Τοιουτοτρόπως καὶ ἡμεῖς, διὰ νὰ μὴ κουραζώμεθα ἀσκόπως, πρέπει νὰ σκεπτώμεθα ποίαν ἀρετὴν πρόκειται νὰ πραγματοποιήσωμεν, ὥστε ἀναλόγως καὶ μετὰ σκοποῦ νὰ ἀγωνιζώμεθα.

9. Ἕνας γέρων Ἀσκητὴς ἔλεγεν· Ὅσα γίνονται χωρὶς μέτρον καὶ διάκρισιν εἶναι ὑπερβολαί. Ὅλαι δὲ αἱ ὑπερβολαὶ εἶναι σατανικαί.

10. Ὁ Ἀββᾶς Ποιμὴν ἔλεγεν· ἐφ' ὅσον δὲν ἐξετάζομεν μετὰ προσοχῆς ἐκ τῶν προτέρων ἐκεῖνα, μὲ τὰ ὁποῖα θὰ ἀσχοληθῶμεν, οὐδέποτε θὰ ἠμπορέσωμεν νὰ προοδεύσωμεν εἰς τὰ καλλίτερα.

11. Ἕνας γέρων Ἀσκητὴς ἔλεγε. Ποτὲ δὲν ἐκίνησα τὸ πόδι μου, ἔστω καὶ κατὰ ἕνα βῆμα, ἐὰν δὲν ἐγνώριζα ἐκ τῶν προτέρων ποῦ θὰ τὸ ἐτοποθέτουν. Ἐστεκόμουν σκεπτόμενος βαθέως καὶ δὲν ἀπεφάσιζα τίποτε, ἐὰν δὲν μὲ ὡδήγει ὁ Θεός.

12. Ὁ ἴδιος Γέρων εἶπε πάλιν· ὅσα πράττω, εἴτε εἶναι μικρά, εἴτε μεγάλα, τὰ σκέπτομαι καλῶς ἐκ τῶν προτέρων καὶ ἐξετάζω μετὰ προσοχῆς, πρὶν τὰ ἐκτελέσω, ποῖον καρπὸν θὰ ἀποφέρουν ὄχι μόνον εἰς ἔργα, ἀλλὰ καὶ εἰς λογισμούς.

13. Οἱ γέροντες Ἀσκηταὶ ἔλεγον· ὅπως ἡ φωτιὰ καίει τὰ ξύλα, τοιουτοτρόπως καὶ τὸ ἔργον τοῦ Μοναχοῦ πρέπει νὰ κατακαίῃ τὰ πάθη.

14. Μεταξὺ ἑνὸς ἀδελφοῦ καὶ τοῦ μεγάλου Ἀββᾶ Νισθερῶ ἐγένετο ὁ ἑξῆς διάλογος:

Ἀδελφός: Ποία εἶναι ἡ καλὴ πρᾶξις, τὴν ὁποίαν πρέπει νὰ ἐκτελέσω, διὰ νὰ ζήσω, χάριν αὐτῆς, εἰς τὴν αἰωνιότητα;

Ἀββᾶς Νισθερῶ: Δὲν ὑπάρχουν ὡρισμέναι πράξεις δι' αὐτὸ ποὺ ζητεῖς, διότι ὅλαι αἱ πνευματικαὶ ἐργασίαι δὲν προσαρμόζονται, κατὰ τὸν ἴδιον τρόπον, μὲ ὅλους τοὺς χαρακτῆρας. Τὴν ἀλήθειαν αὐτὴν τὴν βλέπομεν στηριζομένην ἐπὶ τῆς Ἁγίας Γραφῆς· ὁ Ἀβραάμ, π.χ., ἦτο φιλόξενος καὶ ὁ Θεὸς ἐπανεπαύετο εἰς αὐτόν. Ἀλλὰ καὶ εἰς τὸν Προφήτην Ἠλίαν ἐπανεπαύετο, ὁ ὁποῖος ἠγάπα τὴν ἡσυχίαν. Ὁ Δαβὶδ ἦτο ταπεινὸς καὶ ὁ Θεὸς ἦτο μαζί του.

Αὐτὸ λοιπόν, ποὺ βλέπεις, ὅτι προτιμᾷ, ἡ ψυχή σου καὶ εἶναι κατὰ Θεόν, συγχρόνως δὲ αἰσθάνεσαι τὸν ἑαυτόν σου ἱκανὸν νὰ τὸ ἐκτελέσῃ, αὐτὸ νὰ προτιμήσῃς, διὰ νὰ πράξῃς. Ἐφ' ὅσον δὲ διατηρήσῃς

τὴν καρδίαν σου ἐλευθέραν ἀπὸ πονηροὺς λογισμοὺς καὶ ἀθεμίτους ἐπιθυμίας, ἀσφαλῶς θὰ σωθῆς.

15. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα: Εἰπέ μου, πῶς νὰ σωθῶ;
Ὁ Γέρων ἀπήντησεν: Ἂς φροντίσωμεν νὰ ἐργαζώμεθα τὸ ἀγαθὸν καὶ τὴν ἀρετὴν ὀλίγον κατ' ὀλίγον καὶ θὰ ζήσωμεν τὴν πνευματικὴν ζωήν, διὰ τῆς ὁποίας θὰ σωθῶμεν.

16. Ὁ Ἀββᾶς Σισώης ἔλεγε· προτιμῶ ἐργασίαν ἐλαφράν, ἡ ὁποία θὰ διατηρῆται, παρὰ εὐθὺς ἐξ ἀρχῆς κοπιαστικήν, διὰ τὴν ὁποίαν ὅμως γρήγορα θὰ καταπέσῃ ὁ ζῆλος, καὶ θὰ παραμείνῃ ἡμιτελής.

Β'. Τοῦ Ἀββᾶ Μάρκου

ΜΗΔΕΝ λογίζου ἢ πράττε ἄνευ σκοποῦ τοῦ κατὰ Θεόν· ὁ γὰρ ἀσκόπως ὁδοιπορῶν, ματαιοπονήσει. Ὅταν ὁ νοῦς τοῦ κατὰ Θεὸν σκοποῦ ἐπιλάθηται, τότε τὸ προφανὲς ἔργον τῆς ἀρετῆς ἀνόνητον γίνεται.

Ἑρμηνεία

ΤΙΠΟΤΕ νὰ μὴ σκέπτεσαι ἢ νὰ πράττῃς χωρὶς σκοπόν, σύμφωνον μὲ τὸ θέλημα τοῦ Θεοῦ· διότι ἐκεῖνος ὁ ὁποῖος βαδίζει εἰς τὴν ζωήν του χωρὶς σκοπόν, ἀσφαλῶς θὰ ματαιοπονήσῃ.

Ὅταν ὁ νοῦς λησμονήσῃ τὸν κατὰ Θεὸν σκοπὸν τῶν πράξεων, τότε καὶ αὐτὸ ἀκόμη τὸ ὁλοφάνερον ἔργον τῆς ἀρετῆς οὐδεμίαν ὠφέλειαν ἐπιφέρει.

Γ'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΟΤΕ ἐν τῇ ἐρήμῳ τῆς Σκήτεως, ὅπου τῶν Μοναχῶν οἱ δοκιμώτατοι, παρεγενόμεθα, ἐγώ τε καὶ ὁ Ἅγιος Γερμανὸς ὁ φίλος μου, καὶ ἐθεασάμεθα τὸν Ἀββᾶν Μωϋσῆν, ἄνδρα Ἅγιον καὶ πνευματοφόρον, ὃν παρεκαλοῦμεν μετὰ δακρύων εἰπεῖν ἡμῖν λόγον οἰκοδομῆς, δι' οὗ δυνησόμεθα ἐπιβῆναι τῆς τελειότητος, καὶ παρακληθεὶς πολλὰ ὁ Γέρων εἶπεν οὕτως.

2. Τέκνα, πᾶσαι αἱ τέχναι καὶ τὰ ἐπιτηδεύματα σκοπόν τινα τῶν ἔργων προηγούμενον ἔχουσι, πρὸς ὅν περ ἀφορῶντες οἱ ἄνθρωποι τὰ οἰκεῖα ἔργα ῥυθμίζουσι, καὶ οὕτω τοῦ ζητουμένου τέλους ἐπιτυγχάνουσιν· οἷον, ὁ γεωργός, ποτὲ μὲν τοῦ ἡλίου τὴν φλόγα, ποτὲ δὲ τὸ δριμὺ τοῦ ψύχους ὑπομένων, προθύμως τὴν γῆν ἐργάζεται, σκοπὸν ἔχων καθαρὰν ταύτην βοτανῶν καὶ ἀκανθῶν ἀποδεῖξαι, τέλος δὲ τὴν ἐκ τῶν καρπῶν ἀπόλαυσιν.

3. Καὶ ὁ στρατευόμενος δέ, οὔτε τοὺς ἐκ τῶν πολέμων κινδύνους, οὔτε τὰς ἐκ τῆς ξενητείας ταλαιπωρίας ὑφορᾶται, ἀλλὰ προθύμως ὑφίσταται, σκοπὸν ἔχων ἀνδραγαθῆσαι· τέλος δέ, τὸ ἐπὶ τῇ ἀνδραγαθίᾳ ἀξίωμα, καὶ τὴν ἐκ τούτου τιμήν, καὶ τὸ κέρδος· καὶ ἁπλῶς εἰπεῖν πάντες οἱ τέχνην τινὰ ἢ ἐπιτήδευμα μετερχόμενοι, ἔχουσι πάντως σκοπόν τινα προηγούμενον, πρὸς ὃν ἃ πράττουσιν ἀπευθύνουσιν, ἕως εἰς τέλος ὃ προέθεντο καταντήσωσι.

4. Καὶ τῆς ἡμετέρας τοίνυν ἐπαγγελίας σκοπὸς μέν ἐστιν ἡ καθαρότης τῆς καρδίας, τέλος δέ, ἡ Βασιλεία τῶν οὐρανῶν· ἀδύνατον οὖν ἄνευ καθαρότητος καρδίας τὴν Βασιλείαν τοῦ Θεοῦ ἐλθεῖν ἐφ' ἡμᾶς· ἐν τούτῳ τοίνυν τῷ σκοπῷ πάν-


Ο ΑΓΙΟC
ΜΩΫCΗC
Ο ΑΙΘΙΟΨ

τοτε ὁ ἡμέτερος νοῦς ἔστω, καὶ πάντα ἡμῶν τὰ διανοήματα, καὶ τὰ ῥήματα, καὶ τὰς πράξεις πρὸς αὐτὸν ἀπευθύνειν ἀεὶ σπουδάζωμεν· κἄν ποτε συμβῇ τὴν καρδίαν ἐκστῆναι ἀπὸ εὐθείας ὁδοῦ, παραυτίκα ταύτην ἐπαναγάγωμεν, καὶ ἐπανορθῶμεν, ὥσπερ τεκτονικῷ κανόνι τῷ σκοπῷ χρώμενοι.

5. Ὃ δὴ καὶ ὁ μακάριος Παῦλος ὁ Ἀπόστολος εἰδὼς καὶ ποιῶν λέγει· «τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος· κατὰ σκοπὸν διώκων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως». Ὑπὲρ τούτου οὖν τοῦ σκοποῦ καὶ ἡμεῖς πάντα ποιῶμεν, ὑπὲρ τούτου πάντων καταφρονοῦμεν, καὶ πατρίδος καὶ γένους, καὶ χρημάτων, καὶ ὅλου τοῦ κόσμου, καὶ τὰς ἡδονὰς πατοῦμεν, καὶ τοῖς ἀδικοῦσιν οὐκ ἀποδίδομεν, οὐδὲ τοῖς ὑβρίζουσιν ἢ καὶ πλήττουσιν ἐπεξερχόμεθα· ἀλλὰ πάντα στέγομεν, πάντα ὑπομένομεν, ἵνα τὴν καθαρότητα τῆς καρδίας κτησώμεθα· εἰ δὲ τοῦ σκοποῦ τούτου ἐπιλαθόμεθα, ἀνάγκη πάντως ὡς ἐν σκοτίᾳ περιπατεῖν ἡμᾶς, καὶ ἔξω τῆς εὐθείας βαδίζοντας πολλὰ προσκόπτειν καὶ πλανᾶσθαι.

6. Τοῦτο γὰρ πολλοῖς συμβαίνει, οἵτινες ἐν ἀρχῇ τῆς ἀποταγῆς καταφρονήσαντες πλούτου, καὶ χρημάτων πολλῶν, καὶ πάντων τῶν ἐν τῷ κόσμῳ, ὕστερον ὑπὲρ δικέλλης, ἢ ῥαφίδος, ἢ καλάμου, ἢ βιβλίου, θυμοῦνται καὶ ταράσσονται, καὶ τὴν αὐτὴν τῆς ὀργῆς διάθεσιν, καὶ ὑπὲρ τῶν ἐλαχίστων ὑλῶν, πρὸς τοὺς ἀδελφοὺς ἐνδείκνυνται· καὶ τὴν ἐπιθυμίαν δὲ πολλάκις καὶ ἐν εὐτελέσι πράγμασιν ἐκπληροῦσι, πρός τι τῶν οὐδαμινῶν προσπαθῶς ἔχοντες, καὶ τὰς ἡδονὰς αὐτῶν καὶ ἐν τοῖς εὐτελέσιν ἐκπληροῦντες.

7. Οὗτοι οὖν οὐκ ἂν τοῦτο ἔπασχον, εἰ ἐμνημόνευον τοῦ σκοποῦ, δι' ὃν τῶν πραγμάτων κατεφρόνησαν· διὰ γὰρ τὴν εἰς Θεὸν ἀγάπην καὶ τὸν πλησίον πάντων καταφρονοῦμεν, ἵνα ταύτην κτησώμεθα, καθαροὶ τῇ καρδίᾳ γενόμενοι, ἐκ πάσης ἡδονῆς καὶ δόξης τοῦ κόσμου· ὁ γὰρ τῆς τῶν ὑλῶν προσπαθείας ἑαυτὸν χωρίσας, καὶ μισῶν πᾶσαν ἡδονὴν καὶ δόξαν τοῦ κόσμου, εἰρηνεύει πρὸς πάντας· διὸ καὶ καθαρὰν πάντως τὴν ἑαυτοῦ καρδίαν ἀποτελεῖ.

8. Διὰ δὲ τῆς καθαρότητος τῆς καρδίας ἡ Βασιλεία τῶν οὐρανῶν ἐπέρχεται· «μακάριοι, γάρ φησιν, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται»· μανθάνομεν οὖν ἐκ τούτου, ὅτι ἡ τελειότης, οὐ τῇ ἀποταγῇ τῶν πραγμάτων καὶ τῇ τοῦ κόσμου ἀναχωρήσει παραχρῆμα ἐπισυμβαίνει, ἀλλὰ μετὰ τὸ κατορθῶσαι τὴν εἰς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην, ἥτις τὴν καθαρότητα προξενεῖ τῆς καρδίας.

9. Χρὴ οὖν ἡμᾶς διὰ ταύτην πάντα ποιεῖν, καὶ ἡδονῆς πάσης καὶ δόξης καταφρονεῖν, καὶ νηστείας καὶ ἀγρυπνίας καὶ λοιπῆς πάσης κακουχίας ἡδέως ἀνέχεσθαι, καὶ ἀναγνώσμασι καὶ ψαλμοῖς εὐτόνως προσομιλεῖν, τῆς περιποιούσης τὴν κάθαρσιν τῆς καρδίας, ὡς εἴρηται, εἴποτε συμβῇ κατά τινα ἀναγκαίαν κατὰ Θεὸν ἀσχολίαν, ἀπὸ τῆς συνήθους νηστείας καὶ ἀναγνώσεως καὶ λοιπῆς ἀσκήσεως ἐμποδισθῆναι· οὐ γὰρ τοσοῦτον ἔσται ἡμῖν ἐκ τῆς νηστείας, καὶ τῆς ἀναγνώσεως, ὡς ἡ βλάβη ἐκ τοῦ περιφρονῆσαι τὸν ἀδελφόν, καὶ λυπῆσαι τοῦτον· καὶ γὰρ αἱ νηστεῖαι καὶ ἀγρυπνίαι, καὶ ἡ μελέτη τῶν γραφῶν, καὶ ἡ ἀποταγὴ ὅλου τοῦ κόσμου, οὐκ ἔστι τελειότης, ὡς εἴπομεν, ἀλλὰ τελειότητος ἐργαλεῖα.

10. Ἐπειδὴ ἡ τελειότης οὐκ ἐν τούτοις εὑρίσκεται, ἀλλὰ διὰ τούτων προσγίνεται, εἰς μάτην τοίνυν ἐπὶ νηστείᾳ καὶ ἀγρυπνίᾳ, καὶ ἀκτημοσύνῃ, καὶ ἀναγνώσει γραφῶν σεμνυνόμεθα, ὅταν μὴ τὴν πρὸς Θεὸν καὶ τὸν πλησίον ἀγάπην κατορθώσωμεν· ὁ γὰρ τὴν ἀγάπην κατορθώσας, καθαρὸς ἐστι τῇ καρδίᾳ, καὶ τὸν Θεὸν ἐν ἑαυτῷ ἔχει, καὶ ὁ νοῦς αὐτοῦ μετὰ τοῦ Θεοῦ ἀεὶ ἔστι, καὶ τὸ ἐκείνου κάλλος φαντάζεται.

11. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι εἰ μὴ ὁ Μοναχὸς πάσῃ δυνάμει καὶ σπουδῇ τῇ διακρίσει ἐπακολουθεῖ καὶ πάντα δι' αὐτῆς δοκιμάζει, οὕτω καὶ διαλογίζεται, καὶ λέγει καὶ πράττει, ἐπάναγκές ἐστιν ἑαυτὸν ὡς ἐν νυκτὶ πλανώμενον, οὐ μόνον τοῖς χαλεπωτάτοις τῆς κακίας βόθροις περιπίπτειν, ἀλλὰ καὶ ἐν τοῖς ὁμαλοῖς καὶ ὀρθοῖς προσκόπτειν.

12. Ἡ γὰρ διάκρισις οὐ μικρά ἐστιν ἀρετή, ἀλλὰ καὶ τῶν ἐπισημοτάτων τοῦ Ἁγίου Πνεύματος χαρισμάτων μία τυγχάνει· καθὼς καὶ ὁ Ἀπόστολος διδάσκει λέγων· «ᾧ μὲν δίδοται διὰ τοῦ Πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ πνεῦμα, ἄλλῳ δὲ διάκρισις πνευμάτων»· καὶ μετ' ὀλίγον ἐπιφέρει, «πάντα δὲ ἐνεργεῖ, τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα».

13. Ἡ γὰρ διάκρισις ἀκρόπολίς ἐστι, καὶ βασιλίς τις ἐν ταῖς λοιπαῖς ἀρεταῖς· αὕτη γάρ, ᾧ ἐὰν προσγένηται, διδάσκει αὐτὸν πᾶσαν ἔλλειψιν καὶ ὑπερβολὴν ἐκκλίνειν καὶ ὁδῷ βασιλικῇ ὁδεύειν ἀεί, καὶ οὔτε ἐκ τῶν δεξιῶν διὰ τῶν ὑπερβολικῶν καὶ εὐλογοφανῶν πραγμάτων συγχωρεῖ κλέπτεσθαι, οὔτε ἐκ τῶν ἀριστερῶν κατασύρεσθαι πρὸς ῥᾳθυμίαν καὶ χαύνωσιν.

14. Ἀλλ' ὥσπερ ὀφθαλμός τις καὶ λύχνος τῇ ψυχῇ γίνεται, καὶ πάντα ὥς εἰσιν ὑποδείκνυσι τῷ ἀνθρώπῳ τὰ φαῦλα ἀπὸ τῶν κρειττόνων σὺν ἀκριβείᾳ χωρίζουσα, καὶ τίνα μὲν ἐκ τῆς τῶν ἐναντίων ἐνέδρας εἰσί, τίνα δὲ ἐκ τῆς ἄνω προνοίας χωρίζουσα τυγχάνει, καὶ θεαρέστως αὐτὸν παρασκευάζουσα ζῆν, καὶ ἀπλανῶς καὶ ἀπροσκόπτως ὁδεύειν τὴν σκοτεινὴν ταύτην καὶ τραχεῖαν τοῦ βίου ὁδόν, τῷ ταύτης φωτὶ ἀκολουθοῦντα καὶ ὁδηγούμενον· αὕτη καὶ τὰς ἀρετὰς κρατύνει, καὶ αὐτὸ τοῦτο, τὸ ἀρετὰς εἶναι καὶ ὀνομάζεσθαι δίδωσιν· εἰ δὲ ταύτης διαιρεθῶσιν, οὐδὲ ἀρεταὶ ὅλως εἰσίν, ἀλλὰ πολλάκις καὶ ὡς κακίαι λογίζονται.

15. Πολλοὶ γὰρ καὶ νηστείαις καὶ ἀγρυπνίαις κατατριβέντες, καὶ ἐν ἐρήμῳ ἀναχωρήσαντες, καὶ ἀκτημοσύνην εἰς ἄκρον ἀσκήσαντες, καὶ ἐλεημοσύνην ἐπὶ τοσοῦτον κατορθώσαντες, ὡς μηδὲ ἀρκεῖν αὐτοῖς τὰ ὄντα εἰς μετάδοσιν πρὸς τὴν ἐπιθυμίαν τῆς προαιρέσεως, καὶ πᾶσαν ἄλλην ἀρετὴν ἐπιδειξάμενοι, ὕστερον ἐλεεινῶς ἐκπεπτώκασι καὶ πρὸς κακίαν ὠλίσθησαν· τοῦτο δὲ ἔπαθον, διὰ τὸ μὴ ἐσχηκέναι τὸ τῆς διακρίσεως χάρισμα· καθὰ δὴ καὶ ὁ Μέγας Ἀντώνιος μεταξὺ πάντων τῶν Πατέρων περὶ αὐτῶν ἀπεφήνατο, ᾧ καὶ σύμψηφοι οἱ λοιποὶ Πατέρες ἐγένοντο. Ἵνα δὲ καὶ ἀπὸ ἱστοριῶν τὸν λόγον πιστοσώμεθα.

16. Ὁ Σαοὺλ ἐκεῖνος, ὁ πρῶτος πιστευθεὶς τὴν βασιλείαν τοῦ Ἰσραήλ, ἐπειδὴ τοῦτον τὸν λύχνον τῆς διακρίσεως οὐκ ἔσχε, σκοτωθεὶς τὴν διάνοιαν, οὐκ ἔγνω διακρῖναι, ὅτι μᾶλλον τοῦ προσενεγκεῖν θυσίαν ἀρεστὸν ὑπῆρχε Θεῷ τὸ ὑπακοῦσαι αὐτὸν τοῦ Ἁγίου Σαμουήλ, καὶ ἀνελεῖν τὸν Ὤγ, τὸν βασιλέα τοῦ Ἀμαλήκ· φεισάμενος δὲ αὐτοῦ, δι' ὧν ἐνόμιζε θεραπεύειν Θεόν, δι' ἐκείνων προσκρούει καὶ τῆς βασιλείας ἀπόβλητος γίνεται· εἰ δὲ δεῖ, παραγαγεῖν καὶ νεαρὰ παραδείγματα.

17. Ἀναμνήσθητε τοῦ Γέροντος Ἥρωνος, ὃν καὶ ὑμεῖς πάντως οὐκ ἀγνοεῖτε, καὶ τὸ ἐλεεινὸν πτῶμα τῶν μυρίων θρήνων ἄξιον, ὃ ἔπαθεν, ἐπ' ὄψεσιν ἡμῶν· οὕτως γὰρ πεντήκοντα ἔτη ἐν τῇ ἐρήμῳ διατρίψας, καὶ μεγάλῃ σκληραγωγίᾳ καὶ συντόνῳ ἐγκρατείᾳ χρησάμενος, καὶ τὴν ἀκροτάτην ἐρημίαν καὶ μόνωσιν ὑπὲρ πάντας τοὺς ἐνταῦθα μεταδιώξας, μετὰ τοὺς τοσούτους ἀγῶνας καὶ κόπους εἰς χαλεπὸν ἐξέπεσε κίνδυνον, διὰ τὸ μὴ ἔχειν ἐν ἑαυτῷ τὴν διάκρισιν.

18. Τῷ γὰρ ἰδίῳ λογισμῷ ἀκολουθῶν, ἐπὶ τοσοῦτον τὴν νηστείαν καὶ τὸ ἀφιδιάζειν τῶν ἀνθρώπων μετεδίωξεν, ὡς μηδὲ κατὰ τὴν ἑορτὴν τοῦ Ἁγίου Πάσχα παραγίνεσθαι ἐν τῇ Ἐκκλησίᾳ, ἵνα μὴ συνερχόμενος τοῖς Πατράσι καὶ ἀδελφοῖς καὶ συνεσθίων αὐτοῖς ἀναγκασθῇ μεταλαβεῖν ὀσπρίου, ἢ ἄλλου τινὸς ἑψητοῦ τῶν παρατιθεμένων ἐν τῇ τραπέζῃ, καὶ δόξῃ ἐκπεπτωκέναι τοῦ ἰδίου σκοποῦ καὶ ὅρου.

19. Ἐπὶ πολὺ οὖν ἐν τούτῳ τῷ οἰκείῳ θελήματι ὑπαγόμενος, καὶ μακρύνων ἑαυτὸν τῶν Πατέρων, ὕστερον δαίμονα ὡς Ἄγγελον φωτὸς ὑπεδέξατο, καὶ τοῦτον προσκυνήσας, ἐπιτάσσεται ὑπ' αὐτοῦ κατὰ τὸ μεσονύκτιον εἰς φρέαρ βαθύτατον ἑαυτὸν ῥίψαι, ὡς ἂν γνῷ διὰ πείρας, οἵας παρὰ Θεοῦ τετύχηκε τιμῆς, διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ ἀρετῆς, καὶ τοὺς κατὰ Θεὸν καμάτους, καὶ οὐδαμῶς τοῦ λοιποῦ κινδύνῳ τινὶ ὑποκείσεται.

20. Ὁ δὲ μὴ διακρίνας τῷ λογισμῷ τίς ὁ τὴν τοιαύτην αὐτῷ ὑποτιθεὶς συμβουλήν, ἀλλὰ πιστεύσας τῇ πλάνῃ ὡς ἀληθείᾳ, ἔῤῥιψεν ἑαυτὸν κατὰ τὸ μεσονύκτιον ἐν τῷ φρέατι· καὶ μετ' οὐ πολὺ οἰκονομίᾳ Θεοῦ γνόντες οἱ ἀδελφοὶ τὸ συμβάν, μόλις αὐτὸν μετὰ καμάτου πολλοῦ ἠδυνήθησαν ἡμιθανῆ ἀνασπᾶσαι· καὶ μετὰ τὸ ἑλκυσθῆναι ἐπιζήσας δύο ἡμέρας τῇ τρίτῃ ἀπέθανε, καταλιπὼν τοῖς ἀδελφοῖς καὶ τῷ πρεσβυτέρῳ Παφνουτίῳ πένθος ἀπαραμύθητον, ὅστις φιλανθρωπίᾳ πολλῇ κινούμενος, καὶ μεμνημένος τῶν πολλῶν αὐτοῦ κόπων, καὶ τῶν πολυαριθμήτων ἐτῶν, ὧν ἐν τῇ ἐρήμῳ διεκαρτέρησεν, οὐκ ἐχώρισεν αὐτὸν τῆς ὑπὲρ τῶν κεκοιμημένων προσφορᾶς, ἵνα μὴ συναριθμηθείη τοῖς βιοθανάτοις.

21. Καὶ ἀδελφοὶ δέ τινες δύο, μένοντες πέραν τῆς κατὰ τὴν Θηβαΐδα ἐρήμου, ὅπου ποτὲ ὁ μακάριος Ἀντώνιος διέτριβεν, ἐν μιᾷ ἔδωκαν ἑαυτοῖς γνώμην πορευθῆναι εἰς τὴν ἐνδοτέραν ἔρημον, μεγάλην οὖσαν καὶ ἀγεώργητον, κρίναντες παρ' ἑαυτοῖς μὴ τροφήν τινα παρὰ ἀνθρώπου λαβεῖν, εἰμὴ ἣν αὐτὸς ὁ Κύριος θαυματοποιῶν παράσχει.

22. Ἐπὶ πολὺ οὖν πλανωμένων αὐτῶν κατὰ τὴν ἔρημον, καὶ ἐξατονούντων αὐτῶν τῇ πείνῃ, οἱ Μάζικες, οἱ πάντων ἐθνῶν σχεδὸν ἀγριώτεροι καὶ ὠμότεροι, ὡς πόῤῥωθεν αὐτοὺς εἶδον οὕτω κατατετηγμένους καὶ μικρὸν ἀναπνέοντας, μεταβαλόντες ἐκ Θείας Προνοίας τὴν σύντροφον ἀγριότητα εἰς φιλανθρωπίαν, μετὰ ἄρτων αὐτοῖς ὑπήντησαν.

23. Καὶ ὁ μὲν εἷς ἀδελφός, διακρίσεως αὐτῷ ὑπεισελθούσης, μετὰ χαρᾶς καὶ εὐχαριστίας ὑπεδέξατο τούτους· καὶ μεταλαβὼν ἐνίσχυσε λογισάμενος, ὡς οὐκ ἂν οἱ οὕτως ὠμοὶ καὶ ἄγριοι καὶ ἀεὶ ἀνθρωπίοις αἵμασι χαίροντες, συνεπάθουν αὐτοῖς ἐξητονηκόσιν ἤδη, καὶ τροφὴν προσήνεγκαν, εἰ μὴ ὁ Θεὸς τούτους ἐκίνησεν· ὁ δὲ ἄλλος τὴν τροφὴν παραιτησάμενος, ὡσανεὶ ὑπὸ ἀνθρώπου προσενεχθεῖσαν, καὶ ἐμμείνας τῇ ἀδιακρίτῳ βουλῇ, τῇ ἀτονίᾳ τῆς ἀσιτίας ἐξέλιπεν.

24. Εἰ καὶ τὰ μάλιστα τοίνυν τὴν ἀρχὴν ἀμφότεροι κακῶς βουλευσάμενοι, ἀλόγιστον καὶ ὀλεθρίαν γνώμην ἑαυτοῖς εἰσηγήσαντο, ὅμως ὁ εἷς τῇ διακρίσει μετὰ τοῦτο χρησάμενος, ὃ προπετῶς καὶ ἀπαραφυλάκτως ὥρισε, τοῦτο καλῶς ἐπανωρθώσατο· ὁ δὲ ἕτερος, ἐν τῇ ἄφρονι βουλῇ διακαρτερήσας καὶ διακρίσεως ἐκτὸς εὑρεθείς, θάνατον, ὃν ὁ Κύριος ἀποστρέφειν ἐβούλετο, αὐτὸς ἑαυτῷ ἐπεσπάσατο.

25. Τί δὲ εἴπω καὶ περὶ ἐκείνου τοῦ Ἀσκητοῦ, οὗ τὸ ὄνομα ἑκὼν ὑπερβήσομαι, διότι περίεστιν; ὅστις δαίμονα πολλάκις ὡς Ἄγγελον ὑποδεξάμενος, καὶ ἀποκαλύψεις δι' αὐτοῦ λαμβάνων, καὶ φῶς λυχνιαῖον συνεχῶς ἐν τῇ κέλλῃ αὐτοῦ βλέπων, ὕστερον προστάσσεται ὑπ' αὐτοῦ τὸν ἴδιον υἱὸν συμμένοντα αὐτῷ ἐν τῷ Μοναστηρίῳ θυσίαν προσενεγκεῖν τῷ Θεῷ, ὡς ἐκ τούτου τῆς Πατριάρχου Ἀβραὰμ τιμῆς ἀξιωθησόμενον; οὗ τινος τῇ συμβουλίᾳ τοσοῦτον ὑπήχθη, ὥστε τὴν τοῦ υἱοῦ σφαγὴν ἔργῳ ἂν ἐξετέλεσεν, εἰ μὴ αὐτὸν ὁ υἱὸς θεασάμενος μάχαιραν ἀκονοῦντα, παρὰ συνήθειαν, καὶ δεσμὰ ἑτοιμάζοντα, οἷς τοῦτον ὡς ὁλοκαύτωμα δεσμεῖν ἔμελλε, φυγῇ τὴν σωτηρίαν ἐκομίσατο.

26. Καὶ μακρὸν ἂν εἴη καταλέγειν ὅσοι ἐνεπαίχθησαν καὶ ἐξ ἀρετῆς εἰς κακίαν ὠλίσθησαν, διὰ τὸ μὴ εὑρεῖν αὐτοὺς τὴν διάκρισιν τὴν πασῶν τῶν ἀρετῶν ῥίζαν, καὶ κεφαλήν, καὶ σύνδεσμον· αὕτη δὲ ἄλλως οὐ προσγίνεται τῷ ἀνθρώπῳ, εἰ μὴ ἀληθινὴν ἔχει ταπείνωσιν· δεῖγμα δὲ ἀληθινῆς ταπεινώσεως, τὸ μὴ μόνον ἅπερ πράττομεν, ἀλλὰ καὶ ἅπερ ἐνθυμούμεθα ἀποκαλύπτειν τοῖς Πατράσι, καὶ ἐν μηδενὶ τῷ ἰδίῳ λογισμῷ πιστεύειν, ἀλλὰ κατὰ πάντα τοῖς λόγοις τῶν Πατέρων ἀκολουθεῖν, καὶ ἐκεῖνο καλὸν ἢ κακὸν εἶναι πιστεύειν, ὅπερ ἂν αὐτοὶ δοκιμάσωσιν· αὕτη γὰρ ἡ ἐργασία τὸν Μοναχὸν ἀβλαβῶς διαβαίνειν παρασκευάζει τὴν τοῦ βίου ὁδόν, καὶ ὑπεράνω πασῶν τῶν τοῦ διαβόλου παγίδων γινόμενον, καὶ πρὸς τὸν οὐρανὸν ἀνάγειν τὸν ταύτῃ ἀκολουθοῦντα.

27. Ἀδύνατον γὰρ τὸν κρίσει καὶ γνώμῃ τῶν προβεβηκότων τὸν ἑαυτοῦ βίον ῥυθμίζοντα ἀπάτῃ περιπεσεῖν δαιμόνων· ὁ οὖν μὴ τῷ κριτηρίῳ τῆς ἑαυτοῦ διανοίας καταπιστεύων, ἀλλ' ἐν πάσῃ τῇ διδαχῇ καὶ διατυπώσει τῶν Πατέρων ἀκολουθῶν, ταχέως, σὺν Θεῷ, ἀξιοῦται καὶ τοῦ χαρίσματος τῆς ἀληθινῆς διακρίσεως, ἥτις διδάσκει τὸν Μοναχὸν τὰς ὑπερβολὰς ἀεὶ φεύγειν, ὡς βλαβεράς, ἐπί τε διαίτης καὶ ὕπνου καὶ λοιπῆς ἀσκήσεως· καὶ γὰρ ἔγνωμέν τινας διὰ γαστριμαργίας μὲν μὴ ἡττηθέντας, διὰ ἀμέτρου δὲ νηστείας καταβληθέντας, καὶ πρὸς αὐτὰ τὰ πάθη τὰ ἐκ τῆς γαστριμαργίας ὀλισθήσαντας, διὰ τὴν προσγενομένην ἐκ τῆς ἀμέτρου νηστείας ἀσθένειαν.

28. Κἀγὼ δὲ μέμνημαί ποτε ἐκ τῆς ἀλόγου νηστείας τοιοῦτόν τι πεπονθώς· ἐπὶ τοσοῦτον γὰρ ἐνήστευσα, ὥστε σβεσθῆναι μου τελείως τὴν ὄρεξιν τῆς τροφῆς, καὶ ἐπὶ πολὺ ἄσιτος διαμένων οὐκ ἐπεθύμουν τροφῆς, οὐδ' ἤσθιον, εἰ μή τινες παραγενόμενοι καὶ ἄκοντά με ἀνορέκτως φαγεῖν ἐβιάζοντο· καὶ οὕτω βιαζόμενος, κατὰ μικρὸν πάλιν τὴν ὄρεξιν διήγειρα.

29. Καὶ τῇ ἀγρυπνίᾳ δὲ τοσοῦτον ἐχρησάμην, ὥστε τελείως ἀποστῆναί μου τὸν ὕπνον· τοῦτο δὲ οἶμαι καὶ ἐξ ἐπιβουλῆς δαιμόνων συνέβη, καὶ μικροῦ ἐκινδύνευσα ἂν ἐπὶ πλείστας νύκτας διατελῶν ἄϋπνος, εἰ μὴ ὁ φιλάνθρωπος Κύριος παρακληθεὶς ὑπ' ἐμοῦ, ὕστερον παρέσχε μοι ὑπνῶσαι καὶ τὴν τῆς φύσεως ἐστήριξεν ἀσθένειαν.

30. Βαρυτέρως οὖν ἐκινδύνευσα ἐπὶ τῇ ἀμέτρῳ ἀσιτίᾳ καὶ ἀγρυπνίᾳ, ἢ ἐπὶ τῇ γαστριμαργίᾳ καὶ τῷ κόρῳ τοῦ ὕπνου.

Ἑρμηνεία

ΟΤΑΝ ἤμουν εἰς τὴν ἔρημον τῆς σκήτης — ἔλεγεν ὁ Ἀββᾶς Κασσιανὸς — ἐκεῖ ποὺ ἀσκητεύουν οἱ ἐκλεκτότεροι τῶν Μοναχῶν, ἐπεσκέφθημεν μίαν ἡμέραν, μετὰ τοῦ Ἁγίου Γερμανοῦ τοῦ φίλου μου, τὸν Ἀββᾶν Μωϋσῆν, ὁ ὁποῖος ἦτο Ἅγιος καὶ εἶχε πνεῦμα εἰς τὴν καρδίαν του.

Τὸν Ἀββᾶν Μωϋσῆν μὲ δάκρυα παρεκαλούσαμεν νὰ μᾶς εἴπῃ ἐποικοδομητικοὺς λόγους, μὲ τοὺς ὁποίους θὰ ἠμπορούσαμεν νὰ φθάσωμεν εἰς τὴν τελειότητα. Ἀφοῦ λοιπὸν ἐπὶ πολὺ τὸν παρεκαλέσαμεν, μᾶς εἶπε τὰ ἑξῆς ὁ Γέρων Μωϋσῆς:

2. Τέκνα μου, ὅλαι αἱ τέχναι καὶ ὅλα τὰ ἐπαγγέλματα στηρίζονται, εἰς σκοπὸν ἐκ τῶν προτέρων καθορισθέντα, ἐπὶ τῇ βάσει τοῦ ὁποίου οἱ ἄνθρωποι ρυθμίζουν τὰ ἔργα των καὶ πραγματοποιοῦν τὸ ἐπιδιωκόμενον ἀποτέλεσμα. Παραδείγματος χάριν, ὁ γεωργὸς καλλιεργεῖ μὲ προθυμίαν τὴν γῆν, ὑπομένων ἄλλοτε μὲν τὸν καύσωνα τοῦ ἡλίου καὶ ἄλλοτε δριμύτατον ψῦχος, ἔχων ὡς σκοπὸν ἐκ τῶν προτέρων νὰ τὴν καθαρίσῃ ἀπὸ διάφορα βότανα καὶ ἀγκάθια, καὶ ἐπιδιώκων, ὡς ἀποτέλεσμα, νὰ ἀπολαύσῃ τοὺς καρπούς, ποὺ θὰ παραγάγῃ.

3. Καὶ ὁ στρατευόμενος πάλιν δὲν λογαριάζει οὔτε τοὺς πολεμικοὺς κινδύνους, οὔτε τὰς ταλαιπωρίας τῆς ξενιτειᾶς, ἔχων ὡς σκοπὸν ἐκ τῶν προτέρων νὰ ἀνδραγαθήσῃ, τέλος δέ, διὰ τῆς ἀνδραγαθίας, τὸ ἀξίωμα καὶ τὴν ἐκ τοῦ ἀξιώματος τιμὴν καὶ τὸ κέρδος. Καὶ ἐν συντομίᾳ, ὅλοι οἱ μετερχόμενοι μίαν τέχνην ἢ ἕνα ἐπάγγελμα ἔχουν ὁπωσδήποτε θέσει ἐκ τῶν προτέρων ἕνα σκοπόν, σύμφωνα μὲ τὸν ὁποῖον

διεξάγουν τὰς ἐργασίας των, μέχρις ὅτου πραγματοποιήσουν τὸ ἀποτέλεσμα, τὸ ὁποῖον ἐπιδιώκουν.

4. Κατ' ἀναλογίαν, καὶ ἡ ἡμετέρα μοναχικὴ ὁμολογία ἔχει ὡς σκοπὸν τὴν καθαρότητα τῆς καρδίας, ἐπιδιώκει δέ, ὡς ἀποτέλεσμα, τὴν Βασιλείαν τῶν οὐρανῶν.

Εἶναι λοιπὸν ἀδύνατον ἄνευ καθαρότητος καρδίας νὰ ἐγκαθιδρυθῇ μέσα μας ἡ Βασιλεία τοῦ Θεοῦ. Πρὸς αὐτὸν λοιπὸν τὸν σκοπόν, τὴν καθαρότητα τῆς καρδίας, ἂς εἶναι πάντοτε ἐστραμμένος ὁ νοῦς μας· ἂς φροντίζωμεν δὲ ὅπως ὅλαι ἡμῶν αἱ σκέψεις, οἱ λόγοι καὶ τὰ ἔργα ρυθμίζωνται ἀπὸ αὐτὸν τὸν σκοπόν. Ἐὰν δὲ συμβῇ κάποτε νὰ ἀπομακρυνθῇ ἡ καρδία μας ἀπὸ τὴν εὐθεῖαν ὁδόν, τὴν ὁποίαν μᾶς ὑποδεικνύει ὁ ἀνωτέρω σκοπός, πρέπει ἀμέσως νὰ φροντίσωμεν νὰ τὴν ἐπαναφέρωμεν εἰς αὐτὴν καὶ νὰ τὴν ἐπανορθώσωμεν, χρησιμοποιοῦντες τὸν σκοπόν, ὅπως οἱ κτίσται χρησιμοποιοῦν τὸ ἀλφάδι, τὸ ζύγι καὶ τὸ ράμμα, διὰ νὰ κατασκευάζουν ἴσους τοὺς τοίχους.

5. Ὁ μακάριος Ἀπόστολος Παῦλος γνωρίζων καλῶς τὴν ἀνάγκην τῆς ὑπάρξεως σκοποῦ εἰς τὴν πνευματικὴν ζωὴν καὶ ἐφαρμόζων ὁ ἴδιος τὴν ἐμπειρίαν αὐτὴν λέγει. «Ἓν δέ, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ» (Φιλιπ. γ', 14). Χάριν λοιπὸν τοῦ σκοποῦ αὐτοῦ καὶ ἡμεῖς κάμνομεν τὸ πᾶν, χάριν αὐτοῦ ὅλα περιφρονοῦμεν, καὶ πατρίδα, καὶ οἰκογένειαν, καὶ καταγωγήν, καὶ χρήματα καὶ ὅλον τὸν κόσμον. Διὰ τὴν ἐπιτυχίαν τοῦ σκοποῦ αὐτοῦ καταπατοῦμεν τὰς ὑλικὰς ἡδονάς, δὲν ἀνταποδίδομεν τὴν ἀδικίαν εἰς αὐτούς, ποὺ μᾶς ἀδικοῦν, καὶ δὲν ἀντιδρῶμεν, ὅταν μᾶς κτυποῦν καὶ μᾶς πληγώνουν, ἀλλὰ τὰ σκεπάζομεν ὅλα διὰ τῆς μακροθυμίας καὶ τὰ ὑπομένομεν, διὰ νὰ ἀποκτήσωμεν τὴν καθαρότητα τῆς καρδίας. Ἐὰν δὲ λησμονήσωμεν τὸν σκοπὸν αὐτόν, κατ' ἀνάγκην θὰ βαδίζωμεν μέσα εἰς τὸ σκότος καὶ θὰ περιπατῶμεν ἔξω τῆς εὐθείας ὁδοῦ, σκοντάπτοντες καὶ περιπλανώμενοι.

6. Διότι μὲ πολλοὺς συμβαίνει τὸ ἑξῆς: Αὐτοὶ εἰς τὴν ἀρχὴν τοῦ μοναχικοῦ των σταδίου, ὅταν προσῆλθον νὰ λάβουν τὸ μοναχικὸν σχῆμα, περιεφρόνησαν πλοῦτον, χρήματα πολλά, καὶ ὅλα ὅσα ὑπάρχουν εἰς τὸν κόσμον· ὕστερον ὅμως, ἐπειδὴ δὲν ἐθεμελίωσαν τὴν ζωήν των ἐπάνω εἰς σκοπόν, ταράσσονται καὶ θυμώνουν διὰ μίαν δικέλλαν (σκαπάνην), διὰ μίαν καρφίτσαν, ἢ δι' ἕνα καλάμι, ἢ βιβλίον, καὶ ἔχουν ἀκόμη καὶ διάθεσιν νὰ ὀργισθοῦν πρὸς τοὺς ἀδελφοὺς δι' ἀσήμαντα σκεύη. Πολλὰς φορὰς δὲ διεμόρφωσαν εἰς τὴν καρδίαν των καὶ αὐτὴν τὴν ἐπιθυμίαν, ἡ ὁποία εἶναι στοιχεῖον τοῦ κόσμου, ἐπιδείξαντες ἐμπάθειαν δι' ἀνάξια λόγου ἀντικείμενα, αἰσθανθέντες ἡδονὴν δι' αὐτὰ καὶ ἱκανοποιηθέντες μὲ τὰ εὐτελῆ αὐτὰ πράγματα.

7. Αὐτοὶ οἱ ἄνθρωποι δὲν θὰ ὑφίσταντο τὴν ψυχικὴν αὐτὴν κατάπτωσιν, ἐὰν ἐνεθυμοῦντο διαρκῶς τὸν σκοπόν, χάριν τοῦ ὁποίου περιε-

φρόνησαν τὸν κόσμον καὶ τὰ τοῦ κόσμου. Διότι διὰ νὰ πραγματοποιήσωμεν τὴν ἀγάπην πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον, περιφρονοῦμεν ὅλα, διὰ νὰ τὴν ἀποκτήσωμεν, καὶ γινόμεθα καθαροὶ κατὰ τὴν καρδίαν, ἀποδιώκοντες ἐξ αὐτῆς πᾶσαν ἡδονὴν καὶ δόξαν τοῦ κόσμου. Ἐκεῖνος ὁ ὁποῖος κατώρθωσε νὰ ἐλευθερωθῇ ἀπὸ τὴν ἐμπαθῆ διάθεσιν πρὸς τὴν ὕλην, νὰ μισήσῃ ὅλας τὰς ἡδονάς, ἀλλὰ καὶ τὴν δόξαν, μὲ τὴν ὁποίαν περιβάλλει ὁ κόσμος τοὺς ἀνθρώπους του, ὁ ἄνθρωπος αὐτὸς διατηρεῖ ειρηνικὰς σχέσεις μὲ ὅλους καὶ εἰς τὸ τέλος διαφυλάττει ὁπωσδήποτε τὴν καρδίαν του καθαράν.

8. Ἐφ' ὅσον δὲ ὁ ἄνθρωπος κατορθώσῃ νὰ πραγματοποιήσῃ τὴν καθαρότητα τῆς καρδίας του, κατέκτησεν ἤδη τὴν Βασιλείαν τῶν οὐρανῶν. Ἰδοὺ τί λέγει καὶ ὁ Κύριος· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται» (Ματθ. ε', 8). Ἀπὸ αὐτὸν λοιπὸν τὸν μακαρισμὸν μανθάνομεν, ὅτι ἡ τελειότης δὲν πράγματοποιεῖται ἀμέσως, ὡς διὰ μαγείας, μὲ τὴν ἀναχώρησιν ἐκ τοῦ κόσμου καὶ τὴν καθιερωμένην, κατὰ τὴν προσέλευσιν εἰς τὸν μοναχικὸν βίον, ἀπόταξιν τῶν κοσμικῶν πραγμάτων, ἀλλὰ ἀφοῦ ὁ ἄνθρωπος κατορθώσῃ νὰ ἀγαπήσῃ τὸν Θεὸν καὶ τὸν πλησίον, καὶ διὰ τῆς ἀγάπης αὐτῆς ἐπιτύχῃ τὴν καθαρότητα τῆς καρδίας.

9. Δι' αὐτὸ πρέπει καὶ ἡμεῖς, χάριν τῆς ἀγάπης αὐτῆς καὶ τῆς καθαρότητος, ὅλα ὅσα ἐπιβάλλονται νὰ κάμνωμεν, καὶ ὅλας τὰς ἡδονὰς καὶ τὰς δόξας τοῦ κόσμου νὰ περιφρονῶμεν, νὰ ἀνεχώμεθα μὲ εὐχαρίστησιν νηστείαν, ἀγρυπνίαν καὶ ὅλας τὰς κακουχίας τῆς ἀσκήσεως, καὶ ἀκούραστα νὰ ἀσχολούμεθα μὲ τὰς ἀναγνώσεις καὶ τοὺς ψαλμούς. Ἐὰν δὲ κάποτε συμβῇ νὰ ἐμποδισθῶμεν ἀπὸ τὴν νηστείαν, τὴν ἀνάγνωσιν καὶ τὴν ὑπόλοιπον ἄσκησιν, ἐξ αἰτίας σοβαρᾶς πνευματικῆς ἀσχολίας, δὲν πρέπει οὐδόλως νὰ ἀδιαφορήσωμεν διὰ τὴν ἀγάπην, ἡ ὁποία, ὅπως εἴπομεν, διευκολύνει τὴν καθαρότητα τῆς καρδίας. Διότι δὲν ἐπιφέρουν καὶ τόσην ὠφέλειαν ἡ συνήθης νηστεία καὶ ἡ ἀνάγνωσις, ἐφ' ὅσον περιφρονοῦμεν τὸν ἀδελφόν μας καὶ τοῦ προκαλοῦμεν λύπην· αὐτὴ ἡ περιφρόνησις καὶ ἡ λύπη μᾶς βλάπτουν πάρα πολύ. Αἱ νηστεῖαι, αἱ ἀγρυπνίαι, ἡ μελέτη τῶν γραφῶν καὶ ἡ ἐγκατάλειψις τοῦ κόσμου ὁλοκλήρου δὲν συνιστοῦν τελειότητα· εἶναι, ὅπως εἴπομεν, τὰ μέσα μὲ τὰ ὁποῖα θὰ ἐπιτύχωμεν τὴν τελειότητα.

10. Ἐφ' ὅσον δὲν πραγματοποιήσωμεν τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην, ματαίως καμαρώνομεν διὰ τὴν νηστείαν μας, τὴν ἀκτημοσύνην μας, τὴν ἀγρυπνίαν μας, τὴν ἀνάγνωσιν τῶν γραφῶν, ἐπειδὴ δὲν ἔγκειται εἰς αὐτὰ ἡ τελειότης, ἀλλὰ δι' αὐτῶν δύναται κανεὶς νὰ τὴν ἐπιτύχῃ.

Ἐκεῖνος ποὺ ἐφήρμοσε τὴν πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπην, καὶ τὴν ζῇ, εἶναι καθαρὸς κατὰ τὴν καρδίαν καὶ ἔχει τὸν Θεὸν μέσα του· ὁ νοῦς του εὑρίσκεται πάντοτε πλησίον τοῦ Θεοῦ καὶ διαρκῶς φαντάζεται τὴν ἀνέκφραστον τοῦ Θεοῦ ὡραιότητα.

11. Πρέπει δὲ καὶ τοῦτο νὰ γνωρίζωμεν· ἐφ' ὅσον ὁ Μοναχὸς δὲν βαδίζει εἰς τὴν ζωήν του μὲ διάκρισιν, κατ' ἀνάγκην θὰ περιπλανηθῇ, ὅπως ὅταν βαδίζῃ κανεὶς τὴν νύκτα, καὶ θὰ πέσῃ ὄχι μόνον εἰς τοὺς φοβεροὺς λάκκους τῆς κακίας, ἀλλ' εἶναι ἐνδεχόμενον νὰ σκοντάψῃ καὶ εἰς τὰ ὁμαλὰ καὶ ἴσια. Δι' αὐτὸ μὲ ὅλην του τὴν δύναμιν καὶ τὴν φροντίδα πρέπει νὰ πορεύεται μὲ διάκρισιν, νὰ ἐξετάζῃ ὅλα μὲ διάκρισιν καί, ὡς ἔχων πνεῦμα διακρίσεως, νὰ σκέπτεται, νὰ ὁμιλῇ καὶ νὰ πράττῃ.

12. Ἡ διάκρισις δὲν εἶναι μικρὰ ἀρετή· ἀπ' ἐναντίας εἶναι ἀπὸ τὰ ἐπισημότερα χαρίσματα τοῦ Ἁγίου Πνεύματος. Τὴν πραγματικότητα αὐτὴν τὴν διδάσκει καὶ ὁ Ἀπόστολος Παῦλος. Ἰδοὺ τί λέγει· «Ὧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα.... ἄλλῳ δὲ διακρίσεις πνευμάτων» (Α' Κορινθ. ιβ', 8—10). Ἐν συνεχείᾳ δὲ συμπληρώνει· «Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα» (Α' Κορινθ. ιβ', 11).

13. Ἡ διάκρισις εἶναι ἡ ἀκρόπολις καὶ ἡ βασίλισσα μεταξὺ τῶν ἀρετῶν· διότι ὅποιος τὴν καλλιεργήσῃ, τὸν διδάσκει νὰ ἀποφεύγῃ τὰ ἄκρα, δηλαδὴ τὴν ἔλλειψιν καὶ τὴν ὑπερβολήν. Ὁ ἔχων τὴν διάκρισιν βαδίζει πάντοτε τὴν βασιλικὴν ὁδόν· ὁ τοιοῦτος δὲν ἐπιτρέπει εἰς τὸν ἑαυτόν του οὔτε νὰ τὸν κλέπτῃ ὁ διάβολος ἐκ δεξιῶν, διὰ μέσου ὑπερβολικῶν πραγμάτων, τὰ ὁποῖα φαίνονται κατ' ἀρχὴν λογικά, ἀλλ' οὔτε καὶ ἐξ ἀριστερῶν νὰ πίπτῃ εἰς πνευματικὴν ἀπροθυμίαν, ὀκνηρίαν καὶ νωθρότητα.

14. Ἡ διάκρισις εἶναι διὰ τὴν ψυχὴν ὀφθαλμὸς καὶ λυχνάρι· παρουσιάζει εἰς τὸν ἄνθρωπον τὰ πράγματα ὅπως εἶναι, ξεχωρίζει μὲ ἀκρίβειαν τὰ μὴ ἔχοντα ὑπόληψιν καὶ σημασίαν ἀπὸ τὰ σπουδαῖα, ὅπως, ἐπίσης, ποῖα ἐκ τῶν πραγμάτων ὀφείλονται εἰς παγίδα τοῦ διαβόλου καὶ ποῖα εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ. Ἡ διάκρισις καθιστᾷ τὸν ἄνθρωπον ἱκανὸν νὰ ζῇ θεαρέστως καὶ νὰ ἀποφεύγῃ τὴν πλάνην· νὰ βαδίζῃ, χωρὶς νὰ σκοντάπτῃ, τὴν σκοτεινὴν καὶ ἀνώμαλον ὁδὸν τοῦ βίου, ἐφ' ὅσον παρακολουθεῖ τὸ φῶς τῆς διακρίσεως καὶ ὁδηγεῖται ἀπὸ αὐτό. Ἡ διάκρισις δυναμώνει τὰς ἀρετάς, καί, σχεδόν, ἐξασφαλίζει εἰς αὐτὰς τὸν χαρακτηρισμὸν καὶ τὴν πραγματικότητα τῶν ἀρετῶν. Ἐὰν αἱ ἀρεταὶ χωρισθοῦν ἀπὸ τὴν διάκρισιν, παύουν νὰ εἶναι ἀρεταί· συνήθως μάλιστα καὶ κακίαι πλέον θεωροῦνται (1).

15. Πολλοὶ ἄνθρωποι, καίτοι κατεξηντλήθησαν εἰς νηστείας καὶ ἀγρυπνίας, ἂν καὶ ἀνεχώρησαν εἰς τὴν ἔρημον, καὶ ἐφήρμοσαν εἰς τὸ ἔπακρον τὴν ἀκτημοσύνην, καίτοι ἀνεδείχθησαν τόσον ἐλεήμονες, ὥστε νὰ μὴ ἔχουν πλέον τί νὰ δώσουν, διὰ νὰ ἱκανοποιήσουν τὴν ἁγίαν των

---

1) Τὸ νόημα τῆς ἐξαιρετικῆς αὐτῆς θέσεως εἶναι, ὅτι ἐφ' ὅσον ὁ ἄνθρωπος δὲν ἀπεργάζεται μὲ διάκρισιν τὸ ἀγαθόν, εἶναι ἐνδεχόμενον ἀντὶ ἀρετῆς νὰ πραγματοποιῇ τὴν κακίαν· παραδείγματος χάριν, ἡ προσφορὰ ἐλεημοσύνης, χάριν ἐπιδείξεως, δὲν εἶναι ἀρετή, ἀλλὰ κακία.

αὐτὴν ἐπιθυμίαν, ὕστερον ἐξέπεσαν τραγικῶς ἀπὸ τὸ ὕψος τῶν ἀρετῶν, ποὺ ἐπραγματοποίησαν, καὶ ἐγλύστρησαν εἰς τὴν κακίαν.

Ὑπέστησαν δὲ τὴν τραγικὴν αὐτὴν πτῶσιν, ἐπειδὴ δὲν εἶχον ἀποκτήσει τὸ χάρισμα τῆς διακρίσεως.

Αὐτὰ εἶναι σύμφωνα μὲ ὅσα καὶ ὁ Μέγας Ἀντώνιος, μεταξὺ ὅλων τῶν Πατέρων, περὶ διακρίσεως ἐδίδαξε καὶ τὰ ὁποῖα ὅλοι οἱ Πατέρες ἐπικροτοῦν.

Ἀλλ' ἂς ἐπικυρώσωμεν τὰς ἀπόψεις αὐτὰς καὶ ἀπὸ τὴν ἱστορίαν:

16. Ὁ Σαούλ, ὁ πρῶτος βασιλεὺς τοῦ Ἰσραήλ, ἰδοὺ τί ἔπαθε, διὰ νὰ μὴ ἔχῃ ὡς ὁδηγὸν τὸ λυχνάρι τῆς διακρίσεως· ὁ Σαμουήλ, ὁ Ἅγιος τοῦ Θεοῦ Προφήτης, τὸν διέταξε νὰ φονεύσῃ τὸν βασιλέα τῶν Ἀμαληκητῶν Ἀγάγ [1]. Ὁ Σαοὺλ ὅμως ἀντὶ νὰ ὑπακούσῃ εἰς τὸν Προφήτην Σαμουήλ, ποὺ ἦτο ἀρεστὸν εἰς τὸν Θεόν, προσέφερε θυσίαν, λυπηθεὶς τὸν Ἀγάγ. Τοιουτοτρόπως χωρὶς διάκρισιν καὶ μὲ σκοτισμένον τὸν νοῦν κάμνει αὐτό, ποὺ ὁ ἴδιος θεωρεῖ ὡς θεάρεστον καὶ ὀρθόν, προσκρούσας εἰς τὸ θέλημα τοῦ Θεοῦ, μὲ αὐτὰ ἀκριβῶς ποὺ ἐνόμιζεν, ὅτι τὸν ὑπηρετεῖ, καὶ οὕτω χάνει τὴν βασιλείαν [2].

Ἀλλ' ἂς ἐνθυμηθῶμεν καὶ σύγχρονα παραδείγματα.

17. Δὲν θὰ ἔχετε βεβαίως λησμονήσει τὸν Γέροντα Ἥρωνα καὶ τὴν ἀξιοθρήνητον πτῶσιν του, τὴν ὁποίαν ὑπέστη ἐμπρὸς εἰς τοὺς ὀφθαλμούς μας. Αὐτὸς λοιπὸν ἔζησεν εἰς τὴν ἔρημον πενῆντα ὁλόκληρα ἔτη καὶ κατώρθωσε νὰ ὑπερβῇ ὅλους κατὰ τὴν μεγάλην σκληραγωγίαν καὶ τὴν ἀκαταπόνητον ἐγκράτειαν, ἀπομονωθεὶς εἰς αὐστηροτάτην μοναξιάν. Καὶ ὅμως μετὰ ἀπὸ τόσους ἀγῶνας καὶ κόπους περιέπεσεν εἰς φοβερὸν κίνδυνον, ἀκριβῶς διότι δὲν εἶχε πνεῦμα διακρίσεως.

18. Ὁ Ἥρων ἠκολούθει εἰς τὴν ζωὴν μόνον τὸν ἰδικόν του λογισμόν· τόσον δὲ πολὺ ἐπείθετο εἰς τὸν λογισμόν του καὶ ἐφήρμοσεν αὐστηροτάτην νηστείαν καὶ φυγὴν ἀπὸ τοὺς ἀνθρώπους, ὥστε καὶ κατ' αὐτὴν τὴν ἑορτὴν τοῦ Πάσχα δὲν κατέβαινεν εἰς τὴν Ἐκκλησίαν, διὰ νὰ μὴ συναναστραφῇ τοὺς Πατέρας καὶ τοὺς ἀδελφοὺς καὶ ἀναγκασθῇ εἰς τὴν κοινὴν τράπεζαν νὰ φάγῃ κανένα ὄσπριον ἤ, ἐν πάσῃ περιπτώσει, ψημένον φαγητόν, ἀπὸ ὅσα κατὰ τὰ μοναχικὰ ἔθιμα παρατίθενται τὸ Πάσχα. Εἶχε τὴν γνώμην, ὅτι διὰ τοῦ τρόπου αὐτοῦ θὰ ἐξέπιπτεν ἀπὸ τὸν σκοπόν του καὶ τὸν κανόνα του.

---

1) Ἐν τῷ κειμένῳ τῆς ἐν Βενετίᾳ ἐκδόσεως γράφεται ἐσφαλμένως Ὤγ, διὸ καὶ ἐν τῷ ἡμετέρῳ κειμένῳ, χάριν πιστῆς ἀντιγραφῆς, ἀφέθη Ὤγ, ἐνταῦθα ὅμως διορθοῦται εἰς τὸ ἀκριβὲς Ἀγάγ. Ὁ Ὢγ ἦτο βασιλεὺς τῆς Βασάν, ἐξολοθρευθεὶς ὑπὸ τοῦ Μωϋσέως (1450 π.Χ.), ὁ δὲ Ἀγὰγ τῶν Ἀμαληκητῶν, θανατωθεὶς ὑπὸ τοῦ Σαμουὴλ (1080 π.Χ.).

2) «Καὶ περιεποιήσατο Σαοὺλ καὶ πᾶς ὁ λαὸς τὸν Ἀγὰγ ζῶντα.....» (Α' Βασιλ. ιε', 9). (Θάνατος Ἀγάγ, ἔνθ. ἀνωτ. στ. 32—33. Θάνατος Σαούλ, ἔνθ. ἀνωτ. λα', 4. Ἡ ὅλη ἱστορία τοῦ Σαούλ, ἔνθ. ἀνωτ. κεφ. ι',—λα').

19. Ἐπ' ἀρκετὸν λοιπὸν κατηυθύνετο ἀπὸ τὸ θέλημά του καὶ ἀπεμακρύνετο, διὰ νομιζομένην ἀρετήν, ἀπὸ τοὺς Πατέρας. Ὕστερον ὅμως ὑπεδέχθη τὸν διάβολον, ὡς Ἄγγελον φωτός, τὸν προσεκύνησε καὶ λαμβάνει παρ' αὐτοῦ τὴν ἑξῆς φοβερὰν ἐντολήν: Νὰ βγῇ ἀπὸ τὸ κελλί του τὸ μεσονύκτιον καὶ νὰ πέσῃ εἰς ἕνα πηγάδι βαθύ, διὰ νὰ ἀντιληφθῇ, δῆθεν, προσωπικῶς ποίας τιμῆς ἠξιώθη ὑπὸ τοῦ Θεοῦ, νὰ μὴ ὑφίσταται πλέον οὐδένα κίνδυνον ἀπὸ οὐδεμίαν αἰτίαν, εἰς ἐπιβράβευσιν τῆς ὑπερβολικῆς του ἀρετῆς καὶ τῶν πολλῶν του κόπων.

20. Ὁ Ἀββᾶς Ἥρων, χωρὶς νὰ διακρίνῃ ποῖος εἶναι αὐτός, ποὺ τοῦ ἔδιδεν αὐτὴν τὴν συμβουλήν, ἐπίστευσε τὴν πλάνην ὡς ἀλήθειαν καὶ ἔπεσε τὸ μεσονύκτιον εἰς τὸ πηγάδι. Κατ' οἰκονομίαν ὅμως Θεοῦ, ἀντελήφθησαν ἐντὸς ὀλίγου οἱ ἀδελφοὶ τί συνέβη καὶ μετὰ πολλοῦ κόπου ἠδυνήθησαν νὰ τὸν ἀνασύρουν ἀπὸ τὸ πηγάδι ἡμιθανῆ. Μετὰ τὴν ἀνέλκυσιν αὐτὴν ἔζησεν ὁ Ἀββᾶς Ἥρων δύο ἀκόμη ἡμέρας καὶ κατὰ τὴν τρίτην ἀπέθανεν, ἀφήσας εἰς τοὺς ἀδελφοὺς καὶ τὸν Ἱερέα Παφνούτιον ἀπαρηγόρητον πένθος. Ὁ Ἱερεὺς Παφνούτιος παρακινούμενος ἀπὸ αἴσθημα φιλανθρωπίας καὶ ἐνθυμούμενος τοὺς πολλούς του κόπους καὶ τὰ πολλὰ ἔτη, ποὺ ὑπέμεινεν εἰς τὴν ἔρημον, τὸν ἐμνημόνευεν, εἰς τὴν θείαν λειτουργίαν, κατὰ τὴν προσφορὰν ὑπὲρ τῶν κεκοιμημένων, διὰ νὰ μὴ λογισθῇ ὡς αὐτοκτονήσας.

21. Ἐξ ἴσου διδακτικὸν εἶναι καὶ τὸ περιστατικὸν δύο ἀδελφῶν. Οὗτοι διέμενον πέραν τῆς ἐρήμου τῆς Θηβαΐδος, ὅπου ἠσκήτευεν ὁ Μέγας Ἀντώνιος. Μίαν ἡμέραν ἀπεφάσισαν ἀπὸ συμφώνου νὰ πορευθοῦν εἰς τὴν βαθυτέραν ἔρημον, ἡ ὁποία εἶναι ἀχανὴς καὶ τελείως ἀκαλλιέργητος. Ἔθεσαν δὲ ὡς ὅρον καὶ κανόνα εἰς τὸν ἑαυτόν των νὰ μὴ δεχθοῦν τροφὴν ἀπὸ ἄνθρωπον, μέχρις ὅτου ὁ Θεὸς διὰ θαύματος τὴν προσφέρῃ εἰς αὐτούς.

22. Ἐπὶ πολὺ λοιπὸν περιεπλανῶντο εἰς τὴν ἔρημον καὶ ἐξηντλήθησαν ἀπὸ τὴν πεῖναν· εἰς τὴν κατάστασιν αὐτὴν τοὺς εἶδον ἀπὸ μακρὰν οἱ Μάζικες(1), οἱ ὁποῖοι εἶναι οἱ ὠμότεροι καὶ ἀγριώτεροι ἀπὸ ὅλους τοὺς λαούς· παρ' ὅλην δὲ τὴν ἔμφυτον ἀπανθρωπίαν των, μόλις τοὺς εἶδον ἀπὸ μακρὰν τόσον σκελετωμένους καὶ μετὰ δυσκολίας ἀναπνέοντας τοὺς ὑπεδέχθησαν μὲ συμπάθειαν καὶ τοὺς προσέφερον ἄρτους, μεταβαλόντες, κατὰ θείαν πρόνοιαν, τὴν συνήθη αὐτῶν ἀγριότητα εἰς φιλανθρωπίαν.

23. Ὁ ἕνας ἐκ τῶν δύο ἀδελφῶν, εἰς τὴν ψυχὴν τοῦ ὁποίου ὑπεισῆλθε πνεῦμα διακρίσεως, μὲ χαρὰν καὶ εὐχαρίστησιν ὑπεδέχθη τοὺς Μάζικας, ἔφαγεν ἀπ' αὐτά, ποὺ τοὺς προσέφεραν καὶ ἀνέλαβεν· ἐσκέφθη τότε πολὺ ὀρθῶς, ὅτι ἄνθρωποι τόσον ὠμοὶ καὶ ἄγριοι καὶ εὐσπ-

---

1) Οἱ Μάζικες ἦσαν ἄγριος μαυριτανικὸς λαὸς τῆς ἀρχαιότητος, κατοικοῦντες τὴν Ἀφρικὴν ἔνθα νῦν τὸ Ἀλγέριον.

ριστούμενοι πάντοτε μὲ τὰ ἀνθρώπινα αἵματα, δὲν ἦτο ποτὲ δυνατὸν νὰ τοὺς συμπαθήσουν, τώρα ποὺ ἐξηντλήθησαν καὶ νὰ τοὺς προσφέρουν τροφήν, ἐὰν ὁ Θεός, ὡς διὰ θαύματος, δὲν τοὺς παρεκίνει εἰς αὐτό. Ἀντιθέτως ὅμως ὁ ἄλλος δὲν ἔλαβε τὴν τροφήν, ποὺ τοῦ προσέφεραν, ἐπειδή, τάχα, τὴν προσέφεραν ἄνθρωποι, καὶ ἐπιμείνας εἰς τὴν ἀδιάκριτον ἀπόφασίν του ἀπέθανεν ἀπὸ πεῖναν καὶ ἐξάντλησιν.

24. Εἰς τὸ περιστατικὸν αὐτὸ τῶν δύο ἀδελφῶν βλέπομεν τὸ ἑξῆς: Ἂν καὶ οἱ δύο κατ' ἀρχήν, ἀπὸ ἀπερισκεψίαν, συνεφώνησαν καὶ ἔλαβον κακὴν καὶ καταστρεπτικὴν δι' ἑαυτοὺς ἀπόφασιν, ἐν τούτοις ὁ μὲν ἕνας, χρησιμοποιήσας μετὰ ταῦτα τὴν διάκρισιν, ἐσώθη, ἐπανορθώσας αὐτὸ ποὺ ἀπερισκέπτως καὶ προπετῶς ἔθεσεν ὡς ὅρον θεοδικίας· ὁ ἄλλος ὅμως, ἐπιμείνας εἰς τὴν ἀπερίσκεπτον ἀπόφασιν καὶ ἐξακολουθῶν νὰ ἐνεργῇ χωρὶς διάκρισιν, ὁ ἴδιος κατεδίκασε καὶ παρέδωκε τὸν ἑαυτόν του εἰς τὸν θάνατον, τὸν ὁποῖον ὁ Κύριος ἠθέλησε νὰ ἀπομακρύνῃ ἀπὸ κοντά του.

25. Ἀλλὰ τί νὰ εἴπω καὶ δι' ἐκεῖνον τὸν Ἀσκητήν, τοῦ ὁποίου τὸ ὄνομα δὲν ἀναφέρω, ἐπειδὴ ζῇ ἀκόμη ἐδῶ πλησίον; Οὗτος πολλὰς φορὰς ὑπεδέχθη τὸν δαίμονα ὡς Ἄγγελον καὶ ἐλάμβανε δι' αὐτοῦ ἀποκαλύψεις· ὁ ἴδιος διηγεῖτο, ὅτι ἔβλεπε φῶς λυχναριοῦ εἰς τὸ κελλί του. Αὐτὸς λοιπὸν ὁ Ἀσκητὴς προσετάχθη ὑπὸ τοῦ δαίμονος νὰ προσφέρῃ τὸν υἱόν του, ὁ ὁποῖος ἔμενε μαζί του εἰς τὸ Μοναστῆρι, ὡς θυσίαν εἰς τὸν Θεόν, διὰ νὰ ἀξιωθῇ, δῆθεν, τῆς τιμῆς τοῦ Πατριάρχου Ἀβραάμ. Ἀδιάκριτος δὲ καθὼς ἦτο, ἀδιαμαρτυρήτως ἐδέχθη τὴν συμβουλὴν αὐτὴν καὶ παρ' ὀλίγον νὰ ἐξετέλει καὶ ἐμπράκτως τὴν σφαγὴν τοῦ υἱοῦ του, ἐὰν οὗτος δὲν ἐσῴζετο τὴν τελευταίαν στιγμὴν διὰ τῆς φυγῆς. Τὴν πρόθεσιν τοῦ Γέροντος ἀντελήφθη ὁ υἱός, ὅταν τὸν εἶδε νὰ ἀκονίζῃ τὴν μάχαιραν καὶ νὰ ἑτοιμάζῃ τὰ δεσμά, μὲ τὰ ὁποῖα θὰ τὸν ἔδενεν ὡς ὁλοκαύτωμα!

26. Καὶ ἀσφαλῶς θὰ ἐμακρολογοῦσα, ἐὰν ἀνέφερα ὅσους ἐνεπαίχθησαν ὑπὸ τοῦ διαβόλου καὶ ἐγλύστρησαν ἀπὸ τὴν ἀρετὴν εἰς τὴν κακίαν, ἐπειδὴ δὲν ἐχρησιμοποίησαν τὴν διάκρισιν, ἡ ὁποία εἶναι ρίζα ὅλων τῶν ἀρετῶν, ἡ κεφαλὴ καὶ ὁ μεταξύ των σύνδεσμος. Ἡ διάκρισις αὐτὴ δὲν ἀποκτᾶται κατ' ἄλλον τρόπον ἀπὸ τὸν ἄνθρωπον, παρὰ μὲ τὴν ἀληθινὴν ταπείνωσιν. Ἀπόδειξις δὲ τῆς πραγματικῆς ταπεινώσεως εἶναι ἡ ἀποκάλυψις εἰς τοὺς πνευματικοὺς ἡμῶν Πατέρας ὄχι μόνον τῶν ὅσων κάμνομεν, ἀλλὰ καὶ τῶν ὅσων σκεπτόμεθα. Νὰ μὴ ἐμπιστευώμεθα καθόλου εἰς αὐτὸ ποὺ μᾶς ὑπαγορεύει ὁ λογισμός μας, ἀλλὰ νὰ ἐφαρμόζωμεν πιστῶς τὰς συμβουλὰς τῶν Πατέρων, καὶ νὰ πιστεύωμεν ὅτι καλὸν ἢ κακὸν εἶναι αὐτό, ποὺ ἐκεῖνοι, κατόπιν δοκιμῆς, θὰ κρίνωσι. Διότι μόνον αὐτὴ ἡ ἐργασία ἐξασφαλίζει εἰς τὸν Μοναχὸν ἀβλαβῆ διάβασιν τῆς ὁδοῦ τοῦ ἐπιγείου βίου, τὸν καθιστᾷ

ἄτρωτον ἀπὸ ὅλας τὰς παγίδας τοῦ διαβόλου καὶ μεταφέρει εἰς τὸν οὐρανὸν αὐτόν, ποὺ ἀκολουθεῖ τὴν ταπείνωσιν.

27. Εἶναι τελείως ἀδύνατον νὰ πέσῃ θῦμα τῆς ἀπάτης τῶν δαιμόνων αὐτὸς ποὺ ρυθμίζει τὴν ζωήν του σύμφωνα μὲ τὴν κρίσιν καὶ τὴν γνώμην τῶν μεγαλυτέρων κατὰ τὴν ἡλικίαν Πατέρων. Αὐτὸς λοιπόν, ποὺ δὲν ἔχει ἐμπιστοσύνην εἰς τὸ κριτήριον τῆς διανοίας του, ἀλλ' εἰς ὅλα τὰ ζητήματα ἀκολουθεῖ τὴν διδασκαλίαν καὶ τὴν συμβουλὴν τῶν Πατέρων, θὰ ἀξιωθῇ συντόμως, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ λάβῃ τὸ χάρισμα τῆς ἀληθινῆς διακρίσεως, ἡ ὁποία διδάσκει τὸν Μοναχὸν νὰ ἀποφεύγῃ ὡς ἐπιβλαβεῖς τὰς ὑπερβολας, περὶ διαίτης, περὶ ὕπνου καὶ τῆς ἐν γένει ἀσκήσεως. Ἐκ πείρας γνωρίζομεν μερικούς, οἱ ὁποῖοι δὲν ἐνικήθησαν μὲν ἀπὸ τὸ πάθος τῆς γαστριμαργίας, κατεβλήθησαν ὅμως ἀπὸ ὑπερβολικὴν νηστείαν καὶ κατέπεσαν εἰς τὰ πάθη τῆς γαστριμαργίας ἐξ αἰτίας τῆς ἐπελθούσης ἐκ τῆς ἀπερισκέπτου νηστείας ἀσθενείας.

28. Καὶ ἐγὼ ἐνθυμοῦμαι, ὅτι κάποτε εἶχα πάθει κάτι τέτοιο ἀπὸ ἀπερίσκεπτον νηστείαν. Εἰς τόσον αὐστηρὰν καὶ διαρκῆ νηστείαν ὑπεβλήθην, ὥστε νὰ χάσω τελείως τὴν ὄρεξίν μου διὰ φαγητόν· παραμένων δὲ ἐπὶ πολλὰς ἡμέρας νηστικός, δὲν ἐπεθύμουν πλέον τὴν τροφήν, καὶ δὲν ἔτρωγα, παρὰ μόνον ὅταν μὲ ἐξηνάγκαζον οἱ προσερχόμενοι νὰ φάγω διὰ τῆς βίας καὶ χωρὶς ὄρεξιν. Τοιουτοτρόπως δὲ ἐξαναγκαζόμενος νὰ φάγω, ὀλίγον κατ' ὀλίγον ἐπανέκτησα τὴν ὄρεξίν μου.

29. Καὶ τὴν ἀγρυπνίαν δὲ τόσον πολὺ τὴν ἐχρησιμοποίουν, ὥστε τελείως ἔχασα τὸν ὕπνον μου. Νομίζω δὲ ὅτι αὐτὸ μοῦ συνέβη καὶ ἀπὸ ἐπιβουλὴν δαιμόνων· ἐπὶ πολλὰς δὲ νύκτας παραμένων ἄϋπνος ἐκινδύνευσα ἀρκετά. Ἀπὸ τὸν κίνδυνον αὐτὸν μὲ διέσωσεν ὁ Κύριος, ὡς φιλάνθρωπος, τὸν ὁποῖον παρεκάλεσα καὶ μετὰ μοῦ ἔδωσε πάλιν ὕπνον καὶ τοιουτοτρόπως ἐστήριξε τὴν ἀσθένειαν τῆς ἀνθρωπίνης φύσεως.

30. Περισσότερον λοιπὸν ἐκινδύνευσα ἀπὸ τὴν ἀσυλλόγιστον καὶ ἀδιάκριτον νηστείαν καὶ ἀγρυπνίαν, παρὰ ἀπὸ τὴν γαστριμαργίαν καὶ τὴν πολυϋπνίαν.

Δ'. Τοῦ Ἁγίου Μαξίμου

ΕΙ ΘΕΛΕΙΣ εἶναι δίκαιος, ἀπόνεμε ἑκάστῳ τῶν ἐν σοὶ μερῶν τὰ κατ' ἀξίαν, ψυχῇ λέγω καὶ σώματι· καὶ τῷ μὲν λογικῷ τῆς ψυχῆς ἀναγνώσματα καὶ θεωρήματα πνευματικά, καὶ προσευχάς· τῷ δὲ θυμικῷ, ἀγάπην πνευματικήν, τὴν τῷ μίσει ἀντικειμένην· τῷ δὲ ἐπιθυμητικῷ, σωφροσύνην καὶ ἐγκράτειαν· τῷ δὲ σαρκίῳ διατροφὴν καὶ σκεπάσματα, τὰ μόνα ἀναγκαιότατα.

2. Κατὰ φύσιν ὁ νοῦς ἐνεργεῖ, ὅταν τὰ πάθη ἔχῃ ὑποτεταγμένα, καὶ τοὺς λόγους τῶν ὄντων ἐνεργεῖ, καὶ πρὸς τὸν Θεὸν διάγει.

3. Ὥς περ ὑγεία καὶ νόσος πρὸς τὸ σῶμα θεωρεῖται τοῦ ζῴου, καὶ φῶς καὶ σκότος πρὸς τὸν ὀφθαλμόν, οὕτως ἀρετὴ καὶ κακία πρὸς τὴν ψυχήν, καὶ γνῶσις καὶ ἀγνωσία πρὸς τὸν νοῦν· μὴ οὖν ὅλην τὴν σχολήν σου περὶ τὴν σάρκα ἔχε, ἀλλὰ ὅρισον αὐτῇ τὴν κατὰ δύναμιν ἄσκησιν, καὶ ὅλον τὸν νοῦν σου ἐπὶ τὰ ἔν-

δον τρέψον· «ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ἐστὶν ὠφέλιμος».

4. Ὁ τὴν πνευματικὴν ὁδὸν ὁδεύειν μὴ ἐπιστάμενος, τῶν ἐμπαθῶν νοημάτων οὐ ποιεῖται φροντίδα, ἀλλ' ὅλην τὴν σχολὴν περὶ τὴν σάρκα ἔχει, καὶ ἢ γαστριμαργεῖ καὶ ἀκολασταίνει, λυπεῖται καὶ ὀργίζεται καὶ μνησικακεῖ, καὶ ἐντεῦθεν τὸν νοῦν σκοτίζει, ἢ ἀμέτρῳ ἀσκήσει κέχρηται καὶ θολοῖ τὴν διάνοιαν.

5. Οὐδὲν τῶν εἰς χρῆσιν ἡμῖν δοθέντων ἀναιρεῖ ἡ Γραφή, ἀλλὰ τὴν ἀμετρίαν κολάζει, καὶ τὴν ἀλογιστίαν διορθοῦται· οἷον, οὐ κωλύει ἐσθίειν, οὐδὲ χρήματα ἔχειν καὶ ὀρθῶς διοικεῖν, ἀλλὰ κωλύει γαστριμαργεῖν, φιλαργυρεῖν καὶ τὰ ἑξῆς· ἀλλ' οὐδὲ τὸ νοεῖν ταῦτα κωλύει, διὰ τοῦτο γὰρ καὶ γεγόνασιν, ἀλλὰ τὸ ἐμπαθῶς νοεῖν.

6. Αἱ μὲν ἐντολαὶ τοῦ Κυρίου διδάσκουσιν ἡμᾶς τοῖς μέσοις εὐλόγως κεχρῆσθαι πράγμασιν, ἡ δὲ εὔλογος τῶν μέσων χρῆσις, τὴν τῆς ψυχῆς καθαίρει κατάστασιν· ἡ δὲ καθαρὰ κατάστασις, τίκτει τὴν διάκρισιν.

Ἑ ρ μ η ν ε ί α

ΕΑΝ ΘΕΛΗΣ νὰ εἶσαι δίκαιος, πρέπει νὰ μοιράζῃς εἰς κάθε ἕνα μέρος, ἀπὸ τὰ ὁποῖα ἀποτελεῖσαι, τὸ σῶμα καὶ τὴν ψυχήν, αὐτὸ ποὺ ἔχει ἀξίαν δι' αὐτό. Καὶ εἰς μὲν τὸ λογικὸν τῆς ψυχῆς νὰ προσφέρῃς ἀναγνώσματα, πνευματικὰς θεωρίας καὶ προσευχάς· εἰς τὸ θυμικὸν τῆς ψυχῆς ἀγάπην πνευματικήν, ἡ ὁποία εἶναι ἀντίθετος πρὸς τὸ μῖσος· εἰς τὸ ἐπιθυμητικὸν σωφροσύνην καὶ ἐγκράτειαν. Εἰς δὲ τὸ σῶμα σου πάλιν νὰ προσφέρῃς τὴν ἀναγκαίαν τροφὴν καὶ τὰ ἀπαραίτητα σκεπάσματα [1], τὰ μόνα ποὺ εἶναι ἀναγκαῖα δι' αὐτό.

2. Ὁ νοῦς τοῦ ἀνθρώπου ἐνεργεῖ φυσιολογικῶς, ὅταν ἔχῃ ὑποτάξει τὰ πάθη· τότε ἀναζητεῖ τὰς αἰτίας τῶν ὄντων καὶ ἀνάγει τὰ πάντα εἰς τὸν Θεόν.

3. Ὅπως ἀκριβῶς ἡ ὑγεία καὶ ἡ νόσος ἀποτελοῦν καταστάσεις τοῦ σώματος τοῦ ζῴου, τὸ φῶς καὶ τὸ σκότος ἰδιότητας τοῦ ὀφθαλμοῦ, τοιουτοτρόπως ἡ ἀρετὴ καὶ ἡ κακία ἀναφέρονται εἰς τὴν ψυχήν, ἡ γνῶσις δὲ καὶ ἡ ἀγνωσία εἰς τὸν νοῦν. Μὴ ἔχῃς λοιπὸν ὅλην σου τὴν φροντίδα διὰ τὴν σάρκα· ἀλλὰ καθόρισε διὰ τὸ σῶμα σου τὴν ἄσκησιν, ποὺ ἀντέχει, καὶ στρέψε ὅλον σου τὸν νοῦν διὰ νὰ ἐξωραΐσῃς τὸν ἐσωτερικόν σου κόσμον· διότι ἡ σωματικὴ ἄσκησις ἐπ' ὀλίγον μόνον εἶναι ὠφέλιμος· ἡ ἐκ τῆς εὐσεβείας ὅμως ὠφέλεια διαρκῶς παραμένει [2].

4. Ἐκεῖνος ὁ ὁποῖος δὲν γνωρίζει νὰ βαδίζῃ τὴν πνευματικὴν ὁδόν, δὲν φροντίζει νὰ διορθώνῃ τὰς ἐμπαθεῖς σκέψεις του· οὗτος νομίζων ὅτι τὸ ἀποκλειστικὸν ἐμπόδιον πρὸς τὴν τελειότητα εἶναι ἡ σάρκα, ὅλην του τὴν φροντίδα τὴν διαθέτει δι' αὐτήν. Συνέπεια τῆς μονομε-

---

1) «Ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα» (Α' Τιμόθ. ς', 8)

2) «Γύμναζε σαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος· ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς, τῆς νῦν καὶ τῆς μελλούσης» (Α' Τιμόθ. δ', 7—8).

ροῦς αὐτῆς φροντίδος εἶναι ἢ νὰ περιπίπτῃ εἰς τὴν γαστριμαργίαν, τὴν ἀκολασίαν, τὴν λύπην, τὴν ὀργὴν καὶ τὴν μνησικακίαν, καὶ ἐκ τούτων νὰ σκοτίζῃ τὸν νοῦν του, ἢ ἀπὸ τὴν ὑπερβολικὴν καὶ ἄμετρον ἄσκησιν νὰ θολοῦται ἡ διάνοιά του.

5. Ἡ Ἁγία Γραφὴ τίποτε δὲν ἀπαγορεύει ἀπὸ ὅσα ἔχουν δοθῆ εἰς ἡμᾶς πρὸς νόμιμον χρῆσιν· ἀλλὰ μόνον τὴν κατάχρησιν καταδικάζει καὶ διορθώνει τὴν ἀπερισκεψίαν. Παραδείγματος χάριν, δὲν μᾶς ἐμποδίζει νὰ τρώγωμεν, οὔτε νὰ ἔχωμεν χρήματα καὶ συνετῶς νὰ τὰ διαχειριζώμεθα, ἐμποδίζει ὅμως νὰ εἴμεθα γαστρίμαργοι, φιλάργυροι καὶ οὕτω καθ' ἑξῆς. Ἀλλ' οὔτε καὶ ἁπλῶς νὰ τὰ σκεπτώμεθα μᾶς ἐμποδίζει ἡ Ἁγία Γραφή· δι' αὐτὸ ἄλλωστε καὶ ἔχουν γένει. Καταδικάζει μόνον τὴν ἐμπαθῆ περὶ αὐτὰ ἐνασχόλησιν, ἥτις ὁδηγεῖ εἰς πονηρὰν ἐπιθυμίαν.

6. Αἱ ἐντολαὶ τοῦ Κυρίου μᾶς διδάσκουν νὰ κάμνωμεν συνετὴν χρῆσιν τῶν διαφόρων πραγμάτων ὡς μέσων· ἡ συνετὴ χρῆσις τῶν μέσων αὐτῶν καθαίρει τὴν κατάστασιν τῆς ψυχῆς· ἡ δὲ καθαρὰ κατάστασις γεννᾷ τὴν διάκρισιν.

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΠΡΟ τοῦ ἐνάρξασθαι πράγματος, νόει τὴν ἔκβασιν αὐτοῦ, καὶ πρὸ μάχης, λογίζου τὸν ἀντικείμενον· γέγραπται γάρ, ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.

2. Μή σε εὕρῃ ὁ ἐχθρός, Μοναχέ, ποιοῦντα τι ἔξω τοῦ ἐπαγγέλματός σου, καὶ οὐ μή σε πτοήσει ποτέ.

Ἑρμηνεία

ΠΡΙΝ ΑΡΧΙΣΗΣ μίαν ἐργασίαν, νὰ σκέπτεσαι τὸ ἀποτέλεσμα αὐτῆς· καὶ πρὸ τῆς μάχης νὰ ἐξετάζῃς μετὰ προσοχῆς τὸν ἀντίπαλον· διότι ἔχει γραφῆ· ἐκεῖνος ποὺ προέρχεται ἀπὸ τὸν Θεὸν προφυλάσσει τὸν ἑαυτόν του καὶ ὁ πονηρὸς δὲν τὸν ἐγγίζει (1).

2. Μοναχέ, πρόσεξε μὴ σὲ εὕρῃ ὁ ἐχθρὸς (=ὁ διάβολος) νὰ κάμνῃς κάτι ποὺ δὲν ἁρμόζει εἰς τὸ μοναχικόν σου σχῆμα· ἐφ' ὅσον δὲν θὰ συμβῇ αὐτό, ποτὲ μὴ τὸν φοβηθῇς.

Ϛ'. Τοῦ Ἁγίου Ἰσαὰκ

Η ΑΝΑΠΑΥΣΙΣ καὶ ἀργία ἀπώλειά εἰσι τῆς ψυχῆς, καὶ πλείω τῶν δαιμόνων δύνανται βλάψαι αὗται.

2. Τὸ σῶμα τὸ ἀσθενές, ὅταν ἀναγκάσῃς εἰς ἔργα περισσότερα τῆς δυνάμεως αὐτοῦ, σκότωσιν ἐπὶ σκοτώσει ἐμποιεῖς τῇ ψυχῇ, καὶ σύγχυσιν αὐτῇ μᾶλλον ἐπιφέρεις.

3. Τὸ δὲ σῶμα τὸ ἰσχυρόν, ἐὰν ἐν τῇ ἀναπαύσει καὶ τῇ ἀργίᾳ ἐκδῷς, πᾶσα

---

1) «Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ» (Α' Ἰωάν. ε', 18—19).

κακία τελεσθήσεται ἐν τῇ ψυχῇ τῇ οἰκούσῃ ἐν αὐτῷ· καὶ ἡ ἐπιθυμία τοῦ ἀγαθοῦ ἀποβάλλει καὶ αὐτὴν τὴν ἐπιθυμίαν, καὶ στρέφει αὐτὴν εἰς τὸ τῶν ὀλεθρίων ἐπιθυμεῖν.

4. Εἰ δὲ μεθυσθῇ ἡ ψυχὴ ἐν τῇ χαρᾷ τῆς ἐλπίδος αὐτῆς καὶ τῇ εὐφροσύνῃ τοῦ Θεοῦ, ἀναισθητεῖ τὸ σῶμα τῶν θλίψεων, κἂν ἀσθενὲς ᾖ· καὶ βαστάζει διπλοῦν βάρος καὶ οὐ κατανοεῖ, διὰ τὸ συναπολαύειν τῇ ψυχῇ τῆς τοῦ πνεύματος τροφῆς τε καὶ παρακλήσεως.

5. Ἡ καρδία πεπληρωμένη λύπης ὑπὲρ τῆς ἀσθενείας καὶ ἀδυναμίας τῶν σωματικῶν πράξεων ἀναπληροῖ τὸν τόπον διὰ τῆς λύπης πάσης τῆς σωματικῆς ἐργασίας. Αἱ πράξεις τοῦ σώματος ἐκτὸς τῆς λύπης τῆς διανοίας, ὥς περ σῶμα ἄψυχόν ἐστιν.

6. Ὁ δὲ τῇ καρδίᾳ περίλυπος καὶ ταῖς αἰσθήσεσι λελυμένος, ὅμοιός ἐστιν ἀνθρώπῳ υἱὸν μονογενῆ ἔχοντι, καὶ τοῦτον ταῖς ἑαυτοῦ χερσὶν ἀποσφάττοντι· ἡ γὰρ λύπη τῆς διανοίας Θεοῦ δόσις τιμία ἐστί, καὶ ὁ βαστάζων αὐτὴν καθὼς πρέπει, βαστάζει ἐν ἑαυτῷ ἁγιότητα.

Ἑρμηνεία

Η ΜΑΛΘΑΚΟΤΗΣ καὶ ἡ ἀργία καταστρέφουν τὴν ψυχὴν καὶ ἠμποροῦν νὰ τὴν βλάψουν περισσότερον καὶ ἀπὸ τοὺς δαίμονας ἀκόμη.

† ② Τὸ ἀσθενικὸν σῶμα, ὅταν τὸ ἐξαναγκάσῃς νὰ ἐργασθῇ περισσότερον ἀπὸ τὴν δύναμίν του, προκαλεῖς εἰς τὴν ψυχὴν μεγάλην σκοτοδίνην καὶ μᾶλλον τὴν κάμνεις νὰ θολώνῃ.

3 Τὸ ἰσχυρὸν καὶ εὔρωστον σῶμα, ὅταν τὸ ἀφήσῃς εἰς τὴν μαλθακότητα καὶ τὴν ἀργίαν, τότε ὁδηγεῖς καὶ τὴν ψυχήν, ποὺ ἐνοικεῖ εἰς αὐτό, νὰ πραγματοποιήσῃ ὅλας τὰς κακίας. Εἰς τὴν κατάστασιν δὲ αὐτῆς τῆς ἐπικινδύνου μαλθακότητος καὶ αὐτὴ ἡ ἐπιθυμία τοῦ ἀγαθοῦ διαστρέφεται, ὥστε ἡ ψυχὴ νὰ μὴ ἐπιθυμῇ πλέον τὸ κατὰ Θεὸν ἀγαθόν, ἀλλὰ τὰ καταστρεπτικὰ καὶ ἐπιζήμια.

4. Ἐφ' ὅσον δὲ ἡ ψυχὴ μεθύσῃ ἀπὸ τὴν πνευματικὴν χαράν, τὴν ἐλπίδα τῆς αἰωνιότητος καὶ τὴν εὐφροσύνην τοῦ Θεοῦ, τότε καὶ τὸ σῶμα, καὶ ἐὰν ἀκόμη εἶναι ἀσθενικόν, δὲν αἰσθάνεται τὰς θλίψεις. Τότε συμβαίνει νὰ σηκώνῃ αὐτὸ διπλοῦν βάρος, ἀπ' ὅ,τι δύναται, καὶ νὰ μὴ τὸ ἀντιλαμβάνεται, διότι συναπολαμβάνει μὲ τὴν ψυχὴν τὴν πνευματικὴν ἀπόλαυσιν καὶ ἐλπίδα, καὶ τὴν κατὰ Θεὸν χαράν.

5. Ὅταν ἡ καρδία δοκιμάζῃ λύπην διὰ τὰς ἠθικὰς ἀτελείας τῶν σωματικῶν πράξεων, τότε ἡ λύπη αὐτὴ ἀντικαθιστᾷ κάθε σωματικὴν ἐργασίαν. Αἱ δι' ἄσκησιν κακουχίαι τοῦ σώματος, ὅταν δὲν συνοδεύωνται ἀπὸ τὴν λύπην τῆς διανοίας, ὁμοιάζουν μὲ σῶμα χωρὶς ψυχήν.

6. Ἐκεῖνος ὁ ὁποῖος δοκιμάζει εἰς τὴν καρδίαν του λύπην διὰ τὰς ἠθικάς του ἀτελείας καὶ ἔχει ἐλευθερωθῆ ἀπὸ τὴν κυριαρχίαν τῶν αἰσθήσεων, ὁμοιάζει μὲ ἄνθρωπον, ποὺ ἔχει μονογενῆ υἱὸν καὶ ἑτοιμάζεται νὰ τὸν σφάξῃ μὲ τὰς ἰδίας του τὰς χεῖρας· διότι ἡ λύπη τῆς διανοίας εἶναι δῶρον πολύτιμον τοῦ Θεοῦ καὶ ἐκεῖνος ποὺ τὴν κρατεῖ ὅπως πρέπει, διατηρεῖ μέσα του τὴν ἁγιότητα.



ΥΠΟΘΕΣΙΣ ΛΒ'

Ὅτι ἄνευ τῆς ἄνωθεν βοηθείας, οὔτε κακίας ἀπαλλαγή, οὔτε ἀρετῆς περιποίησις τῷ ἀγωνιζομένῳ προσγίνεται καὶ ὅτι ἡ υἱοθεσία οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ Χάριτος γίνεται.

Χωρὶς τὴν βοήθειαν τοῦ Θεοῦ δὲν δύναται ὁ ἀγωνιζόμενος οὔτε ἀπὸ τὴν κακίαν νὰ ἀπαλλαγῇ, οὔτε τὴν ἀρετὴν νὰ πραγματοποιήσῃ. Ἡ υἱοθεσία δὲν εἶναι ἀποτέλεσμα τῶν ἔργων μας ἀλλὰ τῆς Θείας Χάριτος.

Α'. Τοῦ Ἀββᾶ Μάρκου

ΠΟΙΗΣΑΣ ἀρετήν, μνήσθητι τοῦ εἰρηκότος, «ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν»· πάσης γὰρ ἀρετῆς κατάρχει ὁ Θεός, ὡς ἐκ τοῦ μεθημερινοῦ φωτὸς ὁ ἥλιος. Ὁ Κύριος πᾶσαν ἐντολὴν ὀφειλομένην φησίν· «ὅταν πάντα ποιήσητε τὰ προστεταγμένα ὑμῖν, τότε εἴπατε, ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν, καὶ ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν». Διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ Βασιλεία τῶν οὐρανῶν, ἀλλὰ Χάρις Δεσπότου πιστοῖς δούλοις ἡτοιμασμένη· οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ' εὐαρεστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ Χάριν ἐκδέχεται.

2. Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς, καὶ τοῖς εὖ δουλεύουσιν αὐτῷ τὴν ἐλευθερίαν χαρίζεται· φησὶ γάρ· «εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἐγένου πιστός, ἐπὶ πολλῶν σε καταστήσω, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου». Οὔπω δοῦλός ἐστι πιστὸς ὁ ψιλῇ γνώσει ἐπερειδόμενος, ἀλλ' ὁ δι' ὑπακοῆς τῷ ἐντειλαμένῳ Χριστῷ πιστεύων. Ὁ τὸν Δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα· σφαλεὶς δὲ ἢ παρακούσας, ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα.

3. Τινὲς μὴ ποιοῦντες τὰς ἐντολὰς πιστεύειν ὀρθῶς νομίζουσι· τινὲς δὲ ποιοῦντες, ὡς μισθὸν ὀφειλόμενον τὴν Βασιλείαν ἐκδέχονται· ἀμφότεροι δὲ τῆς ἀληθείας ἐπεσφάλησαν, παρὰ δεσπότου δούλοις μισθὸς οὐ κεχρεώστηται· οὐδ' αὖ πάλιν οἱ μὴ δουλεύσαντες ὀρθῶς ἐλευθερίας τυγχάνουσιν.

4. Εἰ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, κατὰ τὰς Γραφάς, καὶ οὐ ζῶμεν ἑαυτοῖς, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἐγερθέντι, δῆλον ὅτι δουλεύειν αὐτῷ ἕως θανάτου κεχρεωστήκαμεν· πῶς οὖν ὀφειλομένην τὴν υἱοθεσίαν λογισόμεθα;

5. Χριστὸς Δεσπότης κατ' οὐσίαν, καὶ Δεσπότης κατ' οἰκονομίαν, ὅτι καὶ μὴ ὄντας ἐποίησε, καὶ τῇ ἁμαρτίᾳ θανόντας διὰ τοῦ ἰδίου αἵματος ἐξηγόρασε, καὶ τοῖς οὕτω πιστεύουσι τὴν Χάριν ἐδωρήσατο.

6. Ὅταν ἀκούσῃς τῆς Γραφῆς λεγούσης ὅτι ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, οὐκ ἔργα λέγει γεέννης ἢ Βασιλείας ἀντάξια, ἀλλ' ἔργα τῆς εἰς αὐτὸν ἀπιστίας ἢ πίστεως· καθάπερ ὁ Χριστὸς ἀποδίδωσιν ἑκάστῳ, οὐχ ὡς συναλλάκτης πραγμάτων, ἀλλ' ὡς Θεὸς κτίστης καὶ ἀγοραστὴς ἡμῶν.

7. Ὅσοι τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἠξιώθημεν, τὰ ἀγαθὰ ἔργα οὐ δι' ἀνταπόδοσιν προσφέρομεν, ἀλλὰ διὰ φυλακὴν τῆς δοθείσης ἡμῖν καθαρότητος· πᾶν ἔργον ἀγαθόν, ὃ διὰ τῆς ἡμετέρας ἐργαζόμεθα φύσεως, ἀπέχεσθαι μὲν ποιεῖ τοῦ ἐναντίου κακοῦ, προσθήκην δὲ ἁγιασμοῦ ἐκτὸς Χάριτος ποιῆσαι οὐ δύναται.

8. Ὁ ἐγκρατὴς ἀπέχεται γαστριμαργίας· ὁ ἀκτήμων πλεονεξίας· ὁ ἥσυχος, πολυλογίας· ὁ σεμνός, πορνείας· ὁ αὐτάρκης, φιλαργυρίας· ὁ πρᾶος, ταραχῆς· ὁ ταπεινόφρων, κενοδοξίας· ὁ ὑποτακτικός, φιλονεικίας· ὁ ἐλεγκτικός, ὑποκρίσεως· ὁμοίως ὁ εὐχόμενος ἀπέχεται ἀνελπιστίας· ὁ πτωχός, πολυχρηματίας· ὁ ὁμολογητής, ἀρνήσεως· ὁ μάρτυς, εἰδωλολατρίας.

9. Βλέπεις πῶς πᾶσα ἀρετή, ἡ ἕως θανάτου ἐπιτελουμένη, οὐδὲν ἕτερον ἢ ἁμαρτίας ἐστὶν ἀποχή; φύσεώς ἐστιν ἔργον, οὐ Βασιλείας ἀντάλλαγμα· ἄνθρωπος μόλις φυλάσσει τὰ τῆς ἑαυτοῦ φύσεως· Χριστὸς διὰ σταυροῦ τὴν υἱοθεσίαν χαρίζεται· ὁ ποιῶν ἀγαθὸν καὶ ζητῶν ἀνταπόδοσιν οὐ δουλεύει Θεῷ, ἀλλὰ τῷ ἰδίῳ θελήματι· οὐκ ἔστιν ἁμαρτήσαντα τὴν ἀνταπόδοσιν διαδράσαι, εἰ μὴ διὰ μετανοίας προσηκούσης τῷ πράγματι.

10. Τινὲς λέγουσιν, οὐ δυνάμεθα ποιῆσαι τὸ ἀγαθόν, ἐὰν μὴ ἐναργῶς δεξώμεθα τὴν Χάριν τοῦ Πνεύματος· ἀεὶ οἱ προαιρέσει ταῖς ἡδοναῖς ἐγκείμενοι παραιτοῦνται τὸ κατὰ δύναμιν ἡ μὲν Χάρις τοῖς ἐν Χριστῷ βαπτισθεῖσι μυστικῶς δεδώρηται, ἐνεργεῖ δὲ κατὰ ἀναλογίαν τῆς ἐργασίας τῶν ἐντολῶν καὶ κρυφίως βοηθεῖν ἡμῖν ἡ Χάρις οὐ παύεται· ἐφ' ἡμῖν δέ ἐστι ποιεῖν ἢ μὴ ποιεῖν τὸ ἀγαθὸν κατὰ δύναμιν.

11. Πρῶτον μὲν θεοπρεπῶς διεγείρει τὴν συνείδησιν, ὅθεν καὶ κακοποιοὶ μετανοήσαντες, τῷ Θεῷ εὐηρέστησαν· πάλιν ἐν διδασκαλίᾳ τοῦ πλησίον ἐγκρύπτεται, ἔστι δ' ὅτε ἐν τῇ ἀναγνώσει τῇ διανοίᾳ παρέπεται, καὶ διὰ φυσικῆς ἀκολουθίας ἐκδιδάσκει τὸν νοῦν τὴν ἑαυτῆς ἀλήθειαν· εἰ οὖν τῆς μερικῆς ἀκολουθίας τὸ τάλαντον μὴ κρύψωμεν, εἰς τὴν χαρὰν τοῦ Κυρίου ἐναργῶς εἰσελευσόμεθα. Ὁ πρὸ τῆς ἐργασίας τῶν ἐντολῶν τὰς εὐεργεσίας τοῦ πνεύματος ἐπιζητῶν, ὅμοιός ἐστι δούλῳ ἀργυρωνήτῳ, ὃς ἅμα τῷ ἀγορασθῆναι σὺν ταῖς ὠναῖς καὶ ἐλευθερίαν γραφῆναι παραζητεῖ.

12. Τοῖς ὑπὲρ εὐσεβείας πόνοις ἐπακολουθεῖ ἀντίληψις· τοῦτο δὲ γνωστέον διὰ νόμου θείου καὶ συνειδήσεως· σπόρος οὐκ αὐξηθήσεται δίχα γῆς καὶ ὕδατος, καὶ οὐκ ὠφεληθήσεται ἄνθρωπος, ἐκτὸς ἑκουσίων πόνων καὶ θείας ἀντιλήψεως.

13. Ὁ ὀρθῶς μετανοῶν οὐκ ἀντελλογεῖ τὸν κόπον τοῖς παλαιοῖς ἁμαρτήμασιν, ἀλλ' ἢ δι' ἑαυτοῦ τὸν Θεὸν ἐξευμενίζεται, εἰ ὅσα ἔχει ἡ φύσις ἡμῶν καλὰ καθ' ἡμέραν ποιεῖν αὐτὰ κεχρεωστήκαμεν· τί λοιπὸν περὶ τῶν προγεγενημένων κακῶν Θεῷ ἀνταποδώσομεν; ὅσην ἂν ὑπερβολὴν ἀρετῆς σήμερον ποιήσωμεν, παρελθούσης ἀμελείας ἔλεγχός ἐστιν, οὐκ ἀνταπόδοσις.

14. Φόβος Θεοῦ ἀναγκάζει ἡμᾶς πολεμεῖν τῇ κακίᾳ· ἡμῶν δὲ πολεμούντων, ἡ Χάρις τοῦ Κυρίου ἀναιρεῖ αὐτήν.

15. Ἀδελφοί, ὁ ἀγὼν ἡμῶν πρόσκαιρός ἐστιν, ἡ δὲ ἀνταπόδοσις καὶ τὰ ἔπαθλα αἰώνια· ὅσον δέ τις προθύμως ἀγωνίζεται, τοσοῦτον καὶ ὁ ἐχθρός, εἰς μανίαν ἐξαπτόμενος, σφοδρότερον αὐτῷ ἐπιτίθεται· ἀλλ' ἡ τοῦ Θεοῦ Χάρις οὐκ ἐνδιαλείπει τὴν ἑαυτῆς χάριν καὶ βοήθειαν τῷ πολεμοῦντι παρέχουσα, εἰ ταύτην ἐκεῖνος ὁλοψύχως ἐπικαλεῖται.

16. Εἰ δέ τις χαυνώσας ἑαυτὸν ὀκνήσει ταύτην ἐπικαλέσασθαι εἰς ἀντίληψιν, καὶ κυριευθῇ ὑπὸ τοῦ ἐχθροῦ ὡς μὴ βοηθούμενος ὑπ' αὐτῆς, ἑαυτὸν αἰτιάσθω τῆς ῥαθυμίας· ὥσπερ γὰρ εἴ τις ὑγιεῖς ἔχων τὰς χεῖρας, ἀφθονίας προκειμένης ἐδεσμάτων ὀκνοίη ταύτας ἐκτεῖναι καὶ τῶν ἀγαθῶν ἀπολαῦσαι, αἴτιος ἑαυτοῦ εἰς τὸ λιμώττειν γίνεται, οὕτω καὶ ὁ ἀμελῶν ἐπικαλεῖσθαι τὴν Χάριν, καὶ τῆς παρ' αὐτοῦ δυνάμεως ἐμπλησθῆναι, ἑαυτῷ τὴν πτῶσιν προξενεῖ καὶ ἀπώλειαν.

17. Ὁ οὖν νήφων διὰ παντός, καὶ ταύτην ἐπικαλούμενος, ἀξιοῦται τῆς παρ'

αὐτῆς ἀντιλήψεως· ἥτις καὶ τὸν ἐχθρὸν συντόμως καταβαλοῦσα, τίθησιν ὑπὸ τοὺς πόδας αὐτοῦ, δοξάζει τὸν ἄνθρωπον καὶ δοξάζεται· χωρὶς δὲ ταύτης, καρδία ἑαυτῇ ἐπαρκέσαι οὐ δύναται, οὔτε κατάνυξιν κτήσασθαι, οὔτε ἐξομολογήσασθαι δεόντως τῷ δεσπότῃ, οὔτε ἄλλο τι ἐνεργῆσαι τῶν ἀγαθῶν· ἀλλὰ πτωχή τις καὶ ἐνδεὴς τῶν καλῶν ὑπάρχει, καὶ οἰκοῦσιν ἐν αὐτῇ οἱ ῥυπαροὶ καὶ ἀπευκταῖοι λογισμοί, ὥς περ νυκτικόραξ ἐν οἰκοπέδῳ.

Ἑρμηνεία

ΟΣΑΚΙΣ ἐπιτύχῃς νὰ πραγματοποιήσῃς μίαν ἀρετήν, νὰ ἐνθυμεῖσαι Αὐτὸν ποὺ εἶπεν, «ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδὲν» (Ἰωάν. ιε', 5)· διότι ἀρχὴ πάσης ἀρετῆς εἶναι ὁ Θεός, ὅπως ἀκριβῶς αἰτία τοῦ καθημερινοῦ φωτὸς ὁ ἥλιος. Ὁ Κύριος λέγει, ὅτι ὀφείλομεν νὰ ἐκτελέσωμεν τὰς ἐντολάς· «Ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν, ὅτι ὃ ὀφείλομεν ποιῆσαι πεποιήκαμεν» (Λουκ. ιζ', 10). Συμφώνως μὲ αὐτὰ καὶ ἡ Βασιλεία τῶν οὐρανῶν δὲν προσφέρεται ὡς μισθὸς δι' ὅσα καλὰ ἔργα ἐπιτελεῖ ὁ ἄνθρωπος, ἀλλ' εἶναι συνέπεια τῆς ἀγάπης τοῦ Θεοῦ, Χάρις τοῦ Δεσπότου, ἡ ὁποία ἔχει ἑτοιμασθῆ διὰ νὰ δοθῇ εἰς πιστοὺς καὶ ἀφωσιωμένους εἰς Αὐτὸν δούλους. Διὰ νὰ ἀντιληφθῶμεν καλλίτερον τὸ νόημα τῆς Χάριτος, ἂς σκεφθῶμεν τὸ ἑξῆς· ἕνας δοῦλος δὲν δύναται νὰ ζητήσῃ τὴν ἐλευθερίαν ὡς μισθὸν δι' αὐτὰ ποὺ προσφέρει εἰς τὸν κύριόν του [1]· ὅταν ὅμως ὡς χρεώστης, μὲ τὴν διαγωγήν του, εὐχαριστήσῃ τὸν δανειστήν, τότε ἀπὸ εὐχαρίστησιν τοῦ χαρίζεται τὸ δάνειον. Αὐτὸ εἶναι τὸ νόημα τῆς Χάριτος [2].

2. Κατὰ τὰς Ἁγίας Γραφὰς ὁ Χριστὸς ἀπέθανεν ὡς ὑπεύθυνος, καίτοι ἀναμάρτητος, διὰ νὰ μᾶς προσφέρῃ τὴν λύτρωσιν ἐκ τῶν ἁμαρτιῶν ἡμῶν καὶ νὰ χαρίσῃ εἰς τοὺς καλῶς ὑπηρετοῦντας Αὐτὸν τὴν ἠθικὴν ἐλευθερίαν καὶ τὴν ἀναγέννησιν. Αὐτὸ ἐξάγεται ἀπὸ τὴν δεσποτικὴν φράσιν· «Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἧς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου» (Ματθ. κε', 21). Δοῦλος δὲ πιστὸς δὲν εἶναι ἐκεῖνος, ποὺ ἐπαναπαύεται μόνον εἰς τὴν γυμνὴν γνῶσιν, ἀλλ' ἐκεῖνος, ὁ ὁποῖος φανερώνει τὴν πίστιν του πρὸς τὸν ἐντολοδότην Χριστὸν δι' ὑπακοῆς πρὸς Αὐτόν. Ἐκεῖνος ὁ ὁποῖος τιμᾷ εἰλικρινῶς τὸν Δεσπότην, ἐκτελεῖ εὐχαρίστως καὶ προθύμως τὰ ὑπ' Αὐτοῦ διατασσόμενα· ὅταν δὲ περιπέσῃ εἰς σφάλμα ἢ παρακούσῃ, ὑφίσταται ἀγογγύστως καὶ μὲ ὑπομονὴν τὰς συνεπείας τῶν πράξεων, διὰ τὰς ὁποίας εὐθύνεται.

3. Μερικοὶ νομίζουν, ὅτι ὠφελοῦνται, ὅταν πιστεύουν ὀρθῶς, χωρὶς νὰ ἐκτελοῦν τὰς ἐντολὰς τοῦ Θεοῦ· ἄλλοι πάλιν ἐκτελοῦντες τὰς

1) Νόμος ἦτο οὗτος τοῦ θεσμοῦ τῆς δουλείας, ἥτις ἐπεκράτει κατὰ τὴν ἐποχὴν ἐκείνην καὶ μέχρις τοῦ παρελθόντος αἰῶνος, ὅτε πλέον κατηργήθη.

2) Εἶναι προφανὴς ἡ ἐπίδρασις τοῦ πνεύματος τῆς παραβολῆς τῶν μυρίων ταλάντων (Ματθ. ιη', 24).

ἐντολὰς τοῦ Θεοῦ, ἔχουν τὴν γνώμην, ὅτι ὁ Θεὸς τοὺς χρεωστεῖ ὡς μισθὸν τὴν Βασιλείαν τῶν οὐρανῶν. Ὅλοι, ὅσοι σκέπτονται κατὰ τὸν ἕνα ἢ τὸν ἄλλον τρόπον, ἔχουν λάθος· ὁ Δεσπότης, ἀκριβῶς διότι εἶναι Δεσπότης, δὲν ἔχει χρεωθῆ μὲ κανένα μισθὸν πρὸς τοὺς δούλους, ἀκριβῶς διότι εἶναι δοῦλοι· ἀλλ' οὔτε πάλιν καὶ ἐκεῖνοι, οἱ ὁποῖοι δὲν ἐργάζονται τὸ ἀγαθὸν ὅπως πρέπει, δικαιοῦνται ἐλευθερίας.

4. Ἐφ' ὅσον ὁ Χριστὸς ἀπέθανε χάριν ἡμῶν, κατὰ τὴν διδασκαλίαν τῶν Ἁγίων Γραφῶν, καὶ δὲν ζῶμεν πλέον διὰ τοὺς ἑαυτούς μας, ἀλλὰ χάριν Ἐκείνου ποὺ ἀπέθανε καὶ ἀνεστήθη δι' ἡμᾶς, εἶναι φανερόν, ὅτι ἔχομεν ὑποχρέωσιν νὰ δουλεύωμεν Αὐτὸν μέχρι θανάτου. Πῶς λοιπὸν νομίζομεν, ὅτι ὁ Θεὸς μᾶς ὀφείλει, ὡς μισθόν, τὴν υἱοθεσίαν;

5. Ὁ Χριστὸς εἶναι Δεσπότης καὶ κατ' οὐσίαν καὶ κατ' οἰκονομίαν· κατ' οὐσίαν μὲν διότι μᾶς ἐδημιούργησεν ἐκ τοῦ μὴ ὄντος· κατ' οἰκονομίαν δέ, διότι ὅταν ἀπεθάναμεν ἀπὸ τὴν ἁμαρτίαν, μᾶς ἐξηγόρασε μὲ τὸ ἴδιον αἷμά Του καὶ μᾶς προσέφερε τὴν ζωὴν καὶ τὴν ἐλευθερίαν.

6. Ὅταν ἀκούσῃς νὰ λέγῃ ἡ Ἁγία Γραφή, ὅτι ὁ Θεὸς θὰ «ἀποδώσῃ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ» (Ρωμ. β', 6), μὴ νομίσῃς ὅτι ἐννοεῖ ὡς ἔργα τὰς πράξεις διὰ τὰς ὁποίας θὰ προσφερθῇ ὡς μισθὸς ἡ γέεννα τοῦ πυρὸς ἢ ἡ Βασιλεία τῶν οὐρανῶν· ἀλλ' ἔργα ὀφειλόμενα εἰς τὴν πίστιν ἢ ἀπιστίαν πρὸς Αὐτόν. Ὁ Χριστὸς ἀποδίδει εἰς τὸν καθένα κατὰ τὰ ἔργα του, ὄχι ὡς ἔμπορος πραγμάτων, ἀλλ' ὡς Θεός, ποὺ μᾶς ἐδημιούργησε καὶ μᾶς ἐξηγόρασεν ἐκ τῆς ἁμαρτίας.

7. Ὅσοι ἔχομεν ἀξιωθῆ τοῦ Λουτροῦ, δι' οὗ ἀναγεννώμεθα καὶ πάλιν, δηλαδὴ τοῦ Ἁγίου Βαπτίσματος, ὀφείλομεν νὰ ἐκτελῶμεν τὰ ἀγαθὰ ἔργα, ὄχι διὰ νὰ προσφέρωμεν ἀνταπόδοσιν τῆς δοθείσης διὰ τοῦ Ἁγίου Βαπτίσματος Χάριτος, ἀλλὰ διὰ νὰ ἐξασφαλίσωμεν τὴν καθαρότητα, τὴν ὁποίαν ἐκερδίσαμεν διὰ τοῦ Μυστηρίου. Κάθε ἔργον ἀγαθόν, τὸ ὁποῖον πραγματοποιοῦμεν διὰ τῆς ἡμετέρας (=ἀνθρωπίνης) φύσεως, μᾶς καθιστᾷ μὲν ἱκανοὺς νὰ ἀπέχωμεν ἀπὸ τὸ ἀντίθετον κακόν, δὲν ἠμπορεῖ ὅμως νὰ μᾶς προσθέσῃ ἁγιότητα, τὴν ὁποίαν μόνον ἡ θεία Χάρις ἐξασφαλίζει.

8. Ὁ ἐγκρατὴς διὰ τῆς ἐγκρατείας ἀπέχει ἀπὸ τὴν γαστριμαργίαν· ὁ ἀκτήμων τῆς πλεονεξίας· ὁ ἥσυχος τῆς πολυλογίας· ὁ σεμνὸς τῆς πορνείας· ὁ αὐτάρκης τῆς φιλαργυρίας· ὁ πρᾶος τῆς ταραχῆς· ὁ ταπεινόφρων τῆς κενοδοξίας· ὁ ὑποτακτικὸς τῆς φιλονεικίας· ὁ ἐλεγκτικὸς τῆς ὑποκρισίας. Ἐπίσης ἐκεῖνος, ποὺ διαρκῶς προσεύχεται, ἀπέχει διὰ τῆς εὐχῆς ἀπὸ τὴν ἀπελπισίαν· ὁ πτωχὸς τοῦ ἁμαρτωλοῦ πλούτου· ὁ ὁμολογητὴς τῆς ἀρνήσεως· ὁ ὑφιστάμενος βασανιστήρια, διὰ τὸν Χριστόν, ἀποφεύγει τὴν εἰδωλολατρίαν.

9. Βλέπεις λοιπόν, ὅτι ἑκάστη ἀρετή, τὴν ὁποίαν ὁ ἄνθρωπος μέχρι θανάτου πραγματοποιεῖ, δὲν εἶναι τίποτε ἄλλο παρὰ ἀποχὴ ἀπὸ τὴν ἁμαρτίαν; Ἡ ἀρετὴ εἶναι ἔργον τῆς ἀνθρωπίνης φύσεως καὶ ὄχι

νόμισμα μὲ τὸ ὁποῖον ἀνταλλάσσει ὁ ἄνθρωπος τὴν Βασιλείαν τῶν οὐρανῶν. Ἀσκῶν λοιπὸν τὴν ἀρετὴν ὁ ἄνθρωπος περιφρουρεῖ τὰ προσόντα τῆς φύσεώς του. Ὁ Χριστὸς διὰ τῆς σταυρικῆς θυσίας χαρίζει εἰς τὸν ἄνθρωπον τὴν υἱοθεσίαν. Ἐκεῖνος, ποὺ ἐκτελεῖ τὸ ἀγαθὸν καὶ ζητεῖ ἀνταπόδοσιν, δὲν ὑπηρετεῖ τὸν Θεόν, ἀλλὰ τὸν ἐγωϊσμόν του (=τὸ θέλημά του). Ἕνας, ποὺ θὰ ἁμαρτήσῃ, δὲν εἶναι δυνατὸν νὰ ἐπιτύχῃ τὴν ἐκ Θεοῦ ἀνταπόδοσιν τῆς ἀφέσεως τῆς ἁμαρτίας, παρὰ μόνον ἐφ᾽ ὅσον ὑποβληθῇ εἰς τὴν μετάνοιαν, ποὺ ἁρμόζει εἰς τὴν περίπτωσίν του.

10. Μερικοὶ λέγουν, ὅτι δὲν δυνάμεθα νὰ κάμωμεν τὸ ἀγαθόν, ἐὰν δὲν γίνῃ αἰσθητὴ ἡ παρουσία τῆς Χάριτος εἰς ἡμᾶς· εἶναι παρατηρημένον, ὅτι αὐτῶν, ποὺ ἡ προαίρεσις κλίνει πρὸς τὰς ἡδονάς, παραιτοῦνται πάντοτε τῆς προσπαθείας νὰ κάμουν αὐτό, ποὺ ἠμποροῦν καὶ μόνοι των.

Ἡ μὲν Χάρις—τὴν ὁποίαν ἐπιζητοῦν—ἔχει δωρηθῇ εἰς τοὺς βαπτισθέντας εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, κατὰ τρόπον, ποὺ δὲν ἠμπορεῖ νὰ ἐλέγξῃ ἡ ἀνθρωπίνη λογική· ἡ δὲ ἐνέργειά της ἐξαρτᾶται ἀπὸ τὸν βαθμὸν προθυμίας, μὲ τὴν ὁποίαν κατεργαζόμεθα τὰς ἐντολὰς τοῦ Κυρίου, καὶ δὲν παύει ποτὲ νὰ μᾶς βοηθῇ εἰς τὸ ἔργον τοῦ ἀγαθοῦ, χωρὶς ὅμως νὰ φαίνεται. Ὡστόσον εἶναι εἰς τὸ αὐτεξούσιον ἡμῶν νὰ κάμωμεν ἢ νὰ μὴ κάμωμεν τὸ ἀγαθόν, κατὰ τὸ μέτρον τῆς δυνάμεως ἡμῶν.

11. Ἡ θεία Χάρις ἐνεργεῖ κατὰ τὸν ἑξῆς τρόπον· πρῶτον μὲν ἀφυπνίζει τὴν συνείδησιν τοῦ ἀνθρώπου, ὥστε αὕτη νὰ κρίνῃ ὅπως θέλει ὁ Θεός· δι᾽ αὐτὸ βλέπομεν καὶ κακοποιοὺς ἀκόμη νὰ μετανοοῦν καὶ νὰ εὐχαριστοῦν τὸν Θεὸν κατὰ τὴν ὑπόλοιπον ζωήν των. Εἰς ἄλλην πάλιν περίπτωσιν ἡ Χάρις ἐνεργεῖ διὰ τῆς διδασκαλίας τοῦ πλησίον, ὡς νὰ εἶναι κρυμμένη εἰς αὐτήν· ἄλλοτε πάλιν, κατὰ τὴν ἀνάγνωσιν ὠφελίμων καὶ διδακτικῶν βιβλίων, παρακολουθεῖ τὴν διάνοιαν καὶ διὰ τῆς φυσικῆς σειρᾶς τῶν διδασκομένων ἐν τῷ βιβλίῳ διδάσκει τὸν νοῦν μας διὰ τὴν πραγματικότητα αὐτῆς. Ἐὰν λοιπὸν προσέξωμεν ἀπὸ ὅλα αὐτὰ νὰ ὠφεληθῶμεν, ἐξόχως θὰ ἀπολαύσωμεν τὴν χαρὰν τοῦ Κυρίου μας. Ἐκεῖνος, ποὺ ζητεῖ νὰ ἀπολαύσῃ τὰς εὐεργεσίας, ποὺ δωρίζει τὸ Πνεῦμα, πρὶν νὰ ἐργασθῇ διὰ τὴν ἐκπλήρωσιν τῶν ἐντολῶν, ὁμοιάζει μὲ δοῦλον ἀγορασθέντα μὲ χρήματα [1] καὶ ὅστις μόλις τὸν ἠγόρασεν ὁ κύριός του, ἐπιζητεῖ νὰ γραφῇ εἰς τὸ συμβόλαιον τῆς ἀγορᾶς του καὶ ἡ ἀπονομὴ τῆς ἐλευθερίας του.

12. Εἰς τοὺς κόπους, ποὺ καταβάλλονται χάριν τῆς εὐσεβείας, ἔρχεται ἀμέσως ὡς βοήθεια καὶ εὐλογία ἡ προστασία τοῦ Θεοῦ (=τὸν κοπιάζοντα χάριν τῆς εὐσεβείας βοηθεῖ καὶ εὐλογεῖ ὁ Θεός). Αὐτὸ ἠμ-

---

1) Οἱ δοῦλοι αὐτοὶ ἐλέγοντο ἀργυρώνητοι· διότι εἶχον ἀγορασθῇ δι᾽ ἀργυρίων, ἤτοι χρημάτων τῆς ἐποχῆς.

ποροῦμεν νὰ τὸ μάθωμεν ἀπὸ τὸν νόμον τοῦ Θεοῦ καὶ τὴν συνείδησιν· ὁ σπόρος δὲν ἠμπορεῖ νὰ φυτρώσῃ καὶ νὰ μεγαλώσῃ τὸ ἐξ αὐτοῦ φυτὸν χωρὶς ἔδαφος καὶ ὕδωρ· κατ' ἀναλογίαν καὶ ὁ ἄνθρωπος δὲν θὰ ὠφεληθῇ πνευματικῶς χωρὶς τοὺς κόπους, ποὺ ἐξ ἰδίας προαιρέσεως καταβάλλει, ἀλλὰ καὶ χωρὶς τὴν προστασίαν καὶ βοήθειαν τοῦ Θεοῦ.

13. Αὐτός, ποὺ μετανοεῖ εἰλικρινῶς καὶ γνησίως, δὲν ὑπολογίζει τὸν κόπον τῆς μετανοίας ὡς ἐξιλασμὸν διὰ τὰ παλαιὰ ἁμαρτήματα, ἀλλὰ μόνος του, ὁ ἴδιος, προσπαθεῖ νὰ συμφιλιωθῇ μὲ τὸν Θεόν. Ἐφ' ὅσον ὅσα καλὰ ἔχει ἡ φύσις ἡμῶν, ὀφείλομεν καθημερινῶς νὰ τὰ ἐκτελῶμεν [1], τί ἀπομένει λοιπὸν νὰ προσφέρωμεν εἰς τὸν Θεὸν ὡς λύτρα διὰ προγενέστερα ἁμαρτήματα; Ἄλλωστε ὅσον πολλὰς ἀρετὰς καὶ ἐὰν ἐκτελέσωμεν σήμερον, δὲν ἀντισταθμίζουν προγενεστέρας ἁμαρτίας, διότι διὰ τὴν ἀμέλειαν, ποὺ ἐπεδείξαμεν εἰς τὸ παρελθόν, νὰ ἐκτελέσωμεν τὰ ὀφειλόμενα, μόνον ἔλεγχος χρειάζεται· ὄχι ἀνταπόδοσις, δηλαδὴ ἐξαγορά [2].

14. Ὁ φόβος τοῦ Θεοῦ μᾶς ἀναγκάζει νὰ πολεμῶμεν ἐναντίον τῆς κακίας· ὅταν ὅμως ἡμεῖς ἀγωνιζώμεθα μὲ διάθεσιν, τότε ἡ Χάρις τοῦ Κυρίου τὴν ἐξαφανίζει.

15. Ἀδελφοί, ὁ ἀγὼν ἡμῶν ἐναντίον τῆς κακίας εἶναι προσωρινός, διαρκεῖ ὅσον καὶ ὁ ἐπίγειος βίος μας· ἡ ἀνταπόδοσις ὅμως καὶ τὰ ἔπαθλα διὰ τὸν ἀγῶνα αὐτὸν εἶναι αἰώνια καὶ ἀθάνατα. Ὅσον κανεὶς ἀγωνίζεται μὲ μεγαλυτέραν προθυμίαν εἰς τὸν ἀγῶνα αὐτόν, τόσον περισσότερον φουντώνει ἀπὸ μανίαν ἐναντίον του ὁ ἐχθρὸς καὶ τοῦ ἐπιτίθεται μὲ μεγαλυτέραν σφοδρότητα. Δὲν πρέπει ὅμως νὰ φοβῆται ὁ ἀγωνιζόμενος, διότι ἡ Χάρις τοῦ Θεοῦ οὔτε στιγμὴν δὲν παραλείπει νὰ χαριτώνῃ καὶ νὰ βοηθῇ τὸν πολεμοῦντα, ἐφ' ὅσον βεβαίως καὶ ἐκεῖνος τὴν ἐπικαλεῖται μὲ ὅλην του τὴν ψυχήν.

16. Ἐὰν ὅμως κανεὶς ἀποχαυνωθῇ καὶ ἀμελήσῃ νὰ ἐπικαλεσθῇ τὴν Χάριν τοῦ Θεοῦ πρὸς βοήθειάν του, καὶ συμβῇ νὰ κυριευθῇ ὑπὸ τοῦ ἐχθροῦ, διότι δὲν ἐξησφάλισε τὴν συμμαχίαν τοῦ Θεοῦ, τὸν ἑαυτόν του ἂς θεωρῇ αἴτιον αὐτῆς τῆς ἀπροθυμίας. Διότι ὅπως ἀκριβῶς, ὅταν κανεὶς ἔχῃ ὑγιεῖς τὰς χεῖρας του καὶ εὑρίσκεται ἐνώπιον τραπέζης μὲ πολλὰ φαγητά, γίνεται ὁ ἴδιος αἴτιος τῆς πείνης του, ἐφ' ὅσον δὲν ἁπλώνει τὰς χεῖρας του νὰ πάρῃ ἀπὸ τὰ ἀγαθά, τοιουτοτρόπως καὶ ἐκεῖνος, ποὺ ἀμελεῖ νὰ ἐπικαλεσθῇ τὴν Χάριν τοῦ Θεοῦ καὶ νὰ πλουτισθῇ μὲ τὴν δύναμίν της, προκαλεῖ ὁ ἴδιος τὴν πτῶσιν του καὶ τὴν ἀπώλειάν του.

17. Ἐκεῖνος λοιπόν, ποὺ εἶναι πάντοτε νηφάλιος καὶ συνεχῶς ἐπι-

---

1) Καλὰ τῆς φύσεως ὠνόμασεν ἀνωτέρω ὁ αὐτὸς Πατὴρ τὰς ἀρετάς.

2) Ἡ θαυμασία καὶ δογματικῶς ὑγιεστάτη αὐτὴ ἄποψις, τῆς καθ' ὑποχρέωσιν ἀσκήσεως τῆς ἀρετῆς, ἀναιρεῖ τὴν περὶ ἀξιομισθίας καὶ ὑπερτάκτων ἔργων διδασκαλίαν τῆς Δυτικῆς Ἐκκλησίας.

καλεῖται τὴν Χάριν τοῦ Θεοῦ, ἀξιώνεται τῆς ἐξ αὐτῆς βοηθείας. Ἡ Χάρις αὕτη τοῦ Θεοῦ, ἀφοῦ κατανικήσῃ συντόμως τὸν ἐχθρόν, τὸν ρίπτει κατεντροπιασμένον κάτω εἰς τοὺς πόδας τοῦ ἀγωνιστοῦ, δοξάζει τὸν ἄνθρωπον, καὶ δοξάζεται διὰ τῆς νίκης αὐτῆς ἐναντίον τοῦ δαίμονος. Χωρὶς ὅμως τὴν συμμαχίαν καὶ τὴν συμπαράστασιν τῆς Χάριτος, μόνη της ἡ καρδία δὲν ἠμπορεῖ νὰ ἀντεπεξέλθῃ εἰς τὸν ἀγῶνα αὐτόν, οὔτε νὰ ἀποκτήσῃ κατάνυξιν, οὔτε νὰ ἐξυμνήσῃ ὅπως πρέπει τὸν Δεσπότην, οὔτε, ἐν πάσῃ περιπτώσει, νὰ κατορθώσῃ κάτι ἀπὸ τὰ ἀγαθά. Θὰ παραμένῃ ἡ τοιαύτη καρδία μία πτωχὴ καὶ ἐστερημένη τῶν καλῶν καὶ θὰ κατοικοῦν μέσα εἰς τὴν καρδίαν αὐτὴν ρυπαροὶ καὶ ἀπόβλητοι λογισμοί, ὅπως εἰς τὰ ἐρείπια κατοικοῦν νυκτοπούλια (1).



1) «Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ» (Ψαλμ. ρα', 7).

ΥΠΟΘΕϹΙϹ ΛΓ΄

Τίς ἡ τῶν πειρασμῶν αἰτία, καὶ τίς ἡ ἐκ τούτων ὠφέλεια, καὶ τίς ἡ διαφορά.

Ποία εἶναι ἡ αἰτία τῶν πειρασμῶν· ποία ἡ ἐξ αὐτῶν ὠφέλεια καὶ ποία ἡ μεταξύ των διαφορά.

Α΄. Τοῦ Ἀββᾶ Μάρκου

ΑΔΕΛΦΟΙ, οὐδεὶς τῶν συμβαινόντων πειρασμῶν ἑκάστῳ ἀδίκως ἐπέρχεται, ἀλλὰ πάντα κατὰ δικαίαν κρίσιν τοῦ Θεοῦ· τῶν μὲν ὑπὲρ τῶν ἰδίων κακῶν πασχόντων, τῶν δὲ ὑπὲρ τῶν τοῦ πλησίον. Λέγει ἡ Γραφή, εἰς κόλπον ἐπέρχεται πάντα τοῖς ἀδίκοις· παρὰ γὰρ Κυρίου πάντα τὰ δίκαια· καὶ πάλιν· πάντα τὰ ἔργα Κυρίου μετὰ δικαιοσύνης· καὶ ὃ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει.

2. Τοῦτο τὸ φρόνημα ἔχων καὶ ὁ Ἅγιος Δαβίδ, ὑπὸ τοῦ Σεμεΐ θλιβόμενος, κελεύσει Θεοῦ, διὰ ἰδίαν αἰτίαν ὡμολόγει θλίβεσθαι· τοῦτο καὶ ἐν τῷ ψαλμῷ φανεροποιῶν ἔλεγεν· «ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου καὶ ἀληθείᾳ ἐταπείνωσάς με»· καὶ πάλιν· «ὄνειδος ἄφρονι ἔδωκάς με, ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας».

3. Καὶ Ἡσαΐας δὲ καὶ Ἱερεμίας, Ἰεζεκιὴλ τε καὶ Δανιὴλ καὶ οἱ λοιποὶ Προφῆται, τῷ τε λαῷ καὶ τοῖς ἔθνεσι τὰ μέλλοντα κατὰ τὴν ἑκάστου ἁμαρτίαν ἐπέρχεται αὐτοῖς προεφήτευον, ἅμα καὶ τὰς αἰτίας τῆς ἐπιφορᾶς δηλώσαντες· φησὶ γάρ· ἀνθ' ὧν ἐλάλουν τά δε, καὶ ἐποίουν τά δε, ἐπέλθῃ αὐτοῖς τάδε καὶ τάδε.

4. Τελείου γὰρ ἀνδρός ἐστι ἀληθόργητον εἶναι ἐν τοῖς ἰδίοις ἡττήμασιν· εἰ δὲ τὰ προφανῆ ἡττήματα δυσκατανόητά εἰσι, πολλῷ μᾶλλον τὰ ἐνθυμήματα· ἡμεῖς δὲ τὸ πλεῖστον τῆς ἑαυτῶν κακίας ἀγνοοῦντες, ταρασσόμεθα ἐν ταῖς ἐπιφοραῖς.

5. Γνωσώμεθα οὖν ὡς λογικοί, ὅτι πρὸς τὴν ἡμῶν ὠφέλειαν ἐπιφέρει ὁ Κύριος τὰς ἐπαγωγάς, καὶ πολλὰ καλὰ δι' αὐτῶν ἐν ἡμῖν ἐργάζεται· πρῶτον, εὕρεσιν τῶν κρυπτῶς ἡμᾶς κατεχουσῶν φαύλων ἐννοιῶν· μετὰ τὴν τούτων εὕρεσιν καὶ ταπεινοφροσύνην προστίθησιν ἀληθινήν, καὶ ἀσχημάτιστον· εἶτα τῆς ματαίας οἰήσεως ἀποκάλυψιν, κατὰ τὸ γεγραμμένον· «διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος».

6. Ἐὰν οὖν τὰς ἐπιφορὰς μὴ μετὰ πίστεως καὶ εὐχαριστίας ὑπομένωμεν, τὴν ἐγκεκρυμμένην κακίαν εὑρεῖν οὐ δυνάμεθα· ταύτης δὲ τρανῶς μὴ εὑρεθείσης, οὔτε τοὺς ἐνεστῶτας φαύλους λογισμοὺς ἀποῤῥίψαι δυνάμεθα, οὔτε τῶν προγεγενημένων ἱλασμὸν ζητῆσαι, οὔτε περὶ τῶν μελλόντων ἀσφάλειαν δείξασθαι· πλὴν χρὴ γινώσκειν καὶ τοῦτο, ὅτι αἱ ἐπιφοραὶ καὶ οἱ ἔλεγχοι, τὰς αἰτίας εἰς τὸ φανερὸν οὐκ ἐξομοιοῦνται, κατὰ δὲ τὸ πνευματικὸν πᾶσαν ἀποσῴζουσι δικαιοσύνην.

7. Τοῦτο δὲ καὶ διὰ τῆς Ἁγίας Γραφῆς γνῶναι δυνάμεθα· μὴ γὰρ οἱ ὑπὸ τοῦ πύργου τοῦ Σιλωὰμ ἀποθανόντες, ἑτέροις πύργον ἐπικατέσεισαν; καὶ οἱ ἀπαχθέντες εἰς μετάνοιαν ἐν Βαβυλῶνι ἑβδομήκοντα ἔτη, ἄλλους τινὰς αἰχμαλώτους ἔλαβον εἰς μετάνοιαν;

8. Οὐχ οὕτως εἰσὶν αἱ παιδευτικαὶ συμβάσεις· ἀλλ' ὥς περ οἱ στρατιῶται, ὅταν φωραθῶσιν ἁμαρτήσαντες, αἰκίζονται μέν, οὐ τὰ αὐτὰ δὲ πάσχουσιν, οἷα φαῦλα πεποιήκασιν, οὕτω καὶ πάντες παιδευόμεθα διὰ τῶν ἐπερχομένων, εὐκαίρως μὲν καὶ ἁρμοζόντως καὶ πρὸς μετάνοιαν, οὐχ ὁμοιοτρόπως δέ, οὐδὲ ἐν τῷ καιρῷ τῷ αὐτῷ, οὐδὲ διὰ τῶν αὐτῶν πραγμάτων· καὶ τοῦτό ἐστιν ὃ ἄγει τοὺς πολλοὺς εἰς ἀπιστίαν τῆς τοῦ Θεοῦ δικαιοσύνης, ἡ τοῦ καιροῦ ὑπέρθεσις καὶ ἡ τῶν ἐπιφορῶν ἀνομοιότης.

Ἐ ρ ώ τ η σ ι ς

9. Οὐκοῦν ἐπειδὴ πολλὰ ἡμῖν ἐπέρχονται θλιβερὰ πράγματα, τοῦτο μὲν δι' ἀνθρώπων, φθονούντων, καταλαλούντων, διαβαλλόντων, συκοφαντούντων, κολακευόντων, πλανώντων, ἀποστερούντων, σκανδαλιζόντων, καταφρονούντων, μισούντων, πολεμούντων, τυπτόντων, ἐπηρεαζόντων, διωκόντων, καὶ ὅσα ἀνθρώποις παρὰ ἀνθρώπων ἐπέρχεται, ἢ καὶ παρὰ τοῦ ἰδίου σώματος, σφριγῶντος, πολεμοῦντος, ἀναπαύσεις ζητοῦντος, ποικίλοις νοσήμασι περιπίπτοντος, ἢ καὶ τὰ ἐκτὸς τούτων συμβαίνοντα δήγματα, κυνῶν ἢ ἰοβόλων, ἢ σαρκοβόρων θηρίων· πρὸς τούτοις, λοιμοί, σεισμοί, παγετοί, καύσωνες, γῆρας, πενία, μόνωσις, καὶ ὅσα τοιαῦτα.

10. Τοῦτο δὲ διὰ τῶν πνευμάτων τῆς πονηρίας, πρὸς ἃ τὴν πάλην ἡμῶν ὁ Ἀπόστολος ἐφανέρωσε, τὰς πράξεις ἡμῶν καὶ τοὺς λόγους ἐπιτηρούντων· δι' ὧν ἀκολούθως καὶ τοὺς λογισμοὺς ἡμῶν εἶναι καταστοχάζονται· εἰ μὴ γὰρ ὁ αὐτεξούσιος ἡμῶν νοῦς ταῖς δοκιμαστικαῖς ἐξαπιναίως προσομιλήσει, καὶ ἀφεὶς τὴν καθολικὴν ἐλπίδα λογισμοὺς ἀνακινήσει, οὔτε λόγοι προφέρονται, οὔτε πράξεις ἀνακινοῦνται.

11. Αὐτὸς δὲ εἰρηκώς, ὅτι πᾶσαι αἱ συμφοραί, κατὰ αἰτίαν ἀναλόγως ἑκάστῳ ἐπέρχονται· φανέρωσον ἡμῖν τὰς αἰτίας, ἵνα ὄντως πιστεύσωμεν ὅτι ὑπεύθυνοι τῶν ἐπιφορῶν ἐσμεν, καὶ ὀφείλομεν ὑπομένειν τὰ ἐπερχόμενα θλιβερά, ἵνα μὴ ἐν τῇ κρίσει οὐ μόνον ὡς ἁμαρτωλοί, ἀλλ' ὡς καὶ τὴν ἴασιν μὴ προσδεξάμενοι, βαρυτέραν ἕξωμεν τὴν κόλασιν.

Ἀ π ό κ ρ ι σ ι ς

12. Πάσης συμβάσεως αἰτία ἐστὶν ὁ ἑκάστου λογισμός· εἶχον δὲ εἰπεῖν ὅτι καὶ οἱ λόγοι καὶ αἱ πράξεις· ἐπεὶ δὲ ταῦτα πρὸ ἐννοίας οὐ προέρχονται, τούτου χάριν τὸ πᾶν τοῖς λογισμοῖς ἐπιγράψομαι· τοῦ λογισμοῦ οὖν προηγουμένου, λοιπὸν καὶ αἱ πράξεις παρέχουσιν ἡμῖν τὴν εἰς ἀλλήλους κοινωνίαν.


13. Δύο δέ εἰσιν οἱ τρόποι τῆς κοινωνίας, εἷς ἀπὸ ἀγάπης, καὶ εἷς ἀπὸ κακίας· διὰ δὲ τῆς κοινωνίας, ὡς οὐκ οἴδαμεν ἀλλήλους ἀναδεχόμεθα· ταῖς δὲ ἀναδοχαῖς, αἱ ἐπιφοραὶ ἀκολουθοῦσι, καθὼς φασιν αἱ Γραφαί· «ὁ ἐγγυώμενος τὸν ἑαυτοῦ φίλον, ἐχθρῷ παραδίδωσι τὴν ἑαυτοῦ χεῖρα»· οὕτως ἕκαστος οὐ μόνον ὑπὲρ ἑαυτοῦ τὰ ἐπερχόμενα φέρει, ἀλλὰ καὶ ὑπὲρ τοῦ πλησίον ἐφ' οἷς αὐτὸν ἀνεδέξατο.

Ἐ ρ ώ τ η σ ι ς

14. Ἀξιοῦμεν μαθεῖν τὸν ἕνα τρόπον τῆς ἀναδοχῆς, λέγομεν δὴ τὸν ἀπὸ κακίας γινόμενον.

Ἀ π ό κ ρ ι σ ι ς

15. Ἡ ἀπὸ κακίας ἀναδοχὴ ἀκούσιός ἐστιν, οὕτω δὲ συμβαίνει· ἀναδέχεται τοὺς πειρασμούς, ὡς οὐ θέλει, ὁ ἀποστερῶν τοῦ ἀποστερουμένου, ὁμο[illegible]ς ὁ συκοφαντῶν τοῦ συκοφαντουμένου, ὁ πλεονεκτῶν τοῦ πλεονεκτουμένου, ὁ καταπονῶ[illegible]


Ὁ ἈΒΒᾶC ΝΙCΘΕΡΏ

τοῦ καταπονουμένου, ὁ καταλαλῶν τοῦ καταλαλουμένου, καὶ ἵνα μὴ καθ' ἓν λέγω, πᾶς ὁ ἀδικῶν, τοῦ ἀδικουμένου ἀναδέχεται τοὺς πειρασμούς.

16. Τούτοις δὲ μαρτυρεῖ ἡ Γραφὴ λέγουσα· «δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ἀσεβής»· καὶ πάλιν· «ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν, καὶ ὁ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει. Εἰ οὖν ἡ ἡμῶν ἀδικία Θεοῦ δικαιοσύνην συνίστησι, κατὰ τὸν Ἀπόστολον, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργὴν τοῖς μὴ παιδευομένοις διὰ τῶν ἐπιφορῶν, ἀλλὰ καὶ πρὸς ταύτας ἀγριαινομένοις; μὴ γένοιτο.

Ἐ ρ ώ τ η σ ι ς

17. Δόξα σοι ὁ Θεός· ταῦτα οὕτως ἔχειν πιστεύομεν δι' ἀκολουθίας ἐπακούσαντες, λοιπὸν εἰπὲ ἡμῖν καὶ τὴν ἐξ ἀγάπης ἀναδοχήν.

Ἀ π ό κ ρ ι σ ι ς

18. Ἐξ ἀγάπης ἀναδοχή ἐστιν, ἣν ὁ Κύριος ἡμῶν Ἰησοῦς παρέδωκεν ἡμῖν, πρῶτον ἰασάμενος ἡμῶν τὰς ἀσθενείας τῆς ψυχῆς, εἶτα θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, τὴν φύσιν καθαρὰν ἀποκαθιστῶν, τοῖς βεβαίως Αὐτῷ πιστεύουσι θανάτου λύτρωσιν παρεχόμενος, θεοσέβειαν παραδιδούς, εὐσέβειαν διδάσκων, ὑπὲρ ἀγάπης κακοπαθῶν ἕως θανάτου.

19. Ὑποδεικνύων τὴν ἐν τούτοις ὑπομονήν, διὰ τῆς τοῦ πνεύματος παρουσίας, χαρισάμενος ἡμῖν τὰ μέλλοντα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, διὸ καὶ τοὺς ὑπὲρ ἡμῶν πειρασμοὺς ἀναδέχεται· ὀνειδιζόμενος, μυκτηριζόμενος, συκοφαντούμενος, ῥαπιζόμενος, δεσμούμενος, παραδιδόμενος, κολαφιζόμενος, ὄξος καὶ χολὴν ποτιζόμενος, καὶ τί πλέον εἴπω; ἥλοις καταπειρώμενος καὶ σταυρούμενος, καὶ λόγχῃ νυσσόμενος, οὕτως ἡμῖν διὰ σαρκὸς καὶ πνεύματος κοινωνῆσαι καὶ τὰ ὑπὲρ ἡμῶν πάθη δεξάμενος, πάλιν τοῖς ἰδίοις παραδέδωκε τὸν νόμον τοῦτον, Ἀποστόλοις, Προφήταις, Πατράσι, Πατριάρχαις, τοὺς μὲν προδιδάξας διὰ τοῦ Ἁγίου Πνεύματος, τοῖς δὲ ὑποδείξας διὰ τοῦ ἀχράντου Σώματος.

20. Ταύτην τὴν ἀναδοχὴν ἐμφαίνων ἔλεγε· «Μὴ φοβεῖσθε, ἐγὼ νενίκηκα τὸν κόσμον», καὶ πάλιν, «ἐγὼ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ»· καὶ πάλιν, «μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». Ὅθεν καὶ ὁ Ἅγιος Παῦλος μιμούμενος τὸν Κύριον ἔλεγε· «νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ἡμῶν, καὶ ἀναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ Ἐκκλησία», καὶ αὐτὸς τὴν ἐξ ἀγάπης ἀναδοχὴν αἰνιττόμενος.

21. Βούλει σαφέστερον ἐπιγνῶναι, πῶς ἡμῖν πάντες οἱ Ἀπόστολοι δι' ἐννοίας καὶ λόγου καὶ πράξεως ἐκοινώνησαν, καὶ διὰ τῆς κοινωνίας τοὺς ἡμῶν ἀνεδέξαντο πειρασμούς; διὰ μὲν ἐννοίας, τὰς Γραφὰς ἡμῖν διανοίγοντες, τοὺς Προφήτας παρατιθέμενοι, τῷ Χριστῷ πιστεύειν ὡς λυτρωτῇ, πείθοντες λατρεύειν Αὐτῷ, ὡς κατὰ φύσιν Υἱῷ Θεοῦ πληροφοροῦντες, ὑπὲρ ἡμῶν προσευχόμενοι, δακρύοντες, ἀποθνήσκοντες, καὶ ὅσα ἐπὶ τῆς πιστῆς ἐστιν ἐννοίας.

22. Διὰ δὲ λόγων παρακαλοῦντες, νουθετοῦντες, ἐπιτιμῶντες, ἐλέγχοντες τὴν ὀλιγοπιστίαν ἡμῶν, ὀνειδίζοντες, τὴν ἀγνωσίαν ἡμῶν ἐπισκώπτοντες, τὴν εὐσέβειαν ἀνακηρύττοντες, τὸν Χριστὸν ὁμολογοῦντες, τὴν κακοπιστίαν ἀνακόπτοντες ἐν παντὶ καιρῷ, καὶ τόπῳ, καὶ πράγματι· τῷ ψεύδει μὴ συντιθέμενοι, τῷ καυχωμένῳ κατὰ σάρκα μὴ συνομιλοῦντες, κενοδόξῳ μὴ συνδιατρίβοντες, ἀλαζόνα μηδόλως καταπτήσσοντες, πονηρευόμενον ἐξουθενοῦντες, τοὺς ταπεινοὺς προσιέμενοι, τοὺς εὐλαβεῖς οἰκειούμενοι, καὶ ἡμᾶς τὰ αὐτὰ ποιεῖν διδάξαντες.

23. Διὰ δὲ πράξεως «διωκόμενοι, μυκτηριζόμενοι, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, φυλακιζόμενοι, ἀποκτενούμενοι», καὶ ὅσα τοιαῦτα ἔπαθον ὑπὲρ ἡμῶν. Οὕτω δὴ οὖν διὰ τῆς κοινωνίας ἀνεδέξαντο ἡμῶν τοὺς πειρασμούς· «εἴτε

γάρ φησι θλιβόμεθα, εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας».

24. Τὸν νόμον οὖν δεξάμενοι παρὰ Κυρίου, αὐτοὶ πάλιν ἡμῖν παραδεδώκασι λέγοντες· «εἰ ὁ Κύριος τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ἡμῶν τέθηκεν, ὀφείλομεν καὶ ἡμεῖς τὰς ψυχὰς ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τιθέναι»· καὶ πάλιν, «ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὴν νόμον τοῦ Χριστοῦ».

25. Εἰ οὖν ἔγνωμεν τοὺς δύο τρόπους τῆς εἰς ἀλλήλους κοινωνίας καὶ τὴν ἐξ ἀνάγκης ἀκολουθοῦσαν ἀναδοχήν, καὶ τοὺς κατὰ ἀναλογίαν συμβαίνοντας πειρασμούς, μὴ περιεργαζόμεθα, πῶς, ἢ πότε, ἢ διὰ τίνος ἐπέρχονται· τῷ γὰρ ἑκάστῳ προσφυές, καὶ τὴν ἀνυπέρθετον αὐτῶν ἔπειξιν, καὶ τὴν πάσης τῆς κτίσεως εἰς τοῦτο συνεργίαν, μόνου τοῦ Θεοῦ ἐστιν εἰδέναι· ἡμεῖς δὲ ὀφείλομεν πιστεύειν τῇ τοῦ Θεοῦ δικαιοσύνῃ, καὶ γινώσκειν ὅτι πᾶν τὸ ἐπελθὸν ἡμῖν ἀκουσίως, ἢ δι' ἀγάπην, ἢ διὰ κακίαν ἡμῖν ἐπῆλθε· καὶ διὰ τοῦτο ὑπομένειν χρὴ καὶ μὴ ἀπωθεῖσθαι αὐτό, ἵνα μὴ προσθῶμεν ἁμαρτίας ἐφ' ἁμαρτίαις ἡμῶν.

26. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τρεῖς τρόποι τῆς θεοσεβείας εἰσί, δι' ὧν ὁ ἄνθρωπος δύναται σωθῆναι· ὁ μὲν πρῶτος, τὸ μὴ ἁμαρτάνειν, ὁ δεύτερος, τὸ τὸν ἁμαρτήσαντα ὑπομένειν τὰ ἐπερχόμενα θλιβερά, ὁ δὲ τρίτος, τὸν μὴ ὑπομένοντα πενθεῖν ἐπὶ τοῖς τῆς ὑπομονῆς ἐλλείμμασι. Καθότι ὧδε μὴ διορθωθέντα διὰ τῶν προσφυῶν συμβάσεων, ἐξ ἀνάγκης λοιπὸν εἰς τὴν ἐκεῖθεν κρίσιν καθυπάγουσιν· εἰ μή τι ἂν πενθοῦντας ἡμᾶς καὶ τεταπεινωμένους ἰδὼν ὁ Θεός, ὡς οἶδε, τῇ παντοδυνάμῳ Αὐτοῦ Χάριτι ἐξαλείψει τὰς ἁμαρτίας ἡμῶν.

27. Ἡμεῖς δὲ εἰ καὶ τὸ πρῶτον ὡς δυσκατόρθωτον τελέσαι οὐ δυνηθῶμεν, ἀλλά γε τοῦ δευτέρου μὴ ἀμελήσωμεν· εἰ δὲ μή, κἂν τοῦ τρίτου ἐπιμελησώμεθα, ἵνα μὴ τῆς σωτηρίας τελείως ἐκπέσωμεν.

28. Πρὸ δὲ πάντων παρακαλῶ ὑμᾶς, ἀδελφοί, ἀκριβῶς προσέχειν τοῖς εἰρημένοις, ἵνα μὴ καὶ ἡμεῖς ἀνωφελεῖς τοὺς ὑπὲρ τῶν λόγων πειρασμοὺς ὑπομένωμεν, καὶ ὑμεῖς διὰ ῥαθυμίας τὰ εἰρημένα λήθῃ παραδῶτε· ἡ γὰρ λήθη, ῥαθυμίας θυγάτηρ, ἀμφότερα δὲ ἀπιστίας ἔκγονα τυγχάνει· σύμβασις ὀδυνηρά, μνήμην Θεοῦ παρέχει τῷ συνετῷ, θλίβουσα κατὰ ἀναλογίαν τὸν ἐπιλανθανόμενον τοῦ Θεοῦ· πᾶς ἀκούσιος πόνος γινέσθω σοι μνήμης Θεοῦ διδάσκαλος, καὶ οὐκ ἐπιλείψει σε ἀφορμὴ πρὸς μετάνοιαν.

29. Πᾶσα θλῖψις κατὰ Θεὸν ἔργον ἐστὶν ἐνυπόστατον εὐσεβείας· ἡ γὰρ ἀληθινὴ ἀγάπη δι' ἐναντίων δοκιμάζεται· μὴ λέγε κεκτῆσθαι ἀρετὴν ἐκτὸς θλίψεως, ἀδόκιμος γάρ ἐστι διὰ τὴν ἄνεσιν· πάσης ἀκουσίου θλίψεως ἀναλογίζου τὴν ἔκβασιν, καὶ εὑρήσεις ἐν αὐτῇ ἁμαρτίας ἀναίρεσιν· διὰ θλίψεως τὰ ἀγαθὰ τοῖς ἀνθρώποις ἡτοίμασται, ὁμοίως καὶ τὰ κακὰ διὰ κενοδοξίας καὶ ἡδονῆς.

30. Εἴ τις, προφανῶς ἁμαρτάνων καὶ μὴ μετανοῶν, οὐδὲν ἔπαθεν ἕως ἐξόδου, τούτου νόμιζε ἀνίλεων εἶναι τὴν κρίσιν ἐκεῖ. Ὥς περ τοὺς κακοσίτους ἀψίνθιον ὠφελεῖ τὸ πικρότατον, οὕτω τοῖς κακοτρόποις κακὰ πάσχειν συμφέρει· τοὺς μὲν γὰρ εὐεκτεῖν, τοὺς δὲ μετανοεῖν παρασκευάζει τὰ φάρμακα.

31. Ἐὰν μὴ θέλῃς κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε, διότι τοῦτο ἐκείνῳ ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει· ἑκουσίως τὰ φαῦλα σπείροντες, καὶ ἀκουσίως θερίζοντες, τὴν δικαιοκρισίαν τοῦ Θεοῦ ὀφείλομεν θαυμάζειν· ὁ μὴ αἱρούμενος τοὺς ὑπὲρ ἀληθείας πόνους ἑκουσίως, ὑπὸ τῶν ἀκουσίων χαλεπωτέρως παιδεύεται.

32. Ὁ γνοὺς τὸ θέλημα τοῦ Θεοῦ καὶ μὴ ποιῶν αὐτὸ κατὰ δύναμιν, διὰ μικρῶν πόνων τοὺς μεγάλους ἐκφεύξεται. Μὴ πᾶσαν θλῖψιν ἐπέρχεσθαι τοῖς ἀνθρώποις διὰ ἁμαρτίας νόμιζε· εἰσὶ γὰρ εὐαρεστοῦντες καὶ πειραζόμενοι· γέγραπται γάρ, «ἀσεβεῖς καὶ ἄνομοι ἐκδιωχθήσονται»· ὁμοίως· «οἱ ἐν Χριστῷ θέλοντες ζῆν εὐσεβῶς, διωχθήσονται».

33. Ὁ τὸν Δεσπότην τιμῶν, ποιεῖ τὰ κελευόμενα, σφαλεὶς δὲ ἢ παρακούσας,

ὑπομένει ὡς ἴδια τὰ ἐπερχόμενα. Φιλομαθὴς ὤν, γίνου καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις φυσιοῖ τὸν ἄνθρωπον· οἱ ἀπροσδοκήτως ἡμῖν συμβαίνοντες πειρασμοί, οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσι, καὶ μὴ βουλομένους εἰς μετάνοιαν ἕλκουσιν.

34. Αἱ ἐπερχόμεναι θλίψεις τοῖς ἀνθρώποις τῶν ἰδίων κακῶν εἰσιν ἔκγονα, ἐὰν δὲ αὐτὰς διὰ προσευχῆς ὑπομείνωμεν, εὑρίσκομεν πάλιν ἀγαθῶν πραγμάτων ἐπιφοράν. Σημεῖον γνώσεως ἀληθοῦς ἡ τῶν θλιβερῶν ὑπομονὴ καὶ τὸ μὴ αἰτιᾶσθαι τοὺς ἀνθρώπους ἐπὶ ταῖς ἑαυτῶν συμφοραῖς.

35. Ὁ τὰς ἔξωθεν ἐπιφορὰς δικαιοσύνῃ Θεοῦ παραγενομένας εὑρηκώς, οὗτος ζητῶν τὸν Κύριον εὗρε γνῶσιν μετὰ δικαιοσύνης· ἐὰν νοήσῃς, κατὰ τὴν Γραφήν, ὅτι ἐν πάσῃ τῇ γῇ τὰ κρίματα τοῦ Κυρίου, γενήσεταί σοι πᾶσα σύμβασις θεοσεβείας διδάσκαλος· νοῦς ἐπιλαθόμενος τῆς ἀληθοῦς γνώσεως, ὑπὲρ τῶν ἐναντίων ὡς συμφερόντων τοῖς ἀνθρώποις διαμάχεται. Ὅταν ἐφάμαρτος ψυχὴ τὰς ἐπερχομένας θλίψεις οὐ καταδέξεται, τότε οἱ Ἄγγελοι περὶ αὐτῆς λέγουσιν· ἰατρεύσαμεν τὴν Βαβυλῶνα καὶ οὐκ ἰάθη.

36. Εἰς τὰς ἀκουσίους ὀδύνας τὸ ἔλεος τοῦ Θεοῦ θαυμασίως ἐγκέκρυπται, τὸν ὑπομένοντα εἰς μετάνοιαν ἕλκον καὶ ἀπαλλάττον τῆς αἰωνίου κολάσεως. Εἰ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν τὸν χωρὶς πειρασμῶν εὐαρεστήσαντα, εὐχαριστεῖν δεῖ τὸν Θεὸν ἐπὶ τοῖς συμβαίνουσιν· εἰ μὴ νυκτερινῆς ἄγρας ἀπέτυχεν ὁ Πέτρος, οὐκ ἂν τῆς ἡμερινῆς ἐπέτυχε· καὶ εἰ μὴ αἰσθητῶς ἐτυφλώθη ὁ Παῦλος, οὐκ ἂν πνευματικῶς ἀνέβλεψε· καὶ εἰ μὴ ὡς βλάσφημος ἐσυκοφαντήθη ὁ Στέφανος, οὐκ ἂν τῶν οὐρανῶν αὐτῷ ἀνοιχθέντων τὸν Θεὸν ἐθεάσατο.

37. Ὥς περ ἡ κατὰ Θεὸν ἐργασία, ἀρετὴ λέγεται, οὕτω καὶ ἡ παρὰ προσδοκίαν θλῖψις, πειρασμὸς ὀνομάζεται· ὁ Θεὸς τὸν Ἀβραὰμ ἐπείραζε, τουτέστι πρὸς τὸ συμφέρον ἔθλιβεν, οὐχ ἵνα μάθῃ ὁποῖος ἐστίν· ᾔδει γὰρ αὐτὸν ὁ εἰδὼς τὰ πάντα πρὶν γενέσεως αὐτῶν, ἀλλ᾽ ὅπως ἀφορμὰς αὐτῷ παράσχῃ τελείας πίστεως.

38. Πᾶσα θλῖψις ἐλέγχει τὴν ῥοπὴν τοῦ θελήματος, εἴτε δεξιὰ ῥέπει, εἴτε ἀριστερά· διὰ τοῦτο ἡ συμβατικὴ θλῖψις πειρασμὸς λέγεται, τῶν μετόχων πεῖραν τῶν κεκρυμμένων θελημάτων παρέχουσα.

Ἑρμηνεία

ἈΔΕΛΦΟΙ, οὐδεὶς ἐκ τῶν πειρασμῶν, ποὺ συμβαίνουν εἰς τὸν καθένα μας, ἐπέρχεται ἀδίκως· ὅλα συμβαίνουν κατὰ τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ. Καὶ ἄλλοτε μὲν πάσχομεν ἐξ αἰτίας τῶν ἰδικῶν μας ἁμαρτιῶν, ἄλλοτε πάλιν ἐξ αἰτίας τῶν κακῶν, ποὺ ἐπροξενήσαμεν εἰς τὸν πλησίον. Σχετικῶς ἡ Ἁγία Γραφὴ λέγει· «εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις, παρὰ δὲ Κυρίου πάντα τὰ δίκαια» (Παροιμ. ιϛ´, 33)· εἰς ἄλλο πάλιν σημεῖον γράφει· «πάντα τὰ ἔργα τοῦ Κυρίου μετὰ δικαιοσύνης» (Παροιμ. ιϛ´, 4)· «ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει» (Γαλ. ϛ´, 7).

2. Αὐτὸ τὸ ὀρθὸν φρόνημα περὶ τῶν συμβαινόντων πειρασμῶν ἔχων καὶ ὁ Ἅγιος Δαβίδ, ὅταν ἐστενοχωρεῖτο ὑπὸ τοῦ Σεμεΐ (1), κατὰ

---

1) Ὁ Σεμεῒ κατήγετο ἐκ τῆς φυλῆς τοῦ Βενιαμὶν καὶ ἐκ τοῦ οἴκου τοῦ Σαούλ, κατῴκει δὲ εἰς Βαουρίμ. Ὅταν δὲ διήρχετο ἐκεῖθεν ὁ Δαβὶδ φεύγων καὶ καταδιωκόμενος ὑπὸ τοῦ υἱοῦ του Ἀβεσσαλώμ, ἐξῆλθεν ὁ Σεμεῒ καὶ ὕβριζε, κατηρᾶτο καὶ ἐλιθοβόλει τὸν Δαβίδ. Οἱ συνοδεύοντες τὸν Δαβὶδ ἀξιωματικοὶ ἠθέλησαν τότε νὰ φονεύσουν τὸν Σεμεΐ, ἀλλ᾽ ὁ Δαβὶδ τοὺς ἀπέτρεψε λέγων· «Ἄφε-

διαταγὴν τοῦ Θεοῦ, ὡμολόγει, ὅτι ὑπέφερεν ἐξ αἰτίας του. Τὸ φρόνημά του αὐτὸ ἀναπτύσσων εἰς ἕνα ἐκ τῶν ψαλμῶν του ἔλεγεν· «Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με» (Ψαλμ. ριη', 75). Εἰς ἄλλο πάλιν σημεῖον τῶν Ψαλμῶν γράφει σχετικῶς· «ὄνειδος ἄφρονι ἔδωκάς με· ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ εἶ ὁ ποιήσας με» (Ψαλμ. λη', 9—10).

3. Καὶ οἱ Προφῆται Ἡσαΐας, Ἱερεμίας, Ἰεζεκιὴλ καὶ Δανιὴλ καὶ οἱ ὑπόλοιποι προεφήτευον καὶ εἰς τὸν Ἑβραϊκὸν λαὸν καὶ εἰς τὰ ἔθνη, ὅτι ὅσα κακὰ ἐπρόκειτο νὰ ἐπέλθουν, εἶχον τὴν αἰτίαν των εἰς τὰς ἁμαρτίας των· εἰς τὰς προφητείας των αὐτὰς ἐφανέρωνον συγκεκριμένως καὶ τοὺς λόγους τῆς ἐπερχομένης συμφορᾶς. Δι' αὐτὸ καὶ ὁ συνήθης τύπος τῶν προφητειῶν των ἦτο: «ἀντὶ αὐτῶν ποὺ ἐλαλήσατε καὶ ἐπράξατε, θὰ σᾶς συμβοῦν τὰ ἑξῆς».

4. Χαρακτηριστικὸν γνώρισμα τοῦ τελείου ἀνδρὸς εἶναι νὰ μὴ καταλαμβάνεται ἀπὸ βαθὺν ὕπνον, ὅμοιον μὲ λήθαργον, ὅταν πρόκειται νὰ ἐξετάσῃ τοὺς λόγους τῶν πτώσεών του. Ἐὰν δὲ εἶναι δύσκολον νὰ ἀντιληφθῇ κανεὶς τὴν προέλευσιν τῶν πτώσεων, ποὺ εἶναι ὁλοφάνεραι, κατὰ μείζονα λόγον εἶναι δύσκολον νὰ κατανοήσῃ τὴν φύσιν καὶ τὸν χαρακτῆρα τῶν σκέψεων, ποὺ ὡδήγησαν εἰς τὰς πτώσεις. Ἡμεῖς, ἐπειδὴ δὲν γνωρίζομεν τὸ μεγαλύτερον μέρος τῶν κακιῶν μας, ταρασσόμεθα διὰ τὰς συμφοράς, ποὺ ἐπέρχονται εἰς ἡμᾶς.

5. Ἂς μάθωμεν λοιπόν, ὡς λογικοὶ ποὺ εἴμεθα, ὅτι ὁ Κύριος πρὸς ψυχικήν μας ὠφέλειαν μᾶς κάμνει νὰ ὑποφέρωμεν, ἀπεργαζόμενος εἰς ἡμᾶς πολλὰ καλὰ ἀπὸ τὰς θλίψεις αὐτάς. Καὶ πρῶτον μᾶς κατευθύνει νὰ ἀνακαλύψωμεν τὰς κρυφὰς κακὰς σκέψεις, ποὺ κατέχουν τὴν ψυχήν μας. Ἀφοῦ ἀνακαλύψωμεν τὰς αἰσχρὰς αὐτὰς σκέψεις, γεννᾶται εἰς τὴν ψυχήν μας εἰλικρινὴς καὶ ἀνυπόκριτος ταπεινοφροσύνη. Τέλος, διὰ τῶν ἐπερχομένων, θελήσει Θεοῦ, θλίψεων, ἀποκαλύπτομεν καὶ τὴν ματαίαν οἴησιν, ποὺ ἐνδεχομένως θὰ βασιλεύῃ μέσα μας, ὅπως λέγει καὶ τὸ γραφικὸν ρητόν· «Καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» (Ψαλμ. ϛα', 8).

6. Ἐὰν λοιπὸν δὲν ὑπομένωμεν τὰς διαφόρους θλίψεις μετὰ πίστεως πρὸς τὸν Θεὸν καὶ εὐχαριστίας πρὸς Αὐτόν, δὲν θὰ ἠμπορέσω-

---

τε αὐτὸν καταρᾶσθαι, ὅτι εἶπεν αὐτῷ Κύριος· εἴπως ἴδοι Κύριος ἐν τῇ ταπεινώσει μου, καὶ ἐπιστρέψει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῇ ἡμέρᾳ ταύτῃ» (Β', Βασιλ. ιϛ', 11—12). Παρὰ δὲ τὴν ἀνεξικακίαν τοῦ Δαβὶδ ὁ Σεμεῒ ἐξηκολούθει τρέχων ἐπὶ τῆς πλευρᾶς τοῦ ὄρους καὶ ὑπεράνω τῆς ὁδοῦ ποὺ ἔφευγεν ὁ βασιλεὺς καὶ ἐλιθοβόλει αὐτόν. Ἀλλὰ καὶ ὅταν ὁ Δαβὶδ μετὰ τὸν θάνατον τοῦ Ἀβεσσαλὼμ ἐπέστρεψε νικητής, οἱ δὲ ἀκόλουθοί του ἐζήτουν νὰ θανατώσουν τὸν Σεμεΐ, πεσὼν οὗτος εἰς τοὺς πόδας τοῦ Δαβίδ, ἐζήτει συγχώρησιν, εἶπε δὲ πρὸς αὐτὸν ὁ Δαβίδ· «Οὐ μὴ ἀποθάνῃς» (Β', Βασιλ. ιθ', 23)· καὶ τοῦ ἐχάρισε τὴν ζωήν. Τὸν Σεμεῒ ἐθανάτωσε, μετὰ τὸν θάνατον τοῦ Δαβίδ, ὁ Σολομὼν δι' ἑτέραν παράβασιν (Γ' Βασιλ. γ', 39—46).

μεν νὰ ἀνακαλύψωμεν τὴν κακίαν, ποὺ ἔχει κρυφθῆ μέσα μας. Ἐφ' ὅσον δὲ δὲν κατορθώσωμεν νὰ ἀνακαλύψωμεν ἀποφασιστικῶς αὐτήν, οὔτε καὶ τοὺς ἐνυπάρχοντας αἰσχροὺς λογισμοὺς θὰ ἠμπορέσωμεν νὰ ἀποβάλωμεν, οὔτε νὰ ζητήσωμεν συγχώρησιν δι' ὅσα κακὰ ἔχομεν κάμει, ἀλλ' οὔτε καὶ νὰ διασφαλισθῶμεν ἔναντι μελλοντικῶν κακῶν. Ἐκτὸς ὅμως αὐτῶν καὶ τοῦτο πρέπει νὰ γνωρίζωμεν· αἱ θλίψεις καὶ αἱ τιμωρίαι δὲν εἶναι πάντοτε, κατὰ τὴν ἐξωτερικὴν μορφήν, ἀνάλογοι καὶ ὅμοιαι πρὸς τὰς αἰτίας, ποὺ τὰς προεκάλεσαν· διὰ τῶν συμβαινουσῶν ὅμως αὐτῶν θλίψεων καὶ τῶν τιμωριῶν διασῴζεται ἡ ἀρχὴ τῆς δικαιοσύνης, κατὰ τὸ ἐσωτερικὸν καὶ πνευματικὸν μέρος (1).

7. Τὴν ἀλήθειαν αὐτὴν δυνάμεθα νὰ τὴν ἀντιληφθῶμεν καὶ ἀπὸ παραδείγματα ἐκ τῆς Ἁγίας Γραφῆς· μήπως ἐκεῖνοι ποὺ ἐφονεύθησαν ὑπὸ τὰ ἐρείπια τοῦ πύργου τοῦ Σιλωάμ (2), ἐφόνευσαν ἄλλους συσσείσαντες πύργον διὰ νὰ καταπέσῃ, ἢ μήπως οἱ ὁδηγηθέντες εἰς τὴν αἰχμαλωσίαν τῆς Βαβυλῶνος, ἐπὶ ἑβδομήκοντα ἔτη (3), διὰ νὰ ὑποβληθοῦν εἰς μετάνοιαν Ἰσραηλῖται εἶχον προηγουμένως αἰχμαλωτίσει ἄλλους διὰ νὰ τοὺς ἐξαναγκάσουν εἰς μετάνοιαν;

---

1) Ὑπὸ τοῦ Ἀββᾶ Μάρκου γίνεται διαστολὴ μεταξὺ τῆς ἐξωτερικῆς μορφῆς τῶν γεγονότων καὶ τῆς ἐσωτερικῆς των συναρτήσεως, καὶ ἡ μὲν ἐξωτερικὴ μορφή, τὸ «φανερόν», εἶναι αὐτὸ ποὺ βλέπομεν· ἡ δὲ ἐσωτερικὴ συνάρτησις, τὸ «πνευματικόν», ἀποτελεῖ, τρόπον τινά, διεργασίαν τοῦ μεταφυσικοῦ παράγοντος, ἐπιζητοῦντος τὴν περιφρούρησιν ὑψηλῶν ἰδανικῶν, ὡς ἡ δικαιοσύνη.

2) «Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασι; οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε πάντες ὡσαύτως ἀπολεῖσθε· ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἱερουσαλήμ; οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε» (Λουκ. ιγ', 2—6).

3) Ἡ ὑπὸ τῶν Βαβυλωνίων ἑβδομηκονταετὴς αἰχμαλωσία τῶν Ἰουδαίων καὶ μεταφορὰ αὐτῶν εἰς Βαβυλῶνα, ἔλαβε χώραν μεταξὺ τῶν ἐτῶν 606—536 π.Χ. Οἱ Ἰουδαῖοι συνετρίβησαν καὶ ὡδηγήθησαν αἰχμάλωτοι εἰς Βαβυλῶνα κατὰ τέσσαρας διαδοχικὰς ἐπιδρομὰς τοῦ Ναβουχοδονόσορος. Ἡ πρώτη ἐγένετο κατὰ τὸ ἔτος 606 π.Χ., ὅτε ὁ Ναβουχοδονόσορ, κατατροπώσας τὸν βασιλέα τῶν Ἰουδαίων Ἰωακείμ, ἀπήγαγεν εἰς Βαβυλῶνα πολλοὺς Ἰουδαίους, μεταξὺ τῶν ὁποίων τὸν Δανιὴλ καὶ τοὺς Τρεῖς Παῖδας (Δ' Βασιλ. κδ', 1, Δαν. α', 1—14). Ἡ δευτέρα ἐπιδρομὴ ἐγένετο κατὰ τὸ δέκατον ἢ ἑνδέκατον ἔτος (594 ἢ 593 π.Χ.) τῆς βασιλείας τοῦ αὐτοῦ Ἰωακεὶμ (Β' Παραλ. λς', 6). Ἡ τρίτη μετὰ τρεῖς μῆνας ἀπὸ τῆς δευτέρας ἐπὶ τῆς βασιλείας τοῦ Ἰωαχείμ, τὸν ὁποῖον συλλαβὼν ὁ Ναβουχοδονόσορ ἀπήγαγεν, ὡς καὶ ὑπὲρ τοὺς μυρίους Ἰουδαίους (Δ' Βασιλ. κδ', 10—16). Ἡ δὲ τετάρτη καὶ τελευταία ἐπιδρομὴ ἐγένετο ὑπὸ τοῦ Ναβουχοδονόσορος βασιλεύοντος τοῦ τελευταίου βασιλέως τῶν Ἰουδαίων Σεδεκίου τῷ 588 π.Χ. (Δ' Βασιλ. κε', 1—7). Κατ' αὐτὴν ὁ Ναβουχοδονόσορ ἐπιδραμὼν κατὰ τῶν Ἱεροσολύμων αἰφνιδιαστικῶς, συνέλαβε τὸν Σεδεκίαν αἰχμάλωτον, ἐθανάτωσεν ἐνώπιον αὐτοῦ τὰ τέκνα του, αὐτὸν δὲ ἐτύφλωσεν· ἔπειτα κατέκαυσε τὸν ναὸν καὶ λαφυραγωγήτας καὶ καταστρέψας τὴν Ἱερουσαλὴμ ἀπήγαγε τοὺς Ἰουδαίους εἰς Βαβυλῶνα (Ἱερ. νβ', 1—11). Ἐν αὐτῇ παρέμειναν οἱ Ἰουδαῖοι μέχρι τοῦ ἔτους 536 π.Χ. ὁπότε ὁ Κῦρος ἐπέτρεψεν εἰς αὐτοὺς νὰ ἐπιστρέψωσιν εἰς Ἱεροσόλυμα.

8. Ἐξ αὐτῶν τῶν ὀλίγων γραφικῶν παραδειγμάτων συμπεραίνομεν, ὅτι τὰ περιστατικά, ποὺ συμβαίνουν διὰ λόγους παιδαγωγικῆς προνοίας, δὲν ὁμοιάζουν μὲ τὰς αἰτίας, ποὺ τὰ προεκάλεσαν. Μὲ τὰ περιστατικὰ τῆς παιδαγωγικῆς προνοίας συμβαίνει αὐτό, ποὺ παρατηρεῖται εἰς τοὺς στρατιώτας· οἱ στρατιῶται, ὅταν συλληφθοῦν διὰ διάφορα σφάλματα, τιμωροῦνται μέν, χωρὶς ὅμως νὰ ὑφίστανται τὰ ὅσα αἰσχρὰ διέπραξαν. Οὕτω καὶ ἡμεῖς ὅλοι τιμωρούμεθα διὰ μέσου τῶν συμβαινόντων λυπηρῶν περιστατικῶν, εἰς τὸν κατάλληλον χρόνον, ὅπως πρέπει καὶ διὰ νὰ μετανοήσωμεν, ὄχι ὅμως μὲ τὸν ἴδιον τρόπον, ποὺ ἡμαρτήσαμεν, εἰς τὸν ἴδιον χρόνον καὶ διὰ τῶν ἰδίων πραγμάτων.

Ἐκεῖνο δὲ ποὺ ὁδηγεῖ μερικοὺς νὰ μὴ πιστεύουν εἰς τὴν δικαιοσύνην τοῦ Θεοῦ εἶναι ἀκριβῶς αὐτό· ἡ χρονικὴ ἀπόστασις μεταξὺ ἁμαρτίας καὶ τιμωρίας καὶ ἡ ἀνομοιότης μεταξὺ τοῦ τρόπου, ποὺ ἡμαρτήσαμεν καὶ τοῦ τρόπου, ποὺ τιμωρούμεθα.

Ἐ ρ ώ τ η σ ι ς

9. Πολλὰ λοιπὸν εἶναι τὰ θλιβερὰ περιστατικά, τὰ ὁποῖα πλήσσουν καὶ ταλαιπωροῦν τὸν ἄνθρωπον· τὰ θλιβερὰ αὐτὰ περιστατικὰ ἄλλοτε μὲν ὀφείλονται εἰς ἀνθρώπους φθονερούς, κατηγόρους, διαβολεῖς, συκοφάντας, κόλακας, πλάνους, ἅρπαγας, σκανδαλοποιούς, ἀλαζόνας, ἀνθρώπους μὲ μῖσος εἰς τὴν καρδίαν των, ταραχοποιούς, ἐκδικητικούς, ἐνοχλητικούς, διώκτας καὶ ἐν γένει ἀνθρώπους, ποὺ τὸ πᾶν δύνανται νὰ μηχανευθοῦν καὶ νὰ πράξουν ἐναντίον τῶν συνανθρώπων των. Ἐκτὸς ὅμως τῶν πονηρῶν ἀνθρώπων, μερικὰ ἐκ τῶν θλιβερῶν αὐτῶν περιστατικῶν ὀφείλονται καὶ εἰς τὸ ἴδιον τὸ σῶμα μας, ὅταν τοῦτο εἶναι ρωμαλέον, ὅταν πολεμῇ τὸ πνεῦμα, ὅταν ζητῇ ἀναπαύσεις, ὅταν περιπίπτῃ εἰς διαφόρους ἀσθενείας. Ἄλλοτε πάλιν τὰ θλιβερὰ αὐτὰ περιστατικὰ ὀφείλονται εἰς ἄλλα αἴτια, ὅπως τὰ δαγκώματα τῶν σκύλων, τῶν δηλητηριωδῶν φιδιῶν, τῶν θηρίων, ποὺ τρώγουν ἀνθρώπους καὶ τέλος εἰς φυσικὰ γεγονότα, ὅπως ἡ πεῖνα, αἱ ἀσθένειαι, οἱ σεισμοί, ἡ ζέστη, τὸ γῆρας, ἡ πτωχεία, ἡ μοναξιὰ καὶ τὰ παρόμοια.

10. Δὲν εἶναι ὅμως μόνον ὑλικὰ τὰ αἴτια τῶν διαφόρων θλίψεων, ὅπως αὐτὰ ποὺ περιέγραψα ἀνωτέρω· ἕνα μεγάλο μέρος τῶν θλίψεων ὀφείλεται καὶ εἰς τὰ πνεύματα τῆς πονηρίας, ἐναντίον τῶν ὁποίων μᾶς ὑπέδειξεν ὁ Ἀπόστολος νὰ πολεμῶμεν(1)· τὰ πνεύματα αὐτὰ τῆς πονηρίας κατασκοπεύουν τὰς πράξεις καὶ τοὺς λόγους μας. Διὰ τῆς κατασκοπίας αὐτῆς, ὡς γνωστόν, προσπαθοῦν νὰ μαντεύσουν τοὺς λογισμούς μας· ἐφ' ὅσον λοιπὸν ὁ κυρίαρχος νοῦς μας δὲν δώσῃ ἀμέσως

1) «Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις». (Ἐφεσ. ϛ', 12).

σημασίαν εἰς τὰς δοκιμαστικὰς αὐτὰς ἐνεργείας τοῦ ἐχθροῦ, καὶ ἀπομακρυνόμενος ἀπὸ τὴν μόνην πραγματικὴν ἐλπίδα τῆς αἰωνιότητος ἀρχίσῃ νὰ ἀπασχολῆται μὲ τοὺς ὑποβολιμαίους αὐτοὺς λογισμούς, τότε οὔτε ἔνοχοι λόγοι προφέρονται, οὔτε κακαὶ πράξεις ἐκτελοῦνται.

11. Ὅλα αὐτά, ποὺ σοῦ ἐξέθεσα, δι' ἕνα λόγον τὰ ἐξέθεσα· νὰ φανερώσῃς εἰς ἡμᾶς τὰς αἰτίας, ἐξ ἀφορμῆς τῶν ὁποίων, ὅπως μᾶς εἶπες, προξενοῦνται εἰς τὸν κάθε ἕνα ὅλαι αἱ συμφοραί, ὁθενδήποτε καὶ ἂν προέρχωνται. Καὶ τοῦτο διὰ νὰ πιστεύσωμεν πράγματι, ὅτι εἴμεθα ὑπεύθυνοι τῶν δοκιμασιῶν αὐτῶν, ὀφείλοντες νὰ ὑπομένωμεν τὰς θλίψεις, ὥστε νὰ μὴ ἀντιμετωπίσωμεν, κατὰ τὴν Δευτέραν Παρουσίαν, αὐστηροτέραν τιμωρίαν, ὄχι μόνον ὡς ἁμαρτωλοί, ἀλλὰ καὶ ὡς ἀνοήτως ἀρνηθέντες τὴν θεραπείαν τῆς ἠθικῆς μας νόσου.

Ἀπάντησις

12. Ὅλων τῶν ἀνθρωπίνων ἐνεργειῶν γενεσιουργὸς αἰτία εἶναι ὁ λογισμός μας· θὰ ἠμποροῦσα ἀκόμη νὰ εἰπῶ, ὅτι καὶ αὐτὰ ποὺ λέγομεν καὶ αὐτὰ ποὺ πράττομεν, ἐφ' ὅσον δὲν προηγοῦνται τῶν σκέψεων, ἀλλὰ ἀκολουθοῦν αὐτάς, κατ' ἀνάγκην πρέπει νὰ τὰ ἀποδώσωμεν εἰς λογισμούς. Πᾶσα δραστηριότης λοιπὸν ὀφείλεται κατ' ἀνάγκην εἰς τοὺς λογισμούς. Ἐφ' ὅσον λοιπὸν προηγεῖται ὁ λογισμὸς πάσης δραστηριότητός μας, ἑπόμενον εἶναι αἱ ὑπ' αὐτοῦ, τοῦ λογισμοῦ, διαμορφούμεναι πράξεις νὰ προσδιορίζουν τὸν χαρακτῆρα τῆς μεταξὺ τῶν ἀνθρώπων ἐπικοινωνίας.

13. Κατὰ δύο δὲ τρόπους, ἀναλόγους τῆς ποιότητος καὶ διαθέσεως τοῦ λογισμοῦ, ἐπικοινωνοῦν οἱ ἄνθρωποι μεταξύ των· ὁ ἕνας τρόπος ὀφείλεται εἰς τὴν ἀγάπην καὶ ὁ ἄλλος εἰς τὴν κακίαν. Διὰ τῆς ἐπικοινωνίας ἀναγνωριζόμεθα μεταξύ μας ὡς ἄνθρωποι. Συνέπεια τῶν ἀναγνωρίσεων αὐτῶν εἶναι πλέον καὶ τὰ μεταξὺ τῶν ἀνθρώπων, καὶ ὑπ' αὐτῶν ὡς αἰτίων, συμβαίνοντα. Ἡ Ἁγία Γραφὴ λέγει: «Υἱέ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις σὴν χεῖρα ἐχθρῷ» (Παροιμ. ϛ', 1). Οὕτω ὁ καθεὶς δὲν εὐθύνεται μόνον δι' ὅσα συμβαίνουν εἰς τὸν ἑαυτόν του, ἀλλὰ καὶ δι' ὅσα συμβαίνουν εἰς τὸν πλησίον, ἐπὶ ὅσων πραγμάτων ἀνέλαβε τὰς εὐθύνας.

Ἐρώτησις

14. Παρακαλοῦμεν νὰ μάθωμεν τὸν ἕνα τρόπον τῆς ἀναλήψεως τῶν εὐθυνῶν καὶ τῶν πειρασμῶν τοῦ πλησίον, τὸν προερχόμενον ἀπὸ τὴν κακίαν.

Ἀπάντησις

15. Ἡ ἀνάληψις τῶν εὐθυνῶν καὶ τῶν πειρασμῶν τοῦ πλησίον, ποὺ προέρχεται ἀπὸ τὴν κακίαν, δὲν ἐξαρτᾶται ἀπὸ τὴν θέλησιν τοῦ ἀνθρώπου· τοιουτοτρόπως δὲ συμβαίνει· ἀναλαμβάνει κανεὶς τὰς εὐθύνας διὰ τοὺς πειρασμοὺς τοῦ πλησίον, χωρὶς νὰ θέλῃ· π.χ. αὐτὸς

πού εἶναι ἅρπαξ, εὐθύνεται διὰ τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς ἐκείνου ἀπὸ τὸν ὁποῖον ἁρπάζει. Κατὰ τὴν αὐτὴν λογικήν, αὐτὸς πού συκοφαντεῖ, εὐθύνεται διὰ τὰς θλίψεις καὶ τοὺς πειρασμοὺς ἐκείνου, τὸν ὁποῖον συκοφαντεῖ· αὐτὸς πού ἀθεμίτως πλουτεῖ, ἐκείνου εἰς βάρος τοῦ ὁποίου πλουτεῖ· αὐτὸς πού ταλαιπωρεῖ, ἐκείνου τὸν ὁποῖον ταλαιπωρεῖ· αὐτὸς πού κατηγορεῖ, ἐκείνου τὸν ὁποῖον κατηγορεῖ· καὶ διὰ νὰ εἴπω συντόμως, αὐτὸς ὁ ὁποῖος ἀδικεῖ, ἀναλαμβάνει τὰς εὐθύνας καὶ τὰς θλίψεις ἐκείνου τὸν ὁποῖον ἀδικεῖ.

16. Τὴν ἄποψιν αὐτὴν ἐπικυρώνει μὲ τοὺς ἑξῆς λόγους καὶ ἡ Ἁγία Γραφή· «Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής» (Παροιμ. ια', 8). «Ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν, ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει» (Παρ. κς', 27). Ἐὰν λοιπὸν ἡ ἀδικία ἡμῶν εἰς βάρος τοῦ πλησίον συνιστᾷ, κατὰ τὸν Ἀπόστολον Παῦλον, τὴν δικαιοσύνην τοῦ Θεοῦ, τί δυνάμεθα νὰ εἴπωμεν; Μήπως εἶναι ἄδικος ὁ Θεός, ὅστις ὀργίζεται ἐναντίον ἐκείνων, πού δὲν συμμορφώνονται μὲ τὰς δοκιμασίας, ἀλλὰ ἀγανακτοῦν ἐναντίον αὐτῶν καὶ ἀγριεύουν; Μὴ γένοιτο!

Ἐρώτησις

17. Δόξα σοι ὁ Θεός. Αὐτὰ λοιπόν, πού μᾶς ἐξέθεσες, πιστεύομεν, ὅτι πράγματι ἔτσι εἶναι, προσέξαντες τὴν φυσικὴν σειρὰν τῶν πραγμάτων. Εἰπὲ λοιπὸν τώρα εἰς ἡμᾶς καὶ τὴν ἀνάληψιν τῶν εὐθυνῶν τῶν θλίψεων καὶ τῶν συμφορῶν τοῦ πλησίον, πού προέρχεται ἀπὸ ἀγάπην.

Ἀπάντησις

18. Ἀνάληψις τῶν θλίψεων καὶ τῶν συμφορῶν ἀπὸ ἀγάπην εἶναι ἐκείνη, τῆς ὁποίας τὸν αἰώνιον καὶ ἄφθαρτον τύπον παρέδωσεν εἰς ἡμᾶς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Οὗτος, ἀφοῦ πρῶτον ἐθεράπευσε τὰς ἀσθενείας τῆς ψυχῆς, μετὰ συνεχῶς καὶ μέχρι συντελείας τῶν αἰώνων θεραπεύει πᾶσαν νόσον καὶ πᾶσαν ἀδυναμίαν(1), σηκώνει ἐπάνω Του τὴν ἁμαρτίαν τοῦ κόσμου(2), καθαρίζει ἀπὸ πάντα μολυσμὸν καὶ ρύπον τὴν ἀνθρωπίνην φύσιν, ἀπολυτρώνει ἐκ τοῦ θανάτου τοὺς ἀκλονήτως πιστεύοντας εἰς Αὐτόν, παραδίδει θεοσέβειαν, διδάσκει ἀγάπην. Ὅλα δὲ αὐτὰ τὰ ἐπέτυχε διὰ τῆς ἀγάπης κακοπαθήσας χάριν αὐτῆς μέχρι θανάτου.

19. Διὰ τῆς θυσίας Του καὶ τῶν παθῶν Του ὑποδεικνύει εἰς ἡμᾶς τὴν ὑπομονὴν εἰς τὰς θλίψεις· διὰ τῆς παρουσίας τοῦ Πνεύματος ἐχάρισεν εἰς ἡμᾶς τὰ μέλλοντα ἀγαθά, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς

---

1) «Θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ» (Ματθ. δ', 23, θ', 35, ι', 1).

2) «Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου» (Ἰωάν. α', 29).

τοῖς ἀγαπῶσιν αὐτὸν» (Α' Κορινθ. β', 9). Χάριν δὲ τῶν μελλόντων αὐτῶν ἀγαθῶν ἀναλαμβάνει ἐπάνω του τοὺς πειρασμούς, ποὺ ἔπρεπε νὰ ὑποστῶμεν ἡμεῖς· οὕτω, καίτοι ἀναμάρτητος καὶ ἀνεύθυνος, ὑπέστη ὀνειδισμούς, μυκτηρισμούς, συκοφαντίας, ραπίσματα, δεσμά, προδοσίας, κολαφισμούς, γεῦσιν ὄξους καὶ χολῆς. Καὶ τί νὰ εἴπω ἐπὶ πλέον; Μὲ καρφιὰ ἐκαρφώθη, ἐσταυρώθη, ἐτρυπήθη μὲ λόγχην εἰς τὴν πλευράν. Τοιουτοτρόπως ἐπεκοινώνησε μὲ ἡμᾶς διὰ σαρκὸς καὶ πνεύματος καὶ κατεδέχθη, χάριν ἡμῶν, πάθη, παραδώσας καὶ πάλιν εἰς τοὺς ἰδικούς του τὸν νόμον αὐτόν· εἰς τοὺς Ἀποστόλους, τοὺς Προφήτας, τοὺς Πατέρας, τοὺς Πατριάρχας. Καὶ τοὺς μὲν πρὸ Αὐτοῦ Προφήτας καὶ Πατριάρχας προεδίδαξε διὰ τοῦ φωτισμοῦ τοῦ Ἁγίου Πνεύματος, τοὺς μετ' Αὐτὸν δὲ ἐδίδαξε διὰ τοῦ παραδείγματος τοῦ Ἀχράντου Αὐτοῦ Σώματος.

20. Τὴν ἐξ ἀγάπης ἀνάληψιν τῶν θλίψεων καὶ τῶν πειρασμῶν ἀποκαλύπτων ἔλεγεν· «Ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον» (Ἰωάν. ις', 33). «Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ» (Ἰωαν. ιζ', 19). «Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ» (Ἰωάν. ιε', 13). Δι' αὐτὸ καὶ ὁ Ἅγιος Παῦλος μιμούμενος τὸν Κύριον ἔλεγε· «Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ἡμῶν καὶ ἀναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ Σώματος Αὐτοῦ, ὁ ἐστιν ἡ Ἐκκλησία» (Κολ. α', 24). Διὰ τῆς φράσεως αὐτῆς καὶ ὁ Ἀπόστολος Παῦλος ὑπαινίσσεται τὴν ἀπὸ ἀγάπην ἀνάληψιν τῶν θλίψεων καὶ τῶν πειρασμῶν.

21. Ἐπιθυμεῖς νὰ κατανοήσῃς σαφέστερον πῶς ὅλοι οἱ Ἀπόστολοι ἐπεκοινώνησαν μὲ ἡμᾶς διὰ τῆς μυστικῆς διδασκαλίας, τοῦ κηρύγματος, τοῦ ἐμπράκτου βίου, καὶ διὰ τῆς ἐπικοινωνίας αὐτῆς πῶς ἀνέλαβον τοὺς πειρασμοὺς ἡμῶν; Πρόσεχε! Διὰ τῆς μυστικῆς διδασκαλίας, ἑρμηνεύοντες εἰς ἡμᾶς τὰς Γραφάς, παρουσιάζοντες τὸ βαθύτερον νόημα τῶν Προφητῶν, πείθοντες ἡμᾶς νὰ πιστεύωμεν εἰς τὸν Χριστὸν ὡς Λυτρωτὴν καὶ νὰ λατρεύωμεν Αὐτόν, διὰ τὸν ὁποῖον μᾶς πληροφοροῦν, ὅτι εἶναι κατὰ φύσιν Υἱὸς τοῦ Θεοῦ. Πρὸς ἐμπέδωσιν δὲ τῆς μυστικῆς αὐτῆς διδασκαλίας εἰς τὰς ψυχάς μας προσηύχοντο ὑπὲρ ἡμῶν, ἐδάκρυον, ἀπέθνησκον διὰ μαρτυρίων. Ἐν γένει ἐνήργουν εἰς ἡμᾶς ὅσα ἀνέφερεν ἡ μυστικὴ διδασκαλία διὰ νὰ πιστεύσωμεν.

22. Ἡ διὰ τοῦ κηρύγματος ἐπικοινωνία τῶν Ἀποστόλων μὲ ἡμᾶς συνίστατο εἰς τὴν κατὰ Χριστὸν παρηγορίαν, τὴν νουθεσίαν, τὴν ἐπιτίμησιν, τὸν ἔλεγχον τῆς ὀλιγοπιστίας ἡμῶν καὶ τὸν ὀνειδισμὸν αὐτῆς. Τὴν θρησκευτικὴν ἀμάθειαν ἐκαυτηρίαζον, τὴν εὐσέβειαν ἀνεκήρυττον, τὸν Χριστὸν ὡμολόγουν, παρημπόδιζον τὴν ἐπέκτασιν τῆς πλάνης πάντοτε, παντοῦ καὶ καθ' οἱονδήποτε τρόπον. Δὲν ἠνείχοντο τὸ ψεῦδος, δὲν συνανεστρέφοντο τὸν κατὰ σάρκα καυχώμενον καὶ τὸν κενόδοξον, δὲν ἐφοβοῦντο τὸν ἀλαζόνα, ἐξηυτέλιζον τὸν πονηρευόμε-

νον, ἐπλησίαζον τοὺς ταπεινούς, ἔκαμνον φίλους τοὺς εὐλαβεῖς καὶ ἐδίδαξαν καὶ ἡμᾶς τὰ ἴδια νὰ κάμνωμεν.

23. Ὡσαύτως οἱ Ἅγιοι Ἀπόστολοι ἐπεκοινώνησαν μὲ ἡμᾶς καὶ διὰ τοῦ ἐμπράκτου βίου, διωκόμενοι, ἐξευτελιζόμενοι, ὑποφέροντες ἀπὸ μυρίας ἐλλείψεις, ταλαιπωρούμενοι, φυλακιζόμενοι, φονευόμενοι μαρτυρικῶς ὑπὸ τῶν εἰδωλολατρῶν, καὶ ὅσα ἐν γένει παρόμοια ἔπαθον χάριν τῆς πνευματικῆς ἡμῶν ὠφελείας (1). Τοιουτοτρόπως λοιπὸν διὰ τῆς ἐπικοινωνίας των αὐτῆς ἀνέλαβον τοὺς πειρασμοὺς ἡμῶν, ὥστε νὰ ἀπαλλαγῶμεν ἡμεῖς ἐξ αὐτῶν. Οἱ ἴδιοι ἔλεγον· «Εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας... καὶ ἡμεῖς πάσχομεν, καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ἡμῶν...» (Β' Κορινθ. α', 6—7).

24. Οἱ Ἀπόστολοι λοιπόν, ἀφοῦ ἐδέχθησαν τὸν νόμον ἀπὸ τὸν ἴδιον τὸν Κύριον, τὸν παρέδωσαν ἐν συνεχείᾳ εἰς ἡμᾶς. Σχετικῶς ἔλεγον: Ἐὰν ὁ Κύριος κατεδέχθη νὰ λάβῃ θάνατον ὑπὲρ ἡμῶν, ὀφείλομεν καὶ ἡμεῖς νὰ θέσωμεν ἑαυτοὺς εἰς κίνδυνον θανάτου ὑπὲρ τῶν ἀδελφῶν μας (2). Καὶ πάλιν· «Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ» (Γαλατ. ς', 2) (3).

25. Ἐὰν λοιπόν, κατόπιν τῶν ἀνωτέρω, ἀντελήφθημεν καλῶς τοὺς δύο τρόπους, κατὰ τοὺς ὁποίους οἱ ἄνθρωποι ἐπικοινωνοῦν μεταξύ των (τὸν ὀφειλόμενον εἰς κακίαν καὶ τὸν ὀφειλόμενον εἰς ἀγάπην) καὶ τὴν ἐξ ἀνάγκης ἐπακολουθοῦσαν ἀνάληψιν εὐθυνῶν, δι' ὅσα συμβαίνουν, καὶ τοὺς ἀναλόγως τοῦ χαρακτῆρος τῆς ἐπικοινωνίας συμβαίνοντας πειρασμούς, ἂς μὴ περιεργαζώμεθα πλέον τὸ διατί, ἢ πότε, ἢ διὰ μέσου τίνος ἔρχονται εἰς ἡμᾶς οἱ πειρασμοί... Διότι μόνον ὁ Θεὸς δύναται νὰ γνωρίζῃ ποία δοκιμασία ἁρμόζει εἰς ἕνα ἕκαστον, ἐκ ποίας ἀνάγκης ἢ αἰτίας συμβαίνει, καὶ τὴν συνδρομὴν τῆς φύσεως εἰς τὸ ἔργον τῆς δοκιμασίας. Ἡμεῖς ὀφείλομεν νὰ εἴμεθα ἀπολύτως βέβαιοι διὰ τὴν δικαιοσύνην τοῦ Θεοῦ καὶ νὰ γνωρίζωμεν, ὅτι κάθε θλιβερὸν περιστατικόν, ποὺ ἐπῆλθεν εἰς ἡμᾶς παρὰ τὴν θέλησίν μας, ἢ ἀπὸ ἀγάπην ἢ διὰ κακίαν συνέβη εἰς ἡμᾶς· πάντως ὅμως πρὸς τὸ πνευματικὸν ἡμῶν συμφέρον. Δι' αὐτὸ πρέπει νὰ τὸ ὑπομένωμεν καὶ νὰ μὴ ἐπιδιώκωμεν μὲ ἀγανάκτησιν νὰ τὸ ἀπομακρύνωμεν, διὰ νὰ μὴ προσθέσωμεν ἁμαρτίας ἐπάνω εἰς ἁμαρτίας.

26. Πρέπει δὲ καὶ τοῦτο νὰ γνωρίζωμεν· ὅτι τρεῖς τρόποι θεοσε-

---

1) «Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον... ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι...» (Ἑβρ. ια', 36—37).

2) «Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι» (Α' Ἰωάν. γ', 16).

3) Τὸ νόημα τῆς περικοπῆς αὐτῆς εἶναι τὸ ἑξῆς: Οἱ Ἅγιοι Ἀπόστολοι περιεπλάκησαν εἰς θλίψεις, πειρασμοὺς καὶ περιπετείας διότι ἐπεθύμουν νὰ ὠφελήσουν τὴν ἀνθρωπότητα.

βείας ὑπάρχουν, διὰ τῶν ὁποίων ὁ ἄνθρωπος δύναται νὰ σωθῇ. Ὁ πρῶτος εἶναι τὸ νὰ κατορθώσῃ ὁ ἄνθρωπος νὰ μὴ ἁμαρτήσῃ· ὁ δεύτερος τὸ νὰ ὑπομένῃ, αὐτὸς ποὺ ἡμάρτησε, τὰ θλιβερὰ ἐπακόλουθα τῆς ἁμαρτίας του· καὶ ὁ τρίτος τὸ νὰ πενθῇ, αὐτὸς ποὺ ἡμάρτησε καὶ δὲν ἔχει ὑπομονήν, διὰ τὴν ἔλλειψιν αὐτὴν τῆς ὑπομονῆς, δεδομένου, ὅτι ἐφ' ὅσον δὲν διορθωθῇ ὁ ἁμαρτήσας εἰς τὴν παροῦσαν ζωὴν διὰ τῶν καταλλήλων παιδαγωγιῶν, κατ' ἀνάγκην θὰ τιμωρηθῇ εἰς τὴν μέλλουσαν ζωήν· ἐκτὸς ἐὰν μᾶς ἴδῃ ὁ Θεὸς νὰ ἔχωμεν ταπεινωθῇ καὶ νὰ θλιβώμεθα διὰ τὴν ἔλλειψιν αὐτὴν τῆς ὑπομονῆς, ὁπόταν Ἐκεῖνος, ὅπως γνωρίζει, μὲ τὴν Παντοδύναμον Χάριν Του, θὰ ἐξαλείψῃ τὰς ἁμαρτίας ἡμῶν.

27. Ἡμεῖς λοιπόν, ἐφ' ὅσον δὲν κατορθώσωμεν νὰ ἐφαρμόσωμεν τὸν πρῶτον τρόπον θεοσεβείας, τὸ νὰ μείνωμεν δηλαδὴ ἀναμάρτητοι, διότι εἶναι δύσκολον, σχεδὸν ἀδύνατον, νὰ τὸ κατορθώσῃ κανείς, τοὐλάχιστον ἂς μὴ ἀμελήσωμεν τὸν δεύτερον· ἐὰν ὅμως καὶ τὸν δεύτερον τρόπον θεοσεβείας δὲν κατορθώσωμεν, ὁπωσδήποτε πρέπει νὰ φροντίσωμεν διὰ τὸν τρίτον, διὰ νὰ μὴ χάσωμεν τελείως τὴν ἐλπίδα τῆς σωτηρίας ἡμῶν.

28. Πρὸ παντός, ἀδελφοί μου, σᾶς παρακαλῶ νὰ προσέχετε μὲ ἐνδιαφέρον αὐτά, ποὺ σᾶς λέγω, ὥστε καὶ ἐγὼ νὰ μὴ ὑπομένω χωρὶς ὠφέλειαν τοὺς πειρασμοὺς ἐκ τῆς διδασκαλίας, ἀλλὰ καὶ σεῖς νὰ μὴ παραδώσετε μὲ τὴν ἀπροθυμίαν σας εἰς τὴν λήθην αὐτά, ποὺ σᾶς εἶπα. Ἡ λήθη εἶναι θυγάτηρ τῆς ἀδιαφορίας· ἀλλὰ καὶ αἱ δύο γεννῶνται ἀπὸ τὴν ἀπιστίαν. Ἕνα ὀδυνηρὸν περιστατικὸν ἐπαναφέρει εἰς τὸν συνετὸν τὴν μνήμην τοῦ Θεοῦ (1)· καὶ αὐτὸν ποὺ ἐλησμόνησε τὸν Θεόν, ἀναλόγως τοῦ μεγέθους τῆς λήθης, τὸν θλίβει. Κάθε πόνος, ποὺ συμβαίνει χωρὶς νὰ τὸν θελήσωμεν, ἂς μᾶς διδάξῃ τὴν ἐνθύμησιν τοῦ Θεοῦ. Ἀσφαλῶς τότε δὲν θὰ μᾶς λείψῃ ἀφορμὴ νὰ μετανοήσωμεν.

29. Πᾶσα κατὰ Θεὸν θλῖψις εἶναι πραγματικὸν ἔργον εὐσεβείας· τοῦτο δὲ διότι ἡ πραγματικὴ ἀγάπη δοκιμάζεται, ἐὰν εἶναι εἰλικρινής, ἀπὸ ἀντίθετα γεγονότα. Νὰ μὴ λέγῃς, ὅτι ἔχω ἀποκτήσει τὴν ἀρετήν, χωρὶς νὰ δοκιμάσῃς θλῖψιν, διότι ἡ ἀρετὴ δὲν συμβιβάζεται μὲ τὴν ἄνεσιν. Νὰ σκέπτεσαι πάντοτε ποῖον θὰ εἶναι τὸ ἀποτέλεσμα μιᾶς θλίψεως, ἡ ὁποία σοῦ συνέβη χωρὶς τὴν θέλησίν σου, καὶ τότε ἀσφαλῶς θὰ ἀνακαλύψῃς, ὅτι διὰ τῆς θλίψεως αὐτῆς θὰ πραγματοποιηθῇ ἐξάλειψις ἁμαρτίας. Ὁ ἄνθρωπος τὰ πραγματικὰ ἀγαθὰ τὰ ἀπολαμβάνει διὰ θλίψεων (2)· ἐνῷ ἀπ' ἐναντίας τὰ κακὰ τὰ κερδίζει διὰ τῆς κενοδοξίας καὶ τῆς ἡδονῆς.

---

1) «Κύριε, ἐν θλίψει ἐμνήσθην σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν» (Ἡσ. κϛ', 16).

2) «Ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ» (Πραξ. ιδ', 22).

30. Ἐὰν κανεὶς ἁμαρτάνῃ κατὰ τρόπον ὀφθαλμοφανῆ, ἐνώπιον ὅλων, καὶ δὲν μετανοεῖ, ἀλλὰ καὶ δὲν ὑφίσταται οὐδεμίαν θλῖψιν μέχρι τοῦ θανάτου του, νὰ εἶσαι βέβαιος, ὅτι δι' αὐτὸν ἡ τιμωρία κατὰ τὸ δικαστήριον ἐκεῖνο τὸ πάνδημον θὰ εἶναι αὐστηροτάτη, χωρὶς οὐδεμίαν εὐσπλαγχνίαν. Ὅπως ἀκριβῶς ἐκείνους, ποὺ δὲν χωνεύουν τὸ φαγητόν των, ἀπὸ στομαχικὰς διαταραχάς, ὠφελεῖ ἕνα πικρότατον βότανον, τοιουτοτρόπως καὶ εἰς ἐκείνους ποὺ ἐμφανίζουν κακὸν τρόπον ζωῆς συμφέρει νὰ ὑποφέρουν, χάριν τῆς ψυχικῆς των σωτηρίας. Εἰς αὐτοὺς ποὺ ὑποφέρουν δίδουν ὄρεξιν τὰ φάρμακα καὶ εἰς αὐτοὺς ποὺ ἁμαρτάνουν, διεγείρουν πόθον μετανοίας αἱ δοκιμασίαι.

31. Ἐὰν δὲν ἐπιθυμῇς νὰ ὑποφέρῃς ἀπὸ παιδαγωγικὰς θλίψεις, τότε νὰ ἀποφεύγῃς νὰ ἐκτελῇς καὶ πράξεις ἀξίας τιμωριῶν, διότι ἡ παιδαγωγὸς τιμωρία εἶναι συνέπεια τῶν ἐφαμάρτων πράξεων. Εἶναι φυσικὸς νόμος νὰ θερίζῃ ὁ ἄνθρωπος αὐτὸ ποὺ σπέρνει (1). Ἐφ' ὅσον λοιπὸν μὲ τὴν θέλησίν μας σπείρομεν τὰ αἰσχρά, δὲν πρέπει νὰ ἐπιλησσώμεθα, ὅταν θὰ θερίσωμεν, χωρὶς νὰ τὸ θέλωμεν, τὰς συνεπείας τῆς δικαίας κρίσεως τοῦ Θεοῦ. Ἐκεῖνος, ποὺ δὲν προτιμᾷ ἐλευθέρως καὶ μὲ τὴν θέλησίν του, τοὺς κόπους χάριν τῆς ἀληθείας, τιμωρεῖται σκληρότερον ἀπὸ πόνους, ποὺ δὲν τοὺς ἠθέλησεν.

32. Αὐτός, ποὺ ἐγνώρισε τὸ θέλημα τοῦ Θεοῦ καὶ δὲν τὸ ἐξετέλεσεν, ὅπως ἔπρεπε καὶ ἀναλόγως μὲ τὴν δύναμίν του, ἀλλ' ἠμέλησε κάπως, θὰ ὑποπέσῃ εἰς πειρασμοὺς διὰ νὰ τιμωρηθῇ ἐδῶ διὰ τὴν ἀμέλειάν του, καὶ οὕτω νὰ ἀποφύγῃ τὰς μεγάλας τιμωρίας τῆς κολάσεως. Μὴ νομίζῃς, ὅτι κάθε θλῖψις, ποὺ δοκιμάζει ὁ ἄνθρωπος, ὀφείλεται εἰς ἁμαρτίαν. Ὑπάρχουν ἄνθρωποι, ποὺ ἐνῷ εὐαρεστοῦν τὸν Θεόν, πειράζονται ἀπὸ θλίψεις. Εἰς τὴν Ἁγίαν Γραφὴν ὑπάρχει ἡ φράσις· «Καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται» (Ψαλμ. λϛ', 28). ἀλλὰ καὶ ἑτέρα φράσις· «Καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται» (Β' Τιμ. γ', 12).

33. Ὁ καλὸς καὶ πιστὸς δοῦλος, ποὺ τιμᾷ τὸν Δεσπότην, ἐκτελεῖ προθύμως αὐτὰ ποὺ ἐπιτάσσει· ὅταν δὲ σφάλῃ ἢ παρακούσῃ, τότε χωρὶς γογγυσμὸν ὑφίσταται τὰς συνεπείας, διὰ τὰς ὁποίας θεωρεῖ τὸν ἑαυτόν του ὑπεύθυνον. Ὅταν ἀγαπᾷς τὴν μάθησιν, νὰ ἀγαπᾷς καὶ τοὺς κόπους χάριν τῆς ἀρετῆς· διότι ἡ γυμνὴ γνῶσις, ποὺ δὲν συνοδεύεται ἀπὸ προσπάθειαν δι' ἐνάρετον βίον, καθιστᾷ τὸν ἄνθρωπον ὑπερήφανον, φουσκωμένον ἀπὸ τὴν ἔπαρσιν τῆς δῆθεν μορφώσεώς του. «Ἡ γνῶσις φυσιοῖ» (Α' Κορ. η', 2). Οἱ πειρασμοί, ποὺ συμβαίνουν εἰς τὴν ζωήν μας, χωρὶς νὰ τοὺς ἀναμένωμεν, κατ' οἰκονομίαν Θεοῦ συμβαίνουν, διὰ νὰ μᾶς διδάξουν τὴν ἀγαθὴν σκοπιμότητα τῶν κόπων καὶ τῶν πόνων καὶ νὰ μᾶς τραβήξουν εἰς τὴν μετάνοιαν, ἔστω καὶ παρὰ τὴν θέλησίν μας.

---

1) «Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει» (Γαλάτ. ϛ', 7).

34. Αἱ θλίψεις, ποὺ παρατηροῦνται εἰς τὴν ζωὴν τῶν ἀνθρώπων, εἶναι συνέπεια τῶν προσωπικῶν των ἐλαττωμάτων, ἁμαρτιῶν καὶ κακιῶν· ἐὰν ὅμως τὰς ὑπομείνωμεν ἀγογγύστως διὰ προσευχῆς, ἐπανακτῶμεν καὶ πάλιν, δι' αὐτῶν, ἀγαθὰ πράγματα. Ἀπόδειξις γνώσεως, πραγματικῆς καὶ βαθείας, εἶναι νὰ ὑπομένωμεν τὰ θλιβερὰ γεγονότα, χωρὶς νὰ θεωρῶμεν τοὺς συνανθρώπους μας ὡς αἰτίαν τῶν ἰδικῶν μας συμφορῶν.

35. Ἐκεῖνος ὁ ὁποῖος ἀνεκάλυψεν, ὅτι αἱ ἔξωθεν προερχόμεναι δοκιμασίαι κατὰ δικαιοσύνην Θεοῦ ἐπέρχονται, οὗτος ἀναζητῶν τὸν Κύριον, πράγματι εὗρε τὴν ἐπιζητουμένην γνῶσιν καὶ ἀντελήφθη τὴν οὐσίαν τῆς δικαιοσύνης. Ἐὰν ἀντιληφθῇς, συμφώνως πρὸς τὴν Ἁγίαν Γραφήν, ὅτι τὰ κρίματα τοῦ Θεοῦ δεσπόζουν ἐπάνω εἰς ὅλην τὴν γῆν, τότε κάθε περιστατικὸν τῆς ζωῆς σου θὰ σοῦ χρησιμεύῃ ὡς διδάσκαλος θεοσεβείας. Νοῦς, ὁ ὁποῖος ἐλησμόνησε τὴν ἀληθῆ γνῶσιν, τὴν βαθεῖαν καὶ ἐσωτερικήν, ἀγωνίζεται διὰ τὰ πνευματικῶς ἀντίθετα, τὰ ὁποῖα, ἐσφαλμένως, θεωρεῖ ὡς συμφέροντα εἰς τοὺς ἀνθρώπους. Ὅταν μία ἁμαρτωλὸς ψυχὴ δὲν ὑπομένῃ τὰς ἐπερχομένας θλίψεις, τότε οἱ Ἄγγελοι τοῦ Θεοῦ λέγουν δι' αὐτήν· «Ἰατρεύσαμεν τὴν Βαβυλῶνα καὶ οὐκ ἰάθη» (Ἱερεμ. κη', 9).

† 36. Εἰς τοὺς πόνους, ποὺ ὑφιστάμεθα, παρὰ τὴν θέλησίν μας, εἶναι κεκρυμμένον τὸ ἔλεος τοῦ Θεοῦ, κατὰ τρόπον ἀξιοθαύμαστον· τὸ ἔλεος αὐτὸ τραβᾷ εἰς μετάνοιαν τὸν ὑπομένοντα τοὺς πόνους καὶ τὸν ἀπαλλάσσει ἀπὸ τὴν αἰώνιον κόλασιν. Ἐφ' ὅσον δὲν εἶναι δυνατὸν εὐκόλως νὰ εὕρωμεν ἐκεῖνον, ποὺ χωρὶς πειρασμοὺς εὐηρέστησε τὸν Θεόν, τότε πρέπει νὰ εὐχαριστοῦμεν τὸν Θεὸν δι' ὅσα μᾶς συμβαίνουν. Ἰδοὺ καὶ ἀπὸ τὴν Ἁγίαν Γραφὴν τί διδασκόμεθα: Ἐὰν ὁ Ἀπόστολος Πέτρος δὲν ἐκοπίαζε διὰ τὸ ἄκαρπον νυκτερινὸν ψάρεμα, δὲν θὰ ἐπετύγχανε τὸ πλούσιον κατὰ τὴν ἡμέραν (Ἰωάν. κα', 1—14). Ἐὰν ὁ Ἀπόστολος Παῦλος δὲν ἐτυφλώνετο αἰσθητῶς ἔξω ἀπὸ τὴν Δαμασκόν, δὲν θὰ ἀνέβλεπε πνευματικῶς μετὰ ταῦτα (Πράξ. θ', 8—9). Ἐὰν ὁ Πρωτομάρτυς Στέφανος δὲν ἐσυκοφαντεῖτο ὡς βλάσφημος, καὶ δὲν ἐλιθοβολεῖτο ἀδίκως, δὲν θὰ ἤνοιγον πρὸς τιμήν του οἱ οὐρανοὶ καὶ δὲν θὰ ἔβλεπε τὸν Θεὸν (Πράξ. ζ', 54—60).

37. Ὅπως ἀκριβῶς ἡ κατὰ Θεὸν ἐργασία ὀνομάζεται ἀρετή, τοιουτοτρόπως καὶ ἡ θλῖψις, τὴν ὁποίαν δὲν ἀναμένομεν, ἀλλ' ἐπέρχεται ἀπροσδοκήτως, ὀνομάζεται πειρασμός. Ὁ Θεὸς ἐπείραζε τὸν Ἀβραάμ, δηλαδὴ τὸν ἐστενοχώρει, πρὸς τὸ ψυχικόν του συμφέρον, ὄχι διὰ νὰ μάθῃ ποῖος εἶναι (διότι τὸν ἐγνώριζε καλῶς Αὐτὸς ποὺ γνωρίζει τὰ πάντα πρὶν γίνουν), ἀλλὰ διὰ νὰ τοῦ δώσῃ ἀφορμὰς νὰ τελειοποιήσῃ τὴν εἰς τὸν ἀληθινὸν Θεὸν πίστιν του.

38. Κάθε θλῖψις ἐλέγχει τὸν δρόμον, ποὺ ἀκολουθεῖ τὸ θέλημα τοῦ ἀνθρώπου· ἐὰν δηλαδὴ τὸ θέλημα τοῦ ἀνθρώπου κατευθύνεται δεξιὰ ἢ ἀριστερά. Δι' αὐτὸ καὶ ἡ θλῖψις, ποὺ μᾶς συμβαίνει, λέγεται

καὶ πειρασμός, δηλαδὴ δοκιμασία, παρέχουσα τὴν εὐκαιρίαν εἰς τοὺς δοκιμάζοντας τὴν θλῖψιν νὰ γνωρίσουν τὰς ἀφανεῖς διαθέσεις τῆς ψυχῆς των.

Β΄. Ἰσαὰκ τοῦ Σύρου

ΕΙΠΕ τις τῶς Ἁγίων, ὅτι Μοναχὸς μὴ θεαρέστως δουλεύων τῷ Κυρίῳ, καὶ σπουδαίως ἀγωνιζόμενος εἰς τὴν σωτηρίαν τῆς ἑαυτοῦ ψυχῆς, ἀλλὰ ἀμελῶς περὶ τὴν ἄσκησιν τῶν ἀρετῶν διακείμενος, πάντως παραχωρεῖται ὑπὸ τοῦ Θεοῦ πειρασμοῖς ποικίλοις, καὶ ἀσθενείαις περιπεσεῖν, ἵνα μὴ ἐκ τῆς πολλῆς ἀργίας νεύσῃ ἐπὶ τὰ πονηρά· διὰ τοῦτο γοῦν ἐπιῤῥίπτει ὁ Θεὸς πειρασμοὺς ἐπὶ τοὺς ῥαθύμους καὶ ἀμελεῖς, ἵνα ἐν αὐτοῖς ἀδολεσχῶσι καὶ μὴ ἐν τοῖς ματαίοις.

2. Μνημόνευε οὖν τοῦ Θεοῦ ἐν παντὶ καιρῷ, καὶ πειρασμοὺς οὐ φοβηθήσῃ· ἡ φύσις σου δεκτικὴ τῶν παθῶν γέγονε, καὶ τοῦ παρόντος κόσμου οἱ πειρασμοὶ πολλοί, καὶ οὐκ ἀπέχουσιν ἀπὸ σοῦ τὰ κακά, ἀλλ᾽ ἔνδοθέν σου βρύουσι, καὶ ὑποκάτω τῶν ποδῶν σου, καὶ οὐδὲ ἐκ τοῦ τόπου, οὗ ἔστηκας, μὴ σαλευθῇς, καὶ ὅταν ὁ Θεὸς ἐπισκέψηται καὶ ἐπινεύσῃ, ἐλευθεροῖ καὶ κουφίζει σε ἐξ αὐτῶν.

3. Καθάπερ γὰρ ἐγγίζουσιν ἀλλήλοις τὰ βλέφαρα, οὕτω καὶ οἱ πειρασμοὶ ἐγγὺς τῶν ἀνθρώπων εἰσί· τοῦτο δὲ ᾠκονόμησεν ὁ Θεὸς ἐν σοφίᾳ διὰ τὴν σὴν ὠφέλειαν, ὅπως ἐπιμόνως κρούῃς τὴν θύραν Αὐτοῦ καὶ φόβῳ τῶν θλιβερῶν, ἐνσπαρῇ ἡ μνήμη Αὐτοῦ ἐν τῇ σῇ διανοίᾳ, καὶ πλησιάσῃς Αὐτῷ διὰ τῶν ἐντεύξεων, καὶ ἁγιασθῇ σου ἡ καρδία τῇ διηνεκεῖ Αὐτοῦ μνείᾳ, καὶ δεομένου σου, εἰσακούσηταί σου, καὶ μαθήσῃ ὅτι ὁ Θεός ἐστιν ὁ ἐξαιρούμενός σε, καὶ αἰσθανθῇς τοῦ πλάσαντός σε καὶ ῥωννύοντος καὶ φυλάσσοντος.

Ἑρμηνεία

ΕΝΑΣ ἐκ τῶν Ἁγίων εἶπεν· «Ὅταν ἕνας Μοναχὸς δὲν ὑπηρετῇ, ὅπως θέλῃ ὁ Θεός, τὸν Κύριον, καὶ δὲν ἀγωνίζεται μετὰ ζήλου διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του, ἀλλ᾽ ἀπ᾽ ἐναντίας ἀμελεῖ διὰ τὴν καλλιέργειαν τῶν ἀρετῶν, τότε ἐπιτρέπει ὁ Θεὸς νὰ περιπέσῃ εἰς διαφόρους πειρασμοὺς καὶ διαφόρους ἀσθενείας (1), διὰ νὰ μὴ καταντήσῃ, ἐξ ἀφορμῆς τῆς πολλῆς ἀργίας, εἰς τὰ πονηρά. Δι᾽ αὐτὸ λοιπὸν ὁ Θεὸς δίδει ἐπάνω εἰς τοὺς ῥαθύμους καὶ ἀμελεῖς πειρασμούς, διὰ νὰ ἀσχολοῦνται μὲ αὐτοὺς καὶ ὄχι μὲ πράγματα μάταια, ἐμπνεόμενα ἀπὸ τὴν ῥαθυμίαν καὶ ἀμέλειαν.

2. Νὰ ἐνθυμῆσαι λοιπὸν τὸν Θεὸν πάντοτε, καὶ δὲν θὰ φοβηθῇς ποτὲ τοὺς πειρασμούς. Ἡ φύσις σου, ἄνθρωπε, μετὰ τὴν πτῶσιν τῶν πρωτοπλάστων ἔγινεν ἐπιρρεπὴς εἰς τὰ διάφορα φυσικὰ καὶ ἠθικὰ πάθη· οἱ πειρασμοὶ τοῦ παρόντος κόσμου εἶναι πολλοὶ καὶ δὲν εὑρίσκονται μακρυὰ ἀπὸ σὲ τὰ διάφορα κακά, ἀλλὰ πηγάζουν ἀπὸ μέσα σου, ἀπὸ κάτω ἀπὸ τοὺς πόδας σου. Σύ, ὅμως, πρόσεξε, μὴ μετακινηθῇς ἀπὸ τὸν τόπον εἰς τὸν ὁποῖον ἔχεις σταθῆ καὶ ὅταν ὁ Θεὸς θὰ ρίψῃ ἐπὶ σὲ

---

1) «Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις» (Ἰακ. α΄, 2).

μετ' εὐμενείας τὸ βλέμμα του καὶ θὰ σὲ ἐπισκεφθῇ, θὰ σὲ ἐλευθερώσῃ ἀπὸ τὰς δυσκολίας καὶ θὰ ἐλαφρώσῃ τὸ φορτίον τῶν πειρασμῶν σου.

3. Ὅπως ἀκριβῶς τὰ βλέφαρα τῶν ὀφθαλμῶν μας εἶναι τόσον κοντά, καὶ ἐγγίζουσι τὸ ἕνα τὸ ἄλλο, τόσον πλησίον τῶν ἀνθρώπων εἶναι καὶ οἱ διάφοροι πειρασμοὶ (=δοκιμασίαι). Αὐτὸ τὸ πρᾶγμα τὸ οἰκονόμησεν ὁ Θεὸς πανσόφως διὰ τὴν ὠφέλειάν σου· διὰ νὰ κρούῃς συνεχῶς καὶ ἀκαταπαύστως τὴν θύραν τοῦ ἐλέους Αὐτοῦ καί, ἐξ αἰτίας τοῦ φόβου τῶν θλιβερῶν, νὰ φυτευθῇ ἡ μνήμη τοῦ Θεοῦ εἰς τὴν διάνοιάν σου. Οὕτω θὰ Τὸν πλησιάσῃς διὰ τῶν ἐπιμόνων δεήσεών σου, θὰ ἁγιασθῇ ἡ καρδία σου ἀπὸ τὴν ἀκατάπαυστον ἐνθύμησιν τοῦ Θεοῦ, καί, ἐφ' ὅσον θὰ τὸν ἐπικαλεῖσαι, θὰ σὲ εἰσακούσῃ. Τότε θὰ ἀντιληφθῇς καὶ σύ, ὅτι ὁ Θεὸς εἶναι Αὐτὸς ποὺ θὰ σὲ ἀπαλλάξῃ ἀπὸ τὰς συμφοράς, θὰ αἰσθανθῇς εἰς τὴν ψυχήν σου τὴν παρουσίαν τοῦ Δημιουργοῦ σου, ὁ ὁποῖος σὲ ἐνισχύει κατὰ τῶν πειρασμῶν καὶ σὲ περιφρουρεῖ ἀπὸ τὰ κακά.

Γ'. Τοῦ Ἁγίου Μαξίμου

ΤΑ ΣΥΜΒΑΙΝΟΝΤΑ ἡμῖν λυπηρά, πρὸς παίδευσιν ἡμῖν συμβαίνῃ, ἢ πρὸς παρελθόντων ἁμαρτημάτων ἀναίρεσιν, ἢ πρὸς ἐνεστώσης ἀμελείας διόρθωσιν, ἢ πρὸς μελλόντων ἁμαρτημάτων ἀνακοπήν.

2. Ὁ οὖν λογιζόμενος ὅτι δι' ἓν τούτων συνέβη ὁ πειρασμός, οὐκ ἀγανακτεῖ τυπτόμενος, ἢ ἀδικούμενος, ἢ ἄλλο τι πάσχων τῶν λυπηρῶν· μάλιστα καὶ συνειδὼς ἑαυτῷ ἁμαρτίας, οὐδὲ αἰτιᾶται τὸν δι' οὗ ὁ πειρασμός, κἂν γὰρ δι' αὐτοῦ κἂν ἄλλου, πιεῖν τῶν θείων κριμάτων τὸ ποτήριον, ἀλλ' εἰς Θεὸν ἀποβλέπει, καὶ εὐχαριστεῖ τῷ συγχωρήσαντι, καὶ ἑαυτὸν αἰτιᾶται, καὶ δέχεται τὴν παιδείαν προθύμως, ὥς περ ὁ Δαβὶδ ἐπὶ τοῦ Σεμεΐ.

3. Ὁ δὲ ἄφρων αἰτεῖ μὲν πολλάκις τὸν Θεὸν ἐλεηθῆναι, καὶ τῶν χαλεπῶν ἐλευθερωθῆναι, ἐρχόμενον δὲ τὸ ἔλεος οὐ παραδέχεται, ἐπειδὴ οὐχ ὡς ἐκεῖνος ἤθελεν, ἀλλ' ὡς ὁ ἰατρὸς τῶν ψυχῶν συμφέρειν ἡγήσατο, καὶ διὰ τοῦτο ὀλιγωρεῖ καὶ θορυβεῖται καὶ ποτὲ μὲν τοῖς ἀνθρώποις θυμομαχεῖ, ποτὲ δὲ εἰς τὸ θεῖον βλασφημεῖ, καὶ μέν τοι καὶ τὴν ἀγνωμοσύνην δεικνύει, καὶ παράκλησιν οὐ λαμβάνει.

4. Οἱ κατὰ συγχώρησιν Θεοῦ πειράζοντες ἡμᾶς, ἢ τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐκθερμαίνουσιν, ἢ τὸ θυμικὸν ἐκταράττουσιν, ἢ τὸ λογιστικὸν αὐτῆς ἐμποδίζουσιν, ἢ τὸ σῶμα ὀδύναις περιβάλλουσιν, ἢ τὰ σωματικὰ διαρπάζουσιν, ἢ δι' ἑαυτῶν ἡμᾶς οἱ δαίμονες ἐκπειράζουσιν, ἢ τοὺς μὴ φοβουμένους τὸν Θεὸν καθ' ἡμῶν ἐφοπλίζουσι· δι' ἑαυτῶν μέν, ὅταν ἐκ τῶν ἀνθρώπων ἰδιάσωμεν ὥς περ καὶ τὸν Κύριον ἐν τῇ ἐρήμῳ· διὰ τῶν ἀνθρώπων δέ, ὅταν μετ' αὐτῶν συνδιατρίβωμεν, ὥς περ καὶ τὸν Κύριον διὰ τῶν Φαρισαίων.

5. Ἀλλ' ἡμεῖς εἰς τὸν τύπον ἡμῶν ἀποβλεπόμενοι, ἀμφοτέρωθεν αὐτοὺς ἀποκρουσώμεθα. Πᾶσα σχεδὸν ἁμαρτία δι' ἡδονῆς γίνεται· καὶ πᾶσα ἀναίρεσις διὰ κακοπαθείας καὶ λύπης, ἢ ἑκουσίου διὰ μετανοίας, ἢ οἰκονομικῆς δι' ἐπιφορᾶς παρὰ τῆς προνοίας ἐπαγομένης· «εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, φησίν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν».

6. Οἱ μὲν τῶν πειρασμῶν, ἡδονάς, οἱ δὲ λύπας, οἱ δὲ ὀδύνας σωματικὰς τοῖς ἀνθρώποις προσάγουσι· κατὰ γὰρ τὴν ἐγκειμένην τῇ ψυχῇ τῶν παθῶν αἰτίαν, καὶ τὸ φάρμακον τῶν ψυχῶν ὁ ἰατρὸς διὰ τῶν αὐτοῦ κριμάτων ἐπιτίθησιν.

7. „Ὅταν σοι ἔλθῃ ἐξ ἀπροσδοκήτου πειρασμός, μὴ τὸν δι' οὗ αἰτιῶ, ἀλλὰ τὸ

διατί ζήτει· καὶ εὑρίσκων διόρθωσαι· ὁ μὲν γὰρ ἐχέφρων, τῶν θείων κριμάτων ἀναλογιζόμενος τὴν ἰατρείαν, εὐχαρίστως φέρει τὰς διὰ τούτων αὐτῷ ἐπισυμβαινούσας συμφοράς, μηδένα ἄλλον τούτων αἴτιον, ἢ τὰς ἑαυτοῦ ἁμαρτίας λογιζόμενος.

8. Ὁ δὲ ἄφρων τὴν τοῦ Θεοῦ ἀγνοῶν σοφωτάτην πρόνοιαν, ἁμαρτάνων καὶ παιδευόμενος, ἢ τὸν Θεόν, ἢ τοὺς ἀνθρώπους τῶν ἑαυτοῦ κακῶν αἴτιον λογίζεται· οὕτως ἀκριβῶς θέλει σωθῆναι ὁ τοῖς ἰατρικοῖς φαρμάκοις μὴ ἀνθιστάμενος· ταῦτα δέ εἰσιν ὀδύναι καὶ λύπαι, διὰ ποικιλίας ἐπιφορῶν ἐπαγόμεναι· ὁ δὲ ἀνθιστάμενος οὐκ οἶδε τί ἐνταῦθα πραγματεύεται, οὐδὲ τί ἐντεῦθεν ὠνησόμενος ἀπελεύσεται.

9. Ὅταν εὕρῃς εἰρήνην ἐν τῇ ὁδῷ σου ἀναλλοίωτον, τότε φοβήθητι, διότι μακρὰν ἀπέχεις ἀπὸ τῆς εὐθείας τρίβου τῆς πατουμένης ὑπὸ τῶν μοχθηρῶν ποδῶν τῶν Ἁγίων· ὅσον γὰρ ὁδεύεις ἐν τῇ βασιλικῇ ὁδῷ, καὶ τῇ τοῦ Θεοῦ πόλει πλησιάζεις, ἡ ἰσχὺς τῶν πειρασμῶν ἀπαντᾷ σοι· καὶ ὅσον προκόπτεις, τοσοῦτον τοὺς πειρασμοὺς κατὰ σοῦ εὑρίσκεις πληθυνομένους· ὅταν οὖν αἰσθῇ ἐν τῇ ψυχῇ σου ἰσχυροτέρους τοὺς ἐχθροὺς προσπαλαίοντας, ἤτοι πειρασμούς, τότε γνῶθι, ὅτι καὶ μείζονα εἴληφας ἐκ τῆς Χάριτος δύναμιν καὶ προσετέθη σοι βαθμὸς προκοπῆς ὑψηλοτέρας· κατὰ γὰρ τὴν δοθεῖσαν σοι Χάριν συγχωρεῖ καὶ ὁ Θεὸς ἐπενεχθῆναί σοι τοὺς πειρασμούς.

10. Οὐκ ἔρχεται δὲ πειρασμός, εἰ μὴ πρότερον δέξεται ἡ ψυχὴ μέγεθος ὑπὲρ τὸ μέτρον αὐτῆς, καὶ τῆς χάριτος αὔξησιν, καὶ μαρτυρεῖ τῷ λεγομένῳ αὐτός τε ὁ Κύριος μετὰ τὸ Βάπτισμα πειρασθείς, καὶ οἱ Ἀπόστολοι μετὰ τὸ δέξασθαι τὸν Παράκλητον, τότε συγχωρηθέντες εἰς πειρασμοὺς ἐλθεῖν· τοῖς γὰρ κοινωνοῖσι τῶν ἀγαθῶν, ἁρμόδιόν ἐστιν ὑπομεῖναι καὶ τοὺς δι' αὐτῶν πειρασμούς· ἄνευ γὰρ θλίψεως, οὐδενὶ δίδοται ἀγαθόν.

11. Προηγεῖται μὲν οὖν ἡ Χάρις τοῦ πειρασμοῦ ἐν τῷ νοΐ δυναμοῦσα αὐτὸν καὶ οἷα στρατιώτην εἰς πόλεμον ἐφοπλίζουσα· μετὰ δὲ τὴν τοῦ πειρασμοῦ ἔκβασιν καὶ νίκην, τότε καὶ ἡ αἴσθησις τῆς ψυχῆς τῆς Χάριτος γεύεται, καὶ ἐν ἀναπαύσει ταύτης κατατρυφᾷ.

12. Εἰ δέ τις ἀσθενὴς ὤν, μᾶλλον δὲ δειλὸς καὶ ἀπρόθυμος, οὐ βούλεται συμφερόντως πειρασθῆναι, καὶ περὶ τούτων αἰτούμενος τὸν Θεὸν εἰσακουσθήσεται παρ' Αὐτῷ. Γνῶθι ὅτι καθόσον ἀνικανοῖ πρὸς τοὺς μεγάλους πειρασμούς, κατὰ τοσοῦτον καὶ πρὸς μεγάλα χαρίσματα ὑπάρχει ἀνίκανος· καὶ ὥς περ ἐκωλύθη ἐξ αὐτοῦ ἔφοδος τῶν πειρασμῶν τῶν μεγάλων, οὕτω κωλύεται ἐκ τούτου καὶ τὰ μεγάλα χαρίσματα.

13. Πειρασμοὺς δέ φημι οὐ τοὺς κοσμικούς, οἵτινες γίνονται διὰ τὸ χαλινῶσαι τὴν κακίαν, οὐδὲ τὰς σωματικὰς ταραχὰς λέγω, ἀλλὰ τοὺς ἁρμόζοντας Μοναχοῖς ἐν τῇ ἡσυχίᾳ αὐτῶν, ἐν οἷς ἡ τοῦ ἀγωνιζομένου ψυχὴ δοκιμάζεται καὶ προκόπτει κατὰ Θεόν· οἷον, ὀκνηρίαν, βάρος τοῦ σώματος, χαύνωσιν τῶν μελῶν, ἀκηδίαν, σύγχυσιν τῆς διανοίας, ὑπόνοιαν ἀσθενείας τοῦ σώματος, ἀνελπιστίαν πρὸς ὥραν, σκότωσιν λογισμῶν, ἔκλειψιν τῆς ἐξ ἀνθρώπων βοηθείας, ἔνδειαν τῆς σωματικῆς χρείας καὶ τὰ τούτοις ὅμοια.

14. Πρέπει οὖν ἡμᾶς, ἐν τῷ καιρῷ τῶν τοιούτων πειρασμῶν, δύο τινὰ ἐναντία ἀλλήλοις ἔχειν, ἤγουν χαράν τε καὶ φόβον· χαρὰν μὲν ὅτι ἐν τῇ ὁδῷ τοῦ Χριστοῦ βαδίζοντες εὑρισκόμεθα, ἥτις ἐκ τῶν πειρασμῶν δηλοῦται· φόβον δέ, μήπως οὐ κατὰ δοκιμὴν καὶ προκοπήν, ἀλλ' ἕνεκεν τῆς ὑπερηφανίας ἡμῶν πειραζόμεθα· ὅμως ἡ Χάρις σοφίζει τοὺς ταπεινόφρονας, καὶ δίδωσι διακρῖναι καὶ γνῶναι τίνες οἱ ἐκ τῆς ὑπερηφανίας πειρασμοὶ εἰς παιδείαν καὶ ἔλεγχον ἐπαγόμενοι, καὶ τίνες οἱ ἐκ τῶν ῥαπισμάτων τῶν ἐξ ἀγάπης τυπτομένων. Ἕνεκα τοῦ ἐν τῷ ἀγαθῷ αὐξῆσαι τὸν ἄνθρωπον, καὶ μείζονος ἀξιωθῆναι τῆς Χάριτος.

15. Ἐκ τούτων γὰρ τῶν δευτέρων κτᾶται ὁ ἄνθρωπος τὴν εἰς Θεὸν ἐλπίδα βεβαίαν, καὶ τὸ μὴ ἐπ' ἄλλῳ τινὶ πεποιθέναι· ἔτι δὲ καρδίαν ταπεινὴν καὶ νεκρὰν

πρὸς πᾶν τὸ φαινόμενον, καὶ πρὸς τούτοις, μᾶλλον δὲ διὰ τούτων, ἔρχεται λοιπὸν καὶ εἰς ἐπιθυμίαν καὶ ἀγάπην τοῦ Κτίσαντος. Ταύταις δὲ ταῖς ἐπιφοραῖς καὶ ἡ παράκλησις συγκεκρυμμένη ἐστί, καὶ οὐκ εἰς πολὺ διαμένουσα, καὶ τῷ σκότει τὸ φῶς καὶ τῷ πολέμῳ αἱ ἀντιλήψεις παραπέμπονται.

16. Οἱ δὲ χάριν τῆς καρδιακῆς ἐπάρσεως ἤτοι τῆς ὑπερηφανίας ἐκ παραχωρήσεως Θεοῦ ἐπερχόμενοι πειρασμοί, λίαν τὴν ψυχὴν βαροῦσι καὶ εἰς ἀμηχανίαν ἐμβάλλουσιν, ἐπιτιθέντες αὐτῇ βάρος ὑπὲρ τὴν ἑαυτῆς δύναμιν, καὶ εἰς βλασφημίαν ἢ ἄλλην τινὰ ἁμαρτίαν ὠθοῦντες καὶ βιαζόμενοι ἢ διὰ τῶν ψυχικῶν παθῶν αἰφνιδίως τῷ ἀνθρώπῳ ἐπαναστάντων, καὶ ῥαγδαίως κατ᾽ αὐτοῦ φερομένων, ἢ διὰ τῶν σωματικῶν ὀδυνῶν καὶ ἀσθενειῶν, καὶ συμβάσεων ἑτέρων ἐξ ἀνθρώπων ἐπαγομένων, ἢ ἐξ ἄλλης τινὸς περιστάσεως, οἷον τοῦ πεσεῖν ἐξ ὕψους καὶ συντριβῆναι τὸ σῶμα, ἢ κλύδωνι θαλάσσης περιπεσεῖν καὶ πρὸς τῇ ἀποβολῇ τῶν ἰδίων ἐλθεῖν καὶ εἰς τὸ κινδυνεῦσαι λοιπὸν σχεδὸν καὶ εἰς αὐτὴν τὴν ζωήν, καὶ ἁπλῶς εἰπεῖν, ὅσα ὑπὲρ δύναμιν ἐπάγονται τῷ ἀνθρώπῳ καὶ οὐ σύντομον εὑρίσκει ἐν αὐτοῖς τὴν ἀντίληψιν.

17. Ταῦτα δὲ διὰ τὴν ὑπερηφανίαν ἐκ συγχωρήσεως Θεοῦ ἐπιφέρονται· λοιπὸν οὖν ἐκ τοῦ ἤθους καὶ τοῦ μεγέθους τοῦ πειρασμοῦ συγκρινομένου πρὸς τὴν σὴν δύναμιν, τῆς σῆς διανοίας καὶ πολιτείας τὰς ὁδοὺς καταλάμβανε.

18. Καὶ τοῦτο δὲ χρὴ εἰδέναι, ὅτι ὅταν βουληθῇ ὁ Θεὸς ἐπὶ πλεῖον θλιβῆναι τὸν ἄνθρωπον, παραχωρεῖ αὐτὸν ἐλθεῖν εἰς τὰς χεῖρας τῆς μικροψυχίας, ἐν ᾗ κραταιουμένη κατ᾽ αὐτοῦ ἡ ἀκηδία, γεύει αὐτὸν τοῦ ψυχικοῦ πνιγμοῦ, ἤτοι τῆς κολάσεως τῆς γεέννης, καὶ ἐκ τούτου ἐπέρχεται αὐτῷ τὸ πνεῦμα τῆς ἐκστάσεως, ἐξ οὗ πηγάζονται οἱ μύριοι πειρασμοί, ἡ σύγχυσις, ὁ θυμός, ἡ βλασφημία, ἡ μεμψιμοιρία, οἱ διεστραμμένοι λογισμοί, ἡ ἀπὸ χώρας εἰς χώραν μετάβασις, καὶ τὰ ὅμοια τούτοις.

19. Τούτων δὲ πάντων μία ἐστὶν ἡ θεραπεία, δι᾽ ἧς ἡ ψυχὴ εὑρίσκει παράκλησιν, ἡ ταπείνωσις τῆς καρδίας, ἡ ἐκ τῆς εὐχῆς καὶ τῆς ἐκχύσεως τῶν δακρύων, καὶ τοῦ παραῤῥίπτεσθαι ἐνώπιον τοῦ Θεοῦ, καὶ ἐξουδενεῖν ἑαυτὸν τῷ ἀνθρώπῳ ἐγγινομένη, ἄνευ δὲ ταύτης οὐκ ἔστι τῶν πειρασμῶν τούτων ἀπαλλαγῆναι· αὕτη γὰρ δίδωσι τῷ ἀνθρώπῳ ὑπομονήν, δι᾽ ἧς ἐλαφρύνεται τὸ βάρος τῆς θλίψεως, καὶ παράκλησις ἐπέρχεται, ἢ τὴν πρὸς τὸν Θεὸν ἀγάπην προστίθησιν, καὶ τὴν ἐν τῷ Πνεύματι τῷ Ἁγίῳ χαράν τε καὶ ἀγαλλίασιν.

Ἑρμηνεία

ΤΑ ΛΥΠΗΡΑ γεγονότα, ποὺ συμβαίνουν εἰς ἡμᾶς, συμβαίνουν πρὸς σωφρονισμὸν καὶ παίδευσιν ἡμῶν· ἢ διὰ νὰ συγχωρηθοῦν περασμένα ἁμαρτήματα, ἢ διὰ νὰ διορθωθῇ ὑπάρχουσα ἀμέλεια ἢ διὰ νὰ ἐμποδισθῇ ὁ ἄνθρωπος ἀπὸ μελλοντικὰ ἁμαρτήματα.

2. Ἐκεῖνος λοιπόν, ποὺ σκέπτεται, ὅτι διὰ μίαν ἐκ τῶν τριων αὐτῶν αἰτιῶν συνέβη ὁ πειρασμός, δὲν ἀγανακτεῖ ὅταν ἀσθενῇ, ἢ ἀδικῆται, ἢ πάσχῃ κάτι λυπηρόν. Ἀπ᾽ ἐναντίας μάλιστα· ἐπειδὴ ἔχει ἐπίγνωσιν τῶν ἁμαρτιῶν του, οὐδὲ κἂν θεωρεῖ αἴτιον τῆς θλίψεώς του ἐκεῖνον διὰ τοῦ ὁποίου ἐπῆλθεν εἰς αὐτὸν ὁ πειρασμός· διότι γνωρίζει, ὅτι ὑποχρεοῦται, εἴτε ὁ ἴδιος, εἴτε δι᾽ ἄλλου τινός, νὰ πίῃ μέχρι σταγόνος τὸ ποτήριον τῆς θείας Δικαιοσύνης. Δι᾽ αὐτό, κατὰ τὸ στάδιον τῆς δοκιμασίας του ἀποβλέπει εἰς τὸν Θεόν, τὸν εὐχαριστεῖ, διότι ἐπέτρεψε τὴν δοκιμασίαν αὐτήν, θεωρεῖ τὸν ἑαυτόν του αἴτιον τοῦ πει-


Ὁ ΑΒΒΑϹ ΛΟΥΚΙΟϹ
ΓΛΩϹϹΗϹ
ϹΟΥ ΚΑΙ
ΞΕΝΟϹ
ΕΙ

ρασμοῦ καὶ μετὰ προθυμίας ὑπομένει τὴν παιδείαν αὐτήν, ὅπως ὁ Δαβὶδ τότε μὲ τὸν Σεμεΐ [1].

3. Ἀπ' ἐναντίας, ὁ ἄφρων ζητεῖ ἀπὸ τὸν Θεὸν ἐπιμόνως νὰ ἐλεηθῇ καὶ νὰ ἐλευθερωθῇ ἀπὸ τὰ δυσάρεστα· ὅταν ὅμως ἔλθῃ τὸ ἔλεος τοῦ Θεοῦ δὲν τὸ ἀναγνωρίζει, οὔτε εὐχαριστεῖται, διότι τὴν ἐπίσκεψιν αὐτὴν τοῦ Θεοῦ τὴν ἤθελε μὲ τὸν ἰδικόν του τρόπον, καὶ ὄχι ὅπως ὁ ἰατρὸς τῶν ψυχῶν μας ἐθεώρησε, ὅτι συμφέρει εἰς τὰς ψυχὰς ἡμῶν. Ἐπειδὴ δὲ τὰ πεπραγμένα δὲν συνέβησαν ὅπως αὐτὸς τὰ προσδοκοῦσε, δι' αὐτὸ ἀμελεῖ, ἀδιαφορεῖ καὶ ἀνησυχεῖ· καὶ ἄλλοτε μὲν ταράσσεται καὶ ἐνοχλεῖται μὲ τοὺς ἀνθρώπους, ἄλλοτε βλασφημεῖ τὸ θεῖον· μὲ τὸν τρόπον του δὲ αὐτὸν καὶ ἀγνωμοσύνην ἐπιδεικνύει καί, ὡς εἶναι ἑπόμενον, δὲν λαμβάνει ἐκ Θεοῦ τὴν ἀναμενομένην παρηγορίαν.

4. Ἐκεῖνοι οἱ ὁποῖοι, κατὰ παραχώρησιν Θεοῦ, μᾶς πειράζουν, ἢ θερμαίνουν εἰς τὴν ψυχήν μας εὐτελεῖς ἐπιθυμίας, ἢ διεγείρουν τὸν θυμὸν καὶ τὴν ὀργήν μας, ἢ παρεμποδίζουν τὴν λειτουργίαν τοῦ λογικοῦ μας [2], ὡσαύτως οἱ κατὰ παραχώρησιν Θεοῦ πειράζοντες ἡμᾶς προκαλοῦν εἰς ἡμᾶς σωματικοὺς πόνους, ἢ μᾶς κλέπτουν τὰ ἀπαραίτητα διὰ τὴν συντήρησιν καὶ περίθαλψιν τοῦ σώματος. Ἐπίσης καὶ οἱ δαίμονες δι' ἡμῶν τῶν ἰδίων, ἢ δι' ἄλλων, μᾶς πειράζουν, ἢ καὶ κατ' εὐθεῖαν οἱ ἴδιοι οἱ δαίμονες· ἀλλὰ καὶ ἐκείνους, ποὺ δὲν φοβοῦνται τὸν Θεόν, κινοῦν ἐναντίον ἡμῶν οἱ δαίμονες. Οἱ ἴδιοι οἱ δαίμονες μᾶς πολεμοῦν, ὅταν ἀπομακρυνθῶμεν ἀπὸ τοὺς ἀνθρώπους, διὰ νὰ ἀσκητεύσωμεν μόνοι εἰς τὴν ἔρημον, ὅπως ἀκριβῶς ἐπείραξαν καὶ τὸν Κύριον εἰς τὴν ἔρημον (Ματθ. δ', 1—10). Διὰ μέσου τῶν ἀνθρώπων μᾶς πειράζουν οἱ δαίμονες, ὅταν συναναστρεφώμεθα μὲ τοὺς ἀνθρώπους, ὅπως πάλιν ἐπείραξαν τὸν Κύριον διὰ τῶν Φαρισαίων.

5. Ἡμεῖς ὅμως ἀποβλέποντες εἰς τὸν ἰδανικὸν τύπον, τον οποιον πρέπει νὰ ἐνσαρκώσωμεν, θὰ ἀποκρούσωμεν αὐτοὺς καὶ εἰς τὴν ἔρημον καὶ εἰς τὴν μετὰ τῶν ἄλλων ἐπικοινωνίαν. Ὅλαι σχεδὸν αἱ ἁμαρτίαι πραγματοποιοῦνται διὰ τῆς ἐφαμάρτου ἡδονῆς, καὶ ἀποδιώκονται μὲ τὴν κατὰ Θεὸν λύπην καὶ τὴν σκληραγωγίαν· ἡ λύπη αὕτη δύναται νὰ ἐπέλθῃ εἰς τὴν καρδίαν μας ἢ θεληματικῶς διὰ τῆς μετανοίας, ἤ, κατ' οἰκονομίαν Θεοῦ, διὰ θλίψεως προσγενομένης ὑπὸ τῆς παιδαγωγούσης προνοίας τοῦ Θεοῦ. Εἶναι γνωστὸν τὸ ῥητόν· «Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν» (Α' Κορινθ. ια', 31—32).

---

1) Βλέπε ὑποσημείωσιν σελ. 401.

2) Ὁ Ἅγιος Μάξιμος ἔχει ὑπ' ὄψιν του, ὡς καὶ ἄλλοι Πατέρες, τὴν τριμερῆ διαίρεσιν τῆς ψυχῆς, ἤτοι τὸ ἐπιθυμητικόν, τὸ θυμικόν, τὸ λογιστικόν. Καὶ τὸ μὲν ἐπιθυμητικὸν εἶναι ἡ ἕδρα τῶν ἐπιθυμιῶν, τὸ θυμικὸν τῶν διαφόρων συναισθημάτων, τὸ δὲ λογιστικὸν τῶν λογισμῶν καὶ τῆς σκέψεως.

6. Ἐκ τῶν πειρασμῶν ἄλλοι μὲν ἐπιφέρουσιν εἰς τοὺς ἀνθρώπους ἐφαμάρτους ἡδονάς, ἄλλοι λύπας, ὁδηγούσας εἰς ἀπόγνωσιν, ἄλλοι δέ, τέλος, πόνους καὶ ταλαιπωρίας τοῦ σώματος· ἀναλόγως λοιπὸν πρὸς τὴν ὑπάρχουσαν εἰς τὴν ψυχήν μας αἰτίαν τῶν παθῶν, ὁ ἰατρὸς τῶν ψυχῶν προσφέρει τὸ κατάλληλον φάρμακον, ποὺ τὸ κρίνει ἐκεῖνος ἀπαραίτητον.

7. Ὅταν σοῦ συμβῇ πειρασμός, χωρὶς νὰ τὸν ἀναμένῃς, μὴ θεωρῇς ὑπεύθυνον αὐτόν, διὰ τοῦ ὁποίου σοῦ ἐπῆλθεν ὁ πειρασμός· εἶναι προτιμότερον νὰ ἀναζητῇς εἰς τὸν ἑαυτόν σου τὴν αἰτίαν, διὰ τὴν ὁποίαν σοῦ συνέβη ὁ πειρασμὸς αὐτός. Ὅταν δὲ τὴν ἀνακαλύψῃς, τότε νὰ φροντίσῃς νὰ διορθωθῇς. Ὁ μυαλωμένος καὶ συνετὸς ἄνθρωπος λαμβάνων ὑπ' ὄψιν του, ὅτι ὁ Θεὸς διὰ τῶν ἀνεξιχνιάστων Του βουλῶν προσφέρει τὴν θεραπείαν τῶν ἁμαρτιῶν, ὑπομένει μὲ εὐχαρίστησιν τὰς συμφορὰς ποὺ ἐπέρχονται εἰς αὐτόν, διὰ τῶν ἀνεξιχνιάστων αὐτῶν βουλῶν τοῦ Θεοῦ, χωρὶς νὰ θεωρῇ κανένα ἄλλον ὡς αἴτιον τῶν συμφορῶν αὐτῶν, ἐκτὸς τῶν ἁμαρτιῶν του.

8. Ὁ ἀπερίσκεπτος ὅμως καὶ ἀνόητος, ἀγνοῶν τὴν σοφωτάτην πρόνοιαν τοῦ Θεοῦ, διὰ τῆς ὁποίας διορθώνει φιλοστόργως τοὺς σφάλλοντας, ὁσάκις ἁμαρτάνει καὶ παιδαγωγικῶς τιμωρεῖται, θεωρεῖ ὡς αἰτίους τῶν συμφορῶν του ἢ τὸν Θεὸν ἢ τοὺς ἀνθρώπους. Ἐκεῖνος πράγματι θέλει νὰ σωθῇ, ποὺ δὲν ἀντιστέκεται εἰς τὰ φάρμακα τῆς θεραπείας του. Τὰ φάρμακα δὲ αὐτὰ εἶναι ὀδύναι καὶ λύπαι, ποὺ προκαλοῦνται εἰς τὸν ἄνθρωπον διὰ διαφόρων περιστατικῶν. Αὐτὸς λοιπόν, ποὺ ἀντιστέκεται εἰς τὰ φάρμακα αὐτά, δὲν γνωρίζει οὔτε τί γυρεύει εἰς τὴν παροῦσαν ζωήν, ἀλλ' οὔτε καὶ τί θὰ ἀπολαύσῃ εἰς τὴν μέλλουσαν ἐξαγοράζων ἀπὸ ἐδῶ τὴν ὠφέλειαν καὶ τὸ κέρδος.

9. Ὅταν συναντήσῃς εἰς τὸν δρόμον τῆς ζωῆς σου συνεχῆ καὶ ἀδιατάρακτον εἰρήνην, πρέπει νὰ φοβῆσαι, ὅτι εὑρίσκεσαι πολὺ μακρὰν ἀπὸ τὴν εὐθεῖαν ὁδόν, ποὺ ἐπάτησαν οἱ κουρασμένοι πόδες τῶν Ἁγίων. Ὅσον περισσότερον, κατὰ τὴν πορείαν τοῦ βίου, εὑρίσκεσαι ἐπὶ τῆς βασιλικῆς ὁδοῦ καὶ πλησιάζῃς τὴν πόλιν τοῦ Θεοῦ, τόσον καὶ ἐντονώτερον ἀντιμετωπίζεις τὴν δύναμιν τῶν πειρασμῶν. Ὅσον δὲ προοδεύεις εἰς τὴν ἀρετήν, τόσον καὶ περισσότερον θὰ πολλαπλασιάζωνται οἱ κατὰ σοῦ πειρασμοί. Ὅταν λοιπὸν ἀντιληφθῇς εἰς τὴν ψυχήν σου, ὅτι οἱ νοητοὶ ἐχθροί, οἱ δαίμονες, σὲ πολεμοῦν σφοδρότερον, καὶ οἱ πειρασμοὶ ηὐξήθησαν, τότε νὰ γνωρίζῃς, ὅτι ἔχεις λάβει καὶ περισσοτέραν δύναμιν ἀπὸ τὴν Χάριν τοῦ Θεοῦ, καὶ σοῦ προσετέθη ὑπὸ τοῦ ἀγωνοθέτου Κυρίου ἕνας ἀκόμη βαθμὸς διὰ τὴν ἐπὶ τὰ ὑψηλότερα προκοπήν σου· διότι ἀναλόγως τοῦ μέτρου τῆς Χάριτος ποὺ σοῦ ἐδόθη, ἐπιτρέπει καὶ ὁ Θεὸς τὴν κατὰ σοῦ ἐπίθεσιν τῶν πειρασμῶν.

10. Δὲν ἐπιτρέπει ὁ Θεὸς νὰ ἔλθῃ πειρασμός, ἐὰν ἡ ψυχὴ δὲν φθάσῃ ἐνωρίτερον εἰς πνευματικὴν κατάστασιν ἀνωτέραν τῆς συνήθους,

καὶ δὲν αὐξηθῇ ἡ Χάρις. Τὴν ἀλήθειαν αὐτὴν ἐπιβεβαιώνει ὁ ἴδιος ὁ Κύριος, ὅστις ἐπειράσθη εἰς τὴν ἔρημον μετὰ τὴν βάπτισίν Του (Ματθ. δ', 1—10) καὶ οἱ Ἀπόστολοι, οἱ ὁποῖοι ὁ Κύριος ἐπέτρεψε νὰ πειρασθοῦν, ἀφοῦ πρότερον ἐδέχθησαν τὴν Χάριν τοῦ Παρακλήτου. Εἰς αὐτούς, οἱ ὁποῖοι ἀπολαμβάνουν τα ἀγαθά, ταιριάζει νὰ ὑπομείνουν καὶ τοὺς πειρασμοὺς χάριν τῆς ἀπολαύσεως τῶν ἀγαθῶν αὐτῶν. Χωρὶς θλῖψιν κανεὶς δὲν ἀπολαμβάνει ἀγαθόν.

11. Προηγεῖται λοιπὸν εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου ἡ Χάρις καὶ ἀκολουθεῖ ὁ πειρασμός, διὰ νὰ δυναμώσῃ ὁ νοῦς τοῦ ἀνθρώπου εἰς τὴν ἀντιμετώπισίν του, ὅπως ἀκριβῶς καὶ ὁ στρατιώτης ἐξοπλίζεται πρὶν μεταβῇ εἰς τὸν πόλεμον. Ἀφοῦ δὲ παρέλθῃ ὁ πειρασμὸς καὶ νικήσῃ ἡ ψυχή, τότε καὶ ἡ ψυχὴ αἰσθάνεται τὴν παρουσίαν τῆς Χάριτος, εὐχαριστεῖται καὶ ἀπολαμβάνει τὴν μετὰ τὸν πόλεμον ἠρεμίαν.

12. Ἐὰν δὲ συμβῇ νὰ εἶναι κάποιος ἀσθενὴς ἢ μᾶλλον δειλὸς καὶ χωρὶς προθυμίαν ἀγῶνος, ἀσφαλῶς αὐτὸς δὲν ἐπιθυμεῖ νὰ πειρασθῇ (=δοκιμασθῇ) πρὸς τὸ συμφέρον τῆς ψυχῆς του. Παρακαλῶν δὲ τὸν Θεὸν νὰ ἀποφύγῃ τὸν ἀγῶνα αὐτόν, ἀσφαλῶς θὰ εἰσακουσθῇ ἀπ' Αὐτόν. Μάθε ὅμως, ὅτι ὁ ἄνθρωπος αὐτός, ὅπως εἶναι ἀνίκανος νὰ ἀντιμετωπίσῃ μεγάλους πειρασμούς, ἔτσι εἶναι ἀνίκανος νὰ ἀπολαύσῃ καὶ μεγάλα χαρίσματα. Καὶ ὅπως ἀκριβῶς προεφυλάχθη ἀπὸ τὰς ἐπιθέσεις μεγάλων πειρασμῶν, τοιουτοτρόπως, ἐκ τῆς δειλίας του αὐτῆς, θὰ ἐμποδισθῇ καὶ ἀπὸ τὴν ἀπόλαυσιν μεγάλων χαρισμάτων.

13. Ὅταν δὲ λέγω πειρασμούς, ἐννοῶ ὄχι ἐκείνους, ποὺ ἐνοχλοῦν τοὺς κοσμικούς, διὰ νὰ συγκρατήσουν τὴν κακίαν, οὔτε τὰς ταραχὰς τοῦ σώματος· ἐννοῶ ἐκείνους, ποὺ ταιριάζουν εἰς τοὺς Μοναχούς, ἀσκουμένους εἰς τὴν φιλέρημον ἡσυχίαν των, καὶ διὰ τῶν ὁποίων πειρασμῶν δοκιμάζεται ἡ ψυχὴ τοῦ ἀγωνιζομένου καὶ προοδεύει κατὰ Θεόν. Τοιοῦτοι δὲ πειρασμοί, τοὺς ὁποίους καλεῖται νὰ ἀντιμετωπίσῃ ὁ Μοναχός, εἶναι ἡ ὀκνηρία, ἡ σωματικὴ κατάπτωσις, ἡ χαύνωσις τῶν μελῶν, ἡ ταραχὴ τῆς διανοίας, ἡ κατὰ φαντασίαν σωματικὴ ἀσθένεια, προσωρινὴ ἀπελπισία, ἡ συσκότισις τῶν λογισμῶν, ὁ φόβος διὰ τὴν ἔλλειψιν τῆς ἐξ ἀνθρώπων βοηθείας, ἡ πτωχεία διὰ τὴν κάλυψιν τῶν σωματικῶν ἀναγκῶν καὶ τὰ παρόμοια μὲ αὐτά.

14. Ἡμεῖς λοιπὸν πρέπει, ὅταν ἐνοχλούμεθα ἀπὸ τοὺς πειρασμοὺς αὐτούς, νὰ δοκιμάζωμεν δύο ἀντίθετα πράγματα, τὴν χαρὰν καὶ τὸν φόβον· χαρὰν μὲν διότι ἠξιώθημεν νὰ βαδίζωμεν τὴν ὁδὸν ποὺ ἠκολούθησεν ὁ Κύριος, ὁδὸν πειρασμῶν καὶ θλίψεων, ὅπως φαίνεται ἀπὸ τὰς δοκιμασίας ποὺ ὑφιστάμεθα. Φόβον δὲ μήπως οἱ πειρασμοί, τοὺς ὁποίους δοκιμάζομεν, ὀφείλονται εἰς τὴν ὑπερηφάνειαν ἡμῶν, καὶ δὲν ἀποβλέπουν εἰς τὴν κατὰ Θεὸν δοκιμὴν καὶ προκοπὴν ἡμῶν. Τὸν φόβον ὅμως αὐτὸν δυνάμεθα νὰ τὸν διασκεδάσωμεν ἐπικαλούμενοι τὸν φωτισμὸν τῆς θείας Χάριτος, ἡ ὁποία καθιστᾷ σοφοὺς τοὺς ταπεινόφρονας καὶ τοὺς δίδει τὴν ἱκανότητα νὰ διακρίνουν καὶ νὰ μάθουν

ἀκριβῶς, ποῖοι ἐκ τῶν πειρασμῶν ἔχουν σκοπὸν νὰ ἐλέγξουν καὶ νὰ διορθώσουν τὸν ἄνθρωπον ἀπὸ τὴν ὑπερηφάνειαν καὶ ποῖοι προέρχονται ἀπὸ τὰ στοργικὰ ραπίσματα τῆς ἀγάπης τοῦ Θεοῦ, διὰ νὰ αὐξήσουν τὸν ἄνθρωπον εἰς τὸ ἀγαθὸν καὶ νὰ τὸν ἀξιώσουν μεγαλυτέρας Χάριτος.

15. Ὑπὸ τὴν ἐπίδρασιν τῶν δοκιμασιῶν, εἰς τὰς ὁποίας ὑποβάλλει τὸν ἄνθρωπον ἡ Ἀγάπη τοῦ Θεοῦ, ὁ ἄνθρωπος ἐνισχύει καὶ σταθεροποιεῖ τὴν ἐλπίδα του πρὸς τὸν Θεὸν καὶ παύει πλέον νὰ ἔχῃ ἐμπιστοσύνην εἰς ἄλλον διὰ τὴν σωτηρίαν του, ἐκτὸς τοῦ Θεοῦ. «Μὴ πεποίθατε ἐπ' ἄρχοντας, καὶ ἐφ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία» (Ψαλμ. ρμε', 3). Ἐκτὸς τῆς ἐλπίδος, ἡ καρδία τοῦ φιλοστόργως δοκιμαζομένου ὑπὸ τοῦ Θεοῦ καθίσταται ταπεινὴ καὶ παραμένει ἀσυγκίνητος, ὡς ὁ νεκρός, ἀπὸ τὰ ἀπατηλὰ φαινόμενα τοῦ κόσμου. Τέλος διὰ τῶν ραπισμάτων τῆς πατρικῆς προνοίας τοῦ Θεοῦ ὁ ἄνθρωπος φθάνει πλέον νὰ ἐπιθυμῇ μόνον τὸν Δημιουργόν του καὶ Αὐτὸν μόνον νὰ ἀγαπᾷ. Εἰς τὰς δοκιμασίας αὐτάς, διὰ τῶν ὁποίων ὁ Θεὸς ἐπιδιώκει τὸν πλουτισμὸν τοῦ ἀνθρώπου μὲ τοὺς θησαυροὺς τῆς Χάριτος, κρύπτεται μαζὶ καὶ ἡ παρηγορία δι' αὐτάς· τοιουτοτρόπως δὲν παραμένει ἐπὶ πολὺ ἡ θλῖψις διὰ τὴν δοκιμασίαν, ἐναλλάσσονται δὲ εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου αἱ διάφοροι ψυχικαὶ καταστάσεις μεταξὺ τῆς ἀθυμίας καὶ τῆς ἐλπίδος, ὅπως τὸ φῶς μὲ τὸ σκότος· μαζὶ μὲ τὸν ἐκ τῶν δοκιμασιῶν αὐτῶν πόλεμον συμβαδίζουν καὶ αἱ πολλαπλαῖ ἐκδηλώσεις τῆς βοηθείας τοῦ Θεοῦ πρὸς τὸν δοκιμαζόμενον.

16. Ἀντιθέτως πρὸς τὰς δοκιμασίας αὐτάς, οἱ πειρασμοί, οἱ ὁποῖοι συμβαίνουν εἰς τὸν ἄνθρωπον, κατὰ παραχώρησιν Θεοῦ ἐξ αἰτίας τῆς ἐπάρσεως τῆς καρδίας καὶ τῆς ὑπερηφανείας, πιέζουν πάρα πολὺ τὴν ψυχήν, ὥστε ὁ ἄνθρωπος νὰ μὴ ξέρῃ τί νὰ κάμῃ, διότι αἰσθάνεται τὸ βάρος τῶν πειρασμῶν ἰσχυρότερον ἀπὸ τὴν δύναμίν του. Οἱ πειρασμοὶ αὐτοὶ ἐξωθοῦν τὸν ἄνθρωπον εἰς βλασφημίας, εἰς διαφόρους ἄλλας ἁμαρτίας καὶ τὸν ἐξαναγκάζουν εἰς τὸ κακόν. Ταλαιπωροῦν καὶ καταδυναστεύουν τὸν ἄνθρωπον ἢ διὰ τῆς αἰφνιδίας ἐπαναστάσεως κατ' αὐτοῦ καὶ ἀπροσδοκήτου ἐπιθέσεως τῶν παθῶν τῆς ψυχῆς, ἢ διὰ σωματικῶν πόνων καὶ ἀσθενειῶν, ἢ διὰ θλίψεων, ποὺ προκαλοῦν ἄλλοι ἄνθρωποι. Ἀκόμη ὁ πειραζόμενος ὑπὸ τοιούτων πειρασμῶν ὑφίσταται διάφορα τραγικὰ περιστατικά, ὅπως π.χ. ἡ πτῶσις ἀπὸ ὕψος καὶ τὸ σπάσιμο τῶν μελῶν τοῦ σώματος, ἢ τὸ ναυάγιον εἰς τρικυμιώδη θάλασσαν, ὅπου ἐκτὸς τῆς ἀπωλείας τῶν ἀποσκευῶν, ἔρχεται εἰς κίνδυνον καὶ αὐτὴ ἡ ζωὴ καὶ ἐν γένει πολλὰ δραματικὰ γεγονότα, ὑπέρτερα τῆς δυνάμεως, συμβαίνουν εἰς τὸν ἄνθρωπον αὐτόν, χωρὶς νὰ ἀνευρίσκῃ καὶ σύντομον τὴν βοήθειαν, εἰς τὰς τοιαύτας δοκιμασίας.

17. Ὅλα αὐτὰ ἐπιτρέπει ὁ Θεὸς νὰ τὰ ὑφίσταται ὁ ἄνθρωπος ἐξ αἰτίας τῆς ὑπερηφανείας του. Πῶς σκέπτεσαι λοιπὸν καὶ πῶς πορεύεσαι εἰς τὴν ζωήν, φρόντιζε νὰ τὸ ἀντιλαμβάνεσαι ἀπὸ τὸν χαρακτῆρα

καὶ τὸ μέγεθος τοῦ πειρασμοῦ, ποὺ σοῦ συνέβη· ἐὰν εἶναι ὁ πειρασμὸς ἀνώτερος ἀπὸ τὴν δύναμίν σου, συμβαίνει κατὰ παραχώρησιν, πρὸς διόρθωσιν· ἐὰν πάλιν εἶναι κατώτερος ἀπὸ τὴν δύναμίν σου καὶ εὐκολοαντιμετώπιστος, τότε συμβαίνει ἐξ ἀγάπης πρὸς πολλαπλασιασμὸν τῶν ἐν σοὶ θησαυρῶν τῆς Χάριτος.

18. Καὶ αὐτὸ πρέπει νὰ ξέρῃ ἀκόμη ὁ ἄνθρωπος· ὅταν θελήσῃ ὁ Θεὸς νὰ πιεσθῇ περισσότερον ὁ ἄνθρωπος ἀπὸ τοὺς πειρασμούς, ἐπιτρέπει καὶ περιπίπτει εἰς δειλίαν· τότε, μὲ τὴν σκιὰν τοῦ φόβου εἰς τὴν ψυχήν του, ὁ ἄνθρωπος ἀδρανεῖ κατὰ τοῦ πειρασμοῦ, ὁπότε καταλαμβάνεται ἀπὸ ἄγχος καὶ ἀπελπισίαν καὶ ὁμοιάζει ὡς κολασμένος. Μετὰ ταῦτα πλέον κυριαρχεῖ μέσα του τὸ πνεῦμα τῆς παραφροσύνης, ἀπὸ τὴν ὁποίαν προέρχονται ἀναρίθμητοι πειρασμοί, ὅπως ἡ ψυχικὴ ταραχή, ὁ θυμός, ἡ βλασφημία, ἡ μεμψιμοιρία (=γκρίνια), διεστραμμένοι λογισμοὶ (κακοὶ καὶ πονηροί), ἡ ἄσκοπος μετακίνησις ἀπὸ τόπου εἰς τόπον καὶ ὅλα τὰ παρόμοια πάθη.

19. Ἀπὸ ὅλα αὐτὰ τὰ κακὰ μόνον κατὰ ἕνα τρόπον δύναται νὰ ἀπαλλαγῇ ὁ ἄνθρωπος καὶ νὰ θεραπευθῇ· ἡ πολύτιμος αὐτὴ θεραπεία, διὰ τῆς ὁποίας θὰ εὕρῃ παρηγορίαν ἡ ψυχὴ τοῦ ἀνθρώπου, εἶναι ἡ ταπείνωσις τῆς καρδίας. Ἡ ταπείνωσις αὐτὴ ὅμως ἐπέρχεται, ἐφ' ὅσον ὁ ἄνθρωπος θὰ αὐτομηδενισθῇ, θὰ ριφθῇ ἐνώπιον τοῦ Θεοῦ διὰ νὰ ζητήσῃ τὸ ἔλεός του, θὰ χύσῃ πολλὰ δάκρυα μετανοίας καὶ θὰ προσευχηθῇ θερμῶς καὶ ἐντατικῶς. Χωρὶς τὴν ταπείνωσιν αὐτὴν δὲν θὰ δυνηθῇ ὁ ἄνθρωπος κατ' ἄλλον τρόπον νὰ ἀπαλλαγῇ τῶν πειρασμῶν αὐτῶν. Διότι αὐτὴ μόνον ἡ ταπείνωσις ἐξασφαλίζει εἰς τὸν ἄνθρωπον τὴν ὑπομονήν, μετριάζει αἰσθητῶς τὸ βάρος τῆς θλίψεως, φέρει παρηγορίαν εἰς τὸν πειραζόμενον, προσθέτει ἀγάπην πρὸς τὸν Θεὸν καὶ τέλος χαρίζει τοὺς καρποὺς τοῦ Ἁγίου Πνεύματος, τὴν χαρὰν καὶ τὴν εὐτυχίαν.

Δ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· ἐπεὶ εἴρηται δοκίμασόν με, Κύριε, καὶ πείρασόν με· καὶ πάλιν, χαίρετε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις· ἀλλαχοῦ δέ, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, καὶ εὔχεσθε ἵνα μὴ πειρασθῆτε, καὶ ὡς ἐναντία ταῦτα δοκεῖ, παρακαλῶ σε, Πάτερ, εἰπεῖν μοι τὸ διάφορον τῶν λογισμῶν.

2. Καὶ ἀπεκρίθη ὁ Γέρων· ἀδελφέ, ἔστι πειρασμὸς ἐξ ἡμῶν, καὶ ἔστι πειρασμὸς κατὰ συγχώρησιν Θεοῦ· ὁ ἐξ ἡμῶν, πρὸς βλάβην ἐστὶ τῆς ψυχῆς, καὶ περὶ αὐτοῦ κράζει ὁ Ἀπόστολος Ἰάκωβος λέγων· «μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ Θεοῦ πειράζομαι, ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν» καὶ τὰ ἑξῆς· ὁ δὲ κατὰ συγχώρησιν Θεοῦ, πρὸς ὠφέλειάν ἐστι τῆς ψυχῆς· πρὸς δοκιμὴν γὰρ γίνεται τῷ ἀνθρώπῳ καὶ ἡ δοκιμὴ φέρει τὸν ἄνθρωπον εἰς ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, κατὰ τὸ γεγραμμένον, ὁ δὲ μὴ καταισχυνόμενος, σεσωσμένος ἐστὶν ἐν Κυρίῳ.

3. Τὸ οὖν εἰπεῖν δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, ἀγωνιζομένου ἀνθρώπου ἐστί, καὶ αἰτοῦντος δοκιμασθῆναι διὰ πειρασμοῦ· ἡ γὰρ ὑπομονή, ὡς εἴρηται, εἰς δοκιμὴν καὶ εἰς τὰ λοιπὰ ἀγαθὰ φέρει τὸν ἄνθρωπον, καὶ ἐνταῦθα ἐστὶν ἀλη-

θῶς ἡ ὠφέλεια καὶ ἡ προκοπή· οὐ συνεργεῖ γὰρ τῷ θελήματι τοῦ ἀγωνιζομένου, ἀλλὰ μᾶλλον ἐναντιοῦται, διὸ καὶ εἰς κόπον ἐμβάλλει ἑαυτὸν ὁ ἄνθρωπος ὥστε μὴ ἡττηθῆναι τῷ πειρασμῷ.

4. Τὸ δὲ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, δηλοῖ τὸ μὴ ἐάσῃς ἡμᾶς ἀπὸ τοῦ ἰδίου θελήματος καὶ τῆς ἐπιθυμίας πειρασθῆναι· καὶ γὰρ ἐκ τοῦ τοιούτου πειρασμοῦ γεννᾶται ὁ θάνατος, καὶ περὶ τούτου ὁ Σωτὴρ λέγει· εὔξασθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ὑπέβαλε τὴν ἑξῆς ἀπορίαν εἰς κάποιον Γέροντα: Ποία διαφορὰ ὑπάρχει, Πάτερ μου, εἰς τὰς κατωτέρω φράσεις τῆς Ἁγίας Γραφῆς, δεδομένου, ὅτι παρουσιάζουν, ἐκ πρώτης ὄψεως, μίαν ἀντίθεσιν· αἱ φράσεις αὐταὶ εἶναι: «Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με» (Ψαλμ. κε', 2), «Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις» (Ἰακ. α', 2), «Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν» (Ματθ. ς', 13), «Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν»· (Ματθ. κς', 41).

2. Εἰς τὴν ἀπορίαν αὐτὴν ἔδωσε τὴν ἑξῆς λύσιν ὁ Γέρων: Ἀδελφέ μου, ὑπάρχουν πειρασμοί, διὰ τοὺς ὁποίους εὐθυνόμεθα ἡμεῖς, καὶ ἄλλοι πειρασμοί, οἱ ὁποῖοι μᾶς συμβαίνουν κατὰ παραχώρησιν Θεοῦ. Οἱ πειρασμοί, διὰ τοὺς ὁποίους εὐθυνόμεθα, βλάπτουν τὴν ψυχήν μας· αὐτὸ ὑπονοεῖ ὁ Ἀπόστολος Ἰάκωβος ὅταν λέγῃ· «Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι, ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν» (Ἰακ. α', 13). Καὶ ἐν συνεχείᾳ λέγει ὁ Ἀπόστολος Ἰάκωβος: «Ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον» (Ἰακώβ. α', 14—15). Οἱ πειρασμοί, ποὺ μᾶς συμβαίνουν κατὰ παραχώρησιν Θεοῦ, ἔχουν σκοπὸν τὴν ὠφέλειαν τῆς ψυχῆς μας, διότι γίνονται διὰ νὰ δοκιμασθῇ ἡ πίστις τοῦ ἀνθρώπου· ἡ δοκιμασία αὐτὴ γεννᾷ εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου τὴν κατὰ Θεὸν ἐλπίδα· ἡ δὲ κατὰ Θεὸν ἐλπὶς δὲν ἀφήνει τὸν ἄνθρωπον νὰ καταντροπιασθῇ ἀπὸ τοὺς πειρασμούς, ὅπως ἀναφέρει καὶ εἰς τὴν Καινὴν Διαθήκην ὁ θεῖος Ἀπόστολος Παῦλος(1). Ἐκεῖνος δὲ πού, διὰ τῆς κατὰ Θεὸν ἐλπίδος, δὲν κατῃσχύνθη ἀπὸ τοὺς πειρασμούς, ἔχει σωθῇ μὲ τὴν δύναμιν τοῦ Κυρίου.

3. Ἡ φράσις πάλιν· «Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με» (Ψαλμ. κε', 2), προέρχεται ἀπὸ ἄνθρωπον, ποὺ ἀγωνίζεται πνευματικῶς καὶ ζητεῖ νὰ τεθῇ ὑπὸ δοκιμασίαν ὁ πνευματικός του ἀγών, διά τινος πειρασμοῦ, ὥστε νὰ ἀποδειχθῇ ὁ βαθμὸς τῆς ἀντοχῆς του καὶ τὸ βάθος τῆς πίστεώς του· διότι ἡ ὑπομονή, τὴν ὁποίαν θὰ ἐπιδείξῃ ὁ ἄνθρωπος κατὰ τὸ στάδιον τοῦ πειρασμοῦ, ὅπως ἐλέχθη, καθιστᾷ

1) «Εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει» (Ρωμ. ε', 3—4).

τὸν ἄνθρωπον δόκιμον, δηλαδὴ ἀποδεδειγμένης ἀντοχῆς καὶ γνησιότητος καὶ τοῦ προσφέρει ὅλα τὰ ἄλλα ἀγαθὰ (βλέπε ὑποσημ. 425). Ἀκριβῶς δὲ ἐδῶ εὑρίσκεται ἡ πραγματικὴ ὠφέλεια καὶ προκοπὴ τοῦ ἀνθρώπου. Ἰδοὺ δὲ πῶς ἐπέρχεται ἡ ὠφέλεια καὶ ἡ προκοπή· ὡς γνωστὸν ὁ πειρασμὸς ὄχι μόνον δὲν συμπράττει μὲ τὴν θέλησιν τοῦ ἀνθρώπου, ἀλλ' ἀπ' ἐναντίας ἀντιτίθεται πρὸς αὐτήν. Ἡ ἀντίθεσις καὶ ἐναντίωσις τοῦ πειρασμοῦ πρὸς τὴν θέλησιν κάμνει τὸν ἄνθρωπον νὰ κοπιάζῃ, διὰ νὰ μὴ νικηθῇ ἀπὸ τὸν πειρασμόν. Αὐτὴ δὲ ἡ προσπάθεια καὶ ὁ κόπος γεννοῦν εἰς τὸν ἀγωνιζόμενον ἄνθρωπον τὴν ὑπομονὴν καὶ τὴν ἐλπίδα!

4. Ἡ φράσις πάλιν· «Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν» (Ματθ. ς', 13) σημαίνει τὸ ἑξῆς· μὴ μᾶς ἀφήσῃς, Κύριε, νὰ πειρασθῶμεν ἀπὸ τὸ θέλημά μας καὶ τὴν ἐπιθυμίαν μας, διότι ὁ πειρασμός, ποὺ ὀφείλεται εἰς τὸ θέλημά μας καὶ τὰς ἐπιθυμίας μας, φέρει τὸν θάνατον. Διὰ τοὺς τοιούτους πειρασμοὺς συμβουλεύει ὁ Κύριος· «Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν (Ματθ. κς', 41).

Ε'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΣΑΛΠΙΓΓΟΣ σημαινούσης, στρατὸς εἰς πόλεμον παρασκευάζεται, ἀλλ' ἐν καιρῷ ἀγῶνος οὐ πάντες μαχηταὶ ἀναδείκνυνται· οὕτω καὶ πολλοί, Μοναχοὶ ὄντες ἐν τῷ σχήματι, ὀλίγοι δὲ ἀγωνισταί· ἐν καιρῷ δὲ τοῦ πειρασμοῦ, ἡ δοκιμὴ τοῦ Μοναχοῦ ἀποφαίνεται. Ἐν καιρῷ χιόνος ἰχνεύεται θήρ, καὶ ἐν καιρῷ πειρασμοῦ ἰχνεύει ὁ Σατανᾶς τὸν Μοναχόν.

Ἑρμηνεία

ΟΤΑΝ ΣΑΛΠΙΖῌ ἡ πολεμικὴ σάλπιγξ, ὁ στρατὸς προετοιμάζεται νὰ πολεμήσῃ. Κατὰ τὴν διάρκειαν ὅμως τοῦ πολεμικοῦ ἀγῶνος δὲν ἀναδεικνύονται καὶ ὅλοι, ὅσοι ἔλαβον μέρος εἰς αὐτόν, καλοὶ μαχηταί. Τοιουτοτρόπως συμβαίνει καὶ εἰς τὴν μοναχικὴν πολιτείαν· πολλοὶ φέρουν τὸ μοναχικὸν σχῆμα, ἐλάχιστοι ὅμως εἶναι οἱ πραγματικοὶ ἀγωνισταί. Ἡ ἱκανότης τοῦ Μοναχοῦ, ὡς πνευματικοῦ ἀγωνιστοῦ, φανερώνεται κατὰ τὴν ὥραν τοῦ πειρασμοῦ, διότι τότε μόνον δοκιμάζεται ἡ πίστις του. Ὅταν χιονίζῃ, ἀνακαλύπτουν οἱ κυνηγοὶ τὰ ἴχνη τῶν θηρίων ἐπάνω εἰς τὸ χιόνι, διὰ νὰ τὰ παγιδεύσουν· καὶ κατὰ τὴν διάρκειαν τοῦ πειρασμοῦ μετὰ προσοχῆς ὁ Σατανᾶς παρακολουθεῖ τὰ ἴχνη τοῦ Μοναχοῦ, δηλαδὴ τὸν τρόπον μὲ τὸν ὁποῖον ἀντιμετωπίζει ὁ Μοναχὸς τὸν πειρασμόν.

ς'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΑΔΕΛΦΕ, καθ' ἑκάστην προσδόκα ἐρχόμενόν σοι πειρασμόν, εἴτε εἰς θάνατον, εἴτε εἰς θλῖψιν, καὶ κινδύνους μεγάλους, καὶ βάσταζε προθύμως καὶ ἀταράχως, λογιζόμενος, ὅτι «διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν».

Ἑρμηνεία

ἈΔΕΛΦΕ ΜΟΥ, κάθε ἡμέραν νὰ περιμένῃς, ὅτι θὰ σοῦ συμβῇ πειρασμός· ἢ θάνατος, ἢ θλῖψις, ἢ μεγάλοι κίνδυνοι. Πρόθυμα λοιπὸν νὰ ὑπομένῃς τοὺς πειρασμοὺς αὐτούς, χωρὶς νὰ ταράσσεσαι, ἔχων ὑπ' ὄψιν σου πάντοτε, ὅτι «διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ» (Πράξεις ιδ', 22).

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀντώνιος· οὐδεὶς ἀπείραστος δυνήσεται εἰσελθεῖν εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν.

2. Εἶπε Γέρων· εἰ ταπεινοφροσύνης ἐπιμελώμεθα, οὐκ ἂν ἐδεήθημεν παιδείας· πάντα γὰρ τὰ δεινὰ διὰ τὴν ἔπαρσιν ἡμῶν συμβαίνει· εἰ γὰρ τῷ Ἀποστόλῳ Ἄγγελος σατάν, ἵνα μὴ ἐπαρθῇ, ἐδόθη, ἵνα αὐτὸν κολάζῃ, πόσῳ μᾶλλον ἡμῖν τοῖς ἐπηρμένοις, αὐτὸς ὁ Σατανᾶς δοθήσεται καταπατεῖν ἡμᾶς, ἕως οὗ ταπεινωθῶμεν.

3. Ἠρώτησέ τις τῶν Πατέρων τὸν Ἀββᾶν Σισώην λέγων· ἐὰν κάθημαι ἐν τῇ ἐρήμῳ καὶ ἔλθῃ βάρβαρος φονεῦσαί με θέλων, καὶ δυνηθῶ πρὸς αὐτόν, φονεύσω αὐτόν; ἀπεκρίθη ὁ Γέρων· οὐχί, ἀλλὰ παράδος αὐτὸν τῷ Θεῷ· οἷος γὰρ ἂν πειρασμὸς ἔλθῃ τῷ ἀνθρώπῳ, ὀφείλει λογίζεσθαι καὶ λέγειν ὅτι διὰ τὰς ἁμαρτίας μου τοῦτο συνέβη· ἐὰν δὲ ἀγαθόν, εὐδοκίᾳ Θεοῦ.

4. Εἰπέ τις τῶν Πατέρων, ὅτι εἰ μὴ σαλευθῇ τὸ δένδρον ὑπὸ τοῦ ἀνέμου, οὔτε αὔξει, οὔτε βάλλει κάτωθεν ῥίζαν· οὕτω καὶ ὁ Μοναχός, ἐὰν μὴ πειρασθῇ καὶ ὑπομείνῃ, οὐ γίνεται ἀνδρεῖος.

5. Εἶπε Γέρων· ἔπαρον τοὺς πειρασμούς, καὶ οὐδεὶς Ἅγιος· ὁ γὰρ φεύγων πειρασμὸν ἐπωφελῆ φεύγει ζωὴν αἰώνιον.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΑΝΤΩΝΙΟΣ εἶπεν, ὅτι κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ εἰσέλθῃ εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, ἐὰν προηγουμένως, ἐφ' ὅσον ζῇ, δὲν δοκιμάσῃ πειρασμούς.

2. Ἕνας Γέρων εἶπεν, ὅτι ἐὰν ἐφροντίζαμεν εἰς τὴν ζωήν μας νὰ ἐφαρμόσωμεν τὴν ἀρετὴν τῆς ταπεινοφροσύνης, ἀσφαλῶς δὲν θὰ παρίστατο ἀνάγκη νὰ ὑφιστάμεθα τὴν ἐνέργειαν τῆς παιδαγωγικῆς προνοίας τοῦ Θεοῦ· διότι ὅλαι αἱ θλίψεις, τὰς ὁποίας δοκιμάζομεν, μᾶς συμβαίνουν ἐξ αἰτίας τῆς ἐπάρσεώς μας. Ἐὰν εἰς ἕνα Ἀπόστολον Παῦλον ἐδόθη Ἄγγελος σατάν, διὰ νὰ τὸν φρονηματίζῃ, «Ἐδόθη μοὶ σκόλοψ τῇ σαρκί, Ἄγγελος σατάν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι» (Β' Κορινθ. ιβ', 7), ὥστε νὰ μὴ ὑπερηφανεύεται, πόσῳ μᾶλλον θὰ πρέπει νὰ δοθῇ ἡ ἐξουσία εἰς τὸν ἴδιον τὸν Σατανᾶν νὰ καταπατῇ ἡμᾶς, ποὺ πάσχομεν ἤδη ἀπὸ τὴν ἀθλίαν ἔπαρσιν, μέχρις ὅτου ταπεινωθῶμεν!

3. Κάποτε μεταξὺ ἑνὸς ἐκ τῶν Πατέρων καὶ τοῦ Ἀββᾶ Σισώη ἐλέχθησαν τὰ ἑξῆς:

Ἕνας Πατήρ: Ἐὰν ἀσκητεύω εἰς τὴν ἔρημον καὶ ἔλθῃ ἕνας βάρβαρος μὲ πρόθεσιν νὰ μὲ σκοτώσῃ, ἐγὼ δέ, κατὰ τὴν πάλην, τὸν νικήσω, πρέπει νὰ τὸν σκοτώσω;

Ἀββᾶς Σισώης: Ὄχι, νὰ μὴ τὸν σκοτώσῃς, ἀλλὰ νὰ τὸν παραδώσῃς εἰς τὸ ἔλεος τοῦ Θεοῦ, διότι ὁποιοσδήποτε πειρασμὸς συμβῇ εἰς τὸν ἄνθρωπον, ὁ ἄνθρωπος αὐτὸς πρέπει νὰ σκεφθῇ καὶ νὰ εἰπῇ· αὐτὸ μοῦ συνέβη ἐξ αἰτίας τῶν ἁμαρτιῶν μου· ἐὰν πάλιν συμβῇ εἰς τὸν ἄνθρωπον κάτι καλόν, θὰ πρέπει νὰ τὸ ἀποδώσῃ εἰς τὴν εὔνοιαν καὶ τὴν καλωσύνην τοῦ Θεοῦ.

4. Ἕνας ἄλλος ἐκ τῶν Πατέρων τῆς ἐρήμου εἶπεν, ὅτι ἐὰν τὸ δένδρον δὲν σαλευθῇ ἀπὸ τὸν ἄνεμον, οὔτε ἀναπτύσσεται, οὔτε ρίπτει βαθείας ρίζας ἐντὸς τοῦ ἐδάφους· τοιουτοτρόπως καὶ ὁ Μοναχός, ἐὰν δὲν πειρασθῇ καὶ ἐὰν δὲν ἐπιδείξῃ ὑπομονήν, κατὰ τὴν διάρκειαν τοῦ πειρασμοῦ, δὲν γίνεται ἀνδρεῖος.

5. Ἕνας ἄλλος, πάλιν, Γέρων εἶπεν, ὅτι ἐὰν ἀπομακρύνῃς τοὺς πειρασμοὺς ἀπὸ τὴν ζωήν, κανεὶς δὲν πρόκειται νὰ ἀναδειχθῇ Ἅγιος· διότι ἐκεῖνος, ποὺ ἀποφεύγει τὸν πειρασμόν, ποὺ τὸν ὠφελεῖ ψυχικῶς, ἀσφαλῶς αὐτὸς ὁ ἄνθρωπος θυσιάζει τὴν αἰώνιον ζωήν, χάριν προσκαίρου ἀνέσεως.



ὙΠΟΘΕϹΙϹ ΛΔ΄

Πῶς δεῖ κατὰ τῶν πειρασμῶν ἵστασθαι, καὶ ὅτι οὐ δεῖ ἑαυτὸν ἐπιῤῥίπτειν εἰς αὐτούς· πότε δὲ καὶ ἐν τίσι δεῖ φεύγειν ἢ καταδέχεσθαι τὸν πειρασμόν.

Πῶς πρέπει νὰ ἀντιμετωπίζωμεν τοὺς πειρασμούς· δὲν πρέπει νὰ ἐκτιθέμεθα εἰς τοὺς πειρασμούς. Εἰς ποίας περιπτώσεις πρέπει νὰ ἀποφεύγωμεν τὸν πειρασμὸν καὶ εἰς ποίας νὰ τὸν ὑφιστάμεθα.

Α΄ Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΤΡΕΙΣ ἐπὶ δέκα ἦσαν αἱ νῆες τῆς κατὰ τὸν μέγαν Ἰωάννην Ἐκκλησίας, αἵτινες φόρτου πλήρεις, ὅτε τῷ τοῦ Ἀδρίου προσέσχον πελάγει, ναυαγίῳ πᾶσαι κατὰ τὸ αὐτὸ περιπίπτουσι, καὶ ὁ φόρτος ἅπας ἀπόλλυται, τριακοσίων ὢν καὶ τρισχιλίων τοῦ χρυσίου λιτρῶν.

2. Οἱ οὖν τὰ πλοῖα πεπιστευμένοι, κενὰ ταῦτα φέροντες, τῷ τῆς Ἀλεξανδρείας προσορμίζουσι λιμένι, φυγάδες αὐτοὶ τῷ ναῷ γινόμενοι· ὅπερ ἐπεὶ δῆλον κατέστη τῷ Πατριάρχῃ, Θεῷ μὲν κἂν τούτῳ τὴν χάριν ὁμολογεῖ, ἐκείνοις δὲ ἀφέσεως ἐπιπέμπει γραμματεῖον, μόνα τὰ τοῦ Ἰὼβ ἐπὶ λέξεως ἔχων, ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο, ἀδελφοί· ἔλθετε τοίνυν, μηδένα ὑπὲρ τούτου κίνδυνον ὑφορώμενοι, ὁ Κύριος γὰρ περὶ τῆς αὔριον φροντιεῖ.

3. Ἐπεὶ δὲ πολλοὶ τῶν τῆς πόλεως ἐφοίτων ὡς αὐτὸν εἰς παράκλησιν, φθάσας αὐτός, οὐδὲν ἔφη, ἀδελφοί, προσῆκον ἡμᾶς σκυθρωπάζειν ἐπὶ τῷ κινδύνῳ τῶν πλοίων, οὗ μόνον κατέστην αὐτὸς αἴτιος· εἰ γὰρ μὴ ὑψηλοφροσύνης ἡψάμην ἐγὼ ἐπὶ τῇ τῶν ἀλλοτρίων μεταδόσει, μᾶλλον δὲ τῶν τοῦ Θεοῦ, οὐκ ἂν δὴ τοῦτο συνέβη· ἀμέλει καὶ βουλόμενος ὁ Θεὸς τὸ φύσημα τὸ ἐμὸν καταστεῖλαι, τὴν συμφορὰν ταύτην συμβῆναι παρεχώρησεν· οἶδεν ὑψηλοφροσύνης πολλάκις αἰτία, ἐλεημοσύνη τῷ μὴ προσέχοντι γίνεσθαι· πενία δέ, κατὰ τὸ γεγραμμένον, ἄνδρα ταπεινοῖ.

4. Δύο τοιγαροῦν ἐγὼ κακῶν αἴτιος. Ἑνὸς μέν, ὅτι τοῦ τῆς ἐλεημοσύνης μισθοῦ διὰ κενοδοξίας ἐστέρημαι, ἑτέρου δέ, ὅτι δι᾿ αὐτὴν καὶ τοσούτων χρημάτων ἀπωλείας κατέστην αἴτιος· καὶ νῦν ἕλκω πρὸς ἐμαυτὸν ἅπαν τὸ κρῖμα τῶν στενουμένων ψυχῶν· πλὴν ὁ Θεὸς κἂν μὴ δι᾿ ἐμέ, ἀλλ᾿ οὖν τῆς τῶν δεομένων χάριν κηδεμονίας, χορηγὸς ἔσται πρὸς τὴν χρείαν· τὸ γὰρ οὐ μή σε ἀνῶ οὐδ᾿ οὐ μή σε ἐγκαταλίπω, Ἐκείνου λόγος καὶ πιστὸς ὁ ἐπαγγειλάμενος.

5. Οὕτως οἱ πιστῶς παρακαλέσαι προσελθόντες τὸν Ἅγιον, αὐτοὶ μᾶλλον ὑπ᾿ ἐκείνου παρακληθέντες ἐπέμποντο· οὐ πολὺς παρῆλθε χρόνος καὶ ὁ Θεὸς διπλασιάζει τῷ νέῳ Ἰὼβ τὰ ὑπάρχοντα, καὶ ἦν πρὸς τοὺς δεομένους μεγαλοψυχότερος καὶ πολυαρκέστερος ἢ τὸ πρότερον.

Ἑρμηνεία

ΔΕΚΑ ΤΡΙΑ πλοῖα τῆς Ἐκκλησίας Ἀλεξανδρείας, διὰ τῆς φροντίδος τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος, ἤρχοντο φορτωμένα μὲ σιτάρι καὶ ἄλλα εἴδη· εἰς τὸ Ἀδριατικὸν πέλαγος ὅμως συνήντησαν σφοδρὰν θαλασσοταραχήν, ἐξ αἰτίας τῆς ὁποίας ἐκινδύνευσαν νὰ ναυαγήσουν. Ὅλον τὸ φορτίον καὶ τῶν δέκα τριῶν πλοίων ἐρρίφθη εἰς τὴν θάλασσαν. Ἡ ἀξία τοῦ ἀπολεσθέντος φορτίου ἦτο τρεῖς χιλιάδες τριακόσιαι λίτραι χρυσοῦ.

2. Οἱ ὑπεύθυνοι τῶν πλοίων ὡδήγησαν αὐτὰ ἄδεια εἰς τὸν λιμένα τῆς Ἀλεξανδρείας καὶ οἱ ἴδιοι, φοβούμενοι τιμωρίαν ἐκ μέρους τοῦ Πατριάρχου, καταφεύγουν ἱκέται εἰς τὸν Ναόν. Μόλις ἐπληροφορήθη τὴν εἴδησιν αὐτὴν ὁ Ἅγιος Ἰωάννης ὁ Ἐλεήμων οὐδόλως ἐταράχθη· ἀπέδωσε τὸ περιστατικὸν εἰς τὸν Θεόν, ἔστειλεν εἰς τοὺς ναυτικοὺς ἔγγραφα, διὰ τῶν ὁποίων τοὺς ἀπήλλασσε πάσης εὐθύνης διὰ τὴν ζημίαν καὶ εἰς τοὺς παρισταμένους ἐπανέλαβε μὲ ἠρεμίαν τοὺς λόγους τοῦ Ἰώβ· «Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο» (Ἰὼβ α', 21), ἀδελφοί μου. Καλῶν δὲ τοὺς ναυτικοὺς πλησίον του τοὺς εἰδοποίησε νὰ μὴ φοβοῦνται ἐκ μέρους του οὐδεμίαν τιμωρίαν διὰ τὴν ζημίαν, διότι ὁ Κύριος θὰ φροντίσῃ διὰ τὸ μέλλον.

3. Ἐπειδὴ δὲ ἀρκετοὶ ἐκ τῆς πόλεως συνεκεντρώθησαν εἰς τὰ Πατριαρχεῖα διὰ νὰ τὸν παρηγορήσουν διὰ τὴν μεγάλην καταστροφήν, ἡ ὁποία ἔγινε, κατέφθασεν ἀμέσως ὁ Ἅγιος Πατριάρχης καὶ τοὺς εἶπε μεταξὺ ἄλλων καὶ τὰ ἑξῆς· «Δὲν πρέπει νὰ σκυθρωπάζετε διὰ τὴν ζημίαν, ποὺ ἐπῆλθεν ἐξ αἰτίας τοῦ κινδύνου τῶν πλοίων· κανεὶς ἄλλος δὲν εὐθύνεται δι' αὐτό· αἴτιος τῆς συμφορᾶς εἶμαι ἐγὼ καὶ μόνον ἐγώ. Διότι δὲν θὰ συνέβαινεν αὐτὴ ἡ καταστροφή, ἐὰν ἐγὼ δὲν εἶχον ἐπηρεασθῆ ἀπὸ λογισμοὺς ὑψηλοφροσύνης ἀπὸ τὴν σκέψιν τῆς μεταδόσεως εἰς τὸν πληθυσμὸν ξένων ἀγαθῶν, τῶν ἀγαθῶν, τὰ ὁποῖα παρέχει ὁ Θεός. Ὁ Θεὸς λοιπὸν παρεχώρησε νὰ συμβῇ αὐτὴ ἡ συμφορά, διὰ νὰ καταπαύσῃ τὴν ἐγωϊστικήν μου αὐτὴν ἔπαρσιν, ἐπιδιώκων τὴν ταπείνωσίν μου. Γνωρίζει καλῶς ὁ Θεός, ὅτι πολλὰς φορὰς ἡ ὑψηλοφροσύνη γίνεται αἰτία τῆς ἐλεημοσύνης εἰς ἐκεῖνον, ποὺ δὲν προσέχει· δι' αὐτὸν ἀκριβῶς τὸν λόγον ἡ πτωχεία ταπεινώνει τὸν ἐγωϊστὴν καὶ ὑπερήφανον ἄνδρα «πενία ἄνδρα ταπεινοῖ» (Παροιμ. ι', 4), ὅπως λέγει ἡ Γραφή.

4. Ἐγὼ λοιπὸν ἔγινα ἀφορμὴ δύο κακῶν, τῆς ὑψηλοφροσύνης μου καὶ τῆς συμφορᾶς σας. Τοιουτοτρόπως καὶ ἐγὼ ἀπὸ τὴν κενοδοξίαν ἔχασα τὸν μισθὸν τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ ἔγινα αἴτιος ἀπωλείας τόσων χρημάτων. Τώρα δὲ φέρω ἐπάνω μου ὅλας τὰς ἁμαρτίας τῶν ἐκ τῆς πείνης θλιβομένων ψυχῶν. Πλὴν ὅμως ὁ Θεός, ἂν ὄχι δι' ἐμέ, ἀλλὰ χάριν τῆς στοργικῆς φροντίδος Του ὑπὲρ τῶν δυστυχούντων, ἀσφαλῶς θὰ ἐξεύρῃ τρόπον νὰ ἱκανοποιήσῃ, ὡς γνωρίζει, τὰς ἀνάγ-

κας τῶν τέκνων του. Διότι Αὐτὸς εἶπε· Δὲν θὰ σὲ ἀφήσω μόνον εἰς τὴν θλῖψιν σου (1), ἀφοῦ δὲ τὸ εἶπε ὁ Θεὸς ἀσφαλῶς καὶ θὰ πραγματοποιήσῃ τὴν ὑπόσχεσίν του.

5. Συνέβη τότε, ὥστε αὐτοί, ποὺ πραγματικῶς ἦλθον νὰ παρηγορήσουν τὸν Ἅγιον Πατριάρχην, διὰ τὴν τόσον μεγάλην ἀπώλειαν, ἀπεχώρησαν παρηγορηθέντες οἱ ἴδιοι ἀπὸ ἐκεῖνον. Ἀλλὰ καὶ πράγματι ἡ πρὸς τὸν Θεὸν βαθεῖα ἐμπιστοσύνη τοῦ Ἁγίου συντόμως ἐπεβραβεύθη· διότι δὲν παρῆλθε πολὺς ἀπὸ τῆς δοκιμασίας χρόνος καὶ ὁ Θεὸς διπλασιάζει εἰς τὸν νέον Ἰὼβ τὰ ὑπάρχοντα, ὥστε νὰ βοηθῇ τοὺς δυστυχεῖς καὶ τοὺς πτωχοὺς μὲ περισσοτέραν μεγαλοψυχίαν καὶ νὰ τοὺς προσφέρῃ περισσοτέραν ποσότητα παρὰ πρότερον.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΗΝ ΤΙΣ ΑΔΕΛΦΟΣ ἀσκήσας καθ' ἑαυτόν, τῶν πάνυ ἐπισήμων· οὗτος ἀκούσας περὶ τοῦ βίου τοῦ Ἁγίου Παχωμίου, ἐλθὼν παρεκάλεσεν αὐτὸν δέξασθαι αὐτὸν εἰς τὸ Κοινόβιον. Εἰσδεχθεὶς οὖν καὶ ποιήσας ὀλίγας ἡμέρας, ἐπεθύμει μαρτυρῆσαι, τοῦ κόσμου εἰρηνεύοντος καὶ τῆς Ἐκκλησίας χάριτι Θεοῦ γαληνιώσης καὶ προκοπτούσης, τοῦ ἐν Ἁγίοις Κωνσταντίνου τότε βασιλεύοντος.

2. Οὗτος οὖν συνεχῶς παρεκάλει τὸν μακάριον λέγων· εὖξαι, Ἀββᾶ ὑπὲρ ἐμοῦ, ἵνα γένωμαι μάρτυς· ὁ δὲ Γέρων ἐνουθέτει αὐτὸν λέγων· ὑπόμεινον, ἀδελφέ, τὸν ἀγῶνα τοῦ Μοναχοῦ γενναίως καὶ ἀμώμως, κατὰ τὴν τοῦ Χριστοῦ εὐαρέστησιν τὸν βίον σου κατορθώσας, καὶ ἕξεις ἐν οὐρανοῖς τὴν μετὰ Μαρτύρων κοινωνίαν· τὸν δὲ λογισμὸν τοῦτον μηκέτι παραχωρήσῃς εἰσελθεῖν εἰς τὴν καρδίαν σου.

3. Ἐκείνου δὲ μὴ ἀνιέντος, ἀλλὰ καθ' ἑκάστην ἐπιτείνοντος τὴν ἐπιθυμίαν εἰς τοῦτο καὶ ἐνοχλοῦντος τῷ Ἁγίῳ, ἵνα εὔξηται ὑπὲρ αὐτοῦ, ἀποσείσασθαι τὴν τοιαύτην ὄχλησιν ὁ μέγας, εἶπεν αὐτῷ· ἐγὼ εὔχομαι· καὶ εἰ τοῦτο θέλεις, καταλήψεταί σε· ἀσφαλίζου δὲ σεαυτόν, μήποτε ἐπελθούσης τῆς ὥρας, ἀντὶ τοῦ μαρτυρῆσαι εὑρεθῇς ἀρνούμενος τὸν Χριστόν· ἀληθῶς γὰρ σφάλλει ὁ αὐτομολῆσαι βουλόμενος καὶ ἐμπεσεῖν εἰς πειρασμόν, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κελεύοντος ἡμῖν προσεύχεσθαι μὴ ἐμπεσεῖν εἰς πειρασμόν.

4. Ἐγένετο δὲ μετὰ δύο ἔτη, ἀποσταλῆναι τινὰς τῶν ἀδελφῶν παρὰ τοῦ μεγάλου εἰς τὴν ἀνωτέραν αὐτῶν κώμην ἐπὶ τὸ συνάξαι θρύα λόγῳ τῶν ψιαθίων· τῇ δὲ κώμῃ πλησιάζουσι βάρβαροι οἱ λεγόμενοι Βλέμμυες· καὶ τυγχανόντων ἐκεῖσε τῶν ἀδελφῶν, καὶ συναγαγόντων τὰ θρύα, ἀπέστειλε πρὸς αὐτοὺς ὁ μακάριος τὸν ἀδελφὸν τὸν ἐπιθυμοῦντα μαρτυρῆσαι, δαπάνας ὀλίγας ἀπενεγκεῖν τοῖς ἀδελφοῖς παραγγείλας αὐτῷ ἀσφαλίσασθαι ἑαυτόν, καὶ εἰπὼν τὸ γεγραμμένον, καὶ ὡς δι' αἰνίγματος δηλώσας αὐτῷ, ὅτι ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· μηδὲ μίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία.

5. Ὁ δὲ λαβὼν ὄνον καὶ ἐπιθεὶς τὰς δαπάνας, πρὸς τοὺς ἀδελφοὺς ἐπορεύετο. καὶ γενομένου αὐτοῦ περὶ τὴν ἔρημον, κατελθόντες οἱ βάρβαροι ἀπὸ τοῦ ὄρους ἐπὶ τὸ ὑδρεύσασθαι ὕδωρ, ὑπαντῶσιν αὐτῷ· καὶ κρατήσαντες αὐτόν, ἔδησαν τὰς χεῖρας αὐτοῦ, λαβόντες δὲ καὶ τὸν ὄνον μετὰ τῶν χρειῶν, ἀπήγαγον αὐτὸν εἰς τὸ ὄρος πρὸς τοὺς ἄλλους βαρβάρους.

6. Ἰδόντες δὲ οἱ λοιποὶ βάρβαροι ἐρχόμενον αὐτόν, ἤρξαντο χλευάζειν αὐτὸν

---

1) «Κύριος δὲ εἶπε πρός μέ.... ὅτι Κύριος ὁ Θεός σου ὁ προπορευόμενος μεθ' ὑμῶν ἐν ὑμῖν, οὔτε μή σε ἀνῇ, οὔτε μή σε ἐγκαταλίπῃ» (Δευτερ. λα', 2–6).

λέγοντες· μονάζον, ἐλθὲ προσκύνησον τοῖς εἰδώλοις ἡμῶν· καὶ σφάξαντες ζῷα, σπονδὰς ἐποίησαν τοῖς θεοῖς αὐτῶν, καὶ ἀγαγόντες τὸν Μοναχόν, ἠνάγκαζον αὐτὸν συσπεῖσαι αὐτοῖς· μὴ βουλομένου δὲ αὐτοῦ τοῦτο ποιῆσαι, μετὰ θυμοῦ προσῆλθον αὐτῷ κατέχοντες γυμνὰ τὰ ξίφη, καὶ ἀπειλοῦντες, ὡς εἰ μὴ βούλοιτο θῦσαι, εὐθὺς ἀναιρεθήσεται ὑπ' αὐτῶν.

7. Ὁ δὲ ἰδὼν γυμνὰ τὰ ξίφη, καὶ τὸ ἦθος αὐτῶν τὸ ἄγριον φοβηθείς, ἔλαβε καὶ ἔσπεισε τοῖς εἰδώλοις αὐτῶν, καὶ ἔφαγε μετ' αὐτῶν καὶ ἐκ τῶν κρεῶν τῶν εἰδωλοθύτων, καὶ δειλιάσας τὸν σωματικὸν θάνατον, τὸν ψυχικὸν ἀπέθανε, τὸν Δεσπότην Χριστὸν ἀρνησάμενος.

8. Εἶτα ἀπολυθεὶς ἀπὸ τῶν βαρβάρων κατῆλθεν ἐκ τοῦ ὄρους, καὶ εἰς ἑαυτὸν ἐλθών, ἔγνω τὴν ἀνομίαν αὐτοῦ, μᾶλλον δὲ τὴν ἀσέβειαν ἣν ἐποίησε καὶ σχίσας τὰ ἱμάτια αὐτοῦ μετὰ τὸ τύψαι πολὺ τὸ πρόσωπον αὐτοῦ, ἔρχεται εἰς τὴν Μονήν.

9. Γνοὺς δὲ ὁ μακάριος τὸ συμβὰν αὐτῷ, ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῦ πάνυ λυπούμενος· ὁ δὲ ἰδὼν πρὸς αὐτὸν ἐρχόμενον, βάλλει ἑαυτὸν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, κράζων μετὰ κλαυθμοῦ· ἥμαρτον τῷ Θεῷ καὶ σοί, ὦ Πάτερ, ὅτι οὐκ ἤκουσα τῆς ἀγαθῆς σου συμβουλίας· εἰ γὰρ ἤκουόν σου, οὐκ ἂν ταῦτα ὑπέστην. Ὁ δὲ μέγας ἔφη πρὸς αὐτόν· ἀνάστα, ἄθλιε· σεαυτὸν ἀπέκλεισας ἀπὸ τοσούτων ἀγαθῶν, ὦ ταλαίπωρε· ἀληθῶς ἐπετέθη σοι στέφανος καὶ ἀπέῤῥιψας αὐτὸν ἀπὸ σοῦ.

10. Ὁ Δεσπότης Χριστὸς παρῆν μετὰ τῶν Ἁγίων Αὐτοῦ Ἀγγέλων, τὸ διάδημα ἐπὶ τῆς κεφαλῆς σου βουλόμενος θεῖναι, καὶ Τοῦτον ἠρνήσω διὰ ῥοπὴν ὥρας· καὶ θάνατον, ὃν μέλλεις ὑφίστασθαι καὶ μὴ θέλων, φοβηθείς, ἐξέπεσες τοῦ Θεοῦ σου, καὶ τὴν αἰώνιον ζωὴν ἀπώλεσας· ποῦ οἱ πρὸ τούτου σου λόγοι; ποῦ ἡ ὄρεξίς σου;

11. Εἰπόντος δὲ ἐκείνου, ἥμαρτον, Πάτερ, κατὰ πάντα καὶ οὐ δύναμαι ἔτι εἰς τὸν οὐρανὸν ἐπᾶραι τὸ πρόσωπόν μου· ἀπωλόμην, ὦ Πάτερ, οὐκ ἔστιν ἀπὸ τοῦ νῦν ὑπόστασίς μοι τοῦ δυνηθῆναι μετανοῆσαι· τί ποιήσω, ὦ Πάτερ, οὐ προσεδόκων οὕτω γενέσθαι.

12. Ταῦτα καὶ πλείω τούτων λέγοντος αὐτοῦ καὶ ὀλοφυρομένου πικρῶς, ἔφη πάλιν ὁ μέγας πρὸς αὐτόν· Σὺ μέν, ἄθλιε, παντελῶς σεαυτὸν ἀλλότριον τοῦ Κυρίου κατέστησας, ἀγαθὸς δέ ἐστιν ὁ Θεός, καὶ οὐδέποτε συνέσχεν εἰς μαρτύριον ὀργὴν αὐτοῦ, ὅτι θελητὴς ἐλέους ἐστί, καὶ τὰς ἁμαρτίας ἡμῶν αἴρει ἐξ ἡμῶν μετανοούντων· οὐ γὰρ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν, καὶ τὸν πεσόντα μὴ ἐμμένειν τῷ πτώματι, ἀλλὰ ἀναστῆναι· διὰ τοῦτο μὴ ἀπογνῷς σεαυτοῦ, ἔστι γὰρ ἐλπὶς σωτηρίας· ἐὰν γάρ, φησιν, ἐκκοπῇ δένδρον, πάλιν ἀνθήσει. Ἐὰν οὖν θέλῃς ἀκοῦσαι μου κατὰ πάντα, ἅπερ ἂν εἴπω σοι, ἕξεις συγχώρησιν παρὰ Θεοῦ.

13. Ὁ δὲ πικρῶς κλαίων, ἔλεγεν· ἀκούσω σου ἐν πᾶσιν ἀπὸ τοῦ νῦν, Πάτερ· καὶ κελεύει αὐτὸν ὁ μέγας ἀναχωρήσαντα εἰς ἥσυχον κελλίον ἀποκλεῖσαι ἑαυτόν, καὶ μηδενὶ συντυχεῖν ἕως θανάτου· καὶ παρὰ μίαν ἐσθίειν, ἄρτον δὲ καὶ ἅλας μόνον, καὶ μεταλαμβάνειν ὕδατος μόνον, ποιεῖν δύο ψιάθια μόνα καθ' ἑκάστην ἡμέραν, ἑκάστου τῶν λοιπῶν ἀδελφῶν ἓν ψιάθιον ποιοῦντος κατὰ τὸν κανόνα· καὶ ἀγρυπνεῖν καὶ εὔχεσθαι ὅσον ἰσχύει, κλαυθμοῦ δὲ καθόλου μὴ ἀπολείπεσθαι.

14. Ὁ δὲ δεξάμενος ταῦτα σὺν προθυμίᾳ, ἀνεχώρησεν ὡς προσετάγη, καὶ ἐδιπλασίασε πάντα τὰ προστεταγμένα αὐτῷ· οὐδενὶ δὲ συνέτυχεν ἄλλῳ, εἰμὴ τῷ Ἁγίῳ, καὶ τῷ Θεοδώρῳ, καὶ ὀλίγοις τῶν ἄλλων Γερόντων παρ' ὅλην τὴν ζωὴν αὐτοῦ. Ποιήσας οὖν δεκαετῆ χρόνον ἀγωνιζόμενος οὕτως, ἐκοιμήθη τῇ τοῦ Κυρίου χάριτι καλῶς, μαρτυρήσαντος τοῦ μεγάλου τῇ ἀναπαύσει αὐτοῦ.

Ἑρμηνεία

ΕΖΗ ΚΑΠΟΤΕ ἕνας Μοναχός, ποὺ ἠσκήτευε μόνος του καὶ ἦτο ἐκ τῶν ὀνομαστῶν τῆς περιοχῆς ἐκείνης. Αὐτὸς λοιπόν,

μόλις ἐπληροφορήθη διὰ τὸν βίον τοῦ Ἁγίου Παχωμίου, ἦλθε καὶ τὸν παρεκάλεσε νὰ τὸν δεχθῇ εἰς τὸ Κοινόβιον. Πράγματι ἐγένετο δεκτὸς εἰς τὸ Κοινόβιον καὶ παρέμεινεν εἰρηνικὸς μερικὰς ἡμέρας. Μετὰ ἀπὸ ὀλίγον καιρὸν ὁ προειρημένος Μοναχὸς ἤρχισε νὰ ἐπιθυμῇ τὸ μαρτύριον, καίτοι ὑπῆρχεν εἰς τὸν κόσμον εἰρήνη καὶ ἡ Ἐκκλησία, μὲ τὴν Χάριν τοῦ Θεοῦ, ἀπήλαυε γαλήνης καὶ προέκοπτεν εἰς τὸ ἀγαθόν, διότι ἐβασίλευε τότε ὁ Ἅγιος Κωνσταντῖνος.

2. Ὑπὸ τὸ κράτος τῆς ἐπιθυμίας αὐτῆς παρεκάλει συνεχῶς τὸν Ἅγιον Παχώμιον λέγων:

—Ἀββᾶ, προσευχήσου δι' ἐμὲ νὰ γίνω Μάρτυς.

Ὁ Γέρων, ὡς διορατικὸς ποὺ ἦτο, τὸν ἐνουθέτει νὰ μὴ ἐπιμένῃ εἰς τὸν λογισμόν του αὐτόν:

— Κάμε ὑπομονήν, ἀδελφέ μου,—τοῦ ἔλεγεν — εἰς τὸν ἀγῶνα τῆς μοναχικῆς πολιτείας, ὥστε νὰ νικήσῃς εἰς τὸν βίον σου, ὅπως θέλει ὁ Κύριος, μὲ γενναιότητα καὶ ἀμέμπτως καὶ ἀσφαλῶς θὰ ἀξιωθῇς τοῦ χοροῦ τῶν Ἁγίων Μαρτύρων εἰς τὴν ἄλλην ζωήν, διότι καὶ ὁ μοναχικὸς βίος εἶναι ἑκούσιον μαρτύριον. Πρόσεξε δὲ τὸν λογισμὸν αὐτὸν μὴ τὸν ἀφήσῃς νὰ αἰχμαλωτίσῃ τὴν καρδίαν σου.

3. Παρ' ὅλας ὅμως τὰς συμβουλὰς τοῦ Ἁγίου Παχωμίου ὁ Μοναχὸς δὲν ὑπεχώρει, ἀλλὰ καθ' ἑκάστην ἡμέραν ἐπέτεινε τὴν ἐπιθυμίαν του καὶ ἠνώχλει τὸν Γέροντα νὰ εὐχηθῇ, διὰ νὰ μαρτυρήσῃ. Διὰ νὰ ἀποφύγῃ τὴν ἐνόχλησιν αὐτὴν ὁ Ἅγιος Παχώμιος καὶ φοβούμενος τὰς εὐθύνας, ἐὰν θὰ παρεκάλει τὸν Θεὸν διὰ τοιοῦτον πρᾶγμα, τοῦ εἶπεν:

—Ἐγὼ εὔχομαι, ἐφ' ὅσον τὸ ἐπιθυμεῖς· καὶ ἐὰν θέλῃς τὸ μαρτύριον, θὰ σὲ εὕρῃ. Πρόσεξε, ὅμως, μήπως, ὅταν ἔλθῃ ἡ ὥρα, ἀντὶ νὰ μαρτυρήσῃς διὰ τὸν Χριστόν, Τὸν ἀρνηθῇς. Δι' αὐτὸ πρέπει νὰ περιφρουρήσῃς τὸν ἑαυτόν σου, διότι πραγματικῶς σφάλλει ἐκεῖνος, ποὺ ἐπιδιώκει μόνος του τὸ μαρτύριον καὶ ρίπτεται, χωρὶς ἀνάγκην, εἰς τὸν κίνδυνον, ἐπειδὴ λησμονεῖ αὐτό, ποὺ διέταξεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, νὰ προσευχώμεθα, διὰ νὰ μὴ ἐμπέσωμεν εἰς πειρασμὸν «Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν» (Ματθ. ϛ', 13).

4. Μετὰ ἀπὸ δύο ἔτη ὁ Μέγας Παχώμιος ἀπέστειλε μερικοὺς ἐκ τῶν ἀδελφῶν τοῦ Κοινοβίου εἰς χωρίον κείμενον ὑψηλότερον τοῦ Μοναστηρίου, διὰ νὰ μαζέψουν βοῦρλα, ποὺ τοὺς ἐχρησίμευον διὰ τὸ πλέξιμον τῶν ψαθιῶν. Πλησίον ὅμως τοῦ χωρίου, εἰς τὸ ὁποῖον εὑρίσκοντο διὰ τὸ διακόνημα οἱ ἀδελφοί, εἶχον ἔλθει μερικοὶ βάρβαροι, ὀνομαζόμενοι Βλέμμυες. Ἔστειλε δὲ ὁ Ὅσιος Παχώμιος πρὸς τοὺς ἀδελφοὺς τὸν Μοναχόν, ποὺ ἐπεθύμει νὰ μαρτυρήσῃ, διὰ νὰ τοὺς μεταφέρῃ ὀλίγα ἐφόδια, ἀφοῦ προηγουμένως τὸν συνεβούλευσε νὰ προσέχῃ τὸν ἑαυτόν του. Συγχρόνως, ὡς νὰ διέβλεπεν ἐκεῖνα ποὺ ἐπρόκειτο νὰ γίνουν, τοῦ ὑπενθύμισε τὰ ρητά· «Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας» (Β' Κορινθ. ϛ', 2), «Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία» (Β' Κορ. ϛ', 3—4)·

διὰ τῶν ρητῶν αὐτῶν τοῦ ἀπεκάλυπτεν αἰνιγματικῶς τί ἐπρόκειτο νὰ τοῦ συμβῇ κατὰ τὴν ὁδόν.

5. Ὁ Μοναχὸς ἐφόρτωσεν εἰς τὸν ὄνον τὰ ἐφόδια καὶ ἐπήγαινε πρὸς τὸ μέρος τῶν ἀδελφῶν. Ὅταν διήρχετο πλησίον τῆς ἐρήμου, τὸν συναντοῦν οἱ βάρβαροι, οἱ ὁποῖοι ἐν τῷ μεταξὺ εἶχον κατέβει ἀπὸ τοὺς παρακειμένους λόφους διὰ νὰ πάρουν νερό. Ἀμέσως τὸν συλλαμβάνουν, τοῦ δένουν τὰς χεῖρας, ἁρπάζουν τὸν ὄνον μὲ τὸ φορτίον του καὶ τὸν ὁδηγοῦν, αἰχμάλωτόν των πλέον, ἐπάνω εἰς τὸ ὄρος πρὸς τοὺς ἄλλους βαρβάρους, ἐκεῖ ὅπου εἶχον τὸ καταφύγιόν των.

6. Μόλις εἶδον οἱ ἄλλοι βάρβαροι νὰ ἔρχεται ταπεινωμένος ἀπὸ τὰ δεσμὰ τῆς αἰχμαλωσίας ὁ Μοναχός, ἤρχισαν νὰ τὸν χλευάζουν καὶ νὰ τοῦ λέγουν περιφρονητικά:

—Ἔλα, Καλόγηρε, νὰ προσκυνήσῃς τὰ εἴδωλά μας!

Ἐν τῷ μεταξὺ μερικοὶ ἐκ τῶν βαρβάρων αὐτῶν ἔσφαξαν ζῷα καὶ προσέφεραν θυσίαν εἰς τοὺς θεούς των· ἀφοῦ δὲ ἔφερον εἰς τὸ μέσον αὐτῶν τὸν Μοναχόν, τὸν ἐβίαζον νὰ θυσιάσῃ καὶ αὐτὸς μαζί των. Οὗτος εἰς τὰς ἀρχὰς ἀντεστάθη καὶ δὲν ὑπέκυπτεν εἰς τὰς ἀξιώσεις των. Βλέποντες οἱ βάρβαροι τὴν ἀντίστασίν του ἐξωργίσθησαν καὶ θυμωμένοι τὸν ἐπλησίασαν κραδαίνοντες ἐπάνω ἀπὸ τὴν κεφαλήν του τὰ γυμνά των ξίφη, καὶ ἔλεγον πρὸς αὐτόν.

—Ἐὰν δὲν θελήσῃς νὰ θυσιάσῃς εἰς τοὺς θεούς μας, θὰ σὲ φονεύσωμεν μὲ τὰ ξίφη μας.

7. Ὁ Μοναχός, ὁ ὁποῖος τόσον ἐπιμόνως ἐπεζήτει προηγουμένως τὸ μαρτύριον, μόλις ἀντίκρυσε τὴν ἀγρίαν μορφήν των καὶ τὰ γυμνά των ξίφη, ἐφοβήθη, ἐθυσίασεν εἰς τὰ εἴδωλά των, καὶ ἔφαγεν, ἐν συνεχείᾳ, μαζί των ἀπὸ τὰ εἰδωλόθυτα κρέατα. Οὕτω φοβηθεὶς μὴ ἀποθάνῃ σωματικῶς, ἀπέθανε ψυχικῶς ὁ Μοναχὸς αὐτός, ἀρνηθεὶς τὸν Δεσπότην Χριστόν!

8. Μετὰ τὸν ἀπέλυσαν οἱ βάρβαροι καὶ κατῆλθεν ἀπὸ τὸ ὄρος. Εὑρεθεὶς δὲ μόνος του, ἤρχισε νὰ συνέρχεται, ὡς ἀπὸ ἐφιαλτικοῦ ὀνείρου, καὶ τότε μόλις ἀνελογίσθη τὸ μέγεθος τῆς ἀνομίας ἢ μᾶλλον τῆς ἀσεβείας, τὴν ὁποίαν διέπραξε. Κατεχόμενος δὲ ἀπὸ ἀφόρητον θλῖψιν καὶ ἀπόγνωσιν κατεξέσχισε τὰ ἐνδύματά του καὶ ἐκτύπα ἐπὶ πολὺ τὸ πρόσωπόν του. Ἐρείπιον ψυχικὸν καὶ ἐλεεινὸς κατὰ τὴν ἐμφάνισιν ἔρχεται εἰς τὸ Κοινόβιον.

9. Μόλις ἐπληροφορήθη ὁ Μέγας Παχώμιος τί τοῦ συνέβη, ἐξῆλθε περίλυπος νὰ τὸν προϋπαντήσῃ ἔξω τοῦ Κοινοβίου. Ὅταν ὁ ἀρνητὴς Μοναχὸς τὸν εἶδε νὰ ἔρχεται πρὸς αὐτόν, πίπτει κάτω καὶ γοερῶς ἐκραύγαζε κλαίων καὶ ὀδυρόμενος.

—Ἡμάρτησα, Πάτερ μου, ἐνώπιον τοῦ Θεοῦ καὶ ἐνώπιόν σου, διότι δὲν ἤκουσα τὴν πολύτιμον συμβουλήν σου. Ἐὰν σὲ εἶχον ἀκούσει, δὲν θὰ ὑφιστάμην αὐτὰ τὰ φοβερά, τὰ ὁποῖα ὑπέστην.

Ὁ Μέγας Παχώμιος εἶπεν εἰς αὐτόν:

— Σήκω ἐπάνω, δυστυχισμένε· ἀπέκλεισες τὸν ἑαυτόν σου, ταλαίπωρε, ἀπὸ τόσα ἀγαθά· πραγματικῶς ἀπέρριψας ἀσυλλόγιστα τὸν στέφανον τοῦ μαρτυρίου, ποὺ ἡτοιμάζοντο νὰ θέσουν ἐπὶ τῆς κεφαλῆς σου οἱ Ἄγγελοι.

10. Ὁ ἴδιος ὁ Δεσπότης Χριστὸς παρευρίσκετο μὲ τοὺς Ἁγίους Του Ἀγγέλους, κατὰ τὴν στιγμὴν τῆς δοκιμασίας σου, ἕτοιμος νὰ τοποθετήσῃ στέμμα νικητοῦ ἐπάνω εἰς τὴν κεφαλήν σου· καὶ σὺ Τὸν ἠρνήθης εἰς μίαν μόνον στιγμὴν τῆς ὥρας· καὶ φοβηθεὶς τὸν σωματικὸν θάνατον, τὸν ὁποῖον ὁπωσδήποτε θὰ ὑποστῇς καὶ παρὰ τὴν θέλησίν σου, ἐξέπεσες ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ σου καὶ ἔχασες τὴν αἰώνιον ζωήν. Ποῦ εἶναι οἱ προηγούμενοι λόγοι σου; Ποῦ εἶναι ἡ ὄρεξίς σου νὰ μαρτυρήσῃς;

11. Εἰς τοὺς δριμεῖς καὶ δικαίους αὐτοὺς ἐλέγχους τοῦ Ἁγίου Παχωμίου μὲ συντριβὴν καὶ πόνον ἀπήντησεν ὁ ἐκπεσὼν Μοναχός.

—Ἥμαρτον, Πάτερ μου, εἰς ὅλα τὰ σημεῖα καὶ δὲν ἔχω πλέον τὴν δύναμιν νὰ σηκώσω τὸ πρόσωπόν μου νὰ ἰδῶ τὸν οὐρανόν· ἐχάθηκα, Πάτερ μου, δὲν ὑπάρχω· μὲ κατέφαγεν ὁ πόνος καὶ ἡ θλῖψις· πῶς θὰ ἠμπορέσω νὰ μετανοήσω; Τί νὰ κάμω τώρα, Πάτερ μου; Δὲν ἐφανταζόμουν νὰ ἐξελιχθοῦν ἔτσι τὰ πράγματα.

12. Αὐτὰ καὶ περισσότερα ἔλεγεν ὁ ἐκπεσὼν Μοναχός, ἀναμεμειγμένα μὲ θρήνους καὶ δάκρυα πικρά. Λαβὼν δὲ πάλιν τὸν λόγον ὁ Μέγας Παχώμιος τοῦ εἶπεν.

—Ἄθλιε, διὰ τῆς ἀρνήσεώς σου αὐτῆς ἀπεξενώθης τελείως ἀπὸ τὸν Κύριον· πλὴν ὅμως ὁ Θεὸς εἶναι ἀγαθὸς καὶ οὐδέποτε, κατὰ τὴν παροῦσαν ζωήν, ἡ δικαία ὀργή Του μεταβάλλεται εἰς βασανιστικὴν ἐκδίκησιν, διότι ἡ θέλησίς του εἶναι γεμάτη ἀπὸ εὐσπλαγχνίαν καὶ ὅταν ἡμεῖς μετανοοῦμεν, συγχωρεῖ καὶ Ἐκεῖνος τὰς ἁμαρτίας ἡμῶν· διότι δὲν θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὴν μετάνοιαν αὐτοῦ, οὔτε ἐπίσης ἐπιθυμεῖ νὰ παραμείνῃ ὁ πεσὼν εἰς τὸ πτῶμα τῆς ἁμαρτίας, ἀλλὰ νὰ ἐγερθῇ. Δι' αὐτὸ μὴ ἀπελπισθῇς καὶ σὺ καὶ περιπέσῃς εἰς ἀπόγνωσιν, διότι ὅπως ἀναφέρεται καὶ εἰς τὴν Ἁγίαν Γραφὴν καὶ ἐὰν κοπῇ ἕνα δένδρον, ὑπάρχει ἐλπὶς νὰ ἀνθήσῃ καὶ πάλιν (1). Ἐὰν λοιπὸν θὰ μὲ ἀκούσῃς εἰς ὅ,τι θὰ σοῦ εἰπῶ καὶ θὰ τὰ ἐφαρμόσῃς μὲ ἀκρίβειαν, τότε ἀσφαλῶς ὁ Θεὸς θὰ σὲ συγχωρήσῃ.

13. Ὁ ἐκπεσὼν Μοναχὸς μὲ δάκρυα καὶ λυγμοὺς ἀπήντησεν:

—Ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς θὰ ἐκτελέσω μὲ ἀκρίβειαν ὅσα μοῦ παραγγείλῃς.

— Λοιπὸν θὰ ἀναχωρήσῃς ἀπὸ ἐδῶ καὶ θὰ κλεισθῇς μόνος σου εἰς ἕνα κελλίον ἥσυχον· μέχρι δὲ τοῦ θανάτου σου δὲν θὰ δεχθῇς τὴν ἐπίσκεψιν οὐδενὸς καὶ μὲ κανένα δὲν θὰ συναναστραφῇς. Θὰ τρώγῃς

---

1) «Ἔστι γὰρ δένδρῳ ἐλπίς· ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπανθήσει, καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλίπῃ». (Ἰώβ, ιδ', 7).

ἡμέραν παρ' ἡμέραν μόνον ψωμὶ καὶ ἁλάτι καὶ μόνον νεράκι θὰ πίνῃς. Καὶ ἐνῷ οἱ ἄλλοι ἀδελφοί, κατὰ τὸν κανόνα, κατασκευάζουν ἕνα ψαθὶ τὴν ἡμέραν, σὺ θὰ κάμῃς δύο. Ὅσον ἠμπορεῖς θὰ ἀγρυπνῇς καὶ θὰ προσεύχεσαι· δὲν θὰ ἀφήσῃς δὲ καθόλου τὸ δακρύβρεκτον πένθος.

14. Τὰς ἐντολὰς αὐτὰς τὰς ἤκουσε μὲ προθυμίαν ὁ Μοναχὸς καὶ συμφώνως μὲ τὴν προσταγὴν τοῦ Ἀββᾶ Παχωμίου ἀνεχώρησε. Τόση δὲ ἦτο ἡ προθυμία του, ὥστε ἐδιπλασίασε μόνος του τὸν κανόνα, ποὺ τοῦ ἐπεβλήθη. Ἐφ' ὅσον δὲ ἔζη, κανένα ἄλλον δὲν συνήντησε, παρὰ μόνον τὸν Ἅγιον Παχώμιον, τὸν Θεόδωρον καὶ ἐλαχίστους ἀκόμη Γέροντας. Ἀφοῦ λοιπὸν διῆλθε δέκα ὁλόκληρα ἔτη τοιουτοτρόπως ἀγωνιζόμενος, ἐκοιμήθη καλῶς συνεργούσης τῆς θείας Χάριτος. Τὴν ἀνάπαυσιν δὲ τῆς ψυχῆς του, διὰ τῆς συγχωρήσεως ἐκ τῆς ἀρνήσεως, ἐβεβαίωσεν ὁ ἴδιος ὁ Μέγας Παχώμιος.

Γ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΙ τινες οἰκοῦντες ἐν Μοναστηρίῳ καὶ πολλῶν λυτρωθέντες πειρασμῶν ταῖς εὐχαῖς τῶν Ἁγίων Πατέρων, ἀκούσαντες περὶ ἐφόδου λῃστῶν ἔμελλον ἀναχωρεῖν τοῦ Μοναστηρίου, καὶ ἠρώτησαν περὶ τούτου τὸν Γέροντα τί δεῖ ποιεῖν.

2. Καὶ ἀπεκρίθη αὐτοῖς τάδε· τὴν πεῖραν τῆς τοῦ Δεσπότου ἡμῶν ἀγαθότητος ἔχομεν ἤδη, ἀπὸ πολλῶν θλίψεων καὶ πειρασμῶν ῥυσθέντες ὑπ' Αὐτοῦ· καὶ νῦν μὴ διστάσωμεν, ὅτι ῥύεται καὶ σκεπάζει ἡμᾶς ἀπὸ παντὸς κακοῦ· ὅλην οὖν τὴν μέριμναν ἡμῶν καὶ ἐλπίδα ἐπ' Αὐτὸν ἐπιῤῥίψωμεν, καὶ εὐχαῖς ἁγίων μὴ φροντίσητε περί τινος κακοῦ, ἀλλὰ στήκετε ἑδραῖοι τῇ πίστει Χριστοῦ, μελῳδοῦντες μετὰ τοῦ Προφήτου Δαβίδ· «Κύριος ἐμοὶ βοηθὸς καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος», καὶ τὰ ἑξῆς· καὶ τὸ «Κύριος φυλάξαι σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος, Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος».

3. Βλέπετε μήποτε μάθωσιν οἱ ἄνθρωποι, ὅτι, ἔχοντες τὸν Θεόν, τοὺς ἀνθρώπους φοβεῖσθε, καὶ σκανδαλισθῶσιν· «ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου» καθ' ἑκάστην πρὸς τὸν Θεὸν ψάλλοντες, λέγετε· «οὐ φοβηθήσομαι κακά, ὅτι Σὺ μετ' ἐμοῦ εἶ»· πῶς οὖν ταῦτα ἀληθῶς λέγειν δυνάμεθα, οὕτω δειλιῶντες; εἴπατε τῇ ἀπίστῳ ψυχῇ ἵνα λάβῃ θάρσος· «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ».

4. Ταύτης τῆς ἀποκρίσεως ἀδελφός τις ἀκούσας ἐδήλωσε τῷ αὐτῷ Γέροντι λέγων· δέομαί σου, ὀφείλει τις ἔχειν τὴν πεποίθησιν ταύτην, καὶ οἰκεῖν ἐν λῃστρικοῖς τόποις ἀφόβως;

5. Καὶ ἀπεκρίθη ὁ Γέρων· πάντοτε ὀφείλομεν θαῤῥεῖν εἰς τὸν Κύριον, ὅτι οὐκ ἐᾷ ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα· ἀλλ' ἐπειδὴ ἐδίδαξεν αὐτὸς ἡμᾶς λέγων· εὔξασθε ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν, εὑρίσκεται τοῦτο παράβασις ἐντολῆς Θεοῦ, ἑαυτοὺς γὰρ παραδιδόαμεν εἰς θάνατον· ἐὰν δὲ ἐν εἰρηνικῷ τόπῳ οἰκῶμεν καὶ ἀκούσωμεν περὶ ἐφόδου λῃστῶν, οὐκ ὀφείλομεν ταραχθῆναι, ἔχοντες τὴν σκέπην τοῦ Θεοῦ· βλέπει γὰρ ὁ Θεὸς ὅτι ἡμεῖς οὐκ εἰσηνέγκαμεν ἑαυτοὺς εἰς πειρασμούς.

6. Ἐὰν οὖν, εὐχομένων ἡμῶν ταῦτα, ἔλθῃ ἡμῖν ὁ πειρασμός, οἷον ἡ ἔφοδος λῃστῶν, ἤ τι ἄλλο τοιοῦτον, μὴ ἐκλυθῶμεν, πρὸς δοκιμὴν ἡμῶν γίνεται καὶ κατὰ συγχώρησιν Θεοῦ πρὸς τὸ συμφέρον ἡμῖν· καὶ εἰ κατὰ συγχώρησιν εἴη, ἔχομεν τὸν στηριγμὸν τῆς διδασκαλίας τοῦ Ἀποστόλου λέγοντος· «πιστὸς ὁ Θεὸς ὃς

οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα, ἀλλὰ σὺν τῷ πειρασμῷ ποιήσει καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν».

7. Καὶ γὰρ ἐὰν ἀπὸ ἀκοῆς φύγωμεν ἀπὸ τόπου εἰς τόπον, δύναται ὁ διάβολος μὴ ἐάσαι ἡμᾶς καθίσαι ἐν τόπῳ· ὅταν δὲ ἀσφαλῶς οἴδαμεν περὶ τοῦ τόπου, ὅτι ὑποψίαν ἔχει κινδύνου, ὀφείλομεν προασφαλίσασθαι· εἰ δὲ ὁ μὲν τόπος εἰρηνικὸς εἴη, ἐξαίφνης δὲ ἔλθῃ πειρασμός, ὁ Θεὸς βλέπων, ὅτι οὐκ ἐξ ἡμῶν ἡ αἰτία, σκεπάζει ἡμᾶς κατὰ τὸ θέλημα Αὐτοῦ.

8. Ὥς περ γάρ τις ἐν χωνευτηρίῳ δοκιμάζει χρυσὸν καὶ ἄργυρον, οὕτως ἐν πειρασμοῖς δοκιμάζονται αἱ τῶν ἀνθρώπων ψυχαί. Πρὸ οὖν πειρασμοῦ μὴ μεγεθύνῃς σεαυτόν, ἀλλ' ἡνίκα πειρασμὸς ἐπέλθῃ, τότε τὴν σεαυτοῦ ἐπιγνώσῃ δύναμιν, καὶ ἐὰν ἴδῃς σεαυτὸν καταπίπτοντα, ἐπικάλεσαι τὴν τοῦ Θεοῦ βοήθειαν, καὶ ἐξελεῖταί σε, ἀνθίστασο δὲ τῇ ἁμαρτίᾳ κραταιῶς, καὶ μὴ φοβοῦ πειρασμοῦ παρουσίαν· οὐ γὰρ βλάπτει ἡ πεῖρα τὸν γενναῖον ἀθλητήν, ἀλλὰ καὶ δοκιμώτερον ἀποδείκνυσι.

9. Πολλάκις γὰρ τὸ διὰ τοῦ πυρὸς κραταιούμενον τῷ πυρὶ ἀνθίσταται· ἡ γὰρ πλίνθος, ὠμὴ οὖσα, ἀσθενής ἐστι καὶ ἐπίσαθρος· ἡνίκα δὲ προσομιλήσῃ τῷ πυρὶ καὶ ἐξοπτηθῇ, τεῖχος γίνεται τῷ πυρὶ καὶ ἀπείργει αὐτοῦ τὴν δύναμιν· ἡ γὰρ κάμινος ἐκ πλίνθου διηρτισμένη, οὕτω συνέχει ἐν ἑαυτῇ τὴν ἐξαφθεῖσαν φλόγα καὶ οὐκ ἐᾷ ἐπὶ πλέον προβῆναι, ὡς τὸ κεράμιον τὸ ἐμβληθὲν εἰς αὐτὸ ὕδωρ.

10. Καὶ σὺ οὖν, ἀδελφέ, ἀνθίστασο τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσι τὴν θείαν συμμαχίαν ἐπικαλούμενος, καὶ πάντως δοκιμώτερος ἔσει καὶ γενναιότερος· «ἡ γὰρ θλῖψις, φησίν, ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονή, δοκιμήν», καὶ τὰ ἑξῆς.

11. Ὅταν οὖν συμβῇ σοι θλῖψις, μὴ καταπέσῃς εὐθύς, ἀλλὰ προσδόκησον ἐγγὺς οὖσαν καὶ τὴν χαράν, καὶ παρακάλει σεαυτὸν τῇ ἐλπίδι τῆς ἐπιούσης χαρᾶς, τοὺς ναυτικοὺς λαμβάνων ὑπόδειγμα· οὗτοι γάρ, ἐπαναστάσεως αὐτοῖς γενομένης ἀνέμου καὶ χειμῶνος σφοδροῦ, οὐκ ἀπογινώσκουσι τῆς ἑαυτῶν σωτηρίας, ἀλλ' ἀντιμάχονται τοῖς κύμασιν εὐδίαν προσδεχόμενοι, καὶ οὕτω τὴν τρικυμίαν διέρχονται.

12. Ὅταν δὲ πάλιν ἐν γαλήνῃ ὦσι, ζάλην προσδοκῶσι, καὶ τὸ πλοῖον πάντοθεν περιφράττουσι, καὶ αὐτοὶ νήφουσιν, ἵνα μὴ αἰφνιδίου κλύδωνος ἐγερθέντος ἀπαρασκεύαστοι εὑρεθῶσι καὶ κινδυνεύσωσι.

13. Καὶ σὺ οὖν ἐν μὲν ταῖς θλίψεσιν ἄνεσιν προσδόκα, καὶ γενναίως ὑποίσεις τοὺς πειρασμοὺς διαφυγὼν τὴν ἀπόγνωσιν, ἐν δὲ τῇ χαρᾷ, ὅταν ἐπέλθῃ σοι, μὴ ὅλως ἐκείνης γενόμενος, διαχυθεὶς ἐπιλάθῃ τοῦ πένθους, ἀλλὰ σύσφιγγε σεαυτὸν λύπην προσδεχόμενος, καὶ ὅταν ἐπισυμβῇ σοι, οὐ ξενισθήσει ὡς ἀπαρασκεύαστος, ἀλλὰ γενναίως οἴσεις τὸ προσδοκώμενον· «ἡτοιμάσθην γάρ, φησιν, καὶ οὐκ ἐταράχθην».

Ἑ ρ μ η ν ε ί α

ΜΕΡΙΚΟΙ ἀδελφοὶ ἔζων κοινοβιακῶς εἰς Μοναστήριον· οὗτοι, μὲ τὰς εὐχὰς τῶν Ἁγίων Πατέρων, ἐλυτρώθησαν ἀπὸ πολλοὺς πειρασμούς. Κάποτε λοιπὸν οἱ ἀδελφοὶ αὐτοὶ ἐπληροφορήθησαν, ὅτι πρόκειται νὰ ἐπιτεθοῦν ἐναντίον τοῦ Μοναστηρίου λησταί. Ἀμέσως ἀπεφάσισαν νὰ ἀναχωρήσουν ἐκ τοῦ Μοναστηρίου ἐκ τοῦ φόβου τῆς ἐνδεχομένης ἐπιθέσεως· πρὸς τοῦτο ἠρώτησαν καὶ τὸν Γέροντα τί πρέπει νὰ κάμουν.

2. Ἐκεῖνος τοὺς ἀπήντησεν ὡς ἑξῆς:

—Ὅλοι ἔχομεν προσωπικὴν πεῖραν τῆς ἀγαθότητος τοῦ Δεσπότου ἡμῶν, διότι μὲ τὴν βοήθειάν Του ἔχομεν διαφύγει πολλὰς θλίψεις καὶ πολλοὺς πειρασμούς. Δι' αὐτὸ καὶ τώρα δὲν πρέπει οὐδόλως νὰ

ἀμφιβάλλωμεν, ὅτι θὰ μᾶς προφυλάξῃ καὶ θὰ μᾶς διασώσῃ ἀπὸ κάθε κίνδυνον. Ἂς στηρίξωμεν λοιπὸν εἰς τὸν Κύριον ὅλας τὰς ἐλπίδας ἡμῶν καὶ ἂς ἀναθέσωμεν εἰς Αὐτὸν τὴν φροντίδα ἡμῶν· μὲ τὰς εὐχὰς δὲ τῶν Ἁγίων Πατέρων μὴ σκεφθῆτε πῶς θὰ ἀντιμετωπίσητε τὸ κακόν, ἀλλὰ νὰ παραμείνετε ἀμετακίνητοι εἰς τὴν πρὸς τὸν Χριστὸν πίστιν, ψάλλοντες μαζὶ μὲ τὸν Προφήτην Δαβίδ· «Κύριος ἐμοὶ βοηθὸς καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος» (Ψαλμ. ριζ', 6). Καὶ ὅλους τοὺς στίχους τοῦ ψαλμοῦ, ὅπως ἐπίσης καὶ στίχους τοῦ ἑτέρου ψαλμοῦ· «Κύριος φυλάξαι σε ἀπὸ παντὸς κακοῦ, φυλάξει τὴν ψυχήν σου ὁ Κύριος, Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος» (Ψαλμ. ρκ', 7—8).

3. — Προσέχετε μήπως γίνετε κακὸν παράδειγμα εἰς τοὺς ἀνθρώπους, οἱ ὁποῖοι μανθάνοντες, ὅτι φοβεῖσθε ἀνθρώπους, ἐνῷ ἔχετε τὸν Θεὸν προστάτην, ἀσφαλῶς θὰ σκανδαλισθῶσι. Καθ' ἑκάστην ἡμέραν μὲ κατάνυξιν νὰ ψάλλετε τοὺς στίχους τοῦ διδακτικοῦ ψαλμοῦ· «Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακά, ὅτι σὺ μετ' ἐμοῦ εἶ» (Ψαλμ. κβ', 4). Πῶς λοιπὸν τὰ μὲν χείλη ἡμῶν δύνανται νὰ ψάλλουν τὰ ἀληθῆ αὐτὰ λόγια, ἡ δὲ ψυχὴ ἡμῶν νὰ δειλιάζῃ; Εἰς τὴν ψυχήν, ποὺ δειλιᾷ, λόγῳ ἐλλείψεως πίστεως, νὰ εἰπῆτε μὲ σταθερότητα, διὰ νὰ λάβῃ θάρρος· «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακὼβ» (Ψαλμ. με', 8).

4. Μόλις ἤκουσε τὴν ἀπάντησιν αὐτὴν ἕνας ἀδελφός, ὑπέβαλεν εἰς τὸν ἴδιον Γέροντα τὴν ἑξῆς ἀπορίαν:

— Σὲ παρακαλῶ — εἶπεν ὁ ἀδελφὸς — ἐξήγησέ μου· ἔχει κανεὶς ὑποχρέωσιν νὰ κατοικῇ, χωρὶς φόβον, εἰς τόπους γεμάτους λῃστάς, ὅταν ἔχῃ τὴν πεποίθησιν εἰς τὴν προστασίαν τοῦ Θεοῦ;

5. Εἰς τὴν ἀπορίαν αὐτὴν ἔδωσε τὴν κατωτέρω ἀπάντησιν ὁ Γέρων:

— Ὀφείλομεν νὰ ἔχωμεν πάντοτε θάρρος, στηριζόμενον εἰς τὴν πίστιν μας πρὸς τὸν Κύριον καὶ νὰ εἴμεθα βέβαιοι, ὅτι δὲν θὰ μᾶς ἀφήσῃ νὰ δοκιμασθῶμεν περισσότερον ἀπὸ ὅσον δυνάμεθα. Ἐπειδὴ ὅμως ὁ ἴδιος μᾶς ἐδίδαξε νὰ προσευχώμεθα, ὅπως μὴ εἰσέλθωμεν εἰς πειρασμόν, «Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν» (Ματθ. κς', 41)· ὅταν εἴμεθα ριψοκίνδυνοι καὶ ἐκθέτωμεν τοὺς ἑαυτούς μας εἰς τὸν κίνδυνον τοῦ θανάτου, παραβαίνομεν τὴν ἀνωτέρω δεσποτικὴν ἐντολήν, διότι μόνοι μας ἐπιδιώκομεν τὴν συμφοράν. Ἐὰν ὅμως κατοικῶμεν εἰς εἰρηνικὸν τόπον, ὅπου δὲν ὑπάρχουν κίνδυνοι λῃστῶν, καὶ αἰφνιδίως ἀκούσωμεν περὶ λῃστρικῆς ἐπιθέσεως, δὲν πρέπει νὰ ταραχθῶμεν ἐφ' ὅσον εὑρισκόμεθα ὑπὸ τὴν κραταιὰν σκέπην τοῦ Θεοῦ· διότι τότε καὶ ὁ Θεὸς βλέπει, ὅτι δὲν ἐρρίφθημεν μὲ τὴν θέλησίν μας εἰς τοὺς κινδύνους τῶν πειρασμῶν.

6. Ἐὰν λοιπὸν ἐπέλθῃ εἰς ἡμᾶς πειρασμός, ἢ ἔφοδος λῃστῶν ἢ ὁ,τιδήποτε ἄλλο, καθ' ἣν στιγμὴν ἡμεῖς δὲν ἀναμένομεν αὐτὸν καὶ εὐχόμεθα, κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, νὰ μὴ εἰσέλθωμεν εἰς πειρα-

σμόν, δὲν πρέπει τότε νὰ τὰ χάσωμεν· ὁ πειρασμὸς συνέβη, κατὰ παραχώρησιν Θεοῦ, πρὸς τὸ συμφέρον μας, διὰ νὰ δοκιμασθῇ ἡ πίστις μας. Καὶ ἐφ' ὅσον κατὰ παραχώρησιν Θεοῦ συμβαίνουν αὐτά, τότε θὰ πρέπει νὰ μᾶς στηρίξῃ εἰς τὴν πρὸς τὸν Θεὸν πίστιν καὶ ἐλπίδα ἡ διδασκαλία τοῦ Ἀποστόλου· «Πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν» (Α' Κορινθ. ι', 13).

7. Διότι ἐὰν φεύγωμεν ἀπὸ τὸ ἕνα μέρος εἰς τὸ ἄλλο ἀπὸ διαδόσεις περὶ κινδύνου, τότε ἀσφαλῶς ὁ διάβολος δὲν θὰ μᾶς ἀφήσῃ νὰ ἡσυχάσωμεν εἰς κανένα μέρος. Ὅταν ὅμως βεβαιωθῶμεν, ὅτι πράγματι εἰς ἕνα μέρος ἐνεδρεύει ὁ κίνδυνος, τότε ὀφείλομεν ἐγκαίρως νὰ λάβωμεν τὰ μέτρα μας, διὰ νὰ ἀσφαλισθῶμεν· ἐὰν ὅμως ὁ τόπος, εἰς τὸν ὁποῖον κατοικοῦμεν, εἶναι εἰρηνικός, καὶ δὲν ἔχῃ προηγουμένως σημειωθῆ οὐδὲν κακόν, καὶ ὅλως ἀπροσδοκήτως ἐμφανισθῇ ὁ πειρασμός, διὰ τῆς αἰφνιδιαστικῆς ἐπιθέσεως λῃστῶν, τότε ὁ Θεός, ποὺ βλέπει, ὅτι ὁ κίνδυνος δὲν ὀφείλεται εἰς τὴν ἀπρονοησίαν μας, θὰ μᾶς σκεπάσῃ καὶ θὰ μᾶς προφυλάξῃ, συμφώνως πρὸς τὸ θέλημά Του.

8. Ὅπως ἀκριβῶς ὁ χρυσοχόος ἐλέγχῃ μέσα εἰς τὸ ἀναμμένο καμίνι τὴν ποιότητα τοῦ χρυσοῦ ἢ τοῦ ἀργύρου, τοιουτοτρόπως καὶ ἡ ἐλπὶς καὶ ἡ πίστις καὶ ἡ ἀντοχὴ τῶν ψυχῶν μας ἐλέγχονται διὰ τῶν πειρασμῶν. Πρὶν λοιπὸν ἐμπέσῃς εἰς πειρασμόν, μὴ θεωρῇς τὸν ἑαυτόν σου σπουδαῖον καὶ μεγάλον εἰς τὴν πίστιν καὶ τὴν ἀρετήν· τότε θὰ ἀντιληφθῇς τὴν δύναμίν σου, ὅταν δεχθῇς τὴν ἐπίθεσιν πειρασμοῦ. Τότε, κατὰ τὴν στιγμὴν τοῦ πειρασμοῦ, ὅταν βλέπῃς τὸν ἑαυτόν σου νὰ καταπίπτῃ καὶ νὰ ὑπάρχῃ κίνδυνος ὁλοσχεροῦς πτώσεως, νὰ ἐπικαλεσθῇς ἀμέσως τὴν βοήθειαν τοῦ Θεοῦ, καὶ ἀσφαλῶς ὁ Κύριος θὰ σὲ γλυτώσῃ. Νὰ ἀνθίστασαι μὲ γενναιότητα κατὰ τῆς ἁμαρτίας καὶ νὰ μὴ φοβᾶσαι τὴν παρουσίαν τοῦ πειρασμοῦ· ὅταν ὁ ἀθλητὴς εἶναι γενναῖος εἰς οὐδὲν τὸν ζημιώνει ἡ ἐμπλοκή του εἰς τὸν ἀγῶνα. Ἀπ' ἐναντίας διὰ τοῦ ἀγῶνος ὁ ἀθλητὴς αὐτὸς καθίσταται ἱκανώτερος, διότι ἔλαβε πεῖραν τῆς πάλης.

9. Πολλὰς φορὰς ἀντικείμενα, τῶν ὁποίων ἡ ἀντοχὴ ἐνισχύεται διὰ τοῦ πυρός, ἔχουν τὴν δύναμιν νὰ ἀνθίστανται εἰς τὸν κίνδυνον τῆς φωτιᾶς· παραδείγματος χάριν τὸ τοῦβλο, μόλις πλασθῇ ἀπὸ τὸν πηλουργόν, δὲν ἀντέχει καὶ εἶναι εὔθραυστον· ὅταν ὅμως τοποθετηθῇ εἰς τὴν φωτιὰ καὶ ψηθῇ καλά, τότε μεταβάλλεται εἰς τεῖχος ποὺ ἐμποδίζει καὶ ἀπομακρύνει τὴν δύναμιν τοῦ πυρός. Τὸ ἴδιο τὸ καμίνι ἔχει κτισθῇ ἀπὸ τοῦβλα· καὶ ὅμως συγκρατεῖ ἀποτελεσματικῶς τὴν φωτιὰν καὶ δὲν τὴν ἀφήνει νὰ σκορπίσῃ ἐδῶ καὶ ἐκεῖ, ὅπως ἀκριβῶς ἡ στάμνα συγκρατεῖ τὸ νερό, μὲ τὸ ὁποῖον εἶναι γεμάτη.

10. Καὶ σὺ λοιπόν, ἀδελφέ μου, νὰ ἀνθίστασαι μὲ γενναιότητα ἐναντίον τῶν πειρασμῶν καὶ τῶν θλίψεων, ἐπικαλούμενος τὴν συμμαχίαν τοῦ Θεοῦ· νὰ εἶσαι δὲ βέβαιος, ὅτι τοιουτοτρόπως θὰ ἀναδειχθῇς

ἱκανώτερος καὶ γενναιότερος. Εἶναι γνωστόν, ὅτι «Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν» (Ρωμ. ε', 3—4) καὶ ὅσα ἐν συνεχείᾳ ὁ οὐρανοβάμων Ἀπόστολος Παῦλος ἀναφέρει.

11. Ὅταν λοιπὸν σοῦ συμβῇ θλῖψις ἐξ αἰτίας ἑνὸς πειρασμοῦ, μὴ ἀπογοητευθῇς ἀμέσως καὶ καταπέσῃς, ἀλλὰ νὰ περιμένῃς, ὅτι συντόμως θὰ ἔλθῃ εἰς τὴν ψυχήν σου καὶ ἡ χαρά· μὲ τὴν προσδοκίαν δὲ καὶ τὴν ἐλπίδα τῆς ἐπερχομένης χαρᾶς νὰ παρηγορῆσαι καὶ νὰ ἀντλῇς θάρρος. Εἰς τοῦτο νὰ παραδειγματίζεσαι ἀπὸ τοὺς ναυτικούς· οὗτοι, ὡς γνωστόν, ὁσάκις ἀντιμετωπίζουν, κατὰ τὸ ταξίδιόν των, σφοδρὰν κακοκαιρίαν καὶ θαλασσοταραχήν, δὲν ἀπελπίζονται, οὔτε τὰ χάνουν· ἀπ' ἐναντίας· ἀντιμετωπίζουν μὲ ἡρωϊσμὸν τὴν μανίαν τῶν κυμάτων, ἀναμένοντες τὴν γαλήνην· μὲ τὸ θάρρος δὲ αὐτὸ τῆς ἐλπίδος περνοῦν τὴν τρικυμίαν.

12. Ὅταν πάλιν ἐπικρατῇ γαλήνη, κατὰ τὸ ταξίδιόν των, δὲν ἐφησυχάζουν· περιμένουν τὴν τρικυμίαν καὶ δι' αὐτὸ ἀσφαλίζουν ἀπὸ παντοῦ τὸ πλοῖον, ὥστε νὰ μὴ εἰσέρχωνται ὕδατα, εἰς περίπτωσιν ποὺ θὰ ἐγερθῇ αἰφνιδιαστικῶς θαλασσοταραχή· οἱ ἴδιοι δὲ οἱ ναῦται εἶναι πάντοτε ἐν ἐπιφυλακῇ, ὥστε νὰ μὴ εὑρεθοῦν ἀπροετοίμαστοι καὶ κινδυνεύσουν κατὰ τὴν ὥραν τῆς τρικυμίας.

13. Καὶ σὺ λοιπόν, ὅταν διέρχεσαι θλίψεις, νὰ ἐλπίζῃς, ὅτι θὰ ἔλθῃ καὶ ἡ ἀναψυχή, ὥστε νὰ ὑποφέρῃς μὲ γενναιότητα τοὺς πειρασμοὺς καὶ νὰ ἀποφύγῃς τὴν ψυχοβλαβῆ ἀπογοήτευσιν. Ὅταν πάλιν ἔλθῃ εἰς τὴν ψυχήν σου ἡ προσδοκωμένη χαρά, πρόσεξε νὰ μὴ αἰχμαλωτισθῇς τελείως ἀπὸ αὐτὴν καὶ σκορπίσῃς τὴν διάνοιάν σου εἰς τὰ χαρούμενα περιστατικά, ὥστε νὰ λησμονήσῃς τὸ κατὰ Χριστὸν ὠφέλιμον πένθος· ἀντιθέτως πρέπει νὰ εἶσαι συγκρατημένος ἀναμένων τὴν ἔλευσιν λύπης. Τοιουτοτρόπως ὅταν θὰ σοῦ ἔλθῃ ἡ ἀναμενομένη λύπη, ἐπειδὴ δὲν θὰ εἶσαι ἀπροετοίμαστος δι' αὐτήν, δὲν θὰ ἐξαφνιασθῇς, ἀλλὰ μὲ γενναιότητα θὰ ὑποφέρῃς αὐτό, ποὺ ἐπερίμενες· αὐτὸ τὸ νόημα ἔχει καὶ τὸ ρητόν· «Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην» (Ψαλμ. ριη', 60).

Δ'. Τοῦ Ἁγίου Ἡσαΐου

ΤΟ ΕΥΡΕΙΝ τὴν εὐχαριστίαν ἐν καιρῷ πειρασμοῦ, ἀποστρέφει εἰς τὰ ὀπίσω τοὺς ἐπερχομένους πειρασμούς.

Ἑρμηνεία

ΤΟ ΝΑ ΑΙΣΘΑΝΕΣΑΙ εὐχαρίστησιν κατὰ τὴν ὥραν τοῦ πειρασμοῦ, εἶναι δύναμις ἀποδιώκουσα εἰς τὰ ὀπίσω τοὺς ἐπιτιθεμένους πειρασμούς.

Ε'. Τοῦ Ἀββᾶ Μάρκου

ΕΚΤΟΣ προσευχῆς καὶ ὑπομονῆς πειρασμοὺς νικῆσαι ὁ θέλων, οὐκ ἀπώσεται αὐτούς, ἀλλὰ καὶ πλέον ἐμπλακήσεται.

2. Ἐν καιρῷ θλίψεως βλέπε τὴν προσβολὴν τῆς ἡδονῆς· ἐπειδὴ

γὰρ ἡ προβολὴ παραμυθεῖται τὴν θλῖψιν, εὐπαράδεκτος γίνεται.

3. Ὁ τὰ ἐνεστῶτα θλιβερὰ τῶν μεταγενεστέρων ἀγαθῶν προσδεχόμενος, γνῶσιν ἀληθείας εὗρηκε καὶ ὀργῆς καὶ λύπης ῥαδίως ἀπαλλαγήσεται.

4. Ὁ πᾶσαν κακὴν ἐπιφορὰν ἀποκλεῖσαι βουλόμενος, ὀφείλει διὰ προσευχῆς συναλλάσσειν τῷ Θεῷ τὰ πράγματα, καὶ κρατεῖν μὲν νοερῶς τὴν εἰς αὐτὸν ἐλπίδα, τὴν δὲ φροντίδα τῶν αἰσθητῶν κατὰ δύναμιν παραλογίζεσθαι.

5. Πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διατὶ ἢ πῶς καὶ παρὰ τίνος ἐλήλυθεν, ἀλλ' ὅπως ἂν αὐτὸν ἀλύπως καὶ ἀμνησικάκως ὑπομείνῃς.

6. Ἀλλότριον κακὸν οὐ προστίθησιν ἁμαρτίαν, ἐὰν μὴ ἡμεῖς αὐτὸ κακαῖς ἐννοίαις παραδεξώμεθα.

7. Ὅταν ἀδικουμένου σου σκληρυνθῇ τὰ σπλάγχνα καὶ ἡ καρδία σου, μὴ λυποῦ ὅτι οἰκονομικῶς ἐκινήθη τὸ ἐγκείμενον, ἀλλὰ χαίρων ἀνάκοπτε τοὺς ὑπανακύπτοντας λογισμούς, εἰδὼς ὅτι τούτων ἐκ προσβολῆς ἀναιρουμένων, καὶ τὸ κακὸν μετὰ τὴν κίνησιν συναναιρεῖσθαι πέφυκε· τῶν δὲ λογισμῶν ἐνδελεχούντων, κἀκεῖνο προσθήκην λαμβάνειν εἴωθεν.

Ἑρμηνεία

ΕΚΕΙΝΟΣ ποὺ θέλει νὰ νικήσῃ τοὺς πειρασμοὺς χωρὶς προσευχὴν καὶ ὑπομονήν, τίποτε δὲν κατορθώνει· ἀντὶ νὰ τοὺς ἀπομακρύνῃ, περισσότερον περιπλέκεται εἰς αὐτούς.

2. Κατὰ τὴν διάρκειαν τῆς θλίψεως νὰ βλέπῃς μὲ τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς σου τὴν προσέγγισιν τῆς πνευματικῆς ἡδονῆς· ἐπειδὴ ἡ ἀναμονὴ τῆς ἡδονῆς αὐτῆς καταπραΰνει τὴν θλῖψιν καὶ παρηγορεῖ τὸν ἄνθρωπον, ποὺ θλίβεται, δι' αὐτὸ καὶ εὐκόλως αὐτὸς τὴν ἀποδέχεται.

3. Ἐκεῖνος ὁ ὁποῖος ἀναμένει νὰ δεχθῇ καὶ πάλιν τὰς παρούσας θλίψεις, μετὰ τὰ προσδοκώμενα ἀγαθά, αὐτὸς πραγματικῶς ἐγνώρισε τὴν πραγματικὴν ἀλήθειαν εἰς τὴν ζωὴν καὶ εὐκόλως θὰ ἀπαλλαγῇ ἀπὸ τὴν ὀργὴν καὶ τὴν λύπην.

4. Αὐτός, ποὺ ἐπιθυμεῖ νὰ ἀποτρέψῃ ἐπίθεσιν παντὸς κακοῦ, ἔχει ὑποχρέωσιν νὰ προσεύχεται ἐντατικῶς πρὸς τὸν Θεόν, διότι μόνον τοιουτοτρόπως θὰ δυνηθῇ, μὲ τὴν δύναμιν τοῦ Θεοῦ, νὰ μεταβάλῃ τὴν λυπηρὰν φύσιν τῶν πραγμάτων. Μαζὶ μὲ τὴν προσευχὴν νὰ διατηρῇ νοερῶς ζωηρὰν τὴν πρὸς τὸν Θεὸν ἐλπίδα καί, κατὰ τὸ δυνατόν, νὰ ἀδιαφορῇ διὰ τὴν φροντίδα τῶν ὑλικῶν ὑποθέσεων.

5. Ὅταν σοῦ συμβῇ ἕνας πειρασμός, μὴ ἀναζητῇς τὴν αἰτίαν ἢ τὸ πρόσωπον διὰ τοῦ ὁποίου ἐπῆλθεν, ἀλλὰ νὰ φροντίζῃς πῶς θὰ τὸν ὑπομείνῃς, χωρὶς νὰ δοκιμάσῃς εἰς τὴν ψυχήν σου τὴν ἐπιβλαβῆ λύπην ἢ τὴν ἀδελφοκτόνον μνησικακίαν.

6. Κακόν, τὸ ὁποῖον διέπραξεν ἄλλος ἄνθρωπος, δὲν προσθέτει ἁμαρτίαν εἰς ἡμᾶς· τότε μόνον ἡ ξένη ἁμαρτία γίνεται καὶ ἰδική μας, ὅταν ἡμεῖς τὴν ἐξετάζωμεν μὲ κακὰς καὶ πονηρὰς σκέψεις καὶ οὕτω πως γεμίζομεν τὴν ψυχήν μας μὲ τὴν δυσοσμίαν ἐκ τῶν κακῶν τῶν ἄλλων.

7. Ὅταν, διότι ἀδικεῖσαι ὑπὸ τοῦ ἄλλου, τὰ σπλάγχνα καὶ ἡ καρδία σου σκληρυνθοῦν, μὴ λυπηθῇς διότι τοῦτο συμβαίνει κατ' οἰκο-

νομίαν. Πρόσεξε ὅμως μετὰ χαρᾶς νὰ ἀποκόπτῃς τοὺς ἐκ τῆς τρωθείσης καρδίας σου ἀνερχομένους λογισμούς, διότι πρέπει νὰ γνωρίζῃς, ὅτι ὅταν νικῶνται, κατὰ τὸ στάδιον τῆς ἐπιθέσεώς των, οἱ λογισμοί, ἀσφαλῶς καὶ τὸ κακόν, μετὰ τὴν ὕποπτον κίνησιν, ἐκμηδενίζεται πλέον μαζὶ μὲ τοὺς νικηθέντας λογισμούς. Ἐφ' ὅσον ὅμως συνεχῶς οἱ λογισμοὶ παρενοχλοῦν τὴν ψυχήν, τότε ἀσφαλῶς καὶ ἡ κίνησις πρὸς τὸ κακὸν ἐνισχύεται, ἀλλὰ καὶ τὸ κακὸν μεγαλώνει, ὅπως συνήθως συμβαίνει.

ϛ'. Τοῦ Ἀββᾶ Ἰσαὰκ

ΜΝΗΜΟΝΕΥΕ τοῦ Θεοῦ ἐν παντὶ καιρῷ, καὶ μνημονεύσει σου καὶ αὐτὸς ὅταν ἐμπέσῃς εἰς κακά.

2. Πρὶν ὁ πόλεμος συγκροτηθῇ, ἐπιζήτησον τὴν συμμαχίαν, καὶ πρὸ τοῦ ἀῤῥωστῆσαι, ἐπικάλεσαι τὸν θεραπευτήν· καὶ πρὶν ἐπέλθῃ σοι τὰ θλιβερά, πρόσευξαι, καὶ ἐν τῷ καιρῷ τῶν λυπηρῶν εὑρήσεις αὐτὸν ἀκαταμάχητον βοηθόν.

3. Ἡ Κιβωτὸς τοῦ Νῶε ἐν τῷ καιρῷ τῆς εἰρήνης κατεσκευάσθη, καὶ πρὸ ἑκατοστοῦ ἔτους τὰ ξύλα αὐτῆς πεφύτευτο, ἐν δὲ τῷ καιρῷ τῆς ὀργῆς, οἱ μὲν ἄδικοι ἀπώλοντο, αὕτη δὲ τῷ δικαίῳ σκέπη ἐγένετο.

Ἑρμηνεία

ΠΑΝΤΟΤΕ νὰ ἐνθυμῆσαι τὸν Θεὸν διὰ τῆς προσευχῆς· τότε ἀσφαλῶς καὶ ὁ Θεὸς θὰ σὲ ἐνθυμηθῇ, ὅταν περιπέσῃς εἰς κακά, διὰ νὰ σὲ λυτρώσῃ ἀπὸ αὐτά.


2. Πρὶν ἀκόμη ἀρχίσῃ ὁ πόλεμος, νὰ ἐπιζητήσῃς τὴν συμμαχίαν· πρὶν ἀρρωστήσῃς, προσκάλεσε τὸν ἰατρόν· καὶ πρὶν περιπέσῃς εἰς τὰς διαφόρους θλίψεις, νὰ προσευχηθῇς εἰς τὸν Θεόν, ὥστε κατὰ τὴν ἐπιδρομὴν τῶν λυπηρῶν νὰ ἔχῃς ἐξασφαλίσει τὴν ἀκατανίκητον βοήθειαν τοῦ Θεοῦ.

3. Ἡ Κιβωτὸς τοῦ Νῶε κατεσκευάσθη εἰς περίοδον εἰρήνης· τὰ δὲ δένδρα, τὰ ὁποῖα ἐξησφάλισαν τὴν ξυλείαν τῆς κατασκευῆς, εἶχον φυτευθῇ πρὸ ἑκατὸν ἐτῶν. Ὅταν ὅμως ἐξερράγη ἡ ὀργὴ τοῦ Θεοῦ διὰ τοῦ κατακλυσμοῦ, οἱ ἁμαρτωλοὶ κατεστράφησαν, ἐνῷ ὁ δίκαιος Νῶε ἐσώθη δι' αὐτῆς τῆς Κιβωτοῦ.

Ζ'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ὑπερέχιος· ὕμνος πνευματικὸς ἤτω ἐν τῷ στόματί σου, καὶ μελέτη ἐπικουφιζέτω τὸ βάρος τῶν ἐπερχομένων σοι πειρασμῶν· ὑπόδειγμα δὲ τοῦτο σαφὲς ὁδοιπόρος βαρυαχθήσας, καὶ ᾄσματι κλέπτων τῆς ὁδοιπορίας τὸν πόνον.

2. Εἶπε Γέρων· ἐὰν ἐπέλθῃ ἀνθρώπῳ πειρασμός, πανταχόθεν πληθύνονται αὐτῷ αἱ θλίψεις, ἵνα ὀλιγωρήσας γογγύσῃ. Καὶ διηγήσατό τι τοιοῦτον· ἀδελφός τις ἦν εἰς τὰ κελλία, καὶ ἦλθεν ἐπ' αὐτῷ πειρασμός, καὶ ἐὰν ἔβλεπέ τις αὐτόν, οὐδὲ ἀσπάσασθαι αὐτὸν ἤθελεν, οὐδὲ εἰς κελλίον εἰσαγαγεῖν· καὶ ἐὰν ἔχρῃζεν ἄρτου, οὐδεὶς αὐτῷ ἠλέει· καὶ εἰς Ἐκκλησίαν αὐτὸν ἐρχόμενον, οὐδεὶς αὐτὸν προετρέπετο εἰς ἀγάπην, ὡς ἔστιν ἔθος· ποτὲ δὲ καὶ ἀπὸ τοῦ θέρους ἐπανελθών, καὶ μὴ ἔχων ἄρτον ἐν τῇ κέλλῃ ἢ ἄλλο τι τῶν ἐδωδίμων, ὡς οὐδεὶς παρέσχεν αὐτῷ,


Ὁ ἈΒΒΑϹ ὙΠΕΡΕΧΙΟϹ

οὐκ ἐγγόγγυσεν ὀλιγοψυχήσας, ἀλλὰ πάντα ταῦτα ἔφερε γενναίως εὐχαριστῶν τῷ Θεῷ.

3. Καὶ ἰδὼν ὁ Θεὸς τὴν ὑπομονὴν αὐτοῦ, ἦρε τὸν πόλεμον τοῦ πειρασμοῦ ἀπ' αὐτοῦ· εὐθέως δὲ καί τις ἦλθεν ἀπ' Αἰγύπτου κάμηλον ἐπαγόμενος πεφορτισμένην ἄρτων, οὓς καὶ ἀποθέμενος ἐν τῇ κέλλῃ τοῦ Μοναχοῦ ἀπῆλθεν. Ὁ δὲ ἤρξατο κλαίειν καὶ λέγειν πρὸς τὸν Θεόν· Κύριε, οὐκ ἤμην ἄξιος θλιβῆναι μικρὸν διὰ τὸ ὄνομά Σου; ἔκτοτε δὲ καὶ οἱ ἀδελφοὶ ἐκάλουν αὐτὸν εἰς τὰ ἑαυτῶν κελλία καὶ ἀνέπαυον.

4. Γέρων τις ἀπῄει πωλῆσαι τὰ μαλάκια αὐτοῦ, ὁ δὲ δαίμων ὑπαντήσας αὐτῷ ἥρπασεν αὐτὰ ἐξ αὐτοῦ καὶ ἄφαντα πεποίηκε· καὶ εὐθὺς ἐτράπη ὁ Γέρων εἰς εὐχὴν λέγων· ὁ Θεὸς εὐχαριστῶ Σοι, ὅτι ἀπήλλαξάς με κόπου· καὶ μὴ ὑπομείνας ὁ δαίμων τὴν εὐχαριστίαν τοῦ Γέροντος ἔκραζε λέγων· ἰδοὺ τὰ μαλάκιά σου, κακόγηρε· ὁ δὲ Γέρων λαβὼν αὐτὰ ἐπώλησεν.

5. Εἶπέ τις τῶν Γερόντων περὶ Λαζάρου τοῦ πτωχοῦ, ὅτι εὑρίσκομεν αὐτὸν μηδὲν ἄλλο ποιήσαντα, εἰμὴ οὐδέποτε ἐγόγγυσε κατὰ τοῦ Θεοῦ, ὡς μὴ ποιοῦντος μετ' αὐτοῦ ἔλεος, ἀλλὰ μετ' εὐχαριστίας τὸν πόνον αὐτοῦ ἐβάσταζε, καὶ τὸν πλούσιον οὐ κατέκρινε, καὶ διὰ ταῦτα αὐτὸν ὁ Θεὸς προσελάβετο.

6. Μοναχὸς ἐν ἑτοίμῳ ἔχων ὑπομεῖναι γενναίως τὰ συμβαίνοντα, ἐκ μέρους λυπηθήσεται ἐν καιρῷ πειρασμοῦ· ὁ δὲ μὴ προσδοκῶν πειρασμόν, πλειόνως ἀλγήσει.

7. Σίφωνες προσάγονται ἐν ἡμέρᾳ ἐμπρησμοῦ, καὶ δάκρυα ἐν καιρῷ πειρασμοῦ.

8. Ὕδωρ σβέννυσι φλόγα ἀνημμένην ἐν οἰκίᾳ, καὶ δάκρυα ἐν προσευχῇ ἐπιθυμίας πονηράς.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΥΠΕΡΕΧΙΟΣ εἶπεν, ὅτι εἰς τὸ στόμα σου ἂς ὑπάρχῃ πάντοτε ὁ πνευματικὸς ὕμνος καὶ ἂς ἀσχολῆσαι διαρκῶς μὲ τὴν θρησκευτικὴν μελέτην· τοιουτοτρόπως θὰ ἐλαφρύνῃς τὸ βάρος τῶν πειρασμῶν, ποὺ πρόκειται νὰ σοῦ συμβοῦν, διότι θὰ ἔχῃς προεξησφαλισμένην τὴν πνευματικὴν ἀντοχήν. Ἀρκετὰ χαρακτηριστικὸν παράδειγμα εἶναι ὁ κουρασμένος ὁδοιπόρος· οὗτος, ὅταν πολυκουρασθῇ ἀπὸ τὸ μῆκος τῆς ὁδοιπορίας, διὰ νὰ μὴ ἐξαντληθῇ τελείως καὶ καταπέσῃ, ἀρχίζει καὶ τραγουδεῖ διὰ νὰ μὴ αἰσθάνεται τὸν κόπον τῆς πορείας.

2. Ἕνας γέρων Ἀσκητὴς ἔλεγεν· ὅταν ἐπέλθῃ πειρασμὸς εἰς τὸν ἄνθρωπον, ἀπὸ ὅλα τὰ μέρη πλέον δοκιμάζει θλίψεις· αὐτὸ δὲ συμβαίνει διὰ νὰ γογγύσῃ, ἐπειδὴ εἶναι δύσκολον νὰ ἀντιμετωπίσῃ κανεὶς τόσας θλίψεις. Σχετικῶς ὁ Γέρων αὐτὸς διηγήθη καὶ τὸ ἑξῆς περιστατικόν: Κάποτε ἕνας ἀδελφὸς ἐμόναζεν εἰς τὰ κελλία· τοῦ συνέβη λοιπὸν ἕνας πειρασμός. Ἐν τῷ μεταξὺ ἐδοκίμασε καὶ τὴν ἄστοργον συμπεριφορὰν ὅλων τῶν ἄλλων· οὕτω, ὅταν τὸν ἔβλεπε κανείς, ἀπέφευγε νὰ τὸν χαιρετήσῃ· οὔτε καὶ εἰς ἄλλα κελλία τὸν ἐκάλουν νὰ εἰσέλθῃ, οὔτε τοῦ ἔδιδον ἐλεημοσύνην· ἀλλὰ καὶ εἰς τὴν Ἐκκλησίαν ἀκόμη, ὅταν εἰσήρχετο, κανεὶς δὲν ἔσπευδε νὰ κάμῃ μαζί του ἀγάπην, ὅπως εἶναι ἡ μοναχικὴ συνήθεια. Κάποτε μάλιστα ἐθέριζε καὶ ὅταν ἐγύρισεν εἰς τὸ

κελλί του, δὲν εἶχεν οὔτε τρόφιμα, οὔτε ψωμί· κανεὶς δὲ δὲν ἔσπευσε τὰ τοῦ προσφέρῃ κάτι. Καὶ ὅμως ὁ ἀδελφὸς αὐτὸς οὔτε ὀλιγοψύχησεν, οὔτε ἐγόγγυσεν, ἀλλὰ ὅλα τὰ ὑπέμεινε γενναίως εὐχαριστῶν τὸν Θεόν.

3. Ὁ Θεός, βλέπων τὴν ὑπομονήν του, τὸν ἀπήλλαξεν ἀπὸ τὸν πόλεμον τοῦ πειρασμοῦ· ἀμέσως δὲ ἦλθε καὶ κάποιος προσκυνητὴς ἀπὸ τὴν Αἴγυπτον ὁδηγῶν μίαν κάμηλον φορτωμένην ἀπὸ ἄρτους· ἀπέθεσε δὲ τὸ φορτίον εἰς τὸ κελλὶ τοῦ Μοναχοῦ καὶ ἀνεχώρησε. Πρὸ τοῦ θαύματος αὐτοῦ συνεκινήθη ὁ Μοναχὸς καὶ μὲ δάκρυα ἤρχιςε νὰ λέγῃ: Κύριε καὶ Θεέ μου, δὲν ἤμουν ἄξιος νὰ στενοχωρηθῶ ὀλίγον διὰ τὸ ὄνομά Σου; Ἔκτοτε δὲ καὶ οἱ ἄλλοι ἀδελφοὶ τὸν ἐκάλουν εἰς τὰ κελλία των καὶ τὸν περιεποιοῦντο.

4. Ἕνας ἄλλος Γέρων ἀνεχώρησεν ἐκ τοῦ κελλίου του, διὰ νὰ πωλήσῃ τὸ ἐργόχειρόν του, ἀποτελούμενον ἀπὸ μαλακὲς ψάθινες τσάντες. Ὁ δαίμων, ἀοράτως, τὸν συνήντησεν εἰς τὸν δρόμον, τοῦ τὰς ἥρπασε καὶ τὰς ἐξηφάνισεν. Ὁ Γέρων, ἀντὶ νὰ ταραχθῇ καὶ νὰ ἐκνευρισθῇ, ηὐχαρίστησε τὸν Θεὸν λέγων· «Θεέ μου, σὲ εὐχαριστῶ, διότι μὲ ἀπήλλαξες ἀπὸ τὸν κόπον νὰ τὰς μεταφέρω εἰς τὴν πόλιν καὶ νὰ τὰς πωλήσω». Ὁ δαίμων δὲν ἠμπόρεσε νὰ ἀνθέξῃ τὴν πραότητα, τὴν μακροθυμίαν καὶ τὴν εὐχαριστίαν πρὸς τὸν Θεὸν τοῦ Γέροντος· δι' αὐτὸ καὶ ἐφώναξε χωρὶς νὰ φαίνεται: πάρε πίσω τὰ πράγματά σου, κακόγηρε! Ὁ Μοναχὸς ἔλαβε τότε τὰ ἐργόχειρά του καὶ τὰ ἐπώλησεν!

5. Ἕνας ἀπὸ τοὺς διδακτικοὺς ἐκείνους Γέροντας ἔλεγεν· ἀδελφοί μου, ὁ πτωχὸς Λάζαρος, περὶ τοῦ ὁποίου ἀναφέρει τὸ θεῖον καὶ ἱερὸν Εὐαγγέλιον (Λουκ. ις', 19—31), τίποτε ἄλλο καλὸ δὲν ἔκαμε, παρὰ νὰ μὴ γογγύσῃ κατὰ τοῦ Θεοῦ, διότι δὲν τὸν ἠλέει εἰς τὴν δυστυχίαν του. Ἀπ' ἐναντίας εὐχαριστῶν τὸν Θεὸν ἐσήκωνε τὸν Σταυρὸν τῆς δυστυχίας του καὶ δὲν κατέκρινε τὸν πλούσιον διὰ τὴν σκληρότητά του. Δι' αὐτὸν τὸν ἡρωϊσμόν του καὶ τὴν μακροθυμίαν του τὸν προσέλαβεν ὁ Θεὸς εἰς τὸν Παράδεισον.

6. Ὁ Μοναχός, ποὺ εἶναι ἕτοιμος νὰ ὑπομείνῃ μὲ γενναιότητα, αὐτὰ ποὺ θὰ τοῦ συμβοῦν, ὀλίγον μόνον θὰ λυπηθῇ κατὰ τὴν ὥραν τοῦ πειρασμοῦ. Ἐκεῖνος ὅμως, ποὺ ἔχει τὴν γνώμην ὅτι δὲν θὰ συναντήσῃ ποτὲ πειρασμόν, ἀσφαλῶς πάρα πολὺ θὰ πονέσῃ ἀπὸ τὰ ἀπροσδόκητα κτυπήματα τῶν θλίψεων.

7. Ὅταν ἐκραγῇ πυρκαϊὰ οἱ ἄνθρωποι μεταφέρουν νερὸ μὲ σωλῆνας διὰ νὰ τὴν σβύσουν· καὶ ὅταν ἐπιστῇ πειρασμός, τὰ δάκρυα τοῦ πειραζομένου μόνον ὠφελοῦν.

8. Τὸ νερὸ σβύνει τὴν φλόγα, ποὺ ἔχει ἀνάψει εἰς ἕνα σπίτι, καὶ ἡ δακρύβρεκτος προσευχὴ τὴν πονηρὰν ἐπιθυμίαν.

ΥΠΟΘΕΣΙΣ ΛΕ΄

"Οτι οὐ δεῖ ἐπιτρέχειν τῷ θαυματουργεῖν, ἀλλὰ παραιτεῖσθαι τοῦτο ἐκ ταπεινώσεως. Καὶ ὅτι οὐδὲ ἑτέρων χαρισμάτων ἐφίεσθαι δεῖ, ἢ αἰτεῖν· εἰδὲ καὶ ἀξιωθῇ, μὴ μεγαλοφρονεῖν, ἀλλὰ φυλάττειν διὰ τῆς ταπεινώσεως· καὶ ὅτι τῶν σημεῖα ποιούντων οὐδὲν ἐλαττοῦνται οἱ πολιτείαν δεικνύμενοι ἔνθεον· καὶ ὅτι τοῦ θαυματουργεῖν εἰσὶν ἄλλα χαρίσματα μείζονα, ἀφ' ὧν οἱ πνευματικοὶ μᾶλλον ἐπιγινώσκονται

Δὲν πρέπει νὰ ἐπιδιώκῃ ὁ δυνάμενος θαυματουργίας. Προτιμότερον εἶναι νὰ παραιτεῖται αὐτοῦ ἐκ ταπεινώσεως. Ὡσαύτως δὲν πρέπει νὰ ἐπιζητῶμεν καὶ νὰ ἐπιθυμῶμεν διάφορα ἄλλα χαρίσματα. Ἀλλὰ καὶ ἐὰν ἀξιωθῶμεν τοιούτων χαρισμάτων, νὰ μὴ μεγαλοφρονῶμεν, ἀλλὰ νὰ περιφρουρούμεθα διὰ τῆς ταπεινώσεως. Ἐκεῖνοι ποὺ ζοῦν ὅπως θέλει ὁ Θεὸς δὲν εἶναι κατώτεροι ὅσων θαυματουργοῦν. Ἐκτὸς ἀπὸ τὴν θαυματουργίαν, ὑπάρχουν ἄλλα μεγαλύτερα χαρίσματα, ἀπὸ τὰ ὁποῖα γνωρίζονται οἱ πνευματικοὶ ἄνθρωποι.

Α΄. Γρηγορίου τοῦ Διαλόγου

ΕΡΩΤΑΣ, Πέτρε, εἰ καὶ νῦν εὑρεθῆναι δύνανται ἄνδρες τοιοῦτοι, οἷοι ὑπῆρχον οἱ σημειοφόροι Πατέρες ἡμῶν; ἐγὼ οὖν πολλοὺς τοιούτους εἶναι καὶ νῦν ἐν τῷ κόσμῳ οὐκ ἀπιστῶ· οὐδὲ γάρ, εἰ μὴ ποιοῦσι τοιαῦτα σημεῖα, παρὰ τοῦτο μὴ εἶναι αὐτοὺς τοιούτους ὑποληψόμεθα· πολιτείας γὰρ ἐνθέου διάγνωσις ἐν τῇ τῶν ἔργων ὑπάρχει δυνάμει, καὶ οὐχὶ ἐν τῇ τῶν σημείων ἀποδείξει· οἶδας γὰρ ὅτι Παῦλος ὁ Ἀπόστολος, ἐν τῇ ἀποστολῇ ἀδελφὸς ὑπάρχει Πέτρου τοῦ Κορυφαίου, καὶ ὡς ἐπίστασαι, Πέτρος ἐν τῇ θαλάσσῃ τοῖς ποσὶ περιεπάτησεν, ὁ δὲ Παῦλος ἐν αὐτῇ ναυαγίῳ περιέπεσεν· εἰ οὖν καὶ ἐν τῷ θαύματι ἡ δύναμις ἀμφοτέρων οὐκ ἔστιν ὁμοίως, ἀλλ' οὖν τὸ ἀξίωμα ἀμφοτέρων ἐν οὐρανοῖς ὅμοιόν ἐστιν.

Πέτρος

2. Ὄντως ἀληθές ἐστιν, ὅπερ εἴρηκας· πάντων τῶν θαυμάτων ἐγὼ τοῦτο μᾶλλον κρίνω εἶναι θαυμασιώτερον, τὸ τὸν ἀποθανόντα ἤδη ἀναστῆσαι πάλιν, καὶ πρὸς τὴν παροῦσαν ζωὴν ἐπαναγαγεῖν.

Γρηγόριος

3. Ἐὰν μόνοις, Πέτρε, τοῖς δρωμένοις προσέχωμεν, ἀναγκαῖον ἐστὶ τοῦτο μᾶλλον μεῖζον εἶναι πιστεῦσαι, εἰ δὲ περὶ τῶν ἀοράτων ταλαντεύσωμεν, θαυμασίως δείκνυται ὅτι μεῖζον ἐστὶ τὸ θαῦμα τῆς τοῦ λό ου κηρύξεως, ἐκβοώσης καὶ τῆς εὐ-

χῆς, πρὸς τὸ τὸν ἁμαρτάνοντα ἐπιστρέψαι, ἢ τὸν ἐν σαρκὶ νεκρὸν ἀναστῆσαι· ἐν τούτῳ μὲν γὰρ ἀνέρχεται ἡ σὰρξ πάλιν ἀποθνήσκουσα, ἐν ἐκείνῳ δὲ ἀνίσταται ἡ ψυχὴ εἰς τὸν αἰῶνα ζῶσα.

4. Δύο τοίνυν προτίθημι πρόσωπα, ἵνα ἐν αὐτοῖς κατανοήσῃς οἷον γέγονε μεῖζον τῇ δυνάμει θαῦμα, Λάζαρον ὅν περ ὁ Κύριος ἐκ νεκρῶν σωματικῶς ἀνέστησε, καὶ Σαῦλον ὃν ἀπὸ τῆς ἁμαρτίας νοερῶς ἤγειρε· καὶ περὶ μὲν τῶν Λαζάρου δυνάμεων, μετὰ τὴν αὐτοῦ ἀνάστασιν, παρεσιωπήθη, μετὰ δὲ τὴν ἀνάστασιν τῆς τοῦ Παύλου ψυχῆς, πόσας δυνάμεις ἐν τῷ ἡγιασμένῳ λόγῳ πεποίηκεν, ἡ ἡμετέρα διάνοια χωρῆσαι οὐ δύναται.

5. Πῶς ἐκεῖνοι οἱ ὠμότατοι αὐτοῦ διαλογισμοὶ εἰς τὰ τῆς εὐσεβείας μετεστράφησαν σπλάγχνα, πῶς ἀποθανεῖν ἐπεθύμει ὑπὲρ τῶν ἀδελφῶν ὧν περ πρότερον τῷ θανάτῳ ἔχαιρε, πῶς πάσης γραφῆς καὶ γνώσεως πεπληρωμένος, μηδὲν ἑαυτὸν εἰδέναι κρίνει, εἰμὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον· ἐν πόσῳ ὕψει τιμῆς Ἀποστολικῆς ὑπάρχων ἐλάχιστον πάντων τῶν μαθητῶν ἑαυτὸν ἀποκαλεῖ, πῶς ἕως τοῦ τρίτου οὐρανοῦ ὑψωθεὶς τὸ τοῦ νοὸς ὄμμα πάλιν ἑαυτὸν διὰ τῆς συμπαθείας ἐπικλίνει πρὸς τὸ διοικῆσαι τὴν τῆς συζυγίας κοίτην. Ὁ ἀνακραθεὶς νοερῶς τῇ τῶν Ἀγγέλων συνοδίᾳ, οὐ παραιτεῖται μεριμνῆσαι καὶ διοικῆσαι καὶ τὰ ἔργα τῶν σαρκικῶν. Ὁ ταῖς βασάνοις χαίρων, καὶ ταῖς ἀσθενείαις ἐγκαυχώμενος, τὸ ζῆν γὰρ ὁ Χριστὸς ἦν ἐν αὐτῷ, καὶ τὸ ἀποθανεῖν κέρδος, καὶ αὐτὸ δὲ ὅπερ ἔζει ἐν σαρκί, ἔξω τῆς σαρκὸς ὑπῆρχε.

6. Θέα δὲ λοιπὸν πῶς ζῇ, ὃς ἐκ τοῦ Ἅδου τοῦ νοὸς πρὸς τὴν τῆς εὐσπλαγχνίας ζωὴν ἐπανέρχεται· τούτου οὖν τοῦ θαύματος λίαν ἐλαχιστότερόν ἐστι τὸ τῇ σαρκὶ τινὰ ἐκ νεκρῶν ἀναστῆσαι, οὐκ οἶδα εἰμή που διὰ τῆς ζωοποιήσεως τῆς σαρκός, καὶ εἰς τὴν τοῦ νοὸς ζωὴν ἐπανέλθῃ, καὶ διὰ τοῦ ἔξωθεν θαύματος καὶ τὸ ἔνδον ζωοποιηθῇ.

Πέτρος

7. Ἀρτίως ἔγνων, πόσον τοῦτο τὸ θαῦμα ἐκείνου ὑπάρχει μεῖζον.

Ἑρμηνεία

ΠΕΤΡΕ, μὲ ἐρωτᾷς, ἐὰν εἰς τὴν ἐποχήν μας ἠμποροῦν νὰ εὑρεθοῦν ἄνδρες τοιαύτης ἀρετῆς καὶ παρρησίας, ὡς οἱ θαυματουργοὶ ἡμῶν Πατέρες;

Ἐγὼ λοιπὸν δὲν ἀμφιβάλλω, ὅτι καὶ τώρα πολλοὶ τοιοῦτοι ὑπάρχουν εἰς τὸν κόσμον, ἐφάμιλλοι τῶν μεγάλων ἐκείνων Πατέρων· διότι τὸ νὰ μὴ θαυματουργοῦν, δὲν σημαίνει, ὅτι δὲν πρέπει νὰ τοὺς ὑποληπτώμεθα, ὅπως ἐκείνους· ἐπειδὴ ἡ ἐξακρίβωσις τῆς ἐνθέου πολιτείας ἐνυπάρχει εἰς τὴν δύναμιν τῶν καλῶν ἔργων καὶ δὲν ἀποδεικνύεται μόνον ἀπὸ τὰ θαύματα. Ὅπως καλῶς γνωρίζεις, ὁ Ἀπόστολος Παῦλος, κατὰ τὴν ἀποστολικὴν ἀξίαν εἶναι ἐφάμιλλος ἀδελφὸς τοῦ Πέτρου τοῦ Κορυφαίου, ἂν καὶ ὁ μὲν Πέτρος περιεπάτησε διὰ τῶν ποδῶν του ἐπὶ τῆς θαλάσσης, ἐνῷ ὁ Παῦλος ἐκινδύνευσεν ἀπὸ ναυάγιον.

Καὶ τῶν δύο λοιπὸν ἡ δύναμις δὲν ὑπῆρξεν ἡ ἰδία εἰς τὸ θαῦμα· εἰς τοὺς οὐρανοὺς ὅμως καὶ οἱ δύο ἔχουν τὴν αὐτὴν ἀξίαν.

Πέτρος

2. Πράγματι εἶναι ἀλήθεια αὐτό, ποὺ λέγεις· ἀπὸ ὅλα δὲ τὰ θαύματα ἐγὼ θεωρῶ σπουδαιότερον τὴν ἀνάστασιν ἑνὸς ἀνθρώπου, ποὺ ἀπέθανε, καὶ τὴν ἐπάνοδον αὐτοῦ εἰς τὴν παροῦσαν ζωήν.

Γρηγόριος

3. Πέτρε, ἐὰν ἐπιστήσωμεν τὴν προσοχήν μας μόνον εἰς ὅσα βλέπομεν, ἀσφαλῶς θὰ πιστεύσωμεν, ὅτι ἡ ἀνάστασις ἑνὸς νεκροῦ εἶναι τὸ μεγαλύτερον ἀπὸ ὅλα τὰ θαύματα· ἐὰν ὅμως ὑπὲρ τὰ ὁρώμενα μετεωρισθῶμεν καὶ λάβωμεν κατὰ νοῦν τὰ ἀόρατα, τότε θὰ ἴδωμεν πόσον θαυμασίως ἀποδεικνύεται, ὅτι μεγαλύτερον θαῦμα καὶ ἀπὸ τὴν σωματικὴν ἀνάστασιν τοῦ νεκροῦ εἶναι τὸ θαῦμα τοῦ κηρύγματος τοῦ Θείου Λόγου εἰς περιβάλλον ἐχθρικὸν καὶ ἡ προσευχὴ διὰ νὰ σωθῇ ὁ ἁμαρτάνων [1]. Διότι εἰς τὴν περίπτωσιν τῆς σωματικῆς ἀναστάσεως ἐπανέρχεται εἰς τὴν ζωὴν ἡ σάρξ, ἡ ὁποία καὶ πάλιν θὰ ἀποθάνῃ· ἐνῷ ἀντιθέτως εἰς τὴν δευτέραν περίπτωσιν, τοῦ θαύματος τοῦ κηρύγματος τοῦ Θείου Λόγου καὶ τῆς εὐχῆς διὰ τὴν ἐπιστροφὴν τοῦ ἁμαρτάνοντος, ἀνίσταται ἡ ψυχὴ ἀπὸ τὸν θάνατον τῆς ἁμαρτίας, διὰ νὰ ζήσῃ εἰς τὸν αἰῶνα.

4. Θὰ σοῦ ἀναφέρω δύο πρόσωπα, διὰ νὰ ἀντιληφθῇς ἀπὸ αὐτὰ πόσον μεγαλύτερον κατὰ τὴν δύναμιν εἶναι τὸ θαῦμα τοῦ κηρύγματος· τὰ δύο αὐτὰ πρόσωπα εἶναι ἀφ' ἑνὸς μὲν ὁ Λάζαρος, τὸν ὁποῖον ἀνέστησεν ἐκ νεκρῶν σωματικῶς ὁ Κύριος, καὶ ὁ Παῦλος, τὸν ὁποῖον ἀνήγειρε νοερῶς ἀπὸ τὴν πλάνην· ἐν τούτοις ὅμως δὲν ἐγένετο λόγος περὶ δυνάμεων, τὰς ὁποίας ἐνήργησεν ὁ Λάζαρος μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν.

5. Ἀντιθέτως δὲν δύναται νὰ χωρέσῃ ὁ νοῦς μας πόσα κατώρθωσεν ὁ Παῦλος μὲ τὴν δύναμιν τοῦ ἡγιασμένου λόγου μετὰ τὴν ἐκ τῆς ἁμαρτίας ἀνέγερσιν τῆς ψυχῆς του! Πράγματι! Εἶναι ἄξιον θαυμασμοῦ πῶς ἐκεῖναι αἱ ἀπάνθρωποι σκέψεις, τὰς ὁποίας εἶχε πρὶν ἀναγεννηθῇ ἐν Χριστῷ, μετεστράφησαν εἰς τρυφερὰ συναισθήματα ἀγάπης καὶ εὐσεβείας! Πῶς, ἐνῷ προηγουμένως ηὐχαριστεῖτο διὰ τὸν θάνατον τῶν Χριστιανῶν, μετὰ ταῦτα ἐπεθύμει ὁ ἴδιος νὰ ἀποθάνῃ δι' αὐτούς, τοὺς ὁποίους ἐθεώρει ἀδελφούς! Πῶς ἐνῷ ἦτο κάτοχος τῆς Ἁγίας Γραφῆς καὶ πολλῶν ἄλλων γνώσεων, ἐν τούτοις ἔκρινε τὸν ἑαυτόν του, ὅτι τίποτε ἄλλο δὲν ἐγνώριζεν «εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον» (Α' Κορινθ. β', 3). Εἶναι ἀξιοθαύμαστον ἀκόμη πῶς, ἐνῷ εὑρίσκετο εἰς τὸ ὕψος τῆς ἀποστολικῆς τιμῆς, ὠνόμαζε καὶ ἐθεώρει τὸν ἑαυτόν του ὡς τὸν τελευταῖον ἀπὸ ὅλους τοὺς μαθητάς· ἀλλὰ καὶ πῶς νὰ μὴ θαυμάσῃ κανεὶς τὴν πρὸς τὴν ἀνθρωπίνην ἀδυναμίαν συγκατάβασίν του, ὥστε αὐτὸς ποὺ τὸ ὄμμα τῆς διανοίας του ὑψώθη ἕως τοῦ τρίτου οὐρανοῦ, νὰ ρυθμίζῃ καὶ αὐτὰ ἀκόμη τὰ συζυγικὰ καθήκοντα! Μήπως δὲν εἶναι σπουδαῖον καὶ ἀξιοθαύμαστον, ὅτι αὐτός, ποὺ συνανεστράφη νοερῶς μὲ τοὺς Ἀγγέλους, δὲν παύει νὰ

1) Ὡς ἐπὶ παραδείγματι βλέπομεν εἰς τὸν θεῖον Παῦλον, ὅστις ὡς γνωστὸν εἶπεν· «Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου» (Ρωμ. θ', 3).

μεριμνᾷ καὶ νὰ τακτοποιῇ καὶ αὐτὰς τὰς ἐπιγείους ὑποθέσεις τῶν σαρκικῶν ἀνθρώπων; Αὐτός, ποὺ μετέπειτα ἔχαιρε διὰ τὰς βασάνους τὰς ὁποίας ὑφίστατο καὶ ἐκαυχᾶτο διὰ τὰς ἀσθενείας του, διότι, ὅπως ἔλεγεν, ἡ αἰτία τῆς ζωῆς του ἦτο ὁ Χριστός, (δι' αὐτὸ καὶ τὸ νὰ ἀποθάνῃ ἐν Χριστῷ τὸ ἐθεώρει κέρδος) (1), ἀλλὰ καὶ ποὺ κατώρθωσε νὰ ζῇ ἔξω ἀπὸ τοὺς ὅρους τῆς σαρκικῆς ζωῆς, φέρων εἰσέτι τὴν σάρκα.

6. Βλέπε λοιπὸν μετὰ θαυμασμοῦ μὲ ὁποῖον πνευματικὸν τρόπον ζῇ αὐτός, ὅταν ἐπανῆλθεν ἀπὸ τὸν σκοτεινὸν Ἅδην τοῦ ἰουδαϊκοῦ φανατισμοῦ καὶ τῆς φαρισαϊκῆς πλάνης, εἰς τὸν ὁποῖον εἶχε ριφθῆ ἡ διάνοιά του, μὲ τὴν Χάριν τοῦ Θεοῦ, εἰς τὴν ζωὴν τῆς εὐσπλαγχνίας καὶ τῆς ἀγάπης! Ἀπὸ αὐτὸ λοιπὸν τὸ θαῦμα τοῦ Ἀποστόλου Παύλου πολὺ πιὸ ἀσήμαντον εἶναι τὸ νὰ ἀναστήσῃ κανεὶς σαρκικῶς κάποιον ἐκ νεκρῶν!

Δὲν γνωρίζω δὲ ἐὰν διὰ τῆς ζωοποιήσεως τῆς σαρκὸς θὰ ζωοποιηθῇ καὶ ἡ διάνοια τοῦ ἀναστάντος ἢ ἐὰν διὰ τοῦ ἐξωτερικοῦ θαύματος, τῆς ἀναστάσεως τοῦ σώματος, θὰ ἀναστηθῇ, διὰ μίαν πνευματικὴν ζωήν, καὶ ἡ ψυχή.

Πέτρος

7. Πάρα πολὺ καλὰ ἀντελήφθην πόσον τὸ θαῦμα τῆς κηρύξεως τοῦ λόγου, τῆς ἐπιστροφῆς μιᾶς ψυχῆς ἀπὸ τὴν ἁμαρτίαν καὶ τὴν πλάνην, εἶναι πολὺ ἀνώτερον ἀπὸ τὸ θαῦμα τῆς ἀναστάσεως ἑνὸς νεκροῦ.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΛΕΓΕΝ ὁ Μέγας Ἀντώνιος, ὅτι οὐ δεῖ ἐπὶ τῷ δαίμονας ἐκβάλλειν καυχᾶσθαι, οὐδὲ ἐπὶ ταῖς θεραπείαις ἐπαίρεσθαι, οὐδὲ τὸν ἐκβάλλοντα δαίμονα θαυμάζειν, τὸν δὲ μὴ ἐκβάλλοντα ἐξουθενεῖν, ἑκάστου δὲ τὴν ἄσκησιν ὁ θέλων ὠφελεῖσθαι καταμανθάνειν θελέτω, καὶ ἢ μιμείσθω, ἢ ζηλούτω, ἢ διορθούσθω· τὸ δὲ ποιεῖν σημεῖα, οὐχ ἡμῶν, ἀλλὰ τοῦ Σωτῆρος ἐστὶ τὸ ἔργον· τοῖς γὰρ μαθηταῖς αὐτοῦ ἔλεγε· μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐν τοῖς οὐρανοῖς γέγραπται.

2. Τὸ μὲν ἐν τῷ οὐρανῷ γεγράφθαι τὰ ὀνόματα, μαρτύριόν ἐστι τῆς ἡμῶν ἀρετῆς καὶ τοῦ βίου· τὸ δὲ ἐκβάλλειν δαίμονας, τοῦ δεδωκότος Σωτῆρος ἐστὶν ἡ Χάρις· ὅθεν τοῖς μὴ ἐν ἀρετῇ, ἀλλ' ἐν σημείοις καυχωμένοις καὶ λέγουσι· «Κύριε, οὐ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν», ἀπεκρίνατο· «ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς»· οὐ γὰρ γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀσεβῶν· οὐδεὶς γὰρ ἡμῶν κρίνεται, διατί δαιμόνια οὐκ ἐξέβαλεν, ἢ διατί οὐκ ἔσχε πρόγνωσιν, ἀλλ' ἕκαστος κριθήσεται εἰ τὴν πίστιν τετήρηκε καὶ τὰς ἐντολὰς γνησίως ἐφύλαξεν.

3. Ὅθεν οὐ δεῖ περὶ πολλοῦ ταῦτα ποιεῖσθαι, ἢ διὰ ταῦτα πονεῖν, ἀλλὰ ἀγωνίζεσθαι, ἵνα τῷ Θεῷ ἀρέσωμεν διὰ τῆς καλῆς ἡμῶν ἀναστροφῆς, καὶ εὔχεσθαι ἀδιαλείπτως, ἵνα συνεργὸς ἡμῖν εἰς τὴν κατὰ τοῦ διαβόλου νίκην ὁ Κύριος γένηται.

4. Ἐν μιᾷ τοῦ Ἁγίου Παλάμωνος σὺν τῷ μαθητῇ αὐτοῦ Παχωμίῳ ἀγρυπνούντων, καὶ πῦρ ἀναψάντων, ἀδελφός τις ἔξωθεν παραγενόμενος μεῖναι παρ'

1) «Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος» (Φιλιπ. α', 21).

αὐτοῖς, ἀναστὰς λέγει τῷ Παλάμωνι· εἴ τις ἐν ἡμῖν ἔχει πίστιν, στήτω ἐπὶ τῶν ἀνθράκων τούτων, καὶ εἰπάτω κατὰ λέξιν τὴν τοῦ Εὐαγγελίου φωνήν. Συνεὶς δὲ αὐτοῦ τὸ ὑπερήφανον ὁ Γέρων, ἐπετίμησεν αὐτῷ λέγων· παῦσαι τῆς ἀπονοίας σου, ἀδελφέ, καὶ μὴ τοιαῦτα φθέγγου, πεπλάνησαι γάρ· ὁ δὲ πλεῖον τυφλωθείς, ἐπέβη μὲν τῶν ἀνθράκων μηδενὸς ἐπιτρέψαντος, τοῦ δὲ Θεοῦ συγχωροῦντος, ἐκ δαιμονικῆς συνεργίας, οὐδαμῶς κατεφλέχθη· τοῦτο δὲ προσθήκη ἀπονοίας γέγονεν αὐτῷ κατὰ τὸ γεγραμμένον, «πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστελεῖ ὁ Θεός».

5. Εἶτα ἔσωθεν μέλλων ἀναχωρεῖν τῆς κέλλης, ὥς περ ὀνειδίζων αὐτοὺς ἔλεγε· ποῦ ἡ πίστις ὑμῶν; Ὡς οὖν εἶδεν αὐτὸν ὁ δαίμων εἰς τέλος ἀπατηθέντα καὶ εὐκόλως αὐτῷ πειθόμενον, σχηματισθεὶς εἰς γυναῖκα εὐειδῆ, περιβεβλημένην ἱμάτια λαμπρά, παραγίνεται πρὸς αὐτὸν καὶ στὰς ἔξωθεν τῆς κέλλης αὐτοῦ ἔκρουσε τὴν θύραν, ἀνοίξαντος δὲ αὐτοῦ λέγει ὁ δαίμων· ἐπειδὴ ὑπὸ δανειστῶν ὀχλοῦμαι καὶ δέδοικα μὴ κινδυνεύσω, οὐ γὰρ ἱκανῶ ἀποδοῦναι τὸ χρέος, παρακαλῶ σε δέξαι με ἐν τῷ κελλίῳ σου, ὁ Θεὸς γάρ με ἀπέστειλε πρὸς σέ, ἵνα σωθῶ.

6. Ὁ δὲ τῇ πηρώσει τῆς διανοίας αὐτοῦ μὴ δυνηθεὶς διακρῖναι τίς ἐστιν ὁ λαλῶν αὐτῷ, ἐδέξατο αὐτήν. Ἐπιγνοὺς δὲ ὁ δαίμων τὸ πρὸς κακίαν αὐτοῦ ἐπιῤῥεπές, ἐπιθυμίαν αἰσχρὰν ἐνέβαλεν αὐτῷ, καὶ ἡττηθεὶς τῷ λογισμῷ προσέθετο τοῦ ἁμαρτῆσαι· ὡς δὲ ἐπλησίασεν αὐτῇ, παραχρῆμα κατέῤῥαξεν αὐτόν, καὶ ἦν ἐπὶ τῆς γῆς ἐῤῥιμμένος ἄφωνος ὥς περ νεκρός.

7. Καὶ δὴ μεθ' ἡμέρας τινάς, αἴσθησιν λαβὼν τῆς ἀνοίας αὐτοῦ, παρεγένετο πρὸς τὸν Ἅγιον Παλάμωνα, ταῦτα πρὸς αὐτὸν ἀποδυρόμενος καὶ λέγων· οἶδα ὅτι ἐγὼ ἐμαυτῷ αἴτιος τῆς ἀπωλείας ἐγενόμην· πολλὰ γάρ με ἐνουθέτησας, Πάτερ, καὶ οὐκ ἤκουσά σου, διὸ παρακαλῶ ταῖς ὁσίαις ὑμῶν εὐχαῖς βοηθῆσαί μοι τῷ ἐλεεινῷ, κινδυνεύοντι ἀναιρεθῆναι ὑπὸ τοῦ δαίμονος.

8. Ἔτι δὲ αὐτοῦ λαλοῦντος καὶ αὐτῶν ἐκ συμπαθείας δακρυόντων περὶ αὐτοῦ, ἐξαίφνης ὑπὸ τοῦ ἀκαθάρτου δαίμονος κυριευθείς, ἐξεπήδησε τῆς κέλλης, τρέχων διὰ τοῦ ὄρους καὶ ἐλαυνόμενος ὑπὸ τοῦ δαίμονος κατήντησεν εἰς πόλιν λεγομένην Πάνος, κἀκεῖ μετὰ χρόνον ἔῤῥιψεν αὐτὸν ὁ δαίμων εἰς κάμινον βαλανείου, καὶ παραχρῆμα καταφλεχθεὶς ἀπώλετο.

9. Παρεγένοντό ποτε εἰς τὸ Μοναστήριον τὸ ὑπὸ τὸν Ἅγιον Παχώμιον αἱρετικοί τινες Ἀσκηταί, τριχίνοις ἐνδύμασιν τὸν ἔνδοθεν κατακρύπτοντες λύκον, καὶ ἐπιστάντες τῷ πυλῶνι, τοῖς ἀδελφοῖς ἔλεγον ὑπὸ τοῦ ἰδίου πατρὸς εἰς τὸν μέγαν ἀπεσταλμένοι εἶναι· εἰσελθόντες οὖν εἴπατε αὐτῷ, εἰ ἀληθῶς ἄνθρωπος εἶ τοῦ Θεοῦ, καὶ πέποιθας εἰσακούειν σου τὸν Θεόν, δεῦρο δὴ κοινῶς τοῖς ἡμετέροις ποσὶ τὸν ποταμὸν διαβῶμεν τοῦτον, ὅπως γνῶσι πάντες τίς ἡμῶν παῤῥησίαν κέκτηται μᾶλλον πρὸς τὸν Θεόν.

10. Ἀναγγειλάντων δὲ τῶν ἀδελφῶν ταῦτα τῷ Παχωμίῳ, ἀγανακτήσας ἔφη πρὸς αὐτούς· ὅλως γὰρ εἴπατέ μοι, κατεδέξασθε κλῖναι τὰ ὦτα αὐτοῖς; οὐκ ἔγνωτε ὅτι ταῦτα τὰ προβλήματα ἀλλότρια τυγχάνει Θεοῦ, καὶ ξένα παντελῶς, οὐ λέγω τῆς ἡμετέρας πολιτείας, ἀλλὰ καὶ κοσμικῶν τῶν εὖ φρονούντων, καὶ ἀληθῶς ὄντων Χριστιανῶν; ποῖος γὰρ νόμος ἐπιτρέπει ἡμῖν ταῦτα προβάλλεσθαι καὶ ποιεῖν; τί δὲ ἀθλιώτερον τῷ ὄντι τῆς ἀγνοίας ταύτης καθέστηκε, τὸ καταλείψαντά με πενθεῖν τὰς ἐμὰς ἁμαρτίας, καὶ ὅπως ὀφείλω φυγεῖν τὴν αἰώνιον κόλασιν, νηπιάζειν ταῖς φρεσί, καὶ προβλήματα σχάσθαι τοιαῦτα;

11. Εἶπον οἱ ἀδελφοὶ πρὸς αὐτόν· ἄρα οὖν αἱρετικοὶ ὄντες οὗτοι καὶ ἀλλότριοι τοῦ Θεοῦ, προσκαλέσασθαί σε εἰς τοιοῦτον ὕψος τεθαῤῥήκασιν; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ναί, αἱρετικῶν τοῦτο τὸ πρόβλημα· οὐκ ἀνέγνωτε τὴν ῥῆσιν τὴν ἀποστολικὴν τὴν λέγουσαν· «κατὰ δὲ τὴν σκληρότητα αὐτῶν καὶ ἀμετανόητον καρδίαν παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν;» οὗτοι κατὰ συγχώρησιν Θεοῦ ἠδύναντο ἴσως τὸν ποταμὸν περάσαι ὡς διὰ ξηρᾶς, συνεργοῦντος αὐτοῖς τοῦ διαβόλου πρὸς τὸ τὴν αἵρεσιν τῆς ἀσεβείας αὐτῶν τοῖς ἐπερειδομένοις

ἐπ' αὐτῷ βεβαιωθῆναι, καὶ τῷ δράματι τούτῳ πίστιν τισὶ τῶν ἤδη ἠπατημένων παρ' αὐτοῦ παρασχεῖν, ἐμοὶ δὲ οὐκ ἀναγκαῖον τοῦτο.

12. Ἐξελθόντες οὖν εἴπατε αὐτοῖς· τάδε λέγει ὁ δοῦλος τοῦ Θεοῦ Παχώμιος· ὁ ἐμὸς ἀγὼν καὶ ἡ πᾶσά μου σπουδὴ οὐ τὸ πεζοπορεῖν ἐστι ποταμόν, ἢ διαπτῆναι ὄρη, ἢ ἐπιτάττειν θηρίοις, ἀλλὰ διαλαβεῖν ἐν ἑαυτῷ τὴν κρίσιν τοῦ Θεοῦ, καὶ ὑπερπηδᾶν τὰς διαβολικὰς μεθοδείας τῇ τοῦ Κυρίου δυνάμει, τοῦ πατεῖν κελεύσαντος ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· τούτων γάρ μοι παρὰ Κυρίῳ δωρηθέντων, καὶ τὰ λοιπὰ πάντα ἐπακολουθήσει.

13. Καὶ ταῦτα εἰπών, παρεγγυᾶτο τοῖς ἀδελφοῖς μὴ ἐπὶ οἰκείοις κατορθώμασι μέγα φρονεῖν, μηδὲ ἐπτοῆσθαι ὀπτασίαις τισί, μηδὲ πειράζειν διὰ τοιούτων αἰτήσεων τὸ Θεῖον, ὅτι πολλαὶ αἱ μηχαναὶ τοῦ ἀντιπάλου, καὶ ὅτι τὰ τοιαῦτα πάντα παντὶ ἀνθρώπῳ περιττὰ καὶ ἐπικίνδυνα ὑπάρχει, φήσαντος πρὸς τὸν ἐχθρὸν τοῦ σωτηρίου λόγου· «οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου».

14. Ἀδελφέ, ἐὰν ἀξιωθῇς χαρίσματος, μὴ ὑψηλοφρόνει· οὐδὲν γὰρ ἔχεις καλόν, ὃ μὴ παρὰ Θεοῦ ἔλαβες, καὶ ἐὰν μὴ πορεύῃ κατὰ τὸ θέλημα Αὐτοῦ, ἀφελεῖ τὸ ἴδιον ἀπὸ σοῦ καὶ τῷ χρηστοτέρῳ καὶ ταπεινόφρονι δώσει αὐτό.

15. Ἔλεγον περί τινος Γέροντος, ὅτι ἑπτὰ ἔτη ᾐτεῖτο τὸν Θεὸν περί τινος χαρίσματος, καὶ ἐδόθη αὐτῷ· ἀπῆλθεν οὖν πρός τινα μέγαν Γέροντα καὶ ἀνήγγειλεν αὐτῷ διὰ τὸ χάρισμα, ἐκεῖνος δὲ ἀκούσας ἐλυπήθη καὶ εἶπε· μέγας κόπος· καὶ εἶπε τῷ Γέροντι· ὕπαγε, ποίησον ἄλλα ἑπτὰ ἔτη παρακαλῶν τὸν Θεὸν ἵνα ἀρθῇ ἀπὸ σοῦ, οὐ γὰρ συμφέρει σοι· καὶ ἀπελθὼν ἐποίησεν οὕτως, ἕως οὗ ἤρθη ἀπ' αὐτοῦ.

16. Γέροντί τινι, ἀπὸ πολλῆς ταπεινώσεως ἧς εἶχεν, ἐχαρίσατο ὁ Θεὸς τὸ διορατικόν· καὶ προγνοὺς ὁ Γέρων ἐρχομένους τινὰς ἐπισκέψασθαι αὐτόν, ἠθύμησε· καὶ μετὰ τὸ ὑποχωρῆσαι ἐκείνους, ἐδεήθη τοῦ Θεοῦ ἵνα ἀρθῇ ἀπ' αὐτοῦ· ἀπελθὼν καὶ πρὸς ἄλλον Γέροντα μέγαν, παρεκάλεσεν αὐτὸν εἰπών· συγκακοπάθησόν μοι ἵνα ἀρθῇ τὸ πρᾶγμα ἀπ' ἐμοῦ· καὶ καθίσαντες, ἕκαστος ἐν τῷ κελλίῳ αὐτοῦ, ἐδεήθησαν τοῦ Θεοῦ περὶ τούτου· ἦλθεν οὖν φωνὴ τῷ Γέροντι λέγουσα· ἰδοὺ αἴρω αὐτὸ ἀπὸ σοῦ, ἀλλ' ὅταν θέλῃς, ἔχεις αὐτό.

17. Τινὶ τῶν ἀδελφῶν ἐφάνη ὁ διάβολος μετασχηματισθεὶς εἰς Ἄγγελον φωτός, καί φησι πρὸς αὐτόν· ἐγώ εἰμι Γαβριήλ, καὶ ἀπεστάλην πρὸς σέ· ὁ δὲ εἶπεν· ὅρα μὴ πρὸς ἄλλον ἀπεστάλης, ἐγὼ γὰρ οὐκ εἰμὶ ἄξιος Ἄγγελον ἰδεῖν ἐν ἁμαρτίαις ζῶν.

18. Τῷ Ἀββᾷ Λογγίνῳ φέρουσί τινές ποτε δαιμονιῶντα, ὁ δέ φησι πρὸς αὐτούς· ἐγὼ τί ἔχω ποιῆσαι ὑμῖν; ἀλλὰ μᾶλλον ἀπέλθετε πρὸς τὸν Ἀββᾶν Ζήνωνα· ὡς οὖν ἀπῆλθον πρὸς ἐκεῖνον, ἤρξατο ὁ Ἀββᾶς Ζήνων ἐπιτιμᾶν τῷ δαίμονι ἐξελθεῖν ἐκ τοῦ ἀνθρώπου, καὶ ηὔχετο κατ' αὐτοῦ ἐκτενῶς· ὁ δὲ δαίμων ἐβόησε λέγων· ἄρτι νομίζεις, Ἀββᾶ Ζήνων, ὅτι διὰ σὲ ἐξέρχομαι; ἰδοὺ ὁ Ἀββᾶς Λογγῖνος ἐκεῖ προσεύχεται κατ' ἐμοῦ ἐντυγχάνων, καὶ φοβούμενος τὰς εὐχὰς αὐτοῦ ἐξέρχομαι, ἐπεὶ σοι οὐδὲ ἀπόκρισιν ἐδίδουν.

19. Ἄλλοτε πάλιν γυνή τις ἔχουσα πάθος τὸ λεγόμενον καρκίνον, ἀκούσασα περὶ τοῦ Ἀββᾶ Λογγίνου, ἐζήτει συντυχεῖν αὐτῷ· ἐκάθητο δὲ τότε ὁ Γέρων ἐν τῷ ἐνάτῳ σημείῳ Ἀλεξανδρείας· ἐπιζητούσης δὲ τῆς γυναικός, συνέβη τὸν Γέροντα συλλέγειν ξύλα παρὰ τὴν θάλασσαν, καὶ εὑροῦσα αὐτὸν ἡ γυνή, ἔφη αὐτῷ· Ἀββᾶ, ποῦ μένει ὁ Ἀββᾶς Λογγῖνος ὁ δοῦλος τοῦ Θεοῦ; μὴ εἰδυῖα ὅτι αὐτός ἐστιν· ὁ δὲ εἶπε· τί θέλεις τὸν ἐπιθέτην ἐκεῖνον; μὴ ἀπέλθῃς πρὸς αὐτόν, ἐπιθέτης γάρ ἐστι· τί δὲ ἔχεις;

20. Ἡ δὲ γυνὴ ἔδειξε τὸ πάθος· ὁ δὲ σφραγίσας τὸν τόπον, ἀπέλυσεν αὐτὴν εἰπών· ἄπελθε καὶ ὁ Θεός σε θεραπεύσει· Λογγῖνος γὰρ οὐδέν σε δύναται ὠφελῆ-

σαι· ἀπῆλθε δὲ ἡ γυνὴ πιστεύουσα τῷ λόγῳ καὶ ἐθεραπεύθη παραχρῆμα· μετὰ δὲ τοῦτο διηγησαμένη τισὶ τὸ πρᾶγμα καὶ τὰ σημεῖα εἰποῦσα τοῦ Γέροντος, ἔμαθεν ὅτι αὐτός ἐστιν ὁ Ἀββᾶς Λογγῖνος.

21. Ἦλθέ τις δαιμονῶν εἰς σκῆτιν, καὶ ἐγένετο εὐχὴ περὶ αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ, καὶ οὐκ ἐξήρχετο ὁ δαίμων, ἦν γὰρ σκληρός· καὶ λέγουσιν οἱ κληρικοί· τί ἔχομεν ποιῆσαι τῷ δαίμονι τούτῳ; οὐδεὶς ἄλλος δύναται ἐκβαλεῖν αὐτὸν εἰμὴ ὁ Ἀββᾶς Βησσαρίων, καὶ ἐὰν αὐτὸν παρακαλέσωμεν, οὐδὲ εἰς τὴν Ἐκκλησίαν ἔρχεται· τοῦτο οὖν ποιήσωμεν· ἰδοὺ ἔρχεται πρωῒ πρὸ πάντων εἰς τὴν Ἐκκλησίαν· ποιήσωμεν δὲ τὸν πάσχοντα καθευδῆσαι εἰς τὸν τόπον αὐτοῦ, καὶ ὅτε εἰσέρχεται στῶμεν εἰς εὐχήν, καὶ εἴπωμεν αὐτῷ· ἐξύπνησον καὶ τὸν ἀδελφόν, Ἀββᾶ· ἐποίησαν δὲ οὕτως· καὶ εἶπεν αὐτῷ ὁ Γέρων· ἀνάστα, ἔξελθε ἔξω· καὶ εὐθέως ἐξῆλθεν ἀπ' αὐτοῦ ὁ δαίμων καὶ ἰάθη ὁ ἄνθρωπος ἀπὸ τῆς ὥρας ἐκείνης.

22 Ποτὲ κοσμικός τις ἀπῄει πρὸς τὸν Ἀββᾶν Σισώην, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν ἴδιον υἱόν· ἦν δὲ ὁ Γέρων εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου καὶ κατὰ τὴν ὁδὸν συνέβη ἀποθανεῖν τὸν υἱὸν αὐτοῦ· ὁ δὲ οὐκ ἐταράχθη ἔχων πίστιν πρὸς τὸν Γέροντα, καὶ προσέπεσε μετ' αὐτοῦ ὡς μετάνοιαν ποιῶν, ἵνα εὐλογηθῶσι παρὰ τοῦ Γέροντος, καὶ ἀναστὰς ὁ πατὴρ κατέλιπε τὸ παιδίον πρὸς τοὺς πόδας τοῦ Γέροντος καὶ ἐξῆλθεν ἔξω.

23. Ὁ δὲ Γέρων, νομίζων ὅτι μετάνοιαν αὐτῷ βάλλει, λέγει αὐτῷ· ἀνάστα ἔξελθε ἔξω, οὐ γὰρ ᾔδει ὅτι ἀπέθανε, καὶ παραχρῆμα ἀνέστη, καὶ ἐξῆλθε, καὶ ἰδὼν αὐτὸν ὁ πατὴρ αὐτοῦ ἐξέστη, καὶ εἰσελθὼν προσεκύνησε τῷ Γέροντι καὶ ἀνήγγειλεν αὐτῷ τὸ πρᾶγμα· ὁ δὲ Γέρων ἀκούσας ἐλυπήθη, οὐ γὰρ ἤθελε τοῦτο γενέσθαι· παρήγγειλε δὲ ὁ μαθητὴς αὐτοῦ μηδενὶ εἰπεῖν, ἕως τῆς τελευτῆς τοῦ Γέροντος.

24. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· πῶς τινὲς βλέπουσιν ἀποκαλύψεις καὶ ὀπτασίας Ἀγγέλων; καὶ εἶπεν ὁ Γέρων· μακάριός ἐστι, τέκνον, ὁ βλέπων τὰς ἁμαρτίας αὐτοῦ πάντοτε, διότι ὁ τοιοῦτος πάντοτε νήφει· καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· ἐγώ, Πάτερ, εἶδον πρὸ ἡμερῶν ἐκβάλλοντα ἀδελφόν τινα δαίμονα ἀπὸ ἀδελφοῦ.

25. Καὶ εἶπεν αὐτῷ ὁ Γέρων· οὐ θέλω δαίμονας ἐκβαλεῖν, καὶ πάθη ἰάσασθαι, ἀλλὰ θέλω, καὶ παρακαλῶ τὸν Θεόν, ἵνα μὴ εἰσέλθη εἰς ἐμὲ ὁ δαίμων, καὶ ἵνα καθαρίσω ἐμαυτὸν ἀπὸ ἀκαθάρτων λογισμῶν, καὶ ἰδοὺ μέγας γέγονα· ἐάν τις γὰρ καθαρίσῃ τὴν ἑαυτοῦ καρδίαν ἀπὸ ἀκαθάρτων λογισμῶν, καὶ ἀόκνως ἐπιτελέσῃ τὴν ἀκολουθίαν αὐτοῦ, πάντως καὶ αὐτὸς σὺν τοῖς σημειοφόροις Πατράσι τῆς τῶν οὐρανῶν Βασιλείας ἀξιωθήσεται.

26. Ἀδελφὸς ἀπετάξατο τῷ κόσμῳ σὺν τῷ ἰδίῳ πατρὶ τῷ κατὰ σάρκα, ἔμειναν δὲ ἀμφότεροι εἰς ἓν Μοναστήριον· μετὰ οὖν χρόνον τινὰ ἤκουσεν ὁ ἀδελφὸς περὶ τοῦ ἰδίου πατρός, ὅτι ἰάσατό τινα ἀσθενῆ δαιμονιῶντα, καὶ ἀπελθὼν ἀνήγγειλε μεγάλῳ Γέροντι, ὡς λυπούμενος, λέγων· Ἀββᾶ, ὁ πατὴρ προέκοψε, καὶ δαιμόνιον ἀπὸ ἀδελφοῦ ἀπήλασεν, ἐγὼ δὲ ἐν ἀμελείᾳ εἰμί, καὶ οὐδεμία προκοπὴ ἐν ἐμοί.

27. Ἔφη αὐτῷ ὁ Γέρων· φύσει, ὦ τέκνον, οὐκ ἔστι ταῦτα προκοπὴ τοῦ ἐξελάσαι δαίμονας, ἢ ἀσθενοῦντας ἰάσασθαι· τοῦτα γὰρ οὐχ ὁ ἄνθρωπός ἐστιν ὁ ποιῶν, ἀλλ' ἡ δύναμις τοῦ Θεοῦ καὶ ἡ πίστις τοῦ προσερχομένου· τινὲς δὲ τοῦτο μὴ νοήσαντες, ἀλλ' εἰς ὑπερηφάνειαν ἐλθόντες, ἀπώλοντο· ἐγὼ δὲ λέγω, ἐὰν ὁ ἄνθρωπος ἔλθῃ εἰς ταπείνωσιν ἀληθινήν, ἄλλη προκοπὴ ταύτης μείζων οὐκ ἔστι, μηδέ ποτε πίπτουσα· ὁ γὰρ ἅπαξ ταπεινώσας κάτω τὴν ἑαυτοῦ ψυχήν, ποῦ λοιπὸν ἔχει πεσεῖν; τοῦ δὲ τοιούτου, τοῦτό ἐστι σημεῖον, τὸ ἀτιμαζόμενον φέρειν.

28. Ἔλεγεν ὁ Ἀββᾶς Πιτυρίων ὁ μαθητὴς τοῦ Ἀββᾶ Ἀντωνίου, ὅτι ὁ βουλόμενος ἀπελαύνειν δαίμονας, πρότερον τὰ οἰκεῖα πάθη δουλωσάτω· οἵου γὰρ ἂν πάθους περιγένηται, τούτου τὸν δαίμονα ἀπελαύνει· καὶ γὰρ τὸ πάθος τῆς ὀργῆς

τυχόν, ἢ τῆς ἐπιθυμίας ἢ τῆς λύπης, ἕπεται καὶ ἐμφιλοχωρεῖ, ὅτε βούλεται ὁ προσφυὴς δαίμων· ἐὰν οὖν τοῦ πάθους κρατήσῃς, ἀπήλασας καὶ τὸν δαίμονα τὸν τῷ πάθει ἀκολουθοῦντα.

29. Ἀναχωρητής τις ἐκάθητο εἰς τὴν ἐσωτέραν ἔρημον ἐπὶ τριάκοντα ἔτη, ἐξ ἑνὸς μαλωᾶς ἔχων τὴν τροφὴν αὐτοῦ· ὕστερον δὲ ἤρξατο λέγειν ἐν ἑαυτῷ, ὅτι μάτην ὧδε ἀπώλου τῶν τοσούτων ἐτῶν τῆς ἡμέρας· ἰδοὺ γὰρ τοσαῦτα ἔτη ἔχω, μηδὲν ἄλλο ἐσθίων εἰμὴ τὸν μαλωᾶν τοῦτον, καὶ οὔτε ἀποκάλυψιν εἶδον, οὔτε σημεῖον ἐποίησα, ὡς οἱ πρὸ ἐμοῦ Πατέρες Μοναχοί· καταλείψας οὖν τὰ ὧδε, ἀπέρχομαι ἐπὶ τὸν κόσμον.

30. Ταῦτα δὲ αὐτοῦ ἐνθυμουμένου, παρέστη αὐτῷ Ἄγγελος Κυρίου λέγων· τί διαλογίζῃ; ὁ δὲ ἀνήγγειλεν αὐτῷ ἃ ἐν τῷ λογισμῷ ἔστρεφε, καὶ λέγει πρὸς αὐτὸν ὁ Ἄγγελος· καὶ ποῖον σημεῖον θέλεις ποιῆσαι περισσότερον τῆς ὑπομονῆς καὶ ἀνδρείας, ἧς ἔδωκέ σοι ὁ Θεός; ἐννόησον γὰρ τίς ἐστιν ὁ ἐνδυναμώσας σε καρτερῆσαι τὰ τοσαῦτα ἔτη ἐν τῷ τόπῳ τούτῳ ὑπὸ μόνου τοῦ μαλωᾶ τρεφόμενον· ὑπόμεινον οὖν καὶ αἴτησαι τὸν Θεὸν παρασχεῖν σοι ταπείνωσιν· ὁ δὲ στηριχθεὶς ὑπὸ τοῦ Ἀγγέλου ἐκαρτέρησε καὶ τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς αὐτοῦ ἐκεῖ.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΑΝΤΩΝΙΟΣ ἔλεγεν, ὅτι δὲν πρέπει νὰ καυχᾶται κανεὶς διότι ἐκβάλλει τοὺς δαίμονας ἀπὸ τοὺς ἀνθρώπους, οὔτε νὰ ὑπερηφανεύεται διὰ τὰς θεραπείας τῶν ἀσθενῶν ποὺ ἐπιτυγχάνει· οὔτε καὶ νὰ θαυμάζωμεν αὐτὸν ποὺ ἐκβάλλει τὰ δαιμόνια καὶ νὰ περιφρονῶμεν τὸν ἄλλον, ποὺ δὲν κάμνει θαύματα. Ἐκεῖνος ποὺ πραγματικῶς θέλει νὰ ὠφεληθῇ, πρέπει νὰ πληροφορῆται ἀκριβῶς τὴν ἄσκησιν τοῦ ἄλλου καὶ νὰ τὴν μιμῆται ἢ νὰ τὴν ποθῇ ἰσχυρῶς ἢ καὶ νὰ διορθώνεται ἀπὸ τὴν παρατήρησιν αὐτήν. Οὕτω πως πρέπει νὰ κάμνῃ καὶ νὰ σκέπτεται ὁ Χριστιανός, διότι τὸ νὰ κάμωμεν θαύματα δὲν εἶναι προσωπική μας ἱκανότης, ἀλλὰ ἔργον τοῦ Σωτῆρος. Ὁ ἴδιος ὁ Σωτὴρ ἔλεγε πρὸς τοὺς Μαθητάς του· «Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς» (Λουκ. ι', 20).

2. Ἡ ἀναγραφὴ τῶν ὀνομάτων μας εἰς τὸν οὐρανὸν εἶναι ἀπόδειξις τῆς ἀρετῆς μας καὶ τοῦ κατὰ Θεὸν βίου μας· τὸ νὰ ἐκδιώκωμεν ὅμως τοὺς δαίμονας εἶναι Χάρις τοῦ Σωτῆρος, τὴν ὁποίαν ἐκεῖνος χορηγεῖ. Δι' αὐτὸν ἀκριβῶς τὸν λόγον καὶ εἰς ἐκείνους, οἱ ὁποῖοι ἐκαυχῶντο διὰ τὰ θαύματα ποὺ ἔκαμαν καὶ ἔλεγον· «Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;» (Ματθ. ζ', 22—23) καὶ δὲν ἐκαυχῶντο διὰ τὴν ἀρετήν των ἔδωσε τὴν ἐλεγκτικὴν ἀπάντησιν· «Καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς» (Ματθ. ζ', 23). Ἀλλοῦ δὲ πάλιν λέγει· «Ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς» (Ματθ. κε', 12). Ὁ Κύριος δὲν λαμβάνει ὑπ' ὄψιν του τὰς ὁδοὺς τῶν ἀσεβῶν· διότι οὐδεὶς ἐξ ἡμῶν δικάζεται ὑπὸ τοῦ Θεοῦ, διότι δὲν ἐξέβαλε δαιμόνια, ἢ διότι δὲν προεφήτευσεν. Ἀπ' ἐναντίας ὁ καθένας θὰ κριθῇ ἐὰν ἐκράτησε τὴν πίστιν καὶ ἐφήρμοσεν εἰλικρινῶς τὰς ἐντολὰς τοῦ Θεοῦ.

3. Δι' αὐτὸ λοιπὸν δὲν πρέπει νὰ δίδωμεν μεγάλην σημασίαν εἰς αὐτὰ τὰ ζητήματα καὶ νὰ καταβάλλωμεν προσπαθείας δι' αὐτά· πρέπει νὰ ἀγωνιζώμεθα, διὰ νὰ ἀρέσωμεν εἰς τὸν Θεὸν μὲ τὴν καλήν μας διαγωγήν, νὰ προσευχώμεθα συνεχῶς, ὥστε νὰ μᾶς βοηθήσῃ ὁ Κύριος νὰ νικήσωμεν τὸν διάβολον.

4. Εἰς μίαν ἀγρυπνίαν ὁ Ἅγιος Παλάμων μὲ τὸν μαθητήν του Παχώμιον ἤναψαν ὀλίγην φωτιάν. Ἐκείνην τὴν στιγμὴν ἕνας ἀδελφός, ποὺ τὸν ἐφιλοξένουν, ἐπῆγε πλησίον τοῦ Παλάμωνος καὶ τοῦ εἶπεν:

— Ὅποιος ἀπὸ ἡμᾶς ἔχει πίστιν, ἐδῶ θὰ τὴν δείξῃ· νὰ περπατήσῃ ἐπάνω εἰς αὐτὰ τὰ ἀναμμένα κάρβουνα, ἐφαρμόζων ἐν τῇ πράξει τὴν σχετικὴν διδασκαλίαν τοῦ Εὐαγγελίου (1).

Ὁ γέρων Ἀσκητής, ἀντιληφθεὶς τὸν ὑπερήφανον λογισμὸν τοῦ ξένου, ὁ ὁποῖος τὸν παρεκίνησε νὰ εἴπῃ αὐτά, τὸν ἐπέπληξε.

— Παῦσε νὰ εἶσαι ἀνόητος, ἀδελφέ, καὶ μὴ λέγῃς τέτοια πράγματα, διότι εἶναι πλάνη.

Ὁ ξένος, ἀντὶ νὰ συνετισθῇ, ἀπ' ἐναντίας περισσότερον ἐσκοτίσθη ἀπὸ τὴν ὑπερηφάνειαν καὶ χωρὶς νὰ ὑπάρχῃ λόγος ἐπάτησεν εἰς τὰ ἀναμμένα κάρβουνα. Συνεργίᾳ δὲ τοῦ δαίμονος δὲν ἔπαθε τίποτε, διότι τὸ ἐπέτρεψεν ὁ Θεός. Αὐτὸ τὸ πρᾶγμα ἐπηύξησε τὴν παραφροσύνην καὶ ἀνοησίαν τοῦ ξένου, ὅπως λέγει καὶ τὸ ρητὸν τῆς Ἁγίας Γραφῆς· «Πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ Θεὸς» (Παροιμ. κα', 8).

5. Μετὰ ἀπὸ ὀλίγον, ὅταν ἐπρόκειτο νὰ ἀναχωρήσῃ ὁ ξένος ἀπὸ τὸ κελλὶ τοῦ Ἀββᾶ Παλάμωνος, τοὺς εἰρωνεύετο λέγων:

— Ποῦ εἶναι ἡ πίστις σας;

Μόλις εἶδεν ὁ δαίμων, ὅτι ὁ Μοναχὸς αὐτὸς τελείως ἐπλανήθη καὶ ἀμέσως δέχεται τὰς ὑποδείξεις του, τὸν παρασύρει εἰς τὴν ἑξῆς φοβερὰν παγίδα: Μετασχηματίζεται εἰς ὡραίαν γυναῖκα, ἐνδεδυμένην μὲ μεγαλοπρεπῆ ἐνδύματα. Ὑπὸ τὸ σχῆμα δὲ αὐτὸ ἔρχεται πρὸς τὸν Μοναχὸν καὶ ἤρχισε νὰ κτυπᾷ τὴν θύραν τοῦ κελλίου του. Ἀφοῦ ὁ Μοναχὸς ἤνοιξε τὴν θύραν, τότε ὁ μετασχηματισμένος εἰς γυναῖκα δαίμων λέγει πρὸς αὐτὸν μὲ περίλυπον ὕφος:

— Πάτερ μου, πιέζομαι ἀπὸ τοὺς δανειστάς μου· καὶ ἐπειδὴ φοβοῦμαι μήπως κινδυνεύσω ἀπὸ αὐτούς, διότι δὲν εἶμαι εἰς θέσιν νὰ τοὺς ἐπιστρέψω τὰ χρέη, σὲ παρακαλῶ νὰ μὲ δεχθῇς ἐδῶ εἰς τὸ κελλάκι σου· ὅπως φαίνεται, ὁ Θεὸς μὲ ἔστειλε κοντά σου, διὰ νὰ σωθῶ.

6. Ὁ Μοναχὸς δὲν ἠδυνήθη νὰ διακρίνῃ ποῖος τοῦ ὡμίλει, διότι ἡ διάνοιά του εἶχε σκοτισθῆ ἀπὸ τὴν ὑπερηφάνειαν, καὶ δι' αὐτὸ ἐδέχθη

---

1) «Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ» (Λουκ. ι', 19).

εἰς τὸ κελλί του τὸν μεταμορφωμένον δαίμονα, μὲ τὴν ἐντύπωσιν, ὅτι δέχεται γυναῖκα. Ὁ δαίμων, ἀφοῦ ἀντελήφθη ἀμέσως καὶ ἀσφαλῶς, ὅτι ὁ Μοναχὸς ρέπει πρὸς τὸ κακόν, ἐνέβαλεν εἰς τὴν ψυχήν του τὴν αἰσχρὰν ἐπιθυμίαν· πράγματι οὗτος ἐδέχθη τὴν ἐπιθυμίαν, ἔκαμε συγκατάθεσιν, ἐνικήθη ὁ λογισμός του ἀπὸ τὴν αἰσχρὰν αὐτὴν ἐπιθυμίαν καὶ ἀμέσως ἀπεφάσισε νὰ ἁμαρτήσῃ. Ὑπὸ τὸ κράτος δὲ τοῦ πάθους αὐτοῦ πλησιάζει τὴν κατὰ τὸ φαινόμενον μόνον γυναῖκα. Τότε ὅμως συνέβη τὸ φοβερόν· μόλις ἐπλησίασεν, ἀμέσως ὁ δαίμων τὸν συνέτριψεν, ἀποκαλυφθεὶς εἰς ὅλην του τὴν φρίκην, καὶ τὸν ἔρριψεν ἐπὶ τῆς γῆς ὡς νεκρόν, ὅπου καὶ παρέμεινεν ἐπὶ πολὺ ἄφωνος καὶ ἀκίνητος.

7. Μετ' ὀλίγας ἡμέρας, ἀντιληφθεὶς ὁ Μοναχὸς τὴν μωρίαν του, ἐξ αἰτίας τῆς ὁποίας ὑπέστη τὸ φρικτὸν αὐτὸ περιστατικόν, μετέβη πρὸς τὸν Ἅγιον Παλάμωνα καὶ μὲ δάκρυα τοῦ λέγει:

— Γνωρίζω, ὅτι ἐγὼ εἶμαι ὑπεύθυνος τῆς καταστροφῆς μου, διότι ἐνῷ μὲ ἐνουθέτησας ἀρκετά, ἐγὼ δὲν σὲ ἤκουσα. Δι' αὐτὸ τώρα παρακαλῶ νὰ μὲ βοηθήσετε μὲ τὰς εὐπροσδέκτους ἀπὸ τὸν Θεὸν εὐχάς σας, διότι ὁ ἐλεεινὸς κινδυνεύω νὰ φονευθῶ ὑπὸ τοῦ δαίμονος.

8. Ἀλλ' ἐνῷ ὁ Μοναχὸς συνέχιζε τὴν ὁμιλίαν του καὶ ὁ Ὅσιος Παλάμων μὲ τοὺς ὑποτακτικούς του ἐδάκρυον ἐκ συμπαθείας δι' αὐτόν, ἔξαφνα ὁ Μοναχὸς αὐτὸς ἐκυριεύθη ὑπὸ τοῦ ἀκαθάρτου δαίμονος. Αἰχμάλωτος πλέον τοῦ δαίμονος, ὡς δαιμονισμένος, ἐξῆλθεν ἀπὸ τὸ κελλὶ καὶ ἤρχισε νὰ τρέχῃ πρὸς τὸ ὄρος, συρόμενος ὑπὸ τοῦ δαίμονος. Ἀλλόφρων καὶ ἐξηγριωμένος ἔφθασεν εἰς τὴν πόλιν Πάνος, ὅπου μετὰ ἀπὸ ὀλίγον ὁ δαίμων τὸν ἔρριψεν εἰς τὴν ἀναμμένην κάμινον ἑνὸς λουτροῦ, ὅπου ἐκάη ζωντανός.

9. Κάποτε ἦλθον εἰς τὸ Μοναστήριον, ποὺ ἦτο Ἡγούμενος ὁ Ἅγιος Παχώμιος, μερικοὶ Ἀσκηταὶ αἱρετικοί, ἀποκρύπτοντες τὸν ἐσωτερικὸν λύκον μὲ τρίχινα ἐνδύματα. Ἀφοῦ λοιπὸν ἔφθασαν εἰς τὸ θυρωρεῖον τοῦ Μοναστηρίου, παρεκάλεσαν τοὺς Μοναχούς, ποὺ ἦσαν εἰς τὸ θυρωρεῖον, νὰ διαβιβάσουν πρὸς τὸν Ἅγιον Παχώμιον τὰ ἑξῆς:

— Εἴμεθα ἀπεσταλμένοι, ἀπὸ τὸν ἰδικόν μας Πατέρα, πρὸς τὸν Γέροντα Παχώμιον, νὰ τοῦ εἴπωμεν, ἐὰν πράγματι εἶναι ἄνθρωπος τοῦ Θεοῦ καὶ ἔχῃ τὴν πεποίθησιν, ὅτι τὸν ἀκούει ὁ Θεός, ἂς ἔλθῃ μαζί μας, διὰ νὰ περάσωμεν ἔτσι ὅπως εἴμεθα τὸν ποταμὸν αὐτόν, βαδίζοντες ἐπάνω εἰς τὰ ὕδατά του, ὥστε νὰ ἀντιληφθοῦν ὅλοι, ἐκ τοῦ θαύματος αὐτοῦ, ποῖος ἀπὸ ὅλους μας ἔχει ἀποκτήσει τὴν μεγαλυτέραν παρρησίαν πρὸς τὸν Θεόν.

10. Πράγματι οἱ ἀδελφοὶ ἔσπευσαν καὶ ἀνέφεραν τὰ πράγματα αὐτὰ πρὸς τὸν Μέγαν Παχώμιον. Ὁ Ἅγιος, μόλις ἤκουσεν αὐτά, μὲ ἀγανάκτησιν ἀπήντησεν:

— Εἴπατέ μου, ἐθεωρήσατε σοβαρὰ αὐτὰ τὰ πράγματα, ὥστε νὰ καταδεχθῆτε νὰ τὰ προσέξετε; δὲν ἐμάθετε ἀκόμη ὅτι αὐτὰ τὰ προ-

βλήματα δὲν ἔχουν οὐδεμίαν σχέσιν μὲ τὸν Θεὸν καὶ εἶναι τελείως ξένα, ὄχι μόνον πρὸς τὸν μοναχικόν μας βίον, ἀλλὰ καὶ πρὸς αὐτοὺς ἀκόμη τοὺς κοσμικούς, ποὺ λογικεύονται καὶ εἶναι πραγματικοὶ Χριστιανοί; Ποῖος νόμος μᾶς ἐπιτρέπει νὰ προβάλλωμεν τοιαῦτα προβλήματα καὶ νὰ ἐκτελῶμεν τοιαύτας πράξεις; Ὑπάρχει, πράγματι, ἀθλιωτέρα κατάστασις ἀπὸ τὴν ἀπερισκεψίαν αὐτήν; Νὰ σταματήσω δηλαδὴ νὰ πενθῶ διὰ τὰς ἁμαρτίας μου καὶ νὰ παύσω νὰ ἀπασχολοῦμαι πῶς θὰ ἀποφύγω τὴν αἰώνιον κόλασιν, καὶ νὰ ἀσχολοῦμαι, ὡς μικρὸν καὶ ἀπερίσκεπτον παιδίον, μὲ τοιαῦτα ζητήματα!

11. Κατόπιν οἱ ἀδελφοὶ ὑπέβαλαν τὴν κατωτέρω ἀπορίαν πρὸς τὸν Ὅσιον Παχώμιον:

— Πῶς λοιπὸν εἶχον τὴν τόλμην οἱ ἄνθρωποι αὐτοί, ἐνῷ εἶναι αἱρετικοὶ καὶ ξένοι ἀπὸ τὴν Χάριν τοῦ Θεοῦ, νὰ σὲ προσκαλέσουν εἰς τόσον ὑψηλὴν δοκιμασίαν, τὴν θαυματουργίαν αὐτήν;

— Ναί, ἀκριβῶς· τὸ πρόβλημα αὐτό, τὸ νὰ ἴδωμεν δηλαδὴ ποῖος θὰ θαυματουργήσῃ καὶ νὰ συμπεράνωμεν ἐξ αὐτοῦ τὴν κρίσιν τοῦ Θεοῦ, εἶναι πρόβλημα αἱρετικόν· δὲν ἔχετε ὑπ' ὄψιν σας τὸ ἀποστολικὸν ρητὸν ποὺ λέγει· «κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς»· (Ρωμ. β', 5)· καὶ ὅτι δι' αὐτό· «παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα»; (Ρωμ. α', 28). Αὐτοί, κατὰ παραχώρησιν ἴσως Θεοῦ, θὰ ἠδύναντο νὰ διέλθουν τὸν ποταμὸν ὡς διὰ ξηρᾶς, διότι θὰ τοὺς ἐβοήθει ὁ διάβολος· καὶ θὰ τοὺς ἐβοήθει, διὰ νὰ «δικαιώσῃ» τὴν πλάνην τῆς ἀσεβείας των ἐνώπιον ἐκείνων, ποὺ στηρίζονται εἰς τοιαῦτα ἐξωτερικὰ κριτήρια. Μὲ τὸ γεγονὸς δὲ αὐτὸ τοῦ τοιούτου θαύματος θὰ ἐνισχύετο ἡ πίστις πρὸς τοὺς αἱρετικοὺς μερικῶν, ποὺ ἔχουν ἤδη ἀπατηθῆ ἀπὸ τὸν διάβολον. Εἰς ἐμὲ ὅμως δὲν εἶναι ἀναγκαῖον τὸ θαῦμα, διὰ νὰ πιστεύσω.

12. — Πηγαίνετε λοιπὸν νὰ εἰπῆτε εἰς τοὺς δυστυχεῖς αὐτοὺς τὰ ἑξῆς: Ὁ δοῦλος τοῦ Θεοῦ Παχώμιος εἰς τὴν πρότασίν σας ἀπαντᾷ· ὁ ἀγών μου καὶ τὸ ἐνδιαφέρον μου δὲν εἶναι πῶς θὰ περάσω τὸν ποταμόν, χωρὶς νὰ βραχῶ, ἢ πῶς θὰ πετάξω ἐπάνω ἀπὸ τὰ ὄρη, ἢ πῶς θὰ ἐπιβάλλωμαι εἰς τὰ ἄγρια θηρία· ὁ ἀγών μου καὶ τὸ ἐνδιαφέρον μου εἶναι πῶς θὰ κατανοήσω τὸ θέλημα τοῦ Θεοῦ καὶ πῶς, μὲ τὴν βοήθειαν τοῦ Κυρίου, θὰ ἀποφύγω τὰς μεθόδους τοῦ πολυμηχάνου διαβόλου, ὥστε νὰ ἠμπορέσω νὰ κάμω αὐτό, ποὺ μὲ διέταξεν ὁ Κύριος, νὰ πατῶ δηλαδὴ ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ὅλης τῆς δυνάμεως τοῦ ἐχθροῦ (¹). Διότι ὅταν ὁ Κύριος μοῦ δωρήσῃ αὐτὰ τὰ πράγματα, ἀσφαλῶς καὶ τὰ ἄλλα θὰ ἐπακολουθήσουν.

13. Ἀφοῦ εἶπεν αὐτά, συνεβούλευε τοὺς ἀδελφοὺς νὰ μὴ ἐπαίρωνται διὰ τὰ κατορθώματά των, οὔτε νὰ θορυβοῦνται ἀπὸ μερικὰς ὀπτα-

---

1) Βλέπε ὑποσημείωσιν σελίδος 454.

σίας, ἀλλ' οὔτε καὶ νὰ ἐκπειράζουν τὸν Θεὸν διὰ τοιούτων ἀνοήτων αἰτήσεων, ὅπως ἐπιτύχωσι δηλαδὴ τοιαῦτα ἔργα, διότι εἶναι πολλαὶ αἱ παγίδες τοῦ διαβόλου, καὶ διότι ὅλα αὐτὰ εἰς κάθε ἄνθρωπον εἶναι περιττὰ καὶ ἐπικίνδυνα, ἐφ' ὅσον καὶ ὁ Κύριος εἶπε πρὸς τὸν ἐχθρόν· «Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν Σου» (Ματθ. δ', 7, Λουκ. δ', 12).

14. Ἀδελφέ μου, ἐὰν ἀξιωθῇς ὑπὸ τοῦ Θεοῦ ἑνὸς χαρίσματος, πρόσεξε νὰ μὴ σὲ κυριεύσῃ ἡ ὑψηλοφροσύνη· διότι κανένα καλὸν δὲν ἔχεις ἐξ ἰδίας σου ἱκανότητος, ἐὰν δὲν τὸ λάβῃς παρὰ Θεοῦ. Ἐὰν δέ, μετὰ τὴν δωρεὰν τοῦ χαρίσματος αὐτοῦ, δὲν ζῇς σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ, ὁ Θεὸς θὰ ἀφαιρέσῃ ἀπὸ σοῦ τὸ χάρισμά του αὐτό, διὰ νὰ τὸ δώσῃ εἰς ἄλλον, ποὺ εἶναι περισσότερον ἀγαθός, χρήσιμος καὶ ταπεινόφρων.

15. Οἱ Πατέρες διηγοῦντο δι' ἕνα Γέροντα τὸ ἑξῆς περιστατικόν. Ἑπτὰ ἔτη παρεκάλει τὸν Θεὸν καὶ τοῦ ἐζήτει κάποιο χάρισμα. Μετὰ τὴν ἑπταετῆ αὐτὴν προσπάθειαν τοῦ ἐδόθη ἐπὶ τέλους τὸ χάρισμα ποὺ ἐζήτει. Ὁ Γέρων μόλις τὸ ἔλαβε μετέβη χαρούμενος εἰς ἕνα περίφημον Ἀσκητὴν καὶ τοῦ ἀνέφερε διὰ τὸ χάρισμα. Ὁ Ἀσκητὴς ὅμως αὐτός, μόλις τὸ ἤκουσεν, ἀντὶ νὰ χαρῇ, ἐλυπήθη καὶ τοῦ εἶπε.

— Πάρα πολὺ ἐκοπίασας διὰ τὸ χάρισμα αὐτό· πήγαινε τώρα νὰ παρακαλέσῃς ἄλλα ἑπτὰ ἔτη τὸν Θεὸν νὰ σοῦ τὸ ἀφαιρέσῃ, διότι δὲν εἶναι πρὸς τὸ συμφέρον τῆς ψυχῆς σου.

Πράγματι ἀνεχώρησεν ὁ Γέρων καὶ ἔκαμεν ὅπως διετάχθη, μέχρις οὗ ὁ Θεὸς τοῦ ἀφήρεσε τὸ χάρισμα αὐτό.

16. Εἰς ἕνα γέροντα Ἀσκητὴν ὁ Θεὸς ἐχάρισε τὸ προορατικόν, λόγῳ τῆς μεγάλης ταπεινώσεως ποὺ εἶχε. Κάποτε λοιπὸν προέβλεψεν αὐτούς, ποὺ ἐπρόκειτο νὰ τὸν ἐπισκεφθοῦν καὶ ἐλυπήθη δι' αὐτό. Μετὰ τὴν ἀναχώρησιν τῶν ἐπισκεπτῶν του παρεκάλεσε τὸν Θεὸν νὰ τοῦ ἀφαιρέσῃ τὸ προορατικὸν αὐτὸ χάρισμα. Πρὸς τοῦτο μάλιστα μετέβη καὶ εἰς ἕνα φημισμένον Ἀσκητὴν καὶ τὸν παρεκάλεσε νὰ κοπιάσῃ μαζί του εἰς τὸν ἀγῶνα τῆς προσευχῆς, διὰ νὰ ἀρθῇ ἀπὸ ἐπάνω του τὸ δῶρον αὐτὸ τοῦ Θεοῦ. Πράγματι, ἀφοῦ ἐκλείσθη ἕκαστος εἰς τὸ κελλίον του, παρεκάλουν τὸν Θεὸν δι' αὐτό. Μετὰ ἀπὸ ὀλίγον ἠκούσθη μία φωνή, ποὺ ἔλεγεν εἰς τὸν Γέροντα:

— Νά! ἀφαιρῶ ἀπὸ σὲ τὸ δῶρον τοῦ προορατικοῦ χαρίσματος· ὅταν ὅμως τὸ θελήσῃς θὰ τὸ ἔχῃς πάραυτα.

17. Εἰς κάποιον ἐκ τῶν ἀδελφῶν παρουσιάσθη ὁ διάβολος, μεταμορφωμένος εἰς Ἄγγελον φωτὸς καὶ τοῦ λέγει:

— Ἐγὼ εἶμαι ὁ Γαβριὴλ καὶ μὲ ἔστειλεν ὁ Θεὸς πρὸς σέ.

— Πρόσεξε, μήπως ὁ Θεὸς σὲ ἀπέστειλεν εἰς ἄλλον, διότι ἐγὼ

δὲν εἶμαι ἄξιος νὰ ἰδῶ Ἀγγέλους, ἐπειδὴ ζῶ εἰς τὴν ἁμαρτίαν· ἔτσι τοῦ ἀπήντησεν ὁ Μοναχός.

18. Κάποτε ἔφεραν μερικοὶ εἰς τὸν Ἀββᾶν Λογγῖνον ἕναν δαιμονισμένον. Μόλις τοὺς εἶδε, τοὺς εἶπεν ὁ Ἀββᾶς Λογγῖνος:

—Ἐγὼ τί ἠμπορῶ νὰ σᾶς ὠφελήσω; Προτιμότερον εἶναι νὰ ὑπάγετε εἰς τὸν Ἀββᾶν Ζήνωνα.

Πράγματι λοιπὸν μετέβησαν εἰς τὸν Ἀββᾶν Ζήνωνα· ἀμέσως ὁ Ἀββᾶς Ζήνων ἤρχισε νὰ προσεύχεται συνεχῶς διὰ τὴν θεραπείαν τοῦ δαιμονιζομένου καὶ νὰ διατάσσῃ τὸν δαίμονα νὰ ἐξέλθῃ ἀπὸ τὸν ἀσθενῆ. Τότε ὁ δαίμων μὲ δυνατὴν φωνὴν τοῦ εἶπε:

— Μήπως νομίζεις, ὅτι ἀπὸ τὴν ἱκανότητά σου ἐξέρχομαι ἀπὸ τὸν ἀσθενῆ αὐτόν; Νά! ἐκεῖ ἐπάνω ὁ Ἀββᾶς Λογγῖνος μετ' ἐπιτάσεως προσεύχεται ἐναντίον μου· φοβούμενος λοιπὸν τὴν προσευχήν του ἐξέρχομαι. Διαφορετικὰ οὔτε ἀπάντησιν δὲν θὰ σοῦ ἔδιδα.

19. Ἄλλοτε πάλιν κάποια γυνὴ ὑπέφερεν ἀπὸ καρκίνον. Πληροφορηθεῖσα περὶ τοῦ Ἀββᾶ Λογγίνου ἐπεζήτει νὰ τὸν συναντήσῃ. Τότε ὁ Γέρων παρέμεινεν εἰς τὸ ἔνατον σημεῖον ἀπὸ τῆς Ἀλεξανδρείας [1]. Κατὰ σύμπτωσιν δέ, ὅταν ἡ πάσχουσα γυνὴ τὸν ἀνεζήτει, ὁ Ἀββᾶς Λογγῖνος συνέλεγε ξύλα πλησίον τῆς θαλάσσης. Μόλις τὸν συνήντησεν ἡ γυνή, χωρὶς νὰ τὸν γνωρίζῃ, τὸν ἠρώτησεν.

—Ἀββᾶ, ποῦ μένει ὁ δοῦλος τοῦ Θεοῦ, ὁ Ἀββᾶς Λογγῖνος;

— Τί τὸν θέλεις; Αὐτὸς ἐπιτίθεται! Πρόσεξε μὴ πᾷς κοντά του, διότι θὰ σοῦ ἐπιτεθῇ. Ἀλλὰ εἰπέ μου, διατί τὸν ζητεῖς;

20. Ἡ γυνὴ τότε τοῦ ἔδειξε τὸν ὄγκον καὶ ἐκεῖνος, ἀφοῦ διὰ τοῦ σημείου τοῦ Σταυροῦ ἐσφράγισε τὸ ἀσθενὲς σημεῖον τοῦ ὀργανισμοῦ της, τὴν ἀπέστειλε πάλιν πρὸς τὴν πόλιν, λέγων:


— Πήγαινε εἰς τὸ καλὸν καὶ ὁ Θεὸς νὰ σοῦ δώσῃ τὴν ὑγείαν σου, διότι ὁ Λογγῖνος εἰς τίποτε δὲν ἠμπορεῖ νὰ σὲ βοηθήσῃ.

Πράγματι ἀνεχώρησεν ἡ πάσχουσα γυνὴ καὶ πιστεύουσα εἰς ὅσα τῆς εἶπεν ὁ Ἀσκητὴς ἀμέσως ἐθεραπεύθη. Μετὰ τὸ θαῦμα τῆς θεραπείας της ἐξιστόρησε τὸ περιστατικὸν καὶ ἀνέφερε τὰ χαρακτηριστικὰ γνωρίσματα τοῦ Ἀσκητοῦ. Τότε δὲ ἔμαθεν, ὅτι αὐτὸς ἦτο ὁ Ἀββᾶς Λογγῖνος.

21. Κάποτε ἕνας δαιμονισμένος ἦλθεν εἰς μίαν σκήτην. Χάριν αὐτοῦ ἐγένετο προσευχὴ εἰς τὴν Ἐκκλησίαν τῆς σκήτης, χωρὶς ὅμως νὰ

---

1) Σημεῖα ὠνομάζοντο ὡρισμένα σημάδια, μὲ τὰ ὁποῖα ἐσημείωνον τὰς ἀποστάσεις τῶν ὁδῶν διὰ τοὺς ὁδοιπόρους, ὅπως γίνεται σήμερον μὲ τοὺς δείκτας τῶν χιλιομετρικῶν ἀποστάσεων. Εἰς τὸ ἔνατον δὲ σημεῖον ἀπὸ τῆς Ἀλεξανδρείας ὑπῆρχε καὶ ὀνομαστὸν Μοναστήριον καλούμενον τοῦ Ἐνάτου.


Ὁ ἈΒΒΑ͂C ΛΟΓΓΙ͂ΝΟC
Ράλλης Κοψίδης 63

ἐξέρχεται ἀπὸ τὸν ἀσθενῆ ὁ δαίμων, διότι ἦτο σκληρὸς καὶ δὲν ἀπεχωρίζετο τοῦ ἀσθενοῦς.

Τότε οἱ Κληρικοὶ λέγουν μεταξύ των:

— Τί ἠμποροῦμεν νὰ κάμωμεν εἰς τὸν δαίμονα αὐτόν; Κανεὶς ἄλλος δὲν ἠμπορεῖ νὰ τὸν βγάλῃ ἀπὸ τὸν πάσχοντα ἄνθρωπον, παρὰ μόνον ὁ Ἀββᾶς Βησσαρίων. Ἐὰν ὅμως τὸν παρακαλέσωμεν διὰ τὸ πρᾶγμα αὐτό, οὔτε εἰς τὴν Ἐκκλησίαν δὲν θὰ ἔλθῃ. Νά, τί πρέπει νὰ κάμωμεν· εἶναι γνωστόν, ὅτι τὸ πρωὶ ἔρχεται ἐνωρίτερον ἀπὸ ὅλους εἰς τὴν Ἐκκλησίαν. Θὰ βάλωμεν λοιπὸν τὸν ἀσθενῆ νὰ κοιμηθῇ εἰς τὸν τόπον, ποὺ παραμένει ὁ Ἀββᾶς Βησσαρίων. Ὅταν λοιπὸν τὸ πρωὶ θὰ πρόκειται νὰ εἰσέλθῃ εἰς τὴν Ἐκκλησίαν, θὰ εἴμεθα καὶ ἡμεῖς ἕτοιμοι νὰ ἀρχίσῃ ἡ εὐχή. Ἀκριβῶς τότε θὰ τοῦ εἴπωμεν:

— Ἀββᾶ, ξύπνησε καὶ τὸν ἀδελφὸν νὰ λάβῃ μέρος εἰς τὴν εὐχήν!

Πράγματι ἔτσι ἔκαμαν καὶ εἶπεν ὁ Ἀββᾶς Βησσαρίων εἰς τὸν δαιμονισμένον:

— Ξύπνησε καὶ ἔβγα ἔξω.

Ἀμέσως ἐξῆλθεν ὁ δαίμων ἀπὸ τὸν πάσχοντα καὶ ἐθεραπεύθη ἀπὸ τὴν στιγμὴν ἐκείνην ὁ ἄνθρωπος.

22. Ἕνας κοσμικὸς κάποτε ἀνεχώρησε πρὸς τὴν ἔρημον, διὰ νὰ συναντήσῃ τὸν Ἀββᾶν Σισώην· μαζί του εἶχε καὶ τὸν υἱόν του. Τὴν ἐποχὴν ἐκείνην ὁ Γέρων παρέμενεν εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου. Καθ' ὁδὸν ὁ υἱὸς ἀπέθανεν. Παρὰ ταῦτα ὁ κοσμικὸς δὲν ἐταράχθη, διότι εἶχεν ἐμπιστοσύνην εἰς τὴν θαυματουργικὴν ἱκανότητα τοῦ Ὁσίου. Συνέχισε λοιπὸν τὴν πορείαν του μεταφέρων καὶ τὸν νεκρὸν υἱόν του. Μόλις ἔφθασαν εἰς τὴν σκήτην ἔσκυψεν ἔμπροσθεν τοῦ Ὁσίου Σισώη ὁ κοσμικὸς καὶ ἔβαλε μετάνοιαν· μὲ τρόπον δὲ ἄφησε τὸ νεκρὸν παιδίον πρὸ τῶν ποδῶν τοῦ Γέροντος καὶ ἐβγῆκεν ἀπὸ τὸ κελλί.

23. Ὁ Ἀββᾶς Σισώης, ἐπειδὴ ἐνόμισεν, ὅτι τὸ παιδίον ἐξακολουθεῖ νὰ εἶναι σκυμμένον εἰς τὴν μετάνοιαν, λέγει πρὸς τὸν νεκρόν, χωρὶς νὰ γνωρίζῃ ὅτι εἶναι νεκρός.

— Σήκω ἐπάνω καὶ πήγαινε ἔξω!

Καὶ ὢ τοῦ θαύματος! τὸ νεκρὸν παιδίον ἀμέσως ἀνεστήθη καὶ ἐξῆλθε πρὸς τὴν αὐλήν. Μόλις τὸ εἶδεν ὁ πατήρ του, τὰ ἔχασε, καὶ ἐσάστισεν· ἀμέσως εἰσῆλθεν εἰς τὸ κελλί, κατησπάσθη ἐκ σεβασμοῦ καὶ εὐγνωμοσύνης τὸν Γέροντα καὶ τοῦ διηγήθη τὸ περιστατικόν. Ὁ Ὅσιος Σισώης, ὅταν τὸ ἤκουσεν, ἐλυπήθη, διότι δὲν ἤθελε νὰ γίνῃ τὸ θαῦμα αὐτὸ ἐκ τοῦ φόβου τῆς φήμης καὶ τῶν ἐπαίνων. Ὁ μαθητὴς ἀντιληφθεὶς τὴν ταραχὴν τοῦ Γέροντος, διὰ νὰ τὸν καθησυχάσῃ, παρήγγειλεν εἰς τὸν πατέρα καὶ τὸν ἐκ νεκρῶν ἀναστηθέντα υἱόν, νὰ μὴ εἴπουν εἰς οὐδένα τίποτε, ἕως ὅτου θὰ ἔζῃ ὁ Γέρων.

24. Μεταξὺ ἑνὸς ἀδελφοῦ καὶ ἑνὸς Γέροντος ἔγινεν ὁ ἑξῆς διάλογος:

Ἀδελφός: Γέροντα, πῶς κατορθώνουν μερικοὶ νὰ βλέπουν Ἀγγέλους;

Γέρων: Τέκνον μου, μακάριος εἶναι ἐκεῖνος ποὺ ἔχει διαρκῶς πρὸ ὀφθαλμῶν του τὰς ἁμαρτίας του, διότι αὐτὸς ποτὲ δὲν θὰ καταληφθῇ ἀπὸ ἀμέλειαν καὶ ὕπνον ἀδιαφορίας.

Ἀδελφός: Ἐγώ, Πάτερ μου, πρὸ ἡμερῶν εἶδον κάποιον ἀδελφὸν νὰ βγάζῃ δαιμόνιον ἀπὸ ἕνα ἄλλον ἀδελφόν.

25. Λέγει τότε εἰς αὐτὸν ὁ Γέρων. Δὲν ἐπιθυμῶ νὰ βγάζω δαιμόνια ἀπὸ ἄλλους καὶ νὰ θεραπεύω πάθη· θέλω, καὶ παρακαλῶ τὸν Θεόν, νὰ μὴ εἰσέλθῃ εἰς ἐμὲ ὁ δαίμων καὶ νὰ καθαρίσω τὸν ἑαυτόν μου ἀπὸ τοὺς ἀκαθάρτους λογισμούς. Καὶ τότε πραγματικῶς θὰ ἔχω γίνει μέγας. Διότι ἐὰν κατορθώσῃ κανεὶς νὰ καθαρίσῃ τὴν καρδίαν του ἀπὸ τοὺς ἀκαθάρτους λογισμοὺς καὶ νὰ ἐκτελῇ συνεχῶς, χωρὶς νὰ βαρύνεται, τὴν ἀκολουθίαν του, ὁπωσδήποτε καὶ αὐτὸς θὰ εὑρεθῇ εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν μαζὶ μὲ τοὺς θαυματουργοὺς Πατέρας.

26. Ἕνας ἀδελφὸς ἐγκατέλειψε τὸν κόσμον μαζὶ μὲ τὸν σαρκικόν του πατέρα. Παρέμειναν δὲ καὶ οἱ δύο εἰς τὸ ἴδιον Μοναστήριον. Μετὰ ἀπὸ καιρὸν ἐπληροφορήθη ὁ ἀδελφός, ὅτι ὁ σαρκικός του πατὴρ ἐθεράπευσε κάποιον δαιμονισμένον. Αὐτὸ τὸ ἐθεώρησεν ὡς προκοπὴν εἰς τὸν ἀσκητικὸν ἀγῶνα καὶ ἐλυπήθη, ὄχι διὰ τὸ κατόρθωμα τοῦ πατρός του, ἀλλὰ διότι ἐνόμισεν, ὅτι ὁ ἴδιος ὑστερεῖ εἰς ἀσκητικὴν τελειότητα. Μετέβη λοιπὸν εἰς κάποιον σπουδαῖον Γέροντα, διὰ νὰ εἴπῃ τὸν λογισμόν του. Μόλις τὸν συνήντησε, τοῦ εἶπε μὲ συντριβήν:

— Ὁ σαρκικός μου πατὴρ τόσον προέκοψεν, ὥστε καὶ δαιμόνιον ἐξεδίωξεν ἔκ τινος ἀδελφοῦ· ἐγὼ ὅμως ἐξακολουθῶ νὰ εἶμαι ἀμελὴς καὶ οὐδεμία πρόοδος παρατηρεῖται εἰς ἐμέ.

27. Ὁ γέρων Ἀσκητὴς τοῦ ἀπήντησε.

— Τέκνον μου, ἀληθῶς σοῦ λέγω, τὰ θαύματα αὐτά, ὡς ἡ θεραπεία ἀσθενῶν καὶ ἡ ἐκδίωξις δαίμονος ἐκ δαιμονιζομένου, δὲν εἶναι ἀπόδειξις προκοπῆς εἰς τὴν ἄσκησιν, διότι δὲν ὀφείλονται εἰς τὴν ἱκανότητα τοῦ ἀνθρώπου, ἀλλὰ εἰς τὴν δύναμιν τοῦ Θεοῦ καὶ τὴν πίστιν τοῦ προσερχομένου. Μερικοὶ μάλιστα, ποὺ δὲν ἀντελήφθησαν αὐτό, ὑπερηφανεύθησαν, διότι δι' αὐτῶν ἐθαυματούργησεν ὁ Θεός, καὶ πεσόντες ἀπὸ τὰ ὕψη τῆς ὑπερηφανείας συνετρίβησαν καὶ ἔχασαν καὶ τοὺς κόπους των καὶ τὴν ψυχήν των. Ἐγὼ λέγω, ὅτι ἡ πραγματικὴ προκοπή, ἀπὸ τὴν ὁποίαν δὲν ὑπάρχει μεγαλυτέρα καὶ ἀπὸ τὴν ὁποίαν δὲν ὑπάρχει κίνδυνος νὰ ἐκπέσῃ ὁ ἄνθρωπος, εἶναι ἡ ἀληθινὴ καὶ γνησία ταπείνωσις. Εὐτυχὴς ὁ ἄνθρωπος ποὺ θὰ κατορθώσῃ νὰ ἔλθῃ εἰς αὐτὴν τὴν ταπείνωσιν· διότι ὁ ἄνθρωπος ποὺ τόσον πολὺ θὰ ἐκμηδενίσῃ, διὰ τῆς ταπεινώσεως, τὸν ἑαυτόν του, ποῦ ἠμπορεῖ νὰ πέσῃ χαμηλότερα; Αὐτῆς δὲ τῆς πραγματικῆς καὶ γνησίας ταπεινώσεως ἀπό-

δειξις εἶναι τὸ νὰ ἔχῃς τὴν δύναμιν νὰ ὑπομένῃς ἀγογγύστως τὴν περιφρόνησιν καὶ ἀτίμωσιν ἐκ μέρους τῶν ἀνθρώπων.

28. Ὁ Ἀββᾶς Πιτυρίων, ὁ μαθητὴς τοῦ Ἀββᾶ Ἀντωνίου, ἔλεγεν, ὅτι αὐτός, ποὺ ἐπιθυμεῖ νὰ ἀποδιώκῃ τοὺς δαίμονας ἐκ τῶν δαιμονιζομένων, πρέπει προηγουμένως νὰ ὑποτάξῃ τὰ πάθη του. Πράγματι ὁποιοδήποτε πάθος θὰ ἠμπορέσῃ νὰ νικήσῃ ὁ ἄνθρωπος, ἀποβάλλει ἤδη ἀπὸ μέσα του τὸν δαίμονα τοῦ πάθους αὐτοῦ. Καὶ τοῦτο, διότι καὶ τὸ πάθος τῆς ὀργῆς, ἢ τὸ πάθος τῆς αἰσχρᾶς ἐπιθυμίας, ἢ τὸ πάθος τῆς λύπης ἀκολουθεῖ τὸν ἄνθρωπον καὶ εἰσέρχεται μέσα εἰς τὴν ψυχήν του, ὅταν ὁ δαίμων, ὁ ὁποῖος ἀγρύπνως κατασκοπεύει τὰς ἀδυναμίας μας, εὕρῃ τὴν κατάλληλον εὐκαιρίαν. Ἐὰν λοιπὸν κατορθώσῃς καὶ καταβάλῃς τὸ πάθος αὐτό, τότε ἀπεδίωξας τὸν δαίμονα, ὁ ὁποῖος τὸ ἐμπνέει καὶ φροντίζει διὰ τὴν καλλιέργειάν του.

29. Ἕνας Ἀναχωρητὴς ἠσκήτευεν ἐπὶ τριάκοντα ἔτη εἰς τὸ βάθος τῆς ἐρήμου, ὅπου δὲν πλησιάζουν εὐκόλως ἄνθρωποι. Τόσον δὲ σκληρὰ ἦτο ἡ ἄσκησίς του, ὥστε καθ' ὅλον αὐτὸ τὸ διάστημα μοναδικόν του φαγητὸν ἦτο ὁ καρπὸς ἑνὸς φυτοῦ ποὺ ὀνομάζεται μαλωᾶς. Ἀφοῦ ἐπέρασαν τόσα ἔτη σκληρᾶς ἀσκήσεως ἤρχισε νὰ διαλογίζεται καὶ νὰ λέγῃ εἰς τὸν ἑαυτόν του· «Ἀσκόπως ἔχασα ἐδῶ τόσον καιρόν· διότι ἐνῷ ἔχω τόσα χρόνια εἰς αὐτὴν τὴν σκληρὰν ἄσκησιν καὶ τίποτε ἄλλο δὲν τρώγω, παρὰ μαλωᾶν, ἐν τούτοις δὲν κατώρθωσα νὰ ἰδῶ οὔτε μίαν ἀποκαλυπτικὴν ὀπτασίαν, ἀλλ' οὔτε καὶ νὰ πραγματοποιήσω κανένα θαῦμα, ὅπως συνέβαινε μὲ τοὺς πρὸ ἐμοῦ ἀσκητικοὺς Πατέρας. Δι' αὐτὸ καὶ ἐγὼ θὰ ἐγκαταλείψω τὸν τόπον τοῦτον καὶ θὰ ἐπιστρέψω εἰς τὸν κόσμον».

30. Ἐνῷ δὲ διελογίζετο αὐτὰ καὶ ἡτοιμάζετο νὰ φύγῃ, ἐμφανίζεται ἐνώπιόν του Ἄγγελος Κυρίου καὶ τοῦ λέγει:

— Τί σκέπτεσαι;

Ὁ Ἀσκητὴς μὲ εἰλικρίνειαν ἐξέθεσεν ὅσα ἐστριφογύριζον εἰς τὸν νοῦν του. Τότε ὁ Ἄγγελος τοῦ ἀπαντᾷ:

— Καὶ ποῖον θαῦμα θέλεις νὰ κάμῃς; Ὑπάρχει πλέον συγκλονιστικώτερον θαῦμα ἀπὸ αὐτὴν τὴν ὑπομονὴν καὶ τὴν ἀνδρείαν, ποὺ σοῦ ἐχάρισεν ὁ Θεός, ὥστε ἐπὶ τόσα ἔτη νὰ παραμένῃς εἰς αὐτὸν τὸν ἄγριον τόπον καὶ νὰ ἀγωνίζεσαι τόσον αὐστηρά; Διότι σκέψου, ποῖος εἶναι ἐκεῖνος, ποὺ σοῦ ἔδωσε τὴν δύναμιν νὰ ἐγκαρτερῇς ἀγογγύστως τόσα ἔτη εἰς αὐτὸν τὸν τόπον καὶ νὰ τρέφεσαι μόνον μὲ μαλωᾶν! Κάθισε λοιπὸν εἰς τὸν τόπον σου, δεῖξε ὑπομονήν, καὶ ζήτησε ἀπὸ τὸν Θεὸν νὰ σοῦ δώσῃ ταπείνωσιν.

Μετὰ ἀπὸ τοὺς λόγους αὐτοὺς τοῦ Ἀγγέλου ὁ Ἀσκητὴς εἰρήνευσε καὶ ἔζησε καρτερικώτατα καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς του εἰς τὸ μέρος ἐκεῖνο.

ΥΠΟΘΕΣΙΣ ΛϚ΄

Ὅτι μείζων πασῶν τῶν ἀρετῶν ἡ ἀγάπη, καὶ ὁ κατὰ Θεὸν ἀγαπῶν τὴν τοῦ πλησίον ὠφέλειαν ἢ ἀνάπαυσιν τοῖς ἑαυτοῦ ἐν πᾶσι προκρίνει.

Ἡ μεγαλυτέρα ἀπὸ ὅλας τὰς ἀρετὰς εἶναι ἡ ἀγάπη· αὐτὸς ποὺ ἀγαπᾷ τὸν πλησίον του, ὅπως θέλει ὁ Θεός, προτιμᾷ καὶ ἐπιδιώκει, περισσότερον καὶ ἀπὸ τὰ προσωπικά του συμφέροντα, τὴν ὠφέλειαν ἢ τὴν ἀνάπαυσιν τοῦ πλησίον.

Α΄. Παλλαδίου

ΑΝΗΡ τις Αἰγύπτιος ὀνόματι Σεραπίων, ἐπίκλην Σιδόνιος, διὰ τὸ μηδέν ποτε ἄλλο περιβεβλῆσθαι ἢ σινδόνα, οὗτος πᾶσαν ἀρετὴν ἐξασκήσας εἰς ἄκρον, τῇ ἀκτημοσύνῃ πάντας σχεδὸν ὑπερέβαλε, δι' ἣν οὐδὲ ἠρεμῆσαι ἴσχυσεν ἐν κελλίῳ, ἵνα μὴ περισπᾶται, ἢ ἔχῃ τι ἴδιον, ἀλλὰ περιερχόμενος καὶ τὴν ἐφήμερον παρὰ τῶν τυχόντων λαμβάνων τροφήν, οὕτω τὸν βίον διῆγε, μηδὲν ἕτερον κεκτημένος εἰμὴ τὴν σινδόνα ἣν ἐφόρει.

2. Οὗτος διά τινος Ἀσκητοῦ γνωρίμου πέπρακεν ἑαυτὸν ἔν τινι πόλει μίμῳ τινί, Ἕλληνι ὄντι, εἰς νομίσματα εἴκοσιν, ἃ καὶ λαβὼν παρὰ τοῦ Ἀσκητοῦ, ἐτήρει παρ' ἑαυτῷ· ἦν οὖν ὑπηρετῶν τῷ μίμῳ καὶ τῇ αὐτοῦ γυναικί, καὶ τῷ οἴκῳ ἐπιμελῶς πάνυ καὶ δεξιῶς μηδενὸς ἄλλου μεταλαμβάνων, εἰμὴ ἄρτου καὶ ὕδατος, μηδὲ ἡσυχάζων τῷ νοῒ πολλάκις καὶ τῷ στόματι ἀπὸ μελέτης θείων Γραφῶν.

3. Προσμείνας οὖν τούτοις χρόνον ἤδη μακρόν, καὶ ὅτε καιρὸς αὐτοῖς περὶ τοῦ Χριστιανισμοῦ διαλεγόμενος, πρῶτα μὲν τὸν μῖμον κατένυξεν, εἶτα τὴν μιμάδα, ἔπειτα καὶ πάντα τὸν οἶκον αὐτοῦ· καὶ βαπτισθέντες ἀπέστησαν τοῦ θεατρίζειν λοιπόν, ἐλάσαντες δὲ ἐπὶ τὸν θεοφιλῆ βίον, σφόδρα ἠδοῦντο τὸν ἄνδρα· καὶ λέγουσιν αὐτῷ· δεῦρο, ἀδελφέ, ἐλευθερώσωμέν σε, ἐπειδὴ σὺ ἀπὸ αἰσχρᾶς δουλείας ἠλευθέρωσας ἡμᾶς.

4. Τότε λέγει αὐτοῖς· ἐπειδὴ ἐνήργησεν ὁ Θεός μου, καὶ ὑμεῖς συνηργήσατε καὶ ἐσώθη δι' ἐμοῦ ἡ ψυχὴ ἡμῶν, λοιπὸν ἀποκαλύψω ὑμῖν τὸ μυστήριον· ἐγὼ ἐλεύθερος ὢν Ἀσκητής, τῷ γένει Αἰγύπτιος, οἰκτειρήσας ὑμᾶς ἐν πολλῇ πλάνῃ διάγοντας, πέπρακα ἐμαυτὸν εἰς ὑμᾶς, ἵνα ὑμεῖς ἐλευθερωθέντες ἀπὸ μεγάλων ἁμαρτιῶν σωθῆτε· ἐπεὶ οὖν ὃ ἤθελον πεποίηκεν ὁ Θεός, ἀπελεύσομαι, ἵνα καὶ ἄλλοις βοηθήσω.

5. Ταῦτα εἰπὼν ἐπιδίδωσιν αὐτοῖς τὸ χρυσίον, οἱ δὲ παρῃτοῦντο λαβεῖν· προετρέποντο δὲ αὐτὸν δοῦναι πένησι τὸ χρυσίον, ἐπειδὴ ἀῤῥαβὼν ἡμῖν γέγονε σωτηρίας· ὁ δὲ ἔφη αὐτοῖς· ὑμεῖς τοῦτο δότε, ἐπεὶ καὶ ὑμέτερόν ἐστιν, ἐγὼ γὰρ ἀλλότρια χρήματα οὐ χαρίζομαι πένησιν· οἱ δέ, λαβόντες τὸν χρυσόν, παρεκάλουν

αὐτὸν λέγοντες σὺν αὐτοῖς μεῖναι, διαβεβαιούμενοι, ὅτι ὡς πατέρα σε ἕξομεν τοῦ λοιποῦ καὶ δεσπότην τῶν ἡμετέρων ψυχῶν.

6. Ὡς δὲ πολλὰ δυσωπήσαντες πείθειν οὐκ εἶχον, ἠξίουν αὐτόν κἂν δι' ἐνιαυτὸν αὐτοὺς ἐπισκέπτεσθαι· συνταξάμενος οὖν αὐτοῖς ὁ μακάριος, μετῆρεν ἐκεῖθεν εἰς Λακεδαιμονίαν καὶ μαθών τινα τῶν πρώτων τῆς πόλεως μανιχαῖον εἶναι τὴν αἵρεσιν ἅμα παντὶ τῷ οἴκῳ αὐτοῦ, τὰ δὲ ἄλλα ἐνάρετον ἄνδρα καὶ εὐλαβείας ἀντιποιούμενον, τούτῳ πάλιν διά τινος ἄλλου πέπρακεν ἑαυτόν· καὶ ἐντὸς δύο ἐτῶν, ἀποστήσας αὐτὸν τῆς αἱρέσεως καὶ πᾶσαν τὴν οἰκίαν αὐτοῦ, προσήγαγε τῇ Ἐκκλησίᾳ, εἶτα καταλιπὼν καὶ τούτους περιῄει τὴν οἰκουμένην, τοὺς ἀνθρώπους εὐεργετῶν, ὡς ἠδύνατο.

Ἑρμηνεία

ΕΖΗ ΚΑΠΟΤΕ ἕνας ἄνθρωπος ἀπὸ τὴν Αἴγυπτον, ποὺ ἐλέγετο Σεραπίων. Οὗτος ἦτο γνωστὸς μὲ τὸ ἐπώνυμον Σιδόνιος, διότι τίποτε ἄλλο δὲν ἔφερεν ὡς ἔνδυμα, παρὰ ἕνα σινδόνι. Αὐτὸς λοιπὸν ὁ ἄνθρωπος ἠδυνήθη νὰ ἀποκτήσῃ ὅλας τὰς ἀρετὰς καὶ νὰ ὑπερβάλῃ σχεδὸν ὅλους κατὰ τὴν ἀρετὴν τῆς ἀκτημοσύνης. Ἐκ τῆς ἀγάπης του πρὸς τὴν ἀκτημοσύνην δὲν ἠδυνήθη ποτὲ νὰ παραμείνῃ ἥσυχος εἰς κελλί, διὰ νὰ μὴ ἔχῃ ὑλικὰς φροντίδας καὶ νὰ μὴ ἀποκτήσῃ ποτὲ ἰδιόκτητον πρᾶγμα. Ἐπερνοῦσε τὰς ἡμέρας του περιερχόμενος ἐδῶ καὶ ἐκεῖ καὶ ἐπαιτῶν τὴν καθημερινήν του τροφὴν ἀπὸ τοὺς διαβάτας. Τίποτε ἄλλο δὲν εἶχεν ἰδικόν του, παρὰ τὸ σινδόνι ποὺ ἐφοροῦσε.

2. Αὐτὸς λοιπὸν ὁ Σεραπίων παρεκάλεσεν ἕνα Ἀσκητὴν καὶ τὸν ἐπώλησεν ὡς δοῦλον εἰς κάποιον Ἕλληνα ἠθοποιόν, ποὺ ἔμενεν εἰς τὴν πόλιν. Ὁ Ἀσκητὴς τοῦ παρέδωσε τὸ τίμημα τῆς ἑκουσίας πωλήσεώς του, εἴκοσι νομίσματα, τὰ ὁποῖα ἐφύλασσε πάντοτε ἐπάνω του. Ἔκτοτε ὑπηρέτει μὲ αὐταπάρνησιν καὶ ἱκανότητα τὸν ἠθοποιόν, τὴν γυναῖκα του καὶ τὴν οἰκογένειάν των, χωρὶς νὰ τρώγῃ τίποτε ἄλλο ἐκτὸς ὀλίγου ἄρτου καὶ ὕδατος καὶ χωρὶς νὰ σταματᾷ ὁ νοῦς του καὶ τὸ στόμα του ἀπὸ τοῦ νὰ μελετοῦν τὸν Λόγον τοῦ Θεοῦ.

3. Πλησίον τῆς οἰκογενείας τοῦ ἠθοποιοῦ ἔμεινε πολλὰ ἔτη· καὶ ὅτε ἐθεώρησε τὴν περίστασιν κατάλληλον ἤρχισε νὰ ὁμιλῇ εἰς αὐτοὺς διὰ τὸν Χριστιανισμόν. Ἀποτέλεσμα τῆς εὐσεβοῦς αὐτῆς προσπαθείας του ὑπῆρξε νὰ κατανυχθῇ πρῶτον ὁ ἠθοποιός, ἐν συνεχείᾳ ἡ σύζυγός του καὶ τέλος ὁλόκληρος ἡ οἰκογένεια, νὰ ἀσπασθοῦν τὸν Χριστιανισμὸν καὶ νὰ βαπτισθοῦν ἅπαντες.

Μετὰ τὸ Ἅγιον Βάπτισμα ἀπεχώρησαν ἀπὸ τὸ θέατρον, προτιμήσαντες τὴν ζωὴν τῆς ἀρετῆς. Ἐσέβοντο δὲ πάρα πολὺ τὸν Σεραπίωνα, ὅστις ἐστάθη αἰτία τῆς σωτηρίας των. Ἐμπνεόμενοι δὲ ἀπὸ τὸν σεβασμὸν αὐτόν, τοῦ λέγουν μίαν ἡμέραν:

—Ἔλα, ἀδελφέ, νὰ σὲ ἐλευθερώσωμεν ἀπὸ τὴν σωματικὴν δουλείαν, διότι σὺ μᾶς ἠλευθέρωσας ἀπὸ τὴν δουλείαν τῆς ἁμαρτίας.

4. Τότε μὲ σεμνότητα καὶ ταπείνωσιν τοὺς λέγει ὁ Ὅσιος.

— Τώρα, ποὺ ὁ Θεὸς ἔκαμε τὸ ἔλεός Του καὶ μὲ τὴν συνεργασίαν σας ἐσώθη ἡ ψυχή σας, ἦλθεν ἡ ὥρα νὰ σᾶς φανερώσω κάποιο


Ο ΑΒΒΑΣ
ΣΕΡΑΠΙΩΝ

μυστικόν· ἡ Θεία Πρόνοια μὲ ἐχρησιμοποίησεν ὡς ὄργανον τῆς σωτηρίας σας. Ἐγὼ λοιπὸν ἤμουν ἐλεύθερος Ἀσκητής, καταγόμενος ἀπὸ τὴν Αἴγυπτον. Σᾶς ἐλυπήθην, διότι ἐζούσατε μέσα εἰς φοβερὰν πλάνην, καὶ δι' αὐτὸ ἀπεφάσισα νὰ πωληθῶ εἰς τὴν οἰκογένειάν σας ὡς δοῦλος, ὥστε, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ ὑποβοηθήσω, ὅσον ἠδυνάμην, νὰ ἐλευθερωθῆτε ἀπὸ τὰς ἐξ ἀγνοίας μεγάλας ἁμαρτίας καὶ νὰ σωθῆτε. Ἀφοῦ λοιπὸν ὁ Θεὸς ἐπραγματοποίησε τὸν πόθον μου, τώρα πρέπει καὶ ἐγὼ νὰ φύγω, διὰ νὰ βοηθήσω καὶ ἄλλους συνανθρώπους μας εἰς τὸ ἔργον τῆς σωτηρίας.

5. Ἀφοῦ εἶπεν αὐτὰ ὁ Ὅσιος, τοὺς ἐπιστρέφει τὰ χρήματα, ποὺ εἶχον δώσει ὡς τίμημα τῆς δουλείας του. Ὁ πρώην ἠθοποιὸς μετὰ τῆς συζύγου του κατ' οὐδένα τρόπον ἐδέχοντο νὰ λάβουν ὀπίσω τὰ χρήματα αὐτά.

— Κράτησέ τα — τοῦ ἔλεγον — καὶ δῶσε τα εἰς τοὺς πτωχούς, ἐπειδὴ τὰ χρήματα αὐτὰ ἐχρησίμευσαν ὡς ἀρραβὼν διὰ τὴν σωτηρίαν μας.

— Σεῖς νὰ τὰ δώσετε ἐλεημοσύνην· τοὺς ἀπαντοῦσεν ὁ Ἀσκητής. Εἶναι ἰδικά σας χρήματα· ἐγὼ ξένα χρήματα δὲν ἠμπορῶ νὰ τὰ προσφέρω εἰς τοὺς πτωχοὺς ὡς ἐλεημοσύνην.

Πρὸ τῆς ἐπιμονῆς τοῦ Ἀσκητοῦ ἔλαβον ὀπίσω τὰ χρήματά των. Τὸν παρεκάλουν ὅμως μετ' ἐπιμονῆς νὰ μείνῃ πλησίον των.

— Μεῖνε κοντά μας· σὲ διαβεβαιοῦμεν, ὅτι θὰ σὲ ἔχωμεν τοῦ λοιποῦ ὡς πνευματικόν μας πατέρα καὶ κύριον τῶν ψυχῶν μας.

6. Ἀφοῦ τὸν παρεκάλεσαν πάρα πολύ, χωρὶς νὰ δυνηθοῦν νὰ τὸν πείσουν, τοῦ ἐζήτησαν τὸ ἐλάχιστον, ἤτοι μίαν φορὰν τὸν χρόνον νὰ τοὺς ἐπισκέπτεται. Ἐδέχθη ἐν τέλει ὁ μακάριος τὴν ἀξίωσίν των αὐτὴν καὶ ἀποχαιρετήσας αὐτούς, ἀνεχώρησε δι' ἄλλο μέρος. Ἀπὸ ἐκεῖ λοιπὸν μετέβη εἰς Λακεδαιμονίαν, ὅπου ἐπληροφορήθη, ὅτι κάποιος ἐκ τῶν προκρίτων τῆς περιοχῆς, μαζὶ μὲ τὴν οἰκογένειάν του, εἶχε περιπέσει εἰς τὴν αἵρεσιν τῶν Μανιχαίων. Κατὰ τὰ ἄλλα ἦτο ἐνάρετος ἄνθρωπος καὶ ἐπεδίωκε τὴν εὐσέβειαν. Χάριν λοιπὸν τῆς σωτηρίας τοῦ ἀνθρώπου αὐτοῦ ἐπώλησε τὸν ἑαυτόν του, διὰ μέσου ἑνὸς ἄλλου, ὡς δοῦλον εἰς τὴν οἰκίαν του. Πράγματι, εἰς διάστημα δύο μόνον ἐτῶν καὶ μὲ τὴν βοήθειαν τοῦ Θεοῦ κατώρθωσε νὰ τὸν ἀποσπάσῃ ἀπὸ τὴν αἵρεσιν τῶν Μανιχαίων καὶ νὰ τὸν προσαγάγῃ εἰς τὴν Ἐκκλησίαν. Μετὰ τὴν ἐπιτυχίαν αὐτὴν τοὺς ἐγκατέλειψε καὶ αὐτοὺς καὶ περιήρχετο τὴν οἰκουμένην εὐεργετῶν πνευματικῶς τοὺς ἀνθρώπους, ὅπως ἠδύνατο.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωαννικίου

Ο ΜΕΓΑΣ ΙΩΑΝΝΙΚΙΟΣ ἐπὶ Καντουρίαν ἀπιὼν ἐξ Ἐφέσου, μοναζούσαις τισὶ κατὰ τὴν ὁδὸν ἐντυγχάνει, μητρὶ μετὰ θυγατρίου· τῇ μὲν θυγατρὶ ἀπειρηκυίᾳ ἤδη πρὸς τὰς ἀκολάστους ὁρμάς, τῇ μητρὶ δὲ

διὰ παραινέσεων σπευδούσῃ τὰ τῆς σαρκὸς αὐτῇ κινήματα καταστέλλειν.

2. Ταύταις οὖν ἐντυχών, καί τι πρὸς τὸ πάθος τῆς κόρης παθὼν τὴν ψυχήν, τὴν παῖδα πρὸς ἑαυτὸν καλέσας, ἐπιθεῖναι τῷ ἑαυτοῦ αὐχένι τὴν αὐτῆς προτρέπεται χεῖρα, ὃ δὴ καὶ ὡς ἐκέλευσε γεγονός, ἀπαλλαγῆναι μὲν ηὔχετο τὴν κόρην τοῦ ἐνοχλοῦντος κακοῦ, αὐτῷ δὲ τὸ δεινὸν ἐκεῖνο περιπεσεῖν. Ἡ μὲν οὖν τοῦ τῆς σαρκὸς πολέμου ἀπαλλαγεῖσα, τῷ τῶν μοναζουσῶν τάγματι, καθὰ δὴ καὶ πρότερον εἶχεν, ἑαυτὴν ἀποδίδωσι· τῷ Ἁγίῳ δὲ ὁ δεινὸς ἐκεῖνος ἀνηγείρετο πόλεμος.

3. Συνεὶς οὖν λογισμοὺς ἀτόπους ἐπὶ πράξεις αὐτὸν τὰς οὐ καλὰς συνωθοῦντας, δράκοντά τινα τῶν ἑρπυστικῶν ἔν τινι τῶν ἐκεῖ σπηλαίων εὑρίσκει, καὶ τούτῳ κατάβρωμα εὐθὺς ἑαυτὸν ἐμπαρέχει, πρὸς βίαν παρασκευάζων καὶ ἄκοντα τοῦ σώματος αὐτοῦ ἅψασθαι· τεθνᾶναι γὰρ μᾶλλον ᾕρετο, ἢ τὸ τῆς ψυχῆς εὐγενὲς τοῖς τῆς σαρκὸς θελήμασι δουλωθῆναι.

4. Ὁ μὲν οὖν τῷ δράκοντι ἑαυτὸν ἐμπαρεῖχεν, οἱ πονηροὶ δὲ λογισμοί, τὰ τοῦ δράκοντος σπέρματα, εὐθὺς ἀπηλλάττοντο, καὶ πᾶν εἴ τι θέλημα τῆς σαρκὸς ἠνώχλει αὐτῷ, καὶ τοῦτο οἷον ἐμαραίνετο καὶ ἀπενεκροῦτο· συναπενεκροῦτο δὲ καὶ αὐτὸ τὸ ζῷον αὐτίκα, καὶ τὸ ἀπ' ἐκείνου ἡ κατὰ παντοίων θηρῶν ὁρατῶν τε καὶ ἀοράτων δύναμις παρείχετο τῷ ἀγωνιστῇ.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΙΩΑΝΝΙΚΙΟΣ κάποτε ἐπήγαινεν ἀπὸ τὴν Ἔφεσον πρὸς τὴν Καντουρίαν· καθ' ὁδὸν συναντᾷ δύο μοναζούσας, μητέρα καὶ κόρην. Τὸ ἠθικὸν τῆς κόρης εἶχεν ἤδη καταπέσει ἀπὸ τὴν σφοδρότητα τῶν σαρκικῶν ὁρμῶν, ποὺ ᾐσθάνετο μέσα της, ἡ δὲ μητέρα μὲ συμβουλὰς προέτρεπε τὴν κόρην νὰ ἀναχαιτίζῃ τὰς ἐπαναστάσεις τῆς σαρκὸς καὶ νὰ εἶναι σεμνὴ εἰς τὰς κινήσεις της.

2. Μόλις λοιπὸν συνήντησε τὰς δύο αὐτὰς γυναῖκας καὶ ἐπληροφορήθη τὴν κατάστασίν των, ᾐσθάνθη πόνον καὶ λύπην εἰς τὴν ψυχήν του διὰ τὸ πάθος τῆς κόρης. Ἀμέσως καλεῖ κοντά του τὴν κόρην καὶ τὴν προτρέπει νὰ βάλῃ τὴν χεῖρά της εἰς τὸν αὐχένα του· κατὰ τὸ διάστημα αὐτὸ ὁ Μέγας Ἰωαννίκιος παρεκάλει τὸν Θεὸν νὰ ἀπαλλαγῇ ἡ κόρη ἀπὸ τὸν πειρασμὸν καὶ νὰ πέσῃ ἐπάνω του τὸ φοβερὸν κακόν, ποὺ ἠνώχλει αὐτήν. Πράγματι· ὡς ἐκ θαύματος ἀπηλλάγη ἡ κόρη ἐκ τοῦ σαρκικοῦ πολέμου καὶ ἐπανῆλθεν εἰς τὴν μοναχικὴν ἀδελφότητα, ὅπου καὶ πρότερον ἦτο· συγχρόνως δὲ φοβερὸς ἠγέρθη ὁ πόλεμος τῆς σαρκὸς εἰς τὸν Ἅγιον, ὅπως τὸ εἶχε ζητήσει.

3. Μόλις ὅμως ἀντελήφθη μέσα του τοὺς ἀτόπους λογισμοὺς νὰ τὸν ἐξωθοῦν εἰς ἀπρεπεῖς πράξεις, ἀμέσως μετέβη εἰς ἕνα σπήλαιον, ὅπου ἐνεφώλευεν ἕνας μέγας ὄφις φοβερὸς ὡς δράκων καὶ ἡτοιμάζετο νὰ πέσῃ ἐπάνω του, διὰ νὰ τὸν καταπίῃ ὁ δράκων· προεκάλει δὲ καὶ ἐκέντα τὸν φοβερὸν αὐτὸν ὄφιν διὰ νὰ τὸν δαγκώσῃ, ἔστω καὶ ἐὰν δὲν εἶχεν ὄρεξιν πρὸς τοῦτο. Τοῦτο δὲ τὸ ἔκαμε, διότι ἐπροτιμοῦσε νὰ ἀποθάνῃ σωματικῶς, παρὰ νὰ ὑποδουλώσῃ εἰς τὰ αἰσχρὰ σωματικὰ πάθη τὴν εὐγένειαν τῆς ψυχῆς.

4. Τὴν ἀποφασιστικότητα αὐτὴν τοῦ Ὁσίου δὲν ἠδυνήθη νὰ ἀνθέξῃ ὁ διάβολος· δι' αὐτό, ἐνῷ αὐτὸς τόσον προθύμως ἐρρίπτετο εἰς τὸν δράκοντα, ἀμέσως οἱ πονηροὶ λογισμοί, αὐτὰ τὰ σπέρματα τοῦ

νοητοῦ δράκοντος, ἐφυγαδεύοντο καὶ οὕτω ἀπηλλάσσετο ἀπὸ τὴν ἐνόχλησίν των. Μαζὶ δὲ μὲ τὴν φυγάδευσιν τῶν πονηρῶν λογισμῶν ἐμαράνθη καὶ ἀπενεκρώθη καὶ οἱονδήποτε ἄλλο σαρκικὸν σκίρτημα, ποὺ τὸν ἐβασάνιζε προηγουμένως. Μαζὶ δὲ μὲ τὸ θαῦμα αὐτό, ἀμέσως ἐφονεύθη ὑπὸ ἀοράτου δυνάμεως καὶ τὸ φοβερὸν ἐκεῖνο θηρίον, ὁ ὄφις, καὶ ἐξησφαλίσθη εἰς τὸν ἀγωνιστήν, τὸν Μέγαν Ἰωαννίκιον, δύναμις ἐναντίον τῶν διαφόρων ὁρατῶν καὶ ἀοράτων θηρίων.

Γ΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΜΕΛΛΩΝ ἤδη τῶν γηΐνων μεθίστασθαι ὁ θεῖος Εὐθύμιος, τοὺς ἑαυτοῦ μαθητὰς πρὸς ἑαυτὸν συγκαλέσας, εἶπε· Πατέρες ἐμοὶ καὶ ἀδελφοὶ ἀγαπητοὶ ἐν Κυρίῳ καὶ τέκνα· ἐγὼ πορεύομαι ἤδη τὴν τελευταίαν ὁδὸν τῶν Πατέρων μου, ὑμᾶς δὲ χρὴ τὸ πρὸς ἐμὲ φίλτρον διὰ τῆς τῶν ἐντολῶν φυλακῆς ἐπιδείξασθαι, ὧν προηγουμένως ἐστὶν ἡ ἀγάπη σύνδεσμος οὖσα τῆς τῶν ἀρετῶν τελειότητος· ὥς περ γὰρ οἱ ἅλες τῷ ἄρτῳ, τοῦτο ταῖς ἀρεταῖς ἡ ἀγάπη, καὶ χωρὶς αὐτῆς ἀρετὴν ὡς χρὴ κατορθῶσαι ἀδύνατον· ἐπεὶ καὶ ἀρετὴ πᾶσα δι᾿ ἀγάπης καὶ ταπεινοφροσύνης βεβαία γνωρίζεται.

2. Ἡ μὲν ταπεινοφροσύνη πρὸς ὕψος ἤδη κατορθωμάτων ἀνάγει τὸν μετιόντα, ἡ δὲ ἀγάπη συνέχεται ἀσφαλῶς, καὶ τοῦ ὕψους ἐκείνου καταπεσεῖν οὐκ ἐᾷ· μείζων δὲ πάντων ἡ ἀγάπη, ὅπερ καὶ ἀπ᾿ αὐτοῦ δῆλον τοῦ κατὰ τὸν Δεσπότην καὶ Δημιουργὸν ὑποδείγματος· διὰ γὰρ τὴν πρὸς ἡμᾶς ἀγάπην ἐταπείνωσεν ἑαυτὸν ἑκών, καὶ γέγονε καθ᾿ ἡμᾶς· χρὴ οὖν ἐξομολογεῖσθαι τούτῳ διαπαντὸς καὶ ὕμνους προσφέρειν, καὶ τῶν ἐν θλίψεσιν, ὅση δύναμις, ἐπιμελεῖσθαι.

3. Ἡ ἀγάπη, σφραγίς ἐστι τῇ ψυχῇ, καθὼς καὶ ὁ Κύριος ἡμῶν ἐνετείλατο τῆς μαθηταῖς αὐτοῦ λέγων· «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους». Περὶ τίνων οὖν λέγει ὅτι γνώσονται ὑμᾶς; δῆλον μέν, ὅτι καὶ περὶ τῶν ἀνθρώπων, ἐξαιρέτως δὲ περὶ τῶν δυνάμεων τῆς δεξιᾶς καὶ ἀριστερᾶς, ἤγουν Ἀγγέλων καὶ δαιμόνων ἐν τῇ ὥρᾳ τοῦ θανάτου.

4. Ἐὰν γὰρ ἴδωσιν οἱ ἀντικείμενοι τὸ σημεῖον τῆς ἀγάπης μετὰ τῆς ψυχῆς πορευόμενον, ἀφίστανται ἀπ᾿ αὐτῆς ἐν φόβῳ, καὶ τότε χαρήσονται μετ᾿ αὐτῆς πᾶσαι αἱ ἅγιαι δυνάμεις. Ἀγωνισώμεθα οὖν, ἀγαπητοί, κατὰ τὴν δύναμιν ἡμῶν κτήσασθαι αὐτήν, ὅπως μὴ κατάσχωσιν ἡμᾶς οἱ ἐχθροὶ ἡμῶν.

5. Ἐὰν οὖν καλέσῃ σε ὁ ἀδελφός σου ὄντα σε εἰς τὸ ἐργόχειρόν σου, σπούδασον ἰδεῖν τί θέλει, καὶ ποίησον αὐτὸ μετ᾿ αὐτοῦ ἐάσας τὸ σόν· ἐὰν ἔστι πρᾶγμα ἔχον μισθόν, κοινωνησάτω μετὰ σοῦ ὁ ἀδελφός σου, καὶ μὴ βασκήνῃς αὐτῷ· ἐὰν δὲ ᾖ τὸ πρᾶγμα μικρὸν καὶ εἴπῃ ὁ εἷς τῷ ἑτέρῳ, ἄπελθε, ἔργασαι, ἀδελφέ, ἐγὼ μόνος ποιῶ αὐτό, ὑπακουσάτω αὐτῷ· ὁ ὑπακούων, αὐτός ἐστιν ὁ μέγας.

6. Ἐὰν ἀπέλθῃς εἰς τόπον οἰκῆσαι, καὶ λάβῃς κελλίον, καὶ οἰκοδομήσῃς, καὶ ἀναλώσῃς εἰς αὐτὸ καὶ μετὰ χρόνον ἐάσῃς αὐτὸ καὶ μείνῃ ἐν αὐτῷ ἀδελφός, εἶτα πάλιν μετὰ μικρὸν θελήσῃς ὑποστρέψαι ἐκεῖ, μὴ ἐκβάλῃς αὐτόν, ἀλλὰ ζήτησον σεαυτῷ ἄλλο κελλίον, ἵνα μὴ ἁμάρτῃς εἰς Θεόν· ἐὰν δὲ τῇ αὐτοῦ προαιρέσει θέλῃ ἀναχωρῆσαι, ἀθῷος εἶ, εἰ δὲ εἴασας σκεύη ἐν κελλίῳ καὶ κατηνάλωσεν αὐτά, μὴ ζητήσῃς αὐτὰ παρ᾿ αὐτοῦ.

7. Ὅταν δὲ ἀναχωρῇς ἀπὸ κελλίου, βλέπε τὴν χρείαν αὐτοῦ μὴ λάβῃς μετὰ σοῦ, ἀλλ᾿ ἔασον αὐτὴν ἐν αὐτῷ δι᾿ ἀδελφὸν πτωχόν, καὶ ὁ Θεὸς οἰκονομῆσαι σε ἔχει, ὅπου ἂν ἀπέρχῃ. Ἐὰν οἰκήσῃς μετὰ ἀδελφοῦ, καὶ ὁ λογισμός σου θέλει σε δεσμεῦσαι ἐν τῷ φαγίῳ, εἰπὲ τῷ λογισμῷ σου, ὅτι ἀσθενὴς ὁ ὧδε, δεσπότης μου

ἐστίν· εἰ θέλῃς ὅλως ἐγκρατεύεσθαι πλέον, λάβε σεαυτῷ μικρὸν κελλίον καταμόνας, καὶ μὴ θλίψῃς τὸν ἀδελφόν σου τὸν ἀσθενῆ.

Ἑρμηνεία

ΟΤΑΝ ὁ θεῖος Εὐθύμιος ἐπρόκειτο νὰ ἐκδημήσῃ ἀπὸ τὸν φθαρτὸν τοῦτον κόσμον, ἐκάλεσε πλησίον του τοὺς μαθητάς του καὶ τοὺς εἶπε· «Πατέρες μου καὶ ἀγαπητοί μου ἐν Κυρίῳ ἀδελφοὶ καὶ τέκνα· ἐγώ, ἐντὸς ὀλίγου, πρόκειται νὰ ἀκολουθήσω τὴν τελευταίαν ὁδόν, ποὺ ἠκολούθησαν ὅλοι οἱ Πατέρες μου. Σεῖς πρέπει νὰ ἀποδείξετε τὴν ἀγάπην σας πρὸς ἐμὲ διὰ τῆς τηρήσεως τῶν ἐντολῶν τῆς μοναχικῆς πολιτείας. Ἀπὸ αὐτὰς τὰς ἐντολὰς πρώτη καὶ ἀνωτέρα εἶναι ἡ ἀγάπη, ἡ ὁποία ἀποτελεῖ καὶ τὸν σύνδεσμον τῆς τελειότητος τῶν ἀρετῶν. Τόσον δὲ ἀπαραίτητος εἶναι ἡ ἀγάπη μεταξὺ τῶν ἀρετῶν, ὅσον καὶ τὸ ἁλάτι εἰς τὸ ψωμί. Χωρὶς τὴν ἀγάπην εἶναι ἀδύνατον νὰ πραγματοποιήσῃ κανείς, ὅπως πρέπει, τὴν ἀρετήν, διότι ἡ ἀπόδειξις πάσης γνησίας ἀρετῆς εἶναι ἡ ἀγάπη καὶ ἡ ταπεινοφροσύνη.

2. Ἐξ αὐτῶν ἡ μὲν ταπεινοφροσύνη ἀναβιβάζει τὸν ταπεινόφρονα πρὸς τὸ ὕψος τῶν κατορθωμάτων, ἡ δὲ ἀγάπη τὸν συγκρατεῖ εἰς τὸ ὕψος αὐτὸ ἀσφαλῶς, ὥστε νὰ μὴ δύναται νὰ πέσῃ ἀπὸ ἐκεῖ. Ἐξ ὅλων δὲ τῶν ἀρετῶν ἡ μεγίστη εἶναι ἡ ἀγάπη, ὅπως φαίνεται καὶ ἀπὸ τὴν παραδειγματικὴν ζωὴν τοῦ Δεσπότου καὶ Δημιουργοῦ ἡμῶν. Ἐξ αἰτίας τῆς πρὸς ἡμᾶς ἀγάπης, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐταπεινώθη θεληματικὰ καὶ ἔγινεν ὅμοιος μὲ ἡμᾶς. Δι' αὐτὸ πρέπει διαρκῶς καὶ ἡμεῖς νὰ ἐξομολογούμεθα πρὸς Αὐτόν, νὰ Τὸν ὑμνῶμεν καὶ νὰ ἐνδιαφερώμεθα διὰ τοὺς θλιβομένους ὅσον δυνάμεθα.

3. Ἡ ἀγάπη εἶναι διὰ τὴν ψυχὴν ἡ σφραγὶς τοῦ Θεοῦ· δι' αὐτὸ καὶ ὁ Κύριος ἔδωσεν, ὡς γνωστόν, τὴν ἑξῆς ἐντολὴν εἰς τοὺς μαθητάς· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις» (Ἰωάν. ιγ', 35). Ποίους λοιπὸν ἐννοεῖ ὁ Κύριος, ὅταν λέγῃ· «Γνώσονται πάντες;» Ποῖοι εἶναι αὐτοὶ οἱ «πάντες;» Βεβαίως εἶναι καὶ οἱ ἄνθρωποι· κυρίως ὅμως ὑπονοεῖ τὰς πνευματικὰς καὶ ἀοράτους δυνάμεις, τὰς ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν εὑρισκομένας εἰς τὸν ἄνθρωπον, δηλαδὴ τοὺς Ἀγγέλους καὶ τοὺς δαίμονας, κατὰ τὴν ὥραν τοῦ θανάτου ἡμῶν.

4. Διότι ὅταν ἴδουν οἱ ἐχθροί μας τὸ σημεῖον τῆς ἀγάπης ἀποτυπωμένον ἐπὶ τῆς ψυχῆς ποὺ πορεύεται πρὸς τὸ κριτήριον, ἀπομακρύνονται μὲ φόβον ἀπὸ αὐτὴν καὶ τότε θὰ χαροῦν μαζί της ὅλαι αἱ οὐράνιαι δυνάμεις. Ἂς ἀγωνισθῶμεν λοιπόν, ἀγαπητοί, ὅσον ἠμποροῦμεν, διὰ νὰ ἀποκτήσωμεν τὴν ἀγάπην καὶ νὰ μὴ μᾶς αἰχμαλωτίσουν, κατὰ τὴν φοβερὰν ἐκείνην στιγμήν, οἱ ἐχθροί μας.

5. Ἐὰν λοιπὸν σὲ φωνάξῃ ὁ ἀδελφός σου, ὅταν σὺ θὰ ἀσχολῆσαι μὲ τὸ ἐργόχειρόν σου, φρόντισε νὰ ἴδῃς τί θέλει. Ἐν συνεχείᾳ μάλιστα, χάριν τῆς ἀγάπης, νὰ ἀφήσῃς τὴν ἐργασίαν σου καὶ νὰ ἀσχολη-

θῇς μαζί του. Ἐὰν πρόκειται περὶ ἔργου, τὸ ὁποῖον θὰ ἀποφέρῃ κέρδος, καλὸν θὰ εἶναι νὰ καταστήσῃς κοινωνὸν τοῦ κέρδους τὸν ἀδελφόν σου, χωρὶς νὰ φθονήσῃς. Ἐὰν πάλιν πρόκειται περὶ ἐργασίας ἀσημάντου, καὶ εἴπῃ ὁ ἕνας εἰς τὸν ἄλλον· «Τώρα, ἀδελφέ, πήγαινε νὰ ἐργασθῇς, διότι ἐγὼ δύναμαι νὰ τὸ ἐπιτύχω μόνος μου», πρέπει ὁ ἄλλος νὰ ὑπακούσῃ εἰς αὐτόν, ποὺ τὸ ἐπρότεινεν. Ἐκεῖνος, ποὺ θὰ ὑπακούσῃ, ἀσφαλῶς θὰ εἶναι ὁ μεγαλύτερος εἰς τὴν ἀξίαν.

6. Ἐὰν ἀναχωρήσῃς εἰς ἕνα μέρος διὰ νὰ κατοικήσῃς ἐκεῖ, καὶ ἀγοράσῃς ἕνα κελλὶ πρὸς κατοικίαν σου, καὶ ἐξοδεύσῃς διὰ τὴν τακτοποίησίν του, μετὰ δὲ ἀπὸ ὀλίγον χρόνον τὸ ἐγκαταλείψῃς καὶ κατοικήσῃ ἄλλος ἀδελφός, ὅταν θελήσῃς νὰ ἐπιστρέψῃς, μὴ ἐπιζητήσῃς νὰ τὸν ἀπομακρύνῃς, ἀλλὰ νὰ ἀναζητήσῃς ἄλλο κελλὶ διὰ τὸν ἑαυτόν σου· τοιουτοτρόπως ἐνεργῶν δὲν θὰ ἁμαρτήσῃς ἐνώπιον τοῦ Θεοῦ. Ἐὰν ὅμως μόνος του θελήσῃ νὰ ἀναχωρήσῃ, εἶσαι ἀθῷος, δὲν εὐθύνεσαι. Ἐὰν ἄφησες, κατὰ τὴν ἀναχώρησίν σου, διάφορα πράγματα καὶ τρόφιμα καὶ τὰ ἐξώδευσε, μὴ τὰ ζητήσῃς ἀπὸ τὸν ἀδελφόν.

7. Ὅταν ἀναχωρῇς ἀπὸ κελλί, εἰς τὸ ὁποῖον προηγουμένως εἶχες κατοικήσει, πρόσεξε νὰ μὴ πάρῃς μαζί σου ὅσα πράγματα ἔχει μέσα· αὐτὰ νὰ τὰ ἀφήσῃς διὰ τὸν πτωχὸν ἀδελφόν σου, ποὺ θὰ σὲ διαδεχθῇ καὶ ὁ Θεὸς ἔχει τὴν δύναμιν νὰ φροντίσῃ διὰ σὲ ὅπου καὶ ἐὰν εὑρεθῇς. Ἐὰν συγκατοικήσῃς μαζὶ μὲ ἄλλον ἀδελφὸν εἰς ἕνα κελλίον καὶ ὁ λογισμός σου ὑπαγορεύῃ περιορισμὸν φαγητοῦ, μὴ δεχθῇς τὴν σύστασιν αὐτήν· νὰ ἀπαντήσῃς δὲ εἰς τὸν λογισμόν σου, ὅτι ὁ ἀδελφός μου, ποὺ εἶναι ἀσθενής, αὐτὸς εἶναι κύριός μου, καθορίζων τὴν δίαιτάν μου. Ἐὰν πάλιν ἐπιθυμῇς νὰ ὑποβληθῇς εἰς αὐστηρὰν ἐγκράτειαν, τότε νὰ κατοικήσῃς μόνος σου εἰς ἀπομεμακρυσμένον κελλίον, διὰ νὰ μὴ φέρῃς εἰς δύσκολον θέσιν τὸν ἀσθενῆ ἀδελφόν σου μὲ τὸν ὁποῖον συγκατοικεῖς.

Δ'. Ἐν τῷ Γεροντικῷ

ΠΑΡΕΒΑΛΕ τις τῶν Γερόντων ποτὲ τῷ Ἀββᾷ Ἰωάννῃ τῷ ἀπὸ γεννήσεως εὐνούχῳ, καὶ λαλούντων αὐτῶν, εἶπεν ὁ Ἀββᾶς Ἰωάννης· ὅταν ἤμην εἰς σκῆτιν, τὰ ἔργα τῆς ψυχῆς ἦν τὸ ἔργον ἡμῶν, τὸ δὲ ἐργόχειρον ὡς πάρεργον εἴχομεν· νῦν δὲ γέγονε τὸ ἔργον τῆς ψυχῆς ὡς πάρεργον, καὶ τὸ πάρεργον ἔργον.

2. Ἠρώτησε δὲ αὐτὸν ὁ ἀδελφὸς λέγων· πῶς τοῦτο λέγεις, Πάτερ; ἀπεκρίθη ὁ Γέρων· πάντα τὰ γινόμενα διὰ τὴν ἐντολὴν τοῦ Θεοῦ ἔργον τῆς ψυχῆς ἐστι, τὸ δὲ δι' ἑαυτὸν ἐργάζεσθαι καὶ συνάγειν, τοῦτο πάρεργον ἔχειν ὀφείλομεν.

3. Ἔφη πάλιν ὁ ἀδελφός· σαφήνισόν μοι τὴν ὑπόθεσιν ταύτην· ἀπεκρίθη ὁ Γέρων· ἰδοὺ ἀκούεις περὶ ἐμοῦ ὅτι ἀσθενῶ, καὶ δεῖ σε ἐπισκέψασθαί με, σὺ δὲ λέγεις ἐν ἑαυτῷ, καταλιπεῖν ἔχω νῦν τὸ ἐργόχειρόν μου καὶ ἀπελθεῖν; οὐχί, ἀλλὰ πληρώσω τὸ ἔργον μου, καὶ τότε ἀπέρχομαι· ἴσως δὲ καὶ ἐπέρχεταί σοι καὶ ἄλλη ἀφορμή, καὶ οὐδὲ ὅλως ὑπάγεις· πάλιν ἄλλος λέγει σοι· δός μοι χεῖρα, ἀδελφέ, καὶ λέγεις· ἐγὼ ἀφήσω τὸ ἐργόχειρόν μου, καὶ ἀπέλθω ἐργάζεσθαι μετ' αὐτοῦ;

εἰ οὖν μὴ ἀπέλθῃς, ἀφίεις τὴν ἐντολὴν τοῦ Θεοῦ, ἥτις ἐστὶν ἔργον τῆς ψυχῆς, καὶ ποιεῖς τὸ πάρεργον, ὅ ἐστιν τὸ ἔργον τῶν χειρῶν σου.

4. Εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος, ὅτι ἐκ τοῦ πλησίον ἐστὶν ἡ ζωὴ καὶ ὁ θάνατος· ἐὰν γὰρ κερδήσωμεν τὸν ἀδελφόν, τὸν Θεὸν κερδαίνομεν· καὶ ἐὰν σκανδαλίσωμεν τὸν ἀδελφόν, εἰς Χριστὸν ἁμαρτάνομεν.

5. Ἔλεγεν ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβός· οὐ δυνατὸν οἰκοδομῆσαι τὸν οἶκον ἄνωθεν ἐπὶ τὰ κάτω, ἀλλ' ἐκ τοῦ θεμελίου ἐπὶ τὰ ἄνω· λέγουσιν αὐτῷ· τίς ἐστιν ὁ λόγος οὗτος; καὶ ἀπεκρίθη ὁ Γέρων· ὁ θεμέλιος, ὁ πλησίον ἐστὶν ἵνα αὐτὸν κερδάνῃς· καὶ ὀφείλει τοῦτο γίνεσθαι πρῶτον· εἰς αὐτὸν γὰρ κρέμανται πᾶσαι αἱ ἐντολαὶ τοῦ Χριστοῦ.

6. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· πῶς εἰσι καὶ ἄρτι τινὲς κοπιῶντες ἐν ταῖς πολιτείαις, καὶ οὐ λαμβάνουσι τὴν Χάριν ὡς οἱ ἀρχαῖοι; ἔφη ὁ Γέρων· τότε ἀγάπη ἦν, καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ εἷλκεν ἄνω· νῦν δὲ ψυγείσης τῆς ἀγάπης, ἕκαστος τὸν πλησίον αὐτοῦ κάτω σύρει· καὶ διὰ τούτου οὐ λαμβάνομεν τὴν Χάριν.

7. Ἔλεγεν ὁ Ἀββᾶς Ἀγάθων· εἰ δυνατόν μοι εὑρεῖν κελεφόν, καὶ δοῦναι αὐτῷ τὸ ἐμὸν σῶμα, καὶ λαβεῖν τὸ αὐτοῦ, ἡδέως ἂν εἶχον· αὕτη γάρ ἐστιν ἡ τελεία ἀγάπη.

8. Ἔλεγον περὶ αὐτοῦ, ὅτι ἐλθών ποτε πωλῆσαι σκεύη ἐν τῇ πόλει, εὗρεν ἄνθρωπον ξένον ἐν τῇ πλατείᾳ ἐῤῥιμένον ἄῤῥωστον, καὶ μὴ ἔχοντα τὸν ἐπιμελούμενον· καὶ ἔμεινε σὺν αὐτῷ ὁ Γέρων λαβὼν ἐνοικίου κελλίον, καὶ ἐκ τοῦ ἐργοχείρου παρεῖχε τὸ ἐνοίκιον, καὶ τὰ λοιπὰ εἰς τὴν τοῦ ἀῤῥώστου χρείαν ἀνήλισκε· καὶ ἔμεινε τετράμηνον ἕως οὗ ἰάθη ὁ ἄῤῥωστος, καὶ τότε ὁ Γέρων ἀπῆλθεν εἰς τὸ κελλίον αὐτοῦ μετ' εἰρήνης.

9. Ἄλλοτε πάλιν ὁ αὐτὸς ἀπῆλθεν εἰς τὴν πόλιν σκεύη πωλῆσαι, καὶ εὑρίσκει τινὰ λελωβημένον κείμενον παρὰ τὴν ὁδόν· καὶ λέγει αὐτῷ ὁ λελωβημένος· ὅπου πωλεῖς τὰ σκεύη σου, ἐκεῖ με θές· ἐποίησε δὲ οὕτως· καὶ ὅτε ἐπώλησε σκεῦος, ἔλεγεν αὐτῷ ὁ ἀῤῥωστῶν· πόσου ἐπώλησας αὐτό; καὶ ἀπεκρίνατο ὁ Γέρων, τόσου· καὶ ἔλεγε πάλιν ἐκεῖνος· ἀγόρασόν μοι πλακοῦντα· καὶ ἠγόραζε· καὶ πάλιν ἐπώλει ἄλλο σκεῦος, καὶ ἠρώτα αὐτόν· καὶ τοῦτο πόσου; καὶ ἀπεκρίνετο, τόσου· καὶ πάλιν ὁ ἀσθενῶν ἔλεγεν· ἀγόρασόν μοι τόδε, καὶ ἠγόραζε.

10. Μετὰ οὖν τὸ πωλῆσαι ὅλα τὰ σκεύη, καὶ ποιῆσαι ὁμοίως, ἤθελεν ἀπελθεῖν, καὶ λέγει αὐτῷ ὁ λελωβημένος· ὑπάγεις; ἔφη ὁ Γέρων, ναί· καί φησιν ἐκεῖνος· ποίησον πάλιν ἀγάπην, καὶ ἆρόν με ὅπου εὗρες· καὶ βαστάσας αὐτόν, ἤνεγκεν εἰς τὸν τόπον τὸν πρότερον. Τότε λέγει τῷ Γέροντι· εὐλογημένος εἶ, Ἀγάθων, ὑπὸ Κυρίου ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· καὶ ἄρας τοὺς ὀφθαλμοὺς αὐτοῦ ὁ Γέρων οὐδένα εἶδεν· ἦν γὰρ Ἄγγελος Κυρίου ἐλθὼν δοκιμάσαι αὐτόν.

11. Διηγήσαντο περὶ αὐτοῦ, ὅτι ἔνθα ηὑρίσκετο, ἐσπούδαζεν πᾶσιν ὑπηρετεῖν· καὶ εἰ διέβαινεν εἰς πορθμεῖον, αὐτὸς πρῶτος ἐκράτει τὴν κώπην, καὶ ὅτε παρέβαλλον αὐτῷ οἱ ἀδελφοί, εὐθέως ἀπὸ τῆς εὐχῆς ἡ χεὶρ αὐτοῦ τὴν τράπεζαν ἐτίθει· ἦν γὰρ μεστὸς ἀγάπης Θεοῦ.

12. Ἦν τις Γέρων εἰς τὰ κελλία, ὀνόματι Ἀπολλώς· καὶ εἰ ἤρχετό τις αἰτῶν αὐτὸν εἰς οἱονδήποτε ἔργον, μετὰ χαρᾶς ἀπῄει λέγων· μετὰ τοῦ Χριστοῦ ἔχω σήμερον ἐργάσασθαι ὑπὲρ τῆς ψυχῆς μου.

13. Εἶπεν ὁ Ἀββᾶς Θεόδωρος ὁ τοῦ Ἐνάτου· ὅτε ἤμην νεώτερος, εἰς τὴν ἔρημον ἔμενον· ἀπῆλθον οὖν εἰς τὸ ἀρτοκοπεῖον ποιῆσαι δύο σιτίας, καὶ εὗρον

ἐκεῖ ἀδελφὸν θέλοντα ποιῆσαι ἄρτους, καὶ οὐκ εἶχε τινὰ δοῦναι αὐτῷ χεῖρα· ἐγὼ δὲ ἀφῆκα τὰ ἐμά, καὶ ἔδωκα αὐτῷ χεῖρα.

14. Ὡς δὲ ἐσχόλασα, ἦλθεν ἄλλος ἀδελφός· καὶ πάλιν ἔδωκα καὶ αὐτῷ χεῖρα· καὶ ἐποίησε τὰ ψωμία, καὶ πάλιν τρίτος ἦλθε καὶ ἐποίησα ὁμοίως, καὶ μετ' αὐτὸν ἕτερος, καὶ πάλιν ἄλλος ἕως τῶν ἕξ, καὶ ἐποίησα ὁμοίως ἓξ σιτίας· ὕστερον δὲ ἀποσχόντων τῶν ἐρχομένων, ἐποίησα καὶ τὰς δύο σιτίας τὰς ἐμάς, καὶ οὕτως ἀπῆλθον.

15. Εἶπεν ὁ Ἀββᾶς Ἀντώνιος· οὐδέποτε τὸ ἐμαυτοῦ συμφέρον προέκρινα τῆς τοῦ ἀδελφοῦ μου ὠφελείας.

16. Εἶπεν ὁ Ἀββᾶς Πέτρος περὶ τοῦ Ἀββᾶ Μακαρίου, ὅτι παραγενόμενός ποτε πρός τινα ἀναχωρητήν, καὶ εὑρὼν αὐτὸν κακουχούμενον, ἐπυνθάνετο τί ἕλοιτο ἂν τραφῆναι, οὐδενὸς ὄντος ἐν τῷ κελλίῳ αὐτοῦ· καὶ εἰπόντος ἐκείνου πάστειλον, οὐκ ὤκνησεν ὁ Γέρων ἀφικέσθαι εἰς Ἀλεξάνδρειαν, καὶ ἀγοράσας ἤνεγκε πρὸς τὸν κάμνοντα· καὶ τοῦτο μηδενὸς γνόντος τὸ γεγονός.

17. Διηγεῖτο ὁ Ἀββᾶς Ἰωσὴφ περὶ τοῦ Ἀββᾶ Ἀγάθωνος λέγων, ὅτι σμιλίον εἶχε, δι' οὗ εἰργάζετο, καὶ ἦλθε πρὸς αὐτὸν ἀδελφὸς καὶ ἐπῄνεσεν αὐτό· ὁ δὲ Γέρων οὐκ ἀφῆκε τὸν ἀδελφὸν ἐξελθεῖν, εἰ μὴ ἔλαβε τὸ σμιλίον.

18. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ποιμένος, ὅτι ἐκάθητο εἰς σκῆτιν μετὰ δύο ἀδελφῶν αὐτοῦ, καὶ ὁ μικρότερος ἔθλιβεν αὐτούς· καὶ λέγει ὁ Ἀββᾶς Ποιμὴν τῷ ἄλλῳ ἀδελφῷ· παραλύει ὁ μικρὸς οὗτος ἡμᾶς, ἐγείρου, ἄγωμεν ἔνθεν· καὶ ἐξελθόντες ἀφῆκαν αὐτόν· ἐκεῖνος δὲ ὡς εἶδεν ὅτι ἐχρόνισαν, ἐξῆλθε ψηλαφῶν αὐτούς, καὶ ἰδὼν αὐτοὺς μακρὰν ἀπέχοντας ἤρξατο τρέχειν ὀπίσω αὐτῶν καὶ κράζειν.

19. Θεασάμενος δὲ αὐτὸν ὁ Ἀββᾶς Ποιμήν, λέγει τῷ μετ' αὐτοῦ ἀδελφῷ· μείνωμεν τὸν ἀδελφὸν ὅτι κοπιᾷ· ἐκεῖνος οὖν ὡς ἦλθε πρὸς αὐτούς, ἔβαλε μετάνοιαν λέγων· ποῦ ὑπάγετε καὶ ἀφίετέ με μόνον; ἔφη αὐτῷ ὁ Γέρων· ὅτι θλίβεις ἡμᾶς, διὰ τοῦτο ἀναχωροῦμεν· ὁ δὲ εἶπε· ναί, ναί, ὅπου θέλετε ἄγωμεν ὁμοῦ.

20 Καὶ ἰδὼν ὁ Γέρων τὴν ἀκακίαν τοῦ ἀδελφοῦ, λέγει τῷ ἑτέρῳ ἀδελφῷ· ἀναστρέψωμεν, ἀδελφέ· οὐ γὰρ θέλων ταῦτα ποιεῖ, ἀλλ' ὁ διάβολός ἐστιν ὁ ταῦτα ποιῶν αὐτῷ· καὶ ἀναστρέψαντες ἦλθον εἰς τὸν τόπον αὐτῶν.

21. Ἦλθόν ποτε Σαρακηνοὶ καὶ ἐξέδυσαν τὸν Ἀββᾶν Σισώην, καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐάσαντες αὐτοὺς ἀπῆλθον· οἱ δὲ ἀπελθόντων τῶν Σαρακηνῶν ἐξῆλθον εἰς τὴν ἔρημον, ἵνα εὕρωσί τι βρώσιμον, καὶ εὑρὼν ὁ Γέρων βόλβιτα καμήλων, καὶ κλάσας, εὗρεν ἐν αὐτοῖς κόκκους κριθῶν, καὶ τούτους ἀναλεγόμενος ἕνα μὲν αὐτὸς ἔτρωγεν, ἕνα δὲ εἰς τὴν χεῖρα αὐτοῦ ἐτίθει.

22. Ἐλθὼν δὲ ἀδελφός, καὶ εὑρὼν αὐτὸν ἐσθίοντα, λέγει· αὕτη ἐστὶν ἡ ἀγάπη, ὅτι εὗρες βρώσιμον, καὶ μόνος ἐσθίεις, καὶ οὐκ ἐφώνησάς με; ἀπεκρίθη αὐτῷ ὁ Γέρων· οὐκ ἠδίκησά σε, ἀδελφέ, ἰδοὺ τὸ μέρος σου ἐν τῇ χειρί μου ἐτήρησα.

23. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Παφνουτίου, ὅτι οὐ ταχέως ἔπινεν οἶνον· ὁδεύων δέ ποτε, εὑρέθη ἐπάνω κολληγίου λῃστῶν, οἳ ἦσαν τότε πίνοντες οἶνον· ἐγνώριζε δὲ αὐτὸν ὁ ἀρχιλῃστής, καὶ ᾔδει ὅτι οὐ πίνει οἶνον· καὶ θεωρῶν αὐτὸν ἀπὸ μεγάλου κόπου ἐγέμισε ποτήριον οἴνου, καὶ τὸ ξίφος ἔλαβεν ἐν τῇ χειρί, καὶ λέγει τῷ Γέροντι· ἐὰν μὴ πίῃς, φονεύσω σε.

24 Γνοὺς δὲ ὁ Γέρων, ὅτι ἐντολὴν τοῦ Θεοῦ θέλει ποιῆσαι, βουλόμενος αὐτὸν κερδῆσαι, ἔλαβε καὶ ἔπιεν· ὁ δὲ ἀρχιλῃστὴς μετενόησεν αὐτῷ λέγων· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι ἔθλιψά σε· καί φησιν ὁ Γέρων· πιστεύω τῷ Θεῷ, ὅτι διὰ τὸ ποτήριον τοῦτο ποιεῖ μετὰ σοῦ ἔλεος καὶ ἐν τῷδε τῷ αἰῶνι καὶ ἐν τῷ μέλλοντι· λέγει ὁ ἀρχιλῃστής· πιστεύω τῷ Θεῷ, ὅτι ἀπὸ τοῦ νῦν οὐ μὴ κακοποιήσω τινά· καὶ ἐκέρδησεν ὅλον τὸ κολλήγιον ἀφεὶς τὸ θέλημα αὐτοῦ διὰ τὸν Κύριον.

25. Διηγήσατό τις, ὅτι Μαγιστριανός τις πράκτωρ, νεώτερος, καλὸς τῷ εἴδει, εἶχε τινὰ φίλον τῶν λαμπρῶν ἔχοντα γυναῖκα νεωτέραν, ὃς καὶ συνεχῶς τὸν Μαγιστριανὸν εἰς τὸν ἴδιον οἶκον ἐκάλει, καὶ συνέσθιε μετὰ τῆς γυναικὸς αὐτοῦ ἀγάπῃ φερόμενος. Ἡ οὖν γυνὴ ἔλαβε λογισμοὺς εἰς τὸν Μαγιστριανόν, ἀγνοοῦντος ἐκείνου, καὶ κατακυριευθεῖσα ὑπ' αὐτῶν ἠσθένει καὶ κατέκειτο.

26. Εἰσκαλῶν οὖν ἰατροὺς ὁ ἀνὴρ αὐτῆς, ἐμάνθανε παρ' αὐτῶν ὡς οὐδὲν πάθος ἔχει σωματικόν, εἰ μή τι γε ψυχικόν· παρακαλῶν οὖν ὁ ἀνὴρ αὐτῆς, καὶ παντὶ τρόπῳ βιαζόμενος μαθεῖν τὴν αἰτίαν τῆς νόσου, μόλις ἔπεισεν αὐτὴν φανερῶσαι αὐτῷ τὴν ἀλήθειαν εἰποῦσαν· οἶδα, κῦρι, ὅτι εἴτε ἀπὸ ἀγάπης, εἴτε ἁπλότητι φερόμενος, φέρεις ὧδε πρόσωπα νεώτερα, καὶ ἐγὼ ὡς γυνή, ἔπαθον εἰς τὸν Μαγιστριανόν.

27. Ἀκούσας δὲ ὁ ἀνὴρ αὐτῆς, ἡσύχασεν. Ὡς δὲ μεθ' ἡμέρας ἦλθεν ὁ Μαγιστριανὸς κατὰ τὸ σύνηθες, ἐξεῖπεν αὐτῷ τὸ πρᾶγμα ὁ ἀνὴρ αὐτῆς, ὁ δὲ ἀκούσας οὐ μόνον οὐκ ἔλαβε λογισμὸν εἰς αὐτήν, ἀλλὰ καὶ πάνυ ἐλυπήθη ἀγάπῃ φερόμενος, καί φησι πρὸς τὸν ἄνδρα τῆς γυναικός· μηδὲν λυπηθῇς, κύριέ μου, καὶ ἔχει ὁ Θεὸς βοηθῆσαι.

28. Ἀπελθὼν οὖν ἐξύρισε τὴν ἑαυτοῦ κεφαλήν, καὶ τὴν ὄψιν ἄχρι τῶν ὀφρύων, καὶ ἐπῆρεν ὅλην ἐκείνην τὴν ὡραιότητα, καὶ περιβαλλόμενος φακιόλιον ἀνέρχεται πρὸς τὴν γυναῖκα καὶ εὑρίσκει αὐτὴν ἀνακειμένην, καὶ τὸν ἄνδρα αὐτῆς παρακαθήμενον αὐτῇ· καὶ ἀποκαλύψας, δεικνύειν αὐτοῖς τὴν κεφαλήν, καὶ τὸ πρόσωπον, καὶ εἶπεν· οὕτως ἐποίησέ μοι ὁ Κύριος.

29. Ἐκείνη δέ, ὡς εἶδεν αὐτὸν ἐκ τοιαύτης μορφῆς εἰς τοιαύτην ἀμορφίαν, ἐθαύμασε· καὶ τοῦ Θεοῦ συνεργοῦντος διὰ τὴν ἀγαθὴν τοῦ Μαγιστριανοῦ προαίρεσιν, ἤρθη ἀπ' αὐτῆς ὁ πόλεμος, καὶ εὐθέως ἀνέστη, μηκέτι ὑπὸ τῶν λογισμῶν ἐκείνων ὀχληθεῖσα· ὁ δὲ Μαγιστριανὸς συνταξάμενος αὐτοῖς ἀπῆλθε καὶ οὐκέτι προσέθετο ἐλθεῖν πρὸς αὐτούς.

30. Γέρων τις εἰς Σκῆτιν ἠσθένησε, καὶ ἐπεθύμησε φαγεῖν ἄρτον νεαρόν· ἀκούσας δέ τις τῶν ἀγωνιστῶν ἀδελφῶν, ἔλαβε τὴν μηλωτὴν αὐτοῦ καὶ ἐν αὐτῇ ἄρτους ξηροὺς καὶ ἀπῆλθεν εἰς Αἴγυπτον· καὶ ἀλλάξας τὰ ψωμία, ἤνεγκε τῷ Γέροντι· καὶ ἰδόντες αὐτὰ θερμά, ἐθαύμασαν.

31. Ὁ δὲ Γέρων οὐκ ἤθελε γεύσασθαι, λέγων· ὅτι τὸ αἷμα τοῦ ἀδελφοῦ μου ἐστι· καὶ παρεκάλεσαν αὐτὸν οἱ Γέροντες διὰ τὸν Κύριον, φάγε, ἵνα μὴ εἰς κενὸν γένηται ἡ θυσία τοῦ ἀδελφοῦ· καὶ παρακληθεὶς ἔφαγεν.

32. Ἀσκητής τις εὑρηκώς τινα δαιμονῶντα καὶ μὴ δυνάμενον νηστεύειν, ἠξίωσε τὸν Θεὸν μετελθεῖν εἰς αὐτὸν τὸν δαίμονα, κἀκεῖνον ἐλευθερωθῆναι· καὶ δὴ ἐπήκουσεν αὐτοῦ ὁ Θεὸς καὶ εἰσῆλθεν εἰς τὸν Ἀσκητὴν ὁ δαίμων, ἐκστὰς τοῦ ἀνθρώπου ἐκείνου· καὶ ὁ Ἀσκητὴς ὑπὸ τοῦ δαίμονος βαρηθείς, ἐπέμενε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ καὶ ἀσκήσει σχολάζων, καὶ ἐντὸς ὀλίγων ἡμερῶν, διὰ τὴν ἀγάπην αὐτοῦ τὸ πλεῖστον, ἀπήλασεν ὁ Θεὸς καὶ ἀπ' αὐτοῦ τὸν δαίμονα.

33. Μονάζων τις ἦν ὑφ' ἑαυτὸν ἔχων καὶ ἄλλον μονάζοντα, ὃς ἦν ἐν κελλίῳ δέκα μιλίοις ἀφεστῶτι αὐτοῦ· εἶπεν οὖν αὐτῷ ὁ λογισμός· κάλεσον τὸν ἀδελφὸν ἵνα ἔλθῃ καὶ λάβῃ τὸν ἄρτον· καὶ πάλιν ἐλογίσατο ὅτι διὰ τὸν ἄρτον ἔχω σκῦλαι τὸν ἀδελφόν μου δέκα μίλια; μᾶλλον οὖν ἐγὼ ἀπενέγκω αὐτῷ ἄρτον· καὶ λαβὼν ἀπῄει πρὸς αὐτόν.

34. Ὡς δὲ ὕπηγε, προσέκρουσε πρὸς λίθον τὸν πόδα, καὶ πληγέντος αὐτῷ τοῦ δακτύλου, αἷμα πολὺ κατερρέεν· ὁ δὲ ἀπὸ τοῦ πόνου ἤρξατο κλαίειν, καὶ εὐθὺς ἐπέστη αὐτῷ Ἄγγελος λέγων· τί κλαίεις; ὁ δὲ ὑποδείξας αὐτῷ τὴν πληγὴν εἶπεν· ὅτι διὰ ταύτην κλαίω· ἔφη ὁ Ἄγγελος· μὴ κλαῖε διὰ ταύτην, καὶ γὰρ τὰ βήματα, ἃ ποιεῖς διὰ τὸν Κύριον, ἀριθμοῦνται, καὶ εἰς πολύν σοι μισθὸν πρὸ προσώπου

Θεοῦ φαίνονται. Τότε εὐχαριστήσας τὸν Θεὸν ὁ Ἀσκητὴς ὥδευε χαίρων, καὶ ἐλθὼν πρὸς τὸν ἀδελφὸν ἔφερε τοὺς ἄρτους, καὶ διηγήσατο τὴν τοῦ Θεοῦ φιλανθρωπίαν αὐτῷ, καὶ δοὺς αὐτῷ τὸν ἄρτον ὑπέστρεψε.

35. Καὶ τῇ ἐπαύριον λαβὼν πάλιν ἄρτους ἀπῄει πρὸς ἕτερον Μοναχὸν κομίζων αὐτῷ· συνέβη δὲ καὶ τότε κἀκεῖνον πρὸς τοῦτον ἔρχεσθαι, καὶ ἀπήντησαν ἀλλήλοις ἐν τῇ ὁδῷ· εἶπεν οὖν ὁ ὑπάγων τῷ ἐρχομένῳ· θησαυρὸν εἶχον, καὶ ἐζήτησας αὐτὸν συλῆσαι; ὁ δὲ εἶπεν αὐτῷ· ἡ στενὴ θύρα σὲ μόνον χωρεῖ; ἔασον καὶ ἡμᾶς ἅμα σοι ἐλθεῖν· καὶ εὐθέως λαλούντων αὐτῶν, ἐφάνη αὐτοῖς Ἄγγελος Κυρίου, καὶ λέγει αὐτοῖς· ἡ ἔρις ἡμῶν αὕτη, ὡς ὀσμὴ εὐωδίας ἀνέβη πρὸς τὸν Θεόν.

Ἑρμηνεία

ΕΝΑΣ ἀπὸ τοὺς Ἀσκητὰς ἐπεσκέφθη κάποτε τὸν Ἀββᾶν Ἰωάννην, ὁ ὁποῖος εἶχε γεννηθῆ εὐνοῦχος. Κατὰ τὴν συνομιλίαν των, μεταξὺ τῶν ἄλλων, εἶπον καὶ τὰ ἑξῆς.

Ἀββᾶς Ἰωάννης: Ὅταν παρέμενα εἰς τὴν σκήτην, ἡ κυριωτέρα ἀσχολία μας ἦσαν τὰ ἔργα, ποὺ ἀνεφέροντο εἰς τὴν σωτηρίαν τῆς ψυχῆς μας· τὸ ἐργόχειρον τὸ ἐθεωροῦσαμεν ὡς πάρεργον. Τώρα ὅμως, ὅπως βλέπω, ἀντεστράφησαν τὰ πράγματα· τὸ ἐνδιαφέρον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς μας ἔγινε πάρεργον, κυρία δὲ ἐνασχόλησις καὶ φροντὶς τὸ ἐργόχειρον.

2. Ἀσκητής: Ἐξήγησέ μας, Πάτερ μου, διατί τὸ λέγεις αὐτό; Πῶς διακρίνεις τὸ ἕνα ἀπὸ τὸ ἄλλο;

Ἀββᾶς Ἰωάννης: Ὅσα κάμνει ὁ ἄνθρωπος, ἐκτελῶν τὰς ἐντολὰς τοῦ Θεοῦ, εἶναι ἐργασία χάριν τῆς ψυχῆς· τὸ νὰ ἐργαζώμεθα διὰ τὴν συντήρησιν τοῦ σώματος καὶ νὰ συγκεντρώνωμεν διάφορα ὑλικὰ ἐφόδια χάριν αὐτοῦ, πρέπει νὰ τὸ θεωρῶμεν δευτερεύουσαν ἐνασχόλησιν καὶ νὰ τὸ ἔχωμεν ὡς πάρεργον.

3. Ἀσκητής: Καὶ πάλιν σὲ παρακαλῶ, Πάτερ μου, νὰ μοῦ ἀποσαφηνίσῃς ποῖον ἐκ τῶν ἔργων εἶναι πάρεργον καὶ ποῖον ἀπαραίτητον, ὥστε τὸ ἕνα νὰ προηγῆται τοῦ ἄλλου.

Ἀββᾶς Ἰωάννης: Πρόσεξε νὰ τὸ καταλάβῃς διὰ παραδειγμάτων· λοιπὸν πληροφορεῖσαι δι' ἐμέ, ὅτι εἶμαι ἀσθενής. Τί λέγει ἡ ἐντολὴ τοῦ Θεοῦ; Τί πρέπει νὰ κάμῃς; Νὰ μὲ ἐπισκεφθῇς! Σὺ ὅμως σκέπτεσαι: Πρέπει τώρα νὰ ἀφήσω τὸ ἐργόχειρόν μου καὶ νὰ μεταβῶ πρὸς ἐπίσκεψιν τοῦ ἀσθενοῦς; Προτιμότερον εἶναι νὰ τελειώσω τὴν ἐργασίαν μου καὶ μετὰ νὰ μεταβῶ! Ἐν τῷ μεταξὺ πιθανὸν νὰ ἐμφανισθοῦν καὶ ἄλλα ἐμπόδια καὶ οὕτω νὰ ματαιώσῃς τελείως τὴν ἐπίσκεψιν. Χάριν λοιπὸν τῆς ἐργασίας διὰ τὰς σωματικάς σου ἀνάγκας, ἐθεώρησες ὡς πάρεργον τὴν ἐκτέλεσιν τῆς ἐντολῆς τοῦ Θεοῦ· «Ἠσθένησα, καὶ ἐπεσκέψασθέ με» (Ματθ. κε', 36). Ἄκουσε τώρα ἄλλο παράδειγμα: Σὲ ἐπισκέπτεται ἕνας ἀδελφὸς καὶ σοῦ λέγει· σὲ παρακαλῶ, ἀδελφέ μου, βοήθησέ με, διὰ νὰ τελειώσω αὐτὴν τὴν ἐργασίαν. Τότε σὺ διερωτᾶσαι: Νὰ ἀφήσω τώρα ἐγὼ τὸ ἐργόχειρόν μου καὶ νὰ τὸν βοηθήσω; Ἐὰν λοιπὸν δὲν μεταβῇς εἰς βοήθειάν του, περιφρονεῖς τὴν

ἐντολὴν τοῦ Θεοῦ, ποὺ ἐπιτάσσει τὴν ἀλληλοβοήθειαν καὶ ἀσχολεῖσαι μὲ τὸ πάρεργον, τὸ ὁποῖον, εἰς τὴν περίπτωσιν αὐτήν, εἶναι ἡ ὑλική σου ἐργασία.

4. Ὁ Ἀββᾶς Ἀντώνιος ἔλεγεν εἰς τοὺς μαθητάς του: Δὲν ἀπέχει πολὺ ἡ πνευματικὴ ζωὴ ἀπὸ τὸν πνευματικὸν θάνατον· ἐὰν λοιπὸν κερδίσωμεν τὸν ἀδελφόν μας, συντελοῦντες εἰς τὴν ψυχικήν του σωτηρίαν, ἐκερδίσαμεν τὸν Θεόν· ἐὰν ὅμως σκανδαλίσωμεν τὸν ἀδελφόν μας, τότε ἁμαρτάνομεν ἐνώπιον τοῦ Χριστοῦ.

5. Ὁ Ἀββᾶς Ἰωάννης ὁ Κολοβὸς ἔλεγεν εἰς τοὺς μαθητάς του:

— Δὲν εἶναι δυνατὸν νὰ κτίσωμεν οἰκίαν ἀρχίζοντες τὴν οἰκοδομὴν ἀπὸ ἐπάνω πρὸς τὰ κάτω· θὰ ἀρχίσωμεν ἀπὸ τὰ θεμέλια καὶ θὰ προχωρήσωμεν πρὸς τὰ ἐπάνω. Ἐπειδὴ ὅμως οἱ μαθηταί του δὲν ἀντελήφθησαν τὸ νόημα τῆς παραβολῆς αὐτῆς, τὸν παρεκάλεσαν νὰ τοὺς ἐπεξηγήσῃ τὴν εἰκόνα αὐτήν. Πρόθυμος τότε ὁ Ἀββᾶς Ἰωάννης συνεπλήρωσε:

— Τὸ θεμέλιον ἐπάνω εἰς τὸ ὁποῖον πρέπει νὰ κτίσῃς εἶναι ὁ πλησίον, ποὺ πρέπει νὰ τὸν κερδίσῃς εἰς Χριστὸν διὰ τῆς ἀγάπης σου. Αὐτὸ δὲ τὸ ἔργον, ἡ σωτηρία τοῦ πλησίον, πρέπει νὰ γίνῃ πρῶτον· διότι εἰς τὴν πρὸς τὸν πλησίον ἀγάπην ἔχουν στηριχθῆ ὅλαι αἱ ἐντολαὶ τοῦ Χριστοῦ ([1]).

6. Μεταξὺ ἑνὸς Γέροντος καὶ ἑνὸς ἀδελφοῦ διεξήχθη ὁ κατωτέρω διδακτικὸς διάλογος:

Ἀδελφός: Διατί, Γέροντά μου, μερικοὶ ποὺ τόσον πολὺ κοπιάζουν, διὰ νὰ ζήσουν κατὰ Θεόν, δὲν λαμβάνουν Χάριν ὅπως οἱ παλαιοὶ πατέρες;

Γέρων: Τότε, τέκνον μου, ὑπῆρχεν ἀγάπη· καὶ ὁ καθένας, διὰ τῆς ἀγάπης, ἐφρόντιζε νὰ σύρῃ τὸν πλησίον του πρὸς τὸν οὐρανόν· τώρα ὅμως, ποὺ ἐπάγωσε τὸ θερμὸν αὐτὸ αἴσθημα τῆς κατὰ Χριστὸν ἀγάπης εἰς τὰς καρδίας τῶν ἀνθρώπων, ὁ καθένας, μὲ τὸν ἀπρόσεκτον βίον του, τραβᾷ κάτω τὸν συνάνθρωπόν του. Ἀκριβῶς δὲ καὶ δι' αὐτὸ δὲν λαμβάνομεν τὴν Χάριν.

7. Ὁ Ἀββᾶς Ἀγάθων, δίδων τὸ μέτρον τῆς τελείας ἀγάπης, ἔλεγεν: Ἐὰν θὰ μοῦ ἦτο δυνατὸν νὰ εὕρω ἕνα λεπρὸν καὶ νὰ τοῦ δώσω

---

1) «Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· αὕτη ἐστὶν ἡ πρώτη καὶ μεγάλη ἐντολή· δευτέρα δὲ ὁμοία αὐτῇ· ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται» (Ματθ. κβ', 37—40).

τὸ ἰδικόν μου καθαρὸν σῶμα καὶ νὰ λάβω τὸ ἰδικόν του, τότε θὰ ᾐσθανόμην μεγάλην εὐχαρίστησιν· διότι αὐτὴ εἶναι ἡ τελεία ἀγάπη.

8. Διὰ τὸν Ἀββᾶν Ἀγάθωνα διηγοῦντο καὶ τὸ ἑξῆς περιστατικόν: Κάποτε μετέβη ἀπὸ τὴν σκήτην εἰς τὴν πόλιν, διὰ νὰ πωλήσῃ τὰ ἐργόχειρά του. Ἐκεῖ λοιπὸν συνήντησεν ἕνα ἄγνωστον, ποὺ ἦτο ἄρρωστος καὶ εἶχε ριφθῆ εἰς τὴν πλατεῖαν, χωρὶς κανεὶς νὰ ὑπάρχῃ πλησίον του, διὰ νὰ τὸν βοηθήσῃ. Τότε ὁ Ἀββᾶς Ἀγάθων ἔμεινε κοντά του· διὰ νὰ τὸν περιποιηθῇ δὲ καλλίτερα ἐνοικίασεν ἕνα μικρὸν δωμάτιον· τὸ ἐνοίκιον καὶ τὰ ἀπαραίτητα διὰ τὴν περιποίησιν τοῦ ἀσθενοῦς τὰ ἐξοικονόμει ἐκ τοῦ ἐργοχείρου του. Ἔμεινε δὲ πλησίον τοῦ ἀσθενοῦς τέσσαρας μῆνας, ἕως οὗ ἐθεραπεύθη τελείως ὁ ἀσθενής, ὁπόταν καὶ ὁ ἴδιος ἀνεχώρησε πλέον εἰς τὸ κελλί του, γεμᾶτος ἀπὸ εἰρήνην καὶ ἀγαλλίασιν.

9. Ἄλλοτε πάλιν συνέβη τὸ ἑξῆς εἰς τὸν ἴδιον Ἀββᾶν Ἀγάθωνα:

Μετέβη εἰς τὴν πόλιν διὰ νὰ πωλήσῃ ἐργόχειρα· καθ' ὁδὸν συναντᾷ ἐξαπλωμένον ἕνα λεπρόν. Μόλις τὸν εἶδεν ὁ λεπρός, τοῦ λέγει: Σὲ παρακαλῶ, Ἀββᾶ, πάρε καὶ ἐμένα ἐκεῖ κοντά σου, ποὺ θὰ πωλήσῃς τὰ ἐργόχειρά σου. Ὁ Ἀββᾶς, χωρὶς νὰ καθυστερήσῃ οὔτε λεπτόν, τὸν ἐπῆρε μαζί του καὶ τὸν ἐτοποθέτησε δίπλα του, ὅπου ἐπώλει τὰ ἐργόχειρα. Ὁ λεπρὸς ὅμως ἐφαίνετο κάπως ἀδιάκριτος καὶ ἀπαιτητικός. Μόλις ἐπώλησε τὸ πρῶτον ἐργόχειρον, τὸν ἐρωτᾷ:

— Πόσον τὸ ἐπώλησες;

— Τόσα· ἀπήντησε μὲ εἰλικρίνειαν ὁ Ἀββᾶς Ἀγάθων.

— Ἀγόρασέ μου ἕνα γλύκισμα· συνέχισεν ἀπαιτητικῶς ὁ λεπρός.

Καὶ ὁ Ἀββᾶς Ἀγάθων, χωρὶς νὰ ἀγανακτήσῃ, ἱκανοποίησε τὴν ἐπιθυμίαν τοῦ λεπροῦ. Μετὰ ἀπὸ ὀλίγον ἐπώλησε δεύτερον ἐργόχειρον. Ἐρωτᾷ πάλιν ὁ λεπρός:

— Αὐτὸ τώρα πόσον τὸ ἐπώλησες;

— Τόσα· ἀπήντησε καὶ πάλιν αὐθορμήτως ὁ Ἀββᾶς.

— Πάρε μου, σὲ παρακαλῶ, αὐτὸ τὸ ἀντικείμενον.

Ὁ Ἀββᾶς Ἀγάθων, χωρὶς οὐδεμίαν ἀντίρρησιν, ὡς νὰ ἐξετέλει τὸ φυσικώτερον παράγγελμα, ἱκανοποίησε καὶ πάλιν τὴν ἐπιθυμίαν αὐτὴν τοῦ λεπροῦ.

10. Ἀφοῦ λοιπὸν ἐπὶ τέλους ἐπώλησεν ὅλα του τὰ ἐργόχειρα ὁ Ἀββᾶς Ἀγάθων καὶ ἔκαμε δι' ὅλα τὸ ἴδιον (δηλ. μὲ τὸ ἀντίτιμον ἠγόραζε κάθε φορὰν καὶ κάτι ποὺ ἐζήτει ὁ λεπρός), καὶ ἡτοιμάζετο νὰ ἀναχωρήσῃ, τὸν ἠρώτησε πάλιν ὁ λεπρός:

— Φεύγεις τώρα;

— Μάλιστα· ἀπήντησεν ὁ Ἀββᾶς!

— Κάμε ἀγάπην, Γέροντά μου, καὶ πήγαινέ με ἐκεῖ ποὺ μὲ εὗρῆκες, διότι δὲν ἠμπορῶ νὰ μετακινηθῶ μόνος μου.

Καὶ ὁ Ἀββᾶς Ἀγάθων μὲ εἰλικρινῆ καὶ ἀνεπιτήδευτον προθυμίαν τὸν ἐσήκωσεν ἐπάνω του καὶ τὸν ἔφερεν εἰς τὸ σημεῖον, ὅπου ἀρχικῶς τὸν συνήντησε. Κατὰ τὴν στιγμὴν δὲ ποὺ ὁ Ἀββᾶς Ἀγάθων ἐχαιρέτα τὸν λεπρόν, διὰ νὰ ἀναχωρήσῃ, ἀνέκραξεν ὁ λεπρός:

— Εὐλογημένος νὰ εἶσαι, Ἀγάθων, καὶ εἰς τὸν οὐρανὸν ἀπὸ τὸν Κύριον τῆς δόξης καὶ ἐπάνω εἰς τὴν γῆν.

Ὅταν ὁ Γέρων ἐσήκωσε τὸ βλέμμα του, διὰ νὰ ἴδῃ τὸν λεπρὸν καὶ νὰ τὸν ἐπιτιμήσῃ, κανένα δὲν εἶδεν. Ὁ «λεπρὸς» εἶχεν ἐξαφανισθῆ, διότι ἦτο Ἄγγελος Κυρίου ὁ ὁποῖος ἦλθε νὰ τὸν δοκιμάσῃ.

11. Διηγοῦνται διὰ τὸν ἴδιον Ἀββᾶν Ἀγάθωνα, ὅτι εἶχε μεγάλην προθυμίαν νὰ ἐξυπηρετῇ ὅλους ἀπὸ ἀγάπην. Οὕτω ὁσάκις ἐπεβιβάζετο εἰς βάρκαν, διὰ νὰ μεταβῇ κάπου, ἐφρόντιζε πρῶτος αὐτὸς νὰ τραβᾷ τὰ κουπιά, διὰ νὰ μὴ κουράζωνται οἱ ἄλλοι ἐπιβάται. Ὁσάκις πάλιν τὸν ἐπεσκέπτοντο εἰς τὸ κελλί του ἀδελφοί, ἀμέσως τὸ χέρι του, μόλις ἐτελείωνε τὴν προσευχήν του, ἠσχολεῖτο μὲ τὴν ἑτοιμασίαν τῆς τραπέζης διὰ τὴν ἀνάπαυσιν τῶν ἀδελφῶν. Ἡ καρδιά του ἦτο γεμάτη ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ.

12. Εἰς τὰ κελλία παρέμενεν ἕνας γέρων Ἀσκητής, ποὺ ὠνομάζετο Ἀπολλώς. Αὐτὸς λοιπόν, ὅταν ἤρχετο κανεὶς διὰ νὰ τὸν ἀγγαρεύσῃ εἰς οἱανδήποτε ἐργασίαν, ἐπήγαινε μετὰ χαρᾶς. Ἀπερχόμενος δὲ ἔλεγε· σήμερα θὰ ἐργασθῶ μαζὶ μὲ τὸν Χριστὸν διὰ τὴν ψυχήν μου.

13. Ὁ Ἀββᾶς Θεόδωρος τοῦ Ἐνάτου (1) διηγήθη τὸ κατωτέρω περιστατικόν· ὅταν ἤμουν νεώτερος, παρέμενον εἰς τὴν βαθυτέραν ἔρημον. Μίαν λοιπὸν ἡμέραν μετέβην εἰς τὸ ἐργαστήριον παρασκευῆς ἄρτων, διὰ νὰ ζυμώσω καὶ ἐγὼ δύο ψωμάκια. Ἐκεῖ συνήντησα ἕνα ἀδελφόν, ποὺ ἐζύμωνε καὶ δὲν εἶχε κανένα νὰ τὸν βοηθήσῃ· ἀμέσως τότε ἄφησα τὴν ἰδικήν μου ἐργασίαν καὶ τὸν ἐβοήθησα.

14. Μόλις ἐτελειώσαμεν τὸ ἔργον τοῦ ἀδελφοῦ, ἦλθεν εἰς τὸ ἐργαστήριον ἄλλος ἀδελφός. Καὶ αὐτὸν πάλιν τὸν ἐβοήθησα, διὰ νὰ ζυμώσῃ καὶ ἑτοιμάσῃ τὰ ψωμιά του. Καὶ πάλιν ἔρχεται τρίτος ἀδελφὸς καὶ ἐβοήθησα καὶ αὐτὸν ὁμοίως. Μετὰ ταῦτα ἦλθεν ἄλλος καὶ κατόπιν αὐτοῦ ἄλλος καὶ ἄλλος, ἕως ἓξ τὸν ἀριθμὸν ἀδελφοί, καὶ τοὺς ἐβοήθησα καὶ ἐζύμωσα συνολικῶς, χάριν αὐτῶν, ἓξ φοράς. Ἀφοῦ δὲ ἐτελείωσαν ὅλοι καὶ ἔφυγον, τότε καὶ ἐγὼ ἑτοίμασα τὰ δύο μου ψωμάκια καὶ ἔτσι ἀνεχώρησα.

15. Ὁ Ἀββᾶς Ἀντώνιος ἐξομολογούμενος ἔλεγε· ποτὲ δὲν προετίμησα τὸ συμφέρον μου ἀπὸ τὴν ὠφέλειαν τοῦ ἀδελφοῦ μου.

---

1) Βλέπε ὑποσημείωσιν σελίδος 458.

16. Ὁ Ἀββᾶς Πέτρος διηγήθη τὸ ἑξῆς περιστατικὸν ἀπὸ τὴν ζωὴν τοῦ Ἀββᾶ Μακαρίου.

Κάποτε ὁ Ἀββᾶς Μακάριος ἐπεσκέφθη ἕνα Ἀναχωρητήν, ὁ ὁποῖος ἦτο ἄρρωστος καὶ συγχρόνως δὲν εἶχε τίποτε νὰ βάλη εἰς τὸ στόμα του, διότι ἦτο μόνος του καὶ δὲν εἶχε κανένα ἄλλον εἰς τὸ κελλίον. Ἀμέσως λοιπὸν τὸν ἠρώτησε τί προτιμᾷ νὰ φάγη. Ὁ ἀσθενὴς τοῦ ἀπήντησε: παστέλλι. Καὶ τότε ὁ Ἀββᾶς Μακάριος, χωρὶς νὰ ὑπολογίσῃ τὴν ἀπόστασιν καὶ νὰ βαρεθῇ, ἐπῆγεν ἀπὸ τὴν ἔρημον εἰς τὴν Ἀλεξάνδρειαν καὶ ἔφερεν εἰς τὸν ἀσθενῆ αὐτό, ποὺ ἐπιθυμοῦσεν. Αὐτὴν δὲ τὴν θυσίαν, χάριν τοῦ ἀδελφοῦ, τὴν ἐπετέλεσε χωρὶς νὰ ἀντιληφθῇ κανείς.

17. Ὁ Ἀββᾶς Ἰωσὴφ ἀνέφερε μίαν ἄλλην περίπτωσιν ἀπὸ τὴν ζωὴν τοῦ Ἀββᾶ Ἀγάθωνος. Ἔλεγε λοιπόν, ὅτι ὁ Ἀββᾶς Ἀγάθων εἶχεν εἰς τὸ κελλί του ἕνα ὡραῖο κοπίδι, μὲ τὸ ὁποῖον εἰργάζετο. Μίαν ἡμέραν ἐπεσκέφθη τὸν Ἀββᾶν Ἀγάθωνα ἕνας ἀδελφός, ὁ ὁποῖος ἐθαύμασε τὸ κοπίδι, διότι ἦτο κατάλληλον καὶ ἐβοήθει τὸν χειριστήν του. Τότε ὁ Ἀββᾶς Ἀγάθων ἀμέσως καὶ εὐχαρίστως τὸ προσέφερε· δὲν τὸν ἄφησε δὲ νὰ ἀναχωρήσῃ, ἐὰν δὲν παρελάμβανε μαζί του καὶ τὸ κοπίδι.

18. Διηγοῦντο ἀπὸ τὴν ζωὴν τοῦ Ἀββᾶ Ποιμένος τὸ ἑξῆς:

Κάποτε παρέμενεν εἰς μίαν σκήτην μαζὶ μὲ δύο ἀδελφούς του. Ὁ μικρότερος ἐξ αὐτῶν τοὺς ἐστενοχώρει πολύ. Στενοχωρούμενος μίαν ἡμέραν λέγει εἰς τὸν ἄλλον ἀδελφόν του:

— Σήκω, εὐλογημένε, νὰ φύγωμεν ἀπ' ἐδῶ· δὲν ὑποφέρεται πλέον αὐτὸς ὁ μικρός. Μᾶς ἔχει παραλύσει.

Πράγματι ἐγκατέλειψαν τὴν σκήτην καὶ ἔφυγαν. Ὁ μικρότερος, μόλις εἶδεν, ὅτι ἀργοποροῦν νὰ ἐπιστρέψουν, ἐβγῆκεν ἔξω καὶ ἤρχισε νὰ τοὺς ἀναζητῇ. Πράγματι τοὺς εἶδεν ἀπὸ μακριὰ καὶ ἀμέσως ἤρχισε νὰ τρέχῃ ὀπίσω των καὶ νὰ τοὺς φωνάζῃ δυνατά.

19. Ὅταν τὸν εἶδεν ὁ Ἀββᾶς Ποιμήν, λησμονῶν τὴν ταλαιπωρίαν καὶ λυπούμενος διὰ τὴν ἀγωνίαν τοῦ μικροτέρου ἀδελφοῦ, λέγει εἰς τὸν συνοδόν του.

—Ἂς περιμένωμεν τὸν ἀδελφόν μας, διότι κοπιάζει νὰ τρέχῃ ἀπὸ πίσω μας.

Ἀφοῦ λοιπὸν ἦλθε κοντά τους ὁ ἀδελφὸς αὐτός, ὁ μικρότερος, τοὺς ἔβαλε μετάνοιαν καὶ τοὺς ἐρωτᾷ:

— Ποῦ πηγαίνετε καὶ μὲ ἀφήνετε μόνον;

—Ἐπειδὴ μᾶς στενοχωρεῖς, ἀπεφασίσαμεν νὰ ἀναχωρήσωμεν ἀπὸ τὸν τόπον αὐτόν, ἀπήντησεν ὁ Γέρων.

— Μάλιστα· ὅπου θέλετε θὰ φύγωμεν μαζί.

20. Μόλις διεπίστωσεν ὁ Ἀββᾶς Ποιμήν, ὅτι ὁ μικρότερος αὐτὸς ἀδελφὸς δὲν ἐκράτησε κακίαν διὰ τὴν ἀπόφασίν των αὐτήν, ἐστράφη πρὸς τὸν ἄλλον ἀδελφὸν καὶ τοῦ λέγει:

—Ἂς ἐπιστρέψωμεν, ἀδελφέ μου, καὶ πάλιν εἰς τὸ κελλίον μας, διότι ὁ ἀδελφός μας ἀπὸ ἐδῶ δὲν θέλει νὰ μᾶς στενοχωρῇ· ὁ διάβολος τὸν παρακινεῖ εἰς αὐτό.

Καὶ ἐπέστρεψαν καὶ πάλιν εἰς τὸ κελλίον τους.

21. Κάποτε Σαρακηνοὶ λησταὶ ἔκαμαν ἐπιδρομὴν εἰς τὴν σκήτην καὶ κατέκλεψαν τὸν Ἀββᾶν Σισώην καὶ τὸν ἀδελφόν του, ἐγκαταλείψαντες αὐτοὺς χωρὶς οὐδὲν ἐφόδιον ἢ ἔνδυμα. Ἀφοῦ ἀνεχώρησαν οἱ Σαρακηνοὶ ἐβγῆκαν εἰς τὴν ἔρημον οἱ δύο ληστευθέντες Ἀσκηταί, διὰ νὰ εὕρουν τίποτε φαγητόν.

Καθὼς ἐρευνοῦσεν ὁ Γέρων τὸ ἔδαφος ἀνεκάλυψεν εὐμεγέθεις ἀκαθαρσίας καμήλων· ἀφοῦ δὲ μὲ ἕνα ξύλον διεσκόρπιζε τὴν κόπρον τοῦ ζῴου, εὑρῆκε κόκκους κριθαριοῦ. Ἀμέσως ἤρχιζε νὰ διαλέγῃ τὸ κριθάρι καὶ νὰ τρώγῃ ἕνα κόκκον, νὰ φυλάγῃ δὲ εἰς τὸ ἄλλο χέρι ἀπὸ ἕνα κόκκον διὰ τὸν ἀδελφόν.

22. Μόλις τὸν ἐπλησίασεν ὁ ἕτερος ἀδελφὸς καὶ τὸν εἶδε νὰ τρώγῃ, τοῦ λέγει μὲ παράπονον:

— Αὐτὴ λοιπὸν εἶναι ἡ ἀγάπη σου; Εὑρῆκες κάτι φαγώσιμον καὶ τὸ τρώγεις μόνος σου; Δὲν μποροῦσες νὰ μὲ φωνάξῃς καὶ ἐμένα;

Μὲ γλυκύτητα καὶ ἠρεμίαν τοῦ ἀπαντᾷ ὁ Γέρων:

—Ἀδελφέ μου, ἔσπευσες εἰς τὴν κρίσιν σου· δὲν σὲ ἠδίκησα· νά τὸ μερίδιόν σου, τὸ ἐφύλαξα εἰς τὴν χεῖρα μου. Λέγων δὲ αὐτὰ τοῦ ἐπρότεινε τὴν παλάμην του μὲ τοὺς κόκκους τοῦ κριθαριοῦ.

23. Διὰ τὸν Ἀββᾶν Παφνούτιον λέγουν τὸ ἑξῆς:

Ὁ Ἀββᾶς Παφνούτιος δὲν ἔπινεν εὐκόλως οἶνον. Κάποτε λοιπόν, ἐνῷ ἐβάδιζε πρὸς ὡρισμένον τόπον, συνήντησε μίαν συμμορίαν ληστῶν. Ἐκείνην τὴν ὥραν οἱ λησταὶ ἔπινον κρασί. Τὸν Ἀββᾶν Παφνούτιον ἐγνώριζεν ὁ ἀρχιληστής, ὁ ὁποῖος ἤξευρε καὶ τὴν ἀρχὴν τοῦ Ἀσκητοῦ νὰ μὴ πίνῃ κρασί. Μόλις ὁ ἀρχιληστὴς εἶδε τὸν Ἀββᾶν Παφνούτιον κουρασμένον καὶ ταλαιπωρημένον ἐκ τῆς ὁδοιπορίας, γεμίζει ἕνα ποτήρι κρασὶ καὶ τοῦ τὸ προσφέρει· συγχρόνως μὲ τὴν ἄλλην χεῖρα ἐκράτει τὸ ξίφος του, τὸ ὁποῖον προτείνων εἰς τὸν Ἀσκητὴν τοῦ εἶπεν ἀπειλητικῶς:

—Ἐὰν δὲν πίῃς τὸ κρασὶ αὐτό, θὰ σὲ φονεύσω.

24. Ὁ Ἀββᾶς Παφνούτιος ἐδέχθη τότε εἰς τὴν ψυχήν του τὴν μυστικὴν πληροφορίαν τῆς Θείας Χάριτος, ὅτι ἡ ἐντολὴ τοῦ Θεοῦ ἦτο νὰ πίῃ τὸ κρασί, ἐπειδὴ ἐπεθύμει νὰ σώσῃ τὸν ἀρχιληστήν. Ἔλαβε λοιπὸν τὸ ποτήρι καὶ ἤπιε τὸ κρασί. Ὁ ἀρχιληστὴς ὅμως ἀμέσως ἠλέγχθη ἀπὸ τὴν συνείδησιν καὶ ἀντιληφθείς, ὅτι ἐστενοχώρησε τὸν Ἀσκητήν, μετενόησε καὶ τοῦ εἶπε:

— Συγχώρησέ με, Ἀββᾶ, διότι σὲ ἐστενοχώρησα.

Ἀντὶ ἄλλης ἀπαντήσεως ὁ Γέρων τοῦ εἶπε:

— Πιστεύω εἰς τὸν Θεόν, ὅτι ἐξ αἰτίας τοῦ ποτηρίου αὐτοῦ θὰ σὲ ἐλεήσῃ καὶ εἰς αὐτὴν τὴν ζωὴν καὶ εἰς τὴν ἄλλην.

Καὶ ὁ ἀρχιληστὴς μεταστραφεὶς ἐσωτερικῶς ὡς διὰ θαύματος, ὡμολόγησε:

— Πιστεύω εἰς τὸν Θεόν, ὅτι μὲ τὴν δύναμιν Αὐτοῦ ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς κανένα δὲν θὰ κακοποιήσω.

Οὕτω ὁ Ἀββᾶς Παφνούτιος ἐκέρδισε, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, ὅλους τοὺς λῃστάς, ἐπειδὴ δὲν ἔκαμε τὸ θέλημά Του, χάριν τοῦ Κυρίου.


25. Κάποιος διηγήθη τὴν ἑξῆς ἱστορίαν:

Κάποτε ἔζη εἰς μίαν ἐπαρχίαν ἕνας ἀριστοκράτης ἀξιωματοῦχος τοῦ Κράτους νέος καὶ πάρα πολὺ ὡραῖος! Αὐτὸς λοιπὸν εἶχε φίλον ἕνα ἐκ τῶν ἐπισήμων τῆς ἐπαρχίας ἀνδρῶν, συζευγμένον μὲ γυναῖκα νεωτέραν ἀπὸ αὐτὸν κατὰ τὴν ἡλικίαν. Τὸ ζεῦγος τῶν ἐπισήμων αὐτῶν ἀνθρώπων ἐκάλει τακτικῶς, ἐξ ἀγάπης, τὸν ἀξιωματοῦχον καὶ συνέτρωγον μετ' αὐτοῦ εἰς τὴν οἰκίαν των. Ἡ γυνὴ ὅμως σὺν τῷ χρόνῳ κατελήφθη ἀπὸ ἰδιαιτέραν πρὸς τὸν οἰκογενειακὸν αὐτὸν φίλον ἐπιθυμίαν, ἕως οὗ ᾐχμαλωτίσθη τελείως ἀπὸ σφοδρὸν ἐρωτικὸν πάθος καὶ ἠσθένησε. Τὴν ψυχικὴν αὐτὴν κατάστασιν τῆς γυναικὸς οὔτε ὁ ξένος ἀντελήφθη, ἀγνοῶν τελείως τὸ αἴσθημα αὐτῆς, ἀλλ' οὔτε καὶ ὁ σύζυγος.

26. Οὗτος ἐκάλεσε πλησίον τῆς ἀσθενοῦς ἀρκετοὺς ἰατρούς, οἱ ὁποῖοι τὸν ἐπληροφόρησαν, ὅτι ἡ σύζυγός του δὲν πάσχει ἀπὸ σωματικὴν ἀσθένειαν, ἀλλὰ ἀπὸ ψυχικήν. Κατόπιν τῆς διαπιστώσεως αὐτῆς ἤρχισεν ὁ σύζυγος νὰ παρακαλῇ τὴν γυναῖκα του καὶ νὰ τὴν πιέζῃ μὲ κάθε τρόπον, διὰ νὰ μάθῃ τὴν αἰτίαν τῆς νόσου. Ἐπὶ τέλους κατώρθωσε νὰ τὴν πείσῃ νὰ τοῦ ἀποκαλύψῃ τὴν ἀλήθειαν. Μίαν ἡμέραν λοιπὸν τὸν καλεῖ πλησίον τῆς κλίνης της καὶ τοῦ λέγει:

—Ὡς γνωστόν, κύριέ μου, καλεῖς εἰς τὸ σπίτι μας νέους ἄνδρας. Αὐτὸ βεβαίως τὸ κάνεις ἢ ἀπὸ ἀγάπην, ἢ ἀπὸ ἁπλότητα χαρακτῆρος· ἐγὼ ὅμως, ὡς γυνὴ ἀδύνατος, ἔπαθα ἀπὸ κρυφὸν πάθος ἐξ αἰτίας τοῦ ἀριστοκράτου ἐκείνου ἀξιωματούχου, μετὰ τοῦ ὁποίου τακτικῶς συντρώγομεν.

27. Μόλις ἤκουσε τὴν ἐξομολόγησιν αὐτὴν ὁ σύζυγος δὲν ἐταράχθη καθόλου, ἀλλ' ἡσύχασε. Μετὰ ἀπὸ ὀλίγας ἡμέρας ἦλθεν, ὡς συνήθως, εἰς τὸ σπίτι, ὁ ἀριστοκράτης. Ἀμέσως λοιπὸν ὁ σύζυγος τὸν καλεῖ κατ' ἰδίαν καὶ τοῦ ἐκμυστηρεύεται ὅλην τὴν ὑπόθεσιν. Ἀφοῦ μετὰ προσοχῆς ἤκουσεν ὁ ἀριστοκράτης τὴν ὑπόθεσιν, ὄχι μόνον δὲν ἐπέτρεψεν εἰς τὸν ἑαυτόν του νὰ δεχθῇ ὑπόπτους λογισμοὺς διὰ τὴν γυναῖκα τοῦ φίλου του, ἀλλὰ ἀπὸ πραγματικὴν ἀγάπην κινούμενος, ἐλυπήθη βαθύτατα διὰ τὴν κατάστασιν καὶ ἀπευθυνόμενος πρὸς τὸν σύζυγον τοῦ εἶπε μὲ εἰλικρίνειαν:


Ὁ ἈΒΒᾶC
ΠΑΦΝȢ́
ΤΙΟC

— Καθόλου μὴ λυπεῖσαι, κύριέ μου· θὰ σὲ βοηθήση ὁ Θεός.

28. Ἀμέσως ἔφυγεν. Ἐν συνεχείᾳ ξυρίζει ἀπὸ τὸ κεφάλι του τὴν ὡραίαν του κόμην, ἀλλὰ καὶ ἀπὸ τὸ πρόσωπόν του τὰ φρύδια του· τοιουτοτρόπως ἀπὸ ὡραῖος, ποὺ ἦτο, μετεβλήθη εἰς ἄσχημον καὶ φαιδρόν, ὥστε νὰ μὴ συγκινῇ. Τὴν ἐπομένην ἡμέραν ρίπτει ἐπάνω του ἕνα λεπτὸν μανδήλιον καὶ ἐπισκέπτεται τὴν οἰκίαν τῶν φίλων του· εὑρίσκει, πράγματι, εἰς τὸ κρεββάτι ἀσθενῆ τὴν γυναῖκα καὶ πλησίον αὐτῆς νὰ κάθηται μὲ μελαγχολικὴν ἀξιοπρέπειαν ὁ σύζυγός της. Τοὺς ἐχαιρέτησε καὶ πετᾷ ἀπὸ ἐπάνω του τὸ μανδήλιον, ἐμφανιζόμενος ἄσχημος καὶ κωμικός, ὅπως σκοπίμως ἐγένετο. Τότε τοὺς λέγει:

— Ἰδέτε, πῶς μὲ ἔκαμεν ὁ Κύριος.

29. Ἡ γυνὴ μόλις τὸν εἶδεν ἔξαφνα εἰς αὐτὴν τὴν κατάστασιν τῆς ἀσχημίας, εἰς τὴν ὁποίαν ἀπὸ τόσην ὡραιότητα περιέπεσεν, ἐξεπλάγη. Μὲ τὴν βοήθειαν δὲ τοῦ Θεοῦ καὶ τῆς καλῆς προαιρέσεως τοῦ ἀριστοκράτου ἡσύχασεν ἀπὸ τὸν πόλεμόν της, ἐθεραπεύθη ἀπὸ τὸ πάθος καὶ ἠγέρθη ὑγιὴς ἀπὸ τῆς κλίνης, χωρὶς πλέον νὰ ἐνοχληθῇ ἀπὸ ἐκείνους τοὺς λογισμούς. Ὁ ἀριστοκράτης, ἀφοῦ συνωμίλησε μαζί των ἐπ' ὀλίγον εἰρηνικά, ἀνεχώρησε καὶ ποτὲ πλέον δὲν ἐπανῆλθε πλησίον των.

30. Κάποτε ἕνας γέρων Ἀσκητὴς ἠσθένησεν εἰς τὴν σκήτην καὶ ἐξέφρασε τὴν ἐπιθυμίαν εἰς τοὺς ἀδελφοὺς νὰ φάγη φρέσκο ψωμί. Τὴν ἐπιθυμίαν αὐτὴν τοῦ Γέροντος ἀντελήφθη κάποιος ἀδελφός, ποὺ ἠγωνίζετο τὸν καλὸν ἀγῶνα. Ἀμέσως λοιπὸν ἐπῆρε τὸ ἐπανωφόριόν του, τὸ ἐγέμισε μὲ ψωμιὰ ξηρά, ποὺ ὑπῆρχον εἰς τὴν σκήτην, καὶ ἀνεχώρησεν ἀπὸ τὴν ἔρημον διὰ τὴν Αἴγυπτον. Ἐκεῖ τὰ ἀντήλλαξε μὲ φρέσκους καὶ ζεστοὺς ἄρτους, καὶ ταχέως ἐπέστρεψεν εἰς τὴν σκήτην, ὅπου τοὺς προσέφερεν εἰς τὸν ἀσθενῆ Γέροντα! Οἱ παριστάμενοι ἀδελφοί, μόλις εἶδον ἀχνίζοντας τοὺς ἄρτους, τοὺς ὁποίους μὲ τόσην θυσίαν προσεκόμισεν ὁ ἀδελφός, συνεκινήθησαν καὶ ἐθαύμασαν διὰ τὴν ἀγάπην τοῦ ἀδελφοῦ.

31. Ὁ ἀσθενὴς Γέρων τόσον συνεκινήθη ἀπὸ τὴν θυσίαν αὐτὴν τοῦ ἀδελφοῦ, ὥστε δὲν ἤθελε καθόλου νὰ τοὺς δοκιμάσῃ. Εἰς τοὺς ἐπιμένοντας δὲ ἀδελφοὺς ἔλεγεν:

— Οἱ ἄρτοι αὐτοὶ εἶναι ποτισμένοι ἀπὸ τὸν ἱδρῶτα καὶ τὸ αἷμα τοῦ ἀδελφοῦ μου. Πῶς λοιπὸν νὰ φάγω τὸ αἷμα τοῦ ἀδελφοῦ μου;

Οἱ παριστάμενοι τὸν παρεκάλουν ἐπιμόνως:

— Πρέπει, Γέροντα, νὰ φᾷς, διὰ νὰ μὴ πάῃ χαμένη ἡ θυσία αὐτὴ τοῦ ἀδελφοῦ.

Κατόπιν τῶν παρακλήσεων αὐτῶν ἐδέχθη ὁ Γέρων καὶ ἔφαγεν.

32. Ἕνας ἐνάρετος Ἀσκητὴς συνήντησε κάποτε ἕνα δαιμονισμένον, ποὺ δὲν ἠμποροῦσε νὰ νηστεύῃ. Ἐλυπήθη βαθέως διὰ τὴν κατάστασιν αὐτὴν τοῦ δαιμονισμένου καὶ παρεκάλεσεν ἐπιμόνως τὸν Θεὸν νὰ ἐλευθερωθῇ ὁ δαιμονισμένος ἀπὸ τὴν διαβολικὴν τυραννίαν καὶ νὰ

εἰσέλθη εἰς αὐτὸν ὁ δαίμων. Πράγματι λοιπὸν ὁ Θεὸς εἰσήκουσε τὴν δέησίν του καὶ ὁ δαίμων εἰσῆλθεν εἰς τὸν Ἀσκητήν, θεραπευθέντος τελείως τοῦ ἀσθενοῦς. Ὁ Ἀσκητὴς ἐνοχλούμενος ὑπὸ τοῦ δαίμονος ἐπέμενεν εἰς τὴν νηστείαν καὶ τὴν προσευχὴν καὶ ἀφωσιοῦτο εἰς τὴν ἄσκησιν. Ἐντὸς ὀλίγων ἡμερῶν ὁ Θεὸς ἀπεμάκρυνεν ἀπὸ τὸν Ἀσκητὴν τὸν δαίμονα, ἐπιβραβεύων οὕτω τὸν θησαυρὸν τῆς ἀγάπης του.

33. Ἕνας Μοναχὸς ἠσκήτευεν εἰς ἕνα κελλὶ τῆς ἐρήμου μόνος του· οὗτος εἶχε καὶ ἕνα ὑποτακτικόν, ποὺ διέμενεν εἰς ἄλλο κελλίον, μακρὰν αὐτοῦ δέκα μίλλια. Τοῦ εἶπε λοιπὸν ὁ λογισμὸς μίαν ἡμέραν· νὰ φωνάξῃς τὸν ἀδελφὸν νὰ ἔλθῃ ἐδῶ νὰ παραλάβῃ τὸν ἄρτον του. Τὴν ἰδίαν ὅμως στιγμὴν ἤκουσε μίαν ἄλλην φωνὴν εἰς τὴν συνείδησίν του, ποὺ τοῦ ἔλεγε· διὰ τὸν ἄρτον τώρα νὰ βασανίσω τὸν ἀδελφόν μου; Εἶναι προτιμότερον ἐγὼ νὰ τοῦ τὸν πάω. Πράγματι λαβὼν τὸν ἄρτον ἀνεχώρησε διὰ τὸν ἀδελφόν.

34. Ἐνῷ δὲ ἐπήγαινεν, ἐσκόνταψεν εἰς μίαν πέτραν καὶ ἐκτύπησε τὸν δάκτυλόν του. Ἀμέσως ἀπὸ τὴν πληγὴν ἐξήρχετο ἄφθονον αἷμα καὶ τόσον πολὺ ἐπονοῦσεν, ὥστε ἀπὸ τὴν δριμύτητα τοῦ πόνου ἔκλαιε. Τὴν στιγμὴν ἀκριβῶς ἐκείνην ἐμφανίζεται ἐνώπιόν του ἕνας Ἄγγελος Κυρίου, ὁ ὁποῖος μὲ γλυκύτητα τὸν ἐρωτᾷ.

— Διατί κλαίεις;

— Πονῶ, τοῦ ἀπήντησεν ὁ Μοναχὸς καὶ τοῦ ἔδειξε τὴν πληγήν, ποὺ εἶχεν εἰς τὸν πόδα του.

— Μὴ κλαῖς· ἐπαναλαμβάνει ὁ Ἄγγελος. Τὰ βήματα, τὰ ὁποῖα κάμνεις χάριν τοῦ Κυρίου, μετρῶνται καὶ ὑπολογίζονται ὡς ἀξιόμισθος πρᾶξις μεγάλης ἀξίας ἐνώπιον τοῦ Θεοῦ.

Ἀπὸ τὴν παρουσίαν τοῦ Ἀγγέλου καὶ τοὺς λόγους του ἐνισχύθη ὁ Ἀσκητής, ηὐχαρίστησε τὸν Θεὸν καὶ μὲ χαρὰν συνέχισε τὴν πορείαν του. Ἀφοῦ ἦλθεν εἰς τὸ κελλὶ τοῦ ἀδελφοῦ, τοῦ προσέφερε τοὺς ἄρτους καὶ διηγήθη εἰς αὐτὸν τὴν ἐκδήλωσιν τῆς φιλανθρωπίας τοῦ Θεοῦ διὰ τῆς ἐμφανίσεως τοῦ Ἀγγέλου· μετὰ ταῦτα ἀνεχώρησε.

35. Τὴν ἑπομένην ἡμέραν λαβὼν πάλιν τοὺς ἄρτους ἀπῆλθε πρὸς ἄλλον Μοναχόν, διὰ νὰ τοῦ προσφέρῃ τὴν ἀπαραίτητον τροφοδοσίαν. Συγχρόνως ὅμως καὶ ὁ ἄλλος, πρὸς τὸν ὁποῖον μετέβαινεν, ἤρχετο πλησίον του διὰ τὸν αὐτὸν σκοπόν. Καθ' ὁδὸν συνηντήθησαν καὶ ἤρχισαν μίαν πρωτότυπον μεταξύ των «φιλονεικίαν».

—Ἕνα θησαυρὸν εἶχα καὶ ἐπιζητεῖς νὰ μοῦ τὸν κλέψῃς; εἶπεν ὁ ὑπάγων πρὸς τὸν ἐρχόμενον.

—Ἡ στενὴ θύρα τῆς σωτηρίας μόνον σὲ χωρεῖ; Ἄφησε καὶ ἡμᾶς νὰ εἰσέλθωμεν μαζί σου· ἀπήντησεν ὁ δεύτερος.

Ἐνῷ συνωμίλουν, ἐμφανίζεται Ἄγγελος Κυρίου καὶ τοὺς λέγει:

— Αὐτὴ ἡ «φιλονεικία» σας ἀνέβη εἰς τὸν Θεὸν ὡς ὀσμὴ εὐωδίας πνευματικῆς.

ὙΠΟΘΕΣΙΣ ΛΣΤ΄

Ὅτι δεῖ ὑπὲρ τοῦ πλησίον καὶ τὴν ψυχὴν τιθέναι.

Διὰ τὸν πλησίον πρέπει καὶ τὴν ζωήν μας ἀκόμη νὰ θυσιάζωμεν.

Α΄. Παλλαδίου

ΕΝ ΒΙΒΛΩ Ἱππολύτου, τοῦ γνωρίμου τῶν Ἀποστόλων, εὗρον διήγημα τοιοῦτον, ὅτι ἦν τις ἐν Κορίνθῳ παρθένος εὐγενὴς καὶ ὡραία ἀσκουμένη ἐναρέτῳ βίῳ· ταύτην τῷ κατ᾿ ἐκεῖνο καιροῦ δικάζοντι διέβαλον, Ἕλληνι ὄντι, καὶ τοῦ διωγμοῦ ἐφεστῶτος, ὡς βλασφημοῦσαν τοὺς βασιλεῖς καὶ τὰ εἴδωλα· προσεποίουν δὲ καὶ τὸ ταύτης κάλλος, οἱ περὶ τὰ τοιαῦτα κάπηλοι, γυναικομανεῖ ὄντι τῷ ἀθέῳ δικαστῇ, καὶ ἡδέως τούτων ἀκούοντι.

2. Προσαχθείσης οὖν ταύτης τῷ μιαιφόνῳ, πολὺ πλέον ἐξεκαύθη τῷ ἔρωτι, τὸ ταύτης κάλλος ἰδών· ὡς δὲ πᾶσαν κινήσας μηχανὴν πεῖσαι αὐτὴν οὐκ ἠδυνήθη, διαφόροις αἰκείαις τὴν γενναίαν ὑπέβαλε· μὴ ἰσχύσας δὲ μηδὲ οὕτως ἀποστῆσαι τῆς τοῦ Χριστοῦ ὁμολογίας, ἀπομανείς, εἰς πορνεῖον αὐτὴν προεστήσατο, ἐντειλάμενος τῷ ταύτας νέμοντι τριάκοντα νομίσματα καθ᾿ ἡμέραν ἕνεκα ταύτης ἀποκομίζειν αὐτῷ.

3. Ὁ δὲ εἰσπραττόμενος τὸν τῆς αἰσχροπραγίας μισθόν, ἔκδοτον αὐτὴν ἔστησε τοῖς βουλομένοις ἐν τῷ τοῦ μύσους ἐργαστηρίῳ. Ἡ δὲ τοὺς προσιόντας πρὸς αὐτὴν ἀσώτους παρεκάλει λέγουσα, ὅτι ἕλκος ἔχω τι εἰς τὸν κεκρυμμένον τόπον, ὅπερ ἐσχάτως ὄζει, καὶ δέδοικα μὴ εἰς μῦσός μου ἔλθητε τῷ ἀποτροπαίῳ τοῦ ἕλκους· ἔνδοτε οὖν μοι ὀλίγας ἡμέρας, καὶ ἐξουσίαν ἔχετε καὶ δωρεάν με ἔχειν.

4. Τούτοις τοῖς λόγοις πείθουσα αὐτοὺς τέως ἀπέπεμπεν, ἐκτενεστάταις δεήσεσι καὶ θερμοῖς δάκρυσι τὸν Θεὸν ἐδυσώπει ἐξελέσθαι αὐτὴν τοῦ πειρασμοῦ. Ὁ οὖν τὰς καρδίας ἐμβατεύων Θεός, ἰδὼν ὅτι ὁλοψύχως τῆς ἁγνείας κήδεται, διεγείρει καρδίαν τινὸς νεωτέρου Μαγιστριανοῦ ὡραίου καὶ τὸν ἐντὸς καὶ τὸν ἐκτὸς ἄνθρωπον καὶ ἐντίθησιν αὐτῷ θεῖον ζῆλον ὡς καὶ θανάτου καταφρονῆσαι.

5. Ἀπελθὼν οὖν ὁ νεανίας ἐν σχήματι ἀκολάστου, εἰσέρχεται βαθείας ἑσπέρας πρὸς τὸν τρέφοντα ταύτας, καὶ δίδωσιν αὐτῷ πέντε νομίσματα καὶ λέγει αὐτῷ· συγχώρησόν μοι ταύτην τὴν νύκτα μεῖναι μετὰ ταύτης τῆς κόρης. Εἰσελθὼν οὖν μετ᾿ αὐτῆς εἰς τὸν ἀπόκρυφον τόπον, λέγει αὐτῇ· ἀνάστα, σῶσον σεαυτήν, καὶ ἐκδύσας αὐτὴν τὰ ἱμάτια καὶ τῇ ἑαυτοῦ ἐσθῆτι καὶ τῇ χλαμύδι μεταμορφώσας αὐτήν, λέγει αὐτῇ· τῷ ἄκρῳ τῆς χλαμύδος περικαλυψαμένη, ἔξελθε· ἡ δὲ ὅλην ἑαυτὴν σφραγίσασα τῷ σημείῳ τοῦ σταυροῦ οὕτως ἐποίησε, καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου ἄφθορος παντελῶς καὶ διεσώθη.

6. Τῇ δὲ ἐπαύριον, γνωσθέντος τοῦ δράματος, προσήχθη ὁ Μαγιστριανὸς τῷ ἀνημέρῳ δικαστῇ, καὶ θηρίοις παραδοθεὶς καὶ τὸν τοῦ Μαρτυρίου στέφανον κομισάμενος, ὡς ἀθλήσας ὑπὲρ τῆς ἑαυτοῦ ψυχῆς καὶ ὑπὲρ τῆς μακαρίας ἐκείνης παρθένου καὶ ἀοιδίμου.

7. Ἐν τοῖς χρόνοις τῶν λυσσομανῶν Οὐανδάλων, πολλοὶ τόποι τῆς Ἰταλίας ἔρημοι γεγόνασι, τὰ δὲ τῆς Καμπανίας μέρη ἀοίκητα παντελῶς κατέστησαν· πολλοὶ οὖν ὑπ' αὐτῶν αἰχμαλωτισθέντες, ἐν τῇ Ἀφρικῇ ἀπηνέχθησαν. Παυλῖνος οὖν ὁ τῆς Νώλων πόλεως Ἐπίσκοπος, πάντα οὖν ὅσα εἶχεν εἰς τὴν τοῦ Ἐπισκόπου χρείαν τοῖς αἰχμαλώτοις καὶ τοῖς δεομένοις διέδωκεν.

8. Ἡνίκα γοῦν οὐδὲν αὐτῷ παντάπασι περιελείφθη, τότε χήρα τις γυνὴ πρὸς αὐτὸν ἦλθε, λέγουσα τὸν ταύτης υἱὸν παρὰ τοῦ γαμβροῦ τοῦ ῥηγὸς τῶν Οὐανδάλων ἐν τῇ αἰχμαλωσίᾳ ἀπενεχθῆναι καὶ παρὰ τοῦ ἀνθρώπου τοῦ Θεοῦ τὴν τιμὴν αὐτοῦ ᾐτεῖτο, ἐὰν καταξιώσῃ ὁ Κύριος αὐτοῦ ταύτην λαβεῖν καὶ τὸν υἱὸν αὐτῆς ἀπολῦσαι.

9. Ὁ δὲ σεβάσμιος Ἐπίσκοπος μετὰ πάσης σπουδῆς καὶ προθυμίας ἐζήτει ἐάν τι περιεύρῃ, ὅπερ αὐτῇ παράσχῃ· ὡς δὲ οὐδὲν εὗρεν, ἀπεκρίθη πρὸς αὐτὴν λέγων· γύναι, τί σοι δωρήσασθαι οὐκ ἔχω, ἐμὲ δὲ αὐτὸν δοῦλον ὑπεξούσιον δίδωμι, ἵνα σὺ μὲν τὸν υἱόν σου ἀπολαύσῃς, ἐμὲ δὲ ἀντ' αὐτοῦ εἰς δουλείαν παραδῷς. Ἐκείνη ἐκ στόματος τοιούτου ἀνδρὸς τοῦτο ἀκούσασα, ἐμπαιγμὸν μᾶλλον ἢ συμπάθειαν εἶναι ἐπίστευσεν, αὐτὸς δὲ λόγιος ὢν καὶ ἀγχίνους, τῇ δισταζούσῃ γυναικὶ παρῄνεσεν, ὅπως τὰ λεχθέντα ἀληθῆ εἶναι πιστεύσῃ, καὶ διὰ τὴν τοῦ υἱοῦ ἀνάῤῥυσιν μὴ δειλιάσῃ παραδοῦναι αὐτὸν εἰς δουλείαν.

10. Ἐπορεύθησαν οὖν ἀμφότεροι εἰς Ἀφρικήν, καὶ προερχομένου τοῦ γαμβροῦ τοῦ ῥηγός, προσῆλθεν αὐτῷ ἡ χήρα, δυσωποῦσα ὅπως τὸν υἱὸν αὐτῆς ἀπολάβῃ· ὁ δὲ βάρβαρος ἐκεῖνος ἀνήρ, τῷ τύφῳ ὑπεραιρόμενος, οὐ μόνον τοῦτο ποιῆσαι, ἀλλὰ καὶ ἀκοῦσαι ἐβδελύξατο.

11. Ἡ δὲ χήρα προσέθετο λέγουσα· ἰδοὺ καὶ τὸν ἄνθρωπον τοῦτον ἀντίσωμον αὐτοῦ παρέχω, μόνον ποίησον εὐσπλαγχνίαν εἰς ἐμὲ καὶ τὸν μονογενῆ μου υἱὸν ἀπόδος μοι· τότε τοίνυν ἐκεῖνος, ἱλαρῷ τῷ προσώπῳ τὸν ἄνθρωπον θεασάμενος, ποίαν τέχνην ἐπίσταται ἐπεζήτησεν· ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ἀπεκρίθη αὐτῷ λέγων· τέχνην μέν τινα οὐκ ἐπίσταμαι, κήπου δὲ καλῶς ἐπιμελήσασθαι γινώσκω.

12. Ὁ δὲ ταῦτα ἀκούσας ἡδέως πάνυ ἐδέξατο· ὅθεν προσήκατο αὐτὸν δοῦλον καὶ τῇ γυναικὶ τὸν υἱὸν αὐτῆς ἀπέδωκεν, ὃν λαβοῦσα τῆς Ἀφρικῆς ὑπεχώρησεν· ὁ δὲ Παυλῖνος τὴν φροντίδα τῆς τοῦ κήπου ἐπιμελείας ἐδέξατο.

13. Ὁ οὖν αὐτοῦ κύριος, συχνοτέρως εἰς τὸν κῆπον εἰσερχόμενος καὶ μετὰ τοῦ ἑαυτοῦ κηπουροῦ περί τινων ζητῶν, ὡς ἔγνω τοῦτον σοφὸν ὑπάρχοντα, πάντας τοὺς οἰκιακοὺς φίλους καταλείψας, μετ' αὐτοῦ διηνεκῶς συνετύγχανε, καὶ τοῖς τούτου ἐνετρύφα ῥήμασιν· ὁ δὲ Παυλῖνος εἰς τὴν τοῦ κυρίου αὐτοῦ τράπεζαν καθ' ἡμέραν κοδιμέντα καὶ ἄλλα τινὰ εὔοσμα χορηγῶν βότανα, καὶ ἄρτον ποριζόμενος, εἰς τὴν τοῦ κήπου φροντίδα ὑπέστρεφεν.

14. Ἐν ᾧ οὖν ἐπὶ πολὺ τοῦτο ἐπράττετο, ἐν μιᾷ τοῦ κυρίου αὐτοῦ μετ' αὐτοῦ συντυγχάνοντος, πρὸς αὐτὸν ὁ Παυλῖνος ἐν μυστηρίῳ εἶπε· βλέπε τί μέλλεις πράττειν, καὶ πῶς τὸ τῶν Οὐανδάλων βασίλειον διοικηθῆναι μέλλει προνόησαι. Ἐν ταύταις γὰρ ταῖς ἡμέραις ὁ ῥὴξ ἐκ παντὸς ἀποθνήσκει.

15. Ὁ δὲ τοῦτο ἀκούσας, ὡς ὑπὲρ πάντας ὑπὸ τοῦ ῥηγὸς ἀγαπώμενος, οὐδαμῶς ἡσύχασεν, ἀλλὰ εἴ τι παρὰ τοῦ ἑαυτοῦ κηπουροῦ ἀκήκοε, τοῦτο ἐμήνυσεν. Ὁ δὲ ῥὴξ τοῦτο ἀκούσας, ἐπεζήτησε τὸν ἄνδρα ἰδεῖν· εἶπεν οὖν πρὸς αὐτὸν ὁ γαμβρὸς αὐτοῦ· κοδιμέντα ἐκ τοῦ κήπου ἐν τῷ ἀρίστῳ μου εἴωθέ με φέρειν καθ' ἑκάστην, ταῦτα οὖν αὐτὸν εἰς τὴν σὴν τράπεζαν ἐνεγκεῖν ποιήσω, ἵνα γνῷς τίς ἐστιν ὁ ταῦτα εἰπών.

16. Μέλλοντος οὖν τοῦ ῥηγὸς ἀριστᾶν, ὁ Παυλῖνος ἐκ τοῦ καμάτου αὐτοῦ κοδιμέντα καὶ περίοσμα βότανα βαστάζων εἰσῆλθε· τοῦτον οὖν αἴφνης ὁ ῥὴξ θεασάμενος ἐτρόμαξε, καὶ τὸν ἑαυτοῦ δεσπότην προσκαλεσάμενος, τὸ μυστήριον, ὅπερ πρῴην ἦν ἀποκρύψας, ἐφανέρωσεν αὐτῷ εἰπών· ἀληθές ἐστιν, ὅπερ ἀκήκοας· ἐν

γὰρ τῇ παρελθούσῃ νυκτὶ εἶδον ἐν ὁράματι ἄρχοντας ἐπὶ βήματος κατ' ἐμοῦ καθεζομένους, ὧν μεταξὺ καὶ οὗτος συνεκαθέζετο, καὶ τὸ φραγγέλιον, ὅπερ ποτὲ ἔλαβον τῇ αὐτῶν κρίσει, ἐπήρθη ἀπ' ἐμοῦ· ἐρώτησον οὖν αὐτὸν τίς ἐστιν· ἐγὼ γὰρ τοῦτον τὸν ἄνδρα τὸν ἐν τοσούτῳ ἀξιώματι ὄντα, λαΐτην, καθὼς φαίνεται, οὐχ ὑπολαμβάνω.

17. Τότε ὁ τοῦ ῥηγὸς γαμβρὸς τὸν Παυλῖνον κατ' ἰδίαν λαβών, τίς ὑπάρχει ἐζήτησε, πρὸς ὃν ὁ τοῦ Θεοῦ ἄνθρωπος ἀπεκρίθη λέγων, ὅτι δοῦλός εἰμι ὃν ὑπὲρ τῆς τοῦ υἱοῦ χήρας ἀντίσωμον ἐδέξω· ἐκεῖνος δὲ πεπονημένως καὶ μεθ' ὅρκων ἐζήτει οὐχὶ τί νῦν ἐστι, ἀλλὰ τί ἐν τῇ χώρᾳ αὐτοῦ ὑπῆρχε; Στενωθεὶς οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος καὶ τοὺς ὅρκους εὐλαβηθείς, καὶ παραβῆναι αὐτοὺς μὴ δυνάμενος, Ἐπίσκοπον ἑαυτὸν ὑπάρχειν ὡμολόγησεν.

18. Ἀκούσας δὲ τοῦτο ἐκεῖνος, σφόδρα ἐφοβήθη, καὶ μετὰ πάσης ταπεινοφροσύνης προσηνέχθη αὐτῷ λέγων· αἴτησαι παρ' ἐμοῦ ὃ θέλεις, ὅπως ἐν τῇ γῇ σου μετὰ μεγίστων δώρων ὑποστρέψῃς· πρὸς ὃν ὁ τοῦ Θεοῦ ἄνθρωπος ἀπεκρίθη· εἰ εὐεργετῆσαι με θέλεις, ἕν ἐστιν, ὃ αἰτῶ, ἵνα πάντας τοὺς τῆς πόλεώς μου αἰχμαλώτους ἀπολύσῃς.

19. Μετὰ τὴν αἴτησιν, εὐθὺς ἡ ἔρευνα· παραυτα οὖν πάσῃ τῇ Ἀφρικῇ ἐπιζητηθέντες, ἐν πλοίοις ἅπαντες μετὰ σιταρκιῶν ἀναχθέντες ὑπὲρ τῆς τοῦ εὐλαβεστάτου Παυλίνου πληροφορίας, συνοδοιποροῦντες αὐτῷ ἀπελύθησαν. Μετὰ βραχὺ δὲ καὶ ὁ τῶν Οὐανδάλων ῥὴξ ἐτελεύτησε, καὶ τὸ φραγγέλιον ὅπερ εἰς τὴν ἑαυτοῦ τελείαν ἐξολόθρευσιν, εἰς δὲ τῶν πιστῶν παιδείαν τοῦ Θεοῦ παραχωροῦντος ἐκράτει, τοῦτο ἀπεβάλετο, καθὼς ὁ Παυλῖνος προεῖπεν.

20. Ἔν τινι ἡμέρᾳ Διάκονός τις παρὰ τῶν Λογγοβάρδων κρατηθείς, δεδεμένος παρ' αὐτοῖς ἐτηρεῖτο, φονεῦσαι γὰρ αὐτὸν οἱ τοῦτον κρατήσαντες ἐβούλοντο· τῆς οὖν ἡμέρας ἤδη πρὸς ἑσπέρας κλινάσης, Σάγκτουλος, ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὃς μεταξὺ τῶν Λογγοβάρδων ᾤκει, ἐδυσώπει αὐτοῖς, ὅπως τὴν ζωὴν τῷ Διακόνῳ χαρίσωνται, οἱ δὲ οὐκ ἐπείθοντο.

21. Θεασάμενος οὖν ὁ εὐλαβέστατος ἀνήρ, ὅτι τὸν τοῦ Διακόνου θάνατον ἀσφαλῶς ἐψηφίσαντο, ᾐτήσατο αὐτούς, ἵνα κἂν ἐπὶ τῷ προφυλάξαι τοῦτον αὐτῷ παραχωρήσωσιν. Οἱ δὲ ἀποκριθέντες εἶπον· παρ(α)φυλάξαι μὲν διδόαμέν σοι αὐτόν, ἐπὶ δὲ ὅρῳ τοιούτῳ, ἵνα, ἐὰν αὐτὸς φύγῃ, σὺ ἀποθάνῃς· προθύμως δὲ τοῦτο ὁ σεβάσμιος ἀνὴρ καταδεξάμενος, τὸν προλεχθέντα Διάκονον ἐν τῇ αὐτοῦ ἀνεδέξατο πίστει.

22. Περὶ δὲ τὸ μεσονύκτιον, ἐν ὅσῳ πάντας τοὺς Λογγοβάρδους ὕπνῳ βαθεῖ κατεχομένους ἐθεάσατο, ἐξυπνήσας τὸν Διάκονον, πρὸς αὐτὸν εἶπεν· ἀνάστα, καὶ μετὰ σπουδῆς φύγε· λυτρώσεταί σε ὁ Παντοδύναμος Θεός· ὁ δὲ Διάκονος, μνημονεύων τῆς ὑποσχέσεως αὐτοῦ, ἀπεκρίθη λέγων· φυγεῖν, Πάτερ, οὐ δύναμαι· ἐὰν γὰρ φύγω, ἀνυπερθέτως ὑπὲρ ἐμοῦ σὺ ἀποθνήσκεις· ὁ δὲ πρὸς τὸ φυγεῖν αὐτὸν κατήπειγε λέγων, ἀνάστα καὶ ἄπελθε, ὁ Παντοδύναμος Θεὸς λυτρώσεταί σε· ἐγὼ γὰρ ἐν τῇ χειρὶ αὐτοῦ εἰμι, καὶ τοσοῦτον εἰς ἐμὲ ποιῆσαι δύνανται, ὅσον αὐτοῖς παραχωρήσει· ἔφυγε τοίνυν ὁ Διάκονος· ὁ δέ, ὡς ἀπατηθείς, αὐτόθι ἔμεινε.

23. Πρωΐας δὲ γενομένης, ἦλθον πρὸς αὐτὸν οἱ Λογγόβαρδοι ζητοῦντες, ὅνπερ αὐτῷ παραδεδώκασιν. Ὁ δὲ εὐλαβέστατος Σάγκτουλος πρὸς αὐτοὺς ἔφη· φυγῇ τὸν Διάκονον χρήσασθαι· οἱ δὲ πρὸς αὐτὸν εἶπον· τὸ πῶς ἐστοιχήθη, αὐτὸς καλῶς ἐπίστασαι· ὁ δὲ τοῦ Κυρίου δοῦλος, θαρσαλέως ἀπεκρίθη, γινώσκω· οἱ δὲ πρὸς αὐτὸν εἶπον· καλὸς ἄνθρωπος εἶ, καὶ οὐ θέλομέν σε διὰ βασανιστηρίων διαφόρων κολάσαντες φονεῦσαι· ἐπίλεξαι οὖν θάνατον οἷον θέλεις· πρὸς οὓς ὁ τοῦ Θεοῦ ἄνθρωπος ἀπεκρίθη λέγων· ἐν τῇ χειρὶ τοῦ Θεοῦ εἰμι, καὶ οἵῳ θανάτῳ αὐτός με παραχωρήσει ἀποθανεῖν, αὐτῷ με φονεύσατε· τότε πᾶσιν ἐκείνοις τοῖς βαρβάροις ἤρεσεν, ἵνα τὴν κεφαλὴν αὐτοῦ ἀποτέμωσι.

24. Γνῶντες οὖν οἱ κατὰ τὸν τόπον ἐκεῖνον Λογγόβαρδοι ὅτι Σάγκτουλος ὁ

μεταξὺ αὐτῶν διὰ ἁγιωσύνην ἐν μεγίστῃ τιμῇ ὑπάρχων φονευθῆναι ἔμελλε, πάντες συνῆλθον τῇ συνήθει αὐτῶν ὠμότητι, ἐπὶ τῷ τούτου θανάτῳ εὐφραινόμενοι, καὶ ἐνορδίνως στάντες, τὸν θάνατον αὐτοῦ ἐξεδέχοντο· εἰσαχθέντος δὲ αὐτοῦ ἐν τῷ μέσῳ, ἐκ πάντων τῶν ἀνδρῶν ἐκείνων ἐπελέγη εἷς, ὁ ἐν δυναστείᾳ σώματος τῶν ἄλλων διαφορώτερος· περὶ οὗ διστάσαι οὐκ ἦν, ὅτι ἐν ἑνὶ κρούσματι τὴν κεφαλὴν ἀποτεμεῖ.

25. Ὁ δὲ ἠτήσατο ἵνα ὀλίγη ἄδεια δοθῇ αὐτῷ εὔξασθαι· λαβὼν οὖν, ἐν τῇ γῇ ἑαυτὸν ὑποστρώσας ηὔχετο· χρονίζοντος δὲ αὐτοῦ ἐν τῇ εὐχῇ, ὁ πρὸς τὸ φονεῦσαι αὐτὸν ἐπιλεγείς, προσελθών, τῷ ποδὶ ἔνυξεν αὐτὸν λέγων· ἀνάστα, καὶ κλίνας γόνυ, ἔκτεινόν σου τὸν αὐχένα· ὁ δέ, καθὼς προσετάγη, πεποίηκεν· ὁ δὲ σαρκοβόρος γυμνὸν τὸ ξίφος λαβὼν ἐν ἰσχύϊ τὸν βραχίονα εἰς ὕψος ἐπῆρεν ἐπὶ τὸ κροῦσαι αὐτόν· καὶ ἔμεινεν ὁ βραχίων αὐτοῦ ἀκλινής, ἐφ' ὕψους ἐκτεταμένος.

26. Τότε πάντες οἱ συνελθόντες Λογγόβαρδοι αἰνεῖν τὸν Θεὸν ἤρξαντο, σφόδρα ἐκπλαγέντες ἐπὶ τῷ γεγονότι· καὶ προσελθόντες τῷ Ἁγίῳ παρεκάλουν αὐτὸν ἀναστῆναι, καὶ τὸν τοῦ φονευτοῦ βραχίονα ἰάσασθαι· ὁ δὲ ἀναστὰς ἔφη· οὐδαμῶς ὑπὲρ αὐτοῦ εὔχομαι, εἰ μὴ πρότερον ὅρκον μοι δώσει, μετὰ χειρὸς αὐτοῦ Χριστιανὸν ἄνθρωπον οὐ φονεύει· ὁ δὲ φονευτὴς ἐκεῖνος, τῆς βασάνου αὐτὸν κατεπειγούσης, ὤμοσε τοῦ μηδέποτε τοῦ λοιποῦ Χριστιανὸν ἄνθρωπον φονεῦσαι· τότε ὁ Ἅγιος ἐκέλευσε κατενεγκεῖν τὴν χεῖρα αὐτοῦ, καὶ παραχρῆμα ταύτην κατήγαγε, καὶ τὸ ξίφος αὐτοῦ εἰς τὴν θήκην ἔστρεψεν.

27. Οἱ δὲ παρόντες Λογγόβαρδοι, τὴν τοῦ ἀνδρὸς ἁγιωσύνην γνωρίσαντες, πρόβατα καὶ βόας καὶ ἄλλα τινά, ἐξ ὧν ἦσαν πραιδεύσαντες, δῶρα αὐτῷ προσέφερον· ἀλλ' ὁ τοῦ Θεοῦ ἄνθρωπος ταῦτα μὲν οὐκ ἐδέξατο, ἕτερα δὲ δῶρα ἠτήσατο εἰπών· ἐὰν θέλητέ μοι τίποτε δωρήσασθαι, τοὺς αἰχμαλώτους ὅλους, οὓς ἔχετε, χαρίσασθέ μοι, ἵνα ἔχω ὑπὲρ ὑμῶν εὔχεσθαι· οἱ δὲ ὑπέσχοντο καὶ πάντας τοὺς αἰχμαλώτους μετ' αὐτῶν ἀπέλυσαν· οὕτω γὰρ ἡ ἄνωθεν ᾠκονομήσατο πρόνοια, ἵνα ἐν ὅσῳ ἑαυτὸν μόνον ὑπὲρ ἑνὸς ἀποθανεῖν δέδωκε, πολλοὺς ἀπὸ θανάτου λυτρώσηται.

28. Νέου ἔτι ὄντος τοῦ μακαρίου Σάββα, καὶ ἐν τῇ Μονῇ τῇ καλουμένῃ Φλαβιαναὶ διάγοντος, ὁ ἀρτοποιὸς ὁ ἐκεῖ, διάβροχος τὰ ἱμάτια γεγονώς, ἐπεὶ μὴ εἶχεν ἡλίῳ ξηράναι, ἐν τῷ κλιβάνῳ αὐτὰ ἀπέψυξε χειμῶνος ὄντος· εἶτα λαθὼν ἑαυτόν, κατέλιπεν αὐτὰ ἐκεῖ ξηραινόμενα· χρείας οὖν ἄφνω καταλαβούσης, αὐτός τε ὁ Σάββας καὶ ἄλλοι τῶν Μοναχῶν, τήν τε ζύμην μετὰ τοῦ ἀρτοποιοῦ ἐφύρων, καὶ τὸν κλίβανον ἔκαιον, τῶν ἱματίων, ὡς ἔφημεν, κατὰ λήθην ἀπειλημμένων.

29. Ἤδη δὲ τῆς φλογὸς ἀρθείσης, ὁ ἀρτοποιὸς εἰς ὑπόμνησιν ἐλθών, ὅτε καὶ μηδὲ ἀνύειν δυνατὸς ὤν, φοβερὸν ἤδη τῆς φλογὸς ἀπειλούσης, λύπῃ τὴν καρδίαν ἐβάλλετο καὶ ἀθυμίᾳ συνείχετο.

30. Οὐ φέρων οὖν ὁ Σάββας τὸν ἀδελφὸν οὕτως ἀθυμοῦντα ὁρᾶν, ἀλλ' οὐδὲ αὐτὸς ἧττον τὰ σπλάγχνα διακαιόμενος, καταφρονεῖ μὲν τοῦ σώματος, καταφρονεῖ δὲ πυρός, καὶ ἐν τῷ τοῦ σταυροῦ σημείῳ φραξάμενος, ὡς εἶχεν εὐθὺς ἔνδον τοῦ κλιβάνου γίνεται καὶ τὴν φλόγα καταπατήσας, ὡς τὴν ἡδονὴν πρότερον, τά ἱμάτιά τε τοῦ πυρὸς ἀνασῴζει καὶ αὐτὸς ἔξεισιν ἀβλαβής, οὐ δι' εὐσέβειαν νῦν ὡς πάλαι τοὺς νεανίας, ἀλλὰ διὰ φιλαδελφίαν μᾶλλον αἰδεσθείσης αὐτὸν τῆς φλογός.

Ἑρμηνεία

Εἰς ΤΟ ΒΙΒΛΙΟΝ τοῦ Ἱππολύτου, τοῦ γνωστοῦ καὶ εἰς τοὺς Ἀποστόλους (¹), ἀνέγνωσα τὸ ἑξῆς διήγημα:

---

1. Ἀπόστολοι νοοῦνται ἐνταῦθα οἱ μαθηταὶ καὶ διάδοχοι τῶν Ἁγίων Ἀποστόλων καὶ οἱ Ἀποστολικοὶ Πατέρες, δεδομένου ὅτι ὁ Ἅγιος Ἱππόλυτος ἤκμασε

Εἰς τὴν Κόρινθον, κατὰ τοὺς χρόνους τῶν διωγμῶν, ἔζη μία παρθένος καταγομένη ἀπὸ ἐπιφανὲς γένος καὶ ἀρκετὰ ὡραία. Αὐτὴ ἠσκεῖτο εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς. Αὐτὴν λοιπὸν τὴν παρθένον κατήγγειλαν εἰς τὸν δικαστὴν τοῦ τόπου, ὁ ὁποῖος ἦτο εἰδωλολάτρης, ὅτι ὑβρίζει καὶ περιφρονεῖ τοὺς βασιλεῖς καὶ τὰ εἴδωλα. Διὰ νὰ διεγείρουν δὲ περισσότερον τὸν δικαστὴν αὐτοὶ οἱ ἐκμεταλλευταί, ὑπεγράμμιζον τεχνηέντως καὶ τὴν ὡραιότητά της, ἐπειδὴ ἦτο γνωστόν, ὅτι ὁ δικαστὴς ἦτο γυναικομανὴς καὶ ἀσεβής· πράγματι λοιπὸν οὗτος μὲ εὐχαρίστησιν τοὺς ἤκουε.

2. Διατάσσει τότε ἀμέσως νὰ τὴν συλλάβουν. Μόλις δὲ τὴν προσήγαγον ἐνώπιόν του καὶ αὐτὸς ὁ αἱμοχαρὴς τύραννος εἶδεν ἐκ τοῦ πλησίον τὴν ὀμορφιά της, τὴν ἐρωτεύθη ἐμμανῶς. Ἀμέσως ἐπιστρατεύει ὅλην τὴν πονηρίαν του διὰ νὰ τὴν μεταπείσῃ καὶ νὰ τὴν καταστήσῃ εὐχείρωτον ὄργανον τῶν αἰσχρῶν του ἐπιθυμιῶν. Παρ' ὅλα ταῦτα δὲν κατώρθωσε τίποτε. Δι' αὐτὸ ὑποβάλλει τὴν γενναίαν παρθένον εἰς διάφορα φοβερὰ βασανιστήρια. Ἀλλὰ καὶ πάλιν δὲν κατώρθωσε νὰ τὴν ἐκφοβίσῃ διὰ νὰ ἀρνηθῇ τὸν Χριστὸν καὶ νὰ προδώσῃ τὴν εἰς Χριστὸν ὁμολογίαν της. Ἡ γενναιοτάτη καὶ ἡρωϊκὴ στάσις τῆς παρθένου τὸν ἔκαμεν ὡσὰν τρελλόν. Ὑπὸ τὸ κράτος δὲ τῆς παραφροσύνης του αὐτῆς τὴν ἐξαποστέλλει βιαίως εἰς πορνεῖον. Συγχρόνως δέ, διὰ νὰ τὴν καταστρέψῃ, ἔστω καὶ παρὰ τὴν θέλησίν της, καὶ νὰ τῆς ἀφαιρέσῃ τὸν οὐρανοΰφαντον χιτῶνα τῆς παρθενίας, ὑπεσχέθη εἰς τὸν πορνοβοσκὸν νὰ τοῦ προσφέρῃ καθ' ἑκάστην ἡμέραν τριάκοντα νομίσματα, ἐκτὸς ἐκείνων, ποὺ θὰ εἰσέπραττεν ἀπὸ τὴν ἔκδοσίν της.

3. Ὁ διεφθαρμένος λοιπὸν αὐτὸς ἄνθρωπος εἰσπράττων καθ' ἑκάστην τὸν μισθὸν τῆς αἰσχροπραγίας του, τὴν προέβαλλεν εἰς τοὺς ἐπισκέπτας τοῦ βδελυροῦ αὐτοῦ ἐργαστηρίου τῆς διαφθορᾶς, διὰ νὰ ἁμαρτήσουν μετ' αὐτῆς ὅσοι τὴν ἐπεθύμουν. Ἐκείνη ὅμως ἡ εὐλογημένη νέα δὲν ἔχασε τὴν ψυχραιμίαν της, οὔτε παρεδόθη εἰς τὴν ἀκολασίαν. Ἐπεκαλεῖτο μετὰ θερμότητος τὴν βοήθειαν καὶ προστασίαν τοῦ Θεοῦ καὶ τοὺς προσερχομένους πρὸς αὐτὴν ἀσώτους ἀπέκρουεν εὐγενῶς, λέγουσα εἰς αὐτοὺς μετὰ παρακλήσεως καὶ εὐγενείας.

— Δὲν εἶμαι εἰς θέσιν νὰ σᾶς δεχθῶ, διότι ἔχω μίαν πληγὴν εἰς τὰ ἀπόκρυφα μέλη μου, ποὺ μυρίζει ἀφορήτως, καὶ φοβοῦμαι μήπως, ἀντὶ ἡδονῆς, αἰσθανθῆτε ἀποτροπιασμὸν καὶ βδελυγμίαν καὶ ὡς ἐκ τούτου μὲ μισήσετε. Περιμένετε ὀλίγας ἡμέρας, ἕως οὗ θεραπευθῶ, ὁπόταν θὰ ἠμπορέσετε, καὶ δωρεὰν ἀκόμη, νὰ μὲ ἔχετε.

περὶ τὰς ἀρχὰς τοῦ Γ' αἰῶνος. Αἱ περὶ αὐτοῦ βιογραφικαὶ πληροφορίαι εἶναι ἐλάχισται. Ἐκ τῶν συγγραμμάτων του συνάγεται ὅτι ἔδρασε κυρίως ἐν Ρώμῃ ἐπὶ τῶν Παπῶν Ζεφυρίνου καὶ Καλλίστου (199 – 223). Ὁ Ἱππόλυτος κατέκρινε καὶ τοὺς δύο αὐτοὺς Πάπας. Ἐπὶ τῶν ἡμερῶν μάλιστα τοῦ τελευταίου προεκλήθη σχίσμα, τοῦ Ἱππολύτου ἀνακηρυχθέντος ὑπὸ τῶν ὀπαδῶν του Πάπα Ρώμης. Ἐν τῇ ἱστορίᾳ φέρεται γνωστὸς ὡς ἀντίπαπας. Ἐτελεύτησε μαρτυρικῶς (Ἰανουαρίου 30).

4. Μὲ τοὺς λόγους αὐτοὺς τοὺς ἀπεδίωκε καί, πρὸς στιγμήν, διέφευγε τὸν κίνδυνον· ἐν τῷ μεταξὺ μὲ θερμὰ δάκρυα καὶ ἀδιακόπους παρακλήσεις παρεκάλει ἀναστενάζουσα τὸν Θεόν, νὰ τὴν λυτρώση ἀπὸ αὐτὸν τὸν φοβερὸν πειρασμόν. Ὁ Θεὸς λοιπόν, ποὺ εἶναι πάντοτε παρὼν εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ πού, ὡς παντογνώστης, ἐγνώριζε πόσον ὁλοψύχως ἡ νέα αὐτὴ ἐνδιαφέρεται καὶ ἀγωνιᾷ διὰ τὴν ἁγνείαν της, ἐμπνέει ἀγαθὰς καὶ σωτηριώδεις ὑπὲρ αὐτῆς σκέψεις εἰς τὴν καρδίαν ἑνὸς νεωτέρου Μαγιστριανοῦ, δηλαδὴ ἀξιωματούχου ἀριστοκράτου, ὁ ὁποῖος καὶ κατὰ τὸν ἐσωτερικὸν κόσμον καὶ κατὰ τὴν ἐξωτερικὴν ὄψιν ἦτο ὡραῖος καὶ εὐγενής. Οὗτος λοιπὸν μετὰ τοσούτου ζήλου ἀνέλαβε τὸ ἔργον τῆς σωτηρίας της ἐκ τοῦ ἀθλίου αὐτοῦ περιβάλλοντος τοῦ πορνείου, ὥστε νὰ ἀδιαφορήσῃ καὶ ἐὰν ἀκόμη θὰ ἠπειλεῖτο μὲ θάνατον.

5. Πράγματι λοιπὸν μίαν νύκτα ὁ εὐγενὴς ἐκεῖνος νεανίας, μετασχηματισθεὶς εἰς ἀκόλαστον καὶ ἄσωτον, εἰσέρχεται εἰς τὸ πορνεῖον καὶ προσφέρων εἰς τὸν πορνοβοσκὸν πέντε νομίσματα τοῦ λέγει:

—Ἀπόψε θέλω νὰ μοῦ ἐπιτρέψῃς νὰ παραμείνω, ἕως τὸ πρωΐ, μὲ αὐτὴν ἐδῶ τὴν γυναῖκα· καὶ ὑπέδειξε τὴν ἐκ Κορίνθου παρθένον.

Ὅταν εἰσῆλθον εἰς τὸ ἰδιαίτερον δωμάτιον, ὁ νεαρὸς ἀξιωματοῦχος τῆς λέγει:

— Σήκω καὶ σώσου, ὅσον δύνασαι γρηγορώτερα· βγάλε τὰ ροῦχα σου αὐτὰ καὶ φόρεσε τὰ ἰδικά μου ἐνδύματα καὶ τὴν χλαμύδα μου.

Ἀφοῦ λοιπὸν τὴν μετεμόρφωσε διὰ τοῦ τρόπου αὐτοῦ καὶ ἔγινε ἀγνώριστος τῆς λέγει πάλιν:

— Σκεπάσου μὲ τὴν ἄκραν τῆς χλαμύδος καὶ φύγε ἀμέσως.

Ἐκείνη, ἀφοῦ ἐποίησε τὸ σημεῖον τοῦ Σταυροῦ, ἔκαμεν αὐτὸ ποὺ τῆς ὑπέδειξε καὶ διέφυγεν ἀπὸ τὸν διεφθαρμένον ἐκεῖνον τόπον, χωρὶς νὰ ὑποστῇ οὐδεμίαν φθορὰν καὶ τοιουτοτρόπως ἐσώθη.

6. Τὴν ἄλλην ἡμέραν, ποὺ ἔγιναν γνωστὰ τὰ γεγονότα, συνελήφθη ἀμέσως ὁ Μαγιστριανὸς καὶ ὡδηγήθη δέσμιος ἐνώπιον τοῦ θηριώδους δικαστοῦ. Ὁ δικαστής, χωρὶς πολλὰς διατυπώσεις, διέταξε καὶ ἔριξαν τὸν Μαγιστριανὸν εἰς τὰ θηρία. Διὰ τοῦ φρικτοῦ αὐτοῦ θανάτου ἔλαβεν οὗτος τὸν στέφανον τοῦ μαρτυρίου, διότι ἤθλησε χάριν τῆς ψυχῆς του καὶ διὰ τὴν προστασίαν τῆς τιμῆς τῆς ἀοιδίμου ἐκείνης καὶ μακαρίας παρθένου.

7. Κατὰ τοὺς χρόνους τῶν ἀγρίων καὶ λυσσωδῶν Βανδάλων, πολλὰ μέρη τῆς Ἰταλίας ἠρημώθησαν· ἡ περιοχὴ μάλιστα τῆς Καμπανίας κατέστη ἀπὸ τὰς ἐπιδρομὰς τελείως ἀκατοίκητος. Πολλοὶ κάτοικοι ἐκείνων τῶν περιοχῶν, ὅσοι διέφυγον τὴν σφαγήν, ἠχμαλωτίσθησαν καὶ μετεφέρθησαν ὡς δοῦλοι εἰς τὴν Ἀφρικήν. Ὁ Ἐπίσκοπος λοιπὸν τῆς πόλεως Νώλων, Παυλῖνος, διὰ νὰ ἀνακουφίσῃ τοὺς αἰχμαλώτους καὶ τὰ θύματα τῶν ἐπιδρομῶν, ἐμοίρασε μεταξὺ τῶν δυστυ-

χῶν αὐτῶν ὅλα τὰ χρήματα τοῦ Ἐπισκοπείου, ἀκόμη καὶ ἅπαντα τὰ ἔπιπλα καὶ σκεύη.

8. Ἀφοῦ τὰ διεμοίρασεν ὅλα καὶ δὲν ἐκράτησεν ἀπολύτως τίποτε, ἦλθε πρὸς αὐτὸν μία γυνὴ χήρα καὶ γοερῶς τὸν ἱκέτευε νὰ τὴν βοηθήση. Ὁ υἱός της — ὅπως ἔλεγεν — ἀπήχθη αἰχμάλωτος ἀπὸ τὸν γαμβρὸν τοῦ βασιλέως τῶν Βανδάλων. Ἐζήτει λοιπὸν ἀπὸ τὸν Ἅγιον αὐτὸν ἄνθρωπον τοῦ Θεοῦ, τὸν Ἐπίσκοπον Παυλῖνον, νὰ τῆς δώση τὰ λύτρα τοῦ αἰχμαλώτου υἱοῦ της, ὥστε, ἐὰν καταδεχθῆ, νὰ τὰ δεχθῆ ὁ ἀφέντης τοῦ υἱοῦ της καὶ νὰ τὸν ἀφήση ἐλεύθερον.

9. Μόλις ἤκουσεν αὐτὰ ὁ σεβάσμιος Ἐπίσκοπος ἐλυπήθη καὶ ἤρχισε μὲ μεγάλον ζῆλον καὶ προθυμίαν νὰ ἐρευνᾷ, μήπως ἀνεύρη τίποτε, διὰ νὰ τὸ προσφέρη εἰς τὴν δυστυχῆ χήραν μητέρα. Παρ' ὅλην ὅμως τὴν ἔρευναν δὲν εὗρε τίποτε· ἀπευθυνόμενος τότε πρὸς τὴν ἐναγωνίως ἀναμένουσαν γυναῖκα, τῆς εἶπε:

— Δὲν ἔχω τίποτε, εὐλογημένη μου, νὰ σοῦ προσφέρω, διὰ τὴν ὑπόθεσίν σου· τί νὰ σοῦ κάμω; Ἕνα ἀπομένει· προσφέρομαι ὁ ἴδιος ὡς δοῦλος, διὰ νὰ μὲ παραδώσης εἰς τὸν ἀφέντην τοῦ υἱοῦ σου καὶ νὰ ἀπολαύσης σὺ ἐλεύθερον τὸν υἱόν σου.

Ἡ γυνή, μόλις ἤκουσε τοιοῦτον λόγον ἀπὸ τὸ στόμα τοῦ Ἐπισκόπου, τὸ ἐξέλαβεν ὡς ἐμπαιγμὸν τῆς δυστυχίας της καὶ ὄχι ὡς ἔκφρασιν εἰλικρινοῦς συμπαθείας πρὸς τὸ πάθημά της. Ὁ Ἐπίσκοπος ἀντελήφθη τὴν δυσπιστίαν της αὐτὴν καὶ καθὼς ἦτο μορφωμένος καὶ συνετὸς τὴν ἔπεισεν, ὅτι εἰλικρινῶς λέγει αὐτὰ ποὺ τῆς ἐπρότεινε, τὴν συνεβούλευσε δὲ νὰ τὰ πιστεύση καὶ νὰ μὴ δειλιάση νὰ τὸν δώση ὡς δοῦλον, διὰ νὰ ἐπιτύχη τὴν ἀπελευθέρωσιν τοῦ υἱοῦ της.

10. Πράγματι λοιπὸν ἀνεχώρησαν καὶ οἱ δύο διὰ τὴν Ἀφρικήν, πρὸς συνάντησιν τοῦ γαμβροῦ τοῦ ἡγεμόνος τῶν Βανδάλων, ὁ ὁποῖος ἐκράτει τὸν νέον αἰχμάλωτον. Ὅταν τὸν συνήντησαν, τὸν ἐπλησίασεν ἡ χήρα καὶ τὸν ἱκέτευε νὰ τῆς χαρίση τὸν υἱόν της. Παρ' ὅλας ὅμως τὰς παρακλήσεις τῆς δυστυχοῦς μητρὸς ὁ βάρβαρος δὲν ἐξευμενίζετο· φουσκωμένος δὲ ἀπὸ ἀλαζονείαν ὄχι μόνον δὲν ἔστεργε νὰ πραγματοποιήση τὸ αἴτημά της, ἀλλὰ καὶ ποὺ τὴν ἤκουεν ἀκόμη ᾐσθάνετο ἀηδίαν καὶ τὴν ἀπεστρέφετο.

11. Ἐν ἀπογνώσει τότε εὑρισκομένη ἡ χήρα χρησιμοποιεῖ ὡς ὕστατον μέσον τὴν εὐγενικὴν προσφορὰν ἀγάπης τοῦ Ἐπισκόπου.

— Ἐὰν μοῦ δώσης τὸ παιδί μου (συνέχισεν ἡ χήρα μητέρα) νὰ καὶ ὁ ἄνθρωπος, ποὺ θὰ τὸ ἀντικαταστήση εἰς τὴν τάξιν τῶν δούλων. Μόνον λυπήσου με καὶ δός μου τὸ μονάκριβο παιδί μου.

Κατόπιν τῆς προτάσεως αὐτῆς ὁ βάρβαρος εἶδε μὲ γελαστὸν πρόσωπον τὸν ἄνθρωπον, ποὺ συνώδευε τὴν χήραν καὶ τὸν ἠρώτησε.

— Ποίαν τέχνην γνωρίζεις;

— Καμμίαν τέχνην δὲν ἔχω μάθει (ἀπαντᾷ ὁ Ἐπίσκοπος)· γνωρίζω ὅμως νὰ περιποιοῦμαι πολὺ καλῶς τὸν κῆπον.

12. Μὲ εὐχαρίστησιν ἐδέχθη τὴν πληροφορίαν αὐτὴν ὁ βάρβαρος καὶ ἀμέσως εἰς μὲν τὴν γυναῖκα παραδίδει ἐλεύθερον τὸν υἱόν της, τὸν δὲ Ἐπίσκοπον ἐκράτησεν ὡς δοῦλον. Μετὰ ταῦτα ἡ μητέρα ἀνεχώρησεν ἐκ τῆς Ἀφρικῆς μὲ τὸν υἱόν της καὶ ὁ Παυλῖνος ἀνέλαβεν, ὡς δοῦλος, τὴν φροντίδα τοῦ κήπου.

13. Ὁ κύριος τοῦ κηπουροῦ εἰσήρχετο συχνότερον εἰς τὸν κῆπον καὶ συνεζήτει περὶ διαφόρων θεμάτων μετὰ τοῦ κηπουροῦ. Ἀπὸ τὰς συζητήσεις αὐτὰς δὲν ἤργησε νὰ ἀντιληφθῇ, ὅτι ὁ κηπουρὸς ἦτο σοφὸς καὶ ἐγνώριζε πολλὰ πράγματα. Χάριν λοιπὸν τῆς ὠφελίμου αὐτῆς συναναστροφῆς ἐγκατέλειψεν ὅλους τοὺς οἰκογενειακούς του φίλους καὶ συναντώμενος μετ᾽ αὐτοῦ καθημερινῶς ἀπελάμβανε τοὺς λόγους του. Ὁ Παυλῖνος πάλιν ἔφερε διὰ τὸ τραπέζι τοῦ κυρίου του καρποὺς καὶ διάφορα μυρωδικὰ καὶ λαμβάνων παρ᾽ αὐτοῦ τὸ ἀναγκαῖον ἡμερήσιον φαγητόν του, ἀνεχώρει διὰ τὸν κῆπον τὸν ὁποῖον ἐκαλλιέργει.

14. Ἡ ἐργασία αὐτὴ καθημερινῶς ἐγίνετο μὲ τὴν αὐτὴν τάξιν καὶ σειράν. Κάποτε, εἰς μίαν τοιαύτην συνάντησιν, λέγει ὁ Παυλῖνος κάπως μυστηριωδῶς εἰς τὸν κύριόν του:

— Πρόσεξε τί πρόκειται νὰ κάμῃς, καὶ νὰ προνοήσῃς πῶς θὰ διοικηθῇ καλλίτερα τὸ βασίλειον τῶν Βανδάλων, διότι κατὰ τὰς ἡμέρας αὐτὰς πρόκειται ἐξάπαντος νὰ ἀποθάνῃ ὁ ἡγεμὼν τῶν Βανδάλων.

15. Ὁ κύριος τοῦ Παυλίνου, μόλις ἤκουσεν αὐτό, ἐταράχθη, διότι τὸν ἠγάπα ὁ ἡγεμὼν περισσότερον ἀπὸ ὅλους. Δι᾽ αὐτὸ ἔσπευσε καὶ διεμήνυσεν εἰς τὸν ἡγεμόνα ὅσα ἤκουσεν ἀπὸ τὸν κηπουρόν. Ὁ ἡγεμών, μόλις ἐπληροφορήθη τὰ πράγματα αὐτά, ἐζήτησε νὰ γνωρίσῃ τὸν κηπουρόν. Ὁ γαμβρός του τότε τοῦ εἶπεν:

— Ὁ κηπουρός μου αὐτὸς συνηθίζει καὶ μοῦ φέρει, κατὰ τὰ γεύματά μου, πολυτίμους καρποὺς καὶ μυρωδικά· θὰ τὸν προτρέψω λοιπὸν καὶ εἰς σὲ νὰ φέρῃ τὰ προϊόντα τῆς κηπουρικῆς του ἐργασίας, ὥστε νὰ σοῦ δοθῇ ἡ εὐκαιρία νὰ τὸν γνωρίσῃς.

16. Πράγματι, ὅταν ὁ ἡγεμὼν ἐπρόκειτο νὰ γευματίσῃ τὴν ἐπομένην, εἰσῆλθεν ὁ Παυλῖνος διὰ νὰ προσφέρῃ εἰς αὐτὸν τοὺς καρπούς, τὰ ἄνθη, τὰ εὐώδη βότανά του, καὶ ὅσα ἐν γένει διὰ τοῦ κόπου του ἐκαλλιέργει. Μόλις ὁ ἡγεμὼν ἀντίκρυσεν ἔτσι αἰφνιδίως τὸν Παυλῖνον, ἐτρόμαξεν. Ἀμέσως φωνάζει τὸν γαμβρὸν καὶ συνάρχοντά του καὶ κατάπληκτος τοῦ φανερώνει ὅσα προηγουμένως τοῦ εἶχεν ἀποκρύψει.

— Αὐτό, ποὺ ἤκουσας ἐκ τοῦ κηπουροῦ σου—τοῦ εἶπεν—εἶναι ἀληθές. Ἰδοὺ διατί· προχθὲς τὴν νύκτα εἶδον εἰς τὸν ὕπνον μου ἄρχοντας νὰ συνεδριάζουν ἐναντίον μου. Οἱ ἄρχοντες αὐτοὶ μοῦ ἀφήρεσαν τὸ φραγγέλιον (σύμβολον ἐξουσίας), ποὺ μοῦ εἶχον δώσει κάποτε δι᾽ ἀποφάσεώς των. Μεταξὺ τῶν ἀρχόντων αὐτῶν συγκατελέγετο καὶ ὁ κηπουρός. Ἐρώτησε λοιπὸν αὐτὸν ποῖος εἶναι, διότι ἐγώ, κατόπιν τοῦ ὁράματος ἐκείνου, ποὺ τὸν εἶδον νὰ κατέχῃ τοιοῦτον ἀξίωμα, ἔχω τὴν γνώμην, ὅτι δὲν εἶναι ἁπλοῦς λαϊκός, ὅπως φαίνεται.

17. Ἀμέσως τότε ὁ γαμβρός τοῦ ἡγεμόνος παραλαμβάνει ἰδιαιτέρως τὸν Παυλῖνον καὶ προσπαθεῖ νὰ πληροφορηθῇ τὴν ταυτότητά του.

— Εἰπέ μου, σὲ παρακαλῶ—τὸν ἐρωτᾷ—ποῖος εἶσαι;

— Εἶμαι δοῦλος — ἀπήντησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ, — τὸν ὁποῖον ἐδέχθης εἰς τὴν ὑπηρεσίαν σου, εἰς ἀντικατάστασιν τοῦ μονογενοῦς υἱοῦ τῆς χήρας.

Ἡ ἀπάντησις αὐτὴ δὲν ἱκανοποίησε τὸν κύριόν του, δι' αὐτὸ ἐξαντλητικῶς καὶ μεθ' ὅρκου ἐζήτει παρ' αὐτοῦ νὰ μάθῃ, ὄχι ποῖος εἶναι τώρα, ἀλλὰ τί ἦτο, τί ἀξίωμα εἶχεν εἰς τὴν πατρίδα του. Κατόπιν τῆς πιέσεως αὐτῆς καὶ ἐπειδὴ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ὁ Παυλῖνος, ἐσεβάσθη τοὺς ὅρκους, τοὺς ὁποίους δὲν ἠδύνατο νὰ παραβῇ, τοῦ ἐφανέρωσε μὲ βαθυτάτην ταπεινοφροσύνην τὴν ἀλήθειαν.

— Εἰς τὴν πατρίδα μου ἤμουν Ἐπίσκοπος!

18. Μόλις ἤκουσεν αὐτὸ τὸ πρᾶγμα ἐφοβήθη πολὺ ὁ ἄλλοτε ὑπερήφανος καὶ ἀλαζὼν ἡγεμὼν καὶ ταπεινωμένος πλέον τοῦ λέγει:

— Ζήτησέ μου ὅ,τι θέλεις, διὰ νὰ ἐπιστρέψῃς εἰς τὴν πατρίδα σου μὲ πολλὰ δῶρα.

—Ἐὰν θέλῃς νὰ μὲ εὐεργετήσῃς, ἕνα μόνον σοῦ ζητῶ — ἀπήντησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ — νὰ ἐλευθερώσῃς ὅλους τοὺς αἰχμαλώτους, ποὺ προέρχονται ἀπὸ τὴν ἐπισκοπήν μου.

19. Ἀμέσως δίδεται ὑπὸ τοῦ ἡγεμόνος διαταγὴ νὰ ἀρχίσῃ ἡ ἔρευνα καὶ νὰ ἀναζητηθοῦν εἰς ὅλην τὴν Ἀφρικὴν οἱ ἐκ τῆς πόλεως τοῦ Ἁγίου Παυλίνου αἰχμάλωτοι. Οὗτοι ἀνακαλυφθέντες, μὲ τὴν βοήθειαν τῶν πληροφοριῶν τοῦ εὐλαβεστάτου Ἐπισκόπου Παυλίνου, ἐπεβιβάσθησαν εἰς πλοῖα, ἔλαβον τὰς ἀναγκαίας τροφὰς καὶ ἀπέπλευσαν, μαζὶ μὲ τὸν Παυλῖνον, ἐλεύθεροι πλέον διὰ τὴν Ἰταλίαν. Ἡ ἐλευθερία των ἐδόθη εἰς αὐτοὺς χάριν τοῦ Παυλίνου. Μετ' ὀλίγον ἀπέθανε καὶ ὁ βασιλεὺς τῶν Βανδάλων, ὅπως εἶχε προείπει ὁ Παυλῖνος, καὶ διὰ τοῦ θανάτου ἐγκατέλειψε τὸ φοβερὸν μαστίγιον, τὸ ὁποῖον ἐκράτει καὶ διὰ τὴν ἀπώλειάν του, ἀλλά, κατὰ παραχώρησιν Θεοῦ, καὶ διὰ τὴν παιδαγωγικὴν τιμωρίαν τῶν πιστῶν.

20. Μίαν ἡμέραν ἕνας Διάκονος συνελήφθη ἀπὸ τοὺς Λογγοβάρδους· ἀμέσως τὸν ἔδεσαν καὶ τὸν ἐφρούρουν, διότι ἐσκέπτοντο νὰ τὸν φονεύσουν. Ὅταν ἤρχισε νὰ βραδυάζῃ, ἕνας ἄνθρωπος τοῦ Θεοῦ, ὁ Σάγκτουλος, ποὺ κατῴκει εἰς τὴν περιοχὴν τῶν Λογγοβάρδων, προσῆλθεν εἰς τοὺς ἀρχηγούς των καὶ ἤρχισε θερμῶς νὰ τοὺς παρακαλῇ, διὰ νὰ χαρίσουν εἰς τὸν Διάκονον τὴν ζωήν του. Αὐτοὶ ὅμως δὲν ἐπείσθησαν.

21. Ἀφοῦ διεπίστωσεν ὁ εὐλαβέσταστος αὐτὸς ἄνθρωπος, ὅτι ἀπεφάσισαν πλέον οἱ Λογγοβάρδοι νὰ θανατώσουν τὸν Διάκονον, κατέφυγεν εἰς ἕνα ἔσχατον μέτρον, διὰ τοῦ ὁποίου ἐσκόπευε νὰ ἐλευθερώσῃ τὸν αἰχμάλωτον· ἐζήτησεν ἀπὸ αὐτοὺς νὰ τοῦ ἀναθέσουν νὰ τὸν φρουρῇ μέχρι τῆς ἐκτελέσεώς του. Οἱ Λογγοβάρδοι τότε τοῦ εἶπον:

— Εὐχαρίστως σοῦ ἐπιτρέπομεν νὰ τὸν φυλάξῃς ἕως ὅτου τὸν ἐκτελέσωμεν· σοῦ θέτομεν ὅμως ἕνα ὅρον: ἐὰν αὐτὸς δραπετεύσῃ, θὰ ἀποθάνῃς σὺ εἰς τὴν θέσιν του.

Προθύμως ἔδωσε τὴν ὑπόσχεσιν αὐτὴν ὁ Σάγκτουλος καὶ οἱ Λογγοβάρδοι τότε τοῦ ἐνεπιστεύθησαν τὸν μελλοθάνατον.

22. Κατὰ τὸ μεσονύκτιον, καὶ ὅταν διεπίστωσεν, ὅτι οἱ Λογγοβάρδοι κοιμῶνται βαθέως, ἀφυπνίζει ὁ Σάγκτουλος τὸν μελλοθάνατον Διάκονον καὶ τοῦ λέγει:

— Σήκω καὶ φύγε γρήγορα· θὰ σὲ ἐλευθερώσῃ ὁ Παντοδύναμος Θεός.

Ὁ Διάκονος ὅμως ἀναλογιζόμενος τὴν φρικτὴν ὑπόσχεσιν, ποὺ ἔδωσεν ὁ Σάγκτουλος εἰς τοὺς Λογγοβάρδους, ἀπήντησεν εἰς αὐτόν:

— Δὲν ἠμπορῶ, Πάτερ μου, νὰ φύγω· διότι, ἐὰν ἐγὼ φύγω, σὺ ὁπωσδήποτε θὰ ἀποθάνῃς χάριν ἐμοῦ.

Ὁ εὐλαβὴς Σάγκτουλος τὸν ἐπίεζε καὶ τὸν ἐξηνάγκαζε.

— Σήκω καὶ φύγε—τοῦ ἐπανελάμβανε φορτικῶς· ὁ Θεὸς θὰ σὲ ἀπελευθερώσῃ. Ὅσον δι' ἐμέ, μὴ ἐνδιαφέρεσαι· διότι ἐγὼ εὑρίσκομαι εἰς τὰς χεῖρας τοῦ Θεοῦ καί, ὡς ἐκ τούτου, τόσον μόνον ἠμποροῦν νὰ μὲ βλάψουν οἱ Λογγοβάρδοι, ὅσον θὰ ἐπιτρέψῃ εἰς αὐτοὺς ὁ Παντοδύναμος Θεός.

Κατόπιν αὐτῶν ἐπείσθη ὁ Διάκονος καὶ ἔφυγεν· ὁ δὲ Σάγκτουλος παρέμεινεν εἰς τὴν θέσιν του, ὡς νὰ εἶχε, δῆθεν, ἐξαπατηθῇ.

23. Τὸ πρωῒ ἦλθον εἰς αὐτὸν οἱ Λογγοβάρδοι ἀναζητοῦντες ἀπὸ τὸν Σάγκτουλον τὸν μελλοθάνατον, ποὺ τοῦ παρέδωσαν. Τότε ὁ εὐλαβέστατος Σάγκτουλος μὲ ἠρεμίαν τοὺς ἀπαντᾷ:

—Ὁ Διάκονος ἐδραπέτευσε.

— Γνωρίζεις καλῶς ὑπὸ ποίους ὅρους τὸν ἀνέλαβες καὶ τί ὑπεσχέθης, εἶπον οἱ Λογγοβάρδοι.

— Γνωρίζω, ἀπήντησε μὲ θάρρος ὁ δοῦλος τοῦ Κυρίου.

—Ἐπειδὴ εἶσαι καλὸς ἄνθρωπος, δὲν ἐπιθυμοῦμεν νὰ σὲ φονεύσωμεν μὲ βασανιστήρια· διάλεξε λοιπὸν ποῖον θάνατον προτιμᾷς.

—Ἡ ζωή μου εὑρίσκεται εἰς τὰς χεῖρας τοῦ Θεοῦ καὶ μὲ ὅποιον θάνατον ἐκεῖνος ἐπιτρέψῃ, φονεύσατέ με.

Μετὰ τὴν ἀπάντησιν αὐτὴν ἀπεφάσισαν οἱ Λογγοβάρδοι νὰ τὸν ἀποκεφαλίσουν.

24. Πληροφορηθέντες οἱ Λογγοβάρδοι τῆς περιοχῆς ἐκείνης, ὅτι ἐπρόκειτο νὰ ἐκτελεσθῇ ὁ ὑφ' ὅλων διὰ τὴν ἁγιωσύνην του τιμώμενος Σάγκτουλος, συνεκεντρώθησαν ὅλοι καὶ ὑπὸ τὸ κράτος τῆς γνωστῆς των ὠμότητος, ηὐχαριστοῦντο διὰ τὸν ἀποφασισθέντα θάνατον. Ἐντὸς ὀλίγου ἐσχηματίσθη ὁλόκληρος βαρβαρικὴ παράταξις καὶ ἀνέμενε τὴν ἐκτέλεσιν. Μόλις ὡδηγήθη εἰς τὸ μέσον τοῦ βαρβαρικοῦ αὐτοῦ στίφους ὁ Σάγκτουλος, ἀμέσως οἱ Λογγοβάρδοι ἐδιάλεξαν ἕνα, ποὺ διέφερεν ἀπὸ τοὺς ὑπολοίπους κατὰ τὴν σωματικὴν δύναμιν. Αὐτὸς

ἦτο βέβαιον, ὅτι μὲ ἕνα μόνον κτύπημα θὰ ἀπέκοπτε τὴν κεφαλὴν τοῦ γενναίου Σαγκτούλου.

25. Ἐν τῷ μεταξύ, χωρὶς νὰ χάση τὸ θάρρος του ὁ μελλοθάνατος, ζητεῖ, ὡς χάριν, νὰ τοῦ ἐπιτραπῆ νὰ προσευχηθῆ ὀλίγον. Ἀφοῦ ἔλαβε τὴν ἄδειαν, ἔπεσεν ἀμέσως κατὰ γῆς καὶ ἤρχισε νὰ προσεύχεται. Ἐπειδὴ δὲ ἀργοῦσε νὰ τελειώση τὴν προσευχήν, τὸν ἐπλησίασεν ὁ δήμιος, τὸν ἐσκούντησε μὲ τὸ πόδι του καὶ τοῦ λέγει:

—Ἔλα, σήκω, γονάτισε καὶ τέντωσε τὸν λαιμόν σου.

Μὲ προθυμίαν τότε ὁ μελλοθάνατος ἐξετέλεσε τὴν διαταγὴν τοῦ δημίου του καὶ ἡτοιμάζετο νὰ δεχθῆ τὸ θανατηφόρον κτύπημα τοῦ ξίφους. Ἀμέσως ὁ αἱμοχαρὴς Λογγοβάρδος ἐξήγαγεν ἀπὸ τὴν θήκην τὸ ξίφος, τὸ ἐκράτησε μὲ δύναμιν καὶ ἐσήκωσε τὴν χεῖρα του, μὲ τὴν ὁποίαν ἐκράτει τὸ ξίφος, ὑψηλά, διὰ νὰ καταφέρη εἰς τὸν αὐχένα τοῦ θύματος τὸ θανατηφόρον κτύπημα. Τότε ὅμως συνέβη ἕνα καταπληκτικὸν καὶ φοβερὸν πρᾶγμα: Ἡ χεὶρ τοῦ δημίου ἔμεινε τεντωμένη εἰς τὸ ὕψος ἐκεῖνο, χωρὶς νὰ δύναται νὰ κινηθῆ πρὸς τὰ κάτω.

26. Οἱ συγκεντρωθέντες Λογγοβάρδοι κατετρόμαξαν ἀπὸ τὸ θαυμαστὸν καὶ φοβερὸν αὐτὸ περιστατικὸν καὶ ἀμέσως ἤρχισαν νὰ προσεύχωνται πρὸς τὸν Θεόν. Συγχρόνως ἐπλησίασαν τὸν Ἅγιον, τὸν παρεκάλουν νὰ σηκωθῆ καὶ νὰ θεραπεύση τὴν χεῖρα τοῦ παρ' ὀλίγον δημίου του. Ὁ Σάγκτουλος, ἀφοῦ ἐν τῷ μεταξὺ ἐσηκώθη, ἀπευθυνόμενος πρὸς τοὺς Λογγοβάρδους εἶπε:

— Ποτὲ δὲν θὰ εὐχηθῶ εἰς τὸν Θεόν, διὰ νὰ θεραπευθῆ αὐτὸς ἐδῶ ὁ δήμιος, ἐὰν προηγουμένως δὲν μοῦ ὁρκισθῆ, ὅτι οὐδέποτε μὲ τὴν χεῖρα του θὰ φονεύση Χριστιανόν.

Τότε ὁ δήμιος, ὑποφέρων ἀπὸ τοὺς πόνους καὶ τὴν ὀδυνηρὰν ἀκαμψίαν τοῦ βραχίονος, ὡρκίσθη, ὅτι οὐδέποτε θὰ ἐφόνευε Χριστιανόν. Κατόπιν αὐτοῦ ὁ Ἅγιος τὸν διέταξε νὰ καταβιβάση τὴν χεῖρα. Καὶ ἀμέσως τὸ θαῦμα ἔγινεν· ἡ χεὶρ κατέβηκεν εἰς τὴν φυσικήν της στάσιν καὶ ὁ δήμιος ἠδυνήθη νὰ θέση τὸ ξίφος εἰς τὴν θήκην.

27. Οἱ παρόντες Λογγοβάρδοι, διαπιστώσαντες τὴν ἁγιότητα τοῦ Σαγκτούλου, ἀμέσως πρόβατα καὶ βόας καὶ ἄλλα πράγματα, ποὺ τυχαίως ἐκείνην τὴν στιγμὴν συνεκέντρωσαν, προσέφεραν ὡς δῶρα εἰς τὸν ἄνθρωπον αὐτὸν τοῦ Θεοῦ. Ὁ Σάγκτουλος ὅμως ἠρνήθη νὰ δεχθῆ τοιαῦτα δῶρα καὶ ἐζήτησεν ἄλλα.


—Ἐὰν θέλετε — τοὺς εἶπε — νὰ μοῦ προσφέρετε κάτι, νὰ μοῦ χαρίσετε ὅσους αἰχμαλώτους ἔχετε συλλάβει, διὰ νὰ ἠμπορῶ καὶ ἐγὼ νὰ εὔχωμαι εἰς τὸν Θεὸν διὰ σᾶς. Πράγματι ἐδέχθησαν οἱ Λογγοβάρδοι καὶ ἀπέλυσαν ὅλους τοὺς αἰχμαλώτους των. Ἡ Θεία Πρόνοια κατηύθυνε τοιουτοτρόπως τὰ γεγονότα, ὥστε ἡ προθυμία τοῦ Σαγκτούλου νὰ ἀποθάνη δι' ἕνα ἄνθρωπον, νὰ γίνη ἀφορμὴ νὰ λυτρωθοῦν πολλοὶ ἀπὸ τὰ φοβερὰ δεσμὰ τῆς δεινῆς ἐκείνης αἰχμαλωσίας καὶ τοῦ βεβαίου θανάτου.

28. Ὅταν ἦτο νέος ὁ Μακάριος Σάββας διέμενεν εἰς τὴν Μονὴν τῶν Φλαβιανῶν. Κάποτε λοιπὸν ὁ ἀρτοποιὸς τῆς Μονῆς ἐβράχηκε καὶ ἦτο ἀδύνατον νὰ φορέσῃ τὰ ἐνδύματά του. Ἐπειδὴ δὲ ἦτο χειμὼν καὶ δὲν ὑπῆρχεν ἥλιος, διὰ νὰ τὰ στεγνώσῃ, τὰ ἔβαλεν εἰς τὸν φοῦρνον. Ἀπὸ τὰς διαφόρους εὐθύνας ἐξέχασεν ὁ ἀρτοποιὸς καὶ τὰ ἐνδύματα ἔμειναν εἰς τὸν φοῦρνον. Ἐν τῷ μεταξὺ ἦλθεν ἡ στιγμὴ νὰ ζυμώσουν τοὺς ἄρτους τοῦ Μοναστηρίου καὶ ὁ Σάββας, ὁ ἴδιος, καὶ ἄλλοι ἐκ τῶν Μοναχῶν ἠσχολοῦντο μὲ τὸ ζύμωμα καὶ τὸ ἄναμμα τοῦ φούρνου. Κανεὶς ὅμως δὲν ἐφαντάσθη, ὅτι μέσα εἰς τὸν φοῦρνον εἶχε λησμονήσει ὁ ἀρτοποιὸς τὰ ἐνδύματά του.

29. Ὅταν πλέον εἶχον ὑψωθῆ αἱ φλόγες, ἐνεθυμήθη ὁ ἀρτοποιὸς τὰ ἐγκαταλειφθέντα ἐνδύματα. Τίποτε ὅμως δὲν ἠμποροῦσε νὰ κάμῃ, διότι ἡ ἀπειλὴ τῆς πυρᾶς ἦτο φοβερά, δι᾽ ἐκεῖνον ποὺ θὰ ἐτολμοῦσε νὰ τὴν ἀντιμετωπίσῃ. Τὸ γεγονὸς αὐτὸ ἐλύπησε βαθύτατα τὸν ἀρτοποιόν, διὰ τὴν ζημίαν τῆς καταστροφῆς τῶν ἐνδυμάτων.

30. Ὁ Σάββας ὅμως δὲν ἠμποροῦσε νὰ βλέπῃ λυπημένον τὸν ἀδελφόν, ἀλλὰ καὶ αὐτὸς δὲν ἠμποροῦσε νὰ ἡσυχάσῃ σκεπτόμενος τὴν ζημίαν τοῦ ἀδελφοῦ. Ταχύτατα λοιπὸν συλλαμβάνει μίαν ἰδέαν· χωρὶς νὰ σκεφθῇ οὔτε τὸ σῶμα του, οὔτε τὴν φωτιά, κάμνει τὸ σημεῖον τοῦ Σταυροῦ καὶ ρίπτεται ὅπως ἦτο εἰς τὰς φλόγας εἰς τὸ μέσον τοῦ φούρνου. Καί, ὢ τοῦ θαύματος! ἠδυνήθη νὰ κατανικήσῃ τὰς φλόγας, ὅπως προηγουμένως καὶ τὰς ἡδονάς, μὲ τὴν δύναμιν τῆς πίστεως, καὶ οὕτω διασῴζει ἐκ τοῦ κινδύνου τοῦ πυρὸς τὰ ἐνδύματα, ἀλλὰ καὶ αὐτὸς ἐξέρχεται σῶος ἐκ τῶν φλογῶν.

Τὸ θαῦμα αὐτὸ ἔγινε, καὶ τὸν ἐσεβάσθησαν αἱ φλόγες, ὄχι διὰ τὴν εὐσέβειαν, ὅπως ἄλλοτε τοὺς τρεῖς Παῖδας, ἀλλὰ διὰ τὴν ἀγάπην του πρὸς τὸν ἀδελφόν του.



ΥΠΟΘΕΣΙΣ ΛΗ΄

Ὅτι ὁ ἔχων τὴν ἐν Κυρίῳ ἀγάπην καὶ ταπείνωσιν σπουδάζει μὴ λυπεῖν, ἀλλὰ παντὶ τρόπῳ θεραπεύειν τὸν πλησίον, καὶ πάντα τὰ αὐτοῦ οἰκειοποιεῖσθαι ὡς ἴδια.

Αὐτὸς ποὺ αἰσθάνεται τὴν ἐν Κυρίῳ ἀγάπην καὶ ταπείνωσιν, προσέχει νὰ μὴ λυπήσῃ τὸν πλησίον, ἀλλὰ μὲ κάθε τρόπον τὸν ἐξυπηρετεῖ, καὶ αἰσθάνεται ὡς ἰδικάς του τὰς ἀνάγκας του καὶ τὰ προβλήματά του.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕΝ ὁ Ἀββᾶς Ἀγάθων, ὅτι οὐδέποτε ἔδωκα ἀγάπην, ἀλλὰ τὸ δοῦναι καὶ λαβεῖν ἀγάπη μοι ἦν, λογιζομένῳ ὅτι τὸ κέρδος τοῦ ἀδελφοῦ μου, ἔργον καρποφορίας μοί ἐστιν.

2. Δύο ἀδελφοὶ ἦσαν εἰς τὰ κελλία, ὁ εἷς δὲ Γέρων, καὶ παρεκάλει τὸν νεώτερον λέγων· μείνωμεν ὁμοῦ, ἀδελφέ· ὁ δὲ λέγει αὐτῷ· ἁμαρτωλός εἰμι, καὶ οὐ δύναμαι μεῖναι μετὰ σοῦ, Ἀββᾶ· ὁ δὲ παρεκάλει αὐτὸν λέγων· ναί, δυνάμεθα· ἦν δὲ ὁ Γέρων καθαρὸς καὶ οὐκ ἤθελεν ἀκούειν ὅτι ὁ ἀδελφὸς ἔχει λογισμοὺς πορνείας· λέγει οὖν αὐτῷ ὁ ἀδελφός· ἄφες με ἑβδομάδα καὶ πάλιν λαλοῦμεν.

3. Μετὰ οὖν ἑβδομάδα, θέλων ὁ νεώτερος δοκιμάσαι αὐτόν, εἶπεν· εἰς μέγαν πειρασμὸν ἐνέπεσον, Ἀββᾶ, τῇ ἑβδομάδι ταύτῃ· ἀπελθὼν γὰρ εἰς τὴν κώμην διά τινα χρείαν, ἔπεσον μετὰ γυναικός· ἔφη αὐτῷ ὁ Γέρων· ἔστι μετάνοια; ἀπεκρίθη ὁ ἀδελφός, ναί· λέγει ὁ Γέρων· ἐγὼ βαστάζω τὸ ἥμισυ τῆς ἁμαρτίας, καὶ σὺ τὸ ἥμισυ· τότε λέγει αὐτῷ ὁ ἀδελφός· ἄρτι δυνάμεθα εἶναι ὁμοῦ, καὶ ἔμειναν μετ' ἀλλήλων ἕως τέλους.

4. Ἀπῆλθόν ποτε τρεῖς ἀδελφοὶ εἰς θερισμόν, καὶ ἔλαβον ἑαυτοῖς ἑξήκοντα ἀρούρας· εἷς δὲ ἐξ αὐτῶν ἠσθένησε τὴν πρώτην ἡμέραν εἰς τὴν κέλλαν αὐτοῦ· εἶπεν ὁ εἷς τῶν δύο τῷ ἑτέρῳ· ἰδού, ἀδελφέ, βλέπεις, ὅτι ἠσθένησεν ὁ ἀδελφὸς ἡμῶν, βίασαι οὖν τὸν λογισμόν σου μικρόν, κἀγὼ μικρόν, καὶ πιστεύομεν διὰ τῶν εὐχῶν αὐτοῦ θερίσαι τὸ τόπον αὐτοῦ.

5. Τελεσθέντος οὖν τοῦ ἔργου, ὡς ἔμελλον ἀπελθεῖν καὶ λαβεῖν τὸν μισθόν, ἐκάλουν καὶ τὸν ἀδελφὸν λέγοντες· ἐλθέ, ἆρον τὸν μισθόν σου, ἀδελφέ· ὁ δὲ εἶπε· ποῖον μισθὸν ἔχω λαβεῖν μὴ θερίσας; οἱ δὲ εἶπον· διὰ τῶν εὐχῶν σου γέγονεν ὁ θερισμός σου, καὶ δεῦρο λάβε τὸν μισθόν σου· ὁ δὲ οὐχ ἐπείθετο

6. Πολλῆς οὖν ἀμφιβολίας γενομένης ἀνὰ μέσον αὐτῶν, ἀπῆλθον δικάσαι πρὸς μέγαν Γέροντα· καὶ εἶπεν αὐτῷ ὁ ἀδελφός· Πάτερ, ἀπήλθομεν θερίσαι οἱ τρεῖς, καὶ κατ' αὐτὴν τὴν ἡμέραν ἠσθένησα, καὶ ὑπέστρεψα εἰς τὸ κελλίον μου, καὶ ἀναγκάζουσί με οἱ ἀδελφοί, μηδὲ μίαν ὥραν θερίσαντα, λαβεῖν μισθὸν ὑπὲρ

τοῦ θερισμοῦ, οὗ αὐτοὶ ἐθέρισαν· λέγουσι δὲ καὶ ἐκεῖνοι· Πάτερ, οἱ τρεῖς ἐλάβομεν ἑξήκοντα ἀρούρας, καὶ εἰ ἦμεν οἱ τρεῖς, οὐκ εἴχομεν αὐτὰς τελέσαι; διὰ τῶν εὐχῶν δὲ τοῦ ἀδελφοῦ οἱ δύο ταχέως κατελύσαμεν τὸν θερισμόν, καὶ λέγομεν αὐτῷ λάβε τὸν μισθόν σου, καὶ οὐ θέλει.

7. Ἀκούσας δὲ ὁ Γέρων ἐθαύμασε, καὶ εἶπε τῷ ἀδελφῷ τῷ μετ' αὐτοῦ· κροῦσον, ἵνα συναχθῶσι πάντες οἱ ἀδελφοί· ἐλθόντων δὲ πάντων, εἶπεν αὐτοῖς ὁ Γέρων· δεῦτε, ἀδελφοί, ἀκούσατε σήμερον δικαιοκρισίαν, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα· οἱ δὲ κατεδίκασαν τὸν ἀδελφὸν λαβεῖν τὸν μισθὸν αὐτοῦ καὶ ποιῆσαι εἴ τι θέλει· καὶ ἀπῆλθεν ὁ ἀδελφὸς κλαίων καὶ λυπούμενος.

8. Ἔλεγον οἱ Γέροντες, ὅτι ὀφείλει ἕκαστος τὸ τοῦ πλησίον οἰκειοῦσθαι καὶ συμπάσχειν αὐτῷ ἐν ἅπασι, καὶ συγχαίρειν καὶ συγκλαίειν αὐτῷ, καὶ οὕτω διακεῖσθαι, ὡς τὸ ἐκείνου φορῶν σῶμα, καθὼς γέγραπται· ὅτι «ἓν σῶμά ἐσμεν ἐν Χριστῷ»· καὶ πάλιν· «τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία μία».

9. Ἀδελφός τις σύνοικον ἔχων ἕτερον ἀδελφόν, καὶ γνοὺς αὐτὸν πεσόντα μετὰ παιδίσκης, τῆς κομιζούσης τὰς χρείας, οὐκ ἤλεγξε τὸν ἀδελφόν, ἀλλὰ σιωπῶν ἐστέναζε, καὶ τὴν ὑπὲρ αὐτοῦ δέησιν ηὔξανεν· ἠξίου δὲ κἀκεῖνον εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἐπιλέγων ὅτι πολλὰ ἡμάρτηκα, καὶ θέλω πρὸ τελευτῆς τῶν ἁμαρτημάτων ἐλευθερωθῆναι· τοῦ δὲ ἁμαρτήσαντος θαυμάζοντος ἐπὶ τῇ κατανύξει αὐτοῦ, καὶ συντρέχοντος αὐτῷ, ἐν τῷ μεταξὺ τελευτᾷ ὁ μὴ ἁμαρτήσας, καὶ μετὰ τοῦτο παραστὰς ἐν ὀνείρῳ, τὸ πρᾶγμα τῷ ἀδελφῷ ἀνεκάλυψεν.

10. Διηγήσατο Γέρων, ὅτι Πρεσβύτεροί τινες τέσσαρες δεξιὰς ἔδωκαν ἀλλήλοις, ἵνα ὁμοψύχως καὶ ὁμοτρόπως ζήσωσιν ἐν τῷ αἰῶνι τούτῳ, καὶ ὁμοῦ πάλιν ἐν τοῖς οὐρανοῖς εὑρεθῶσι, τῇ δεσποτικῇ πιστεύσαντες φωνῇ τῇ λεγούσῃ· ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς.

11. Οἱ μὲν οὖν τρεῖς ἐξ αὐτῶν, τῇ ἀσκήσει προσκαρτεροῦντες, ἡσύχαζον ἐν τῇ ἐρήμῳ, ὁ δὲ ἕτερος διηκόνει αὐτοῖς τὰ πρὸς τὴν χρείαν· συνέβη οὖν τοὺς δύο τελειωθῆναι ἐν Χριστῷ, καὶ ἀναλῦσαι καὶ ἀπενεχθῆναι ἐν ἑνὶ τόπῳ ἀναπαύσεως· τοὺς δὲ δύο περιλειφθῆναι ἐν τῇ γῇ, τὸν διακονητήν, καὶ ἕνα τῶν ἡσυχαζόντων· ἐξ ἐπιβουλῆς δὲ τοῦ ἐχθροῦ ὁ διακονητὴς ἔπεσεν εἰς πορνείαν, καὶ ἀπεκαλύφθη ἑνὶ τῶν διορατικῶν Γερόντων, ὅτι οἱ δύο τελειωθέντες παρεκάλουν τὸν Θεὸν περὶ τοῦ διακονητοῦ λέγοντες· παράδος τὸν ἀδελφὸν βρωθῆναι ὑπὸ λέοντος ἢ ὑπὸ ἄλλου θηρίου, ἵνα ἀπονιψάμενος τὴν ἁμαρτίαν ἔλθῃ εἰς τὸν τόπον, ἐν ᾧ ἐσμεν, καὶ μὴ διαπέσῃ ἡ συμφωνία ἡμῶν.

12. Ἐγένετο δέ, ὑποστρέφοντι τῷ ἀδελφῷ κατὰ τὸ ἔθος ἐκ τῆς διακονίας, ὑπήντησεν αὐτῷ λέων, καὶ ἐζήτει θανατῶσαι αὐτόν· ἔγνω δὲ καὶ ὁ ἡσυχαστὴς τὸ γινόμενον, ἀπεκαλύφθη γὰρ αὐτῷ, καὶ ἔστη εἰς προσευχὴν δεόμενος τοῦ Θεοῦ ὑπὲρ τοῦ ἀδελφοῦ, καὶ παραυτα ἔστη ὁ λέων. Οἱ μὲν οὖν δύο Πατέρες, οἱ ἤδη τελειωθέντες, παρεκάλουν τὸν Θεὸν λέγοντες· δεόμεθά σου, Δέσποτα, ἵνα βρωθῇ ὑπὸ λέοντος, ὅπως ἔλθῃ μεθ' ἡμῶν ἐν τῇ μακαριότητι ταύτῃ, καὶ μὴ ἐπακούσῃς, Ἅγιε, τοῦ παρακαλοῦντος ὑπὲρ αὐτοῦ ἐν τῇ γῇ.

13. Ὁ δὲ Γέρων μετὰ δακρύων ἐκτενῶς ἱκέτευε τὸν Θεὸν ἐλεηθῆναι τὸν ἀδελφόν, καὶ ῥυσθῆναι τοῦ λέοντος. Ἐπήκουσε δὲ ὁ Θεὸς τῆς αὐτοῦ δεήσεως, καί φησι πρὸς τοὺς ἐν οὐρανῷ ὄντας· δίκαιόν ἐστιν ἀκοῦσαι ἐκείνου, ἤπερ ὑμῶν, ὑμεῖς γὰρ ὧδε ἐν ἀνέσει ἐστέ, ἀπαλλαγέντες τῶν πόνων καὶ τῶν ἱδρώτων τοῦ βίου, ἐκεῖνος δὲ κεκμηκώς ἐστιν ἐν τῷ μόχθῳ τῆς σαρκός, καὶ παλαίων ἔτι πρὸς τὰ πνεύματα τῆς πονηρίας· διὸ καὶ δίκαιόν ἐστιν ἐκείνῳ δοῦναι τὴν χάριν.

14. Εὐθέως οὖν ἀνεχώρησεν ὁ λέων ἀπὸ τοῦ ἀδελφοῦ, καὶ ἐλθὼν ἐν τῷ κελλίῳ, εὗρε τὸν Γέροντα δακρύοντα ἔτι ὑπὲρ αὐτοῦ, καὶ διηγήσατο αὐτῷ πάντα τὰ

συμβάντα αὐτῷ· καὶ ἐξωμολογήσατο τὴν ἁμαρτίαν, ἣν ἐποίησε· καὶ γνοὺς ὅτι ἐφείσατο αὐτοῦ ὁ Θεός, μετενόησε, καὶ ἐντὸς ὀλίγου καιροῦ ἦλθεν εἰς τὸ ἀρχαῖον μέτρον, καὶ τοῦ Γέροντος συγκοπιῶντος αὐτῷ. Εἶτα ἐκοιμήθησαν καὶ αὐτοί, καὶ ἀπεκαλύφθη τῷ προῤῥηθέντι διορατικῷ Γέροντι, ὅτι οἱ τέσσαρες ἐν ἑνὶ τόπῳ ἐτάχθησαν, κατὰ τὰς ἀψευδεῖς ἐπαγγελίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

15. Ἀδελφοὶ δύο ἀπῆλθον εἰς τὴν ἀγορὰν πωλῆσαι τὰ σκεύη αὐτῶν· καὶ ὡς διεχωρίσθησαν ἀπ' ἀλλήλων, ὁ εἷς ἔπεσεν εἰς πορνείαν· εἶτα ἐλθόντος τοῦ ἀδελφοῦ αὐτοῦ πρὸς αὐτὸν λέγοντος, ἄγωμεν εἰς τὸ κελλίον, ἀπεκρίθη ἐκεῖνος, οὐκ ἔρχομαι· ὁ δὲ παρεκάλει αὐτὸν λέγων· διατί, ἀδελφέ μου; καὶ εἶπε· διότι ἀπελθόντος σου ἀπ' ἐμοῦ, ἔπεσον εἰς πορνείαν· καὶ ὁ ἀδελφὸς θέλων κερδῆσαι αὐτὸν ἔφη· κἀγώ, ἀδελφέ, ὡς ἀπῆλθον ἀπὸ σοῦ, οὕτω μοι γέγονεν, ἀλλὰ ἄγωμεν· μετανοήσωμεν ἐμπόνως, καὶ ὁ Θεὸς συγχωρεῖ ἡμῖν.

16. Ὑποστρέψαντες οὖν, ἀνήγγειλαν τοῖς Γέρουσι τὸ συμβὰν αὐτοῖς, καὶ ἔδωκαν αὐτοῖς οἱ Γέροντες ἐντολὰς τοῦ μετανοῆσαι, καὶ μετενόει καὶ ὁ μὴ ἁμαρτήσας ὑπὲρ τοῦ ἁμαρτήσαντος, ὡς καὶ αὐτὸς ἁμαρτήσας· καὶ ἰδὼν ὁ Θεὸς τὸν κόπον αὐτοῦ, ὃν ἐκοπία ὑπὲρ τῆς ἀγάπης τοῦ ἀδελφοῦ, ἐντὸς ὀλίγων ἡμερῶν ἀπεκάλυψεν ἑνὶ τῶν Γερόντων, ὅτι διὰ τὴν πολλὴν ἀγάπην τοῦ μὴ ἁμαρτήσαντος συνεχώρησα τῷ ἁμαρτήσαντι.

17. Ἦλθέ ποτε ἀδελφὸς πρός τινα Γέροντα καὶ λέγει αὐτῷ· Πάτερ, ὁ ἀδελφός μου παραλύει με ὧδε κἀκεῖσε ἀπερχόμενος, καὶ θλίβει με· ὁ δὲ Γέρων παρεκάλεσεν αὐτὸν λέγων· βάστασον τὸν ἀδελφόν σου, καὶ ὁ Θεός, βλέπων τὸ ἔργον τῆς ὑπομονῆς σου, φέρει αὐτόν· οὐ γὰρ μετὰ σκληρότητος εὐγενὲς φέρειν τινά· δαίμων γὰρ δαίμονα οὐκ ἐκβάλλει, ἀλλὰ μᾶλλον τῇ χρηστότητι φέρεις αὐτόν, καὶ γὰρ ὁ Θεὸς ἡμῶν παρακλήσει φέρει τοὺς ἀνθρώπους.

18. Καὶ διηγήσατο ὁ Γέρων λέγων, ὅτι ἦσαν ἐν Θηβαΐδι δύο ἀδελφοί, ὁ δὲ εἷς πολεμηθεὶς εἰς πορνείαν καὶ κατακυριευθεὶς ὑπὸ τῶν λογισμῶν, ἔλεγε πρὸς τὸν ἕτερον· ὑπάγω εἰς τὸν κόσμον· ὁ δὲ κλαίων ἔλεγεν· οὐκ ἀφῶ σε, ἀδελφέ μου, εἰς τὸν κόσμον ἀπελθεῖν, καὶ ἀπολέσαι ὅλους τοὺς κόπους σου, καὶ τὴν παρθενίαν σου· ὁ δὲ οὐκ ἐπείθετο λέγων· οὐ κάθημαι, εἰμὴ ἀπέλθω· ἢ οὖν ἐλθὲ μετ' ἐμοῦ, καὶ πάλιν ὑποστρέφω μετὰ σοῦ, ἢ ἀπόλυσόν με, καὶ μένω εἰς τὸν κόσμον.

19. Ἀπορούμενος οὖν ὁ ἀδελφός, ἀπῆλθε πρός τινα Γέροντα, καὶ ἀνήγγειλεν αὐτῷ ταῦτα· καὶ εἶπεν αὐτῷ ὁ Γέρων· ὕπαγε μετ' αὐτοῦ καὶ ὁ Θεὸς διὰ τὸν κόπον σου οὐκ ἀφήσει αὐτὸν πεσεῖν.

20. Καὶ ἀναστάντες ἦλθον εἰς τὴν οἰκουμένην καὶ ὡς ἔφθασαν εἰς τὴν κώμην, ἰδὼν ὁ Θεὸς τὸν κόπον τὸν ὑπὲρ τῆς ἀγάπης τοῦ ἀδελφοῦ, ἦρε τὸν πόλεμον τοῦ πολεμουμένου ἀδελφοῦ, καὶ κουφισθεὶς ἐκεῖνος λέγει αὐτῷ· ἰδοὺ νόμισον, ἀδελφέ, ὅτι ἡμάρτηκα· τί ἐκέρδησα ἐκ τούτου; ἄγωμεν οὖν, ὑποστρέψωμεν εἰς τὸ κελλίον· καὶ ἐπανῆλθον ἀβλαβεῖς ἀμφότεροι.

21. Εἶπεν ὁ Ἀββᾶς Ἀγάθων· οὐδέποτε ἐκοιμήθην ἔχων κατά τινος, οὐδὲ ἀφῆκα τινὰ κοιμηθῆναι ἔχοντα κατ' ἐμοῦ, κατὰ τὴν δύναμίν μου.

22. Εἶπεν ὁ Ἀββᾶς Ἰσαάκ· οὐδέποτε εἰσήνεγκα εἰς τὸ κελλίον μου λογισμὸν ἀδελφοῦ θλίψαντός με· κἀγὼ ἐσπούδασα, μὴ ἀφῆναι ἀδελφὸν εἰς τὸ κελλίον, ἔχοντα αὐτὸν κατ' ἐμοῦ λογισμόν.

23. Ἀναβαίνοντός ποτε τοῦ Ἀββᾶ Ἰωάννου ἀπὸ σκήτεως μετὰ ἄλλων ἀδελφῶν, ἐπλανήθη ὁ ὁδηγῶν αὐτούς· ἦν γὰρ νύξ· καὶ λέγουσιν οἱ ἀδελφοὶ τῷ Ἀββᾷ Ἰωάννῃ· τί ποιήσωμεν, Ἀββᾶ, ὅτι ἐπλανήθη ὁ ἀδελφὸς τὴν ὁδόν, μήπως ἀποθάνωμεν πλανώμενοι;

24. Λέγει αὐτοῖς ὁ Γέρων· ἐὰν εἴπωμεν αὐτῷ, λυπεῖται καὶ αἰσχύνεται· ἀλλ'

ἰδοὺ ποιῶ ἐμαυτὸν ἀσθενοῦντα, καὶ λέγω οὐ δύναμαι ὁδεῦσαι, ἀλλὰ μένω ὧδε, ἕως πρωΐ· καὶ ἐποίησεν οὕτως· οἱ δὲ λοιποὶ εἶπον· οὐδὲ ἡμεῖς ὑπάγομεν, ἀλλὰ καθήμεθα μετὰ σοῦ· καὶ ἐκάθησαν ἕως πρωΐ καὶ τὸν ἀδελφὸν οὐκ ἐσκανδάλισαν.

25. Γέρων τις ἦν ἐν Αἰγύπτῳ, πρὸ τοῦ ἐλθεῖν ἐκεῖ τοὺς περὶ τὸν Ἀββᾶν Ποιμένα, ἔχων δὲ καὶ γνῶσιν, ἐτιμᾶτο παρὰ πολλῶν· ὡς οὖν ἀνέβησαν οἱ παρὰ τὸν Ἀββᾶν Ποιμένα ἀπὸ τῆς σκήτεως, ἀφῆκαν αὐτὸν οἱ ἄνθρωποι καὶ ἤρχοντο πρὸς τὸν Ἀββᾶν Ποιμένα· ἐθλίβετο δὲ ὁ Ἀββᾶς Ποιμὴν διὰ τὸν Γέροντα.

26. Καὶ ἐν μιᾷ λέγει τοῖς ἀδελφοῖς αὐτοῦ· τί ποιήσωμεν τῷ μεγάλῳ Γέροντι τούτῳ, ὅτι εἰς θλῖψιν ἡμᾶς ἔβαλλον οἱ ἄνθρωποι καταλιπόντες αὐτόν, καὶ ἡμῖν οὐδὲν οὖσι προσέχοντες; πῶς οὖν αὐτὸν θεραπεύσωμεν; καὶ λέγει αὐτοῖς· ποιήσατέ μοι μικρὰ βρώματα καὶ λάβετε σαΐτην οἶνον καὶ ἄγωμεν πρὸς αὐτὸν ἵνα γευσώμεθα ὁμοῦ.

27. Ἐβάστασαν οὖν τὰ βρώματα καὶ ἀπῆλθον· καὶ ὡς ἔκρουσαν τὴν θύραν, ἐπήκουσεν ὁ μαθητὴς αὐτοῦ καὶ εἶπε· τίνες ἐστέ; οἱ δὲ εἶπον· λάλησον τῷ Ἀββᾷ, ὅτι ὁ Ποιμήν ἐστι, θέλων εὐλογηθῆναι παρὰ σοῦ· καὶ τοῦτο τοῦ μαθητοῦ ἀναγγείλαντος, ἐδήλωσεν ὁ Γέρων λέγων· ὕπαγε, οὐ σχολάζω· οἱ δὲ ὑπέμειναν εἰς τὸ καῦμα λέγοντες, οὐκ ἀναχωροῦμεν, ἐὰν μὴ καταξιωθῶμεν τοῦ Γέροντος.

28. Ὁ δὲ Γέρων ἰδὼν τὴν ταπείνωσιν αὐτοῦ, καὶ τὴν ὑπομονήν, κατανυγείς, ἀνέῳξεν αὐτοῖς· καὶ εἰσελθόντες ἐγεύσαντο μετ᾽ αὐτοῦ· ἐσθιόντων δὲ αὐτῶν, εἶπεν ὁ Γέρων· ἐπ᾽ ἀληθείας οὐκ εἰσὶ μόνα, ἃ ἀκήκοα περὶ ἡμῶν, ἀλλ᾽ ἑκατονταπλασίονα εἶδον ἐν τῷ ἔργῳ ἡμῶν· καὶ ἐγένετο αὐτοῖς φίλος ἀπὸ τῆς ἡμέρας ἐκείνης.

29. Εἶπεν ὁ Ἀββᾶς Ποιμήν· ὁ ἀγαπῶν τίθησι τὴν ψυχὴν ὑπὲρ τοῦ πλησίον· εἰ γάρ τις ἀκούσῃ λόγον λυπηρόν, καὶ δύναται καὶ αὐτὸς τὸν ὅμοιον εἰπεῖν, καὶ ἀγωνίσηται μὴ εἰπεῖν, ἢ ἐὰν πλεονεκτηθῇ, καὶ βαστάσῃ καὶ μὴ ἀνταποδώσῃ τῷ πλεονεκτήσαντι, ὁ τοιοῦτος τίθησι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τοῦ πλησίον.

30. Ἦλθέ τις τῶν Γερόντων εἰς τὸν Ἀββᾶν Λώτ, εἰς τὸ μικρὸν ἕλος τοῦ Ἀρσενοΐτου, καὶ παρεκάλεσεν αὐτὸν διὰ κελλίον, καὶ ἔδωκεν αὐτῷ· ἦν δὲ ὁ Γέρων ἀσθενής, καὶ ἀνέπαυσεν αὐτὸν ὁ Ἀββᾶς Λώτ· καὶ ἐὰν ἤρχοντό τινες πρὸς αὐτόν, ἐποίει αὐτοὺς παραβαλεῖν καὶ τῷ Γέροντι τῷ ἀσθενεῖ· ὁ δὲ ἐλάλει αὐτοῖς λόγους τοῦ Ὠριγένους, καὶ ἐθλίβετο ὁ Ἀββᾶς Λώτ, λέγων· μὴ νομίσωσιν οἱ Πατέρες ὅτι καὶ ἡμεῖς οὕτως ἐσμέν; καὶ ἐκβαλεῖν αὐτὸν ἐκ τοῦ τόπου διὰ τὴν ἀγάπην καὶ τὴν ἐντολὴν οὐκ ἤθελε.

31. Καὶ ἀναστὰς ἀπῆλθε πρὸς τὸν Ἀββᾶν Ἀρσένιον, καὶ διηγήσατο αὐτῷ τὰ κατὰ τὸν Γέροντα· καί φησι πρὸς αὐτὸν ὁ Ἀρσένιος· μὴ διώξῃς αὐτόν, ἀλλ᾽ εἰπὲ αὐτῷ· ἰδοὺ ἐκ τῶν τοῦ Θεοῦ φάγε, πίε ὡς θέλεις, μόνον τὸν λόγον τοῦτον μηκέτι λαλήσῃς· καὶ ἐὰν οὐ θέλῃ διορθοῦσθαι, ἀφ᾽ ἑαυτοῦ μέλλει παρακαλεῖν τοῦ ἀναχωρῆσαι, καὶ οὐκ ἀπὸ σοῦ γένηται ἡ ἀφορμή.

32. Ὑποστρέψας οὖν ὁ Ἀββᾶς Λὼτ ἐποίησεν οὕτως· ὁ δὲ Γέρων, ὡς ἤκουσε ταῦτα, οὐκ ἤθελε διορθώσασθαι, ἀλλ᾽ ἤρξατο παρακαλεῖν λέγων· πέμψατέ με ἐντεῦθεν, ὅτι οὐκέτι δύναμαι βαστάσαι ἔρημον· καὶ οὕτως ἀναστὰς ἐξῆλθε προπεμπόμενος ὑπὸ πάντων.

33. Ἀδελφὸς ὑπηρέτει τινὶ Γέροντι ἀσθενοῦντι· συνέβη δὲ ὑπὸ τῆς ἀσθενείας λυθῆναι τὸ σῶμα τοῦ Γέροντος καὶ ἐκβάλλει ἕλκος μετὰ σαπρᾶς ὀσμῆς· εἶπε δὲ ὁ λογισμὸς τῷ ἀδελφῷ· φύγε, οὐ γὰρ δύνασαι ὑπενεγκεῖν τὴν δυσωδίαν ταύτην.

34. Ὁ δὲ ἀδελφὸς λαβὼν κεράμιον, ἔλαβε τὸ ἀπόπλυμα τοῦ ἀσθενοῦντος, καὶ εἰ ἔλεγεν ὁ λογισμὸς αὐτῷ, φύγε, ἀπεκρίνατο τῷ λογισμῷ· ἐὰν θελήσω φυγεῖν, ἀπ᾽ αὐτοῦ πίνω· καὶ πάλιν ἔλεγεν ὁ λογισμός, μήτε φύγῃς, μήτε πίῃς τὴν δυσωδίαν ταύτην. Ὁ δὲ ἀδελφὸς ἐκοπία καὶ ἐκαρτέρει ὑπηρετῶν τῷ Γέροντι· καὶ ἰδὼν ὁ Θεὸς τὸν κόπον τοῦ ἀδελφοῦ, ἰάσατο τὸν Γέροντα.

35. Ἀδελφοὶ ἐν Σκήτῃ ἐκάθισαν καθαρίσαι σειράν, καί τις αὐτῶν ἀσθενῶν ἀπὸ τῆς ἀσκήσεως καὶ βήχων, ἀνέφερε φλέγματα, καὶ μὴ θέλοντος αὐτοῦ, ἀπήρχετο ἀπὸ τοῦ πτύσματος ἐπάνω τινὸς ἀδελφοῦ, καὶ ὠχλεῖτο ἐκεῖνος ὑπὸ τοῦ ἰδίου λογισμοῦ εἰπεῖν τῷ ἀσθενοῦντι· παῦσαι τοῦ πτύειν ἐπάνω μου· ὁ δὲ ἀντετίθει τῷ λογισμῷ λέγων· εἰ βούλει φαγεῖν ἀπ' αὐτῶν, εἰπέ, καὶ ἔλεγεν ὁ λογισμός, μήτε φάγῃς, μήτε εἴπῃς αὐτῷ.

36. Ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην λέγων· ἐὰν περιπατῶμεν ἐν τῇ ὁδῷ καὶ πλανηθῇ ὁ ὁδηγῶν ἡμᾶς, χρεία εἰπεῖν αὐτῷ; ἀπεκρίθη ὁ Γέρων, οὐχί· ἀλλ' ἀφῶμεν αὐτὸν πλανῆσαι ἡμᾶς; ἔφη ὁ Γέρων· τί οὖν λαβεῖν ἔχεις ῥάβδον καὶ δεῖραι αὐτόν; ἐγὼ εἶδον ἀδελφούς, ὅτι περιεπάτουν, καὶ ὁ ὁδηγῶν αὐτοὺς ἐπλανήθη ἐν νυκτί, ἦσαν δὲ δώδεκα, καὶ πάντες ᾔδεισαν ὅτι ἐπλανῶντο, καὶ ἠγωνίσατο ἕκαστος μὴ εἰπεῖν.

37. Ἡμέρας δὲ γενομένης, γνοὺς ὁ ὁδηγῶν ὅτι ἐπλανήθη, λέγει αὐτοῖς· συγχωρήσατέ μοι ὅτι ἐπλανήθην· καὶ εἶπον πάντες· καὶ ἡμεῖς ᾔδειμεν, ἀλλ' ἐσιωπήσαμεν· ὁ δὲ ἀκούσας ἐθαύμασε λέγων πρὸς ἑαυτόν, ὅτι ἕως θανάτου ἐγκρατεύονται οἱ ἀδελφοὶ τοῦ μὴ βλαβῆναι ἢ λυπῆσαι τινά, καὶ ἐδόξασε τὸν Θεόν· τὸ δὲ μῆκος τῆς ὁδοῦ, ἧς ἐπλανήθησαν, ἦσαν μίλια δώδεκα.

38. Εἶπε Γέρων, ὅτι ἡ ταπείνωσις ἰσχύει ὑπὲρ πᾶσαν δυναστείαν· διηγεῖτο δὲ καὶ τὸ τοιοῦτον, ὅτι δύο Ἐπίσκοποι ἦσαν ἐγγὺς ἀλλήλων, εἶχον δὲ παροξυσμόν ποτε εἰς ἀλλήλους· ἦν δὲ εἷς πλούσιος καὶ δυνάστης, καὶ ὁ ἄλλος ταπεινός, καὶ ἐζήτει ὁ δυνάστης κακοποιῆσαι αὐτόν, ἤκουσε δὲ τοῦτο ὁ ταπεινός, καὶ ἔλεγε τῷ κλήρῳ αὐτοῦ· ἔχομεν νικῆσαι Χάριτι Θεοῦ· λέγουσιν αὐτῷ οἱ Κληρικοί· Δέσποτα, τίς δύναται αὐτὸν νικῆσαι; ἐκεῖνος δὲ ἔλεγεν· ὑπομείνατε, τέκνα, καὶ ἔχετε ἰδεῖν τὸ ἔλεος τοῦ Θεοῦ.

39. Ἐπετήρει οὖν, καὶ ὅτε εἶχεν ἐκεῖνος πανήγυριν Ἁγίων Μαρτύρων, λαμβάνει τὸν κλῆρον αὐτοῦ καὶ ἐξῆλθε, καὶ λέγει αὐτοῖς· ἀκολουθήσατέ μοι, καὶ εἴ τι βλέπετέ με ποιοῦντα, ποιήσατε καὶ ὑμεῖς, καὶ ἔχομεν νικῆσαι αὐτόν· ἀκολουθοῦντες οὖν αὐτῷ, ἔλεγον πρὸς ἀλλήλους· ἄρα τί ἔχει ποιῆσαι; ὡς δὲ ἦλθον πρὸς αὐτόν, εὗρον τὴν λιτὴν διερχομένην, καὶ τὴν πόλιν ἅπασαν ἐκεῖ συνειλεγμένην.

40. Τότε ὁ Ἐπίσκοπος πίπτει εἰς τοὺς πόδας ἐκείνου τοῦ δυνάστου μετὰ τοῦ ἰδίου Κλήρου λέγων· συγχώρησον ἡμῖν, Δέσποτα, δοῦλοί σού ἐσμεν· ἐκεῖνος δὲ καταπλαγεὶς ἐπὶ τῷ γεγονότι, καὶ κατανυγείς, τοῦ Θεοῦ μεταβαλόντος τὴν καρδίαν αὐτοῦ, ἐπιλαμβάνεται καὶ αὐτὸς τῶν ποδῶν αὐτοῦ, λέγων· σὺ εἶ Δεσπότης καὶ Πατήρ· καὶ ἀπὸ τότε γέγονε μεταξὺ αὐτῶν ἀγάπη μεγάλη

41. Ἔλεγε δὲ τῷ κλήρῳ αὐτοῦ ὁ ταπεινός· οὐκ ἔλεγον ὑμῖν, τέκνα, ὅτι νικῆσαι ἔχομεν διὰ τῆς ἀγαθότητος τοῦ Θεοῦ; καὶ ἡμεῖς οὖν, ὅτε ἔχετε ἔχθραν πρός τινας, τοῦτο ποιεῖτε, καὶ νικᾶτε διὰ τῆς τοῦ Κυρίου Χάριτος.

42. Ἠρωτήθη Γέρων τί ἐστι ταπείνωσις; καὶ ἀπεκρίθη· ἐὰν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, καὶ συγχωρήσῃς αὐτῷ πρὸ τοῦ μετανοῆσαί σοι.

43. Ἄλλον Γέροντα ἠρώτησέ τις ἀδελφὸς λέγων· τί ἐστι ταπεινοφροσύνη; καὶ ἀπεκρίθη ὁ Γέρων· ἵνα εὖ ποιήσῃς τοῖς ποιοῦσι σοι κακά· ἔφη ὁ ἀδελφός· ἐὰν δὲ μὴ φθάσῃ τις εἰς τοῦτο τὸ μέτρον, τί ποιήσῃ; καὶ εἶπεν ὁ Γέρων· φευγέτω ἑλόμενος τὸ σιωπᾶν.

44. Γέρων τις ἦν ἐν Αἰγύπτῳ λέγων ἀεί· ἄλλη τῆς ταπεινώσεως οὐκ ἔστι συντομωτέρα ὁδός.

45. Ἔλεγεν ὁ Ἀββᾶς Ζήνων, ὅτι διηγήσατό μοι ὁ μακάριος Σέργιος ἐν τῇ Πεδιάδι Ἡγούμενος, τοιοῦτόν τι διήγημα· ποτέ, φησιν, ὁδεύοντός μου μετά τινος ἁγίου Γέροντος, ὄντων καὶ ἄλλων ἀδελφῶν σὺν ἡμῖν, ἐπλανήθημεν κατὰ τὴν

ὁδόν· καὶ μὴ εἰδότες ποῦ ὑπάγομεν, εὑρέθημεν εἰς τὰ σπόριμα, καὶ κατεπατήσαμεν ὀλίγα τῶν σπορίμων· αἰσθόμενος δὲ ὁ γεωργὸς (ἔτυχε γὰρ ἐργαζόμενος ἐκεῖ) ἤρξατο ὑβρίζειν ἡμᾶς, καὶ λέγει μετ' ὀργῆς· ὑμεῖς Μοναχοί; ὑμεῖς φοβεῖσθε Θεόν; εἰ εἴχετε φόβον τοῦ Θεοῦ πρὸ ὀφθαλμῶν, τοῦτο οὐκ ἐποιεῖτε.

46. Εὐθέως οὖν λέγει ἡμῖν ὁ ἅγιος Γέρων· διὰ τὸν Κύριον μηδεὶς λαλήσῃ, καὶ παρεκάλει τὸν γεωργὸν μετὰ πρᾳότητος λέγων· καλῶς λέγεις, τέκνον· εἰ γὰρ εἴχομεν τὸν φόβον τοῦ Θεοῦ, τοῦτο οὐκ ἐποιοῦμεν· ἀλλὰ διὰ τὸν Κύριον, συγχώρησον ἡμῖν ὅτι ἡμάρτομεν· ἐκπλαγεὶς δὲ ἐκεῖνος ἐπὶ τῇ ἀνεξικακίᾳ καὶ ταπεινώσει τοῦ Γέροντος, δρομαῖος ἐλθὼν πρὸς ἡμᾶς, ἔῤῥιψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ Γέροντος, λέγων· συγχώρησόν μοι διὰ τὸν Κύριον, καὶ λάβε με μεθ' ὑμῶν.

47. Καὶ ἐπέφερεν ὁ μακάριος Σέργιος· ἰδοὺ ἡ πρᾳότης καὶ τὸ καλοθελὲς τοῦ Ἁγίου τί ἠδυνήθη σὺν Θεῷ ποιῆσαι, καὶ ἔσωσε ψυχὴν κατ' εἰκόνα Θεοῦ γενομένην, ἣν θέλει ὁ Θεὸς μᾶλλον ἢ κόσμους μυρίους μετὰ τῶν χρημάτων αὐτῶν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΑΓΑΘΩΝ εἶπεν, ὅτι οὐδέποτε ἠγάπησα τὸν ἀδελφόν μου θεωρητικῶς μόνον, χωρὶς ἔμπρακτον δηλαδὴ πρὸς αὐτὸν ἐκδήλωσιν τῆς ἀγάπης μου· δι' ἐμὲ ἀγάπη ἦτο ἡ συμπαράστασις πρὸς τὸν ἀδελφόν μου, σκεπτόμενος, ὅτι τὸ κέρδος τοῦ ἀδελφοῦ μου εἶναι ἔργον καρποφορίας δι' ἐμέ.

2. Εἰς τὰ κελλία παρέμενον συμμονάζοντες δύο ἀδελφοί. Ὁ ἕνας ἐξ αὐτῶν, ὁ γεροντότερος, παρεκάλει τὸν νεώτερον νὰ παραμείνουν μαζί.

—Ἂς μείνωμεν, ἀδελφέ μου, μαζί· τοῦ ἔλεγεν.

—Ἐγὼ εἶμαι ἁμαρτωλὸς καὶ δὲν ἠμπορῶ νὰ μείνω μαζί σου, διότι θὰ σὲ ζημιώσω, ἀπαντοῦσεν ὁ νεώτερος.

Ὁ Γέρων ὅμως ἐπιμόνως τὸν παρεκάλει, ἰσχυριζόμενος ὅτι πράγματι δύνανται νὰ συγκατοικήσουν. Ἦτο δὲ ὁ Γέρων καθαρὰ φύσις καὶ διετήρει καὶ τὴν καρδίαν του καθαράν· δι' αὐτὸ δὲν ἤθελε νὰ ἀκούῃ, ὅτι ὁ νεώτερος ἠνωχλεῖτο ἀπὸ λογισμοὺς πορνείας. Αὐτὸ ἔκαμεν, ὡς φαίνεται, καὶ τὸν νεώτερον νὰ εἶναι ἐπιφυλακτικὸς εἰς τὴν πρότασιν τοῦ Γέροντος. Κατόπιν ἐπιμόνων παρακλήσεων τοῦ Γέροντος, τοῦ λέγει μίαν ἡμέραν ὁ νεώτερος:

—Ἂς ἀφήσωμεν μίαν ἑβδομάδα καὶ ἐπανερχόμεθα πάλιν.

3. Μετὰ τὴν παρέλευσιν τῆς ἑβδομάδος αὐτῆς, ἐπιθυμῶν ὁ νεώτερος νὰ δοκιμάσῃ τὰς διαθέσεις τοῦ Γέροντος καὶ τὴν ἀντοχήν του ἀπέναντι τῶν ἀδυναμιῶν αὐτοῦ, λέγει:

—Ἀββᾶ μου, αὐτὴν τὴν ἑβδομάδα περιέπεσα εἰς μεγάλην ἁμαρτίαν· μεταβὰς δι' ἐργασίαν εἰς τὸ χωρίον, ἡμάρτησα μετὰ γυναικός.

Μὲ στοργὴν ἐρωτᾷ τότε ὁ Γέρων, χωρὶς νὰ ταραχθῇ.

—Ἀδελφέ μου, ὑπάρχει μετάνοια;

— Μάλιστα· ἀπαντᾷ ὁ νεώτερος.

— Λοιπὸν θὰ διαμοιράσωμεν τὸ φορτίον τῆς ἁμαρτίας· σὺ θὰ ἐκτελέσῃς τὸν μισὸν κανόνα τῆς μετανοίας καὶ ἐγὼ τὸν ἄλλον μισόν!

Κατόπιν αὐτοῦ ὁ νεώτερος ἀντελήφθη τὴν ἀγάπην τοῦ Γέροντος, ἐμπράκτως ἐκδηλουμένην, καὶ τοῦ λέγει:

— Γέροντα, δυνάμεθα πλέον νὰ συγκατοικήσωμεν.

Καὶ πράγματι ἔμειναν μαζὶ μέχρι τέλους τῆς ζωῆς των.

4. Κάποτε τρεῖς ἀδελφοὶ μετέβησαν διὰ νὰ θερίσουν, ἀναλαβόντες νὰ θερίσουν ἑξήκοντα ἀρούρας (1). Τὴν πρώτην ἡμέραν, ὅμως, ἠσθένησεν ὁ ἕνας ἀπὸ αὐτούς, καὶ παρέμεινε κλινήρης εἰς τὸ κελλί του.

Τότε ὁ ἕνας ἐκ τῶν δύο λέγει εἰς τὸν ἄλλον:

— Βλέπεις, ὅτι ὁ ἀδελφός μας ἠσθένησε· καλὸν λοιπὸν θὰ εἶναι νὰ ἀποφασίσωμεν νὰ θερίσωμεν καὶ τὴν περιοχήν του, βιάζοντες πρὸς τοῦτο τοὺς ἑαυτούς μας. Εἶμαι βέβαιος, ὅτι ὁ Θεὸς διὰ τῶν εὐχῶν τοῦ ἀδελφοῦ μας, θὰ μᾶς δώσῃ τὴν δύναμιν τοῦ προσθέτου αὐτοῦ καμάτου.

Πράγματι δὲ ἐξετέλεσαν καὶ τὴν ἐργασίαν τοῦ ἀσθενοῦς ἀδελφοῦ.

5. Ἀφοῦ λοιπὸν ἐτελείωσεν ὁ θερισμὸς καὶ ἐπρόκειτο νὰ μεταβοῦν διὰ νὰ πληρωθοῦν, ἐφώναξαν καὶ τὸν ἀσθενῆ, ὅστις, ὡς γνωστόν, οὐδόλως ἐθέρισε, διὰ νὰ λάβῃ καὶ αὐτὸς τὸ μερίδιον ἐκ τοῦ μισθοῦ.

—Ἀδελφέ,—ἔλεγον·—ἔλα, νὰ εἰσπράξῃς τὸν μισθόν σου.

— Ποῖον μισθὸν νὰ εἰσπράξω, ἀφοῦ δὲν ἐθέρισα; ἠρώτησε.

— Μὲ τὰς εὐχάς σου, ἠδυνήθημεν νὰ θερίσωμεν καὶ τὴν περιοχήν σου· ἀπήντησαν οἱ δύο ἄλλοι. Ἔλα λοιπὸν νὰ πάρῃς τὸν μισθόν σου.

Παρ' ὅλα ταῦτα δὲν ἐπείθετο καὶ ἠρνεῖτο νὰ δεχθῇ μισθὸν δι' ἐργασίαν, τὴν ὁποίαν οἱ ἄλλοι ἐξετέλεσαν.

6. Ἐπειδὴ λοιπὸν δὲν ἠδύναντο νὰ συμφωνήσουν μεταξύ των, ἀπεφάσισαν καὶ οἱ τρεῖς νὰ καταφύγωσιν εἰς ἕνα μεγάλον Ἀσκητήν, διὰ νὰ τοὺς λύσῃ τὴν διαφοράν.

Πράγματι παρουσιάσθησαν εἰς τὸν ὀνομαστὸν αὐτὸν Γέροντα· πρῶτος δὲ ἤρχισε νὰ ὁμιλῇ ὁ ἀρνούμενος τὸν μισθὸν Μοναχός.

— Γέροντά μου—ἤρχισε νὰ λέγῃ — ἀπεφασίσαμεν καὶ οἱ τρεῖς νὰ θερίσωμεν τὸν ἀγρὸν ἑνός· τὴν ἰδίαν ὅμως ἡμέραν ἐγὼ ἠσθένησα καὶ ἠναγκάσθην νὰ ἐπιστρέψω εἰς τὸ κελλί μου. Τώρα αὐτοὶ ἐδῶ οἱ ἀδελφοὶ μὲ ὑποχρεώνουν νὰ λάβω μισθόν, χωρὶς νὰ θερίσω οὔτε μίαν ὥραν, ἐνῷ οἱ δύο μόνον ἐθέρισαν ὁλόκληρον τὴν περιοχήν.

Ἀφοῦ ἐτελείωσεν, ἤρχισαν καὶ οἱ ἄλλοι δύο νὰ ἐκθέτουν τὰς ἀπόψεις των πρὸς τὸν Γέροντα, ποὺ ἀνέλαβε τὴν διαιτησίαν.

— Πάτερ, καὶ οἱ τρεῖς ἀπὸ κοινοῦ ἀνελάβομεν νὰ θερίσωμεν περιοχὴν ἐκτάσεως ἑξήκοντα ἀρουρῶν· ἐὰν ὁ ἀδελφὸς δὲν ἦτο ἀσθενής, δὲν θὰ ἐθερίζαμεν καὶ οἱ τρεῖς; Ἐὰν δὲ δὲν εἴμεθα τρεῖς δὲν

---

1) Ἡ ἄρουρα ἦτο μέτρον ἐπιφανείας ἴσον πρὸς 100 αἰγυπτιακοὺς τετραγωνικοὺς πήχεις, ἐκτάσεως περίπου 40 τετραγωνικῶν μέτρων. Ἑπομένως αἱ ἑξήκοντα ἄρουραι ἦσαν περίπου 2 1]2 στρέμματα.

θὰ ἠδυνάμεθα νὰ θερίσωμεν μίαν τοιαύτην ἔκτασιν, καὶ δι᾽ αὐτὸ δὲν θὰ ἀνελαμβάνομεν τοιαύτην εὐθύνην. Ὅταν ὅμως ἠσθένησεν ὁ ἀδελφός μας ἀπ᾽ ἐδῶ, ἡμεῖς, μὲ τὴν βοήθειαν τῶν εὐχῶν του, ἐτελειώσαμεν τὸν θερισμὸν οἱ δύο, τόσον συντόμως, ὡς νὰ εἰργαζόμεθα καὶ οἱ τρεῖς μαζί. Τώρα λοιπὸν τοῦ λέγομεν νὰ λάβῃ τὸν μισθόν, ποὺ τοῦ ἀνήκει, καὶ δὲν θέλει.

7. Ταῦτα ἀκούσας ὁ Γέρων, ἐθαύμασε διὰ τὸν πλοῦτον τῆς ἀγάπης, ποὺ κατεκόσμει καὶ τοὺς τρεῖς πνευματικοὺς ἀδελφούς. Ἀμέσως λοιπὸν δίδει ἐντολὴν εἰς τὸν ὑποτακτικόν του νὰ σημάνῃ σύναξιν εἰς τὴν σκήτην καὶ νὰ προσέλθουν ὅλοι οἱ Μοναχοί. Ἀφοῦ συνεκεντρώθησαν ὅλοι, ἀπευθύνεται πρὸς αὐτοὺς ὁ Γέρων καὶ λέγει:

—Ἐλᾶτε, ἀδελφοί μου, νὰ πληροφορηθῆτε πόσον δικαίως κρίνουν καὶ σκέπτονται αὐτοὶ ἐδῶ οἱ τρεῖς εὐλογημένοι μας ἀδελφοί, διότι κατευθύνονται ἀπὸ τὴν ἀγάπην. Ἀφοῦ δὲ τοὺς ἐξιστόρησε τὴν ὑπόθεσιν, ὅλοι ἐθαύμασαν, ὅπως καὶ ὁ Γέρων.

Τότε ὅλη ἡ σύναξις, ἀπὸ συμφώνου, κατεδίκασε τὸν τρίτον ἀδελφόν, νὰ πάρῃ τὸν μισθόν του καὶ νὰ τὸν κάμῃ ὅ,τι θέλει. Ὁ καταδικασθεὶς ἀδελφὸς ἀνεχώρησε κλαίων, καὶ λυπούμενος, διότι δὲν ἠδύνατο νὰ θεωρήσῃ ὡς δικαίαν τὴν ἀμοιβήν, ἀφοῦ ἄλλοι ἐκοπίασαν.

8. Οἱ Γέροντες ἔδιδον τὴν ἑξῆς συμβουλὴν πρὸς τοὺς μαθητάς των:

—Ὁ καθεὶς ἐξ ἡμῶν ἔχει ὑποχρέωσιν νὰ κάμῃ ἰδικά του τὰ ζητήματα, ποὺ ἀπασχολοῦν τὸν πλησίον, νὰ συμπάσχῃ δὲ εἰλικρινῶς μὲ τὸν ἀδελφόν του, δι᾽ ὅσα τοῦ συμβαίνουν. Νὰ χαίρεται καὶ νὰ κλαίῃ μαζί του καί, ἐν γένει, νὰ συμπεριφέρεται ἀπέναντί του, ὡς νὰ φέρῃ τὸ σῶμα τοῦ ἀδελφοῦ του, συμφώνως καὶ πρὸς τὰ χωρία τῆς Ἁγίας Γραφῆς· «Ἓν σῶμά ἐσμεν ἐν Χριστῷ» (Ρωμ. ιβ΄, 5) καὶ «Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία» (Πραξ. δ΄, 32).

9. Κάποτε ἕνας Μοναχὸς συγκατοικοῦσε μὲ κάποιον ἀδελφόν. Μίαν ἡμέραν ἀντελήφθη προσωπικῶς, ὅτι ὁ ἀδελφὸς αὐτὸς περιέπεσεν εἰς ἁμαρτίαν μὲ μίαν μικρὰν ὑπηρέτριαν, ποὺ μετέφερεν εἰς αὐτοὺς τὰ τρόφιμα. Δὲν τὸν ἤλεγξε καθόλου δι᾽ αὐτό, ἀλλ᾽ ἐστέναζεν ἀπὸ τὰ βάθη τῆς ψυχῆς του διὰ τὴν θανάσιμον πτῶσιν τοῦ ἀδελφοῦ καὶ ηὔξησε τὰς πρὸς τὸν Θεὸν παρακλήσεις του διὰ τὴν σωτηρίαν τῆς ψυχῆς τοῦ πεσόντος ἀδελφοῦ. Παρεκάλει δὲ μετ᾽ ἐπιτάσεως καὶ τὸν ἁμαρτήσαντα νὰ εὔχεται δι᾽ αὐτόν, διότι, ὡς ἔλεγεν, εἶχε διαπράξει πολλὰς ἁμαρτίας, καὶ ἐπεθύμει νὰ ἀπαλλαγῇ ἀπὸ τὰ ἁμαρτήματα, πρὶν ἀποθάνῃ. Ὁ ἁμαρτήσας κατεπλήσσετο διὰ τὴν κατάνυξιν τοῦ συγκατοίκου του καὶ τὸν ἐβοήθει, κατὰ τὴν ἐπιθυμίαν του. Ἐν τῷ μεταξὺ ἀποθνήσκει ὁ μὴ ἁμαρτήσας καὶ τότε μόνον ἐμφανισθεὶς εἰς τὸν ὕπνον τοῦ ἁμαρτήσαντος, τοῦ ἐφανέρωσε τὴν ἀλήθειαν.

10. Ἕνας γέρων Ἀσκητὴς διηγήθη εἰς τοὺς ὑποτακτικούς του τὴν κατωτέρω καταπληκτικὴν ἱστορίαν.

Τέσσαρες Πρεσβύτεροι συνεφώνησαν μεταξύ των νὰ ζήσωσι μαζὶ εἰς τὴν παροῦσαν ζωὴν ἔχοντες μίαν ψυχὴν καὶ διαβιοῦντες κατὰ τὸν αὐτὸν τρόπον, ἀλλὰ καὶ εἰς τὴν ἄλλην ζωὴν πάλιν μαζὶ νὰ εὑρεθῶσι. Πρὸς τὸν σκοπὸν τοῦτον παρεκάλεσαν θερμῶς τὸν Κύριον, στηριχθέντες καὶ εἰς τὴν ἐν τῷ Ἱερῷ Εὐαγγελίῳ διαβεβαίωσίν Του, καθ' ἣν «Ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς» (Ματθ. ιη', 19). Ἐξ αὐτῶν οἱ τρεῖς ἐπεδόθησαν εἰς αὐστηρὰν ἄσκησιν καὶ ἡσύχαζον εἰς τὴν ἔρημον· ὁ ἄλλος πάλιν, ὡς νεώτερος, τοὺς ἐξυπηρέτει.

11. Μετὰ ἀπὸ διάστημα καιροῦ οἱ δύο, ἀφοῦ ἔφθασαν τὰ μέτρα τῆς κατὰ Χριστὸν τελειότητος, ἀνεπαύθησαν ἐν Κυρίῳ, καὶ ἀπὸ κοινοῦ, κατὰ τὴν ἐπιθυμίαν των, ἀπελάμβανον τὴν ἐν οὐρανοῖς μακαριότητα. Οὕτω παρέμειναν ζῶντες ἐπὶ γῆς οἱ ἄλλοι δύο, ὁ διακονητὴς καὶ ὁ εἷς ἐκ τῶν Ἀσκητῶν. Κάποτε, κατόπιν φθόνου τοῦ διαβόλου, ὁ διακονητὴς ἔπεσεν εἰς τὸ ἁμάρτημα τῆς πορνείας.

Τότε ἕνας ἐκ τῶν Γερόντων τῆς περιοχῆς, ποὺ εἶχε τὸ χάρισμα νὰ βλέπῃ καὶ νὰ γνωρίζῃ πράγματα πέραν τοῦ ὑλικοῦ τούτου κόσμου, εἶδε τὴν ἑξῆς ἀποκαλυπτικὴν ὀπτασίαν· αἱ ἐν οὐρανοῖς μακάριαι ψυχαὶ τῶν πρὸ καιροῦ τελειωθέντων ἐν Κυρίῳ Ἀσκητῶν παρεκάλουν τὸν Θεὸν νὰ ἐπιτρέψῃ νὰ κατασπαραχθῇ ὁ διακονητὴς ἀπὸ κανένα λεοντάρι ἢ ἄλλο θηρίον, ὥστε, ἀφοῦ ἀποπλύνῃ τὴν ἁμαρτίαν διὰ τοῦ βιαίου αὐτοῦ θανάτου, νὰ ἔλθῃ ἐδῶ ποὺ εἴμεθα καὶ ἡμεῖς καὶ νὰ μὴ χαλάσῃ ἡ ἐπὶ γῆς συναφθεῖσα συμφωνία ἡμῶν.

12. Πράγματι, ἐνῷ ἐγύριζεν εἰς τὴν σκήτην ὁ ἀδελφός, κατὰ τὴν συνήθειάν του, ἀπὸ μίαν ὑπηρεσίαν, συναντᾷ ἕνα λέοντα, ἕτοιμον νὰ τὸν κατασπαράξῃ. Ἀμέσως τὸν κίνδυνον αὐτὸν τὸν ἐπληροφορήθη, ἐκ θείας ἀποκαλύψεως, καὶ ὁ τέταρτος Ἀσκητὴς εἰς τὴν ἔρημον· χωρὶς λοιπὸν νὰ χάσῃ καιρὸν ἐρρίφθη εἰς θερμὴν προσευχὴν χάριν τῆς σωτηρίας τοῦ κινδυνεύοντος ἀδελφοῦ. Ἡ προσευχὴ τοῦ Ἀσκητοῦ ἐνήργησεν ἀποτελεσματικῶς καὶ ὁ λέων δὲν ἐπείραξε τὸν διακονητήν.

Ἡ ἀπροσδόκητος αὐτὴ σωτηρία δυσηρέστησε τὰς ψυχὰς τῶν προτελειωθέντων ἀδελφῶν, οἱ ὁποῖοι ἐπέμενον εἰς τὸ αἴτημά των λέγοντες· «Σὲ παρακαλοῦμεν, Δέσποτα, νὰ τὸν φάγῃ ὁ λέων, διὰ νὰ ἔλθῃ ἡ ψυχή του πλησίον ἡμῶν εἰς αὐτὴν τὴν μακαριότητα· μὴ ἀκούσῃς, Ἅγιε, τοῦ ἄλλοτε συνασκητοῦ ἡμῶν, ποὺ σὲ παρακαλεῖ ἀπὸ τὴν γῆν διὰ τὴν ἀπομάκρυνσιν τοῦ κινδύνου. Δὲν γνωρίζει ἐκεῖνος ποῖον κίνδυνον διατρέχει ἡ ψυχή του».

13. Συγχρόνως καὶ ὁ Ἀσκητὴς εἰς τὴν ἔρημον ἐνέτεινε τὰς πρὸς τὸν Θεὸν δεήσεις του καὶ μετὰ δακρύων παρεκάλει τὸν Θεὸν νὰ γλυτώσῃ ὁ ἀδελφὸς ἀπὸ τὸν κίνδυνον τοῦ λέοντος.

Ὁ Θεὸς ἤκουσε τὴν δέησιν τοῦ Ἀσκητοῦ καὶ διέσωσε τὸν κινδυνεύοντα Μοναχόν. Πρὸς τὰς ψυχὰς δὲ τῶν ἐν οὐρανοῖς Μοναχῶν ἀπήντησε· «Δίκαιον ἦτο νὰ ἀκούσω ἐκεῖνον εἰς τὴν γῆν, παρὰ σᾶς. Σεῖς ἐδῶ εὑρίσκεσθε εἰς τὴν ἄνεσιν τῆς αἰωνίου ζωῆς, ἐλευθερωθέντες διὰ παντὸς ἀπὸ τοὺς κόπους καὶ τὸν ἱδρῶτα τῆς ἐπιμόχθου ἐπιγείου ζωῆς· ἐκεῖνος ὅμως, βασανίζεται ἀκόμη ἀπὸ τὰς ταλαιπωρίας τῆς σαρκὸς καὶ ἐξακολουθεῖ νὰ παλαίῃ ἐναντίον τῶν πονηρῶν πνευμάτων. Δι' αὐτὸ τὸ δίκαιον εἶναι εἰς ἐκεῖνον τὴν χάριν νὰ προσφέρω».

14. Πράγματι ὁ λέων ἀνεχώρησεν ἀπὸ τὸν κινδυνεύοντα Μοναχόν. Μόλις δὲ οὗτος ἐπέστρεψεν εἰς τὸ κελλὶ εὗρε τὸν Γέροντα νὰ προσεύχεται ἀκόμη μετὰ δακρύων ὑπὲρ αὐτοῦ. Ἀμέσως τότε ὁ Μοναχός, ὑπὸ τὸ κράτος τοῦ τρόμου, ἐξιστόρησε τὸ περιστατικόν, ποὺ παρ' ὀλίγον νὰ τοῦ ἐστοίχιζε τὴν ζωήν, συγχρόνως δὲ ἐξωμολογήθη καὶ τὴν ἁμαρτίαν τὴν ὁποίαν διέπραξεν.

Ἀντιληφθεὶς δὲ διατί ὁ Θεὸς τὸν ἐλυπήθη καὶ δὲν κατεσπαράχθη ἀπὸ τὸν λέοντα, μετενόησε διὰ τὴν πτῶσιν του, καὶ ἐντὸς ὀλίγου χρόνου ἔφθασε καὶ πάλιν τὰ παλαιὰ μέτρα τῆς ἀρετῆς του, βοηθούμενος καὶ ἀπὸ τὰς προσευχὰς τοῦ ἄλλου Γέροντος. Μετὰ ταῦτα καὶ αὐτοὶ ἐκοιμήθησαν τὸν αἰώνιον ὕπνον. Ὁ Θεὸς τότε ἀπεκάλυψε δι' ὁράματος εἰς τὸν Γέροντα ἐκεῖνον, ποὺ ἐκάμαμεν λόγον προηγουμένως, ὅτι καὶ τῶν τεσσάρων αἱ ψυχαὶ εἰς τὸ ἴδιον μέρος τοῦ Παραδείσου ἀνεπαύθησαν, συμφώνως πρὸς τὰς ἀψευδεῖς ὑποσχέσεις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

15. Δύο Μοναχοὶ ἀνεχώρησαν ἐκ τοῦ κελλίου των εἰς τὴν πόλιν, διὰ νὰ πωλήσουν τὰ ἐργόχειρά των· μόλις ὅμως ἔφθασαν εἰς τὴν ἀγορὰν καὶ ἐχωρίσθησαν μεταξύ των διὰ νὰ τακτοποιήσουν τὰς ὑποθέσεις των, ὁ εἷς ἐξ αὐτῶν περιέπεσεν εἰς πορνείαν. Ἀφοῦ ὁ ἄλλος ἐτελείωσε τὴν ἐργασίαν του, ἦλθε πρὸς συνάντησίν του.

—Ἔλα—τοῦ λέγει—ἂς ἐπιστρέψωμεν εἰς τὸ κελλίον μας.

— Δὲν ἔρχομαι, ἀπαντᾷ ὁ ἁμαρτήσας.

Ἡ ἄρνησις αὐτὴ ἐλύπησε τὸν ἀδελφὸν καὶ ἐπιμόνως ἤρχισε νὰ τὸν παρακαλῇ, διὰ νὰ ἀναχωρήσουν μαζί.

— Διατί, ἀδελφέ μου, μὲ στενοχωρεῖς; διατί δὲν ἔρχεσαι; Ἔλα νὰ φύγωμεν!

—Ὅταν ἀνεχώρησες ἀπὸ πλησίον μου, περιέπεσα εἰς πορνείαν. Τί νὰ ἔλθω λοιπὸν τώρα νὰ κάμω; Ἀπήντησεν ὁ ἁμαρτήσας.

Ὁ ἀδελφός, ἐπιδιώκων νὰ κερδίσῃ τὴν ψυχὴν τοῦ ἁμαρτήσαντος ἀδελφοῦ, ὅστις θὰ κατεστρέφετο τελείως, ἐὰν θὰ παρέμενεν εἰς τὴν πόλιν, τοῦ λέγει:

— Μὴ στενοχωρεῖσαι δι' αὐτό· καὶ ἐγὼ μόλις ἔφυγα ἀπὸ σὲ εἰς τὴν ἰδίαν ἁμαρτίαν περιέπεσα. Ἀλλ' ἂς ἐπιστρέψωμεν καὶ ἂς μετανοήσωμεν ἀποφασιστικῶς· τότε, ὅταν εἰλικρινῶς κοπιάσωμεν εἰς τὸ

ἔργον τῆς μετανοίας, ἀσφαλῶς καὶ ὁ Θεὸς θὰ μᾶς συγχωρήση.

16. Πράγματι λοιπὸν ἐπέστρεψαν εἰς τὴν σκήτην των καὶ ἐξωμολογήθησαν τὸ περιστατικὸν εἰς τοὺς Γέροντας. Οὗτοι τοὺς ἐπέβαλον ἐπιτίμια καὶ κανόνα μετανοίας. Χάριν δὲ ἀγάπης ἐξετέλει καὶ ὁ μὴ ἁμαρτήσας τὸν κανόνα τῆς μετανοίας ὑπὲρ τοῦ ἁμαρτήσαντος, ὡς νὰ εἶχε καὶ ὁ ἴδιος ἁμαρτήσει. Ὁ Θεός, βλέπων τὸν κόπον του, εἰς τὸν ὁποῖον ὑπεβάλλετο ἐξ ἀγάπης χάριν τοῦ ἀδελφοῦ, ἐφανέρωσε, διὰ ἀποκαλύψεως, εἰς ἕνα ἐνάρετον Γέροντα, ὅτι ἐξ αἰτίας τῆς πολλῆς ἀγάπης τοῦ μὴ ἁμαρτήσαντος συνεχώρησεν αὐτὸν ποὺ ἡμάρτησεν.

17. Ἕνας Μοναχὸς ἦλθε κάποτε εἰς ἕνα Γέροντα καὶ τοῦ λέγει:

—Ὁ συμμοναστὴς ἀδελφός μου μὲ ἐγκαταλείπει ἀναχωρῶν πότε ἐδῶ καὶ πότε ἐκεῖ· ἐξ αἰτίας δὲ τῆς ἀκαταστασίας του αὐτῆς ὑποφέρω καὶ στενοχωροῦμαι.

— Τέκνον μου, κάμε ὑπομονήν· μὴ γογγύζῃς κατὰ τοῦ ἀδελφοῦ σου· ὁ Θεὸς δέ, βλέπων τὴν ὑπομονήν σου αὐτήν, ἀσφαλῶς θὰ τὸν ἐπαναφέρῃ καὶ πάλιν εἰς τὴν τάξιν καὶ τὴν ἡσυχίαν· δὲν εἶναι εὐγενικὸν νὰ συμπεριφερώμεθα μετὰ σκληρότητος ἀπέναντι τῶν ἀδελφῶν μας. Ὁ δαίμων δὲν ἐκδιώκει τὸν δαίμονα καὶ ἡ κακία δὲν διορθώνεται μὲ τὴν σκληρότητα, οὔτε ἡ σκληρότης μὲ τὴν κακίαν. Μᾶλλον μὲ τὴν καλωσύνην σου θὰ τὸν διορθώσῃς, διότι καὶ ὁ Θεός μας, οὐχὶ δι' ἀπειλῶν, ἀλλὰ διὰ παρακλήσεων ἐπαναφέρει εἰς τὴν εὐθείαν ὁδὸν τοὺς ἁμαρτάνοντας εἰς τὴν παροῦσαν ζωήν. Μὲ τὰς συμβουλὰς αὐτὰς παρηγόρει τὸν παραπονούμενον ἀδελφόν.

18. Διὰ νὰ τὸν καταπραΰνῃ δὲ ἀκόμη περισσότερον τοῦ διηγήθη καὶ τὴν ἑξῆς ἱστορίαν:

—Ἔζων κάποτε εἰς τὴν Θηβαΐδα τῆς Αἰγύπτου δύο ἀδελφοὶ συμμονασταί· ὁ ἕνας ἀπὸ αὐτοὺς ἐκυριεύθη ἀπὸ τοὺς λογισμοὺς τῆς πορνείας καὶ ἐπολεμεῖτο συνεχῶς ὑπ' αὐτῶν. Ὑπὸ τὸ κράτος δὲ τοῦ πολέμου αὐτοῦ ἔλεγε συνεχῶς πρὸς τὸν ἄλλον.

—Ἐγὼ θὰ φύγω διὰ τὸν κόσμον.

— Δὲν θὰ σὲ ἀφήσω, ἀδελφέ μου, νὰ ἐπιστρέψῃς εἰς τὸν κόσμον, νὰ χάσῃς ὅλους τοὺς κόπους σου καὶ τὴν παρθενίαν σου.

Συνώδευε δὲ μὲ δάκρυα τὴν ἀπάντησίν του αὐτὴν ὁ συμμοναστὴς ἀδελφός. Παρ' ὅλα ταῦτα δὲν ἐπείθετο ὁ αἰχμαλωτισθεὶς ἀπὸ τοὺς αἰσχροὺς λογισμοὺς ἀδελφὸς καὶ ἐπέμενε.

— Δὲν κάθημαι πλέον ἄλλο ἐδῶ· τὸ ἀπεφάσισα, θὰ ἀπέλθω. Ἢ λοιπὸν ἔλα καὶ σὺ μαζί μου, διὰ νὰ ἐπιστρέψωμεν ἀπὸ κοινοῦ, ἢ ἄφησέ με νὰ φύγω, ὁπόταν θὰ παραμείνω ὁριστικῶς εἰς τὸν κόσμον.

19. Ὁ ἀδελφὸς λοιπὸν εὑρέθη εἰς φοβερὸν ἀδιέξοδον· δὲν ἤξευρε τί νὰ κάμῃ. Μετέβη λοιπὸν εἰς ἕνα διακριτικὸν Γέροντα καὶ ἀφοῦ τοῦ διηγήθη τὸ περιστατικόν, τὸν ἠρώτησε τί νὰ κάμῃ.

Ὁ Γέρων, ἀφοῦ ἐσκέφθη, τοῦ εἶπε:

— Πήγαινε καὶ σὺ μαζί του· καὶ ὁ Θεός, βλέπων τὴν εἰς αὐτὸν ἀγάπην σου καὶ τοὺς χάριν αὐτοῦ κόπους σου, δὲν θὰ ἐπιτρέψῃ νὰ περιπέσῃ εἰς τὴν φοβερὰν ἁμαρτίαν.

20. Πράγματι λοιπὸν ἐξεκίνησαν διὰ τὴν πολιτείαν· μόλις δὲ ἔφθασαν εἰς τὸ χωρίον, διὰ τὸ ὁποῖον προωρίζοντο, ὁ πολεμούμενος ἀδελφὸς ἠλευθερώθη ἀπὸ τὸν φρικτὸν πόλεμον τῆς κακῆς ἐπιθυμίας, διότι ὁ Θεός, ἐκτιμῶν τοὺς ἐξ ἀγάπης κόπους τοῦ ἀδελφοῦ, ἀφήρεσε τὸν πόλεμον ἀπὸ τὸν πολεμούμενον, ἐλαφρωμένος δὲ οὗτος ἀπὸ τὸ ἀπαίσιον βάρος τῶν πονηρῶν λογισμῶν, λέγει πρὸς τὸν συνοδόν του:

—Ἂς ὑποθέσωμεν, ἀδελφέ μου, ὅτι ἐπραγματοποίησα τὴν ἁμαρτίαν, διὰ τὴν ὁποίαν μὲ παρώτρυναν οἱ κακοὶ λογισμοί· ποῖον θὰ ἦτο τὸ κέρδος μου ἀπὸ αὐτό; Ἂς σηκωθῶμεν λοιπόν, διὰ νὰ ἐπιστρέψωμεν καὶ πάλιν εἰς τὸ κελλίον μας.

Τοιουτοτρόπως ἐπέστρεψαν, χωρὶς οὐδεὶς ἐκ τῶν δύο νὰ ζημιωθῇ.

21. Ὁ Ἀββᾶς Ἀγάθων ἔλεγε· ποτὲ δὲν ἔπεσα νὰ κοιμηθῶ μὲ τὴν συνείδησιν βεβαρημένην ἐναντίον οἱουδήποτε· ἀλλ' οὔτε καὶ ἄφησα ἄλλον νὰ κοιμηθῇ, ἐφ' ὅσον ἐγνώριζα, ὅτι ἦτο μαζί μου λυπημένος. Ὅσον ἠμποροῦσα ἐπεδίωκα νὰ συνδιαλλαγῶ μὲ ὅλους, πρὶν δύσῃ ὁ ἥλιος (1).

22. Ὁ Ἀββᾶς Ἰσαὰκ ἔλεγε· ποτὲ δὲν μετέφερα ἐντὸς τοῦ κελλίου μου ἐχθρικὴν σκέψιν ἐναντίον ἀδελφοῦ, ποὺ μὲ ἐλύπησεν· ἀλλὰ καὶ ἐγὼ ἐφρόντισα νὰ μὴ ἀφήσω ἀδελφὸν νὰ ἀναχωρήσῃ ἐκ τοῦ κελλίου μου, ἐφ' ὅσον ἦτο λυπημένος μαζί μου.

23. Κάποτε ὁ Ἀββᾶς Ἰωάννης ἐπήγαινε, μαζὶ μὲ ἄλλους ἀδελφούς, ἀπὸ τὴν σκήτην εἰς ἕνα ἄλλο μέρος. Ἐν τῷ μεταξὺ ἐνύκτωσε καὶ ὁ ἄνθρωπος, ποὺ τοὺς ὡδήγει εἰς τὰ μέρη ἐκεῖνα, ἔχασε τὸν προσανατολισμόν του καὶ περιεπλανήθη. Τότε οἱ ἀδελφοὶ λέγουν ἰδιαιτέρως εἰς τὸν Ἀββᾶν Ἰωάννην:

— Τί νὰ κάμωμεν τώρα, Ἀββᾶ; Ὅπως φαίνεται, ὁ ὁδηγός μας ἔχασε τὸν δρόμον καὶ ὑπάρχει φόβος μήπως περιπέσωμεν ἢ εἰς μέρη λῃστῶν, ἢ εἰς μέρη θηρίων, ἢ εἰς ἀποκρήμνους βράχους καὶ τοιουτοτρόπως ἀποθάνωμεν!

24. Ὁ Ἀββᾶς Ἰωάννης τοὺς ἀπήντησεν:

—Ἐὰν τὸ εἴπωμεν αὐτὸ εἰς τὸν ἀδελφόν μας, θὰ λυπηθῇ καὶ θὰ ἐντραπῇ. Νὰ ὅμως τί θὰ κάμωμεν· ἐγὼ θὰ προσποιηθῶ τὸν ἀσθενῆ καὶ θὰ ἰσχυρισθῶ, ὅτι δὲν ἔχω τὴν δύναμιν νὰ βαδίσω περισσότερον. Θὰ παρακαλέσω δὲ νὰ μείνω ἐδῶ, διὰ νὰ διανυκτερεύσω. Τὸ πρωΐ, θὰ ἠμπορέσωμεν νὰ προσανατολισθῶμεν.

Πράγματι λοιπὸν ἔτσι ἔκαμε. Τότε καὶ οἱ ἄλλοι ἀδελφοί, ποὺ

1) «Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν» (Ἐφεσ. δ', 26).

συνώδευον τὸν Ἀββᾶν Ἰωάννην, εὗρον τὴν εὐκαιρίαν καὶ εἶπον:

— Καὶ ἡμεῖς δὲν προχωροῦμεν· θὰ παραμείνωμεν πλησίον σου.

Τοιουτοτρόπως καὶ τὸν κίνδυνον ἐκ τῆς περιπλανήσεως ἀπέφυγον, ἀλλὰ καὶ τὸν ἀδελφόν, ποὺ τοὺς ὡδηγοῦσε, δὲν ἐσκανδάλισαν. Τὸ πρωΐ, ἀφοῦ ἐξημέρωσε καλά, συνέχισαν ἀσφαλῶς τὴν πορείαν των.

25. Εἰς τὴν Αἴγυπτον κάποτε ἠσκήτευεν ἕνας Γέρων· οὗτος διεκρίνετο διὰ τὴν ἀληθῆ, κατὰ Χριστόν, γνῶσιν καὶ ἐτιμᾶτο ἀπὸ πολλούς. Ἦτο δὲ ἡ περιοχὴ εἰς τὴν ὁποίαν διέμενεν ὑψηλότερα ἀπὸ τὴν σκήτην. Εἰς τὴν περιοχὴν αὐτὴν ἦλθε κατόπιν καὶ ἐγκατεστάθη καὶ ἡ συνοδεία τοῦ Ἀββᾶ Ποιμένος. Μόλις ἐπληροφορήθησαν τὸ πρᾶγμα αὐτὸ οἱ περίοικοι, ἐγκατέλειψαν πλέον τὸν παλαιὸν ἐκεῖνον Γέροντα καὶ ὅλοι προσήρχοντο εἰς τὸν Ἀββᾶν Ποιμένα. Τὸ γεγονὸς αὐτὸ ἐστενοχώρει τὸν Ἀββᾶν Ποιμένα, διότι ἐφοβεῖτο μὴ λυπηθῇ ὁ Γέρων.

26. Μίαν λοιπὸν ἡμέραν λέγει πρὸς τοὺς ἀδελφούς του:

— Τί νὰ κάμωμεν, ἀδελφοί μου, μὲ τὸν μεγάλον αὐτὸν Γέροντα; Ἡ συμπεριφορὰ τῶν ἀνθρώπων πραγματικῶς μᾶς στενοχωρεῖ· οὗτοι ἄφησαν τὸν ἄνθρωπον αὐτόν, ποὺ εἶναι τόσον σπουδαῖος, καὶ προσέχουν ἡμᾶς, ποὺ δὲν εἴμεθα τίποτε! Πῶς νὰ τὸν περιποιηθῶμεν καὶ νὰ ἐκδηλώσωμεν τὴν πρὸς αὐτὸν ἐκτίμησίν μας;

Ἀφοῦ ἐσκέφθη ὀλίγον, συνέχισεν:

— Αὐτὸ θὰ κάμωμεν· νὰ ἑτοιμάσετε ὀλίγας μερίδας φαγητοῦ καὶ νὰ πάρετε εἰς τὰ δοχεῖα ὀλίγον καλὸν οἶνον· νὰ ὑπάγωμεν δὲ εἰς τὸ κελλὶ τοῦ Γέροντος καὶ νὰ φάγωμεν ὅλοι μαζί.

27. Πράγματι λοιπὸν ἔλαβον τὰ τρόφιμα καὶ τὸν οἶνον, ὡς προσέταξεν ὁ Ἀββᾶς Ποιμήν, καὶ ἀνεχώρησαν διὰ τὸ κελλὶ τοῦ Γέροντος. Μόλις ἔφθασαν, ἐκτύπησαν τὴν θύραν τοῦ κελλίου· ἀπὸ μέσα ἠκούσθη ἡ φωνὴ ἑνὸς ὑποτακτικοῦ τοῦ Γέροντος, ἐρωτῶσα:

— Ποῖοι εἶσθε;

— Εἰδοποίησε τὸν Γέροντα, ὅτι τὸν ζητεῖ ὁ Ἀββᾶς Ποιμήν, ἐπιθυμῶν νὰ εὐλογηθῇ ἀπὸ αὐτόν.

Μετ' ὀλίγον ἐπανέρχεται καὶ πάλιν ὁ ὑποτακτικὸς τοῦ Γέροντος, διὰ νὰ τοὺς ἀναγγείλῃ, ὅτι ὁ Γέρων δὲν εὐκαιρεῖ νὰ τοὺς δεχθῇ καὶ ἑπομένως νὰ φύγουν. Ὁ Ἀββᾶς Ποιμὴν ὅμως μὲ τὴν συνοδείαν του παρέμειναν ὑπὸ τὸν καύσωνα τοῦ ἡλίου καὶ ἐδήλωσαν, ὅτι δὲν θὰ ἀναχωρήσουν, ἐὰν δὲν τοὺς δεχθῇ προηγουμένως ὁ Γέρων.

28. Ὁ Γέρων, βλέπων τὴν ταπείνωσιν τοῦ Ἀββᾶ Ποιμένος καὶ τὴν ὑπομονήν του, συνεκινήθη καὶ τοὺς ἤνοιξεν. Ἀφοῦ εἰσῆλθον ὁ Ἀββᾶς Ποιμὴν καὶ ἡ συνοδεία του συνέφαγον μαζὶ μὲ τὸν Γέροντα. Κατὰ τὴν διάρκειαν τοῦ φαγητοῦ εἶπε πρὸς αὐτοὺς ὁ Γέρων:

— Πραγματικῶς, ἀδελφοί, σήμερα μοῦ δίδετε τὴν εὐκαιρίαν νὰ ἀντιληφθῶ, ὅτι τὰ ὅσα περὶ ὑμῶν εἶχον πληροφορηθῇ εἶναι ἐλάχιστα· διεπίστωσα ἐμπράκτως, ἀπὸ τὴν συμπεριφοράν σας, ὅτι ἡ ἀξία τῶν

ἔργων σας εἶναι ἑκατὸν φορὰς μεγαλυτέρα τῆς φήμης των. Ἀπὸ τὴν ἡμέραν δὲ ἐκείνην ἔγινε πραγματικὸς καὶ εἰλικρινὴς φίλος των.

29. Ὁ Ἀββᾶς Ποιμὴν εἶπεν, ὅτι ἐκεῖνος ποὺ πράγματι ἀγαπᾷ, θυσιάζεται διὰ τὸν πλησίον. Ἰδοὺ δὲ πῶς θὰ ἀποδείξῃ τὴν ὑπὲρ τοῦ πλησίον θυσίαν· ἐὰν ἀκούσῃ ἀπὸ τὸν πλησίον του λόγους λυπηρούς, ποὺ τὸν ἔθλιψαν καὶ δύναται καὶ αὐτὸς νὰ ἐκστομίσῃ κατὰ τοῦ πλησίον τοιούτους λόγους καὶ ἐπιβληθῇ εἰς τὸν ἑαυτόν του καὶ δὲν τοὺς εἰπῇ· ἢ ἐὰν ἀδικηθῇ ἀπὸ τὸν πλησίον καὶ ἔχει τὴν δύναμιν καὶ δὲν ἀνταποδώσῃ τὸ κακὸν εἰς τὸν ἀδικήσαντα· ὁ τοιοῦτος πραγματικῶς θυσιάζεται ὑπὲρ τοῦ πλησίον.

30. Ἦλθε κάποτε ἕνας Γέρων εἰς τὸν Ἀββᾶν Λώτ, ποὺ διέμενεν εἰς τὸ μικρὸν ἕλος τοῦ Ἀρσενοΐτου, καὶ τὸν παρεκάλεσε νὰ τοῦ παραχωρήσῃ ἕνα κελλίον. Ὁ Ἀββᾶς Λὼτ προθύμως τοῦ παρεχώρησε κελλίον. Ὁ Γέρων αὐτὸς ἦτο ἀσθενὴς καὶ τὸν ἐπεριποιήθη ὁ Ἀββᾶς Λώτ· ἐὰν δὲ μερικοὶ ἐπεσκέπτοντο αὐτόν, τοὺς ὑπεδείκνυε νὰ ἐπισκεφθοῦν καὶ τὸν Γέροντα ἀσθενῆ. Ὁ Γέρων ὅμως αὐτὸς ἠσπάζετο τὰς ἀρχὰς τοῦ Ὠριγένους καὶ δι' αὐτό, εἰς τὰς συνομιλίας του μετὰ τῶν ἐπισκεπτῶν, ἔθιγεν ἀπόψεις τοῦ Ὠριγένους, τὰς ὁποίας, ὡς γνωστόν, κατεδίκασεν ἡ Ἐκκλησία.

Αὐτὴ ἡ κατάστασις ἐστενοχώρει τὸν Ἀββᾶν Λώτ, ὁ ὁποῖος ἐφοβεῖτο μήπως σκανδαλισθῶσι κατ' αὐτοῦ οἱ Πατέρες, χαρακτηρίζοντες αὐτὸν καὶ τὴν συνοδείαν του ὡς Ὠριγενιστάς. Ἀλλὰ καὶ πάλιν νὰ τὸν ἐκδιώξῃ δὲν ἤθελεν, ἀπὸ ἀγάπην πρὸς τὸν πλησίον, καὶ ἀπὸ σεβασμὸν πρὸς τὴν ἐντολὴν τοῦ Κυρίου, ποὺ ἐπέβαλλε τὴν φιλοξενίαν.

31. Εἰς ἀπορίαν περὶ τοῦ πρακτέου εὑρισκόμενος μετέβη εἰς τὸν Ἀββᾶν Ἀρσένιον καὶ διηγήθη τὰ συμβαίνοντα, ἐπιζητῶν τὴν συμβουλήν του. Ἀφοῦ τὸν ἤκουσεν ὁ Ἀββᾶς Ἀρσένιος τοῦ εἶπε:

— Μὴ τὸν ἐκδιώξῃς· σύστησέ του ὅμως, ὅτι θὰ δύναται νὰ πίνῃ καὶ νὰ τρώγῃ ὅσα θέλει, ἀπὸ αὐτὰ ποὺ οἰκονομεῖ ὁ Θεός· περὶ Ὠριγένους ὅμως νὰ μὴ ὁμιλήσῃ εἰς οὐδένα. Ἐὰν αὐτὸς θελήσῃ, τότε θὰ διορθωθῇ μόνος του· ἄλλως μόνος του πάλιν θὰ θελήσῃ νὰ ἀναχωρήσῃ, ὥστε νὰ μὴ ὀφείλεται εἰς σὲ ἡ ἀναχώρησίς του.

32. Πράγματι, ὅταν ἐπέστρεψεν εἰς τὸ κελλί του ὁ Ἀββᾶς Λώτ, ἐφήρμοσε τὴν σύστασιν τοῦ Ἀββᾶ Ἀρσενίου. Ὁ Γέρων, μόλις ἤκουσε τοὺς λόγους αὐτοὺς τοῦ Ἀββᾶ Λώτ, δὲν ἠθέλησε νὰ διορθωθῇ καὶ νὰ παραμείνῃ· ἀμέσως ἤρχισε νὰ τοὺς παρακαλῇ νὰ ἀναχωρήσῃ, διότι, ὡς ἔλεγε, δὲν ἠδύνατο νὰ ὑποφέρῃ τὴν σκληρότητα τῆς ἐρήμου. Τοιουτοτρόπως ἀνεχώρησεν εἰρηνικῶς καὶ ὅλοι μὲ ἀγάπην τὸν κατευώδωσαν.

33. Ἕνας ἀδελφὸς ἐξυπηρέτει κάποιον Γέροντα ἀσθενῆ.

Τὸ σῶμα τοῦ Γέροντος ἤνοιξε, λόγῳ τῆς ἀσθενείας, καὶ ἔβγαλε

πληγάς, ποὺ ἐμύριζαν πάρα πολὺ ἄσχημα. Τότε ὁ λογισμὸς ἠνώχλησε τὸν ἀδελφὸν ἐκεῖνον καὶ τοῦ εἶπε: «Φύγε, διότι δὲν ἠμπορεῖς νὰ ὑπομένῃς αὐτὴν τὴν δυσωδίαν».

34. Ὁ ἀδελφὸς ἀμέσως, διὰ νὰ ἀντιμετωπίσῃ τὴν ἐπίθεσιν τοῦ λογισμοῦ, ἐπῆρεν ἕνα μικρὸν πήλινον δοχεῖον καὶ τὸ ἐγέμισε μὲ ἀποπλύματα ἐκ τῶν πληγῶν τοῦς ἀσθενοῦς. Ὁσάκις λοιπὸν τὸν παρεκίνει ὁ λογισμὸς νὰ φύγῃ, ἐκεῖνος ἀπαντοῦσε: «Πρῶτα θὰ πιῶ ἀπὸ τὰς ἀκαθαρσίας αὐτὰς καὶ μετὰ θὰ φύγω». Πρὸ τῆς σταθερότητος αὐτῆς ὑπεχώρει ὁ λογισμὸς καὶ τοῦ ἔλεγεν· «Οὔτε νὰ φύγῃς, οὔτε νὰ πιῇς ἀπ' αὐτὰς τὰς ἀκαθαρσίας». Καθ' ἑκάστην δὲ ὁ ἀδελφὸς ἐβιάζετο νὰ ὑπομένῃ καὶ ὑπηρέτει χωρὶς γογγυσμὸν τὸν Γέροντα. Ὁ Θεὸς ἐκτιμῶν τὴν ἐπίμονον καὶ ὑπομονητικὴν αὐτὴν προσπάθειαν τοῦ ἀδελφοῦ, ἐθεράπευσε τὸν Γέροντα.

35. Μερικοὶ ἀδελφοὶ ἐκάθισαν εἰς τὴν σκήτην, διὰ νὰ ἐκτελέσουν μίαν ὁμαδικὴν ὑπηρεσίαν· ἕνας λοιπὸν ἀπὸ αὐτούς, ποὺ ἦτο ἀσθενὴς ἀπὸ τὴν ὑπερβολικὴν ἄσκησιν, ἔβηχε. Χωρὶς ὅμως νὰ θέλῃ, τὰ πτύσματα ἀπὸ τὸν βῆχα του ἔπιπτον εἰς τὸ πρόσωπον ἑνὸς ἀδελφοῦ. Αὐτὸς λοιπὸν ὁ ἀδελφὸς ἐπιέζετο ὑπὸ τοῦ λογισμοῦ του νὰ εἴπῃ εἰς τὸν ἀσθενῆ ἀδελφόν του· «Πρόσεξε, σὲ παρακαλῶ, διότι ὅταν βήχῃς, ἔρχονται εἰς τὸ πρόσωπόν μου τὰ πτύσματά σου». Τότε ὁ ἀδελφὸς ἀντιμετώπιζε τὸν λογισμὸν ὡς ἑξῆς: «Ἐὰν ἐπιθυμῇς νὰ φύγῃς ἀπὸ κοντά του, πρῶτα θὰ φάγῃς τὰ πτύσματά του». Κατόπιν αὐτοῦ ἠρέμει ὁ λογισμὸς καὶ τοῦ ἔλεγε· «Τότε οὔτε νὰ φάγῃς ἀπὸ τὰς ἀκαθαρσίας αὐτάς, οὔτε νὰ εἴπῃς τίποτε εἰς τὸν ἀδελφόν».

36. Ἕνας ἀδελφὸς ἠρώτησε τὸν Ἀββᾶν Σισώην:

—Ἀββᾶ, ἐὰν ὁδοιπορῶμεν καὶ ὁ ὁδηγὸς χάσῃ τὸν προσανατολισμὸν καὶ περιπλανηθῶμεν, εἶναι ἀνάγκη νὰ τοῦ τὸ ὑποδείξωμεν;

—Ὄχι, ἀπήντησεν ὁ Ἀββᾶς· θὰ τὸν ἀφήσωμεν νὰ προχωρῇ ὅπου νομίζει· μήπως ἔχεις τὴν γνώμην νὰ πάρωμεν μίαν ράβδον καὶ νὰ τοῦ σπάσωμεν τὴν κεφαλήν;

Χαρακτηριστικῶς δὲ τοὺς ἀνέφερε καὶ τὸ ἑξῆς περιστατικόν:

—Κάποτε συνωδοιπόρουν δώδεκα ἀδελφοί· ὁ ὁδηγός των ἔχασε τὸν δρόμον μέσα εἰς τὴν νύκτα καὶ περιεπλανήθησαν. Καὶ οἱ δώδεκα ἀντελήφθησαν, ὅτι ἔχασαν τὸν δρόμον, ἐπίεσαν ὅμως τὸν ἑαυτόν των νὰ μὴ τοῦ τὸ εἴπουν, διὰ νὰ μὴ τὸν λυπήσουν.

37. Ὅταν πλέον ἐξημέρωσεν, ἀντελήφθη καὶ ὁ ὁδηγός, ὅτι εἶχον περιπλανηθῆ καὶ εἶπεν εἰς τοὺς ἀδελφούς:

— Νὰ μὲ συγχωρήσετε, διότι ἔχασα τὸν δρόμον καὶ σᾶς ἐταλαιπώρησα.

—Ὅλοι τὸ ἐκαταλάβαμεν,—τοῦ ἀπήντησαν,—ἀλλ' ἐσιωπήσαμεν.

Ὁ ὁδηγὸς τότε ἐθαύμασε καὶ ἐξεπλάγη ἀπὸ τὴν ἀγάπην τῶν

ἀδελφῶν αὐτῶν, διαλογισθείς, ὅτι φθάνουν μέχρι θανάτου, διὰ νὰ μὴ βλάψουν ἢ νὰ μὴ λυπήσουν κανένα. Ἐδόξασε τότε τὸν Θεὸν διὰ τὴν τοιαύτην ἀγάπην. Εἶχον δὲ ἀπομακρυνθῆ ἀπὸ τὴν ὀρθὴν κατεύθυνσιν δώδεκα ὁλόκληρα μίλια.

38. Ἕνας γέρων Ἀσκητὴς ἔλεγεν, ὅτι ἡ ταπείνωσις δύναται νὰ κατανικήσῃ καὶ τὴν φοβερωτέραν δύναμιν. Πρὸς ἀπόδειξιν τοῦ ἰσχυρισμοῦ του αὐτοῦ διηγεῖτο καὶ τὴν κατωτέρω διδακτικὴν ἱστορίαν: «Κάποτε ἔζων δύο Ἐπίσκοποι εἰς δύο γειτονικὰς Ἐπισκοπάς. Οὗτοι εἶχον παρεξηγηθῆ μεταξύ των καὶ δὲν εὑρίσκοντο εἰς ἀγαθὰς σχέσεις. Ἐξ αὐτῶν ὁ ἕνας ἦτο πλούσιος καὶ ἰσχυρός, ἐνῷ ὁ ἄλλος ταπεινός. Ὁ πλούσιος λοιπὸν καὶ ἰσχυρὸς ἀνεζήτει ἀφορμήν, διὰ νὰ προξενήσῃ κακὸν εἰς τὸν ταπεινὸν γείτονά του· αὐτὸ τὸ ἐπληροφορήθη ὁ ταπεινὸς καὶ ἐνθαρρύνων τοὺς κληρικούς του, τοὺς ἔλεγε:

— Μὴ φοβεῖσθε, ὑπάρχει τρόπος νὰ τὸν νικήσωμεν.

— Δέσποτα, αὐτὸς εἶναι ἰσχυρὸς καὶ διαθέτει ὅλα τὰ μέσα· ποῖος λοιπὸν ἔχει τὴν δύναμιν νὰ τὸν νικήσῃ; Τοῦ ἀπαντοῦσαν οἱ κληρικοί του.

Ὁ ταπεινὸς Ἐπίσκοπος τοὺς ἔλεγε πάλιν:

— Μὴ ἀνησυχῆτε, τέκνα μου· κάμετε ὀλίγην ὑπομονὴν καὶ θὰ ἀντιληφθῆτε καὶ μόνοι σας τὸ ἔλεος τοῦ Θεοῦ.

39. Ἀπὸ τὴν ἡμέραν ἐκείνην ὁ ταπεινὸς Ἐπίσκοπος παρηκολούθει, πότε θὰ γίνῃ πανήγυρις, ὅπου θὰ ἐλάμβανε μέρος ὁ γείτων του. Πράγματι λοιπὸν κατὰ τὴν ἐπέτειον Ἁγίων τινῶν Μαρτύρων, τοὺς ὁποίους ἐτίμα ἡ γειτονικὴ Ἐπισκοπή, συγκεντρώνει τὸν κλῆρον του καὶ τοὺς λέγει:

— Ἐμπρός, ἀκολουθήσατέ με καὶ νὰ κάμετε αὐτό, ποὺ θὰ κάμω καὶ ἐγώ. Ἀσφαλῶς δὲ σήμερον θὰ καταβάλωμεν τὸν ἀντίπαλόν μας.

Τὸν ἠκολούθησαν μὲ κάποιαν δυσπιστίαν καὶ ἔλεγαν μεταξύ των· «τί νὰ σκέπτεται νὰ κάμῃ ὁ Ἐπίσκοπός μας;» Μετ' ὀλίγον ἔφθασαν εἰς τὸν πανηγυρίζοντα Ναόν, ὅπου εἶχε συγκεντρωθῆ ὁλόκληρος ἡ πόλις· ἐκείνην τὴν στιγμὴν ἐγίνετο ἡ λιτάνευσις (=περιφορὰ) τῆς ἁγίας εἰκόνος τῶν Μαρτύρων.

40. Τότε λοιπόν, ἐνώπιον ὅλων, ὁ ταπεινὸς Ἐπίσκοπος πίπτει εἰς τοὺς πόδας τοῦ συναδέλφου του, ποὺ τὸν κατεδίωκεν. Αὐτὸ τὸ ἐμιμήθησαν καὶ οἱ Κληρικοὶ ποὺ τὸν συνώδευσαν· συγχρόνως δὲ τοῦ λέγει μὲ ταπείνωσιν:

— Συγχώρησόν μας, Δέσποτα· εἴμεθα δοῦλοι σου.

Ὁ ὑπερήφανος Ἐπίσκοπος κατεπλάγη ἀπὸ τὴν πρᾶξιν αὐτὴν καί, τοῦ Θεοῦ συνεργοῦντος, κατενύγη κατὰ τὴν καρδίαν· ἀμέσως δέ, παρ' ὅλην τὴν λαμπρότητα, μεθ' ἧς περιεβάλλετο, πίπτει καὶ αὐτὸς εἰς τοὺς πόδας τοῦ ταπεινοῦ Ἐπισκόπου καὶ τοῦ λέγει:

— Σὺ εἶσαι Δεσπότης καὶ πραγματικὸς πνευματικὸς Πατήρ.

Ἀπὸ τὴν στιγμὴν ἐκείνην ἐπῆλθε συμφιλίωσις μεταξύ των καὶ ἐθριάμβευσεν ἡ ἀγάπη, εἰς μεγάλον μάλιστα βαθμόν.

41. Ἀφοῦ ἐπέστρεψεν ὁ ταπεινὸς Ἐπίσκοπος, μετὰ τοῦ κλήρου του, εἰς τὴν Ἐπισκοπήν του, λέγει οὗτος πρὸς τοὺς Κληρικούς του:

— Δὲν σᾶς ἔλεγον, τέκνα μου, ὅτι θὰ ἠμπορέσωμεν νὰ νικήσωμεν μὲ τὴν βοήθειαν τῆς ἀγαθότητος τοῦ Θεοῦ;

Καὶ σεῖς λοιπόν, ὅταν ἔχετε ἔχθραν μὲ μερικοὺς ἀνθρώπους, αὐτὸ νὰ κάμετε καὶ ἀσφαλῶς μὲ τὴν Χάριν τοῦ Κυρίου θὰ νικᾶτε.

42. Ἠρώτησαν κάποτε ἕνα Γέροντα:

— Τί εἶναι ταπείνωσις;

Ἐκεῖνος τότε ἀπήντησε:

— Ταπείνωσις εἶναι μία πνευματικὴ δύναμις, ποὺ σὲ παρορμᾷ νὰ συγχωρήσῃς τὸν ἀδελφόν σου, ὅταν ἁμαρτήσῃ εἰς σέ, πρὶν ἀκόμη ἐκεῖνος σοῦ ζητήσῃ συγγνώμην.

43. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα ἄλλον Γέροντα:

— Τί εἶναι ταπεινοφροσύνη;

Ἐκεῖνος τότε ἔδωσε τὸν ἑξῆς ὁρισμόν:

— Ταπεινοφροσύνη εἶναι ἡ ἀρετή, ποὺ σοῦ ἐπιβάλλει νὰ εὐεργετήσῃς αὐτούς, ποὺ σοῦ κάμνουν κακόν.

— Καὶ ἐὰν κανεὶς δὲν δυνηθῇ νὰ φθάσῃ εἰς αὐτὸ τὸ ὑψηλὸν ἐπίπεδον, τί νὰ κάμῃ;

— Ἂς φύγῃ, προτιμῶν τὴν σιωπήν!

44. Ἕνας Γέρων, ποὺ ἔζη εἰς τὴν Αἴγυπτον, ἔλεγε συνεχῶς:

— Δὲν ὑπάρχει ἄλλος συντομώτερος δρόμος διὰ τὸν Παράδεισον, ἀπὸ τὴν ταπείνωσιν!

45. Ὁ Ἀββᾶς Ζήνων ἀνέφερε κάποτε τὴν κατωτέρω ἱστορίαν, τὴν ὁποίαν τοῦ διηγήθη ὁ μακάριος Σέργιος, ποὺ ἦτο Ἡγούμενος εἰς τὴν πεδιάδα. Μίαν ἡμέραν—ἔλεγεν ὁ Ἀββᾶς Σέργιος—ἐπεριπατοῦσα μετά τινος Ἁγίου Γέροντος καὶ μὲ μερικοὺς ἀδελφούς· ἐν τῷ μεταξὺ ἐχάσαμεν τὸν δρόμον καὶ δὲν ἐγνωρίζαμεν ποῦ κατευθυνόμεθα. Περιπλανώμενοι τοιουτοτρόπως ἐφθάσαμεν εἰς ἕνα χωράφι ἐσπαρμένον καί, χωρὶς νὰ τὸ θέλωμεν, κατεπατήσαμεν ὀλίγα σπαρτά. Μόλις μᾶς ἀντελήφθη ὁ γεωργός, ποὺ κατὰ σύμπτωσιν εἰργάζετο ἐκεῖ, ἤρχισε νὰ μᾶς ὑβρίζῃ καὶ νὰ λέγῃ ἐξωργισμένος:

— Μοναχοὶ εἴσαστε σεῖς; Δὲν φοβεῖσθε καθόλου τὸν Θεόν; Ἐὰν εἴχετε πρὸ ὀφθαλμῶν σας τὸν φόβον τοῦ Θεοῦ, δὲν θὰ καταπατούσατε τὸ σπαρμένο χωράφι, ποὺ μὲ τόσον κόπον ἐκαλλιέργησα!

46. Μόλις ἐτελείωσεν ἡ βιαία καὶ ἄδικος ἐπίθεσις τοῦ γεωργοῦ, μᾶς διατάσσει ὁ ἅγιος ἐκεῖνος Γέρων, διὰ τὸ ὄνομα τοῦ Κυρίου, κανεὶς

μας νὰ μὴ ὁμιλήσῃ. Συγχρόνως δὲ ἀπευθυνόμενος πρὸς τὸν γεωργὸν μὲ πραεῖαν καὶ παρακλητικὴν φωνὴν τοῦ εἶπε:

— Δίκαιον ἔχεις, τέκνον μου· ἐὰν πράγματι εἴχομεν τὸν φόβον τοῦ Θεοῦ, δὲν θὰ τὸ ἐκάμναμεν αὐτό. Σὲ παρακαλοῦμεν ὅμως, ἐν ὀνόματι τοῦ Κυρίου, νὰ μᾶς συγχωρήσῃς διὰ τὸ σφάλμά μας αὐτό.

Ὁ γεωργὸς βλέπων τὴν ἀνεξικακίαν καὶ ταπείνωσιν τοῦ Γέροντος ἐξεπλάγη καὶ ἀφοῦ ἦλθε τρέχων πρὸς ἡμᾶς, ἔπεσεν εἰς τοὺς πόδας τοῦ Γέροντος καὶ τοῦ λέγει:

— Σὲ παρακαλῶ, δι' ὄνομα τοῦ Θεοῦ, σὺ νὰ μὲ συγχωρήσῃς καὶ νὰ μὲ πάρῃς μαζί σου.

47. Ἀφοῦ ἐτελείωσε τὴν διήγησιν αὐτὴν ὁ μακάριος Σέργιος διετύπωσε καὶ τὸ ἐξαγόμενον συμπέρασμα:

— Βλέπετε τί κατώρθωσαν, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ ἐπιτύχουν ἡ πρᾳότης καὶ ἡ καλὴ προαίρεσις τοῦ Ἁγίου; Ἔσωσε τὴν ψυχὴν τοῦ γεωργοῦ, ἡ ὁποία, ὡς γνωστόν, ἐδημιουργήθη κατ' εἰκόνα Θεοῦ, καὶ τὴν ὁποίαν ὁ Θεὸς θεωρεῖ ἀνωτέραν ἀπὸ μυριάδας κόσμων μαζὶ μὲ τοὺς θησαυρούς των(1).

Β'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΕΑΝ ΣΥΜΒΗ μάχη μεταξὺ δύο ἀδελφῶν, ὁ πρῶτος μετανοῶν λήψεται τὸν στέφανον τῆς νίκης· στεφανοῦται δὲ καὶ ὁ δεύτερος, ἐὰν μὴ ἀποβάληται τὴν μετάνοιαν, ἀλλὰ προθύμως καὶ αὐτὸς σπουδάσῃ τὰ πρὸς εἰρήνην.

Ἑρμηνεία

ΟΤΑΝ δύο ἀδελφοὶ φιλονεικήσουν, ἐκεῖνος, ποὺ θὰ μετανοήσῃ πρῶτος καὶ θὰ ὑποχωρήσῃ, θὰ λάβῃ τὸν στέφανον τῆς νίκης· ἀλλὰ καὶ ὁ δεύτερος θὰ στεφανωθῇ, ἐφ' ὅσον δὲν ἀπορρίψῃ τὴν πρότασιν συμφιλιώσεως, ἀλλὰ προθύμως καὶ αὐτὸς ἐπιδιώξῃ τὴν μεταξύ των εἰρήνευσιν.

Γ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· ἐπεὶ αἰσθάνομαι ὡς ἀπὸ κενοδοξίας, ὅτι ὅταν βάλλω μετάνοιαν ἐπί τινων ἐρυθριῶ μικρόν, ἆρα ὀφείλω ἐπιτηδεύειν μὴ ἐπί τινων βάλλειν μετάνοιαν, τῇ κενοδοξίᾳ δῆθεν μαχόμενος, ἢ ὡς ἂν φθάσῃ; ἀπεκρίθη ὁ Γέρων· ὡς ἂν φθάσῃ, ποίησον.

2. Ἔφη ὁ ἀδελφός· ἆρα δὲ καὶ τοῖς μικροτέροις ὀφείλω μετάνοιαν; ἢ λόγῳ θεραπεύειν αὐτούς, ἵνα μὴ ἐκ τοῦ ἐναντίου κενοδοξία ὑπεισέλθῃ; ἀπεκρίθη ὁ Γέρων· καθὼς εὑρίσκονται ἄνδρες μεγάλοι καὶ ἔντιμοι, χρεωστοῦντες μηδαμινοῖς ἀνθρώποις καὶ ἐλαχίστοις, καὶ ἀνάγκην ἔχουσιν ἀποδοῦναι τὸ χρέος, μὴ κενοδοξοῦντες, χρεωστοῦσι γάρ, οὕτω καὶ σύ, ἐὰν χρεωστῇς τινι μικροτέρῳ, ἢ μείζονι, βάλλε αὐτῷ μετάνοιαν ἀκενοδόξως εἰδὼς ὅτι χρεωστεῖς.

---

1) «Τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ;» (Ματθ. ιϛ', 26).

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ὑπέβαλεν εἰς ἕνα Γέροντα τὴν ἑξῆς ἐρώτησιν:

— Μοῦ συμβαίνει τὸ ἑξῆς· ὅταν βάζω μετάνοιαν ἐπὶ παρουσίᾳ ἄλλων τινῶν, κοκκινίζω ὀλίγον ἀπὸ ἐντροπήν· ἀντιλαμβάνομαι δὲ ὅτι τοῦτο ὀφείλεται εἰς κενοδοξίαν, ὅτι τάχα κάτι κατώρθωσα. Τί μὲ συμβουλεύεις λοιπόν· μήπως πρέπει νὰ προσέχω ὥστε νὰ μὴ βάλλω μετάνοιαν ἐνώπιον ἄλλων, διὰ νὰ πολεμήσω τὴν κενοδοξίαν, ἢ νὰ ἐνεργήσω ἀδιακρίτως αὐτὸ ποὺ ἐπιβάλλει ἡ στιγμή;

Ὁ Γέρων ἀπήντησε:

— Νὰ κάμῃς αὐτό, ποὺ ἐπιβάλλει τὸ καθῆκον τῆς στιγμῆς, χωρὶς νὰ σκέπτεσαι ποῖα πρόσωπα ἔχεις ἀπέναντί σου.

2. Κατόπιν τῆς ἀπαντήσεως αὐτῆς ὁ ἀδελφὸς ἐπανέλαβε.

— Καὶ εἰς τοὺς μικροτέρους ὑποχρεοῦμαι νὰ ὑποβάλλω μετάνοιαν; Ἢ εἶναι ἀρκετὸν μὲ λόγους μόνον νὰ τοὺς ἱκανοποιῶ, διὰ νὰ μὴ μὲ ἐνοχλήσῃ ἡ κενοδοξία, ὅτι τάχα ταπεινοῦμαι καὶ πρὸ τῶν μικροτέρων ἀκόμη;

Καὶ πάλιν ὁ Γέρων ἀπήντησεν:

— Ὅπως ὑπάρχουν ἄνθρωποι, μὲ ἀξιώματα καὶ κοσμικὴν τιμήν, ποὺ χρεωστοῦν εἰς ἀφανεῖς καὶ ἀσήμους ἀνθρώπους καὶ ὑποχρεοῦνται νὰ ἐξοφλήσουν τὸ χρέος των, χωρὶς αὐτὸ νὰ γίνεται ἀφορμὴ νὰ κενοδοξοῦν, διότι ἁπλούστατα εἶναι χρεῶσται, τοιουτοτρόπως καὶ σύ, ἐὰν ἡμάρτησες ἀπέναντί τινος καὶ ὀφείλεις νὰ τοῦ ζητήσῃς συγγνώμην, βάλε του μετάνοιαν, εἴτε μικρότερος εἶναι εἴτε μεγαλύτερος, χωρὶς νὰ δοκιμάσῃς κενοδοξίαν· πρέπει νὰ γνωρίζῃς, ὅτι ἡ μετάνοια αὐτὴ εἶναι χρέος σου, ποὺ ὀφείλεις νὰ ἐξοφλήσῃς.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΠΡΟΣΕΧΕ σεαυτῷ· ἐὰν ὁ λογισμός σου νύξῃ σε, ὅτι ὁ ἀδελφός σου λυπῆται κατὰ σοῦ, μὴ καταφρονήσῃς αὐτοῦ· ἀλλὰ βάλε αὐτῷ μετάνοιαν ἐν φωνῇ οἰκτρᾷ ἕως οὗ πείσῃς αὐτόν· βλέπε, μὴ ἔσο σκληροκάρδιος ἐπὶ τὸν ἀδελφόν, βιαζόμεθα γὰρ πάντες ὑπὸ τῆς ἔχθρας.

Ἑρμηνεία

ΝΑ ΠΡΟΣΕΧῌΣ τὸν ἑαυτόν σου. Ἐὰν ὁ λογισμός σου ἐλαφρότατα σὲ κεντήσῃ μὲ τὴν σκέψιν ὅτι ὁ ἀδελφός σου εἶναι λυπημένος μαζί σου, μὴ παραμείνῃς ἀδιάφορος· βάλε του μετάνοιαν καὶ ταπεινώσου ἐνώπιόν του, χρησιμοποιῶν, κατὰ τὴν συζήτησιν, φράσεις ταπεινωτικὰς διὰ τὸν ἑαυτόν σου, μέχρι νὰ τὸν πείσῃς διὰ τὴν εἰλικρίνειαν τῶν διαθέσεών σου καὶ συνδιαλλαγῆτε. Πρόσεξε νὰ μὴ φανῇς σκληρόκαρδος ἀπέναντι τοῦ ἀδελφοῦ σου, διότι ὅλους μας μᾶς τυραννεῖ τὸ πάθος τῆς ἔχθρας.

Ε'. Τοῦ Ἁγίου Διαδόχου

Η ΜΕΣΟΤΗΣ τῆς ἐνεργείας τῆς ἁγίας γνώσεως οὐ μικρῶς ἡμᾶς λυπεῖσθαι παρασκευάζει, ὅταν ἐκ παροξυσμοῦ τινος ὑβρίσαντές τινα, παρασκευάσωμεν αὐτὸν ἐχθρὸν ἑαυτῶν· διόπερ οὐδέποτε ἐνδίδωσι νύττουσα τὴν συνείδησιν ἡμῶν, ἕως ὅτε διὰ πολλῆς ἀπολογίας εἰς τὴν πάλαι ἐπαναγάγωμεν τὸν ὑβρισθέντα διάθεσιν.

2. Ἡ δὲ ἀκροτάτη αὐτῆς κατάνυξις, καὶ ὅταν ἀδίκως τις τῶν τοῦ βίου ἀνθρώπων καθ' ἡμῶν ὀργισθῇ, ἀδολεσχεῖν ἡμᾶς καὶ φροντίζειν ἄγαν ποιεῖ· ἐπειδὴ ὅλως πρόσκομμά τινι τῶν ἐκ τοῦ αἰῶνος τούτου λαλούντων γινόμεθα.

3. Ὅθεν καὶ ἀργὸς τότε ὁ νοῦς περὶ τὴν θεωρίαν γίνεται· ὁ γὰρ λόγος τῆς γνώσεως, ὅλος ἀγάπης ὤν, οὐ συγχωρεῖ τὴν διάνοιαν πλατυνθῆναι πρὸς σύλληψιν θεωρημάτων θείων, εἰ μὴ πρότερον ἀπολάβωμεν ἐν τῇ ἀγάπῃ καὶ τὸν εἰκῇ ἡμῖν ὀργιζόμενον.

4. Εἰ δὲ ἐκεῖνος οὐ θέλει τοῦτο γενέσθαι, ἢ τυχὸν ἀπέστη τῶν ἡμετέρων διατριβῶν, ἐπείγει ἡμᾶς λοιπὸν τὸν χαρακτῆρα τοῦ προσώπου αὐτοῦ προτιθέντας τῇ ἑαυτῶν διαθέσει ἐν ἀσυστάλτῳ τινὶ τῷ τῆς ψυχῆς σχήματι, οὕτως ἐν τῷ βάθει τῆς καρδίας τὸν τῆς ἀγάπης νόμον ἀποπληροῦν. Δεῖ γάρ, φησι, καὶ τὰ πρόσωπα τῶν χολούντων ἀκαίρως ἀχόλῳ τῇ ἐννοίᾳ ἐν τῇ ἑαυτῶν καθορᾶν διανοίᾳ τοὺς θέλοντας γνῶσιν ἔχειν Θεοῦ.

5. Τούτου δὲ γενομένου, οὐ μόνον περὶ τὴν θεολογίαν ὁ νοῦς ἡμῶν ἀπταίστως κινηθήσεται, ἀλλὰ καὶ εἰς τὴν ἀγάπην τοῦ Θεοῦ μετὰ πολλῆς ἀναβήσεται παῤῥησίας, ὡς ἐκ δευτέρας βαθμίδος εἰς πρώτην ἀνεμποδίστως ἐπειγόμενος.

6. Εἰ ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ τὸν Θεὸν ἀγαπᾷ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ οὐδὲ τὸν Θεὸν ἀγαπᾷ κατὰ τὸν Ἀπόστολον Ἰωάννην, δῆλόν ἐστιν ὅτι καὶ ὁ λυπῶν τὸν ἀδελφὸν αὐτοῦ τὸν Θεὸν λυπεῖ· λέγει γάρ· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· καὶ ὁ θεραπεύων δὲ τὸν ἀδελφὸν αὐτοῦ τὸν Θεὸν θεραπεύει.

7. Εἰδότες οὖν, ἀγαπητοί, ὅτι ἐν τῷ μὴ λυπεῖν τὸν πλησίον, τὸν Θεὸν θεραπεύομεν, μὴ δῶμεν πρόφασιν ἢ αἰτίαν τινὶ τοῦ λυπεῖσθαι καθ' ἡμῶν εὐλόγως ἢ ἀλόγως, ἵνα μὴ ἀπρόσδεκτος γένηται ἡ προσευχὴ ἡμῶν, ὡς πρόβατον ἐπίμωμον.

8. Ἑνὸς γάρ, φησιν, εὐχομένου καὶ ἑνὸς καταρωμένου, τίνος εἰσακούσεται ὁ Δεσπότης; καὶ αὖθις· εἷς οἰκοδομῶν, καὶ εἷς καταλύων, τί ὠφέλησαν, ἀλλ' ἢ κόπους;

Ἑρμηνεία

ΟΤΑΝ, ἀπὸ παραφοράν, ὑβρίσωμεν ἕνα ἄνθρωπον καὶ τὸν καταστήσωμεν ἐχθρόν μας, τότε ἡ ἐνέργεια τῆς ψυχῆς μας, ποὺ προέρχεται ἀπὸ τὴν ἁγίαν γνῶσιν τῶν ὑψηλῶν ἐννοιῶν, μᾶς κάνει νὰ λυπούμεθα πάρα πολύ· δι' αὐτὸ καὶ οὐδέποτε ἡ ἐνέργεια αὐτὴ ὑποχωρεῖ, ἀλλὰ διαρκῶς κεντᾷ μὲ ἐλέγχους τὴν συνείδησίν μας. Τότε δὲ μόνον σταματᾷ, ἀφοῦ κατορθώσωμεν νὰ ἐπαναφέρωμεν αὐτὸν ποὺ ὑβρίσαμεν εἰς τὴν ψυχικὴν διάθεσιν ἐκείνην, ποὺ ᾐσθάνετο πρὶν νὰ συμβῇ τὸ ἐπεισόδιον. Διὰ νὰ ἐπιτύχωμεν ὅμως αὐτὸ ἀπαιτοῦνται πολλαὶ προσπάθειαι καὶ πολλαὶ ἀπολογίαι πρὸς τὸν λυπηθέντα ἀδελφόν.

2. Καὶ οὕτω πως μὲν ἐκδηλοῦται ἡ ἐνέργεια τῆς ψυχῆς μας ὁσάκις ἡμεῖς πταίομεν· ἡ εὐγενεστάτη ὅμως καὶ τελειοτάτη διέγερσις τῆς ψυχικῆς αὐτῆς ἐνεργείας ἐπισυμβαίνει, ὁσάκις ἕνας συνάνθρωπός μας ὀργισθῇ ἐναντίον μας χωρὶς λόγον· εἰς τὴν περίπτωσιν αὐτὴν μᾶς κάμνει

νὰ ἀνησυχῶμεν καὶ νὰ φροντίζωμεν μὲ κάθε τρόπον νὰ ἐπαναφέρωμεν τὴν ἀγάπην μεταξὺ ἡμῶν καὶ τοῦ ἀδίκως ὀργισθέντος καθ' ἡμῶν, ἐπειδή, ἔστω καὶ παρὰ τὴν θέλησίν μας, κατέστημεν ἐμπόδιον εἰς κάποιον ποὺ σκέπτεται καὶ ὁμιλεῖ κατὰ τὸ φρόνημα τῶν ἀνθρώπων τοῦ κόσμου τούτου.

3. Ἐξ αἰτίας τῆς ψυχικῆς αὐτῆς καταστάσεως καὶ ὁ νοῦς ἀδρανεῖ, μὴ δυνάμενος νὰ ὑψωθῇ εἰς τὸ ἐπίπεδον τῆς ὑψηλῆς καὶ θείας θεωρίας. Τοῦτο δὲ συμβαίνει, διότι τὸ περιεχόμενον τῆς ὑψηλῆς καὶ ἁγίας γνώσεως, τῆς ὑπεράνω πάσης ἀνθρωπίνης καταλήψεως ἐνεργούσης, εἶναι ὅλον ἀγάπη· δὲν ἐπιτρέπει λοιπὸν ἡ γνῶσις αὕτη νὰ διαπλατυνθῇ εἰς ὑπερφυσικὸν βαθμὸν ἡ ἀνθρωπίνη διάνοια, προκειμένου διὰ τῆς ἐνοράσεως νὰ συλλάβῃ τὰς θείας ἐκείνας μυστικὰς θεωρίας, ἐὰν προηγουμένως δὲν δυνηθῶμεν νὰ κερδίσωμεν διὰ τῆς ἀγάπης καὶ αὐτὸν ἀκόμη ποὺ ὀργίζεται ἐναντίον μας χωρὶς αἰτίαν καὶ ἀφορμήν.

4. Ἐὰν δὲ ἐκεῖνος, ποὺ ἔχει ὀργισθῇ ἀδίκως ἐναντίον μας, δὲν δεχθῇ τὴν προσφορὰν τῆς ἀγάπης μας καὶ δὲν θελήσῃ νὰ συνδιαλλαγῶμεν, ἢ ἔχῃ φύγει ἀπὸ κοντά μας, ἐπιβάλλεται εἰς ἡμᾶς νὰ σχηματίσωμεν εἰς τὴν σκέψιν μας τὴν μορφήν του, κατὰ τρόπον τόσον ζωηρόν, ὡς νὰ τὸν βλέπωμεν ἔμπροσθέν μας· μέσα δὲ εἰς τὰ βάθη τῆς καρδίας μας, καὶ ὡς νὰ εἴμεθα ἐνώπιοι ἐνωπίῳ μὲ τὸν ὀργισθέντα ἀδίκως, ἀλλ' ἀπόντα ἀδελφόν, νὰ πραγματοποιήσωμεν τὸν νόμον τῆς ἀγάπης. Διότι πρέπει, καθὼς διδάσκουν οἱ Πατέρες, αὐτοὶ ποὺ θέλουν νὰ γνωρίσουν τὸν Θεὸν μὲ τὸν ὑψηλὸν καὶ μυστικὸν τρόπον τῆς ἐνοράσεως, νὰ ἔχουν τὴν δύναμιν νὰ βλέπουν εἰς τὴν διάνοιάν των αὐτοὺς ποὺ τοὺς ἐπίκραναν ἀναιτίως, χωρὶς τὸ πικρὸν παράπονον, ποὺ συνήθως γεννᾶται εἰς τὴν ψυχὴν ἀπὸ τὴν συναίσθησιν τῆς καθ' ἡμῶν ἀδικίας.

5. Ὅταν δὲ πραγματοποιηθῇ αὐτὸ καὶ φθάσωμεν εἰς τὸ ὕψος τῆς κατὰ Χριστὸν ἀπαθείας, τότε καὶ ὁ νοῦς μας, καθαρὸς πλέον ἀπὸ πταίσματα, θὰ κινηθῇ ἐλευθέρως ὄχι μόνον διὰ νὰ κατανοήσῃ τὰ ὑψηλὰ περὶ Θεοῦ δόγματα καὶ νὰ ἀναδειχθῇ πράγματι Θεολόγος, ἀλλὰ καὶ μὲ ἀνεμπόδιστον θάρρος θὰ ἀναχθῇ εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, ἀνερχόμενος τοιουτοτρόπως ἐκ τῆς χαμηλοτέρας βαθμίδος, ποὺ εἶναι ἡ πρὸς τὸν πλησίον ἀγάπη, εἰς ὑψηλοτέραν ποὺ εἶναι ἡ πρὸς τὸν Θεὸν τοιαύτη.

6. Ἐὰν δέ, ὅπως λέγει ὁ Ἀπόστολος Ἰωάννης, ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν ἀδελφόν του καὶ τὸν Θεὸν ἀγαπᾷ, ἀντιστρόφως δέ, αὐτὸς ποὺ δὲν ἀγαπᾷ τὸν ἀδελφόν του, οὔτε τὸν Θεὸν ἀγαπᾷ [1], ἕπεται, κατὰ λογικὴν ἀκολουθίαν, ὅτι καὶ ὅστις προξενεῖ λύπην εἰς τὸν ἀδελφόν του, Αὐτὸν Τοῦτον τὸν Θεὸν λυπεῖ. Ὁ ἴδιος δὲ ὁ Κύριος λέγει, κατὰ τὴν ἀφήγησιν

---

1) «Ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακεν πῶς δύναται ἀγαπᾶν;» (Α' Ἰωάν. δ' 20).

περὶ τῆς μελλούσης κρίσεως, ὅτι «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε» (Ματθ. κε', 40) καὶ ὅτι ἐκεῖνος ποὺ ἐξυπηρετεῖ τὸν ἀδελφόν του, τὸν Θεὸν ἐξυπηρετεῖ.

7. Ἐφ' ὅσον λοιπόν, ἀγαπητοί μου, γνωρίζομεν ὅτι τότε μόνον λατρεύομεν γνησίως τὸν Θεόν, ὅταν δὲν προκαλοῦμεν λύπην εἰς τὸν πλησίον μας, ἂς ἀποφεύγωμεν νὰ παρέχωμεν εἰς αὐτὸν προφάσεις ἢ ἀφορμὰς νὰ λυπῆται ἐναντίον μας, εὐλόγως ἢ χωρὶς λόγον, διὰ νὰ καθίσταται τοιουτοτρόπως εὐπρόσδεκτος ἡ προσευχή μας ἀπὸ τὸν Θεὸν καὶ νὰ μὴ ἀπορρίπτεται, ὅπως εἰς τὸν καιρὸν τῆς Παλαιᾶς Διαθήκης τὸ ἀκατάλληλον διὰ τὴν θυσίαν πρόβατον.

8. Διότι, ὅταν, μεταξὺ δύο ἀνθρώπων, ὁ εἷς εὐλογεῖ καὶ ὁ ἄλλος καταρᾶται, τότε ποῖον ἐκ τῶν δύο θὰ ἀκούσῃ ὁ Δεσπότης; Καὶ πάλιν, ὅπως λέγεται, ἐὰν ὁ ἕνας κτίζῃ καὶ ὁ ἄλλος κρημνίζῃ, ποία ὠφέλεια θὰ ἐπέλθῃ; Ἀσφαλῶς οὐδεμία, ἐκτὸς ἀσκόπων καὶ ματαίων κόπων!

ϛ'. Τοῦ Ἁγίου Μαξίμου

ΦΙΛΟΣ ἐκεῖνός ἐστι γνήσιος, ὁ τὰς ἐκ περιστάσεως θλίψεις καὶ ἀνάγκας, καὶ πειρασμοὺς καὶ συμφοράς, ἐν καιρῷ πειρασμοῦ συνυποφέρων τῷ πλησίον ὡς ἰδίας ἀθορύβως καὶ ἀταράχως.

2. Φίλος πιστός, σκέπη κραταιά· ἐπειδὴ καὶ εὐημεροῦντι τῷ φίλῳ σύμβουλός ἐστιν ἀγαθὸς καὶ συνεργὸς σύμψυχος· καὶ κακοπαθοῦντι, ἀντιλήπτωρ γνησιώτατος καὶ ὑπέρμαχος συμπαθέστατος.

3. Μόνοι οἱ ἀκριβεῖς τῶν ἐντολῶν φύλακες καὶ γνήσιοι τῶν θείων κριμάτων μύσται τοὺς κατὰ συγχώρησιν Θεοῦ πειραζομένους οὐκ ἐγκαταλιμπάνουσι φίλους.

4. Οἱ δὲ τῶν ἐντολῶν καταφρονηταί, καὶ τῶν θείων κριμάτων ἀμύητοι, ὅταν ὁ μὲν φίλος εὐημερῇ, συναπολαύουσιν αὐτῷ· ὅταν δὲ πειραζόμενος κακοπαθῇ, καταλιμπάνουσιν αὐτόν· ἔστι δὲ ὅτε καὶ μετὰ τῶν ἐναντίων ἵστανται.

Ἑρμηνεία

Ο ΠΡΑΓΜΑΤΙΚΟΣ φίλος εἶναι ἐκεῖνος, ποὺ ἔχει τὴν δύναμιν, κατὰ τὴν ὥραν τῆς σκληρᾶς δοκιμασίας τοῦ φίλου του, νὰ ὑποφέρῃ μαζί του, χωρὶς θορύβους καὶ ταραχάς, τὰς θλίψεις, τὰς ἀνάγκας, τοὺς πειρασμούς, τὰς συμφοράς, ποὺ προέρχονται ἀπὸ τὰς ἀτυχεῖς περιστάσεις, θεωρῶν ὅλα αὐτὰ ὡς προσωπικά του παθήματα.

2. Ὁ εἰλικρινὴς φίλος εἶναι, κατὰ τὰς ὥρας τῆς δοκιμασίας, ἰσχυρὸν καταφύγιον [1], ἐπειδὴ καὶ ὅταν εὐτυχῇ ὁ φίλος ἀναδεικνύεται καλὸς σύμβουλος καὶ συμπαραστάτης πρόθυμος, ἀλλὰ καὶ ὅταν δυστυχῇ φαίνεται πραγματικὸς βοηθὸς καὶ συμπαθητικὸς ὑπερασπιστής.

3. Τοιοῦτοι ὅμως φίλοι, ποὺ δὲν ἐγκαταλείπουν τοὺς φίλους των, ὅταν δοκιμάζωνται, κατὰ παραχώρησιν Θεοῦ, εἶναι μόνον ἐκεῖνοι, ποὺ μὲ ἀκρίβειαν φυλάσσουν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ πραγματικῶς ἐντρυφοῦν εἰς τὰς βουλὰς Αὐτοῦ.

---

1) «Φίλος πιστός, σκέπη κραταιὰ» (Σειρὰχ ϛ', 14).

4. Ἐξ ἀντιθέτου, ὅσοι καταφρονοῦν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ δὲν κατανοοῦν τὴν βαθυτέραν σκοπιμότητα τῶν θεϊκῶν κριμάτων, αὐτοί, ἐφ' ὅσον μὲν εὐτυχεῖ ὁ φίλος, ἀπολαμβάνουσι μαζί του τὰ ἀγαθὰ τῆς εὐτυχίας· ὅταν δὲ δυστυχῇ καὶ δοκιμάζεται, τότε τὸν ἐγκαταλείπουν, συνήθως μάλιστα συντάσσεται καὶ μὲ τοὺς ἐχθρούς του.



Ὑπόθεσις ΛΘ'

Ὅτι ὁ κατὰ Θεὸν ἀγαπῶν, καὶ ἀγνοοῦντα τὸν πλησίον σπουδάζει εὐεργετεῖν.

Ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν πλησίον του, κατὰ τὸ θέλημα τοῦ Θεοῦ, τὸν εὐεργετεῖ ἀκόμη καὶ χωρὶς ἐκεῖνος νὰ γνωρίζῃ τὸν εὐεργέτην του.

Α'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Νικολάου

ΑΝΗΡ τις, ἄδοξος ἐξ ἐνδόξου καὶ πένης ἐκ πλουσίου γενόμενος, ἐπειδὴ τοῖς ὅλοις διηπορεῖτο, καὶ αὐτῶν τῶν ἀναγκαίων ἐπιλειπόντων, φεῦ, μέχρι καί τινων ἔνδεια προχωρεῖν οἶδε· γνώμην ἔσχε τὰς θυγατέρας (τρεῖς γὰρ ἦσαν αὐτῷ διαφερόντως ἀγαθαὶ τὴν μορφὴν) μισθοῦ πρὸς ἀκολασίαν ἐκδιδόναι τοῖς βουλομένοις, καὶ τὸ ἐντεῦθεν αὐτῷ πυριζόμενον ἑαυτοῦ τε καὶ τῶν παίδων ποιεῖσθαι τροφήν· τὸ γὰρ ἀνδράσιν αὐτὰς συναρμόσαι ἀδυνάτως εἶχεν, ἅτε διὰ τὸ πολὺ τῆς πενίας ὑπὸ πάντων εὐθὺς ἀπαξιουμένας.

2. Τοῦτο γοῦν εἰς ὦτα πεσεῖν τῷ θαυμαστῷ Νικολάῳ ὁ Θεὸς παρεσκεύασε, καὶ ὅρα μοι τοῦ Ἁγίου τὸ μετὰ συνέσεως συμπαθές· οὐ γὰρ ὑπέμεινε τῷ ἀνδρὶ προσελθεῖν καὶ περὶ τούτου κἂν βραχύ τι διαλεχθῆναι, οὐδὲ τὴν εὐεργέτιν αὐτῷ ἐμφανίσαι χεῖρα, ἃ σύνηθες ποιεῖν τοῖς μικροψύχοις τὸν ἔλεον· ᾔδει γὰρ ὅτι φορτικὰ ταῦτα τοῖς ἐκ πλούτου καὶ δόξης εἰς ἀπορίαν καταπεσοῦσιν ἐντρέποντά τε τὰς ἐκείνων ψυχάς, καὶ οἷαν μνήμην τῆς προτέρας εὐημερίας ἐκβάλλοντα.

3. Ἀλλ' ὥσπερ ὑπερβάλλεσθαι φιλονεικῶν, καὶ τὴν εὐαγγελικὴν δήπου παραγγελίαν, τὸ μὴ πιστευθῆναι τὴν ἀριστερὰν τὸ γινόμενον, οὐδὲ αὐτὸν ἠθέλησε τὸν εὐεργετούμενον τοῦ πραττομένου μάρτυρα παραλαβεῖν· οὕτω μακρὰν ἀπεῖχε τοῦ παρὰ ἀνθρώπων δόξαν ἐπιζητεῖν· ἐπεὶ καὶ μᾶλλον αὐτὸς ἀγαθόν τι ποιῶν, ἢ ἕτεροι πονηρὰ δρῶντες, τὸ λανθάνειν ἐσπούδαζεν· ἀμέλει καὶ ἁδρὸν ἀπόδεσμον χρυσίου λαβών, ἀωρὶ τῶν νυκτῶν, παρὰ τὴν οἰκίαν τοῦ ἀνδρὸς ἥκει, καὶ τοῦτον διά τινος θυρίδος ἔνδον ἀκοντίσας, αὐτὸς εὐθέως οἴκαδε ἐπανήει, ὥσπερ αἰσχυνόμενος ὀφθῆναι διδούς.

4. Ἕωθεν οὖν ὁ ἀνὴρ ἀναστὰς καὶ τὸν χρυσὸν εὑρών, ἔπειτα τὸν δεσμὸν λύσας κατεπλάγη καὶ ἑαυτὸν ἐξαπατᾶσθαι ᾤετο, δεδιὼς μὴ οὐχὶ χρυσὸς ᾖ τὸ ὁρώμενον· ὅθεν καὶ ἄκροις ἐπιτρίβων δακτύλοις αὐτόν, καὶ περιεργότερον ἐννοῶν, ἐπεὶ ἔγνω χρυσὸν ἀληθῶς εἶναι, ἥδετο, ἐθαύμαζεν, ἠπορεῖτο, θερμὸν ὑφ' ἡδονῆς ἀπεστάλαζε δάκρυον· ὡς δὲ πολλὰ στρέφων καθ' ἑαυτὸν οὐδένα εἶχε τῶν γινωσκομένων, ᾧ ἐπιγράψει τὸ γεγονός, ἐπὶ Θεὸν ἀναφέρει τοῦτο, καὶ δάκρυσιν εὐχαριστῶν οὐκ ἀνήει.

5. Ἀμέλει καὶ τοῦ πρὸς Θεὸν ἁμαρτήματος τὴν αἰτίαν ἔσπευδε πρὸ τῶν ἄλλων λύειν, καὶ μίαν τῶν θυγατέρων, τὴν πρώτην, εὐθὺς ἀνδρὶ προσαρμόζει, τὸ

δοῦλεν χρυσίον ἀρκούντως εἰς προῖκα ταύτῃ καταβαλών· ὅπερ ἐπεὶ πρὸς γνῶσιν ἦλθε τῷ θαυμαστῷ Νικολάῳ, καὶ ἔγνω κατὰ γνώμην αὐτῷ πράξαντα τὸν ἄνδρα, τοῦτο γὰρ καὶ αὐτὸς ἐσπούδαζε, τὸ λῦσαι διὰ τοῦ γάμου τὴν τοῦ κακοῦ πρόφασιν, εὐτρεπὴς ἦν τὰ ὅμοια καὶ πρὸς τὴν δευτέραν δρᾶσαι τῶν θυγατέρων, καὶ δὴ καὶ ἄλλον αὐτῷ ἰσοτάλαντον ἀπόδεσμον χρυσοῦ διὰ τῆς θυρίδος, λαθὼν ἅπαντας, νυκτὸς ἐπιπέμπει.

6. Ὄρθρου δὲ διαναστὰς ὁ ἀνήρ, καὶ τὸ χρυσίον ὁμοίως εὑρών, τῇ ὁμοίᾳ εἴχετο καὶ αὖθις ἐκπλήξει, καὶ τῷ ἐδάφει τὸ μέτωπον προσερείσας, θερμοτέροις αὐτῷ δάκρυσιν ἔβαλλε· Θεέ, λέγων, θελητὰ τοῦ ἐλέους, οἰκονόμε τῆς ἡμῶν σωτηρίας, ὁ καὶ πρότερον διὰ τὴν ἐμὴν ἐνανθρωπήσας παρακοήν· καὶ νῦν με τῆς παγίδος τοῦ ἀλλοτρίου διὰ τῶν παίδων ῥυόμενος, αὐτός μοι τὸν τῷ σῷ θελήματι διακονούμενον, τὸν ἐν ἀνθρώποις τῆς σῆς χρηστότητος Ἄγγελόν τε καὶ μιμητὴν ἀνάδειξον τίς οὗτος, ὁ καὶ τῆς πιεζούσης πενίας ἐξελόμενος καὶ τῶν ἀτόπων λύσας ἐπινοιῶν· ἰδοὺ γὰρ τῷ ἐλέει τῷ σῷ, καὶ τὴν δευτέραν τῶν θυγατέρων ἀνδρὶ νομίμῳ ἐκδίδωμι, φυγοῦσαν ἤδη τὸ θήραμα γενέσθαι τῷ διαβόλῳ, καὶ κέρδος ἐμοὶ προσφέρειν, πολλῆς ζημίας βαρύτερον.

7. Ταῦτα ἔλεγε καὶ τῇ δευτέρᾳ τῶν θυγατέρων εὐθὺς ἐτέλει τοὺς γάμους, ἐλπίζων ὡς οὐδὲ ἐπὶ τῆς τρίτης ἀμοιρήσει τοῦ ἐκδόσθαι αὐτὴν ἀνδρί, τὴν προῖκα γὰρ ἕτοιμον ἤδη καὶ διὰ χειρὸς ἔχειν ᾤετο· θαῤῥῶν ὡς εἰκὸς περὶ αὐτῆς ἀπὸ τῶν προτέρων, ἔνθεν τι καὶ προσεκτικὸς ἦν καὶ μεμεριμνημένος, καὶ νύκτας ὅλας διατελῶν ἄγρυπνος μὴ καὶ λάθῃ αὐτὸν ὁ καλὸς πλουτοδότης, ἀλλ' ὅπως εἰ καὶ αὖθις ἀφίκοιτο, ἀμφοτέραις τε αὐτοῦ ἐπιλάβοιτο, καὶ παρ' αὐτοῦ μάθοι, τίς τε εἴη, καὶ ὅθεν ὁ χρυσὸς αὐτῷ ἐπιῤῥέει· ὁ μὲν οὖν οὕτω πρὸς τὴν ἐκείνου ἔλευσιν διηγρύπνει.


8. Ἐφίσταται δὲ τὸ τρίτον ὁ τοῦ Θεοῦ θεράπων Νικόλαος, βαθείας νυκτός, ἡσύχῳ ποδί, καὶ παρὰ τῷ συνήθει τόπῳ γενόμενος, ἴσον χρυσοῦ καὶ πάλιν ἀπόδεσμον διὰ τῆς αὐτῆς θυρίδος ἐκπέμπει, καὶ παραχρῆμα οἴκαδε ἐπανήει· ὁ δέ γε τῶν παίδων πατὴρ τοῦ ἐκπεσόντος χρυσοῦ τὸν ψόφον αἰσθόμενος, καὶ τοῦτον παρεῖναι πάλιν τὸν συνήθη πλουτοδότην κατανοήσας, ᾗ ποδῶν εἶχεν, εὐθέως ἐδίωκε· καὶ καταλαβών, καὶ γνοὺς ὅς τις εἴη, οὐδὲ γὰρ τῶν ἀσήμων οὗτος διὰ τὴν ἀρετὴν καὶ τὸ τοῦ γένους ἐπιφανές, πίπτει τε πρὸς τοὺς πόδας αὐτοῦ, καὶ λυτρωτὴν ἐκεῖνον ἐκάλει, καὶ βοηθόν, καὶ σωτῆρα ψυχῶν, εἰς ἔσχατον ἀπωλείας ἤδη καταγομένων.

9. Ταῦτα ἐκεῖνος μὲν σὺν δάκρυσιν εὐφροσύνης, καὶ θερμῷ πνεύματι πίστεως ἔλεγεν· ὁ δὲ ἐπειδὴ ἔγνω δῆλος ἤδη τῷ ἀνθρώπῳ γενόμενος, ἀνίστησί τε αὐτόν, καὶ ὅρκοις τὴν ἐκείνου καταλαμβάνει ψυχήν, μὴ ἂν πρὸς ἑτέρους παρ' ὅλον αὐτοῦ τὸν βίον ἐξενεγκεῖν τὰ γεγενημένα, μηδὲ δημοσιεῦσαι τὸν ἔλεον.

Ἑρμηνεία

ΕΖΗ ΚΑΠΟΤΕ ἕνας ἄνθρωπος, ὁ ὁποῖος ἦτο ἔνδοξος καὶ πλούσιος· δυστυχῶς ὅμως καὶ τὸν πλοῦτον καὶ τὴν δόξαν ἀπώλεσεν, ὑπέφερε δέ, ἄδοξος καὶ πάμπτωχος, στερούμενος καὶ αὐτῶν τῶν στοιχειωδῶν πραγμάτων. Ἀλλοίμονον δέ! Εἰς τοιοῦτον σημεῖον δυστυχίας κατέπεσεν, ὥστε ἐσκέφθη καὶ αὐτὰ τὰ τρία του κορίτσια, ποὺ ἦσαν ἐξαιρετικῶς ὡραῖα, νὰ τὰ ἐκδώσῃ εἰς τὴν διαφθοράν, ὥστε ἀπὸ τὰ χρήματα τῆς ἀκολασίας νὰ ἐξασφαλίζουν τὴν τροφήν των! Ἡ δυστυχία ἀποτυφλώνει τὸν ἄνθρωπον! Ἄλλωστε καὶ νομίμους συζύγους δὲν εἶχε τὴν δύναμιν νὰ ἐξασφαλίσῃ εἰς τὰ κορίτσια του, ἐπειδὴ ὅλοι, ὁσάκις ἐγένετο λόγος, τὸν ἐπεριφρονοῦσαν, λόγῳ τῆς δυστυχίας καὶ τῆς ἀνεχείας του.

2. Ὁ Θεός, ὅμως, ποὺ φροντίζει διὰ τὴν σωτηρίαν ὅλων, οἰκονο-


Ὁ Ἅγιος
Νικόλαος

μεῖ ὥστε τὴν κατάστασιν τοῦ δυστυχοῦς αὐτοῦ ἀνθρώπου νὰ τὴν πληροφορηθῇ ὁ ἀξιοθαύμαστος Νικόλαος! Καὶ ἰδοὺ πῶς μετὰ πάσης συνέσεως καὶ φιλαδέλφου συμπαθείας ἐνήργησεν ὁ Ἅγιος. Δὲν ἐπερίμενε νὰ τὸν ἐπισκεφθῇ ὁ δυστυχὴς πατὴρ καὶ δι᾽ ὀλίγων, ἔστω, νὰ τοῦ ἐκθέσῃ τὴν κατάστασίν του· οὔτε καὶ νὰ προβῇ εἰς ἐπιδείξεις εὐεργεσίας, ὅπως κάμνουν συνήθως οἱ μικρόψυχοι.

Ἐγνώριζε πολὺ καλά, ὡς ἄριστος ψυχολόγος, ὅτι τὰ πράγματα αὐτὰ ἐνοχλοῦν αὐτούς, ποὺ ἐξέπεσαν εἰς τὴν δυστυχίαν ἀπὸ τὸν πλοῦτον καὶ τὴν δόξαν καὶ τοὺς κάμνει νὰ ἐνθυμοῦνται τὴν προηγουμένην εὐτυχίαν των, διὰ νὰ αἰσθάνωνται φρικτότερον τὸν πόνον τῆς δυστυχίας καὶ νὰ ἐντρέπωνται.

3. Δι᾽ αὐτὸ προσεπάθησε καὶ αὐτὸ ἀκόμη τὸ εὐαγγελικὸν παράγγελμα νὰ ὑπερβῇ (1), νὰ ἀγνοῇ δηλαδὴ ἡ ἀριστερὰ τῆς δεξιᾶς τὸ ἔργον, ἀποφεύγων τὴν προσοχὴν καὶ αὐτοῦ ἀκόμη τοῦ εὐεργετουμένου. Τοιουτοτρόπως ὁ Ἅγιος Νικόλαος δὲν ἐπεδίωκε νὰ ἐπισύρῃ τὴν δόξαν τῶν ἀνθρώπων· δι᾽ αὐτὸ καὶ συστηματικῶς προσεπάθει νὰ ἐκτελῇ κρυφίως τὸ ἀγαθόν, μακρὰν τῆς προσοχῆς τῶν ἄλλων, περισσότερον μάλιστα κρυφίως καὶ ἀπὸ αὐτοὺς ποὺ κατεργάζονται τὰ πονηρά. Ἀμέσως λοιπὸν καὶ χωρὶς χρονοτριβὴν λαμβάνει ἕνα καλογεμισμένο σακκουλάκι μὲ χρυσᾶ νομίσματα καὶ ἔρχεται εἰς προκεχωρημένην ὥραν τῆς νυκτὸς εἰς τὴν οἰκίαν τοῦ δυστυχοῦς καὶ ἀπόρου πατρός. Ἀφοῦ δὲ μετὰ προσοχῆς ἠρεύνησε, μήπως τὸν παρακολουθῇ κανείς, ρίπτει τὸ πολύτιμον δέμα ἀπὸ ἕνα παραθυράκι μέσα εἰς τὸ σπίτι τοῦ πόνου καὶ φεύγει γρήγορα, ὡσὰν νὰ ἐντρέπετο μὴ τὸν ἴδῃ κανείς.

4. Πρωῒ - πρωῒ λοιπὸν ἐξυπνᾷ ὁ ἀπηλπισμένος πατὴρ καὶ εὑρίσκει τὸ σωτήριον δεματάκι, τὸ περιεργάζεται καί, ἀφοῦ τὸ ἤνοιξε, κατάπληκτος βλέπει τὰ χρυσᾶ νομίσματα! Δὲν ἐπίστευεν εἰς τὰ μάτια του καὶ διὰ νὰ βεβαιωθῇ, ὅτι εἶναι χρυσός, ἐψηλάφιζε τὰ νομίσματα μὲ τὰ δάκτυλά του. Ὅταν δὲ διεπίστωσεν, ὅτι πράγματι εἶναι χρυσός, ἐθαύμαζε πῶς εὑρέθη ἐκεῖ, ἀποροῦσε, καὶ ἀπὸ τὴν χαράν του ἔχυνε θερμὰ δάκρυα. Τότε ἤρχισε νὰ βασανίζῃ τὸ μυαλό του, ποῖος, ἀπὸ τοὺς γνωστούς του, ἦτο δυνατὸν νὰ ἔκαμεν αὐτὴν τὴν εὐεργεσίαν· μὴ δυνάμενος δὲ νὰ ἀνακαλύψῃ οὐδένα τοιοῦτον εὐεργέτην μεταξὺ τῶν ἀνθρώπων, ἀπέδωσε τὴν πρᾶξιν εἰς τὸν Θεὸν καὶ δὲν ἐσταματοῦσε νὰ τὸν εὐχαριστῇ μὲ δάκρυα.

5. Ἀμέσως τότε σπεύδει προθύμως νὰ ἐξαφανίσῃ τὴν αἰτίαν τοῦ μελετωμένου φοβεροῦ ἁμαρτήματος καὶ ὑπανδρεύει τὴν πρώτην θυγατέρα του, ἐφ᾽ ὅσον μὲ τὴν δωρεὰν τοῦ ἀγνώστου του εὐεργέτου ἐξησφάλισε πλουσίαν προῖκα. Τὴν ἀποκατάστασιν τῆς πρώτης θυγατρὸς

---

1) «Μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδόσει σοι ἐν τῷ φανερῷ» (Ματθ. ς', 3—4).

ἐπληροφορήθη μετὰ χαρᾶς ὁ Ἅγιος Νικόλαος, διότι ὁ πατέρας ἐνήργησε συμφώνως μὲ τὴν ἐπιθυμίαν του καὶ ἀπήλλαξε τοιουτοτρόπως τὴν μίαν θυγατέρα του ἀπὸ τὸν ἐφιάλτην τῆς διαφθορᾶς. Ἄλλωστε καὶ τὸ σχέδιον τοῦ Ἁγίου ἦτο νὰ ἀπομακρύνῃ τὴν πρόφασιν τῆς ἁμαρτίας, δι' ἑνὸς τιμίου καὶ κατὰ Θεὸν γάμου. Ἐν συνεχείᾳ σκέπτεται τὸ αὐτὸ καὶ διὰ τὴν ἀποκατάστασιν τῆς δευτέρας θυγατρός· κατὰ τὸν ἴδιον λοιπὸν τρόπον καὶ χωρὶς νὰ τὸν ἀντιληφθῇ κανείς, ρίπτει μίαν νύκτα ἕτερον ἰσόποσον δέμα χρυσοῦ εἰς τὸ σπίτι τῆς δυστυχίας.

6. Τὸ πρωῒ πάλιν ὁ πατὴρ ἀνακαλύψας τὸ πολύτιμον δεματάκι, ἠσθάνθη τὰ αὐτά, ὡς καὶ πρότερον, αἰσθήματα καὶ πίπτων κατὰ γῆς μετὰ δακρύων ηὐχαρίστει τὸν Θεόν.

— Θεέ μου—ἔλεγε—ποὺ ἐλεεῖς τοὺς πάντας καὶ φροντίζεις διὰ τὴν σωτηρίαν ἡμῶν, Σὺ ποὺ ἔγινες ἄνθρωπος διὰ νὰ μὲ ἀπολυτρώσῃς ἀπὸ τὸ πταῖσμα τῆς παρακοῆς καὶ τώρα μὲ ἐλύτρωσες ἀπὸ τὴν ὀλεθρίαν παγίδα, χάριν τῶν τέκνων μου, Σὲ παρακαλῶ φανέρωσέ μου ποῖος εἶναι ὁ εὐεργέτης μου. Ὁ Ἄγγελος αὐτὸς τῆς καλωσύνης Σου, πού, μεταξὺ τῶν ἀνθρώπων, ἐκτελεῖ τόσον προθύμως τὸ θέλημά Σου· φανέρωσέ μου ποῖος εἶναι αὐτός, ποὺ μὲ ἐξήγαγεν ἀπὸ τὴν καταπιεστικὴν δυστυχίαν καὶ διέλυσεν ἀπὸ τὴν διάνοιάν μου τὰς ἐφαμάρτους σκέψεις. Μὲ τὸ ἔλεός Σου, Θεέ μου, καὶ τὴν πολύτιμον συμπαράστασιν τοῦ εὐεργέτου μου αὐτοῦ, ἀποκαθιστῶ καὶ τὴν δευτέραν θυγατέρα μου μὲ νόμιμον γάμον, ἡ ὁποία, τοιουτοτρόπως, ἀπέφυγε νὰ γίνῃ θήραμα τοῦ διαβόλου, καὶ νὰ μοῦ ἐξασφαλίσῃ κέρδος ἀπαισιώτερον καὶ ἀπὸ τὴν πλέον ἀνυπολόγιστον ζημίαν.

7. Μὲ αὐτὰς τὰς εὐχαριστηρίους πρὸς τὸν Θεὸν σκέψεις ἐτέλεσε τὸν γάμον καὶ τῆς δευτέρας θυγατρός· ἤδη δὲ ἤρχισε νὰ αἰσθάνεται ζωηρὰν τὴν ἐλπίδα, ὅτι καὶ διὰ τὴν τρίτην μεριμνᾷ ὁ Θεός, διὰ νὰ ἀποκατασταθῇ καὶ αὐτὴ νομίμως. Τόσον ἦτο βέβαιος δι' αὐτό, ὥστε ἐνόμιζεν, ὅτι καὶ τῆς τρίτης θυγατρὸς εἶχεν ἑτοίμην τὴν προῖκα εἰς τὸ χέρι. Ἐλάμβανε δὲ θάρρος διὰ τὴν προσδοκίαν του αὐτὴν ἀπὸ τὰ δύο προηγούμενα περιστατικὰ τῶν μεγαλυτέρων του θυγατέρων· ἦτο μάλιστα τόσον βέβαιος, ὥστε ἐπρόσεχεν ἀγρύπνως καὶ ἐφρόντιζεν, ὅταν ἐνύκτωνε, νὰ ἀγρυπνῇ, διὰ νὰ μὴ τοῦ διαφύγῃ ὁ εὐεργέτης, ποὺ τοῦ ἔδιδε τὸν πλοῦτον του· ἀλλὰ μόλις θὰ ἤκουε τὸν παραμικρότερον θόρυβον, ποὺ θὰ ἐπρόδιδε τὴν παρουσίαν του, νὰ τρέξῃ, νὰ τὸν πιάσῃ μὲ τὰς δύο του χεῖρας, καὶ νὰ πληροφορηθῇ ποῖος εἶναι αὐτὸς καὶ ἀπὸ ποῦ διαθέτει τόσο χρυσάφι. Μὲ αὐτὸ τὸ σχέδιον ὁ πατὴρ ἀνέμενεν ἐναγωνίως τὴν ἄφιξιν τοῦ εὐεργέτου του, τὴν ὁποίαν ἀγρύπνως ἐπερίμενε.

8. Πράγματι, ὅπως εἶχε προβλέψει, παρουσιάζεται καὶ διὰ τρίτην φορὰν ὁ γνήσιος ὑπηρέτης τοῦ Θεοῦ Νικόλαος ἀργὰ-ἀργὰ μίαν νύκτα καὶ διὰ τῶν ἄκρων τῶν ποδῶν του ἔρχεται εἰς τὸ γνωστὸν σημεῖον, ἀπὸ ὅπου καὶ πάλιν ρίπτει ἀπὸ τὸ παραθυράκι τὸ δέμα μὲ τὸ

ἰσόποσον περιεχόμενον τῶν χρυσῶν νομισμάτων καὶ γρήγορα - γρήγορα ἑτοιμάζεται νὰ ἀναχωρήσῃ διὰ τὸν οἶκον του! Αὐτὴν ὅμως τὴν φορὰν δὲν ἠδυνήθη νὰ μὴ γίνῃ ἀντιληπτὸς ἀπὸ τὸν ἀνυστάκτως ἀγρυπνοῦντα πατέρα τῶν κοριτσιῶν· οὗτος, μόλις ἤκουσε τὸν θόρυβον ἀπὸ τὴν πτῶσιν τοῦ χρυσοφόρου δέματος καὶ ἀντιληφθείς, ἐξ αὐτοῦ, τὴν παρουσίαν τοῦ πλουσίου δωρητοῦ καὶ εὐεργέτου του, ἀμέσως ἤρχισε νὰ τὸν καταδιώκῃ μέσα εἰς τὴν νύκτα.

Μόλις τὸν ἔφθασεν, ἔμεινε κατάπληκτος, διότι ἀνεγνώρισεν ἀμέσως τὸν Ἅγιον Νικόλαον, ὁ ὁποῖος ἦτο γνωστότατος καὶ λόγῳ τῆς ἀρετῆς του, ἀλλὰ καὶ λόγῳ τῆς πλουσιωτάτης καταγωγῆς του. Ἔπεσε λοιπὸν εἰς τοὺς πόδας τοῦ Ἁγίου Νικολάου, τὸν εὐχαρίστει θερμῶς καὶ τὸν ὠνόμαζε σωτῆρα του καὶ πολύτιμον συμπαραστάτην, διότι ἐπρόλαβε, μὲ τὴν πρᾶξιν του αὐτήν, τὴν σωτηρίαν τριῶν ψυχῶν, πού, λόγῳ τῆς δυστυχίας, ἐφέροντο εἰς τὸ φοβερὸν βάραθρον τῆς διαφθορᾶς.

9. Καὶ ὁ μὲν πατὴρ αὐτὰ ἔλεγε μὲ θερμὰ δάκρυα εὐχαριστίας καὶ εὐγνωμοσύνης καὶ μὲ βαθεῖαν εἰλικρίνειαν· ὁ Ἅγιος Νικόλαος ὅμως ἐστενοχωρήθη, διότι ἀπεκαλύφθη ἀπὸ τὸν ἄνθρωπον, ποὺ εὐηργέτησε. Τὸν ἀνεγείρει λοιπὸν καὶ μὲ καλωσύνην τοῦ ὁμιλεῖ· συγχρόνως δὲ τὸν δεσμεύει μὲ φρικτοὺς ὅρκους, νὰ μὴ φανερώσῃ ποτὲ εἰς τὴν ζωήν του εἰς οὐδένα ἄλλον αὐτά, ποὺ συνέβησαν, οὔτε καὶ τὴν γενομένην ἐλεημοσύνην.

Β'. Ἐν τῷ Γεροντικῷ

ΓΕΡΩΝ τις ἀπέστειλε τὸν μαθητὴν αὐτοῦ εἰς Αἴγυπτον ἵνα ἐνέγκῃ κάμηλον καὶ ἀπαγάγωσι τὰ σπυρίδια αὐτῶν εἰς Αἴγυπτον· ὡς δὲ ἤνεγκεν ὁ ἀδελφὸς τὴν κάμηλον εἰς σκῆτιν, ὑπήντησεν αὐτῷ ἄλλος Γέρων, καὶ εἶπεν αὐτῷ· εἰ ἔμαθον ὅτι εἰς Αἴγυπτον ὑπάγεις, ἔλεγον ἂν σοι ἵνα ἐνέγκῃς κἀμοὶ κάμηλον.

2. Ἀπελθὼν δὲ ὁ ἀδελφὸς εἶπε τῷ Πατρὶ τὸν λόγον τοῦ Γέροντος· ὁ δὲ ἀκούσας, λέγει τῷ ἀδελφῷ· ἆρον τὴν κάμηλον καὶ ἀπαγαγὼν πρὸς αὐτὸν εἰπέ, οὕτω ηὐτρεπίσθημεν ἡμεῖς, λάβε ταύτην καὶ ποίησον τὴν χρείαν σου, καὶ ἄπελθε μετ᾽ αὐτοῦ εἰς Αἴγυπτον, εἶτα φέρε πάλιν τὴν κάμηλον ἵνα καὶ τὰ ἡμῶν σκεύη λάβωμεν.

3. Ἀπελθὼν δὲ ὁ ἀδελφὸς ἐποίησεν οὕτως· καὶ γεμίσας αὐτὴν σπυριδίων τοῦ Γέροντος ἀπῆλθε σὺν αὐτῷ εἰς Αἴγυπτον, καὶ μετὰ τὸ ἀποφορτισθῆναι τὴν κάμηλον, λαβὼν αὐτὴν λέγει τῷ Γέροντι εὖξαι ὑπὲρ ἐμοῦ· ὁ δὲ λέγει αὐτῷ· ποῦ ὑπάγεις; ἔφη ὁ ἀδελφός· εἰς σκῆτιν ἵνα ἐνέγκω καὶ τὰς ἡμῶν σπυρίδας· ὁ δὲ Γέρων ἀκούσας κατενύγη, καὶ ἔβαλε μετάνοιαν, κλαίων καὶ λέγων· συγχωρήσατέ μοι ὅτι ἡ πολλὴ ὑμῶν ἀγάπη ἔλαβε τὸν καρπόν μου.

4. Ἔλεγον περί τινος ἀδελφοῦ, ὅτι σπυρίδια ποιήσας καὶ βαλὼν τὰ ὠτία αὐτῶν, ἤκουσε τοῦ γειτονοῦντος αὐτῷ λέγοντος· τί ποιήσω ὅτι ἡ ἀγορὰ ἐγγύς ἐστι, καὶ οὐκ ἔχω ὠτία βαλεῖν εἰς σπυρίδιά μου· καὶ ἀπελθὼν ἀνέλυσε τῶν ἑαυτοῦ σπυριδίων τὰ ὠτία, καὶ ἤνεγκε τῷ ἀδελφῷ λέγων· ἰδοὺ ταῦτα περισσὰ ἔχω, βάλε ταῦτα εἰς τὰ σπυρίδιά σου· καὶ ἐποίησε τὸ ἔργον τοῦ ἀδελφοῦ προχωρῆσαι, τὸ δὲ ἴδιον ἀφῆκε.

5. Δύο ἀδελφοὶ ἐν ἀγρυπνίᾳ ἀνέσχιζον τὸν λίνον τὸν σχιστόν, καὶ ἡ μία

χορδὴ συνεχῶς ἐκόπτετο· ἤρξαντο οὖν οἱ λογισμοὶ τὸν ἕνα ἀδελφὸν ἐκταράσσειν κατὰ τοῦ ἑτέρου τοῦ ἕλκοντος σὺν αὐτῷ, οὗ οὐκ ἐκόπτετο ἡ χορδή.

6. Ὁ δὲ θέλων νικῆσαι τὸν θυμόν, καὶ μὴ λυπῆσαι τὸν ἀδελφὸν αὐτοῦ, ἡνίκα ἐπέσπα ἡ τροιὰς τοῦ ἀδελφοῦ αὐτοῦ ἔκοπτε καὶ αὐτὸς τὴν ἰδίαν, καὶ εὑρίσκοντο ἀμφότεροι ἀμματίζοντες καὶ οὕτως ἀνέστησαν, μὴ λυπήσαντες ἀλλήλους, καὶ οὐκ ἔγνω ὁ εἷς τοῦ ἑτέρου τὸ ἔργον ὃ ἐποίησεν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΓΕΡΩΝ ἔστειλε τὸν μαθητήν του εἰς τὴν Αἴγυπτον, διὰ νὰ φέρῃ μίαν καμήλαν, προκειμένου νὰ κουβαλήσουν μὲ αὐτὴν τὰ ζεμπίλια ἀπὸ τὴν σκήτην. Μόλις ὁ ὑποτακτικὸς ἔφερε τὸ ζῷον, τὸν συναντᾷ ἕνας ἄλλος γέρων Ἀσκητὴς καὶ τοῦ λέγει:

— Ἐὰν ἤξερα ὅτι θὰ ἐπήγαινες εἰς τὴν Αἴγυπτον, θὰ σὲ παρεκάλουν νὰ φέρῃς καὶ εἰς ἐμὲ μίαν καμήλαν.

2. Ὁ ὑποτακτικὸς μεταβαίνει ἀμέσως εἰς τὸν πνευματικόν του Πατέρα καὶ τοῦ ἐξιστορεῖ τὴν συνάντησίν του μὲ τὸν Γέροντα, ὅπως καὶ τὴν συζήτησιν, ποὺ ἔγινεν. Ὁ Ἀσκητής, χωρὶς ἄλλην χρονοτριβήν, δίδει τὴν ἑξῆς ἐντολὴν εἰς τὸν ὑποτακτικόν του:

— Πάρε τὴν καμήλαν καὶ πήγαινέ την εἰς τὸν Γέροντα· εἰπέ του δέ, ὅτι ἡμεῖς ἐτακτοποιήσαμεν τὰ πράγματά μας· πάρε την λοιπὸν καὶ σὺ νὰ κάμῃς τὴν ὑπηρεσίαν σου. Νὰ μεταβῇς δὲ μαζί του εἰς τὴν Αἴγυπτον, διὰ νὰ ὁδηγῇς τὸ ζῷον, ἀφοῦ δὲ τελειώσῃ τὴν ἐργασίαν του ὁ Ἀββᾶς, φέρε την πάλιν, διὰ νὰ στείλωμεν καὶ ἡμεῖς εἰς τὴν Αἴγυπτον τὰ πράγματά μας.

3. Πράγματι ὁ ὑποτακτικὸς ἔκαμεν ὅπως τὸν διέταξεν ὁ Γέρων καὶ ἀφοῦ ἐφόρτωσε τὴν καμήλαν μὲ τὰ ζεμπίλια τοῦ Ἀσκητοῦ, ἀνεχώρησε διὰ τὴν Αἴγυπτον. Ἀφοῦ λοιπὸν ἐξεφόρτωσαν τὸ ζῷον, λέγει ὁ ὑποτακτικὸς εἰς τὸν Ἀσκητήν:

— Εὐλόγησέ με, Πάτερ μου.

— Ποῦ πηγαίνεις; Τὸν ἠρώτησεν ὁ Γέρων.

— Εἰς τὴν σκήτην, διὰ νὰ μεταφέρω καὶ τὰ ἰδικά μας ζεμπίλια!

Ὅταν ἤκουσεν αὐτὸ τὸ πρᾶγμα ὁ Γέρων συνεκινήθη ἀπὸ τὴν αὐταπάρνησιν τῶν δύο Μοναχῶν· μὲ δάκρυα δὲ εἰς τοὺς ὀφθαλμοὺς ἔβαλε μετάνοιαν εἰς τὸν ὑποτακτικόν, λέγων:

— Νὰ μὲ συγχωρήσετε, διότι ἡ πολλή σας ἀγάπη, ποὺ σᾶς ἐνέπνευσεν αὐτὸ τὸ πνεῦμα τῆς θυσίας, μὲ ἐνίκησε καὶ ἐφάνη ἀνωτέρα ἀπὸ ὅλον τὸν καρπὸν τοῦ μοναχικοῦ μου βίου.

4. Διηγοῦντο τὸ ἑξῆς περιστατικὸν δι' ἕνα ἀδελφόν: Εἶχε πλέξει ζεμπίλια καὶ ἐτοποθέτει εἰς αὐτὰ τὰς χειρολαβὰς (αὐτιά). Τὴν στιγμὴν ἐκείνην ἤκουσεν ἕνα Μοναχὸν ἀπὸ γειτονικόν του κελλίον νὰ λέγῃ:

— Τί νὰ κάμω, ποὺ πλησιάζει ἡ ἡμέρα τῆς ἀγορᾶς καὶ ἐγὼ ἀκόμη δὲν ἑτοίμασα χειρολαβάς, διὰ νὰ βάλω εἰς τὰ ζεμπίλια μου;

Ὁ ἀδελφὸς αὐτὸς ἐξήλωσεν ἀμέσως τὰς χειρολαβὰς ἀπὸ τὰ ἰδι-

κά του ζεμπίλια καὶ προσφέρων αὐτὰς εἰς τὸν ἀδελφὸν τοῦ λέγει:

— Αὐτά, ἀδελφέ, μοῦ περισσεύουν· πάρε τα. Οὕτω ἐβοήθησε τὸν ἀδελφόν του νὰ ὁλοκληρώση τὸ ἔργον του, ἐνῷ τὸ ἰδικόν του τὸ ἄφησε μισοτελειωμένον.

5. Δύο Μοναχοὶ εἰς τὴν σκήτην ἔσχιζον τὸ ὥριμον λινάρι, διὰ νὰ πλέξουν σχοινιά. Ὁ ἕνας ἐξ αὐτῶν τῶν ἀδελφῶν δὲν εἶχε τόσην ἐπιδεξιότητα εἰς τὸ ἐργόχειρον αὐτό, καὶ δι' αὐτὸ συνεχῶς τοῦ ἐκόπτετο ὁ ἕνας κλῶνος τοῦ κατασκευαζομένου σχοινίου. Ἡ ἐλαττωματικότης αὐτὴ ἤρχισε νὰ ταράσση τὸν ἕτερον Μοναχόν, ποὺ ἀπὸ κοινοῦ εἰργάζοντο, καὶ τὸν ἐξήγειρεν εἰς θυμὸν κατὰ τοῦ ἀδελφοῦ τοῦ ὁποίου ἐκόπτετο ὁ κλῶνος.

6. Οὗτος ἐπιθυμῶν νὰ κατανικήση τὸν θυμὸν καὶ νὰ μὴ λυπήση τὸν συνεργαζόμενον ἀδελφόν, ἔστω καὶ μὲ μίαν ἁπλῆν ἐκδήλωσιν ἐπιπλήξεως, ἔσπαζε καὶ αὐτὸς τὸν ἰδικόν του κλῶνον, ὁσάκις ἐκόπτετο καὶ τοῦ ἀδελφοῦ· καὶ οἱ δύο τότε συνέχιζον τὴν ἐργασίαν δένοντες κόμπους εἰς τὰς σειρὰς τῶν λιναριῶν, μὲ τὰ ὁποῖα ἔπλεκον τὰ σχοινιά. Τοιουτοτρόπως ἐτελείωσαν, χωρὶς ὁ ἕνας νὰ λυπήση τὸν ἄλλον καί, πρὸ παντός, χωρὶς νὰ ἀντιληφθῇ ὁ περὶ τὸ ἐργόχειρον ἀδέξιος ἀδελφός, τί ἔκαμεν ὁ ἄλλος, διὰ νὰ μὴ τὸν λυπήση.



ΥΠΟΘΕΣΙΣ Μʹ

Ὅτι δεῖ τὸν πιστὸν καὶ ἐν τῷ πωλεῖν καὶ ἀγοράζειν, ἢ ἄλλο τι τοιοῦτον ποιεῖν, τὸν Θεὸν ἔχειν πρὸ ὀφθαλμῶν, καὶ τὴν τοῦ πλησίον ζημίαν μὴ καταδέχεσθαι, κἂν ἐκεῖνος λέγῃ μὴ ἀδικεῖσθαι, καὶ ὅτι δεῖ ἐν τῇ ἀγάπῃ τηρεῖν τὸ ἀπαρρησίαστον, καὶ μάλιστα τοὺς νέους, ἔτι δὲ καὶ τὰς ἑταιρίας ἐν τῷ Κοινοβίῳ ὡς ὀλεθρίους φυλάττεσθαι.

Πρέπει ὁ πιστὸς καὶ ὅταν πωλῇ καὶ ὅταν ἀγοράζῃ, ἢ ὅ,τι σχετικὸν ἄλλο κάμνῃ, νὰ ἔχῃ πρὸ τῶν ὀφθαλμῶν του τὸν Θεὸν καὶ νὰ μὴ καταδέχεται τὴν ζημίαν τοῦ πλησίον, ἔστω καὶ ἂν ἐκεῖνος λέγῃ, ὅτι δὲν ζημιώνεται. Ἐπίσης πρέπει οἱ νέοι νὰ εἶναι σεμνοὶ καὶ νὰ μὴ ἀποκτοῦν εὔκολα θάρρος. Εἰς τὰ Κοινόβια δὲν πρέπει νὰ συνιστῶνται ἰδιαίτεραι ὁμάδες διότι εἶναι καταστρεπτικαί.

Αʹ. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΛΙΜΟΥ ποτὲ γενομένου, καὶ τῶν ἀδελφῶν τῶν σὺν τῷ μεγάλῳ Παχωμίῳ μὴ ἐχόντων σῖτον, μᾶλλον μὴ εὑρισκομένου σίτου καθ' ὅλην σχεδὸν τὴν Αἴγυπτον, ἀπέστειλεν ὁ Ἅγιος τινὰ τῶν ἀδελφῶν περιελθεῖν τὰς πόλεις καὶ τὰς κώμας πάσας, ζητοῦντα σῖτον ἀγοράσαι ἑκατὸν νομισμάτων.

2. Περιελθὼν δὲ ὁ ἀδελφὸς πολλοὺς τόπους, παρέβαλεν εἴς τινα πόλιν καλουμένην Ἑρμώθην· καὶ εὗρεν ἐκεῖ τινὰ ἄνθρωπον πολιτευόμενον πάνυ εὐλαβῆ καὶ τὸν Θεὸν φοβούμενον, ἀκούσαντα καὶ περὶ τοῦ βίου τοῦ Ἁγίου Παχωμίου καὶ τῶν ἀδελφῶν· οὗτος δὲ δημόσιον ἐπιστεύετο σῖτον.

3. Προσελθὼν δὲ αὐτῷ ὁ ἀδελφός, παρεκάλει πωλῆσαι σῖτον ἑκατὸν νομισμάτων, ὁ δὲ πρὸς αὐτὸν εἶπεν· ἀληθῶς, ἀδελφέ, εἰ εἶχον ἐμὸν σῖτον, ἀπὸ τῶν τέκνων μου ἂν λαβὼν ἐδίδουν ὑμῖν, ἀκούων περὶ τῆς θείας καὶ ἐναρέτου ὑμῶν πολιτείας· ἄκουσον δέ μου ὃ μέλλω σοι λέγειν· δημόσιον ἔχω σῖτον κείμενον, καὶ τέως ἄρτι οὐ ζητεῖται παρὰ τοῦ ἄρχοντος· εἰ οὖν θέλεις ἀναλαβεῖν αὐτὸν ἕως τοῦ καιροῦ τῆς ἅλωνος, ὑπερθέσθαι δύναμαι τὰ δημόσια· ἐὰν οὖν οἶδας ὅτι δύνασαι ἀποκαταστῆσαι πάλιν ἐν τῷ καιρῷ ἐκείνῳ τὸν σῖτον, λάβε ὅσον θέλεις.

4. Τοῦ δὲ ἀδελφοῦ εἰπόντος, οὐχ οὕτως θέλω ἵνα ποιήσῃς, οὐ γὰρ δύναμαι ἀποκαταστῆσαι τὴν ποσότητα ἣν μέλλω λαμβάνειν, ἀλλ' ἐὰν θέλῃς τῶν ἑκατὸν ὁλοκοτίνων δοῦναί μοι οἵας θέλεις τιμῆς, εἰ ὅλως δύνασαι ἕως τοῦ καιροῦ τῆς ἅλωνος ὑπερθέσθαι τῇ δημοσίᾳ, καλῶς ποιεῖς· ὁ δέ φησι πρὸς αὐτόν· ναί, δύναμαι ὑπερθέσθαι οὐ μόνον τῶν ἑκατὸν νομισμάτων τούτων, ἀλλὰ καὶ ἄλλων το-

σούτων, μόνον εὔχεσθε ὑπὲρ ἐμοῦ· τοῦ δὲ ἀδελφοῦ εἰπόντος οὐκ ἔχομεν χρυσίον, εἰμὴ τοῦτο, ὁ πολιτευόμενος εἶπε· μὴ μελέτω σοι περὶ τούτου λάβε τὸν σῖτον καὶ ὅταν εὕρῃς τὴν τιμήν, ἔνεγκέ μοι.

5. Ἐπὶ τούτῳ οὖν τῷ ὅρῳ γεμίσας τὸ πλοῖον ἐκ δεκατριῶν ἀρταβῶν τοῦ ὁλοκοτίνου, μηδαμοῦ καθ' ὅλην τὴν Αἴγυπτον εὑρισκομένου, εἰμὴ πέντε ἀρταβῶν τοῦ ὁλοκοτίνου, κατέπλευσεν εἰς τὴν Μονὴν μετὰ πολλῆς χαρᾶς ὁ ἀδελφός.

6. Ἀκούσας δὲ ὁ μέγας ὅτι ὥρμισε τὸ πλοῖον γέμον σῖτον, καὶ τὸν τρόπον τῆς τοῦ σίτου ἀγορασίας, πέμπει εὐθέως εἰς τὸ πλοῖον λέγων· ἕνα κόκκον τοῦ σίτου μὴ εἰσενέγκητε εἰς τὴν Μονήν, μηδὲ ὁ ἀγοράσας τὸν σῖτον εἰς πρόσωπόν μου ἔλθῃ, ἕως οὗ ἀποκαταστήσῃ τὸν σῖτον εἰς τὸν ἴδιον τόπον· ὅτι πάνυ ἠνόμησε τοῦτο πεποιηκώς, καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἄλλων ἑκατὸν νομισμάτων σῖτον λαβών, ὅπερ οὐκ ἐκέλευσα αὐτὸν ποιῆσαι· καὶ τῷ τῆς φιλοκερδίας πάθει πηρωθείς, κατεδουλώσατο ἡμᾶς, ποιήσας ὑποχρέους εἶναι, ἀκορέστως μὲν τῇ φιλανθρωπίᾳ τοῦ δεδωκότος προσελθών, πλεονεξίας δὲ τρόπον μιμησάμενος. Οὐ μὴν δέ, ἀλλ' εἰ καὶ συνέβη αὐτὸν ἐρχόμενον ἀνθρώπινόν τι ὑποστῆναι ναυαγήσαντος τοῦ πλοίου, τί εἴχομεν ποιῆσαι; οὐκ ἐμέλλομεν ὑπόδουλοι πάντες γενέσθαι;

7. Διὰ τοῦτο ὅσον ἤνεγκε σῖτον, τοῖς περὶ τὰ μέρη ταῦτα κοσμικοῖς πωλησάτω, ὡς ἔλαβε παρὰ τοῦ πιστεύσαντος αὐτῷ ἐκ δεκατριῶν ἀρταβῶν τοῦ ὁλοκοτίνου· καὶ μετὰ τὸ πωλῆσαι αὐτόν, λαβὼν τὸ χρυσίον, ἀποκομισάτω τῷ πιστεύσαντι αὐτῷ· τῶν δὲ ἑκατὸν ὁλοκοτίνων τῶν ἡμετέρων, ὡς πωλεῖται πανταχοῦ, οὕτω καὶ αὐτὸς ὠνησάμενος φερέτω. Ἐποίησε δὲ ὁ ἀδελφὸς οὕτως, καθὼς εἶπεν ὁ μέγας, καὶ ἤνεγκε τὸν σῖτον ἐκ πέντε ἥμισυ ἀρταβῶν τοῦ ὁλοκοτίνου ἀγοράσας, καὶ ἔκτοτε οὐκ ἀφῆκεν αὐτὸν ἐκβῆναι τῆς Μονῆς εἰς διακονίαν τῶν ἀδελφῶν, ἀλλ' ἐάσας αὐτὸν εἴσω καθῆσθαι, ἔταξεν ἄλλον εἰς τὴν διακονίαν.

8. Ὁ αὐτὸς ἀδελφὸς ποτὲ λαβὼν παρὰ τοῦ σκυτέως σανδάλια πολλά, καὶ ἕτερα τινὰ εἴδη ἐπὶ τῷ πωλῆσαι, πλέον τῆς τιμῆς ἧς εἶπεν αὐτῷ ὁ σκυτεὺς λαβεῖν ἤνεγκεν αὐτῷ χρῆμα· λαβὼν δὲ τὸ κέρμα ὁ σκυτεύς, ἐμέτρησε τὴν τιμὴν τοῦ δέρματος καὶ τοῦ καμάτου τῶν χειρῶν αὐτοῦ, ἐκ πεντήκοντα λεπτῶν ὁρίσας τὰς ἡμέρας, ἃς εἰργάσατο τὰ εἴδη ἐκεῖνα· εὑρὼν δὲ τριπλοῦν τὸ ἀργύριον, εὐθὺς ἀπελθὼν πρὸς τὸν μέγαν, εἶπεν αὐτῷ· ὡς ἀληθῶς, ὦ Πάτερ, καλῶς ἐποίησας τάξας τὸν ἀδελφὸν εἰς τὴν διακονίαν τῶν τοιούτων ἀποκρίσεων τῆς Μονῆς· ἔτι ἔχει ἐν ἑαυτῷ τὸ κοσμικὸν φρόνημα· εἰπόντος δὲ τοῦ μεγάλου τί ἐστι τὸ πρᾶγμα ὃ ἐποίησε κακῶς; ἀπεκρίθη ὁ σκυτεὺς λέγων· ἔδωκα αὐτῷ σανδάλια καὶ ἕτερά τινα εἴδη ἐπὶ τῷ πωλῆσαι, εἰπὼν αὐτῷ τὴν ποσότητα τῆς τιμῆς· ὁ δὲ πωλήσας ταῦτα πλείονος, ἤνεγκέ μοι τριπλῆν τὴν τιμήν, παρ' ὃ εἶπον αὐτῷ.

9. Ἀκούσας δὲ ὁ μέγας ταῦτα, ἐκάλεσε τὸν ἀδελφόν, καὶ λέγει αὐτῷ· διατί τοῦτο ἐποίησας; ὁ δὲ πρὸς αὐτὸν εἶπε· τὴν τιμήν, ὦ Πάτερ, ἣν εἶπε λαβεῖν ὁ ἀδελφός, εἶπον τοῖς ἀγοράζουσιν· οἱ δὲ λέγουσί μοι· ἀδελφέ, ἐὰν μὴ κλεψιμαῖα ἐστί, περισσοτέρας τιμῆς ἄξια ἐστίν· ἐγὼ δὲ διατραπείς, εἶπον αὐτοῖς· κλεψιμαῖα μὲν οὐκ εἰσί· τοσοῦτον δὲ ἐκελεύσθην πωλῆσαι· ὅσον δὲ θέλετε δοῦναι, δότε μοι· οἱ δὲ ὅσον ἤρεσκεν αὐτοῖς ἐδίδουν, ἐμοῦ μὴ μετροῦντος τὸ παρ' αὐτῶν διδόμενον κέρμα.

10. Ὁ δὲ μέγας ἀκούσας εἶπεν αὐτῷ· ἡμάρτηκας μεγάλως τὸ πλεῖον ἀγαπήσας· ἀλλὰ ταχέως διαδραμών, τὸ περισσὸν τῆς τιμῆς ἀπόδος τοῖς δεδωκόσι· καὶ ἐλθὼν μετανόησον ὑπὲρ τοῦ σφάλματος τούτου, καὶ κάθου εἰς τὴν Μονὴν ἐργαζόμενος τὸ ἴδιόν σου ἔργον· οὐ συμφέρει γάρ σοι ταύτην τὴν διακονίαν μετέρχεσθαι.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἔπεσε πεῖνα εἰς ὅλην τὴν Αἴγυπτον καὶ δὲν εὑρίσκετο πουθενὰ σῖτος· ἐκ τοῦ γεγονότος αὐτοῦ ὑπέφερον πολ-

λοί, μεταξὺ δὲ αὐτῶν καὶ οἱ Μοναχοὶ τοῦ Κοινοβίου τοῦ Μεγάλου Παχωμίου. Ὁ Μέγας Παχώμιος τότε ἀποστέλλει ἕνα Μοναχὸν νὰ γυρίσῃ ὅλας τὰς πόλεις καὶ τὰ χωρία, προκειμένου νὰ εὕρῃ καὶ νὰ ἀγοράσῃ σῖτον ἀξίας ἑκατὸν νομισμάτων.

2. Ἀφοῦ ὁ Μοναχὸς αὐτὸς ἐγύρισεν ἄπρακτος πολλὰ μέρη, ἔφθασεν ἐπὶ τέλους καὶ εἰς πόλιν τινὰ τῆς Αἰγύπτου, καλουμένην Ἑρμώθην. Εἰς τὴν πόλιν αὐτὴν συνήντησεν ἕνα ἄνθρωπον πάρα πολὺ εὐλαβῆ καὶ σεβόμενον τὸν Θεόν. Οὗτος ἦτο ὑπάλληλος τῆς Διοικήσεως τοῦ τόπου ἐκείνου· εἶχε δὲ πολλάκις πληροφορηθῆ διὰ τὴν ἐνάρετον ζωὴν τοῦ Ἁγίου Παχωμίου. Αὐτὸς λοιπὸν ὁ ὑπάλληλος διεχειρίζετο τὸν σῖτον τοῦ Δημοσίου.

3. Μετέβη τότε πρὸς τὸν ἄνθρωπον αὐτὸν ὁ Μοναχὸς τοῦ Μεγάλου Παχωμίου καὶ τὸν παρεκάλει νὰ τοῦ πωλήσῃ σῖτον ἀξίας ἑκατὸν νομισμάτων. Τότε ὁ ἄνθρωπος τῆς διοικήσεως τοῦ ἀπαντᾷ:

— Σὲ διαβεβαιῶ, ἀδελφέ μου, ὅτι ἐὰν εἶχον ἰδικόν μου σῖτον, θὰ τὸν ἐστεροῦσα ἀπὸ τὰ παιδιά μου, διὰ νὰ τὸν δώσω εἰς σᾶς· τόσον πολὺ σᾶς ἐκτιμῶ πληροφορούμενος τὴν θείαν καὶ ἐνάρετον ζωήν σας. Ἄκουσε ὅμως αὐτό, ποὺ θὰ σοῦ εἰπῶ: Εἰς τὰς ἀποθήκας ἔχω σιτάρι τοῦ Δημοσίου· πρὸς τὸ παρὸν δὲν τὸ ζητεῖ ὁ ἄρχων. Ἐὰν λοιπὸν θέλῃς, ἠμπορεῖς νὰ παραλάβῃς ὁσονδήποτε σῖτον χρειάζεσαι, ὑπὸ τὸν ὅρον, ὅτι κατὰ τὴν ἐποχὴν τῆς νέας συγκομιδῆς ἀπὸ τὰ ἁλώνια θὰ τὸν ἐπιστρέψῃς, διὰ νὰ τὸν βάλω εἰς τὴν θέσιν του. Ἐγὼ ἕως τότε ἠμπορῶ νὰ τακτοποιήσω τὸ Δημόσιον καὶ νὰ μὴ ἀναζητηθῇ.

4. Εἰς τὴν πρότασιν αὐτὴν ὁ Μοναχὸς ἀπήντησε:

— Δὲν θέλω νὰ κάμῃς αὐτὸ τὸ πρᾶγμα, διότι δὲν θὰ ἔχω τὴν δύναμιν νὰ ἐπιστρέψω τὴν ποσότητα, ποὺ πρόκειται νὰ πάρω. Ἀλλά, ἐὰν ἔχῃς τὴν δυνατότητα, νὰ μοῦ δώσῃς εἰς οἱανδήποτε τιμὴν νομίζεις σιτάρι, ποὺ ἀναλογεῖ εἰς τὴν ἀξίαν τῶν ἑκατὸν νομισμάτων, ποὺ διαθέτω καὶ ἂν θέλῃς κράτησε τὰ χρήματα μέχρι τῆς νέας συγκομιδῆς καὶ τότε νὰ ἀντικαταστήσῃς τὸν σῖτον, χωρὶς ὅμως αὐτὸ νὰ γίνῃ ἀφορμὴ νὰ ἐκτεθῇς εἰς τὴν ὑπηρεσίαν σου.

—Ἔχω τὴν δύναμιν,— ἀποκρίνεται ὁ ἀποθηκάριος τοῦ Δημοσίου—χωρὶς νὰ ἐκτεθῶ, νὰ σοῦ δώσω σιτάρι ἀξίας ὄχι μόνον ἑκατὸν νομισμάτων, ἀλλὰ καὶ περισσότερον, διπλασίας τοὐλάχιστον ποσότητος. Καὶ σεῖς διὰ τὴν εὐκολίαν αὐτὴν νὰ εὔχεσθε δι' ἐμέ.

—Ἐγὼ ὅμως—ἀπήντησεν ὁ Μοναχὸς—ἔχω χρήματα μόνον δι' ὡρισμένην ποσότητα· δὲν ἔχω περισσότερα τῶν ἑκατὸν νομισμάτων.

Καὶ πάλιν ὁ ἄνθρωπος τῆς Διοικήσεως λέγει:

— Μὴ φροντίζεις δι' αὐτό· πάρε σὺ τώρα τὸ σιτάρι καὶ ὅταν οἰκονομήσῃς καὶ τὰ ὑπόλοιπα χρήματα, τὰ στέλλεις.

5. Μὲ τὴν συμφωνίαν αὐτὴν ὁ Μοναχὸς ἐγέμισε τὸ πλοῖον [1] μὲ σῖ-

---

1) Ποταμόπλοια δι' ὧν ἐγένοντο αἱ μεταφοραὶ εἰς τὸν ποταμὸν Νεῖλον.

τον ἀντὶ δεκατριῶν ἀρταβῶν [1], ἀνὰ ἕκαστον χρυσοῦν νόμισμα, ἐνῷ εἰς ὁλόκληρον τὴν Αἴγυπτον δὲν ἠδύνατο κανεὶς νὰ ἀνεύρῃ σῖτον, μὲ τιμὴν μικροτέραν, ἀπὸ πέντε μόνον ἀρτάβας ἀνὰ ἕκαστον χρυσοῦν νόμισμα. Δι' αὐτὸ μὲ μεγάλην χαρὰν ὁ Μοναχὸς κατέπλευσεν εἰς τὴν Μονήν.

6. Μόλις ὁ Μέγας Παχώμιος ἐπληροφορήθη τὴν ἄφιξιν τοῦ σιτοφόρου πλοίου καὶ τὸν τρόπον, μὲ τὸν ὁποῖον ἔγινεν ἡ ἀγορὰ τοῦ σίτου, στέλλει ἀμέσως ἕνα ἄλλον Μοναχὸν εἰς τὸ πλοῖον καὶ παραγγέλλει τὰ ἑξῆς:

— Οὔτε ἕνα σπειρὶ σίτου ἀπὸ τὸ πλοῖον νὰ μὴ εἰσαχθῇ εἰς τὸ Μοναστήρι· καὶ αὐτός, ποὺ τὸ ἠγόρασε, νὰ μὴ ἐμφανισθῇ ἔμπροσθέν μου, ἕως ὅτου τακτοποιήσῃ τὸν σῖτον καθὼς πρέπει. Μὲ αὐτό, ποὺ ἔκαμε, διέπραξε μεγάλην παρανομίαν· ὄχι μόνον διότι μὲ τοιοῦτον τρόπον καὶ ἀντὶ τόσον μικρᾶς τιμῆς ἠγόρασε τὸν σῖτον, ἀλλὰ καὶ διότι ἠγόρασε σῖτον ἐπὶ πλέον, ἀξίας ἄλλων ἑκατὸν νομισμάτων, χωρὶς ἐγὼ νὰ τοῦ δώσω ἐντολὴν νὰ κάμῃ τοιοῦτον πρᾶγμα. Ἐτυφλώθη ἀπὸ τὸ πάθος τῆς φιλοκερδίας καὶ μᾶς ᾐχμαλώτισε μὲ τὸ χρέος ποὺ ἀνέλαβεν ἀπέναντι τοῦ σιτοδότου. Ἐπλησίασε τὸν καλὸν ἐκεῖνον σιτοδότην μὲ πλεονεξίαν, χωρὶς νὰ ἔχῃ συναίσθησιν τοῦ μέτρου τῆς ἱκανοποιήσεως τῶν στοιχειωδῶν μόνον ἀναγκῶν μας. Καὶ δὲν εἶναι μόνον αὐτό· ἀλλὰ ὑπὸ τῆς πλεονεξίας νικώμενος, ἐφόρτωσε τὸ πλοῖον μὲ περισσότερον φορτίον, χωρὶς νὰ σκεφθῇ, ὅτι ἐὰν ἐναυάγει τὸ πλοῖον, τότε ὅλοι θὰ ἐγινόμεθα δοῦλοι, διὰ τὴν ἐπιστροφὴν τοῦ χρέους.

7. Δι' αὐτὸ ἐπιβάλλεται, ὁ ἀδελφός, ποὺ ἐνήργησε τοιουτοτρόπως, νὰ πωλήσῃ τὸν σῖτον, ποὺ ἔφερεν, εἰς τοὺς κοσμικούς, ποὺ διαμένουν εἰς τὴν περιοχὴν αὐτήν, εἰς τὴν τιμήν, ποὺ τὸν ἠγόρασεν ἀπὸ τὸν πιστωτήν, ἤτοι δέκα τρεῖς ἀρτάβας ἀνὰ ἕκαστον χρυσοῦν νόμισμα καὶ τὰ χρήματα, ποὺ θὰ συγκεντρώσῃ, νὰ τὰ παραδώσῃ ὁ ἴδιος εἰς τὸν ἄνθρωπον, ποὺ τοῦ ἔδωσε μὲ πίστωσιν τὸ σιτάρι. Θὰ ἀγοράσῃ δὲ ἐν συνεχείᾳ τόσον μόνον σῖτον, ὅσον καλύπτουν τὰ ἑκατὸν νομίσματά μας καὶ εἰς τὴν τιμὴν ποὺ τὸ ἀγοράζουν ὅλοι οἱ ἄλλοι ἄνθρωποι καὶ τότε μόνον θὰ ἐμφανισθῇ ἐνώπιόν μου.

Πράγματι ὁ ἀδελφὸς ἐπραγματοποίησε τὴν ἐντολὴν τοῦ Μεγάλου Παχωμίου ἀγοράσας σῖτον μὲ πέντε καὶ ἥμισυ ἀρτάβας ἀνὰ ἕκαστον χρυσοῦν νόμισμα καὶ τόσην μόνον ποσότητα, ὅσην ἐκάλυπτον τὰ ἑκατὸν νομίσματα. Μετὰ ἀπὸ τὸ περιστατικὸν αὐτὸ ὁ Μέγας Παχώμιος ἀπηγόρευσε πλέον εἰς τὸν ἀδελφὸν αὐτὸν νὰ ἐξέλθῃ τῆς Μονῆς διὰ τὴν φροντίδα τοῦ Κοινοβίου καὶ ἀνέθεσε τὸ διακόνημα αὐτὸ εἰς ἄλλον.

8. Ὁ ἴδιος ἀδελφὸς τοῦ Κοινοβίου προέβη εἰς ἄλλην, παρομοίαν πρᾶξιν, ἡ ὁποία ἀπεδείκνυε τὸ κοσμικὸν φρόνημα τῆς φιλοκερδίας.

Μίαν φορὰν ὁ ὑποδηματοποιὸς τοῦ Μοναστηρίου τοῦ παρέδωσε

---

1) Ἀρτάβη = περσικὴ μονὰς μετρήσεως, ἀντιστοιχοῦσα πρὸς 20 περίπου σημερινὰ κιλά.

μερικὰ σανδάλια καὶ διάφορα ἄλλα εἴδη, διὰ νὰ τὰ πωλήσῃ. Οὗτος λοιπὸν ἐπώλησεν ἅπαντα τὰ εἴδη αὐτὰ εἰς τιμήν, μεγαλυτέραν ἀπὸ ἐκείνην, ποὺ τοῦ καθώρισεν ὁ ὑποδηματοποιὸς καὶ τοῦ ἔφερε τὰ χρήματα. Ὁ ὑποδηματοποιὸς ὑπελόγισε τὴν ἀξίαν τοῦ δέρματος, καὶ 50 λεπτὰ διὰ τὰ ἡμερομίσθια τῆς κατασκευῆς τῶν σανδαλίων, καὶ εὗρεν, ὅτι τὰ χρήματα, ποὺ τοῦ ἔφερεν ὁ ἀδελφός, ἦσαν τριπλασίας ἀξίας. Ἀμέσως μεταβαίνει εἰς τὸν Μέγαν Παχώμιον καὶ τοῦ λέγει :

— Πραγματικῶς, Πάτερ μου, καλὰ ἔκαμες καὶ ὥρισες τὸν ἀδελφὸν αὐτὸν εἰς αὐτὴν τὴν ὑπηρεσίαν τῆς Μονῆς· ἔχει ἀκόμη μέσα του τὸ κοσμικὸν φρόνημα.

— Τί ἔκαμε καὶ δὲν εἶναι καλόν;—ἠρώτησεν ὁ Μέγας Παχώμιος.

— Τοῦ ἔδωσα — ἀπεκρίθη ὁ ὑποδηματοποιὸς—σανδάλια καὶ διάφορα ἄλλα εἴδη, προσδιορίσας καὶ τὴν τιμὴν ἑκάστου, διὰ νὰ τὰ πωλήσῃ. Ἐκεῖνος τὰ ἐπώλησε περισσότερον τοῦ δέοντος, εἰς τριπλασίαν τιμήν, καὶ οὕτω μοῦ ἔφερε περισσότερα ἀπὸ ὅσα τοῦ εἶπον.

9. Ἀφοῦ ἤκουσε ταῦτα ὁ Ἅγιος ἐκάλεσε τὸν περὶ ὁ οὗ λόγος Μοναχὸν καὶ τὸν ἠρώτησε διατί ἔπραξε τοῦτο, ἐκεῖνος δὲ εἶπε τὰ ἑξῆς:

—Ὅταν προσήρχοντο, Πάτερ μου, διὰ νὰ ἀγοράσουν ἀπὸ τὰ εἴδη αὐτά, τοὺς ἔλεγον τὴν τιμήν, ποὺ μοῦ προσδιώρισεν ὁ ἀδελφός. Ἐκεῖνοι ὅμως μοῦ ἀπαντοῦσαν, ὅτι ἐὰν δὲν προέρχωνται ἀπὸ κλοπήν, πρέπει περισσότερον νὰ πωληθοῦν. Εἰς τὸ ἄκουσμα αὐτὸ ἐγὼ ᾐσθανόμην ἐντροπὴν καὶ ἐπεδίωκα νὰ τοὺς ἀλλάξω γνώμην, λέγων, ὅτι τὰ εἴδη δὲν προέρχονται ἀπὸ κλοπήν, πλὴν ὅμως εἰς αὐτὴν τὴν τιμὴν μὲ διέταξαν νὰ τὰ πωλήσω· σεῖς πάντως δώσατέ μου ὅσα θέλετε. Ἐκεῖνοι τότε μοῦ προσέφερον ὡς τιμήν, ὅσα χρήματα ἐθεώρουν ἀρκετὰ καὶ ἐγὼ τὰ ἐλάμβανα, χωρὶς νὰ τὰ μετρῶ.

10. Ἀφοῦ ἤκουσε τὴν ἀπολογίαν αὐτὴν ὁ Μέγας Παχώμιος, δὲν τὴν ἔκρινεν ἐπαρκῆ καὶ εἶπε τὰ ἑξῆς:

— Πάρα πολὺ ἡμάρτησες, διότι ἠγάπησες τὴν φιλοκερδίαν· πλὴν ὅμως νὰ τρέξῃς γρήγορα, νὰ συναντήσῃς αὐτούς, ποὺ σοῦ ἔδωσαν τὰ περισσότερα χρήματα, διὰ νὰ τοὺς τὰ ἐπιστρέψῃς. Μετὰ ταῦτα νὰ ἐπιστρέψῃς καὶ νὰ μετανοήσῃς διὰ τὸ σφάλμα αὐτό. Ποτὲ πλέον δὲν θὰ ἐξέλθῃς τοῦ Κοινοβίου· θὰ κάθεσαι μέσα καὶ θὰ κάμνῃς τὸ ἐργόχειρόν σου, διότι δὲν εἶναι συμφέρον τῆς ψυχῆς σου νὰ ἐκτελῇς αὐτὸ τὸ διακόνημα.

Β'. Εν τῷ Γεροντικῷ

ΠΟΤΕ ὁ Ἀββᾶς Ποιμὴν καὶ οἱ μετ' αὐτοῦ ἀδελφοὶ εἰργάζοντο σκολάχιον· καὶ οὐ προεχώρει, οὐ γὰρ εἶχον ἀγοράσαι λινάρια· καί τις ἐξ αὐτῶν εἰς χρείαν τινὰ ἀποσταλείς, διηγήσατο τινὶ πραγματευτῇ τὸ πρᾶγμα· ὁ δὲ Ἀββᾶς Ποιμὴν οὐκ ἐλάμβανε παρά τινος τίποτε διὰ τὴν ὄχλησιν.

2. Ὁ δὲ πραγματευτὴς θέλων ποιῆσαι ἔργον τῷ Γέροντι, προεφασίσατο χρείαν ἔχειν τῶν σκολαχίων· καὶ ἤνεγκε τὴν κάμηλον καὶ ἔλαβεν αὐτὰ δοὺς τὴν τιμήν· ὁ δὲ ἀδελφὸς ὑποστρέψας καὶ ἀκούσας ὃ ἐποίησεν ὁ πραγματευτής, εἶπε πρὸς τὸν

Ἀββᾶν Ποιμένα, θέλων ἐπαινέσαι τὸν πραγματευτήν, φύσει αὐτὰ καὶ μὴ χρήζων ἔλαβεν, ἵνα ποιήσῃ ἡμῖν ἔργον.

3. Ἀκούσας δὲ ταῦτα ὁ Ἀββᾶς Ποιμὴν ὅτι μὴ χρήζων αὐτὰ ἔλαβεν, εἶπε τῷ ἀδελφῷ· ἀνάστα, μίσθωσον κάμηλον καὶ φέρε αὐτά· εἰ δὲ μή, ὧδε τοῦ λοιποῦ μεθ' ὑμῶν ὁ Ποιμὴν οὐ καθέζεται· οὐδὲ γὰρ ἀδικῆσαι βούλομαί τινα ἄνθρωπον, ἵνα μὴ χρήζων ζημίαν ἑαυτῷ ποιήσῃ καὶ λάβῃ τὸ κέρδος μου· καὶ ἀπῆλθεν ὁ ἀδελφός, καὶ μετὰ πολλοῦ κόπου ἤνεγκεν αὐτά, ἀποδοὺς τῷ πραγματευτῇ, ὃ κατεβάλλετο. Ἐνεχθέντα δὲ ὡς εἶδεν αὐτὰ ἐχάρη ὡς μέγαν θησαυρὸν εὑρών.

4. Ἠρώτησέ τις ἀδελφὸς τὸν Ἀββᾶν Πιστάμωνα λέγων· τί ποιήσω, ὅτι θλίβομαι εἰς τὸ πωλῆσαι τὸ ἐργόχειρόν μου; καὶ ἀπεκρίθη ὁ Γέρων· ὅτι καὶ ὁ Ἀββᾶς Σισώης, καὶ οἱ λοιποί, ἐπώλουν τὸ ἐργόχειρον αὐτῶν· τοῦτο οὐκ ἔστι βλάβη· ἀλλ' ὅταν πωλῇς, εἰπὲ ἅπαξ τὴν τιμὴν τοῦ σκεύους· εἰ δὲ θέλεις μικρὸν ὑφεῖναι τῆς τιμῆς ἐν σοί ἐστιν· οὕτω γὰρ εὑρήσεις ἀνάπαυσιν.

5. Ἔφη ὁ ἀδελφός· ἐὰν ἔχω τὴν χρείαν μου ὅθεν δήποθεν, θέλεις ἵνα μὴ φροντίσω ἐργοχείρου; καὶ εἶπεν αὐτῷ ὁ Γέρων· κἂν καὶ ὑπὲρ τὴν χρείαν σου ἔχῃς, μὴ καταλείψῃς τὸ ἐργόχειρόν σου, ἀλλ' ἐργάζου ὅσον δύνασαι, μόνον μὴ μετὰ ταραχῆς.

6. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ἀγάθωνος, καὶ τοῦ μαθητοῦ αὐτοῦ, ὅτι ὅτε ἐπίπρασκον σκεῦος, ἅπαξ ἔλεγον τὴν τιμήν· καὶ τὸ διδόμενον αὐτοῖς ἐλάμβανον σιωπῶντες μετὰ ἀναπαύσεως· καὶ ὅτε δὲ ἦλθον ἀγοράσαι τι, τὸ λεγόμενον αὐτοῖς παρεῖχον μετὰ σιωπῆς, καὶ ἐλάμβανον τὸ εἶδος οὗ ἔχρῃζον, καθόλου μὴ φθεγγόμενοι.

Τοῦ Πατρός

7. Τοῦτο τοῖς καθ' ἡμᾶς θαυμάσαι μᾶλλον ἐστίν, ἢ μιμήσασθαι· μεγάλη γὰρ τοῦ Γέροντος ἡ εἰς Θεὸν ἐλπίς, καὶ ἡ ἀπροσπάθεια, ἃς ὁ ὁμοίως κτησάμενος καὶ τὸ τούτου ἔργον ποιῆσαι δυνήσεται.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ποιμὴν καὶ οἱ μετ' αὐτοῦ ἀδελφοὶ κατεσκεύαζον σκολάκιον [1]· ἡ ἐργασία ὅμως αὐτὴ δὲν ἐπροχωροῦσεν, ἐπειδὴ εἶχον φθάσει εἰς τοιαύτην οἰκονομικὴν ἀνεπάρκειαν, ὥστε δὲν εἶχον νὰ ἀγοράσουν λινάρια, διὰ τὸ ἐργόχειρόν των. Ἕνας δὲ ἐκ τῆς συνοδείας τοῦ Ἀββᾶ Ποιμένος, τὸν ὁποῖον ἔστειλαν διὰ μίαν ὑπόθεσιν ἔξω ἀπὸ τὴν σκήτην, συνήντησε κάποιον ἔμπορον καὶ τοῦ ἀνέφερε τὴν ὑπόθεσιν αὐτήν. Ὁ Ἀββᾶς Ποιμὴν οὐδέποτε ἐλάμβανεν πρᾶγμα ἀπὸ ἄλλον, διὰ νὰ μὴ ἐνοχλῇ οὐδένα καὶ οὕτω ποτὲ κανεὶς δὲν ἠμποροῦσε νὰ γνωρίζῃ ἐὰν ὑποφέρῃ.

2. Ὁ ἔμπορος λοιπὸν αὐτός, ἀφοῦ ἐπληροφορήθη τὴν στενοχωρίαν τοῦ Ἀββᾶ Ποιμένος, καὶ ἐπιθυμῶν νὰ ἐξυπηρετήσῃ τὸν Γέροντα, προσεποιήθη, ὅτι δῆθεν ἔχει ἀνάγκην ἀπὸ αὐτὰ τὰ σκολάκια· πρὸς τοῦτο ἔφερεν εἰς τὴν σκήτην τὴν καμήλαν του, ἐπλήρωσεν αὐτὰ εἰς καλὴν τιμὴν καὶ τὰ παρέλαβε. Μόλις ἐπέστρεψεν ὁ ἀδελφὸς καὶ ἐπληροφορήθη αὐτὸ ποὺ ἔκαμεν ὁ ἔμπορος, ἔσπευσε νὰ ἐπαινέσῃ τὸν ἔμπορον διὰ τὴν ἐξυπηρέτησιν αὐτήν, καὶ εἶπεν εἰς τὸν Ἀββᾶν Ποιμένα.

— Πάτερ, ὁ ἄνθρωπος αὐτὸς δὲν εἶχεν ἀνάγκην ἀπὸ τὰ πρά-

1) Νῆμα κηρωμένον, διὰ τὴν κατασκευὴν κηρίων.

γματα αὐτά· τὰ παρέλαβε μόνον καὶ μόνον, διὰ νὰ μᾶς ἐξυπηρετήσῃ.

3. Ὅταν ὁ Ἀββᾶς Ποιμὴν ἐπληροφορήθη, ὅτι ὁ ἔμπορος ἐκεῖνος παρέλαβε τὰ πράγματα αὐτά, χωρὶς νὰ τὰ χρειάζεται, ἀμέσως εἶπε μὲ αὐστηρότητα:

— Σήκω, πήγαινε νὰ ἐνοικιάσῃς μίαν καμήλαν, καὶ νὰ φέρῃς πάλιν ἐδῶ τὰ πράγματα, ποὺ ἐπῆρεν ὁ ἔμπορος· ἐὰν δὲν γίνῃ αὐτό, ὁ Ποιμὴν δὲν πρόκειται νὰ καθήσῃ πλέον μαζί σας. Δὲν θέλω νὰ ἀδικήσω κανένα ἄνθρωπον· διατί χωρὶς ἀνάγκην νὰ ζημιωθῇ καὶ νὰ μοῦ ἀφαιρέσῃ οὕτω τὸ πνευματικὸν κέρδος, ποὺ προέρχεται ἀπὸ τὴν ἐγκαρτέρησιν τῶν δυσκολιῶν;

Πράγματι ὁ ἀδελφὸς ἀνεχώρησεν, εὗρε τὸν ἔμπορον καὶ μετὰ πολλοῦ κόπου ἠδυνήθη νὰ τὸν πείσῃ νὰ λάβῃ ὀπίσω τὰ χρήματά του καὶ νὰ τοῦ ἐπιστρέψῃ τὰ πράγματα, ποὺ παρέλαβε. Μόλις ὁ ἀδελφὸς τὰ ἔφερεν ὀπίσω εἰς τὴν σκήτην, ὁ Ἀββᾶς Ποιμὴν ἐχάρη πάρα πολύ, ὡς νὰ ἀνεκάλυψεν ἀπροσδοκήτως μεγάλον θησαυρόν.

4. Ἕνας ἀδελφὸς ἠρώτησε κάποτε τὸν Ἀββᾶν Πιστάμωνα:

— Τί πρέπει νὰ κάμω, Πάτερ μου, διότι στενοχωροῦμαι, ὅταν πρόκειται νὰ πωλήσω τὸ ἐργόχειρόν μου;

Ἀπεκρίθη ὁ Γέρων:

— Καὶ ὁ Ἀββᾶς Σισώης καὶ ὅλοι οἱ Πατέρες, ἐπώλουν τὸ ἐργόχειρόν των· αὐτὸ δὲν φέρει βλάβην. Ὅταν ὅμως τὸ πωλῇς, νὰ εἰπῇς μόνον μίαν φορὰν τὴν τιμήν, χωρὶς νὰ ἀρχίσῃς διαπραγματεύσεις (=παζάρια)· ἂν μάλιστα ἠμπορῇς, μετρίασε ὀλίγον τὴν τιμήν. Αὐτὴ ἡ ἠρεμία καὶ ἡ συγκατάβασις θὰ σοῦ φέρουν ἀνάπαυσιν καὶ γαλήνην εἰς τὴν ψυχήν.

5. Λέγει πάλιν ὁ ἀδελφός:

— Ἐὰν ἠμπορῶ νὰ ἐξοικονομήσω τὰς ἀνάγκας μου ἀπὸ ὁπουδήποτε ἀλλοῦ, ἔχεις τὴν γνώμην, ὅτι θὰ εἶναι καλὸν νὰ μὴ φροντίζω διὰ τὸ ἐργόχειρόν μου;

— Καὶ ἐὰν ἀκόμη—εἶπεν ὁ Γέρων·—ἔχῃς εἰς τὴν διάθεσίν σου περισσότερα ἀπὸ ὅσα ἀπαιτοῦν αἱ ἀνάγκαι σου, ποτὲ νὰ μὴ ἐγκαταλείψῃς τὸ ἐργόχειρόν σου, ἀλλὰ νὰ ἐργάζεσαι ὅσον ἠμπορεῖς, χωρὶς ὅμως νὰ καταστρέφῃς τὴν ψυχικήν σου γαλήνην μὲ τὸ ἐργόχειρον.

6. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Ἀγάθωνα καὶ τὸν μαθητήν του, ὅτι οὐδέποτε ἠσχολοῦντο μὲ διαπραγματεύσεις· οὕτω, ὅταν ἐπώλουν ἓν ἀντικείμενον, μίαν μόνον φορὰν ἔλεγον εἰς τὸν ἀγοραστὴν τὴν τιμήν· μετὰ ταῦτα ἐλάμβανον αὐτά, ποὺ τοὺς ἔδιδον μετὰ σιωπῆς καὶ ἦσαν πολὺ εὐχαριστημένοι. Ὅταν πάλιν ἐπρόκειτο νὰ ἀγοράσουν ἕνα πρᾶγμα, ἔδιδον προθύμως καὶ μετὰ σιωπῆς αὐτά, ποὺ τοὺς ἐζήτουν, καὶ παρελάμβανον αὐτό, ποὺ ἤθελον, χωρὶς νὰ ὁμιλοῦν.

Τοῦ Πατρός

7. Αὐτὸ ἡμεῖς πρέπει περισσότερον νὰ θαυμάσωμεν καὶ νὰ μιμη-

θῶμεν ἀπὸ τὸν Ὅσιον· εἶχε, δηλαδή, μεγάλην ἐλπίδα πρὸς τὸν Θεὸν καὶ δὲν ᾐσθάνετο καθόλου τὴν ἀγωνίαν τῆς βιοτικῆς μερίμνης. Αὐτὴν τὴν ἐλπίδα καὶ τὴν ἀμεριμνησίαν ὅποιος δυνηθῇ νὰ ἀποκτήσῃ εἰς τὸν αὐτὸν βαθμὸν μὲ ἐκεῖνον, ἀσφαλῶς τότε θὰ ἠμπορέσῃ νὰ πραγματοποιήσῃ καὶ τὰ ἔργα, ποὺ ἔκαμεν ἐκεῖνος.

Γ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ΑΠΕΛΘΗΣ εἰς πόλιν πωλῆσαι τὸ ἐργόχειρόν σου, μὴ φιλονεικήσῃς εἰς τὴν τιμὴν αὐτοῦ, ὡς οἱ κοσμικοί, ἀλλὰ δὸς αὐτὸ ὅπως δήποτε, ἵνα μὴ ἀπολέσῃς τὴν δύναμιν τοῦ κελλίου σου.

2. Ἐὰν δὲ ἀγοράζῃς τι οὗ χρείαν ἔχεις, μὴ φιλονεικήσῃς ὅτι εἰ μὴ τόδε, οὐ παρέχω εἰς αὐτό, ἀλλὰ εἰ θέλεις αὐτό, βίασαι σεαυτὸν ὀλίγον, εἰ δὲ οὐκ ἔχεις τὴν τιμὴν αὐτοῦ, ἔασον αὐτὸ ἐν σιωπῇ.

3. Ἐὰν δὲ ταράξωσί σε οἱ λογισμοὶ ὅτι ποῦ εὑρίσκεις, εἰπὲ αὐτοῖς, ὅτι εἰμὶ κἀγὼ ὡς πάντες οἱ Ἅγιοι οἱ πειρασθέντες ὑπὸ Θεοῦ ἐν τῇ πτωχείᾳ, ἕως οὗ οἶδε τὴν προαίρεσιν αὐτῶν πιστὴν οὖσαν, καὶ ἤνεγκεν αὐτοὺς εἰς πλατυσμόν.

Ἑρμηνεία

ΟΤΑΝ ΜΕΤΑΒΗΣ εἰς τὴν πόλιν, διὰ νὰ πωλήσῃς τὸ ἐργόχειρόν σου, μὴ ἀρχίσῃς τὰ παζάρια διὰ τὴν τιμήν, ὅπως κάμνουν οἱ κοσμικοί· ἀλλὰ νὰ τὸ δώσῃς ὅπως-ὅπως, διὰ νὰ μὴ χάσῃς τὴν δύναμιν τῆς ψυχῆς, ποὺ σοῦ ἐξησφάλισεν ἡ ὑπομονὴ καὶ ἡ σιωπηλὴ ἐργασία τοῦ κελλίου.

2. Ὅταν πάλιν πρόκειται νὰ ἀγοράσῃς κάτι, ποὺ τὸ χρειάζεσαι, καὶ πάλιν νὰ μὴ κάμνῃς παζάρια μὲ τὸν πωλητήν· ἂν τὸ χρειάζεσαι πράγματι καὶ διαθέτῃς τὰ χρήματα, πίεσε ὀλίγον τὸν ἑαυτόν σου καὶ πάρε το· ἐὰν πάλιν δὲν ἔχῃς τὰ χρήματα, ποὺ ἀπαιτοῦνται, τότε ἄφησέ το καὶ φύγε, χωρὶς νὰ ὁμιλήσῃς.

3. Ἐὰν πάλιν σὲ ἐνοχλήσουν οἱ λογισμοί, μὲ τὴν σκέψιν· ποῦ θὰ εὕρῃς σὺ τόσα χρήματα, ποὺ ζητεῖ ὁ ἔμπορος, ἀπάντησε εἰς αὐτούς: εἶμαι καὶ ἐγώ, ὅπως οἱ Ἅγιοι, ποὺ ἐδοκιμάσθησαν ἀπὸ τὸν Θεὸν μὲ πτωχείαν, μέχρις ὅτου ὁ Θεός, ἐπιβραβεύων τὴν ἀγαθήν των προαίρεσιν, τοὺς ἔφερεν ἄνεσιν καὶ εὐκολίαν.

Δ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΗ ΕΙΣΕΛΘΗΣ εἰς κελλίον ἀδελφοῦ σου πρὶν κρούσῃς τὴν θύραν, ἵνα μὴ ταραχὴν αὐτῷ ἐπενέγκῃς.

2. Μὴ συνδήσῃς σεαυτὸν ὅρκῳ μετὰ ἀδελφοῦ, ἀλλ' ἔχε ὁμόνοιαν ἐν φόβῳ Θεοῦ.

3. Μέγα ἥττημα Μοναχῷ συγκοινωνεῖν φατρίᾳ, καὶ ὁ μισθὸς αὐτοῦ λύπη καὶ μετάμελος.

Ἑρμηνεία

ΝΑ ΜΗ ΕΙΣΕΛΘΗΣ εἰς τὸ κελλίον τοῦ ἀδελφοῦ σου, πρὶν προηγουμένως κτυπήσῃς τὴν θύραν, διὰ νὰ σοῦ ἐπιτρέψῃ τὴν εἴσοδον, διὰ νὰ μὴ τὸν κάμῃς νὰ ταραχθῇ ἀπὸ τὴν ἀπροσδόκητον ἐμφάνισίν σου.

2. Νὰ μὴ συνδεθῇς μεθ' ὅρκου διαρκοῦς φιλίας μὲ ἄλλον ἀδελφόν· μόνον νὰ διατηρῇς τὸν σύνδεσμον τῆς ὁμονοίας, ποὺ προέρχεται ἀπὸ τὸν φόβον τοῦ Θεοῦ.

3. Διὰ τὸν Μοναχὸν εἶναι ἀνυπολόγιστος ζημία ἡ συμμετοχή του εἰς φατρίας· αὐτὸ δὲ μίαν ἡμέραν θὰ τοῦ προκαλέσῃ λύπην καὶ μεταμέλειαν.

Ε. Τοῦ Ἁγίου Βαρσανουφίου

Ἀ ΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· ἆρα καλόν ἐστι τὸ ἔχειν φιλίαν μετὰ συνηλικιώτου; καὶ ἀπεκρίθη ὁ Γέρων· τὸ μηδὲ πάνυ ἔχειν φιλίαν πρός τινα συνηλικιώτην, καλόν ἐστιν· ἡ γὰρ τοιαύτη διάθεσις οὐκ ἀφίησιν ἐλθεῖν τὸ πένθος, ἀλλὰ μηδὲ πρὸς ἄλλον τινὰ ἀφαιροῦντα σου τὸ πένθος ἔχε φιλίαν, οὐ γὰρ ὠφελεῖ σε τοῦτο, ἀλλὰ βλάπτει τὰ μέγιστα· οὐδεὶς γὰρ δύναταί τι κτήσασθαι ἀγαθόν, εἰμὴ ἐν πολλῷ πένθει καὶ κόπῳ· παίδευσον οὖν τοὺς ὀφθαλμούς σου μὴ προσέχειν τινί, καὶ οὐ πληρώσουσί σου τὴν καρδίαν τῆς δεινῆς παῤῥησίας, τῆς εἰς ἀπώλειαν φερούσης ὅλους τοὺς καρποὺς τοῦ Μοναχοῦ.

2. Ἔφη ὁ ἀδελφός· εἰπέ μοι, Πάτερ, ἕως ποῦ ὀφείλει εἶναι τὸ μέτρον τῆς ἀγάπης τοῦ ἀδελφοῦ πρὸς τὸν ἀδελφὸν αὐτοῦ; ἀπεκρίθη ὁ Γέρων· ἄλλη ἐστὶν ἡ ἀγάπη τῶν Πατέρων πρὸς τὰ ἴδια τέκνα, καὶ ἄλλη τῶν ἀδελφῶν πρὸς τοὺς ἀδελφοὺς αὐτῶν. Ἡ τῶν πνευματικῶν Πατέρων ἀγάπη πρὸς τὰ τέκνα αὐτῶν οὐκ ἔχει σαρκικόν τι, οὐδὲ βλαβερόν· ἠσφαλισμένοι γάρ εἰσι τῷ πνευματικῷ φρονήματι, καὶ εἴτε ἐν λόγοις εἴτε ἐν ἔργοις σπουδάζουσι πάντοτε ὠφελῆσαι τοὺς νεωτέρους κατὰ πάντα· καὶ οὕτως ἀγαπῶντες, οὐ σιωπῇ κρύπτουσι τὰ ἐλαττώματα αὐτῶν, ἀλλὰ πνευματικῶς ἐλέγχουσιν αὐτοὺς καὶ παιδεύουσι. Πρὸς γὰρ τούτους εἴρηται· «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον», ὡς πολλάκις ποιεῖ σοι ὁ Ἀββᾶς σου καὶ οὐ συνιεῖς.

3. Ἐπειδὴ οὖν διὰ τὴν ἀγάπην οὐ σιωπᾷ σου τὰ σφάλματα, φανερόν ἐστιν ὅτι πνευματική ἐστιν ἡ ἀγάπη αὐτοῦ ἡ πρὸς σέ. Ἕκαστος δὲ κατὰ τὸ μέτρον αὐτοῦ ἀγαπᾷ τὸν πλησίον αὐτοῦ· τὸ μέτρον οὖν τῆς τελείας ἀγάπης ἐστὶ τό, μετὰ τὴν ἀγάπην ἣν ἔχει τις πρὸς τὸν Θεόν, ἀγαπᾶν καὶ τὸν πλησίον αὐτοῦ ὡς ἑαυτόν.

4. Ἡ δὲ νεότης ὀφείλει φυλάττειν ἑαυτὴν ἐν πᾶσι, διὰ τάχους γὰρ ὑποσκελίζει τοὺς νεωτέρους ὁ διάβολος· πρῶτον μὲν γὰρ ἐν τῇ συντυχίᾳ ἄρχονται λαλεῖν ἀλλήλοις δι' ὠφέλειαν ψυχῆς, εἶτα εἰς ἄλλα τρέπονται, εἰς ἐρεθισμόν, εἰς παῤῥησίαν, εἰς γέλωτα, εἰς καταλαλιάν, καὶ εἰς ἕτερα πολλὰ κακά, ὡς πληρωθῆναι ἐπ' αὐτοὺς τὸ Ἀποστολικὸν ἐκεῖνο τὸ φάσκον· «ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε»· ἐκ τούτου γὰρ ἔρχονται οἱ νεώτεροι εἰς πτῶσιν ἐκ τοῦ ἀγαπᾶν ἀλόγως καὶ συνδυάζειν ἀλλήλοις.

5. Τὸ οὖν μέτρον τῆς πρὸς ἀλλήλους αὐτῶν ἀγάπης τοιοῦτον ὀφείλει εἶναι· μὴ καταλαλεῖν ἀλλήλων, μὴ μισεῖν, μὴ ἐξουθενεῖν, μὴ ζητεῖν τὰ ἑαυτῶν, ἢ τὴν ἰδίαν ἀνάπαυσιν προτιθέναι τοῦ ἀδελφοῦ, μὴ ἀγαπᾶν διὰ κάλλος τοῦ σώματος, ἢ διὰ σωματικὴν εὐεργεσίαν, μὴ καθέζεσθαι μετ' ἀλλήλων χωρὶς μεγάλης ἀνάγκης, ἵνα μὴ ἐμπέσωσιν εἰς τὴν ὀλεθρίαν παῤῥησίαν, τὴν ἀπόλλουσαν, ὡς εἶπον, τοὺς καρποὺς τοῦ Μοναχοῦ, καὶ ἀφίουσαν αὐτὸν ὡς ξύλον ξηρόν.

6. Ἀλλ' ὡς φείδονται ἑαυτῶν καὶ φυλάττουσιν ἐκ τῆς παῤῥησίας καὶ τῆς ἀργολογίας, φείδονται καὶ τῶν ἀδελφῶν αὐτῶν, τρέμοντες καθεσθῆναι μετ' ἀλλήλων ἀκαίρως, ἵνα μὴ παγιδευθῶσιν εἰς ταύτας τὰς παγίδας, καὶ παγιδεύσωσι καὶ τοὺς ἀδελφοὺς αὐτῶν, καὶ τὸ Προφητικὸν «οὐαὶ» εἰς ἑαυτοὺς ἐπισπάσωνται· «Οὐαί, γάρ φησι, τῷ ποτίζοντι τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν»· λέγει δὲ καὶ ὁ Ἀπόστολος· «Φθείρουσιν ἤθη χρηστά, ὁμιλίαι κακαί»· ἕως τούτου ἐστὶ τὸ μέτρον τῆς τῶν ἀδελφῶν πρὸς ἀλλήλους ἀγάπης.

Ἑρμηνεία

ΕΝΑΣ ΑΔΕΛΦΟΣ ἠρώτησε γέροντα Ἀσκητήν:

— Γέροντα, εἶναι καλὸν πρᾶγμα νὰ ἔχω φιλίαν μὲ τοὺς συνομήλικάς μου;

Ἀπεκρίθη ὁ Γέρων:

— Τέκνον μου, καλὸν πρᾶγμα εἶναι νὰ μὴ ἔχῃς καθόλου φιλίαν μὲ τοὺς συνομήλικάς σου. Πρόσεξε δὲ νὰ ἰδῇς τὴν αἰτίαν· ἡ ψυχικὴ διάθεσις τοῦ Μοναχοῦ, ποὺ αἰσθάνεται τὴν φιλίαν, ἐμποδίζει ἀπὸ τὴν ψυχὴν τὸ πένθος. Δι' αὐτὸ ὄχι μόνον πρὸς τοὺς συνομήλικάς σου, ἀλλὰ καὶ πρὸς οἱονδήποτε, ποὺ θὰ σοῦ ἀφαιρέσῃ τὸ πένθος αὐτό, νὰ μὴ ἔχῃς φιλίαν. Ἔχε ὑπ' ὄψιν σου, ὅτι κανεὶς δὲν δύναται νὰ ἀποκτήσῃ ἕνα πολύτιμον ἀγαθόν, χωρὶς νὰ αἰσθανθῇ πένθος καὶ νὰ καταβάλῃ σκληρὰς προσπαθείας. Νὰ γυμνάσῃς τοὺς ὀφθαλμούς σου νὰ μὴ προσέχουν κανένα μὲ ἰδιαιτέραν διάθεσιν· τοιουτοτρόπως θὰ προφυλάξῃς τὴν καρδίαν σου ἀπὸ τὴν φοβερὰν καὶ ἐπικίνδυνον ἐλευθεροστομίαν καὶ τὸ θάρρος, ποὺ καταστρέφουν ὅλους τοὺς πνευματικοὺς καρποὺς τοῦ Μοναχοῦ.

2. Λέγει πάλιν ὁ ἀδελφός:

— Τότε σὲ παρακαλῶ, Πάτερ μου, νὰ μοῦ ἐξηγήσῃς ποῖον πρέπει νὰ εἶναι τὸ μέτρον τῆς ἀγάπης τοῦ ἀδελφοῦ πρὸς τὸν ἀδελφόν;

Ἀπεκρίθη ὁ Γέρων:

— Τέκνον μου, ἄλλη εἶναι ἡ ἀγάπη τῶν πατέρων πρὸς τὰ τέκνα των, καὶ ἄλλη τῶν ἀδελφῶν πρὸς τοὺς ἀδελφούς. Ἡ ἀγάπη τῶν πνευματικῶν Πατέρων πρὸς τὰ πνευματικά των τέκνα δὲν ἔχει τίποτε τὸ σαρκικόν, τίποτε ποὺ νὰ βλάπτῃ· διότι οἱ πνευματικοὶ Πατέρες περιφρουροῦνται καὶ διασφαλίζονται ἀπὸ πνευματικὰς σκέψεις καὶ ἀνώτερα φρονήματα, ὥστε νὰ προσπαθοῦν πάντοτε, εἴτε μὲ λόγους, εἴτε μὲ ἔργα νὰ ὠφελοῦν τοὺς νεωτέρους εἰς ὅλα. Τρέφοντες δὲ τοιαύτην πνευματικὴν ἀγάπην, ἀπηλλαγμένην πάσης ἐπικινδύνου μικρότητος, δὲν ἀποκρύπτουσι τὰ ἐλαττώματα τῶν νεωτέρων, ἀλλὰ ἐλέγχουσι πνευματικῶς αὐτοὺς καὶ τοὺς διορθώνουν μὲ τὴν κατὰ Χριστὸν παιδείαν. Διὰ τοὺς πνευματικοὺς τούτους Πατέρας ἔχει λεχθῇ τὸ γραφικόν· «Ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον» (Β' Τιμοθ. δ', 2). Ὅπως ἀκριβῶς κάμνει καὶ μὲ σὲ ὁ πνευματικός σου Πατὴρ καὶ δὲν τὸν ἀντιλαμβάνεσαι.

3. Ἐπειδὴ λοιπὸν διὰ τὴν πρὸς σὲ ἀγάπην του δὲν σιωπᾷ διὰ τὰ σφάλματά σου, ἀλλὰ πατρικῶς σὲ ἐλέγχει, εἶναι φανερόν, ὅτι ἡ ἀγάπη του εἶναι πράγματι πνευματική. Κάθε ἕνας ἀγαπᾷ τὸν πλησίον του μὲ τὸν ἰδικόν του τρόπον· τὸ μέτρον ὅμως τῆς πραγματικῆς πρὸς τὸν πλησίον ἀγάπης εἶναι νὰ ἀγαπᾷς, μετὰ τὸν Θεόν, τὸν πλησίον σου, ὅπως τὸν ἑαυτόν σου «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν» (Ματθ. κβ', 39).

4. Οἱ νέοι πρέπει νὰ φυλάγωνται ἀπὸ παντοῦ, διότι πολὺ γρήγορα ὁ διάβολος παγιδεύει τοὺς νεωτέρους. Καὶ πρῶτα - πρῶτα τοὺς παρασύρει μὲ τὰς συναναστροφάς· ἀρχίζουν νὰ συνομιλοῦν μεταξύ των χάριν ψυχικῆς ὠφελείας· δὲν ἀργοῦν ὅμως, τῇ ἐπενεργείᾳ τοῦ διαβόλου, νὰ ἐκτραποῦν εἰς ἄλλα ζητήματα, ὅπως π.χ. εἰς ἀμοιβαίαν πρόκλησιν, εἰς ἀδιαντροπίαν, εἰς πολλὰ γέλια, εἰς κατάκρισιν καὶ εἰς ἄλλα παρόμοια κακά. Τοιουτοτρόπως ἐφαρμόζεται εἰς τὰς περιπτώσεις αὐτὰς τὸ ρητὸν τοῦ Ἀποστόλου· «Ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;» (Γαλατ. γ΄, 3). Ἀπὸ τὴν ἀπερίσκεπτον ἀγάπην καὶ ἀπὸ τὰς τοιαύτας συναναστροφὰς προέρχονται αἱ ἠθικαὶ πτώσεις τῶν νεωτέρων.

5. Τὸ μέτρον τῆς μεταξὺ τῶν νεωτέρων ἀγάπης, αὐτὸ πρέπει νὰ εἶναι· νὰ μὴ κατακρίνῃ ὁ ἕνας τὸν ἄλλον, νὰ μὴ τὸν μισῇ, νὰ μὴ τὸν ἐξευτελίζῃ, νὰ μὴ ἐπιδιώκῃ τὸ προσωπικόν του συμφέρον, νὰ προτιμᾷ τὴν ἀνάπαυσιν τοῦ ἀδελφοῦ του, ἀντὶ τῆς ἰδικῆς του, νὰ μὴ ἀγαπᾷ τὸν ἄλλον, ἐπειδὴ εἶναι ὡραῖος, ἢ ἐπειδὴ τὸν εὐηργέτησεν ὑλικῶς· νὰ μὴ κάθωνται οἱ νεώτεροι μαζί, χωρὶς σοβαρὸν λόγον, διὰ νὰ μὴ ἀποκτήσουν τὴν τόσον καταστρεπτικὴν ἐλευθεριότητα, ποὺ καταστρέφει, ὅπως εἶπον ἀνωτέρω, τοὺς καρποὺς τοῦ Μοναχοῦ καὶ τὸν ἀφήνει ὡς ξηρὸν δένδρον.

6. Ἀλλ᾽ ὅπως ἀκριβῶς προσέχουν τοὺς ἑαυτούς των καὶ προφυλάσσονται ἀπὸ τὴν ἐλευθεροστομίαν καὶ τὴν φλυαρίαν, ἔτσι πρέπει νὰ προσέχουν καὶ τὴν συνείδησιν τῶν ἀδελφῶν καὶ νὰ ἀποφεύγουν νὰ κάθωνται μεταξύ των, χωρὶς σοβαρὰν ἀφορμήν, διὰ νὰ μὴ παγιδευθοῦν εἰς αὐτὰς τὰς παγίδας καὶ παγιδεύσωσι καὶ τοὺς ἀδελφούς των, προκαλοῦντες τοιουτοτρόπως ἐναντίον των τὸ προφητικὸν οὐαί· «Οὐαὶ ...... ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ» (Ἀββακ. β΄, 12, 15). Τὸ νόημα αὐτὸ ἐκφράζει καὶ τὸ ρητὸν τοῦ Ἀποστόλου· «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί» (Α΄ Κορινθ. ιε΄, 33). Αὐτὸ εἶναι τὸ μέτρον τῆς ἀγάπης τῶν ἀδελφῶν μεταξύ των.

ὙΠΟΜΟΝῆΣ ΔΕῖΤΑΙ ΚΑΙ ΜΑΚΡΟΘΥΜΊΑΣ Ἡ ἌΣΚΗΣΙΣ

ὙΠΟΘΕΣΙΣ ΜΑ΄

Τίνα δεῖ ποιεῖν πρὸς τοὺς παραβάλλοντας, καὶ πῶς αὐτοῖς ὑπαντᾷν καὶ ὁμιλεῖν.

Τί πρέπει νὰ κάμνωμεν πρὸς τοὺς ἐπισκεπτομένους, καὶ πῶς νὰ ὑποδεχώμεθα καὶ νὰ ὁμιλῶμεν πρὸς αὐτούς.

Α΄. Παλλαδίου.

ΠΟΤΕ ἀπὸ Ἱεροσολύμων εἰς Αἴγυπτον ἤλθομεν, καὶ πρὸς τὸν μέγαν Ἀπολλὼ ἀπηρχόμεθα· οἱ οὖν σὺν ἐκείνῳ ὄντες ἀδελφοὶ προσδραμόντες, ὑπήντησαν ἡμῖν μετὰ σπουδῆς ψάλλοντες, τοῦτο γὰρ ἦν αὐτοῖς ἔθος πρὸς πάντας τοὺς Μοναχούς, καὶ προσκυνήσαντες ἐπὶ τὴν γῆν, ἠσπάσαντο ἡμᾶς· εἶτα οἱ μὲν προῆγον, οἱ δὲ ἠκολούθουν ψάλλοντες, ἕως πλησίον γεγόναμεν τοῦ Πατρός.


2. Ὁ δὲ Πατήρ, τῶν ψαλλόντων ἀκούσας, ὑπήντησε καὶ αὐτὸς ἡμῖν καθὼς καὶ πρὸς πάντας ἐποίει τοὺς ἐρχομένους ἀδελφούς, καὶ πρῶτος ἐπὶ τὴν γῆν προσεκύνησε, καὶ ἀναστὰς ἠσπάσατο, καὶ εἰσαγαγὼν προσηύξατο, καὶ ταῖς χερσὶν αὐτοῦ τοὺς πόδας ἡμῶν νίψας, πρὸς ἀνάπαυσιν προετρέψατο. Ταῦτα δέ, οὐ πρὸς ἡμᾶς μόνον, ἀλλὰ καὶ πρὸς πάντας ἔθος ἦν αὐτῷ ποιεῖν.

3. Ἔλεγε δὲ καὶ τοῖς συνοῦσιν αὐτῷ, ὅτι δεῖ τοὺς ἐρχομένους πρὸς ἡμᾶς ἀδελφούς, προσκυνεῖν, κατὰ τὸν μέγαν Ἀβραάμ, ὡς τοῦ Θεοῦ διὰ τῶν ἀδελφῶν προσκυνουμένου. Εἶδες γὰρ τὸν ἀδελφόν σου; εἶδες τὸν Θεόν σου, καὶ ὅτι δεῖ αὐτοὺς πρὸς ἀνάπαυσιν παραβιάζεσθαι, κατὰ τὸν μακάριον Λώτ, τοὺς Ἀγγέλους αὐτοῦ παραβιασάμενον.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἤλθομεν εἰς τὴν Αἴγυπτον ἀπὸ τὰ Ἱεροσόλυμα· ἀμέσως δὲ ἐπήγαμεν νὰ συναντήσωμεν τὸν Μέγαν Ἀπολλώ. Οἱ ὑποτακτικοὶ λοιπὸν τοῦ Ἀββᾶ Ἀπολλὼ ἔτρεξαν καὶ μᾶς ὑπεδέχθησαν μὲ χαρὰν ψάλλοντες διαφόρους ὕμνους, διότι τοιαύτην συνήθειαν εἶχον, νὰ ὑποδέχωνται ἅπαντας τοὺς προσερχομένους πρὸς αὐτοὺς Μοναχοὺς ψάλλοντες· ἀμέσως δέ, ἀφοῦ ἔβαλαν ἐδαφιαίαν μετάνοιαν, μᾶς ἠσπάσθησαν. Μετὰ τὴν πνευματικὴν αὐτὴν φιλοφροσύνην, ἄλλοι ἐξ αὐτῶν προηγοῦντο καὶ ἄλλοι ἠκολούθουν ἡμᾶς ψάλλοντες, μέχρι πού ἐπλησιάσαμεν τὸν Γέροντα.

2. Μόλις λοιπὸν ὁ Πατὴρ Ἀπολλὼ ἤκουσε τὰς ψαλμῳδίας, μᾶς ὑπεδέχθη μὲ τὸν τρόπον, ποὺ συνήθως ὑπεδέχετο ὅλους τοὺς προσερ-


Ὁ ἈΒΒΑC
ἈΠΟΛΛΩ
Ράλλης Κοψίδης
63

χομένους ἀδελφούς, καὶ πρῶτος μᾶς προσεκύνησε δι' ἐδαφιαίας μετανοίας καὶ μᾶς ἠσπάσθη· μετά, ἀφοῦ μᾶς ὡδήγησεν εἰς τὸ κελλί του, προσηυχήθη, ἔπλυνε μὲ τὰς χεῖρας του τοὺς πόδας μας καὶ μᾶς προέτρεψε νὰ ξεκουρασθοῦμε. Αὐτὴν τὴν περιποίησιν δὲν τὴν ἔκαμε μόνον δι' ἡμᾶς, ἀλλὰ συνήθιζε νὰ τὴν προσφέρῃ πρὸς ὅλους.

3. Πρὸς αὐτοὺς δέ, ποὺ ἦσαν μαζί του, ἔλεγεν, ὅτι πρέπει νὰ προσκυνοῦμεν τοὺς ἀδελφούς, ποὺ μᾶς ἐπισκέπτονται, ὅπως ἔκαμε καὶ ὁ Ἀβραάμ, ὡς νὰ προσκυνοῦμεν τὸν ἴδιον τὸν Θεὸν διὰ μέσου τῶν ἀδελφῶν. Εἶδες τὸν ἀδελφόν σου; Εἶδες τὸν ἴδιον τὸν Θεόν σου! Τοὺς ἀδελφούς, ποὺ μᾶς ἐπισκέπτονται πρέπει νὰ τοὺς ἐξαναγκάζωμεν νὰ ἀναπαυθοῦν πλησίον μας, ὅπως ἔκαμε καὶ ὁ μακάριος Λώτ, ποὺ ἐξηνάγκασε καὶ τοὺς Ἀγγέλους ἀκόμη νὰ φιλοξενήσῃ.

Β'. Ἐν τῷ Γεροντικῷ

ΕΙΠΕ Γέρων· ἐὰν παραβάλωσί σοί τινες, καὶ ἴδῃς αὐτοὺς μήκοθεν ἐρχομένους, πρὸ τοῦ ἐγγίσαι αὐτοὺς στῆθι εἰς εὐχὴν καὶ εἰπέ· Κύριε Ἰησοῦ Χριστέ, ῥῦσαι ἡμᾶς ἀπὸ καταλαλιᾶς, καὶ λοιδορίας, καὶ μετ' εἰρήνης ἀπένεγκε αὐτοὺς τοῦ τόπου τούτου.

2. Ἠρώτησέ τις τὸν Ἀββᾶν Πέτρον τοῦ Ἀββᾶ Λὼτ λέγων· ὅταν εἰμὶ ἐν τῷ κελλίῳ, ἐν εἰρήνῃ ἐστὶν ἡ ψυχή μου· ἐπὰν δὲ ἀδελφὸς παραβάλῃ μοι, καὶ τοὺς λόγους τῶν ἔξω εἴπῃ μοι, ταράσσεται ἡ ψυχή μου· καὶ ἀπεκρίθη αὐτῷ ὁ Ἀββᾶς Πέτρος, ὅτι ἔλεγεν ὁ Ἀββᾶς Λώτ· τὸ κλειδίον σου ἀνοίγει τὴν θύραν μου.

3. Ἔφη ὁ ἀδελφός· τί ἐστι τὸ ῥῆμα τοῦτο; ἀπεκρίθη ὁ Γέρων· ἐὰν παραβάλῃ σοί τις, λέγεις αὐτῷ· πῶς ἔχεις; πόθεν ἦλθες; πῶς ἔχουσιν οἱ ἀδελφοί; προσελάβοντό σου ἢ οὔ; καὶ τότε ἀνοίγεις τὴν θύραν τῷ ἀδελφῷ σου, καὶ ἀκούεις ἃ οὐ θέλεις.

4. Λέγει ὁ ἀδελφός· οὕτως ἔχει. Καὶ τί ποιήσει ὁ ἄνθρωπος, ἐὰν ἔλθῃ ὁ ἀδελφὸς πρὸς αὐτόν; ἀπεκρίθη ὁ Γέρων· τὸ πένθος ὅλον διδαχή ἐστιν, ὅπου δὲ οὐκ ἔστι πένθος, οὐ δυνατὸν φυλάξασθαι.

5. Ἔφη αὐτῷ ὁ ἀδελφός· ὅταν ἐν τῷ κελλίῳ εἰμί, μετ' ἐμοῦ ἐστι τὸ πένθος, ὅταν δέ τις ἔλθῃ πρός με, ἢ ἐξέλθω τοῦ κελλίου, οὐχ εὑρίσκω αὐτό· λέγει αὐτῷ ὁ Γέρων· οὐδέποτέ σοι ὑπετάγη, ἀλλ' ὡς ἐν χρήσει ἐστὶ μετὰ σοῦ· ᾧ γὰρ ὑπετάγη, οὐδέποτε αὐτοῦ ἀφίσταται.

6. Εἶπε Γέρων· ἐὰν παραβάλῃ σοι ἀδελφός, ἔπαρον τὸ πένθος τοῦ προσώπου σου, καὶ κρύψον αὐτὸ ἐν τῇ καρδίᾳ σου, ἕως οὗ ἀπολύσῃς τὸν ἀδελφόν, καὶ τότε βάλε τὸ πένθος ἐν τῷ προσώπῳ σου· ὅτι φεύγουσιν οἱ δαίμονες θεωροῦντες αὐτὸ μετὰ σοῦ.

Ἑρμηνεία

ΕΝΑΣ Γέρων εἶπεν:

—Ἐὰν ἀδελφοὶ ἔρχωνται πρὸς ἐπίσκεψίν σου, καὶ τοὺς ἴδῃς ἀπὸ μακράν, πρὶν νὰ πλησιάσουν, στάσου καὶ προσευχήσου.

— Κύριε Ἰησοῦ Χριστὲ — λέγε — λύτρωσέ μας ἀπὸ τὴν κατάκρισιν, καὶ τὴν κακολογίαν, καὶ κάμε τους νὰ φύγουν ἀπ' ἐδῶ ἐν εἰρήνῃ καὶ ἀγάπῃ.

2. Κάποιος ὑπέβαλεν εἰς τὸν Ἀββᾶν Πέτρον, τὸν ὑποτακτικὸν τοῦ Ἀββᾶ Λώτ, τὴν ἑξῆς ἐρώτησιν:

—Ὅταν εὑρίσκωμαι μόνος μου εἰς τὸ κελλίον μου, ἡ ψυχή μου εἰρηνεύει· ὅταν ὅμως μὲ ἐπισκεφθῇ κανεὶς καὶ μοῦ διηγηθῇ τὰς ὑποθέσεις καὶ τοὺς λόγους τῶν ἔξω, ἀμέσως ἡ ψυχή μου ταράσσεται.

Ὁ Ἀββᾶς Πέτρος τότε τοῦ ἀπήντησεν:

—Ὁ Ἀββᾶς Λὼτ ἔλεγεν, ὅτι τὴν θύραν μου τὴν ἀνοίγει τὸ κλειδί σου!

3. Ὁ ἀδελφὸς δὲν ἀντελήφθη τὸ νόημα καὶ ἠρώτησεν ἐκ δευτέρου.

— Τί σημαίνει αὐτό;

Ἀπεκρίθη ὁ Γέρων:

— Πρόσεξε νὰ τὸ ἀντιληφθῇς· ὅταν σὲ ἐπισκεφθῇ κάποιος, τοῦ λέγεις: Πῶς εἶσαι; Ἀπὸ ποῦ ἦλθες; Πῶς εἶναι οἱ ἀδελφοί; σὲ ἐπεριποιήθησαν ἢ ὄχι; Μὲ τὰς ἐρωτήσεις αὐτὰς δὲν ἀνοίγεις τὴν θύραν εἰς τὸν ἀδελφόν σου, διὰ νὰ ἀκούσῃς ὅσα δὲν ἐπιθυμεῖς;

4. Λέγει ὁ ἀδελφός:

— Πράγματι ἔτσι εἶναι· τί πρέπει ὅμως νὰ κάμῃ ὁ ἄνθρωπος, ὅταν τὸν ἐπισκεφθῇ ὁ ἀδελφός του;

Ἀπεκρίθη ὁ Γέρων:

—Ἡ καλυτέρα διδασκαλία καὶ ὁ ἁρμοδιώτερος τρόπος συναναστροφῆς εἶναι τὸ κατὰ Χριστὸν πένθος· ὅπου δὲν ὑπάρχει τὸ πένθος αὐτό, εἶναι ἀδύνατον νὰ διασφαλισθοῦν ἀπὸ τὰς οἱασδήποτε ἁμαρτίας.

5. Λέγει πάλιν ὁ ἀδελφός:

—Ὅταν εὑρίσκωμαι εἰς τὸ κελλίον μου, αἰσθάνομαι τὸ σωτήριον αὐτὸ πένθος· ὅταν ὅμως μὲ ἐπισκεφθῇ κανεὶς ἢ ἐξέλθω ἀπὸ τὸ κελλίον μου, τότε ἀναχωρεῖ ἀπὸ τὴν ψυχήν μου καὶ τὸ πένθος αὐτό.

Ἀπεκρίθη καὶ πάλιν πρὸς αὐτὸν ὁ Γέρων:

— Αὐτὸ συμβαίνει, διότι οὐδέποτε κατέκτησες πραγματικῶς τὸ πένθος αὐτό· προχείρως καὶ ἐπιπολαίως τὸ χρησιμοποιεῖς. Αὐτὸ ποὺ πραγματικῶς ἔχει κατακτήσει κανείς, ποτὲ δὲν τὸ χάνει.

6. Ἕνας ἄλλος Γέρων εἶπε τὰ ἑξῆς: Ὅταν σὲ ἐπισκεφθῇ ἕνας ἀδελφός, μὴ δείξῃς, διὰ τῆς κατηφείας τοῦ προσώπου σου, ὅτι αἰσθάνεσαι τὸ κατὰ Χριστὸν πένθος· κρύψε τὴν ἀρετὴν αὐτὴν μέσα εἰς τὴν καρδίαν σου, μέχρι νὰ ἀναχωρήσῃ ὁ ἀδελφός. Μετὰ δὲ τὴν ἀναχώρησιν αὐτήν, τότε νὰ ἐπαναλάβῃς τὴν κατανυκτικὴν ἐνασχόλησιν τοῦ πένθους, διότι φεύγουν οἱ δαίμονες ἀπὸ κοντά σου, ὅταν σὲ βλέπουν πενθοῦντα διὰ τὰς ἁμαρτίας σου.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΜΟΝΑΧΕ, ἐὰν παραβάλῃ σοι Μοναχὸς ἢ κοσμικός, μὴ θέλε ὑπαντᾶν αὐτῷ ὑπὲρ δύναμιν, ἵνα μὴ μετὰ τὸ ἀναχωρῆσαι αὐτὸν μεταμεληθῇς, ἐφ' αἷς ἐδαπάνησε χρείαις σου, ἀλλὰ παράθες, ὃ ἂν ὁ Κύριος εὐοδοῖ

σε· κρεῖσσον γὰρ παράθεσις λαχάνων μετὰ ἀγάπης, ἢ θυμάτων μετὰ ὀδύνης· Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός.

2. Ταῦτα δέ φημι, ἀδελφέ, οὐχὶ ἐκκόψαι σε τῆς φιλοξενίας βουλόμενος, ἀλλ' ἵνα ἡ προσφορά σου εὐπρόσδεκτος καὶ ἄμωμος ᾖ· κατὰ τὸν λέγοντα· φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμοῦ.

3. Ὅρα Μοναχέ, μήπως τοῖς τὰ κοσμικὰ φρονοῦσι θέλων ἀρέσαι, τὴν διαγωγὴν τοῦ Μοναχοῦ ἀπολέσῃς, ἀλλ' ἐν φόβῳ Θεοῦ ποίει πάντα σου τὰ ἔργα· πᾶν ὃ ἐὰν ποιήσῃ τις διὰ τὸν Κύριον, τοῦτο αὐτῷ κέρδος. Τὰ γὰρ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει.

4. Ἀγαπητέ, ἐὰν εἰσαγάγῃς τινὰ εἰς τὸ κελλίον σου, ἀγωνίζου ἀσκανδάλιστον αὐτὸν ἐκπέμψαι, τουτέστι μηδὲν ἔξωθεν φόβου Θεοῦ πρᾶξαι, ἵνα μὴ γένῃ αὐτῷ τύπος ἔργου ἀνοσίου· λέγει γὰρ ὁ Ἀπόστολος· ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ.

5. Καὶ τίμα πάντας, μὴ δι' ἀμοιβήν, ἀλλὰ διὰ τὸν Κύριον. Ἀνὴρ γὰρ ἀνθρωπάρεσκος, πολλοῖς ἀρέσαι σπουδάσει· ὁ δὲ φοβούμενος τὸν Κύριον, οὐ προσκόψει, ὅτι τῷ φωτὶ τῶν ἐντολῶν αὐτοῦ πορεύεται.

Ἑρμηνεία

ΜΟΝΑΧΕ, ἐὰν σὲ ἐπισκεφθῇ ἕνας ἄλλος Μοναχὸς ἢ ἕνας κοσμικός, μὴ θελήσῃς νὰ τὸν περιποιηθῇς περισσότερον ἀπὸ τὰς δυνάμεις σου, διὰ νὰ μὴ μετανοήσῃς μετὰ τὴν ἀναχώρησίν του, δι' ὅσα ἐξώδευσες πρὸς φιλοξενίαν του. Νὰ τοῦ προσφέρῃς ὅσα ὁ Κύριος σοῦ ἐξησφάλισε· διότι εἶναι προτιμοτέρα ἡ προσφορά, κατὰ τὴν φιλοξενίαν, χόρτων μὲ ἀγάπην, παρὰ πλουσίων φαγητῶν μὲ στενοχωρίαν· «Ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός» (Β' Κορινθ. θ', 7).

2. Τὰ λέγω αὐτά, ἀδελφέ μου, ὄχι διότι ἐπιθυμῶ νὰ σὲ ἀποτρέψω ἀπὸ τὴν φιλοξενίαν, ἀλλὰ διὰ νὰ καταστῇ ἡ προσφορά σου δεκτὴ εὐχαρίστως ἀπὸ τὸν Θεὸν καὶ καθαρά, συμφώνως καὶ πρὸς τὸ θεῖον ρητόν· «Φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμῶν» (Α' Πέτρου δ', 9)

3. Πρόσεξε, Μοναχέ, μήπως θέλεις νὰ ἀρέσῃς εἰς αὐτοὺς ποὺ ἔχουν κοσμικὸν φρόνημα καὶ τοιουτοτρόπως χάσῃς τὸν τρόπον, κατὰ τὸν ὁποῖον πρέπει νὰ ζῇ ὁ Μοναχός. Ὅλα σου τὰ ἔργα νὰ τὰ κάμνῃς μὲ φόβον Θεοῦ· ὅ,τι κάμνει κανεὶς διὰ τὴν ἀγάπην τοῦ Κυρίου αὐτὸ κερδίζει. «Τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα καταργήσει» (Α' Κορινθ. ϛ', 13).

4. Ἀγαπητέ μου, ἐὰν φιλοξενήσῃς κάποιον εἰς τὸ κελλί σου, νὰ προσπαθήσῃς νὰ ἀναχωρήσῃ χωρὶς νὰ σκανδαλισθῇ ἀπὸ σέ· αὐτὸ δὲ θὰ τὸ ἐπιτύχῃς, ἐὰν δὲν κάμῃς τίποτε, χωρὶς φόβον Θεοῦ, ὥστε νὰ μὴ γίνῃς εἰς τὸν ἐπισκέπτην σου παράδειγμα ἐργάτου ἐργαζομένου ἀνόσια ἔργα. Διότι καὶ ὁ Ἀπόστολος λέγει· «Ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ» (Α' Κορ. ι', 32).

5. Νὰ τιμᾷς ὅλους τοὺς ἀνθρώπους, ὄχι διότι προσδοκᾷς παρ' αὐτῶν ἀνταμοιβήν, ἀλλὰ χάριν τοῦ Κυρίου. Ὁ ἀνθρωπάρεσκος ἄνθρωπος φροντίζει σὲ πολλοὺς νὰ ἀρέσῃ καὶ ἑπομένως δὲν ἔχει σταθερὸν χαρακτῆρα καὶ πνευματικότητα. Ἐκεῖνος ὅμως, ποὺ σέβεται τὸν Κύ-

ριον, ποτὲ δὲν θὰ σκοντάψῃ, διότι εἰς τὴν ζωήν του προχωρεῖ ὁδηγούμενος ἀπὸ τὸ φῶς τῶν ἐντολῶν Του.

Δ'. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ΕΛΘΗ πρός σε ἀδελφὸς ξένος, ἔχε τὸ πρόσωπόν σου ἱλαρὸν πρὸς αὐτὸν ἐν τῷ ἀσπάζεσθαι αὐτόν· καὶ τὸ σκεῦος, ὃ βαστάζει, βάστασον αὐτὸ μετὰ χαρᾶς, καὶ ἀπερχομένου αὐτοῦ πάλιν ποίησον ὡσαύτως· ὁ ἀσπασμός σου δὲ ὁ πρὸς αὐτὸν γενέσθω μετὰ ἐπιεικείας, καὶ φόβου Θεοῦ, ἵνα μὴ γένηται αὐτῷ ζημία.

2. Φύλαξαι δὲ μὴ ἐπερωτῆσαι αὐτῷ τι τῶν μὴ ὠφελούντων σε, ἀλλὰ ποίησον αὐτὸν εὔξασθαι, καὶ παῦσαι ἕως τοῦ λόγου τούτου, καὶ δὸς αὐτῷ βιβλίον ἵνα μελετήσῃ. Ἐὰν δὲ ἦλθεν ἀπὸ κόπου, ποίησον αὐτὸν ἀναπαυθῆναι, πλύνας αὐτοῦ τοὺς πόδας.

3. Ἐὰν ἐνέγκῃ σοι λόγους οὐ προσήκοντας, παρακάλεσον αὐτὸν ἐν ἀγάπῃ εἰπών· συγχώρησόν μοι, ὅτι ἀσθενής εἰμι, καὶ οὐ δύναμαι βαστάσαι· ἐὰν δὲ ἔστι γυρευτὴς καὶ ἔχῃς τινὰς πιστούς, μὴ εἰσενέγκῃς αὐτὸν ἐπάνω αὐτῶν, ἀλλὰ ποίησον εἰς αὐτὸν ἔλεος ἐν ἀγάπῃ Θεοῦ.

4. Ἐὰν δὲ ἔστιν ἀδελφὸς παρερχόμενος διὰ τὸν Θεὸν καὶ παραβάλλων σοι ἀναπαυθῆναι, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' αὐτοῦ, ἀλλὰ δέξαι αὐτὸν μετὰ χαρᾶς, μετὰ τῶν πιστῶν τῶν παραβαλόντων σοι· ἐὰν δὲ ἔστι πτωχός, μὴ πέμψῃς αὐτὸν κενόν, ἀλλὰ δὸς αὐτῷ ἐκ τῆς εὐλογίας, ἧς ἔδωκέ σοι ὁ Θεός, ὡς εἰδὼς ὅτι ἃ ἔχεις, οὐκ ἔστι σά, ἀλλὰ δόμα παρὰ Θεοῦ ἐστι.

5. Καὶ τοῖς παραβάλλουσί σοι πιστοῖς δὸς τὴν χρείαν ἐν ἱλαρῷ ὀφθαλμῷ, καὶ ὅταν παύσωνται τοῦ ἐσθίειν, εἰπὲ αὐτοῖς δεύτερον ἢ τρίτον, ποιήσατε ἀγάπην, φάγετε καὶ ἄλλο μικρόν.

6. Ἐὰν ψάλλῃς μετὰ τῶν ἀδελφῶν σου, ἕκαστος ὑμῶν ποιησάτω τὰς ἑαυτοῦ εὐχάς· ἐὰν δὲ ἔστι μεθ' ὑμῶν ξένος, παρακαλέσατε αὐτὸν μετὰ ἀγάπης, ἵνα αὐτὸς ποιήσῃ τὰς εὐχάς· εἴπατε δὲ αὐτῷ ἕως τρίτου χωρὶς φιλονεικίας.

7. Ἐὰν δὲ ἀδελφοὶ παραβάλλωσιν ὑμῖν, μὴ θελήσητε παντελῶς ἐρωτῆσαι αὐτούς τι τῶν βλαπτόντων, ὡς καὶ προλαβὼν εἶπον, ἵνα μὴ ὑποχωρήσαντες ἐάσωσιν ὑμῖν αἰχμαλωσίαν ἐν τῷ κελλίῳ· εἰ δὲ τῶν παραγενομένων τις μὴ δυνηθῇ ἐγκρατεύσασθαι, καὶ εἴπῃ ἑνὶ ἐξ ἡμῶν τι τῶν βλαπτόντων ὑμᾶς, μὴ θελήσῃ ὁ ἀκούσας τινὶ τῶν ἀδελφῶν ταῦτα ἐξειπεῖν, ἵνα μὴ ἰοῦ θανατηφόρου ἐμπλήσῃ τὴν ψυχὴν τοῦ ἀδελφοῦ αὐτοῦ.

8. Μὴ θελήσητε ἐρευνῆσαι τὰ ἔργα τοῦ καιροῦ τούτου, ἵνα μὴ γένησθε ὡς τὰ σελάρια, εἰς ἃ ἔρχονται πάντες, ἵνα ἀποβάλῃ ἕκαστος τὰ ἐν τῇ κοιλίᾳ αὐτοῦ, πολλῆς οὔσης τῆς δυσωδίας, ἀλλὰ γίνεσθε μᾶλλον θυσιαστήριον Θεοῦ, ἐν ἁγνείᾳ ποιοῦντες τὸν ἔνδοθεν ἱερέα πάντοτε θυμίαμα ἐπιβάλλειν ὄρθρου τε καὶ ἑσπέρας, ἵνα μὴ μείνῃ τὸ θυσιαστήριον ἐκτὸς τοῦ θυμιάματος.

9. Ἀλλὰ πάντοτε βιάσατε ἑαυτοὺς ἐνώπιον Κυρίου ἐν πάσῃ δεήσει, ἵνα χαρίσηται ὑμῖν ἁπλότητα καὶ ἀκεραιότητα, καὶ λάβῃ ἀφ' ἡμῶν τὰ ἐναντία τούτων, ἅ ἐστιν ἡ πανουργία, καὶ ἡ δαιμονιώδης σοφία, καὶ ἡ περιεργία καὶ τὰ τούτοις ὅμοια· ἃ καταλύει τοὺς κόπους τῶν ποιούντων αὐτά.

10. Τέλος δὲ τούτων πάντων, ἐὰν ἄνθρωπος φοβῆται τὸν Θεὸν ἐν γνώσει, καὶ αἱ ἀκοαὶ αὐτοῦ ὑποτάσσωνται τῇ συνειδήσει αὐτοῦ κατὰ Θεόν, ὑπὲρ τὰ προειρημένα διδάξει αὐτὸν ἐν τῷ κρυπτῷ. Ἐὰν δὲ μὴ ᾖ ἐκεῖ ὁ οἰκοδεσπότης, ἐκεῖνος ὁ ταλαίπωρος ἄνθρωπος, τὸν οἶκον ἔχει προκείμενον τῷ θελήματι καὶ ὁ βουλόμενος λαλεῖ ὃ θέλει ἐν ἑαυτῷ, ὅτι οὐκ ἔστιν ἡ καρδία ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, ἀλλ' ὑπὸ τοὺς ἐχθρούς.

11. Ἐάν τις ξένος ἀδελφὸς παραβάλῃ ὑμῖν καὶ προεικάσετε περὶ αὐτοῦ ὅτι φι-

λοσχηματικός ἐστι, μὴ ἐξερευνήσητε αὐτὸν ἐν λόγοις, ἕως οὗ φανερωθῇ ὑμῖν τὸ ἐλάττωμα αὐτοῦ.

Ἑρμηνεία

ΕΑΝ ΕΛΘΗ εἰς τὸ κελλίον σου ἕνας ξένος ἀδελφός, νὰ τὸν ὑποδεχθῇς μὲ γελαστὸν πρόσωπον καθὼς θὰ τὸν ἀσπάζεσαι· ἐὰν δὲ βαστάζῃ πράγματα, νὰ τὰ πάρῃς πρόθυμα, διὰ νὰ τὸν ξεκουράσῃς. Ὅταν πάλιν φύγῃ, τὸ ἴδιον νὰ κάμῃς. Ὁ ἀσπασμός σου πρὸς αὐτὸν νὰ μὴ εἶναι ζωηρὸς καὶ νὰ μὴ συνοδεύηται ἀπὸ ὑπερβολικὴν οἰκειότητα· νὰ εἶναι συγκρατημένος καὶ μὲ φόβον Θεοῦ, διὰ νὰ μὴ ζημιωθῇ ψυχικῶς ὁ ἐπισκέπτης.

2. Πρόσεξε νὰ μὴ τὸν ἐρωτήσῃς τίποτε ἀπὸ αὐτά, ποὺ δὲν σὲ ὠφελοῦν ψυχικῶς. Παρότρυνέ τον νὰ κάμῃ τὴν εὐχήν· καὶ αὐτὴ ἂς εἶναι ἡ μόνη συνομιλία σας. Μετὰ ταῦτα πρόσφερέ του βιβλίον νὰ τὸ μελετήσῃ. Ἐὰν πάλιν ἔρχεται ἀπὸ μακρὰν καὶ ἐπίπονον ὁδοιπορίαν ἢ ἀπὸ ἐξαντλητικὴν ἐργασίαν, ὑποχρέωσέ τον νὰ ἀναπαυθῇ· πλύνε του δὲ καὶ τοὺς πόδας.

3. Ἐὰν ἀρχίσῃ συζητήσεις, αἱ ὁποῖαι δὲν εἶναι κατὰ Θεόν, παρακάλεσέ τον μὲ ἀγάπην λέγων· συγχώρησόν μου, ἀδελφέ μου, διότι εἶμαι ἀσθενὴς καὶ δὲν ἠμπορῶ νὰ παρακολουθήσω αὐτὴν τὴν συζήτησιν. Ἐὰν πάλιν ὁ ἐπισκέπτης σου εἶναι ἐπαίτης καὶ σὺ ἐκείνην τὴν στιγμὴν φιλοξενεῖς πιστούς, μὴ τὸν ὁδηγήσῃς ἐνώπιόν των, διὰ νὰ μὴ στενοχωρηθοῦν· μόνος σου ἐλέησέ τον, ὅπως δύνασαι, δι' ἀγάπην Θεοῦ.

4. Ἐὰν πάλιν εἶναι ἀδελφὸς περαστικός, ποὺ γυρίζει διὰ τὸ ὄνομα τοῦ Θεοῦ, καὶ σὲ ἐπεσκέφθη διὰ νὰ ἀναπαυθῇ, μὴ τὸν περιφρονήσῃς· ἀλλὰ νὰ τὸν ὑποδεχθῇς χαρούμενα καὶ νὰ τὸν φιλοξενήσῃς μαζὶ μὲ τοὺς πιστούς, ποὺ σὲ ἐπεσκέφθησαν. Ἐὰν εἶναι πτωχός, μὴ τὸν ἀφήσῃς νὰ φύγῃ, χωρὶς νὰ τοῦ προσφέρῃς κάτι· δῶσε του ἀπὸ τὴν εὐλογίαν, ποὺ σοῦ ἔστειλεν ὁ Θεός, διότι πρέπει νὰ γνωρίζῃς ὅτι αὐτὰ ποὺ ἔχεις δὲν εἶναι ἰδικά σου, ἀλλὰ δωρεὰ τοῦ Θεοῦ.

5. Εἰς τοὺς πιστούς, ποὺ σὲ ἐπισκέπτονται, χαρούμενος πάντοτε, νὰ τοὺς παραθέτῃς τράπεζαν· νὰ ἐπιστατῇς δὲ μόνος σου, ὥστε νὰ εὐχαριστηθοῦν· ὅταν δὲ τελειώσουν τὸ φαγητόν τους, νὰ τοὺς ὑποχρεώνῃς νὰ φάγουν καὶ ἄλλο, διὰ δευτέραν καὶ τρίτην φοράν, λέγων εἰς αὐτούς, μετὰ γλυκύτητος, παρακαλῶ, ἀδελφοί, κάμετε ἀγάπην καὶ φάγετε ὀλίγον ἀκόμη.

6. Ἐὰν εἰς τὴν ἀκολουθίαν ψάλλετε μαζὶ οἱ ἀδελφοί, ἕκαστος νὰ μὴ παραμελῇ τὴν εὐχὴν καὶ νὰ ψάλλῃ μὲ κοσμιότητα καὶ σειράν, χωρὶς νὰ σπεύδῃ νὰ ὑφαρπάσῃ τὴν ψαλμῳδίαν. Ἐὰν πάλιν παρευρίσκεται καὶ ξένος εἰς τὴν ἀκολουθίαν, παρακαλέσατέ τον νὰ εἴπῃ αὐτὸς τὰς εὐχάς, χωρὶς ὅμως νὰ γίνετε φορτικοί· εἴπατέ του μέχρι τρεῖς φορὰς καὶ μετὰ ἡσυχάζετε.

7. Ἐὰν σᾶς ἐπισκεφθοῦν ἄλλοι ἀδελφοὶ ἀπὸ ἄλλο μέρος, μὴ ἐπιζητήσετε καθόλου νὰ τοὺς ἐρωτήσετε διὰ πράγματα, ποὺ δὲν σᾶς ὠφε-

λοῦν ψυχικῶς, ὅπως σᾶς εἶπα καὶ προηγουμένως, διὰ νὰ μὴ μείνετε, ὅταν θὰ ἀναχωρήσουν ἀπὸ τὸ κελλί σας, αἰχμάλωτοι τῶν ψυχικῶν καταστάσεων, ποὺ θὰ ἔχουν προκαλέσει αἱ διάφοροι ἄσκοποι συζητήσεις. Ἐὰν πάλιν ἕνας ἐκ τῶν ἐπισκεπτῶν δὲν δυνηθῇ νὰ ἐγκρατευθῇ καὶ εἴπῃ σὲ κάποιον ἀπὸ σᾶς κάτι βλαβερόν, αὐτὸς ποὺ τὸ ἤκουσεν, ἂς μὴ ἐπιδιώξῃ νὰ τὸ μεταφέρῃ καὶ εἰς ἄλλον ἐκ τῆς συνοδείας, διὰ νὰ μὴ γεμίσῃ τὴν ψυχὴν τοῦ ἀδελφοῦ ἀπὸ θανατηφόρον δηλητήριον.

8. Μὴ ἐπιδιώξετε νὰ μάθετε τὰ ἔργα τῶν ἀνθρώπων αὐτοῦ τοῦ καιροῦ, διὰ νὰ μὴ μεταβληθῆτε εἰς ἀφοδευτήρια, ὅπου ὅλοι ἔρχονται διὰ νὰ ἀποβάλουν ἐντὸς αὐτῶν τὰ περιεχόμενα τῆς κοιλίας των καὶ τὰ ὁποῖα, ὡς ἐκ τούτου, βρωμοῦν ἀφόρητα· ἀπ' ἐναντίας νὰ προσπαθήσετε νὰ ἐξομοιωθῆτε μὲ θυσιαστήριον Θεοῦ, ὅπου ἡ διάνοιά σας, τηρουμένη ἐν ἁγνείᾳ, θὰ εἶναι ὡς ὁ Ἱερεύς, διὰ νὰ ρίπτῃ εἰς τὸ ἱερὸν αὐτὸ θυσιαστήριον τῆς καρδίας σας τὸ θυμίαμα καὶ κατὰ τὸν ὄρθρον καὶ κατὰ τὴν ἑσπέραν, διὰ νὰ μὴ μείνῃ τὸ ἐντὸς ἡμῶν θυσιαστήριον χωρὶς θυμίαμα (1).

9. Βιάσατε τὸν ἑαυτόν σας νὰ προσεύχεται ἐντόνως καὶ μετὰ κατανύξεως εἰς τὸν Θεόν, διὰ νὰ σᾶς χαρίσῃ ἁπλότητα, ἀκεραιότητα χαρακτῆρος καὶ νὰ ἀποσύρῃ ἀπὸ ἐπάνω σας τὰ ἀντίθετα τούτων πάθη, δηλαδὴ τὴν πανουργίαν, τὴν σατανικὴν σοφίαν, τὴν περιέργειαν καὶ τὰ ὅμοια πρὸς αὐτὰ πάθη.

10. Τέλος, ἀπὸ τὰ ἀνωτέρω δυνάμεθα νὰ ἐξαγάγωμεν τὸ ἑξῆς συμπέρασμα· ὅταν ὁ ἄνθρωπος σέβεται ἐνσυνειδήτως τὸν Θεόν, τότε καὶ αὐτὰ ποὺ ἀκούει τὰ ὑποτάσσει εἰς τὴν συνείδησίν του, τὴν ὁποίαν ἐφρόντισε νὰ διαμορφώσῃ συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ. Τὸν ἄνθρωπον αὐτὸν ὁ Θεὸς θὰ τὸν διδάξῃ κατὰ τρόπον ἀνέκφραστον εἰς τὰ βάθη τῆς καρδίας του περὶ ὑψηλοτέρων καὶ θειοτέρων πραγμάτων, ἀπὸ ὅσα ἀνέφερα ἐγὼ προηγουμένως. Ἐὰν δὲν εὑρίσκεται ἐκεῖ ὁ οἰκοδεσπότης, τότε ὁ ταλαίπωρος ἐκεῖνος ἄνθρωπος ἔχει ἐλεύθερον τὸν οἶκον του εἰς τὴν διάθεσιν τοῦ οἱουδήποτε, καὶ λέγει ὅ,τι θέλει, διότι ἡ καρδία δὲν εἶναι ὑποτεταγμένη εἰς τὸν οἰκοδεσπότην, ἀλλὰ εἰς τὰ πάθη, τοὺς ἐχθροὺς αὐτοὺς τῆς ψυχῆς (2).

11. Ἐὰν σᾶς ἐπισκεφθῇ κάποιος ξένος ἀδελφὸς καὶ ἀντιληφθῆτε ἀμέσως, ὅτι εἶναι ὑποκριτής, μὴ ἐπιχειρήσετε νὰ ἀποκαλύψετε τὸ ἐλάττωμά του μὲ συζητήσεις· μόνος του θὰ σᾶς φανερώσῃ σιγὰ-σιγὰ τὴν ἀδυναμίαν του αὐτήν.

---

1) Ἡ ὡραία αὐτὴ εἰκὼν μᾶς ἐνθυμίζει τὴν κατανυκτικὴν μεταφορὰν τοῦ ρμ' (140) ψαλμοῦ: «Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν Σου».

2) Ὁ Ἀββᾶς Ἠσαΐας παρομοιάζει τὴν ψυχὴν μὲ οἶκον καὶ τὸν νοῦν μὲ τὸν οἰκοδεσπότην. Εἰς τὴν ὡραίαν δὲ καὶ παραστατικὴν αὐτὴν εἰκόνα θέλει νὰ τονίσῃ τὴν ἀνάγκην τῆς προσοχῆς ἐπὶ τῶν ὅσων λέγομεν καὶ ἐπὶ τῶν ὅσων ἀκούομεν.

Ε'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΕΙΠΕ ΓΕΡΩΝ· ἐὰν εἰσέλθῃ τις εἰς τὸ κελλίον σου, ἢ σὺ εἰσέλθῃς εἰς κελλίον ἑτέρου, καὶ εἴπῃ σοι εὖξαι, ἕως τρίτον, εἰπέ· συγχώρησον, καὶ μετὰ τὸ τρίτον, ἐὰν ἐμμείνῃ, τότε μετὰ ταπεινώσεως ποίησον ὃ λέγει σοι· καὶ σὺ τρίτον εἰπέ τινι, καὶ ἐὰν μὴ θελήσῃ, ἄφες· κακὴ γάρ ἐστιν ἡ φιλονεικία.

2. Καὶ περὶ παντὸς δὲ πράγματος, ἢ ἵνα βαστάσῃς πρᾶγμα παρά τινος, ἢ ἵνα βάλῃς χεῖρα, ἕως τρίτου παρακάλεσον, κἂν μὴ θελήσῃ, παῦσαι μετ' εἰρήνης καὶ μὴ θλίψῃς αὐτόν· καὶ αὕτη ἐστὶν ἡ ἀληθινὴ ὁδὸς τοῦ Θεοῦ.

3. Οὐ συμφέρει Μοναχῷ τοὺς πρὸς αὐτὸν παραβάλλοντας ἐρωτᾶν πῶς ὁ δεῖνα, ἢ ὁ δεῖνα; διὰ γὰρ τῆς ἐρωτήσεως ταύτης ἀποσπώμενος ὁ νοῦς τῆς προσευχῆς καὶ τῆς πρὸς Θεὸν νεύσεως, εἰς φλυαρίας καὶ καταλαλιὰς ἐμπίπτει, καὶ περιττὰς καὶ ψυχοβλαβεῖς πλεονεξίας καὶ αἰχμαλωσίας, ὥστε οὐδὲν κρεῖττον τοῦ σιωπᾶν ἢ βραχυλογεῖν.

Ἑρμηνεία

ΕΝΑΣ ΓΕΡΩΝ ἔδωσεν εἰς τοὺς ὑποτακτικούς του τὴν ἑξῆς συμβουλήν:

—Ἐὰν εἰσέλθῃ κάποιος εἰς τὸ κελλίον σου ἢ σὺ εἰσέλθῃς εἰς ἄλλο κελλίον, καὶ σοῦ προτείνουν νὰ κάμῃς τὴν εὐχήν, κατ' ἀρχὴν νὰ ἀποφύγῃς· ἐὰν σοῦ τὸ προτείνουν τρεῖς φοράς, νὰ εἰπῇς, συγχωρήσατέ με, δὲν εἶμαι ἄξιος· ἐὰν ὅμως ἐπιμείνουν καὶ πέραν τῆς τρίτης, τότε νὰ κάμῃς μὲ ταπείνωσιν αὐτὸ ποὺ σοῦ προτείνουν. Ὁμοίως καὶ σὺ τρεῖς φορὰς νὰ προτείνῃς εἰς ἄλλον· ἐὰν δὲ δὲν θελήσῃ, τότε ἄφησέ τον, μὴ ἐπιμένῃς. Ἡ φιλονεικία δι' ὁποιοδήποτε ζήτημα εἶναι κακὸν πρᾶγμα.

2. Δι' αὐτὸ εἴτε ἐπιθυμεῖς νὰ κρατήσῃς ἕνα πρᾶγμα ἀπὸ ἄλλον, εἴτε θέλεις νὰ χρησιμοποιήσῃς κάτι, ποὺ εἶναι ἄλλου, μέχρι τρεῖς φορὰς νὰ τὸν παρακαλέσῃς· ἐὰν δὲ δὲν συγκατατεθῇ εἰς τὴν παράκλησίν σου, τότε μὴ τὸν στενοχωρεῖς ἄλλο πλέον· σταμάτησε εἰρηνικῶς τὴν ἐνόχλησιν. Αὐτὸς εἶναι ὁ πραγματικὸς δρόμος τοῦ Θεοῦ.

3. Εἰς τὸν Μοναχὸν δὲν συμφέρει νὰ ἐρωτᾷ τοὺς ἐπισκέπτας του πῶς εἶναι ὁ τάδε ἢ ὁ δεῖνα. Διότι δι' αὐτῶν τῶν ἐρωτήσεων ἀποσπᾶται ὁ νοῦς ἀπὸ τὴν προσευχὴν καὶ τὴν θεωρίαν τοῦ Θεοῦ, καὶ ἐκτρέπεται εἰς κατακρίσεις, εἰς περιττὰς καὶ ψυχοβλαβεῖς πλεονεξίας, αἰχμαλωτιζόμενος ἀπὸ πάθη καὶ ἐλαττώματα. Ὥστε δὲν ὑπάρχει καλλίτερον πρᾶγμα ἀπὸ τὴν σιωπὴν ἢ τὴν σύντομον ὁμιλίαν, ὅσην ἡ ἀνάγκη ἐπιβάλλει.

ΥΠΟΘΕΣΙΣ ΜΒ΄

Ὅτι ἐν ταῖς παρουσίαις τῶν κατὰ Θεὸν ζώντων, πολλοὶ τῶν Πατέρων, διὰ τὴν τῶν ἐλθόντων ἀνάπαυσιν, ἐνεδίδουν μικρὸν τῆς ἀσκήσεως, μηδὲν ἐκ τούτου βλαπτόμενοι διὰ τὴν ἀπάθειαν· τινὲς δὲ αὐτῶν, καὶ ἐπὶ τῇ βραχείᾳ ταύτῃ ἀνέσει, ἑαυτοὺς ἐκόλαζον ὕστερον· καὶ ὅτι ὁ τηρῶν ἐν ταῖς παρουσίαις καὶ παρακλήσεσι τὴν ἑαυτοῦ ἄσκησιν ἀκατάλυτον, ἢ λύων μέν, βραχὺ δέ, ἐπαινετός ἐστι τοῖς καλῶς κρίνουσι· καὶ ὅτι οὐ δεῖ πείθεσθαι τοῖς εἰς παράκλησιν ὑπὲρ τὸ μέτρον βιαζομένοις.

Κατὰ τὰς ἐπισκέψεις ἐναρέτων ἀδελφῶν, πολλοὶ τῶν Πατέρων, χάριν τῆς ἀναπαύσεως τῶν ἐπισκεπτῶν των, ἐχαλάρωναν ἐλαφρῶς τὴν ἄσκησίν των, χωρὶς νὰ βλάπτωνται ἐξ αὐτοῦ, ἐπειδὴ ἦσαν ἀπαθεῖς. Μερικοὶ πάλιν ἀπ᾿ αὐτούς, διὰ τὴν ὀλίγην αὐτὴν ἄνεσιν, μετὰ ἐβασάνιζον τὸν ἑαυτόν των. Ἐκεῖνος ὅστις κατὰ τὰς ἐπισκέψεις καὶ τὰς παρηγόρους συναναστροφὰς διατηρεῖ τὴν ἄσκησίν του, ἢ τὴν χαλαρώνει κάπως, εἶναι ἀξιέπαινος ἀπὸ αὐτούς, ποὺ κρίνουν ὀρθῶς· δὲν πρέπει δὲ νὰ δίδωμεν ἐμπιστοσύνην εἰς ἐκείνους ποὺ πιέζουν περισσότερον τοῦ δέοντος εἰς παρήγορον ἐπίσκεψιν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΑΠΗΛΘΟΝ τινὲς τῶν Πατέρων πρὸς τὸν Ἀββᾶν Ἰωσὴφ εἰς Πανεφώ, ἵνα ἐρωτήσωσιν αὐτὸν περὶ τῆς ἀπαντήσεως τῶν ἀδελφῶν, τῶν ξενιζομένων παρ᾿ αὐτοῖς, εἰ χρὴ συγκαταβαίνειν πρὸς θεραπείαν αὐτῶν.

2. Ὁ δὲ Γέρων δεξάμενος αὐτούς, καὶ καθίσαι προτρέψας, πρὸ τοῦ ἐρωτηθῆναι παρ᾿ αὐτῶν εἰσῆλθεν εἰς τὴν κέλλαν αὐτοῦ, καὶ ἐφόρεσεν ἱμάτια εὐτελῆ πάντη καὶ ἐπαιτικά· καὶ ἐξελθὼν διῆλθε διὰ μέσου αὐτῶν, καὶ πάλιν εἰσελθὼν ἐφόρεσε τὰ ἴδια ἱμάτια, καὶ ἐξελθὼν ἐκάθισε μετ᾿ αὐτῶν.

3. Αὐτοὶ δὲ ἐξίσταντο ἐπὶ τῷ ἔργῳ τοῦ Γέροντος. Ὁ δὲ εἶπεν αὐτοῖς· κατενοήσατε ὃ ἐποίησα; καὶ εἶπον, ναί· καὶ ὁ Γέρων· μὴ ἠλλάγην ἀπὸ τοῦ φορέσαι τὰ ἱμάτια; λέγουσιν ἐκεῖνοι, οὔ. Ὁ δέ φησι πρὸς αὐτούς· οὕτως οὐδὲ ἐκ τῆς ὑποδοχῆς τῶν ἀδελφῶν βλαπτόμεθά τι, κἂν δι᾿ αὐτοὺς καταλύσωμεν.

4. Ὅτε οὖν ἐστι παρουσία ἀδελφῶν, μετὰ παῤῥησίας αὐτοὺς δεξώμεθα· ὅτε δὲ κατὰ μόνους ἐσμέν, τοῦ πένθους φροντίσωμεν, ἵνα παραμένῃ ἡμῖν· οἱ δὲ ἀκού-

σαντες ἐθαύμασαν, ὅτι πρὸ τοῦ αὐτὸν ἐρωτῆσαι, εἶπεν αὐτοῖς τὰ ἐν τῇ καρδίᾳ αὐτῶν καὶ ἐδόξασαν τὸν Θεόν.

5. Ἐδόθη ποτὲ εἰς σκῆτιν ἐντολή, ὅτι νηστεύσατε τὴν ἑβδομάδα ταύτην· παρέβαλον δὲ κατὰ συγκυρίαν ἀπ᾿ Αἰγύπτου ἀδελφοὶ τῷ Ἀββᾶ Μωϋσῇ, καὶ ἐποίησεν αὐτοῖς μικρὸν ἕψημα· ἰδόντες δὲ οἱ γειτονοῦντες αὐτῷ τὸν καπνόν, εἶπον τοῖς κληρικοῖς· ἰδοὺ Μωϋσῆς κατέλυσε τὴν ἐντολήν, καὶ ἕψημα παρ᾿ ἑαυτῷ ἐποίησεν· οἱ δὲ εἶπον ὅτε ἔρχεται, ἡμεῖς εἴπωμεν αὐτῷ.

6. Γενομένου οὖν τοῦ Σαββάτου καὶ ἅμα τοῖς λοιποῖς Πατράσιν ἐλθόντος καὶ τοῦ Μωϋσέως εἰς τὴν Ἐκκλησίαν, οἱ κληρικοὶ ἰδόντες τὴν μεγάλην πολιτείαν τοῦ Ἀββᾶ Μωϋσῆ, ἐνώπιον πάντων εἶπον αὐτῷ· ὦ Ἀββᾶ Μωϋσῆ, τὴν ἐντολὴν τῶν ἀνθρώπων ἔλυσας, τὴν δὲ τοῦ Θεοῦ ἐφύλαξας.

7. Ἀδελφὸς παρέβαλε τῷ Ἀββᾷ Ποιμένι μετὰ δύο ἑβδομάδας τῆς Τεσσαρακοστῆς, καὶ ἐξειπὼν τοὺς λογισμοὺς αὐτοῦ, καὶ τυχὼν ἀναπαύσεως, λέγει πρὸς τὸν Γέροντα· παραβραχὺ κατεσχέθην ἂν παραγενέσθαι ὧδε σήμερον. Ἔφη αὐτῷ ὁ Γέρων· διατί; ἀπεκρίθη ὁ ἀδελφός· εἶπον, μήποτε οὐκ ἀνοίγετέ μοι διὰ τὴν Τεσσαρακοστήν· λέγει αὐτῷ ὁ Γέρων· ἡμεῖς οὐκ ἐμάθομεν κλείειν τὴν ξυλίνην θύραν, ἀλλὰ μᾶλλον τῆς γλώσσης τὴν θύραν.

8. Ἀδελφὸς παρέβαλεν Ἀναχωρητῇ τινι, καὶ μετὰ τῷ ὁμιλῆσαι αὐτῷ καὶ τυχεῖν ἀναπαύσεως, ἐκβαίνων ἔλεγε· συγχώρησόν μοι, Ἀββᾶ, ὅτι κατήργησά σε τοῦ κανόνος σου· καὶ ἀπεκρίθη ὁ Γέρων· ὁ ἐμὸς κανών ἐστιν, ἵνα ἀναπαύσω σε καὶ ἀπολύσω ἐν εἰρήνῃ.


9. Ἔλεγον περί τινος Γέροντος, ὅτι ἔμενεν ἐν Συρίᾳ παρὰ τὴν ὁδὸν τῆς ἐρήμου, εἶχε δὲ ἐργασίαν τοιαύτην· οἵαν ὥραν διήρχετο Μοναχὸς ἐκ τῆς ἐρήμου, ἀγαθῇ πεποιθήσει, ἐποίει αὐτῷ ἀνάπαυσιν.

10. Διήρχετο οὖν ποτέ τις Ἀναχωρητής, καὶ προσδραμὼν ὁ Γέρων παρεκάλει αὐτὸν εἰς ἀνάπαυσιν· ὁ δὲ οὐκ ἤθελεν, εἰπὼν ὅτι νηστεύω καὶ οὐ δύναμαι καταλῦσαι ἄρτι· ὁ δὲ λυπηθείς, εἶπεν αὐτῷ· μὴ παρίδῃς τὸν παῖδά σου δέομαί σου, ἀλλ᾿ εἰ βούλει δεῦρο εὐξώμεθα· καὶ οὕτω μετὰ τὴν εὐχὴν ποιήσας τῷ Ἀναχωρητῇ ἀνάπαυσιν, ὁ Γέρων ἀπέλυσεν ἐν εὐχαριστίᾳ μεγάλῃ.

11. Διηγήσατο ὁ Ἀββᾶς Κασσιανός, ὅτι παρεβάλομεν ἀπὸ Παλαιστίνης εἰς Αἴγυπτόν τινι τῶν Πατέρων, καὶ φιλοξενήσας ἡμᾶς, ἠρωτήθη παρ᾿ ἡμῶν τίνος ἕνεκεν ἐν τῷ καιρῷ τῆς ὑποδοχῆς τῶν ξένων ἀδελφῶν τὸν κανόνα τῆς νηστείας οὐ φυλάττετε, ὡς ἐν Παλαιστίνῃ παρελάβομεν;

12. Καὶ ἀπεκρίθη λέγων· ἡ νηστεία μετ᾿ ἐμοῦ ἐστι πάντοτε, ὑμᾶς δὲ οὐ δυνάμεθα κατέχειν πάντοτε μεθ᾿ ἡμῶν· καὶ ἡ μὲν νηστεία καὶ χρήσιμόν ἐστι πρᾶγμα καὶ ἀναγκαῖον, τῆς ἡμετέρας δὲ ἔστι προαιρέσεως· τὴν δὲ τῆς ἀγάπης πλήρωσιν ἐξ ἀνάγκης ἀπαιτεῖ ὁ τοῦ Θεοῦ νόμος· ὑμᾶς οὖν δεχόμενοι καὶ ἐν ὑμῖν τὸν Χριστόν, χρεωστοῦμεν μετὰ πάσης θεραπεῦσαι σπουδῆς· ἐπὰν δὲ ὑμᾶς προπέμψω, τὸν κανόνα τῆς νηστείας δύναμαι ἀνακτήσασθαι· «οὐ δύνανται γὰρ οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ᾿ ὅσον χρόνον ὁ νυμφίος μετ᾿ αὐτῶν ἐστιν· ὅταν δὲ ἀρθῇ ἀπ᾿ αὐτῶν, τότε μετ᾿ ἐξουσίας νηστεύουσιν».

13. Εἶπε πάλιν· ὅτι παρεβάλομεν ἑτέρῳ Γέροντι καὶ ἐποίησεν ἡμᾶς γεύσασθαι· προετρέπετο δὲ ἡμᾶς, κορεσθέντας, ἔτι μεταλαβεῖν τροφῆς· ἐμοῦ δὲ εἰρηκότος μηκέτι δύνασθαι, ἀπεκρίθη ἐκεῖνος· ἐγὼ ἑξάκις παραγενομένων ἀδελφῶν ἔθηκα τράπεζαν, καὶ προτρεπόμενος ἕνα ἕκαστον αὐτῶν, συνήσθιον καὶ ἀκμὴν ἐσθίειν θέλω· τοῦτο δὲ σὺ ἅπαξ φαγὼν οὕτως ἐκορέσθης, ὥς τε μὴ δύνασθαι;


Ὁ ἈΒΒᾶC ἸΩCΉΦ ΤΗC
ΠΑΝΕΦΏ

Τοῦ Πατρὸς

14. Σκόπει ὁ ἀναγινώσκων τὴν προσοχὴν τοῦ Γέροντος καὶ ἀκρίβειαν, πῶς τοὺς ὑποδεχθέντας ἀναπαύων καὶ δοκῶν αὐτοῖς συνεσθίειν, παρεγεύετο μόνον τῶν βρωμάτων, καὶ οὐκ ἐκορέννυτο· εἰ γὰρ ἂν ἑξάκις τῆς ἡμέρας φαγών, ἀκμὴν ἐπείνα, καὶ τὴν χρείαν οὐκ ἀνεπλήρωσεν, εἰ μὴ περιεσκεμμένως, ὡς εἶπον, τῶν παρατιθεμένων ἥπτετο· ὁ οὖν οὕτω ποιεῖν δυνάμενος, τοῖς πᾶσι συνεσθιέτω, αὐτὸς μὲν γὰρ οὐδὲν βλαβήσεται, ἐκείνους δὲ ὠφελήσει.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ ἀπὸ τοὺς Πατέρας ἐπεσκέφθησαν κάποτε τὸν Ἀββᾶν Ἰωσήφ, ποὺ διέμενεν εἰς Πανεφώ, διὰ νὰ τὸν ἐρωτήσουν πῶς πρέπει νὰ συμπεριφέρωνται πρὸς τοὺς ἀδελφούς, ποὺ ἐφιλοξένουν καὶ ἐὰν πρέπει νὰ κάμνουν συγκατάβασιν ἀπὸ τὴν ἀσκητικὴν αὐστηρότητα, διὰ νὰ τοὺς περιποιηθοῦν.

2. Ὁ Γέρων, ἀφοῦ τοὺς ὑπεδέχθη καὶ τοὺς προέτρεψε νὰ καθίσουν, πρὶν ἀκόμη τὸν ἐρωτήσουν, εἰσῆλθεν εἰς τὸ ἰδιαίτερον κελλίον του καὶ ἀφοῦ ἐφόρεσε πολὺ πτωχικὰ ἐνδύματα, ὡσὰν αὐτὰ ποὺ φοροῦν οἱ ἐπαῖται, ἐξῆλθε καὶ ἐπέρασεν ἀπὸ ἔμπροσθέν των. Ἀφοῦ δὲ ἔκαμε μίαν στροφὴν εἰσῆλθε καὶ πάλιν εἰς τὸ κελλί του, ἤλλαξε τὰ πτωχικὰ ἐνδύματα, ἐφόρεσε τὰ ἰδικά του καὶ ἀφοῦ ἐξῆλθεν, ἐκάθισεν εἰς τὴν συντροφιὰν τῶν ἀδελφῶν.

3. Οἱ ἀδελφοὶ ἠπόρουν μὲ τὸ ἔργον τοῦ Γέροντος καὶ διηρωτῶντο τί σημαίνει! Ὁ Γέρων τότε εἶπε πρὸς αὐτούς:

—Ἀντελήφθητε αὐτό, ποὺ ἔκαμα;

— Μάλιστα·—εἶπον—ἦλθες δύο φορὲς μὲ διαφορετικὰ ἐνδύματα!

— Εἰπέτε μου τώρα—λέγει ὁ Γέρων—μήπως ἔγινα διαφορετικὸς ἀπὸ αὐτός, ποὺ ἤμουν, ἐξ αἰτίας τῆς ἀλλαγῆς τῶν ἐνδυμάτων;

—Ὄχι—ἀπήντησαν οἱ ἀδελφοί.

Λέγει τότε ὁ Γέρων πρὸς τοὺς ἀδελφούς.

— Ταιουτοτρόπως λοιπὸν δὲν βλαπτόμεθα καὶ ἐὰν ἀκόμη καταλύσωμεν τροφάς, ποὺ δὲν γευόμεθα κατὰ τὴν ἄσκησίν μας, χάριν τῶν ἀδελφῶν, ποὺ φιλοξενοῦμεν, πολὺ δὲ περισσότερον δὲν βλαπτόμεθα ἀπὸ αὐτὴν καθ' ἑαυτὴν τὴν ὑποδοχὴν τῶν ἀδελφῶν.

4. Ὅταν λοιπὸν μᾶς ἐπισκεφθοῦν ἀδελφοί, νὰ τοὺς ὑποδεχθῶμεν μὲ καλωσύνην καὶ ἄνεσιν ἀγάπης· ὅταν πάλιν παραμείνωμεν μόνοι, τότε ἂς φροντίσωμεν νὰ καλλιεργήσωμεν τὸ ψυχωφελὲς πένθος, διὰ νὰ παραμείνῃ μονίμως ἐντὸς ἡμῶν.

Οἱ προσελθόντες πρὸς τὸν Ἀββᾶν Ἰωσὴφ Μοναχοὶ μόλις ἤκουσαν τὴν διδαχὴν αὐτὴν ἐθαύμασαν, διότι ὁ προορατικὸς Γέρων εἶπεν εἰς αὐτοὺς ὅσα ἐσκέπτοντο, πρὶν τὸν ἐρωτήσουν· ἐξ αἰτίας αὐτοῦ ἐδόξασαν τὸν Θεόν.

5. Κάποτε ἐδόθη ἐντολὴ εἰς τὴν σκήτην νὰ νηστεύσουν ἐπὶ μίαν

ἑβδομάδα. Κατὰ σύμπτωσιν τὴν ἑβδομάδα ἐκείνην ἐπεσκέφθησαν τὸν Ἀββᾶν Μωϋσῆν μερικοὶ ἀδελφοὶ ἀπὸ τὴν Αἴγυπτον. Χάριν τῶν ἐπισκεπτῶν αὐτῶν παρεσκεύασεν εἰς αὐτοὺς ὁ Ἀββᾶς Μωϋσῆς ὀλίγον μαγειρευμένον φαγητόν. Μόλις οἱ γείτονες εἶδον τὸν καπνὸν ἀπὸ τὸ κελλὶ τοῦ Ἀββᾶ Μωϋσῆ ἔσπευσαν καὶ κατήγγειλαν εἰς τοὺς Κληρικούς, ὅτι ὁ Ἀββᾶς Μωϋσῆς κατεπάτησε τὴν ἐντολὴν τῆς νηστείας, ποὺ ἐδόθη, καὶ ἐμαγείρευσεν εἰς τὸ κελλί του φαγητόν. Οἱ Κληρικοὶ ἀπήντησαν:

—Ὅταν θὰ ἔλθῃ, ἡμεῖς θὰ τοῦ ζητήσωμεν ἐξηγήσεις.

6. Ὅταν λοιπὸν ἔφθασε τὸ Σάββατον, ὅτε, ὡς γνωστόν, προσέρχονται ὅλοι οἱ σκητιῶται εἰς τὴν Ἐκκλησίαν τῆς σκήτης, προσῆλθε μαζὶ μὲ τοὺς ὑπολοίπους Πατέρας καὶ ὁ Μωϋσῆς. Οἱ Κληρικοὶ εἶδον εἰς τὸ πρόσωπον τοῦ Μωϋσέως τὴν ἐνάρετον καὶ ἀσκητικὴν πολιτείαν καὶ ἀντελήφθησαν, ὅτι χάριν φιλοξενείας ἐμαγείρευσε τὸ φαγητόν· τότε ἀμέσως ἐνώπιον ὅλων τοῦ λέγουν μεγαλοφώνως:

— Ὦ Ἀββᾶ Μωϋσῆ, ἠθέτησας τὴν ἐντολὴν τῶν ἀνθρώπων, ἀλλ' ἐφήρμοσες τὴν περὶ ἀγάπης ἐντολὴν τοῦ Θεοῦ!

7. Ἕνας ἀδελφὸς ἐπεσκέφθη, κατὰ τὴν τρίτην ἑβδομάδα τῶν Νηστειῶν, τὸν Ἀββᾶν Ποιμένα· ἀφοῦ λοιπὸν ἐξωμολογήθη τοὺς λογισμούς του καὶ ἀνεπαύθη ψυχικῶς, λέγει τότε εἰς τὸν Γέροντα:

— Παρ' ὀλίγον νὰ ἐμποδισθῶ καὶ νὰ μὴ ἔλθω σήμερον ἐδῶ.

— Διατί;—ἠρώτησεν ὁ Γέρων.

—Ἐσκέφθην—ἀπεκρίθη ὁ ἀδελφός—μήπως δὲν μοῦ ἀνοίγατε, λόγῳ τῆς Μεγάλης Τεσσαρακοστῆς.

—Ἄκουσε, τέκνον μου,—ἀπεκρίθη ὁ Γέρων—ἡμεῖς δὲν ἐσυνηθίσαμεν νὰ κλείωμεν τὴν ξυλίνην θύραν τοῦ κελλίου μας, ἀλλὰ μόνον τὴν θύραν τῆς γλώσσης.

8. Ἕνας ἀδελφὸς ἐπεσκέφθη κάποιον ἔγκλειστον Ἀναχωρητήν· ἀφοῦ λοιπὸν συνωμίλησε μαζί του καὶ ἀνέπαυσε τὸν λογισμόν του, ἀναχωρῶν λέγει εἰς τὸν Ἀσκητήν:

— Συγχώρησόν με, Ἀββᾶ, διότι ἔγινα ἀφορμὴ νὰ καταργήσῃς τὸν κανόνα, ποὺ ἔχεις εἰς τὸν ἑαυτόν σου, νὰ μένῃς μόνος σου.

— Μὴ ἀνησυχῇς δι' αὐτό,—ἀπήντησεν ὁ Ἀσκητής·—ὁ κανόνας μου εἶναι νὰ ἀναπαύσω τὴν ψυχήν σου καὶ νὰ φύγῃς ἀπὸ τὸ κελλί μου εἰρηνικά.

9. Διηγοῦντο τὸ ἑξῆς περιστατικὸν δι' ἕνα Γέροντα:

Ὁ Γέρων αὐτὸς εἶχε τὸ μοναχικόν του κελλὶ εἰς τὴν Συρίαν, πλησίον τῆς ὁδοῦ, ποὺ ὁδηγεῖ εἰς τὴν ἔρημον. Ἠσχολεῖτο δὲ μὲ τὴν ἑξῆς ἐργασίαν· ὁσάκις ἐπερνοῦσεν ἐκ τῆς ἐρήμου κάποιος Μοναχός, ὁποιαδήποτε ὥρα καὶ ἐὰν ἦτο, τὸν παρεκάλει, ἀπὸ ἀγαθὴν προαίρε-

σιν, νὰ ἔλθῃ νὰ ξεκουρασθῇ εἰς τὸ κελλί του. Ἐκεῖ μέσα τὸν ἐπεριποιεῖτο καὶ τὸν ἀνέπαυε μὲ ἀγάπην.

10. Κάποτε λοιπὸν συνέβη νὰ διέλθῃ ἀπὸ τὰ μέρη ἐκεῖνα καὶ ἕνας Ἀναχωρητής. Ὁ Γέρων ἔτρεξε τότε μὲ προθυμίαν καὶ τὸν παρεκάλει νὰ περάσῃ ἀπὸ τὸ κελλί του, διὰ νὰ τὸν περιποιηθῇ καὶ νὰ ξεκουρασθῇ ἀπὸ τὴν ὁδοιπορίαν. Ὁ Ἀναχωρητὴς ὅμως ἠρνεῖτο νὰ δεχθῇ τὴν πρότασιν, ἰσχυριζόμενος, ὅτι ἐπειδὴ ἐνήστευε, δὲν ἠδύνατο νὰ φάγῃ τροφήν. Ὁ Μοναχὸς βαθύτατα λυπημένος ἐκ τῆς ἀρνήσεως αὐτῆς, ἐπέμενε παρακαλῶν καὶ ἱκέτευε τὸν Ἀναχωρητήν:

— Σὲ παρακαλῶ, μὴ περιφρονήσῃς τὸν δοῦλον σου· ἔλα, ἐὰν θέλῃς, ἐπὶ τέλους, νὰ προσευχηθῶμεν.

Ὁ Ἀναχωρητὴς ὑπεχώρησε πρὸ τῆς τοιαύτης ἐπιμονῆς καὶ εἰσῆλθεν εἰς τὸ κελλίον τοῦ Μοναχοῦ· ἀφοῦ δὲ προσηυχήθησαν, τὸν ἐπεριποιήθη καὶ τὸν ἀνεκούφισεν ἀπὸ τοὺς κόπους τῆς πορείας. Μετὰ ταῦτα ἀνεχώρησεν ὁ Ἀναχωρητής, ὁ δὲ Μοναχὸς ἔμεινεν οὕτω εὐχαριστημένος.

11. Ὁ Ἀββᾶς Κασσιανὸς διηγεῖτο, ὅτι κάποτε μετέβησαν ἀπὸ τὴν Παλαιστίνην εἰς τὴν Αἴγυπτον, διὰ νὰ ἐπισκεφθοῦν κάποιον ὀνομαστὸν Ἀσκητήν. Ὁ Ἀσκητὴς μὲ προθυμίαν καὶ χαρὰν τοὺς ἐφιλοξένησε. Τότε οἱ ἐπισκέπται ὑπέβαλαν τὴν ἑξῆς ἐρώτησιν εἰς τὸν Ἀσκητήν:

— Διατί, Πάτερ, ὁσάκις φιλοξενεῖτε ἀδελφοὺς ἀπὸ ξένα μέρη, δὲν τηρεῖτε τὴν καθιερωμένην διὰ τοὺς Ἀσκητὰς νηστείαν, ὅπως ἡμεῖς εἰς τὴν Παλαιστίνην ἐκ παραδόσεως ἔχομεν παραλάβει;

12. Εἰς τὴν ἐρώτησιν ταύτην ἀπεκρίθη ὁ Γέρων:

— Πάντοτε ἔχω τὴν δυνατότητα νὰ νηστεύω· σᾶς ὅμως δὲν ἠμπορῶ νὰ ἔχω πάντοτε κοντά μου. Ἡ νηστεία εἶναι βεβαίως καὶ χρήσιμος καὶ ἀναγκαία· πλὴν ἐξαρτᾶται ἀπὸ τὴν προαίρεσίν μας. Τὴν ἐφαρμογὴν ὅμως τῆς πρὸς τὸν πλησίον ἀγάπης ζητεῖ ἀνυπερθέτως ὁ νόμος τοῦ Θεοῦ. Ὅταν λοιπὸν σᾶς ὑποδεχώμεθα, εἶναι ὡς νὰ ὑποδεχώμεθα τὸν ἴδιον τὸν Χριστόν· δι' αὐτὸ ἔχομεν ὑποχρέωσιν μετὰ πάσης προθυμίας νὰ σᾶς περιποιηθῶμεν. Ὅταν δὲ μὲ τὸ καλὸν σᾶς κατευοδώσω καὶ ἀναχωρήσητε, τότε ἔχω ὅλην τὴν δυνατότητα νὰ ἐπαναλάβω καὶ πάλιν τὸν κανόνα τῆς νηστείας. Ἄλλωστε τοιοῦτόν τι ὑπαινίσσεται καὶ τὸ ἱερὸν Εὐαγγέλιον, ὅταν λέγῃ· «Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν, ἐφ' ὅσον χρόνον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος; Ἐλεύσονται δὲ ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν» (Ματθ. θ', 15).

13. Ὁ ἴδιος, ὁ Ἀββᾶς Κασσιανός, διηγήθη καὶ ἄλλο παρόμοιον περιστατικόν:

— Κάποτε—εἶπεν—ἐπεσκέφθημεν ἕνα ἄλλον Γέροντα· αὐτὸς λοιπὸν μᾶς ὑπεχρέωσε νὰ γευματίσωμεν. Καίτοι δὲ ἐχορτάσαμεν, μᾶς προέτρεπε νὰ φάγωμεν ἀκόμη.

— Μὰ δὲν ἠμπορῶ, νὰ φάγω ἄλλο—παρετήρησα ἐγώ!

Καὶ τότε λέγει εἰς ἡμᾶς ὁ Γέρων:

— Κάποτε, ὅταν μὲ ἐπεσκέφθησαν ἀδελφοὶ ἀπὸ μακρινὸν μέρος, ἓξ φορὰς παρέθεσα τράπεζαν· προέτρεπα δὲ κάθε ἕνα ἐξ αὐτῶν, ποὺ ἤρχετο μετὰ τὸν ἄλλον, νὰ φάγῃ· χωρὶς δὲ νὰ θέλω νὰ τρώγω, ἔτρωγον μαζί των, διὰ νὰ τοὺς παρακινήσω νὰ φάγουν· σὺ λοιπὸν ἐχόρτασες μὲ μίαν φορὰν ποὺ ἔφαγες, ὥστε νὰ μὴ ἠμπορῇς νὰ φᾷς ἄλλο;

Τοῦ Πατρὸς

14. Σὺ ποὺ διαβάζεις τὸ ἀνωτέρω περιστατικόν, παρατήρησε τὴν προσοχὴν καὶ τὴν ἀκρίβειαν τοῦ Γέροντος· διὰ νὰ εὐχαριστήσῃ αὐτοὺς ποὺ ὑπεδέχετο εἰς τὸ κελλί του καὶ νὰ φανῇ εἰς αὐτούς, ὅτι τρώγει μαζί των, ἁπλῶς καὶ μόνον ἤγγιζε τροφάς, χωρὶς νὰ χορταίνῃ. Διότι ἐφ' ὅσον δὲν ἐχόρτασε, παρ' ὅλον ὅτι κατ' ἐκείνην τὴν μοναδικὴν περίπτωσιν ἔφαγεν ἓξ φορὰς κατὰ τὴν ἰδίαν ἐκείνην ἡμέραν καὶ ἀκόμη ἐπεινοῦσεν, εἶναι φανερόν, ὅτι διὰ τοῦ τρόπου αὐτοῦ δὲν ἔσπευδε νὰ ἱκανοποιήσῃ σωματικὴν ἀνάγκην, ἀλλὰ ἀπὸ σκοποῦ, ὅπως ἀνέφερον, χάριν τῆς ἀγάπης, ἤγγιζε τὰς παρατιθεμένας τροφάς. Ὅποιος λοιπὸν ἠμπορεῖ νὰ ἐνεργῇ κατὰ τὸν τρόπον αὐτόν, ἂς τρώγῃ μαζὶ μὲ ὅλους, διότι αὐτὸς μὲν δὲν θὰ ζημιωθῇ καθόλου, ἐνῷ θὰ ὠφελήσῃ τοὺς ἄλλους (1).

Β'. Ἐν τῷ Γεροντικῷ

ΠΑΡΕΒΑΛΟΝ ποτε δύο ἀδελφοὶ πρός τινα Γέροντα· ἡ δὲ συνήθεια τοῦ Γέροντος ἦν μὴ ἐσθίειν καθ' ἡμέραν· καὶ ὡς εἶδε τοὺς ἀδελφούς, ἐχάρη καὶ εἶπεν, ὅτι ἡ νηστεία μισθὸν ἔχει, καὶ ὁ ἐσθίων ἀγάπῃ δύο πάλιν ἐντολὰς ποιεῖ· ὅτι τὸ ἴδιον θέλημα ἀφῆκε, καὶ τοὺς ἀδελφοὺς ἀνέπαυσε, πληρώσας τὴν ἐντολὴν τῆς ἀγάπης.

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Μακαρίου, ὅτι εἴ ποτε εὐκαίρησε συνεσθιασθῆναι τοῖς ἀδελφοῖς, ἐτίθει ἑαυτῷ ὅρον, λέγων πρὸς ἑαυτόν, ὅτι ἐὰν εὑρεθῇ οἶνος διὰ τοὺς ἀδελφούς, πίε, καὶ ἀντὶ ἑνὸς ποτηρίου οἴνου, μίαν ἡμέραν μὴ πίῃς ὕδωρ ἐν τῷ κελλίῳ.

---

1) Σὺν τῇ σημειώσει ταύτῃ τοῦ ἀειμνήστου Πατρὸς Παύλου τοῦ ἐπικαλουμένου Εὐεργετινοῦ πρέπει καὶ τοῦτο νὰ γνωρίζωμεν· ἡ πρὸς περιποίησιν τῶν ξένων γενομένη ὑπὸ τῶν φιλοξενούντων Πατέρων λύσις νηστείας, δὲν ἀφεώρα τὸ εἶδος τοῦ φαγητοῦ, ἐπειδὴ τοῦτο ἦτο πάντοτε λιτότατον καὶ νηστήσιμον, ἐν πολλοῖς δὲ καὶ παξιμάδια σκέτα καὶ αὐτὰ πεπαλαιωμένα ἢ ὀλίγον πληγοῦρι ἢ ὄσπριά τινα. Ὁσάκις ἦτο κατάλυσις προσέθετον καὶ ὀλίγον ἔλαιον, σπανιώτατα δὲ τυρόν. Ἄλλα εἴδη τροφίμων δὲν ὑπῆρχον εἰς τὴν ἔρημον. Ἡ γενομένη λοιπὸν λύσις νηστείας δὲν ἀφεώρα τὸ εἶδος τοῦ φαγητοῦ, ἀλλὰ τὴν ὥραν. Κανονικῶς οἱ Πατέρες ἔτρωγον ἅπαξ τῆς ἡμέρας ξηροφαγοῦντες. Οἱ Ἀσκηταὶ ἔτρωγον καὶ ἅπαξ ἀνὰ δύο ἢ τρεῖς ἢ περισσοτέρας ἡμέρας. Χάριν τῶν ξένων παρέθετον τράπεζαν καὶ πρὸ τῆς κεκανονισμένης ὥρας, ποὺ ἦτο τὸ ἑσπέρας ἑκάστης ἡμέρας. Αὐτὴ νοεῖται ἐνταῦθα λύσις νηστείας, διότι νηστεία σημαίνει παντελὴς ἀσιτία.

3. Οἱ οὖν ἀδελφοί, ἀγνοοῦντες τὸν σκοπὸν τοῦ Γέροντος, ἐδίδουν αὐτῷ χάριν ἀναπαύσεως οἶνον· ὁ δὲ Γέρων μετὰ χαρᾶς ἐλάμβανεν, ἵνα ἑαυτὸν βασανίσῃ· ὁ δὲ μαθητὴς αὐτοῦ, εἰδὼς ὃ κατὰ μόνας ἐποίει ὁ Γέρων, ἔλεγε τοῖς ἀδελφοῖς· διὰ τὸν Κύριον, μὴ δότε αὐτῷ· εἰ δὲ μή γε, εἰς τὸ κελλίον μέλλει ἑαυτὸν βασανίζειν· καὶ μαθόντες οἱ ἀδελφοὶ τὴν ἐν κρυπτῷ ἐργασίαν τοῦ Γέροντος, οὐκέτι παρεῖχον αὐτῷ οἶνον.

4. Παρέβαλέ ποτε ὁ Ἀββᾶς Σιλουανὸς καὶ ὁ μαθητὴς αὐτοῦ Ζαχαρίας εἰς Μοναστήριον, καὶ ἐποίησαν αὐτοῖς οἱ ἀδελφοὶ γεύσασθαι μικρὸν πρὸ τοῦ ὁδεῦσαι· ὡς οὖν ἐξῆλθον καὶ ὥδευον, εὗρεν ὁ μαθητὴς ὕδωρ ἐν τῇ ὁδῷ, καὶ ἠρώτησε τὸν Γέροντα εἰ ἐπιτρέπει αὐτῷ πιεῖν· ὁ δὲ Γέρων ἔφη· νηστεία ἐστὶ σήμερον, Ζαχαρία· ὁ δὲ ἔφη· οὐκ ἐφάγομεν, Πάτερ; καὶ εἶπεν ὁ Γέρων· ἐκεῖνο τῆς ἀγάπης ἦν, ἡμεῖς δὲ τὴν ἑαυτῶν νηστείαν, τέκνον, κρατήσωμεν.

5. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σερίνου ὅτι πολλὰ εἰργάζετο, καὶ δύο παξαμάτας ἤσθιε διὰ παντός· ἐλθὼν οὖν ποτε πρὸς αὐτὸν ὁ Ἀββᾶς Ἰωσὴφ ὁ συμφωνητὴς αὐτοῦ, μέγας ὢν καὶ αὐτὸς Ἀσκητής, εἶπε τῷ Ἀββᾷ Σερίνῳ· ὅτε εἰς τὸ κελλίον μού εἰμι, φυλάττω τὴν τάξιν μου· ἐὰν δὲ ἐξέλθω, συγκαταβαίνω τοῖς ἀδελφοῖς· τί οὖν, καλῶς ποιῶ, ἢ οὔ;

6. Καὶ ἀπεκρίθη αὐτῷ ὁ Γέρων· οὐκ ἔστιν αὕτη μεγάλη ἀρετή, ὅταν ἐν τῷ κελλίῳ σου ὢν τηρῇς τὴν πολιτείαν σου, ἀλλὰ μᾶλλον, ὅταν ἐκ τοῦ κελλίου σου ἐξέλθῃς, καὶ οὐ λύεις τὴν τάξιν σου, τότε μέγαν ἔχεις τὸν ἐκ τῆς ἀρετῆς σου ἔπαινον.

7. Παρέβαλόν ποτε σκητιῶται τῇ Ἀμμᾷ Σάῤῥᾳ, ἡ δὲ παρέθηκεν αὐτοῖς κανίσκιον· οἱ δὲ ἀφέντες τὰ καλά, ἔφαγον τὰ σαπρά· καὶ εἶπεν αὐτοῖς ἐκείνη· ὄντως σκητιῶται ἐστέ.

8. Ἐγένετο προσφορὰ εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου, καὶ εὑρέθη ἐκεῖ κνίδιον οἴνου, καὶ λαβὼν εἷς τῶν Γερόντων μικρὸν ἀγγεῖον καὶ ποτήριον ἤνεγκε πρὸς τὸν Ἀββᾶν Σισώην, καὶ ἔδωκεν αὐτῷ, καὶ λαβὼν ἔπιεν· ὁμοίως καὶ δεύτερον παρέσχε καὶ ἐδέξατο· καὶ προσήνεγκεν αὐτῷ καὶ τρίτον, καὶ οὐκ ἔλαβεν εἰπών· παῦσαι, ἀδελφέ, ἢ οὐκ οἶδας ὅτι ἐστὶ Σατανᾶς;

9. Εἰ οὖν ἐκεῖνος διὰ χρόνου πολλοῦ, ἅπαξ καταλύσας, τὸ μέτρον οὐχ ὑπερέβη, ἀλλὰ καὶ τὸν προτρεπόμενον μεταλαβεῖν πλέον τοῦ δέοντος ἀνεπαισχύντως καὶ φανερῶς παρῃτήσατο, τὸν ἐκ τοῦ ἐχθροῦ πόλεμον δεδιέναι ὁμολογήσας ὁ καὶ τῶν ἀπαθῶν ἀπαθέστερος, πόσῳ γε μᾶλλον ἡμεῖς οἱ καθ' ἑκάστην οἴνου τε καὶ ποικίλων ἐδεσμάτων μεταλαμβάνοντες, ἵνα μὴ εἴπω εἰς κόρον ἀεὶ ἐμφορούμενοι, τοῖς βιαζομένοις ὑπερβῆναι ἡμᾶς τὴν συνήθειαν, πολλῷ γε τῷ πλείονι, οὐδὲ προσέχειν οὕτως ὀφείλομεν, μήτοι γε πείθεσθαι, ἀλλ' ὡς φανερὰν βλάβην καὶ ψυχῆς ὄλεθρον τὴν τοιαύτην ἀξίωσιν ἀποπέμπεσθαι, ἵνα μὴ τῷ συνήθει κόρῳ, ᾧ διηνεκῶς χρώμεθα, οἵ γε ζῶντες ἀδιαφόρως τὰ ὑπὲρ κόρον προσθέντες κατὰ πολύ, καὶ τὴν τοῦ νοὸς ὁλκάδα τῷ ἀμέτρῳ φόρτῳ ὑπερβαρήσαντες, ἐν βραχείᾳ τῇ τῶν ἐκτὸς ἀνέμων πνοῇ ἕτοιμον ἑαυτοῖς προξενήσωμεν τὸ ναυάγιον.

10. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Σισώη τοῦ Θηβαίου, ὅτι οὐκ ἤσθιεν ἄρτον, καὶ εἰς τὴν ἑορτὴν τοῦ Πάσχα ἔβαλον αὐτῷ οἱ ἀδελφοὶ μετάνοιαν ἵνα φάγῃ μετ' αὐτῶν· ὁ δὲ Γέρων ἀποκριθεὶς εἶπεν αὐτοῖς· ἓν ἐκ τῶν δύο ἔχω ποιῆσαι, ἢ ἄρτον μεταλαβεῖν, ἢ ἐκ τῶν προσφαγίων ὧν ἐποιήσατε· οἱ δὲ εἶπον αὐτῷ· ἄρτον μόνον φάγε· καὶ ἐποίησεν οὕτως.

11. Ἐπίσκοπός τις θεοφιλὴς παρέβαλε κατ' ἐνιαυτὸν εἰς σκῆτιν πρὸς τοὺς Πατέρας· ὑπήντησεν οὖν αὐτῷ ὁ ἀδελφός, καὶ ἤνεγκεν αὐτὸν εἰς τὸ αὐτοῦ κελ-

λίον, καὶ παραθεὶς αὐτῷ ἄρτον καὶ ἅλας, εἶπε· συγχώρησόν μοι, ὅτι οὐδὲν ἔχω ἄλλο παραθῆναί σοι· λέγει αὐτῷ ὁ Ἐπίσκοπος· θέλω ἵνα εἰς τὸ ἐρχόμενον ἔτος ἐλθών, μηδὲ ἅλας εὕρω.

12. Ἠνέχθη ποτὲ εἰς τὰ κελλία σαΐτης οἴνου ἀπαρχή, ἵνα δοθῇ τοῖς ἀδελφοῖς ἀνὰ ποτήριον· τίς δὲ τῶν ἀδελφῶν, μὴ βουλόμενος λαβεῖν, ἔφυγεν ἀπὸ τὸν θόλον, καὶ ἐμβάντος αὐτοῦ ἔπεσεν ὁ θόλος, καὶ τὸν ἀδελφὸν οὐκ ἀπέκτεινε, μέρος δέ τι αὐτοῦ ἀπέξεσε.

13. Συνέδραμον οὖν οἱ λοιποὶ ἀδελφοὶ διὰ τὸν ψόφον καὶ εἶδον τὸν μὲν θόλον πεπτωκότα, παραμέρος δὲ αὐτοῦ τὸν ἀδελφὸν ἑστῶτα, καὶ ἤρξαντο ἀτιμάζειν αὐτὸν λέγοντες· κενόδοξε, καλῶς σοι ἐγένετο· προσλαβόμενος δὲ αὐτὸν ὁ Ἀββᾶς ἔλεγεν· ἄφετε τὸν υἱόν μου, καλὸν ἔργον ἐποίησε, καὶ ζῇ Κύριος, οὐ μὴ ἀνοικοδομηθῇ ὁ θόλος οὗτος ἐν τοῖς χρόνοις μου, ἵνα μάθῃ ἡ οἰκουμένη ὅτι διὰ ποτήριον οἴνου ἔπεσεν ὁ θόλος εἰς τὰ κελλία.

14. Εἶπε Γέρων· ἐὰν ἀκμὴν νεώτερος ᾖς, φεῦγε τὸν οἶνον ὡς ὄφιν, κἂν ἀναγκασθεὶς ἐν ἀγάπῃ πίῃς, μικρὸν πιὼν παῦσον, κἂν ὁρκίζονταί σε οἱ καλέσαντές σε μὴ πρόσχῃς τοῖς ὅρκοις αὐτῶν· πολλάκις γὰρ ὁ Σατανᾶς ἀναγκάζει τοὺς Μοναχούς, ἴσως καὶ πρεσβυτέρους ὄντας, ἀναγκάσαι τοὺς νεωτέρους εἰς οἰνοποσίαν καὶ ἀδηφαγίαν· ἀλλὰ σὺ μὴ πεισθῇς αὐτοῖς· οἶνος γὰρ καὶ γυναῖκες χωρίζουσιν ἀπὸ τοῦ Θεοῦ.

15. Γέροντός τινος ἀπιόντος εἰς σκῆτιν, ἀδελφός τις τούτῳ συνώδευσεν· ὡς οὖν ἦλθον χωρισθῆναι ἀπ' ἀλλήλων, λέγει αὐτῷ ὁ Γέρων· γευσώμεθα ὁμοῦ, ἀδελφέ· ἦν δὲ πρωῒ καὶ ἀρχὴ τῆς ἑβδομάδος· ἔφαγον οὖν, καὶ ἀναστάντες ἀπῆλθον.

16. Ὡς δὲ διελθουσῶν τῶν ἄλλων ἡμερῶν ἦλθε τὸ Σάββατον, ὀρθρίσας ὁ Γέρων ἀπῆλθε πρὸς ἐκεῖνον τὸν ἀδελφόν, καὶ λέγει αὐτῷ· ἆρα ἐπείνασας, ἀδελφέ, ἀφ' ἧς ἐφάγομεν; ἀπεκρίθη ὁ ἀδελφός, οὐχί, καθ' ἡμέραν γὰρ ἐσθίων οὐ πεινῶ· ἔφη αὐτῷ ὁ Γέρων· φύσει, τέκνον, ἀπὸ τότε οὐκ ἔφαγον· ἀκούσας δε ὁ ἀδελφὸς κατενύγη καὶ πολλὰ ὠφελήθη.

Τοῦ Πατρός

17. Ὅρα πῶς ὁ Γέρων καὶ ἑαυτὸν κατὰ μόνας ἐκόλασε διὰ τὴν μικρὰν ἄνεσιν, καὶ τὸν ἀδελφὸν ᾠκοδόμησεν, ἢ ὡς δυνατὸν μιμητὴν αὐτοῦ γενέσθαι ἐν τοῖς τοιούτοις προτρεπόμενος, ἢ ἀσφαλιζόμενος ὡς ἀδύνατον, ἵνα μὴ καὶ αὐτὸς τοῖς ὁμοίοις ἐπιχειρήσας εἰς ἀδιαφορίαν ἐκδῷ ἑαυτόν, ἢ μὴ ἐπιχειρήσας κατακρίνῃ τὸν Γέροντα, ταπεινωθῇ δὲ μᾶλλον τὸ ὑπερβολικὸν ὁρῶν τῆς ἐκείνου δυνάμεως.

Ἑρμηνεία

ΔΥΟ ΑΔΕΛΦΟΙ ἐπεσκέφθησαν κάποτε ἕνα Γέροντα. Ὁ Γέρων αὐτὸς εἶχε τὴν συνήθειαν νὰ μὴ τρώγῃ καθημερινῶς. Ὁ Γέρων μόλις εἶδε τοὺς ἀδελφοὺς ἐχάρη καὶ εἶπεν:

—Ἡ νηστεία εἶναι πρᾶξις ἀξία μισθοῦ· ἐκεῖνος πάλιν ποὺ διακόπτει τὴν τελείαν νηστείαν καὶ τρώγει ἐξ ἀγάπης πρὸς τὸν ἀδελφόν, ἐκτελεῖ δύο σπουδαίας ἐντολάς· πρῶτον δὲν ἀφήνεται εἰς τὸ θέλημά του καὶ δεύτερον ἀναπαύει τοὺς ἀδελφοὺς ψυχικῶς καὶ σωματικῶς, ἐφαρμόζων οὕτω τὴν ἐντολὴν τῆς πρὸς τὸν πλησίον ἀγάπης.

Τοιουτοτρόπως ἐφιλοξένησε τοὺς ἀδελφοὺς καὶ τοὺς ηὐχαρίστησε.

2. Διὰ τὸν Ἀββᾶν Μακάριον διηγοῦντο τὰ ἑξῆς:

Ὁσάκις συνέτρωγε μὲ τοὺς ἀδελφοὺς τῆς σκήτης εἰς τράπεζαν

ἔθετε τὸν ἑξῆς ὅρον εἰς τὸν ἑαυτόν του: Ἐὰν μοῦ προσφέρουν οἶνον εἰς τὸ φαγητὸν θὰ τὸν πιῶ, χάριν τῶν ἀδελφῶν· τὴν ἐπομένην ὅμως ἡμέραν, ὅταν θὰ εἶμαι μόνος μου εἰς τὸ κελλίον, δὲν θὰ πιῶ καθόλου νερό, ὡς κανόνα διὰ τὸ ποτήρι τὸ κρασί, ποὺ ἔπιον.

3. Οἱ ἀδελφοί, διὰ νὰ ἀναπαύσουν καὶ εὐχαριστήσουν τὸν Ἀββᾶν Μακάριον, χωρὶς νὰ γνωρίζουν τὴν μυστικὴν αὐτὴν ἀπόφασιν τοῦ Γέροντος, τοῦ ἔδιδον οἶνον· ὁ Γέρων πάλιν μὲ χαρὰν ἐδέχετο τὴν προσφορὰν αὐτήν, διὰ νὰ λάβῃ ἀφορμὴν νὰ βασανίσῃ τὸν ἑαυτόν του. Ὁ μαθητὴς ὅμως τοῦ Ἀββᾶ Μακαρίου, ποὺ ἐγνώριζε τί κάμνει ὁ Γέρων, ὅταν εὑρίσκεται μόνος του εἰς τὸ κελλίον του, ἔλεγεν εἰς τοὺς ἀδελφούς:

— Δι' ἀγάπην Θεοῦ, μὴ τοῦ δίδετε κρασί, διότι μετὰ βασανίζει τὸν ἑαυτόν του εἰς τὸ κελλί.

Μόλις οἱ ἀδελφοὶ ἐπληροφορήθησαν τὴν μυστικὴν αὐτὴν ἄσκησιν τοῦ Γέροντος, οὐδέποτε πλέον τοῦ προσέφερον οἶνον.

4. Κάποτε ὁ Ἀββᾶς Σιλουανὸς μὲ τὸν ὑποτακτικόν του τὸν Ζαχαρίαν ἔφθασαν εἰς ἕνα Μοναστήριον. Οἱ ἀδελφοὶ τοῦ Μοναστηρίου, ἐξ ἀγάπης, τοὺς ὑπεχρέωσαν νὰ φάγουν ὀλίγον, πρὶν ἀναχωρήσουν διὰ τὴν πορείαν. Ἀφοῦ λοιπὸν ἀνεχώρησαν ἐκ τοῦ Μοναστηρίου καὶ ἐβάδιζον εἰς τὴν ἔρημον, συνήντησαν μίαν πηγήν· τότε ὁ μαθητὴς ἠρώτησε τὸν Γέροντα:

— Εἶναι εὐλογημένον, Γέροντα, νὰ πιῶ ὀλίγον νερό;

— Ζαχαρία,—εἶπεν ὁ Γέρων—σήμερον εἶναι νηστεία.

— Μά, Πάτερ μου,—λέγει ὁ Ζαχαρίας—πρὸ ὀλίγου δὲν ἐφάγομεν εἰς τὸ Μοναστήριον;

—Ἐκεῖ ἐφάγομεν—ἀπαντᾷ ὁ Γέρων—ἐξ ἀγάπης πρὸς τοὺς ἀδελφούς· τώρα ὅμως δὲν ὑπάρχει λόγος νὰ μὴ κρατήσωμεν τὴν νηστείαν μας.

5. Ὅσοι ἐκ τοῦ πλησίον ἐγνώρισαν τὸν Ἀββᾶν Σερῖνον, ἔλεγον ὅτι εἰργάζετο πάρα πολὺ καὶ ἔτρωγε τὴν ἡμέραν μόνον δύο παξιμάδια. Αὐτὴν δὲ τὴν τάξιν μετήρχετο πάντοτε.

Κάποτε τὸν ἐπεσκέφθη ὁ Ἀββᾶς Ἰωσήφ, ὁ ὁποῖος εὑρίσκετο εἰς τὸ ἴδιον μέτρον τῆς ἀσκήσεως μὲ αὐτόν, ἐσυμφωνοῦσε μὲ τὰς ἀπόψεις του καὶ ἦτο καὶ αὐτὸς μεγάλος Ἀσκητής.

Αὐτὸς λοιπόν, ὁ Ἀββᾶς Ἰωσήφ, ἐρωτᾷ τὸν Ἀββᾶν Σερῖνον:

—Ὅταν παραμένω εἰς τὸ κελλίον μου, φροντίζω καὶ διατηρῶ τὸ τυπικόν μου· ὅταν ὅμως ἐξέλθω ἀπὸ τὸ κελλί μου ἀναγκάζομαι, ἀπὸ ἀγάπην, νὰ προσαρμοσθῶ πρὸς τὰς συνηθείας τῶν ἀδελφῶν. Ποίαν γνώμην λοιπὸν ἔχεις; Κάμνω καλῶς ἢ ὄχι;

6. Ἀπεκρίθη τότε ὁ Ἀββᾶς Σερῖνος:

— Τὸ νὰ παραμένῃς εἰς τὸ κελλί σου καὶ νὰ διατηρῇς τὴν τάξιν τοῦ βίου σου δὲν εἶναι μεγάλη ἀρετή. Τότε μόνον ἡ ἀρετή σου

ἀξίζει μεγάλον ἔπαινον, ὅταν κατορθώνῃς νὰ ἐφαρμόζῃς τὸ τυπικὸν τοῦ μοναχικοῦ σου βίου, ὁσάκις ἐξέρχεσαι τοῦ κελλίου σου.

7. Μερικοὶ Μοναχοὶ ποὺ ἔξω εἰς σκήτην ἐπεσκέφθησαν κάποτε τὴν Ἀμμᾶ (=Μητέρα) Σάρραν. Αὕτη, διὰ νὰ τοὺς περιποιηθῇ, τοὺς προσέφερεν ἕνα πανεράκι μὲ διαφόρους καρποὺς καὶ ἐδέσματα. Οἱ Μοναχοὶ ἀπὸ τὰ φιλεύματα, ποὺ ἦσαν εἰς τὸ πανεράκι, ἔφαγον ὅσα ἤρχιζαν νὰ σαπίζουν καὶ ἄφησαν τὰ καλά. Τότε ἐκείνη τοὺς λέγει:

—Ἀληθῶς εἶσθε πραγματικοὶ σκητιῶται.

8. Κάποτε ἀπέστειλαν διάφορα εἴδη καὶ τρόφιμα πρὸς τοὺς Ἀσκητάς, ποὺ διέμενον εἰς τὸ ὄρος τοῦ Ἀββᾶ Ἀντωνίου. Μεταξὺ τῶν εἰδῶν αὐτῶν εὑρέθη καὶ ποσότης οἴνου· ἕνας λοιπὸν ἐκ τῶν Γερόντων ἔλαβε μίαν κανάταν ἀπὸ τὸν οἶνον αὐτὸν καὶ ἕνα ποτήριον καὶ τὸ ἔφερε, διὰ νὰ προσφέρῃ ὀλίγον εἰς τὸν Ἀββᾶν Σισώην. Πράγματι ὁ Ἀββᾶς Σισώης ἤπιεν ἕνα ποτήρι· ὁ Γέρων τοῦ προσέφερε καὶ δεύτερον καὶ τὸ ἤπιεν. Ὅταν ὅμως τοῦ προσέφερε τρίτον, ὁ Ἀββᾶς Σισώης ἠρνήθη νὰ τὸ δεχθῇ καὶ εἶπε:

— Σταμάτησε, ἀδελφέ μου· μὴ λησμονῇς, ὅτι τὸ παραπάνω αὐτό, ποὺ προσφέρεις, εἶναι τοῦ Σατανᾶ!

9. Ἐὰν λοιπὸν ἕνας Ἀββᾶς Σισώης, ὁ ὁποῖος εἰς διάστημα τόσων ἐτῶν ἔτυχε μίαν μόνον φορὰν νὰ πίῃ κρασί, ὄχι μόνον δὲν ὑπερέβη τὸ μέτρον, ἀλλὰ παρημπόδισε μὲ θάρρος καὶ χωρὶς νὰ ἐντραπῇ ἐκεῖνον, ποὺ τὸν προέτρεπε νὰ ὑπερβῇ τὸ μέτρον, ὁμολογήσας ὅτι ἐφοβεῖτο τὸν πόλεμον τοῦ ἐχθροῦ, καίτοι ἦτο καὶ ἀπὸ τοὺς ἀπαθεῖς ὁ πλέον ἀπαθής, πόσον περισσότερον πρέπει νὰ προσέχωμεν ἡμεῖς νὰ μὴ ὑπερβῶμεν τὸ μέτρον καὶ νὰ ἀπομακρύνωμεν αὐτούς, ποὺ μᾶς πιέζουν νὰ παραβῶμεν τὴν συνήθειάν μας; πολὺ δὲ περισσότερον τὰς ὑπερβολάς! Ἐπὶ τέλους ἡμεῖς καθημερινῶς πίνομεν οἶνον καὶ τρώγομεν διαφόρους τροφάς, διὰ νὰ μὴ εἴπω ὅτι καὶ ἐρχόμεθα πάντοτε εἰς κόρον!

Ἀσφαλῶς πολὺ περισσότερον πρέπει νὰ προσέχωμεν, μὴ τυχὸν παραπεισθῶμεν ἀπὸ τοιαύτας παροτρύνσεις· ἀπ' ἐναντίας τοιαύτας ἀξιώσεις πρέπει νὰ τὰς ἀποκρούωμεν, ὡς ὁλοφάνερον βλάβην καὶ καταστροφὴν τῆς ψυχῆς. Τοῦτο δὲ θὰ συμβῇ, ἐὰν εἰς τὸν συνηθισμένον κόρον, τὸν ὁποῖον πάντοτε αἰσθανόμεθα ἡμεῖς, ποὺ ζῶμεν χωρὶς τὸ ἀσκητικὸν μέτρον, προσθέσωμεν καὶ τὴν ὑπερβολήν· τότε τὸ πλοῖον τῆς διανοίας μας θὰ βαρύνῃ μὲ ὑπερβολικὸν φορτίον καὶ οἱ ἐκτὸς αὐτῆς ἄνεμοι, ποὺ προέρχονται ἀπὸ τὴν σάρκα καὶ τὰς αἰσθήσεις, θὰ προκαλέσουν εἰς ἡμᾶς συντόμως ναυάγιον.

10. Διηγοῦντο διὰ τὸν Ἀββᾶν Σισώην τὸν Θηβαῖον, ὅτι δὲν ἔτρωγεν ἄρτον. Κάποτε λοιπόν, κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα, οἱ ἀδελφοὶ τοῦ ἔβαλον μετάνοιαν καὶ τὸν παρεκάλουν νὰ φάγῃ μαζί των. Ὁ Γέρων τότε τοὺς ἀπήντησεν.

—Ἓν ἐκ τῶν δύο θὰ κάμω· ἢ θὰ φάγω μόνον ξηρὸν ἄρτον ἢ μόνον ἀπὸ τὰ φαγητά, ποὺ ἑτοιμάσατε.

—Ἐπὶ τέλους—τοῦ εἶπαν—φάγε μόνον ὀλίγον ἄρτον.

Πράγματι ἔφαγε μόνον ὀλίγον ἄρτον.

11. Ἕνας θεοφιλὴς Ἐπίσκοπος ἐπεσκέπτετο κάθε χρόνον τοὺς Πατέρας εἰς τὴν σκήτην· μίαν φορὰν λοιπὸν τὸν συνήντησεν ἕνας ἀδελφὸς καὶ τὸν ὡδήγησεν εἰς τὸ κελλίον του. Ὅταν ἦλθεν ἡ ὥρα τοῦ φαγητοῦ τοῦ παρέθεσε μόνον ἄρτον καὶ ἁλάτι· τοῦ εἶπε δὲ λυπημένος:

— Συγχώρησόν με, διότι δὲν ἔχω τίποτε ἄλλο νὰ σοῦ προσφέρω.

— Τὸ ἐρχόμενον ἔτος, — λέγει ὁ Ἐπίσκοπος—ὅταν θὰ ἐπανέλθω, θέλω νὰ μοῦ προσφέρῃς μόνον ἄρτον, χωρὶς ἁλάτι.

Μὲ αὐτὸ ἤθελε νὰ δείξῃ τὴν εὐχαριστίαν του διὰ τὴν φιλοξενίαν καὶ τὸ φιλοασκητικόν του πνεῦμα.

12. Κάποτε μετέφεραν εἰς τὰ κελλία ποσότητα οἴνου ἀπὸ τὴν Αἴγυπτον διὰ νὰ δοθῇ εἰς τοὺς ἀδελφοὺς ἀπὸ ἕνα ποτηράκι. Ἕνας ἐκ τῶν Μοναχῶν δὲν ἤθελε νὰ πάρῃ οἶνον καὶ δι' αὐτὸ ἔφυγεν ἀπὸ τὸν χῶρον, ὅπου ἐγένετο ἡ διανομή· ἐνῷ ὅμως εἰσήρχετο κάτω ἀπὸ μίαν θολωτὴν ὀροφὴν ἔπεσεν αἰφνιδίως αὐτή, χωρὶς νὰ τὸν φονεύσῃ· Ἐλαφρὰ μόνον τὸν ἐτραυμάτισε, τὸν ἐπῆρε ξηστά.

13. Ἀπὸ τὸν κρότον, ποὺ ἔγινεν, ἔτρεξαν οἱ ἄλλοι Μοναχοὶ νὰ ἰδοῦν τί συμβαίνει. Μόλις εἶδον τὴν ὀροφὴν νὰ ἔχῃ πέσει καὶ παραπλεύρως νὰ στέκῃ ἀβλαβὴς ὁ ἀδελφός, ἤρχισαν νὰ τὸν προσβάλλουν.

— Κενόδοξε—τοῦ ἔλεγον—καλὰ ἔπαθες!

Ὁ Ἀββᾶς, δηλαδὴ ὁ πνευματικὸς Πατὴρ τῆς σκήτης, τὸν ἐπῆρε κοντά του μὲ στοργὴν καὶ ἔλεγε:

— Μὴ πειράζετε τὸ παιδί μου· καλὰ ἔκαμε. Ζῇ Κύριος ὁ Θεός, ποὺ τὸν διέσωσεν. Αὐτὸς ὁ θόλος, ἐν ὅσῳ ζῶ, δὲν θὰ ξανακτισθῇ, διὰ νὰ πληροφορηθῇ ὅλος ὁ κόσμος ὅτι ἔπεσεν ἡ στέγη εἰς τὰ κελλία τῶν Μοναχῶν, διὰ νὰ διακηρύξῃ τὴν ἐγκράτειαν ἑνὸς ποτηρίου οἴνου.

14. Ἕνας γέρων Ἀσκητὴς ἔλεγε πρὸς τοὺς ὑποτακτικούς του:

—Ἐνόσῳ εἶσαι νέος ἀκόμη νὰ ἀποφεύγῃς τὸ κρασί, ὅπως τὸ φίδι. Καὶ ἐὰν ἀκόμη, δι' ἀγάπην ἀδελφικήν, ἀναγκασθῇς νὰ πιῇς, ἀφοῦ πιῇς ὀλίγον σταμάτησε. Ἀκόμη καὶ ὅταν σὲ ἐξαναγκάζουν μὲ ὅρκους, αὐτοὶ ποὺ σὲ ἐκάλεσαν, μὴ ὑποχωρήσῃς· διότι πολλὰς φορὰς ὁ Σατανᾶς πιέζει τοὺς Μοναχούς, ἔστω καὶ ἐὰν εἶναι γεροντότεροι, νὰ ἐξαναγκάζουν τοὺς νεωτέρους εἰς πολυφαγίαν καὶ οἰνοποσίαν. Σὺ ὅμως νὰ μὴ πείθεσαι εἰς τοιαύτας συμβουλάς, διότι πρέπει νὰ γνωρίζῃς, ὅτι τὸ κρασὶ καὶ αἱ γυναῖκες χωρίζουν τὸν Μοναχὸν ἀπὸ τὸν Θεόν.

15. Ἕνας γέρων Ἀσκητὴς κάποτε ἀνεχώρησε δι' ἐργασίαν του εἰς

τὴν σκήτην· χάριν ἀγάπης τὸν συνώδευσεν ἕνας ἀδελφός. Ὅταν ἐπρόκειτο νὰ χωρισθοῦν λέγει ὁ Γέρων εἰς τὸν ἀδελφόν:

—Ἔλα, ἀδελφέ μου, νὰ φάγωμεν ὀλίγον.

Πράγματι ἔφαγον. Ἡ ὥρα ὅμως ἦτο πρωῒ καὶ ἡ ἡμέρα ἡ πρώτη τῆς ἑβδομάδος. Ἀφοῦ δὲ ἔφαγον, ἀνεχώρησαν καὶ μετέβη ἕκαστος εἰς τὸ μέρος του.

16. Εἰς τὸ τέλος τῆς ἑβδομάδος, τὸ Σάββατον πρωῒ - πρωΐ, ἐπεσκέφθη ὁ Γέρων τὸν ἀδελφὸν καὶ τοῦ λέγει:

—Ἀδελφέ μου, δὲν ἐπείνασες καθόλου ἀπὸ τὴν ἡμέραν, ποὺ ἐφάγομεν μαζί;


—Ὄχι — ἀπήντησεν ὁ ἀδελφός. — Διατί ἄλλωστε νὰ πεινάσω, ἐφ' ὅσον καθημερινῶς τρώγω;

—Ἐγώ, τέκνον μου—εἶπεν ὁ Γέρων—ἐκ συνηθείας, δὲν ἔφαγα τίποτε ἀπὸ ἐκείνην τὴν ἡμέραν.

Πληροφορηθεὶς αὐτὸ ὁ νεώτερος Μοναχὸς συνεκινήθη καὶ ὠφελήθη πάρα πολύ.

Τοῦ Πατρός

17. Πρόσεξε νὰ ἴδῃς πόσον σοφῶς ἐνεργεῖ ὁ Γέρων αὐτός· καὶ τὸν ἑαυτόν του ἐτιμώρησεν ἰδιαιτέρως διὰ τὴν μικρὰν ἄνεσιν τῆς τροφῆς, ἀλλὰ καὶ τὸν ἀδελφὸν ὠφέλησεν, ὥστε νὰ γίνῃ, κατὰ τὸ δυνατόν, μιμητής του εἰς τὴν ἄσκησιν αὐτήν, ἢ ἐὰν θὰ εἶναι ἀδύνατος, νὰ ἀσφαλισθῇ καὶ νὰ μὴ περιφρονήσῃ τοὺς ἄλλους, ὅταν θὰ ἐπιχειρήσῃ παρόμοια πράγματα, ἤ, τέλος, ἐὰν δὲν ἔχῃ τὴν δύναμιν αὐτήν, νὰ μὴ κατακρίνῃ τὸν Γέροντα· ἀπεναντίας παρατηρῶν τὴν ὑπεροχὴν τῆς ἀσκήσεως τοῦ Γέροντος νὰ ταπεινωθῇ.



ΥΠΟΘΕΣΙΣ ΜΓ΄

Ὅτι οὐ δεῖ τοῖς παραβάλλουσι τῷ Κοινοβίῳ, κἂν Μοναχοὶ ὦσιν, ἀδιαφόρως ἐπιτρέπειν τὴν πρὸς τοὺς ἀδελφοὺς ὁμιλίαν ἢ συνοίκησιν· καὶ τοὺς ἀδελφοὺς δέ, τίνα δεῖ τηρεῖν πρὸς τοὺς παραβάλλοντας.

Δὲν πρέπει οἱ ἐπισκεπτόμενοι Κοινόβιον, ἔστω καὶ ἐὰν εἶναι Μοναχοί, νὰ ἐπικοινωνοῦν ἐλεύθερα καὶ νὰ συναναστρέφωνται τοὺς ἀδελφούς. Πῶς πρέπει οἱ ἀδελφοὶ τοῦ Κοινοβίου νὰ συμπεριφέρωνται πρὸς τοὺς ἐπισκέπτας.

Α΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Παχωμίου

ΟΜΟΛΟΓΗΤΗΣ τις Διονύσιος καλούμενος, οἰκονόμος τῆς ἐν Τύρῳ Ἐκκλησίας, φίλος ὢν τοῦ Ἁγίου Παχωμίου, ἀκούσας παρά τινων ὅτι τοὺς ἀπὸ τῶν ἄλλων Μοναστηρίων πρὸς αὐτὸν παραγινομένους οὐ συγχωρεῖ συνδιατρίβειν τοῖς μετ᾽ αὐτοῦ οὖσιν ἀδελφοῖς, ἀλλ᾽ ἐν ἑτέρῳ τόπῳ πρὸς τὰς θύρας τοῦ Μοναστηρίου καταμένειν, σφόδρα λυπηθείς, παρεγένετο πρὸς αὐτόν, καὶ ἐπιπληκτικώτερον διαλεγόμενος, ἔλεγεν· οὐ καλῶς ποιεῖς, Ἀββᾶ, μὴ τὴν αὐτὴν διάθεσιν πρὸς πάντας ἔχων τοὺς ἀδελφούς.

2. Ὁ δὲ μετὰ πολλῆς τῆς μακροθυμίας καὶ τῆς πραότητος ἀποκριθείς, εἶπεν αὐτῷ· οἶδεν ὁ Θεός, ὅτι οὐδέποτε ἠθέλησα λυπῆσαι ψυχὴν ἢ παριδεῖν· πῶς οὖν τολμῆσαι εἶχον νῦν πρᾶξαι τοῦτο, καὶ παροξῦναι τὸν Κύριον κατ᾽ ἐμοῦ διαῤῥήδην βοῶντα, «ἐφ᾽ ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε»;

3. Δέξαι οὖν με πληροφοροῦντά σε, Πάτερ, οὐ γὰρ ἐξουθενῶν τοὺς ἐνταῦθα παραγενομένους τοῦτο ἐποίησα, ἀλλ᾽ ἐπειδὴ τὸ Κοινόβιον πολλοὺς τοὺς νεήλυδας ἔχει, καὶ μήπω ἐπισταμένους μηδὲ αὐτὸ τὸ σχῆμα τοῦ Μοναχοῦ, ἐν οἷς εἰσι καὶ παιδία ἐν ἁπλότητι ὄντα τοσαύτῃ, ὡς μηδὲ εἰδέναι αὐτὰ δεξιὰ ἢ ἀριστερά, ἡγησάμην λυσιτελέστερον εἶναι τοὺς ἀδελφοὺς ἰδιαζόντως διάγειν, καὶ τοὺς παραγενομένους ὡσαύτως καθ᾽ ἑαυτούς.

4. Τοῦτο δὲ τιμὴν μᾶλλον ἡγοῦμαι εἶναι τοῖς παραβάλλουσιν ὑμῖν Πατράσι καὶ ἀδελφοῖς, τὸ τῇ μὲν ὥρᾳ τῆς προσευχῆς συνάγεσθαι μεθ᾽ ἡμῶν, μετὰ δὲ ταῦτα ἕκαστον τὸν ὡρισμένον αὐτῷ καταλαμβάνειν τόπον, καὶ ἡσυχίαν ἄγειν· ἐμοῦ δηλαδὴ σὺν Θεῷ ἐξυπηρετουμένου ταῖς χρείαις αὐτῶν.

5. Ταῦτα ἀκούσας παρ᾽ αὐτοῦ ὁ πρεσβύτης Διονύσιος, ἀπελογεῖτο μᾶλλον αὐτῷ μετανοῶν, γινώσκων αὐτὸν κατὰ Θεὸν ἅπαντα διαπράττεσθαι· καὶ λίαν ἡσθεὶς ἐπὶ τῇ τοιαύτῃ ἀπολογίᾳ, χαίρων τὰ οἰκεῖα κατέλαβεν.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ Ἐκκλησίαν τῆς Τύρου ὑπηρέτει ἕνας καλὸς κληρικός, μὲ τὸ ὀφφίκιον τοῦ οἰκονόμου, ὀνόματι Διονύσιος. Αὐτὸς εἶχε διακριθῆ διὰ τὴν καλὴν ὁμολογίαν τῆς πίστεως, ἐνώπιον τῶν τυράννων· ἦτο δὲ καὶ φίλος τοῦ Ἁγίου Παχωμίου.

Κάποτε λοιπὸν ὁ περὶ οὗ ὁ λόγος κληρικὸς Διονύσιος ἐπληροφορήθη, ὅτι ὁ Ἅγιος Παχώμιος δὲν ἐπιτρέπει εἰς τοὺς Μοναχοὺς ἄλλων Μοναστηρίων, ποὺ ἐπισκέπτονται τὸ Κοινόβιόν του, νὰ συναναστρέφωνται καὶ νὰ συνομιλοῦν μὲ τοὺς ὑποτακτικούς του· τοὺς ἐπισκέπτας αὐτοὺς τοὺς ὑπεχρέωνε νὰ μένουν εἰς ἰδιαίτερα κελλιά, πλησίον τῆς θύρας τοῦ Μοναστηρίου του. Ἡ εἴδησις αὐτὴ τὸν ἐλύπησε πάρα πολύ· τὸν ἐπισκέπτεται λοιπὸν πρὸς τὸν σκοπὸν νὰ τὸν ἐπιπλήξῃ. Πράγματι δὲ μεταξύ των συνήφθη ὁ ἑξῆς διάλογος:

Διονύσιος: Δὲν κάμνεις καθόλου καλά, Ἀββᾶ, μὲ τὸ νὰ μὴ ἔχῃς τὸ ἴδιον ὅλους τοὺς Μοναχούς, ἀλλὰ νὰ ξεχωρίζῃς τοὺς προερχομένους ἐξ ἄλλων Μοναστηρίων ἀπὸ τοὺς ἰδικούς σου.

2. Ὁ Ἀββᾶς Παχώμιος μὲ φιλάδελφον ἀνεκτικότητα καὶ χωρὶς νὰ ἐκνευρίζεται τοῦ ἀπήντησεν.

Ἀββᾶς Παχώμιος: Ὁ Θεὸς γνωρίζει, ἀδελφέ μου, ὅτι ποτὲ δὲν ἠθέλησα νὰ λυπήσω ἄνθρωπον ἤ, πολὺ περισσότερον, νὰ τὸν περιφρονήσω. Πῶς λοιπὸν θὰ ἐτολμοῦσα νὰ κάμω αὐτό, διὰ τὸ ὁποῖον μὲ κατηγορεῖς, καὶ νὰ παροργίσω ἐναντίον μου τὸν Κύριον, ὁ ὁποῖος κατηγορηματικῶς παραγγέλλει εἰς τὸ Ἅγιον Εὐαγγέλιόν Του· «ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε»; (Ματθ. κε', 40).

3. Σὲ πληροφορῶ λοιπόν, Πάτερ μου, διὰ νὰ ἀναπαύσῃς τὸν λογισμόν σου, ὅτι τὸν διαχωρισμὸν αὐτόν, εἰς τὸν ὁποῖον ὑποβάλλω τοὺς προσερχομένους, δὲν τὸν κάμνω ἀπὸ καταφρόνησιν πρὸς αὐτούς. Ὅπως γνωρίζεις, τὸ Κοινόβιον ἔχει καὶ πολλοὺς ποὺ προσῆλθον τώρα κοντὰ καὶ ποὺ δὲν γνωρίζουν ἀκόμη οὔτε τὰ καθήκοντά των, ἀλλ' οὔτε καὶ αὐτὴν τὴν σημασίαν τοῦ μοναχικοῦ σχήματος· μεταξὺ αὐτῶν, τῶν νεοπροσελθόντων, ὑπάρχουν ἀκόμη καὶ παιδιά, ποὺ ἔχουν τοσαύτην ἁπλότητα διανοίας, ὥστε νὰ μὴ διακρίνουν ἀκόμη τὸ δεξιὸν ἀπὸ τὸ ἀριστερόν. Ἔκρινα λοιπόν, ὅτι θὰ ἦτο ψυχικῶς ὠφέλιμον, ἐὰν διέμεναν ξεχωριστὰ οἱ ἀδελφοὶ τοῦ Κοινοβίου ἀπὸ τοὺς ἐπισκέπτας.

4. Τὸν διαχωρισμὸν αὐτὸν τὸν νομίζω ὡς τιμὴν διὰ τοὺς ἐπισκεπτομένους ἡμᾶς Πατέρας καὶ ἀδελφούς· διότι κατὰ τὴν ὥραν τῆς προσευχῆς εἴμεθα μαζί, μετὰ τὴν ἀκολουθίαν ὅμως καθένας πηγαίνει εἰς τὸ κελλί του ἢ τὸ διακόνημά του καὶ ἡσυχάζει, ἐγὼ δέ, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, τοὺς ἐξυπηρετῶ εἰς ὅ,τι θέλουν.

5. Μόλις ἤκουσε τὴν ἐξήγησιν αὐτὴν ὁ κληρικὸς Διονύσιος ἤρχισε νὰ μετανοῇ, διότι ἀντελήφθη ὅτι ὅλα ἐγένοντο, ὅπως θέλει ὁ Θεός· δι' αὐτὸ ἀπελογεῖτο μᾶλλον αὐτὸς πρὸς τὸν Ἅγιον Παχώμιον καὶ ἐζήτει

παρ' αὐτοῦ συγχώρησιν. Τὰ ὅσα ἤκουσεν ἀπὸ τὸν Ἅγιον Παχώμιον καὶ τὰ ὅσα πρὸς αὐτὸν εἶπε, τὸν ηὐχαρίστησαν καὶ ἱκανοποιημένος ἀπὸ τὴν ἐπίσκεψίν του ἐπέστρεψεν εἰς τὰ ἴδια.

Β'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων, ὅτι παραβάλλουσί τινες ἐν τῷ Κοινοβίῳ, εἴτε κοσμικοὶ εἴτε Πατέρες Πνευματικοί, καὶ λέγουσι περὶ ὠφελείας ψυχῆς· μείνω κἀγὼ καὶ ἀκούσω ἢ ἐρωτήσω περί τινος πράγματος, οὗ χρῄζω· τί δοκιμάζεις;

2. Ἀπεκρίθη ὁ Γέρων· ἀδελφέ, ὁ μετὰ ἀληθείας Χριστῷ μαθητευόμενος ἐξουσίαν οὐδὲ μίαν ἔχει εἰς ἑαυτόν, πρὸς τὸ ποιεῖν ὅ,τι δήποτε ἀφ' ἑαυτοῦ· κἂν γὰρ δοκῇ ὠφελεῖσθαι ἀπὸ τῆς συντυχίας τῶν παραβαλλόντων, ἀλλ' ἐκπίπτει τῆς ἐντολῆς τῆς λεγούσης πάντα μετ' ἐντολῆς ποίει· τί δὲ περισσὸν θέλεις ἀκοῦσαι, οὗ εἶπον οἱ Πατέρες; ὅτι ἐὰν ὦσι τινὲς καὶ λαλῶσι τὸν λόγον τοῦ Θεοῦ, ἐρώτησον τὸν Ἀββᾶν σου μετὰ ταπεινώσεως, Ἀββᾶ, θέλεις μείνω καὶ ἀκούσω ἢ ἀπέλθω; καὶ ὃ λέγει σοι ποίησον μετὰ ἀναπαύσεως· ἐὰν δὲ καὶ διὰ χρείαν θέλεις ἐρωτῆσαι τινά, εἴτε Μοναχόν, εἴτε κοσμικόν, λέγεις τῷ Ἀββᾷ· κἂν δοκιμάσῃ αὐτός, ἐρωτᾷ ὃ θέλεις· ἐὰν δὲ εἴπῃ σοι ἐρώτησον, σὺ τότε ἐρωτᾷς.

3. Ἔφη ὁ ἀδελφός· ἐὰν δὲ μηδὲν θέλω ἐρωτῆσαι, συμβῇ δέ με τινὶ αὐτῶν ἀπαντῆσαι, ἢ καὶ αὐτὸς ἐρωτήσῃ με περὶ πράγματος, πῶς κελεύεις χρήσωμαι;

4. Καὶ ἀπεκρίθη ὁ Γέρων· ἐν τῇ ἀπαντήσει τῇ πρός τινα, ἕως ἀσπασμοῦ ἔστω ὁ λόγος σου· καὶ λοιπὸν εἰπέ, εὔξαι ὑπὲρ ἐμοῦ ὅτι εἰς ἀπόκρισιν ὑπάγω καὶ ὕπαγε· ἐὰν δὲ ἐρωτήσῃ σε περὶ πράγματος, εἰ μὲν οἶδας τὸ ῥηθέν, εἰπὲ συντόμως καὶ πάρελθε· εἰ δὲ οὐκ οἶδας, εἰπὲ οὐκ οἶδα, καὶ πάρελθε· εἰ δὲ οἶδας ἄλλον ἐκ τῶν μετὰ σοῦ, ἢ τὸν πλησίον σου, ἱκανὸν εἶναι κάλλιόν σου πρὸς τὸ ἐρωτηθὲν ἀποκριθῆναι, πρὸς ἐκεῖνον τὸν ἐρωτῶντα κατάπεμψον.

5. Εἶπεν ὁ ἀδελφός· ἐὰν δὲ εὕρῃ με καθήμενον ἢ ἐργαζόμενον καὶ συγκαθίσῃ, ἢ συντυχεῖν μοι βουληθῇ, τί ποιήσω;

6. Ἀπεκρίθη ὁ Γέρων· ἐὰν εὕρῃ σε πούποτε καθήμενον, καὶ ἔλθῃ, εὐλογήθητι παρ' αὐτοῦ, καὶ σὺ τὸ αὐτὸ ποίησον, καὶ εἰπὲ αὐτῷ· εὔξαι ὑπὲρ ἐμοῦ καὶ ὑποχώρησον· καὶ σχεδὸν ἐὰν κρατήσῃ σε θέλων σοι συντυχεῖν, εἰπὲ αὐτῷ· συγχώρησόν μοι, ὅτι ἐντολὴν ἔχω τοῦ μὴ λαλῆσαι τινὶ ἄνευ γνώμης τοῦ Ἀββᾶ, ἀλλὰ πρὸς αὐτὸν ἀναφέρω πάντα καὶ εἴ τι λέγει μοι ποιῶ. Ἐὰν δὲ ἐργαζομένου σου ἔλθῃ τις καὶ καθίσῃ, ὡς ἔχων ἐντολὴν φέρε σεαυτῷ πρόφασιν καὶ ἀνάστα.

7. Ἔφη ὁ ἀδελφός· καὶ πῶς ἔφη ὁ Ἀββᾶς Ἡσαΐας, ὅτι μετὰ τὸν ἀσπασμὸν τοῦ ξένου ἐρώτησον αὐτὸν πῶς ἔχει; καὶ οὕτω σιώπα μετ' αὐτοῦ καθήμενος;

8. Ἀπεκρίθη ὁ Γέρων· τοῦτο Γέροντι ἐῤῥέθη, προβεβηκότι καὶ τῇ ἡλικίᾳ καὶ τῷ μέτρῳ· ὁ δὲ ἀκριβὴς μαθητής, καὶ ἐπιποθῶν γενέσθαι ἀληθινὸς Μοναχός, φυλάττει ἑαυτὸν ἀπὸ τῶν τοιούτων συντυχιῶν· γεννῶνται γὰρ ἐξ αὐτῶν καταφρόνησις, χαυνότης, ἀνυποταξία, καὶ ἡ δεινὴ παῤῥησία· φησὶ δέ που ὅτι Ἰωάννης εἰς ταῦτα οὐ σχολάζει· καὶ τοῦτο ἐστὶ τὸ ἀμεριμνῆσαι ἀπὸ παντὸς ἀνθρώπου.

9. Εἶπεν ὁ ἀδελφός· ὁ λογισμὸς λέγει μοι· κόψον ἐφ' ἅπαξ τὰς συντυχίας καὶ ἀπαλλάσσῃ· καὶ πάλιν λέγει μοι, κατὰ μικρὸν κόψον, ἵνα μὴ ξενισθῶσιν οἱ εἰδότες σε· εἰπὲ οὖν μοι, ποῖον βέλτιον;

10. Ἀπεκρίθη ὁ Γέρων· ἐὰν ἐφ' ἅπαξ ἐκκόψῃς, ἀμεριμνεῖς, εἰ δὲ κατὰ μικρὸν ἐκκόπτειν θελήσεις, πρόφασιν παρέχεις καὶ λογισμοὺς τοῖς συνοῦσι· πρόφασιν μὲν τοῦ λέγειν ἕκαστον αὐτῶν, ἐπειδή μοι ἐλάλησε τὸ πρῶτον, πάλιν λαλῶ αὐτῷ· λογισμοὺς δέ, ἐν τῷ ὑπονοεῖν καὶ λέγειν, ὅτι ἄρα τίποτε ἔχει κατ' ἐμοῦ, καὶ ἄρτι οὐ λαλεῖ; θέλησον τὸ πρᾶγμα, καὶ κατευοδοῖ ὁ Θεός.

11. Ἔφη ὁ ἀδελφός· ἐπειδὴ ἔχω τὴν τοῦ νοσοκόμου διακονίαν, καὶ ἔστιν ὅτε ἔρχονται ἀσθενεῖς εἰς τὸ Κοινόβιον, δεόμενοί τινος ἐκ τοῦ νοσοκομείου, ἐπετράπην δὲ παρὰ τοῦ Ἀββᾶ διδόναι αὐτοῖς, ὧν χρήζουσι, καὶ ἐκ τούτου ἀναγκάζομαι αὐτοῖς συντυχεῖν, μὴ δοκῶ ἰδίῳ θελήματι ταῦτα ποιεῖν;

12. Ἀπεκρίθη ὁ Γέρων· περὶ τῶν ἐρχομένων ἀσθενῶν καὶ δεομένων τινὸς τοῦ νοσοκομείου, ἐὰν ἐπίσης δηλώσῃς τῷ Ἀββᾷ, σὺ πρᾶγμα οὐκ ἔχεις, ἐκελεύσθης γάρ, οὐ θέλεις δέ, ἀλλὰ προσέχειν δεῖ μὴ ταύτῃ τῇ προφάσει ἐκχύσῃς μετά τινος αὐτῶν τὴν ὁμιλίαν, ἢ πλατύνῃς τὴν συντυχίαν, ἐκ τῆς χρείας λαβὼν τὴν ἀφορμήν· ἐνίοτε γὰρ χρεία ἐρωτῆσαι τὸν ἐλθόντα περὶ πράγματός τινος ἢ ἀγορασίας καὶ οὐ μέχρι τῶν ἀναγκαίων ἐρωτᾷς, ἀλλὰ καὶ εἰς τὰ περιττὰ ἐκτείνεις τὴν ὁμιλίαν· πρόσεχε οὖν μὴ δοῦναι πρόφασιν τῷ κακῷ θελήματι· ταῦτα φύλαξον καὶ εὑρήσεις ἀνάπαυσιν.

Ἑ ρ μ η ν ε ί α

ΕΝΑΣ ΑΔΕΛΦΟΣ συνήντησεν ἕνα Γέροντα. Μεταξύ των διημείφθη ὁ ἑξῆς διάλογος:

Ἀ δ ε λ φ ό ς: Ὅταν ἐπισκέπτωνται τὸ Κοινόβιόν μας διάφοροι, ἢ κοσμικοὶ ἢ πνευματικοὶ Πατέρες, καὶ διηγοῦνται διάφορα ψυχωφελῆ πράγματα, εἶναι σωστὸν νὰ μείνω καὶ ἐγὼ διὰ νὰ ἀκούσω καὶ νὰ τοὺς ἐρωτῶ νὰ μοῦ λύσουν τὰς ἀπορίας μου· τί ἐγκρίνεις;

2. Γ έ ρ ω ν: Ἀδελφέ, ὁ πραγματικὸς μαθητὴς τοῦ Χριστοῦ δὲν ἔχει τὸ δικαίωμα νὰ κάμῃ τίποτε μόνος του, χωρὶς ἐντολήν. Καὶ ἐὰν λοιπὸν ἀκόμη ἔχῃ τὴν γνώμην, ὅτι ὠφελεῖται ἀπὸ τὴν συναναστροφὴν μὲ τοὺς ἐπισκέπτας, εἶναι παραβάτης, διότι δὲν ἐφαρμόζει τὴν ἐντολήν, ποὺ λέγει, ὅτι ὁ Μοναχὸς πρέπει νὰ ἐνεργῇ πάντοτε κατ' ἐντολήν. Ἄλλωστε τί παραπάνω θὰ ἀκούσῃ, ἀπὸ ὅσα ἔχουν εἴπει οἱ Πατέρες; Ἐὰν ὅμως εἶναι μερικοὶ καὶ συνομιλοῦν λόγον Θεοῦ, ἐρώτησε μὲ ταπείνωσιν τὸν Γέροντά σου· «Ἀββᾶ, εἶναι εὐλογημένον νὰ παραμείνω καὶ νὰ ἀκούσω ἢ νὰ φύγω;» Νὰ κάμῃς δὲ αὐτό, ποὺ θὰ σοῦ ὑποδείξῃ καὶ θὰ εἶσαι ἥσυχος! Ἐὰν πάλιν θέλῃς νὰ ἐρωτήσῃς περί τινος ὑποθέσεως Μοναχὸν ἢ κοσμικόν, νὰ ἀπευθυνθῇς πρῶτον εἰς τὸν πνευματικόν σου Πατέρα, τὸν Ἀββᾶν, καὶ ἐφ' ὅσον ἐγκρίνει, ἐρωτᾷ ἐκεῖνος αὐτὸ ποὺ θέλεις· ἐὰν δὲ σοῦ εἰπῇ, νὰ ἐρωτήσῃς σύ, τότε νὰ ὑποβάλῃς τὴν ἐρώτησιν, ποὺ θέλεις.

3. Ἀ δ ε λ φ ό ς: Ὡραῖα! Αὐτὸ τὸ κατάλαβα! Ἐὰν ὅμως, χωρὶς νὰ θέλω νὰ ἐρωτήσω, συναντήσω τυχαίως κάποιον Μοναχὸν ἢ κοσμικόν, καὶ ἐκεῖνος μὲ ἐρωτήσῃ νὰ τὸν πληροφορήσω διὰ κάποιον ζήτημα, τί μὲ συμβουλεύεις τότε νὰ κάμω;

4. Γ έ ρ ω ν: Ὅταν συναντᾶσαι μὲ κάποιον, ἡ ὁμιλία σου νὰ περιορίζεται εἰς τὸν κατὰ Χριστὸν ἀσπασμὸν καὶ ἀμέσως νὰ λέγῃς· «Εὐχήσου δι' ἐμέ, διότι πηγαίνω εἰς ὑπηρεσίαν»· αὐτὸ νὰ εἴπῃς καὶ νὰ φύγῃς. Ἐὰν τώρα σὲ ἐρωτήσῃ κάτι, ἐφ' ὅσον γνωρίζεις, ἀπάντησέ του σύντομα καὶ φύγε· ἐὰν πάλιν δὲν γνωρίζῃς, εἰπέ, ὅτι δὲν γνωρίζω καὶ φύγε χωρὶς ἄλλας συζητήσεις. Ἐὰν τέλος ἔχῃς ὑπ' ὄψιν σου, ὅτι κάποιος ἄλλος ἀπὸ τὸ Κοινόβιον ἢ ὁ γείτων σου εἶναι ἱκανώτερος ἀπὸ

σέ, νὰ τὸν παραπέμψης εἰς ἐκεῖνον μετὰ ταπεινοφροσύνης διὰ νὰ τὸν πληροφορήση.

5. **Ἀδελφός:** Ἐὰν ἕνας ἐπισκέπτης, ποὺ θὰ ἔλθη, μὲ εὕρη νὰ κάθωμαι ἢ νὰ ἐργάζωμαι, καὶ καθίση κοντά μου ἢ ἐπιδιώξη νὰ ἀρχίσωμεν συζήτησιν, τί πρέπει τότε νὰ κάμω;

6. **Γέρων:** Ἐὰν σὲ συναντήση νὰ κάθεσαι κάπου καὶ ζητήση τὴν εὐλογίαν σου, νὰ κάμης καὶ σὺ τὸ ἴδιον· νὰ τοῦ εἰπῆς δηλαδή· «Κάμε προσευχὴν δι᾽ ἐμέ». Ἀμέσως δὲ νὰ σηκωθῆς νὰ φύγης. Ἐὰν πάλιν, σχεδὸν χωρὶς νὰ θέλης, σὲ κρατήση διὰ συζήτησιν, νὰ τοῦ εἰπῆς μὲ θάρρος· «Συγχώρησόν με, διότι δὲν ἔχω ἐντολὴν νὰ συνομιλῶ μὲ κανένα χωρὶς τὴν γνώμην τοῦ Ἀββᾶ· πηγαίνω λοιπὸν νὰ τοῦ ἀναφέρω ὅλα αὐτὰ καὶ ὅ,τι μοῦ εἰπῆ θὰ κάμω». Ἐὰν ἔλθη κάποιος τὴν ὥραν ποὺ ἐργάζεσαι καὶ καθίση κοντά σου, τότε νὰ φέρης πρόφασιν, ὅτι ἔχεις μίαν ἐντολὴν νὰ ἐκτελέσης καὶ νὰ φύγης.

7. **Ἀδελφός:** Πῶς λοιπὸν τότε, Γέροντά μου, συνέστησεν ὁ Ἀββᾶς Ἡσαΐας, ὅτι ἀφοῦ χαιρετήσης τὸν ξένον, νὰ τὸν ἐρωτήσης τί κάμνει καὶ μετὰ νὰ καθήσης πλησίον του σιωπηλός;

8. **Γέρων:** Αὐτὸ ἔχει λεχθῆ εἰς Γέροντα προχωρημένον καὶ κατὰ τὴν ἡλικίαν, ἀλλὰ καὶ κατὰ τὸ μέτρον τῆς μοναχικῆς πολιτείας. Ἐκεῖνος ὅμως ποὺ εἶναι ἀκόμη μαθητὴς εἰς τὸ ἔργον τῆς μοναχικῆς πολιτείας καὶ ποθεῖ ζωηρῶς νὰ γίνη τέλειος Μοναχός, προφυλάσσει τὸν ἑαυτόν του ἀπὸ τοιαύτας συναναστροφάς. Ἀπὸ αὐτὰς τὰς συναναστροφὰς προέρχονται συνήθως ἡ ἀδιαφορία διὰ τὰ μοναχικὰ καθήκοντα, ἡ κατάπτωσις καὶ ἀλαζονεία, ἡ ἀνυπακοὴ εἰς τοὺς Γέροντας, καί, πρὸ παντός, ἡ ἐπικίνδυνος παρρησία. Εἶναι γνωστὸν τὸ σχετικὸν ρητόν· «Ὁ Ἰωάννης δὲν εὐκαιρεῖ δι᾽ αὐτά», πρᾶγμα ποὺ σημαίνει, ὅτι πρέπει νὰ εἴμεθα ἀπερίσπαστοι ἀπὸ κάθε ἄνθρωπον.

9. **Ἀδελφός:** Γέροντά μου, μέσα μου ἀκούω δύο ἀντιθέτους συστάσεις· ὁ ἕνας λογισμὸς μοῦ λέγει· κόψε ἀμέσως τὰς συναναστροφάς σου· ὁ ἄλλος λογισμός, κόψε σιγὰ - σιγὰ τὰς συναναστροφάς σου, διὰ νὰ μὴ προκαλέσης ἐντύπωσιν καὶ σχόλια εἰς αὐτούς, ποὺ σὲ γνωρίζουν. Εἰπέ μου, σὲ παρακαλῶ, ποῖον εἶναι τὸ καλύτερον νὰ κάμω;

10. **Γέρων:** Ἐὰν ἀποκόψης ἀμέσως τὰς συναναστροφάς, ἡσυχάζεις ἀπὸ τὰς ἐνοχλήσεις· ἐὰν ὅμως θελήσης ὀλίγον κατ᾽ ὀλίγον νὰ ἀποφεύγης αὐτούς, ποὺ προηγουμένως συνανεστρέφεσο, τότε δημιουργεῖς προφάσεις συνεχίσεως τῶν ὁμιλιῶν, ἀλλὰ καὶ γεννᾷς λογισμοὺς εἰς αὐτούς, ποὺ συνανεστρέφεσο. Προφάσεις, διότι θὰ εἶσαι ὑποχρεωμένος νὰ τοὺς ὁμιλῇς, ἐφ᾽ ὅσον σοῦ ὡμίλησαν πρῶτοι καὶ οὕτω καθεξῆς θὰ διαιωνίζεται ὁ διάλογος. Ἀλλὰ καὶ λογισμοὺς θὰ τοὺς γεννᾷς, διότι θὰ διερωτῶνται καὶ θὰ σκέπτωνται, μήπως ἄραγε ἔχει τίποτε ἐναντίον μου καὶ δὲν μοῦ ὁμιλεῖ πλέον; Ἀποφάσισε λοιπὸν ἀμέσως νὰ διακόψης τὰς συναναστροφὰς αὐτὰς καὶ ὁ Θεὸς θὰ σὲ βοηθήση.

11. **Ἀδελφός:** Ἐπειδὴ ἔχω τὸ διακόνημα τοῦ νοσοκόμου εἰς τὸ

Κοινόβιον καὶ ἔρχονται καθημερινῶς ἀσθενεῖς, ἔχοντες ἀνάγκην τῶν διαφόρων εἰδῶν τοῦ Νοσοκομείου, ἔλαβα εὐλογίαν ἀπὸ τὸν Ἀββᾶν νὰ τοὺς δίδω ὅ,τι ζητοῦν· πλὴν ὅμως εἶμαι ὑποχρεωμένος νὰ συναναστρέφωμαι καὶ νὰ συνομιλῶ μαζί των· μήπως θεωρηθῇ, ὅτι αὐτὸ τὸ πρᾶγμα τὸ κάμνω μὲ τὸ θέλημά μου;

12. Γέρων: Ὅσον ἀφορᾷ τοὺς προσερχομένους ἀσθενεῖς καὶ τοὺς ἔχοντας ἀνάγκην νοσοκομειακῶν εἰδῶν, ἐφ' ὅσον μάλιστα εἶναι γνωστὸν τὸ διακόνημά σου εἰς τὸν Ἀββᾶν, δὲν ἔχεις εὐθύνην· διετάχθης νὰ κάμῃς αὐτὸ ποὺ κάμνεις· δὲν ὀφείλεται εἰς τὴν θέλησίν σου. Πρέπει πάντως νὰ προσέχῃς μὴ τυχόν, μὲ τὴν πρόφασιν τοῦ διακονήματος αὐτοῦ, ἐπεκτείνεις μὲ κανένα τὴν συζήτησιν καὶ εἰς ἄλλα θέματα ἢ μήπως, μὲ τὸ πρόσχημα τῆς θεραπείας τῆς ἀνάγκης τοῦ προσερχομένου, διευρύνῃς τὴν συναναστροφὴν καὶ πολλαπλασιάσῃς τὰς συναντήσεις. Διότι συχνάκις εἶναι ἀνάγκη νὰ ἐρωτήσῃς τὸν προσελθόντα διὰ τὴν πώλησιν ἢ τὴν ἀγορὰν ἑνὸς εἴδους, ἀλλὰ δὲν περιορίζεις τὰς ἐρωτήσεις εἰς τὰ ἀπολύτως ἀναγκαῖα, ἀλλ' ἐπεκτείνεσαι εἰς τὴν συζήτησιν καὶ ὅλως περιττῶν πραγμάτων. Πρόσεχε λοιπὸν νὰ μὴ χρησιμοποιήσῃς τὸ διακόνημα ὡς πρόσχημα διὰ κακὸν θέλημα· αὐτὰ νὰ προσπαθήσῃς νὰ φυλάξῃς καὶ θὰ εὕρῃς ἀνάπαυσιν καὶ γαλήνην εἰς τὴν ψυχήν σου.

Γ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ἈΔΕΛΦΕ, ποιμένα σε κατέστησεν ὁ Κύριος, μὴ εἰσαγάγῃς εἰς τὸ ποίμνιον αὐτοῦ λύκους διαφθείροντας, ἵνα μὴ ἔρημον ἀποκαταστήσωσι τὴν ὑπὸ σὲ ποίμνην, καὶ εὐθύνας ὑφέξεις τῷ ἀρχιποιμένι· ἀποσόβει ἐκ τῶν προβάτων πᾶν πρᾶγμα τὸ μὴ ὠφέλειαν αὐτοῖς προξενοῦν, ἀλλὰ βλάβην καὶ ὄλεθρον.

Ἑρμηνεία

ἈΔΕΛΦΕ ΜΟΥ, ὁ Κύριος σὲ κατέστησε ποιμένα εἰς τὴν λογικήν Του ποίμνην. Πρόσεξε λοιπόν, μήπως ἐκ τῆς ἀμελείας σου φέρῃς μέσα εἰς τὸ ποίμνιον καταστρεπτικοὺς λύκους καὶ ἐρημώσουν τὴν ὑπὸ σὲ ποίμνην, ὁπόταν καὶ σὺ θὰ καταστῇς ὑπεύθυνος ἐνώπιον τοῦ Ἀρχιποίμενος. Νὰ ἀπομακρύνῃς ἀπὸ τὰ πρόβατα κάθε πρᾶγμα, ποὺ δὲν τὰ ὠφελεῖ, ἀλλὰ τὰ βλάπτει καὶ τὰ καταστρέφει.

ΥΠΟΘΕΣΙΣ ΜΔʹ

Ὅτι οὐ δεῖ ἀδιαφόροις ἀνδράσι συνεσθίειν, καὶ ὅτι τοὺς ἐρωτῶντας καὶ μὴ ποιοῦντας, μετὰ πρώτην ἢ δευτέραν ἔντευξιν ἀποτρέπεσθαι χρή.

Δὲν πρέπει νὰ συντρώγωμεν μὲ ἀδιαφόρους ἀνθρώπους· αὐτούς, ποὺ ἐρωτοῦν καὶ δὲν ἐφαρμόζουν τὰς συμβουλάς, πρέπει νὰ τοὺς ἀποφεύγωμεν μετὰ ἀπὸ τὴν πρώτην ἢ δευτέραν συνάντησιν.

Αʹ. Ἐν τῷ Γεροντικῷ

ΑΒΒΑΣ ΜΑΚΑΡΙΟΣ εἶπε πρὸς τοὺς παραβαλόντας αὐτῷ ἀδελφούς, καὶ ἐρωτήσαντας πῶς σωθῶσιν· ἀδελφοί μου ἀγαπητοί, φεύγωμεν τὰς συντυχίας τῶν κοσμικῶν ὅση δύναμις· τοῦτο γὰρ λυσιτελεῖ ἡμῖν τὰ μέγιστα· ἡ γὰρ ὁμιλία αὐτῶν, ὡς ἐπὶ τὸ πλεῖστον, οὐ περὶ ἄλλου τινός ἐστιν, ἀλλ' ἢ περὶ πράσεως καὶ ἀγορᾶς, καὶ γυναικῶν καὶ τέκνων, καὶ κτηνῶν καὶ τῶν τοιούτων· ἡ τοιαύτη δὲ συντυχία χωρίζει τὸν λογισμὸν ἀπὸ τοῦ Θεοῦ. Ἀλλὰ μηδὲ συνεσθίωμεν αὐτοῖς.

2. Εἰ γὰρ ἡ ὁμιλία αὐτῶν μόνη χωρίζει τὸν λογισμὸν ἀπὸ τοῦ Θεοῦ, τὸ συνεσθίειν καὶ πίνειν μετ' αὐτῶν πόσην βλάβην ἔχει; καὶ οὐχ ὡς ἀκαθάρτους αὐτοὺς ἐκτρέπεσθαι λέγω, μὴ γένοιτο, ἀλλ' ὅτι αὐτοὶ μὲν ἐσθίουσι δὶς τῆς ἡμέρας, ἢ καὶ τρὶς πάντα τὰ ἐδώδιμα καὶ τὰ θύματα, ἡμεῖς δὲ ἀπεχόμεθα θυμάτων καὶ τῶν ἐδωδίμων, ἐσθίομεν δὲ καὶ ἅπαξ τῆς ἡμέρας· ἄλλως τε ἐὰν μὲν ἴδωσιν ἡμᾶς αὔταρκες ἐσθίοντας, εὐθέως κατακρίνουσιν ἡμᾶς λέγοντες· ἰδοὺ καὶ οἱ Μοναχοὶ χορτάζονται, καὶ οὐκ ἐνθυμοῦνται, ὅτι καὶ ἡμεῖς σάρκα περικείμεθα ὡς αὐτοί.

3. Ἐὰν δὲ θεάσωνται ἡμᾶς ἐγκρατευομένους ἐν τοῖς βρώμασιν, εὐθὺς κρίνουσιν ἡμᾶς καὶ λέγουσιν· ἰδοὺ ἀνθρωπάρεσκοι, καὶ ἀπόλλουσι τὰς ψυχὰς αὐτῶν δι' ἡμᾶς· πάλιν ἐὰν ἴδωσιν ἡμᾶς ἀνίπτοις χερσὶν ἐσθίοντας, ἢ τὴν ἐσθῆτα ῥυπαρὰν ἔχοντας, εὐθὺς λέγουσιν· ἰδοὺ ἀτζαλία· εἰ δὲ θεάσωνται ἡμᾶς νενιμμέναις χερσὶν ἐσθίοντας, λέγουσιν· ἰδοὺ καὶ οἱ Μοναχοὶ παστρεύονται, καὶ ἀπόλλουσιν ἑαυτοὺς δι' ἡμᾶς, καὶ γενόμεθα ἡμεῖς ἔνοχοι καὶ αἴτιοι τῆς ἀπωλείας αὐτῶν.

4. Φεύγοντες, φύγωμεν τὰς τραπέζας αὐτῶν, ζητήσωμεν μᾶλλον τὸν ψόγον αὐτῶν καὶ μὴ τοὺς ἐπαίνους· ὁ μὲν γὰρ ψόγος αὐτῶν, στεφάνων, ὁ δὲ ἔπαινος ἀπωλείας γίνεται πρόξενος.

5. Τί μοι ὄφελος, ἵνα ἀνθρώποις ἀρέσω καὶ παροργίσω Κύριον τὸν Θεόν μου; καὶ μάρτυς ὁ θεῖος Ἀπόστολος, λέγων· εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην· οὐκοῦν εὐξώμεθα ἐνώπιον Κυρίου λέγοντες· Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ἐξελοῦ ἡμᾶς ἐκ τοῦ ἐπαίνου καὶ ψόγου αὐτῶν, καὶ μηδὲν ἐπιτελέσωμεν

πρὸς τὸ ἀρέσαι αὐτοῖς· οὔτε γὰρ ὁ ἔπαινος αὐτῶν δύναται ἡμᾶς εἰσαγαγεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, οὔτε ὁ ψόγος ἀποκλεῖσαι ἡμῶν ἰσχύει τὴν ζωὴν τὴν αἰώνιον· εἰ μὴ καὶ μᾶλλον συνεργῆσαι εἰς αὐτήν.

6. Εἰδότες οὖν, ἀγαπητοί, ὅτι ὑπὲρ ἀργοῦ λόγου λόγον δοῦναι ὀφείλομεν, φύγωμεν ἀπ' αὐτῶν, ὡς φεύγει τις ἀπὸ ὄφεως.

7. Παρέβαλον ἀδελφοὶ τῷ Ἀββᾶ Ἀντωνίῳ λέγοντες· εἰπὲ ἡμῖν λόγον πῶς σωθῶμεν; λέγει αὐτοῖς ὁ Γέρων· οὐκ ἠκούσατε τῆς Γραφῆς; ἱκανῶς ὑμῖν ἔχει· οἱ δὲ εἶπον· καὶ παρὰ σοῦ θέλομεν ἀκοῦσαι, Πάτερ· εἶπε δὲ αὐτοῖς ὁ Γέρων· λέγει τὸ Εὐαγγέλιον, ἐάν τις σὲ ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην. Οἱ δὲ εἶπον· οὐ δυνάμεθα τοῦτο ποιῆσαι. Λέγει αὐτοῖς ὁ Γέρων· εἰ μὴ δύνασθε στρέψαι καὶ τὴν ἄλλην, κἂν τὴν μίαν ὑπομείνατε· λέγουσιν αὐτῷ, οὐδὲ τοῦτο δυνάμεθα.

8. Ὁ δὲ Γέρων καλέσας τὸν ἑαυτοῦ μαθητήν, εἶπεν αὐτῷ· ποίησον αὐτοῖς μικρὰν ἀθήραν, ἀσθενοῦσι γάρ· εἰ τοῦτο γὰρ οὐ δύνασθε, κἀκεῖνο οὐ θέλετε, τί ὑμῖν ποιήσω;

Τοῦ Πατρός

9. Ὁρᾷς, πῶς ὁ Ἅγιος τοὺς μὴ διὰ τὸ ποιῆσαι ἐρωτῶντας συντόμως καὶ αὔθωρον ἀπεπέμψατο, μηδὲ ἐμβραδύναι ὅλως ἐάσας μετ' αὐτοῦ, ἵνα μὴ πρὸς τὸ μηδὲν αὐτοὺς ὠφελεῖσθαι, κἀκεῖνον καταργῶσι τῆς πρὸς Θεὸν ὁλοσχεροῦς νεύσεως;

10. Εἰ οὖν οὗτος ὁ τῶν Πατέρων κορυφαιότατος, καὶ τῶν ἀπαθῶν ἀπαθέστερος ἑαυτὸν ἠσφαλίζετο, πόσῳ γε μᾶλλον ἡμᾶς προσέχειν ἄξιον, καὶ τοὺς προφάσει δῆθεν ὁμιλίας ἡμῖν παραβάλλοντας, καὶ περὶ τῆς σωτηρίας πυνθανομένους, μηδένα δὲ πόνον ὑπὲρ ἐντολῆς Θεοῦ ὑπομεῖναι προαιρουμένους, ἢ πρᾶξαι τι, ὧν τὸ δοκοῦν φιλοπόνως ἀκούουσι, μετὰ μίαν ὁμιλίαν, ἢ καὶ δευτέραν ὁμοίως ἀνιάτως ἔχοντας, φεύγειν καὶ ἀποτρέπεσθαι, καὶ μὴ εὐκόλως αὐτοῖς ἐμπαρέχειν τὴν εἴσοδον τὴν πρὸς ἡμᾶς, οὕτω γὰρ κἀκεῖνοί τε ἴσως ἐντραπέντες, ἢ σωφρονισθήσονται, ἢ ἀποστραφήσονται τῆς οἰκείας νόσου, ἐπιγνώμονες μᾶλλον γενόμενοι, καὶ οὐκέτι ἡμῖν ἐνοχλήσωσιν.

11. Ἡμεῖς τε, οὐκ ἐκείνων μόνον, ἀλλὰ καὶ πολλῶν ἄλλων τῶν ὁμοίως ἀνιάτως νοσεῖν ἐθελόντων διὰ τῆς ἐξ αὐτῶν φήμης, καὶ τοῦ εἰς αὐτοὺς γεγονότος παραδείγματος ἀπαλλαγέντες, οὐκ ὀχλήσεως μόνον ματαίας, ἀλλὰ καὶ βλάβης οὐ τῆς τυχούσης ἐλεύθεροι γενησόμεθα, ἣν ἐκ τῆς τῶν ἀδιαφόρων ἀνθρώπων ὁμιλίας ἡ ἡμετέρα πάσχει ἀσθένεια.

Ἑρμηνεία

† ΚΑΠΟΤΕ ἐπεσκέφθησαν τὸν Ἀββᾶν Μακάριον μερικοὶ Μοναχοὶ καὶ τὸν ἠρώτησαν, τί πρέπει νὰ κάμουν διὰ νὰ σωθῶσιν. Ὁ Ἀββᾶς Μακάριος, εἰς ἀπάντησιν, εἶπε τὰ ἑξῆς:

—Ἀγαπητοὶ ἀδελφοί μου, πρέπει, ὅσον ἠμποροῦμεν, νὰ ἀποφεύγωμεν τὰς συναναστροφὰς τῶν κοσμικῶν. Αὐτὸ θὰ μᾶς ὠφελήσῃ πάρα πολύ. Ὡς γνωστόν, οἱ κοσμικοὶ δὲν συζητοῦν τίποτε ἄλλο παρὰ περὶ ἀγορᾶς καὶ πωλήσεως πραγμάτων, περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων των, περὶ τῶν κτηνῶν καὶ περὶ ἄλλων σχετικῶν. Ἡ τοιαύτη συναναστροφὴ ἀπομακρύνει τὴν σκέψιν μας ἀπὸ τὸν Θεόν. Ὄχι μόνον δὲ νὰ ἀποφεύγωμεν τὰς μετ' αὐτῶν συζητήσεις, ἀλλὰ καὶ νὰ μὴ συντρώγωμεν μαζί των.

2. Διότι, ἐφ' ὅσον καὶ μόνη ἡ συνομιλία ἀπομακρύνει τὴν σκέψιν

μας ἀπὸ τὸν Θεόν, πόσον περισσότερον θὰ μᾶς βλάπτη τὸ νὰ συντρώγωμεν καὶ νὰ συμπίνωμεν μαζί των; Δὲν ἐννοῶ νὰ τοὺς ἀποφεύγωμεν ὡς ἀκαθάρτους (1)· μὴ γένοιτο! Ἐννοῶ τὸ ἑξῆς: Οἱ κοσμικοὶ τρώγουν δύο καὶ τρεῖς φορὰς τὴν ἡμέραν ἀπὸ ὅλα τὰ φαγητά, ἀλλὰ καὶ κρέατα ἀκόμη! Ἡμεῖς ὅμως δὲν τρώγομεν κρέας καὶ ἀπὸ τὰς ὑπολοίπους τροφὰς μόνον μίαν φορὰν τὴν ἡμέραν τρώγομεν. Ἐκτὸς ὅμως αὐτοῦ, ἐὰν μᾶς ἴδουν οἱ κοσμικοὶ νὰ τρώγωμεν χορταστικά, ἀμέσως θὰ μᾶς κατακρίνουν καὶ θὰ εἴπουν: Νὰ καὶ οἱ Μοναχοὶ χορταίνουν! Καὶ ὅμως ξεχνοῦν, ὅτι καὶ ἡμεῖς ἔχομεν σάρκα, ὅπως καὶ αὐτοί!

3. Ἐὰν πάλιν μᾶς ἴδουν νὰ τρώγωμεν μὲ ἐγκράτειαν τὸ φαγητόν μας καὶ πάλιν θὰ μᾶς κατακρίνουν λέγοντες: Νά! θέλουν νὰ κάμουν ἐπίδειξιν! Τοιουτοτρόπως γινόμεθα ἀφορμὴ νὰ χάνουν τὰς ψυχάς των! Ἐὰν μᾶς ἴδουν νὰ τρώγωμεν, χωρὶς νὰ ἔχωμεν πλύνει τὰ χέρια μας καὶ νὰ ἔχωμεν τὰ ράσα μας λερωμένα, θὰ εἴπουν: Κοίταξε τί βρωμιάρηδες εἶναι αὐτοὶ οἱ Μοναχοί! Ἐὰν πάλιν μᾶς ἴδοῦν νὰ τρώγωμεν, ἀφοῦ προηγουμένως ἔχομεν πλύνει τὰ χέρια μας, θὰ εἴπουν: Νὰ καὶ οἱ Μοναχοὶ ἀσχολοῦνται μὲ τὴν καθαριότητα τοῦ σώματος. Μὲ τὰς κρίσεις δὲ καὶ ἐπικρίσεις αὐτὰς χάνουν τὴν ψυχήν των ἐξ αἰτίας μας. Ἡμεῖς δὲ εὐθυνόμεθα διὰ τὴν ψυχικήν των αὐτὴν ἀπώλειαν!

4. Ἂς ἀπομακρυνθῶμεν λοιπὸν μετὰ σπουδῆς ἀπὸ τὰ τραπέζια των, καὶ ἂς προκαλέσωμεν περισσότερον τὴν κατάκρισίν των, παρὰ τοὺς ἐπαίνους των, διότι ἡ μὲν κατάκρισίς των γίνεται ἀφορμὴ νὰ στεφανούμεθα, ὡς ἀδίκως κατακρινόμενοι, ἐνῷ ὁ ἔπαινός των μᾶς προξενεῖ καταστροφήν, διότι περιπίπτομεν εἰς ἔπαρσιν καὶ ἀλαζονείαν.

5. Τί θὰ ὠφεληθῶ νὰ ἀρέσω εἰς τοὺς ἀνθρώπους καὶ νὰ παροργίσω τὸν Κύριον καὶ Θεόν μου; Τὴν σκέψιν μου αὐτὴν ἐπικυρώνει καὶ ὁ θεῖος Ἀπόστολος Παῦλος, ποὺ λέγει: «Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην» (Γαλατ. α', 10). Ἂς προσευχηθῶμεν λοιπὸν ἐνώπιον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντες: Ἰησοῦ, ὁ Θεός μας, γλύτωσέ μας καὶ ἀπὸ τὸν ἔπαινον καὶ ἀπὸ τὴν κατάκρισιν τῶν κοσμικῶν καὶ προφύλαξέ μας, νὰ μὴ κάμωμεν τίποτε διὰ νὰ ἀρέσωμεν εἰς αὐτούς· διότι οὔτε ὁ ἔπαινός των ἔχει τὴν δύναμιν νὰ μᾶς εἰσαγάγῃ εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, οὔτε ἡ κατάκρισίς των εἶναι τόσον ἰσχυρά, ὥστε νὰ μᾶς ἀποκλείσῃ ἀπὸ τὴν αἰώνιον

---

1) Ταῦτα φρονῶν καὶ διδάσκων ὁ Ἀββᾶς Μακάριος ἐναρμονίζεται τελείως πρὸς τὸ ὑγιὲς φρόνημα καὶ τὴν ὀρθὴν διδασκαλίαν τῆς Ὀρθοδόξου Ἐκκλησίας περὶ τοῦ Μοναχικοῦ βίου, ἐν ἀντιθέσει πρὸς τὰς ἐπικινδύνους καὶ καταкριθείσας ἀκρότητας αἱρετικῶν καὶ σχισματικῶν τινων, ὡς οἱ περὶ τὸν Εὐστάθιον. Ὅλαι αἱ ἀποφάσεις, σχεδόν, τῆς ἐν Γάγγρα τοπικῆς Συνόδου, συνελθούσης περὶ τὸ 340 μ.Χ., καταδικάζουν τὴν τοιαύτην ἀποστροφὴν πρὸς τοὺς κοσμικούς, περὶ ἧς καὶ ὁ Ἀββᾶς Μακάριος ἀποφαίνεται.

Ἀξίζει λοιπὸν νὰ σημειώσωμεν, ὅτι τὸ ὑγιὲς ἀσκητικὸν ἰδεῶδες διεκινήθη πάντοτε ἐντὸς τῆς περιοχῆς τῆς Ὀρθοδόξου Ἐκκλησίας.

ζωήν· ἀπ' ἐναντίας, ἡ καθ' ἡμῶν κατάκρισις τῶν ἀνθρώπων, ὅταν εἶναι ἄδικος, συνεργεῖ εἰς τὸ νὰ κληρονομήσωμεν τὴν αἰώνιον ζωήν.

6. Ἔχοντες λοιπὸν ὑπ' ὄψιν μας, ἀγαπητοὶ ἀδελφοί, ὅτι θὰ δώσωμεν λόγον εἰς τὸν Θεὸν διὰ πάντα περιττὸν λόγον, ἔχομεν ὑποχρέωσιν νὰ ἀποφεύγωμεν τὰς ἐπιβλαβεῖς συνομιλίας, ὅπως ἀποφεύγει κανεὶς τὸν ὄφιν.

7. Μερικοὶ ἀδελφοὶ ἐπεσκέφθησαν κάποτε τὸν Ἀββᾶν Ἀντώνιον καὶ τὸν ἠρώτησαν τί πρέπει νὰ κάμουν διὰ νὰ σωθοῦν. Τότε ὁ Ἀββᾶς Ἀντώνιος τοὺς λέγει:

— Δὲν γνωρίζετε τί περὶ τούτου λέγει ἡ Γραφή; Αὐτὰ ποὺ γράφει εἶναι ἀρκετὰ διὰ σᾶς!

— Καὶ ἀπὸ σέ—λέγουν ἐκεῖνοι—θέλομεν νὰ ἀκούσωμεν, Πάτερ, κατὰ ποῖον τρόπον δυνάμεθα νὰ σωθῶμεν.

Εἶπε τότε πρὸς αὐτοὺς ὁ Γέρων:

—Ἀκούσατε λοιπόν! Τὸ Ἱερὸν Εὐαγγέλιον λέγει, ὅτι εἰς ὅποιον σὲ ραπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, πρέπει νὰ στρέψῃς καὶ τὴν ἄλλην.

— Αὐτό,—ἀπήντησαν ἐκεῖνοι,—δὲν ἠμποροῦμεν νὰ τὸ κάμωμεν.

Λέγει πάλιν ὁ Ἅγιος:

—Ἐὰν δὲν ἠμπορεῖτε νὰ στρέψετε τὴν ἄλλην σιαγόνα, τοὐλάχιστον νὰ ὑπομείνετε ἀγογγύστως τὸ ράπισμα ἐπὶ τῆς μιᾶς παρειᾶς.

— Οὔτε αὐτὸ ἠμποροῦμεν νὰ τὸ κάμωμεν—εἶπον πάλιν ἐκεῖνοι.

8. Τότε ὁ μέγας πατὴρ Ἀντώνιος ἐστράφη πρὸς τὸν μαθητήν του καὶ τοῦ λέγει:

—Ἑτοίμασέ τους ὀλίγον ζεστὸν κουρκοῦτι, διότι εἶναι ἄρρωστοι· Εὐλογημένοι—εἶπε τότε ἀπευθυνόμενος πρὸς τοὺς ἐπισκέπτας του—τὸ ἕνα δὲν ἠμπορεῖτε, τὸ ἄλλο δὲν θέλετε, τότε τί νὰ σᾶς κάμω; (1)

Τοῦ Πατρός

9. Προσέχεις πῶς ὁ Ἅγιος χωρὶς χρονοτριβὴν καὶ ἀμέσως ἀπεδίωξεν αὐτούς, ποὺ τὸν ἠρώτων, ὄχι διὰ νὰ ἐφαρμόσουν τὰς συμβουλάς του, ἀλλὰ διὰ νὰ περνᾷ ἡ ὥρα; Δὲν ἠνέχθη νὰ παραμείνουν περισσότερον μαζί του, ἐφ' ὅσον καὶ αὐτοὶ οὐδόλως ὠφελοῦντο, ἀλλὰ καὶ ἐκεῖνον ἠμπόδιζον τῆς μετὰ τοῦ Θεοῦ τελείας ἐπικοινωνίας καὶ τῆς πρὸς τὰ ἄνω ροπῆς.

10. Ἐὰν λοιπὸν ὁ ὑψηλότερον ἱστάμενος ὅλων τῶν ἀσκητικῶν Πατέρων καὶ ὁ πλέον ἀπαθὴς ἀπὸ ὅλους τοὺς ἀπαθεῖς προεφύλασσε τὸν ἑαυτόν του ἀπὸ τὴν ἀργολογίαν, πόσον πρέπει νὰ προσέχωμεν ἡμεῖς καὶ νὰ ἀποφεύγωμεν αὐτοὺς ποὺ ἀσκόπως μᾶς ἐπισκέπτονται, προφασιζόμενοι, ὅτι τάχα θέλουν νὰ συνομιλήσουν μαζί μας ψυχωφελῆ ζη-

1) Εἰς τὸ σημεῖον αὐτὸ ἀξιοπρόσεκτος εἶναι ἡ ἐπαγωγὸς εἰρωνεία, δι' ἧς ὁ Ἅγιος ἐπιδιώκει νὰ καταστήσῃ σαφῆ τὴν ἐπιπολαιότητα τῶν συνομιλητῶν του.

τήματα καὶ νὰ πληροφορηθοῦν διὰ τὴν σωτηρίαν τῆς ψυχῆς των, ἐνῷ δὲν ἔχουν καμμίαν διάθεσιν νὰ ὑπομείνουν κόπους διὰ νὰ ἐφαρμόσουν τὴν ἐντολὴν τοῦ Θεοῦ, ἢ νὰ κάμουν κάτι ἀπὸ ὅσα δῆθεν εὐχαρίστως ἀκούουσιν. Αὐτοὶ καὶ μετὰ τὴν πρώτην καὶ μετὰ τὴν δευτέραν συνομιλίαν παραμένουν ἀθεράπευτοι· αὐτοὺς λοιπὸν πρέπει νὰ τοὺς ἀποφεύγωμεν καὶ νὰ τοὺς ἐμποδίζωμεν νὰ μᾶς ἐπισκέπτωνται. Τοιουτοτρόπως ἴσως ἐντραποῦν καὶ ἐκεῖνοι καὶ ἢ συνετισθοῦν ἢ διορθωθοῦν ἀπὸ τὴν ἀσθένειάν τους. Θὰ γίνουν οἱ ἴδιοι ἐκτιμηταὶ τῶν πράξεών των καὶ δὲν θὰ μᾶς ἐνοχλήσουν πλέον.

11. Ἀλλὰ καὶ ἡμεῖς θὰ ἀπαλλαγῶμεν ὄχι μόνον ἀπὸ αὐτούς, ἀλλὰ καὶ ἀπὸ πολλοὺς ἄλλους ὁμοιοτρόπους των, ποὺ ἐπιμένουν νὰ παραμένουν ἀθεράπευτοι, ἐφ' ὅσον πληροφορηθοῦν τὸν παραδειγματισμόν, ποὺ ἐκάμαμεν εἰς τοὺς πρώτους. Θὰ ἀπαλλαγῶμεν δὲ ὄχι μόνον ἀπὸ ἄσκοπον ἐνόχλησιν, ἀλλὰ καὶ ἀπὸ ἐνδεχομένην σοβαρὰν βλάβην, τὴν ὁποίαν δυνάμεθα, ὡς ἀσθενεῖς, νὰ ὑποστῶμεν, ἀπὸ τὰς συζητήσεις των καὶ δὲν ἀδιαφόρων καὶ ἀργοσχόλων ἀνθρώπων.



ΥΠΟΘΕΣΙΣ ΜΕ΄

Καὶ αὐτοῖς δὲ τοῖς παραβάλλουσι, τίς ἡ πρέπουσα ἐπὶ ξένης ἀναστροφή, καὶ πῶς δεῖ ὁδεύειν ἢ καὶ συνοδεύειν τοῖς ἀδελφοῖς.

Καὶ οἱ ἐπισκέπται πρέπει νὰ γνωρίζουν τὴν συμπεριφορὰν των εἰς ξένον μέρος καὶ πῶς πρέπει νὰ περιπατοῦν καὶ νὰ συνοδεύουν τοὺς ἀδελφούς.

Α΄. Τοῦ Ἀββᾶ Ἡσαΐου

ΕΑΝ ΑΠΕΛΘΗΣ ἐπὶ ξένης εἰς οἶκον τινός, καὶ ἐξέλθῃ καὶ ἐάσῃ σε κατὰ μόνας, μὴ ἐπάρῃς τὸ πρόσωπόν σου ἄνω κατανοῆσαι τὰ σκεύη τὰ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ μὴ ἀνοίξῃς τίποτε, εἴτε θυρίδα, εἴτε ἀγγεῖον, εἴτε βιβλίον, ἀλλ' εἰπὲ αὐτῷ ἐξερχομένῳ· δός μοι μικρὸν ἔργον ἕως οὗ ἔλθῃς· καὶ ὃ παρέξει σοι, ποίησον ἀόκνως.

2. Ἐὰν ἀκούσῃς λόγους ἔξω, μὴ βαστάσῃς αὐτούς, καὶ ἐλθὼν εἴπῃς αὐτῷ, μήποτε καὶ σεαυτὸν κἀκεῖνον βλάψῃς.

3. Νεώτερος ὤν, μὴ φορέσῃς ποτὲ καλὸν ἱμάτιον, καὶ μὴ γυμνώσῃς τοὺς ὀδόντας σου ἐν γέλωτι παντελῶς· τὸ δὲ πρόσωπόν σου προσεχέτω χαμαὶ αἰσχυνόμενον. Ἐπὶ μὲν τῆς ξένης ὤν, φόρει σανδάλιον· ἕως δ' ἂν ᾖς ἐν τῷ κελλίῳ, ἄσκησον μὴ φορεῖν σανδάλιον, εἰ μή τοι γε ἀσθενήσῃς· περιπατοῦντος δέ σου, ἔστωσαν αἱ χεῖρές σου κεκολλημέναι τῇ ζώνῃ σου, καὶ μὴ σεῖε αὐτάς, ὡς οἱ κοσμικοί, ἀλλὰ μὴ δὲ προσέχῃς ἐκεῖ καὶ ὧδε· μελέτα δὲ ἐν τῷ λογισμῷ σου, ἢ εὔχου τῷ Θεῷ ἐν τῇ καρδίᾳ σου.

4. Ἐὰν ἀπέρχῃ εἰς πόλιν, ἢ εἰς κώμην, οἱ ὀφθαλμοί σου ἔστωσαν κάτω βλέποντες, ἵνα μὴ ἐξεγείρῃς σεαυτῷ πολέμους ἐν τῷ κελλίῳ σου. Πορευομένῳ δὲ ἐὰν εἴπῃ σοι γυνή, εἰρήνη σοι, ἀποκρίθητι αὐτῇ ἐν τῇ καρδίᾳ σου, κάτω προσέχων τοῖς ὀφθαλμοῖς· ἕως δὲ ἱματίων γυναικῶν, ἐὰν δύνῃ μὴ πρόσχῃς.

5. Ἐὰν περιπατῇς μετὰ ἀδελφῶν, μάκρυνον σεαυτὸν μικρὸν ἵνα σιωπήσῃς· εἰ δὲ μετὰ μειζόνων ὁδεύεις, μὴ προάξῃς αὐτῶν παντελῶς· ἐὰν γέρων ἐστὶ μεθ' οὗ συνοδεύεις, καὶ ἐπιφέρησθε σκεῦος, μὴ δῷς βαστάσαι τῷ γέροντι· εἰ δὲ ἀμφότεροι νεώτεροι ἐστέ, βαστάσατε πρὸς μικρόν, ὁ δὲ βαστάζων προάξει. Ἐν ᾧ δὲ τόπῳ παραβάλῃς, μὴ παῤῥησιάσῃ, ἀλλὰ γενοῦ αἰδούμενος ἐν πᾶσι.

6. Μὴ κοιμηθῇς ἐπὶ ξένης εἰς οἰκίαν τινὸς ὅπου φοβεῖται ἡ καρδία σου ἁμαρτῆσαι· ἐὰν δὲ μέλλῃς γεύσασθαι εἰς τόπον, καὶ μάθῃς ὅτι δεῖ γυναῖκα ἐκεῖ φαγεῖν, μὴ καθίσῃς πάντῃ· συμφέρει γάρ σοι θλῖψαι τὸν καλοῦντά σε, ἢ μοιχεῦσαι τὴν καρδίαν σου κρυφίως. Ἐν ᾧ δὲ τόπῳ ἔχεις κοιμηθῆναι, μὴ σκεπάσῃς παλλίον μετά τινος· ποίησον δὲ εὐχὰς πολλὰς πρὶν κοιμηθῆναι.

7. Ἐὰν δὲ ὁδεύητε ἐν ὁδῷ, καὶ ἔστιν ἀσθενὴς ἐν ὑμῖν, ἐάσατε αὐτὸν προπορεύεσθαι ὑμῶν, ἵνα, εἰ βουληθῇ καθίσαι, καθίσῃ.

8. Ἐὰν δὲ περιπατῇς μετὰ ἀδελφοῦ, καὶ ἐκκλίνῃς εἰς φίλον σου εἰπεῖν αὐτῷ λόγον διὰ χρείαν σήν, καὶ εἴπῃς τῷ ἀδελφῷ σου κάθου ὧδε, καὶ κατάσχῃ σε ὁ φίλος σου ἵνα φάγῃς, μηδὲν εἰσέλθῃ εἰς τὸ στόμα σου, ἕως οὗ καλέσῃς καὶ τὸν ἀδελφόν σου καὶ ἀναπαυθῇ μετὰ σοῦ.

9. Ἐὰν δὲ πλείονες ὦσιν οἱ συνοδεύοντές σοι καὶ αἰσχύνῃ λαβεῖν αὐτοὺς πρὸς τὸν φίλον σου, διότι πολλοί εἰσι, μὴ καταφρονήσῃς αὐτῶν, καὶ λάθρα ἀπέλθῃς καὶ φάγῃς, ἐάσας αὐτούς, ἀλλὰ σκόπησον μετ' αὐτῶν τί δεῖ γενέσθαι, καὶ ᾧ ἐὰν εἴπωσί σοι, ἄκουσον αὐτῶν ἐν ταπεινώσει· περιπατῶν δὲ μετ' αὐτῶν γενοῦ μὴ μετρῶν ἑαυτὸν φεύγων τὰς δουλικὰς διακονίας.

10. Ἐὰν ἀπέλθῃς ἐπὶ ξένης μετὰ ἀδελφῶν, ὧν οὐ γινώσκεις, καὶ εὑρεθῶσι μικρότεροί σου, τὴν τιμὴν δὸς αὐτοῖς τὴν πρώτην· εἰ δὲ συμβῇ εἰς ἀγαπητόν σου εἰσελθεῖν μετ' αὐτῶν, ἔασον αὐτοὺς πρὸ σοῦ ἐν ἅπασιν, εἴτε ἐν τῇ λεκάνῃ, εἴτε ἐν τῷ βαλεῖν τὴν χεῖρα ἐν τῇ τραπέζῃ καὶ μὴ ποιήσῃς σεαυτὸν ὡς ὅτι διὰ τῆς σῆς προφάσεως ἐδέχθησαν, ἀλλὰ δὸς αὐτοῖς τὴν τιμὴν λέγων, ὅτι δι' ὑμᾶς ἐποίησε μετ' ἐμοῦ τὸ ἔλεος.

11. Ἐὰν ὁδεύῃς μετὰ ἀδελφῶν καὶ εὑρεθῇ ἐν αὐτοῖς εἷς, εἰς ὃν ἔχεις ἀγάπην διὰ τὸν Θεόν, μὴ παῤῥησιάσῃ μετ' αὐτοῦ ἐκείνων βλεπόντων, μήποτε εὑρεθῇ ἐν αὐτοῖς ἀσθενής, καὶ ἐκταχῇ ἀπὸ τοῦ ζήλου, καὶ σὺ βαστάσῃς αὐτοῦ τὴν ἁμαρτίαν, ὅτι δέδωκας αὐτῷ τόπον τοῦ ἁμαρτῆσαι.

12. Ἐὰν ἀπέλθῃς πρός τινας, μὴ προσδοκήσῃς, ὅτι χαρῆναι ἔχωσι μετὰ σοῦ πάνυ, ἵνα, ἐὰν δέξωνταί σε, εὐχαριστήσῃς τῷ Θεῷ.

13. Ἐὰν ἀπέλθῃς μετὰ ἀδελφῶν σου πρὸς ἀδελφὸν πτωχόν, μὴ θλίψητε αὐτὸν εἴς τινα χρείαν, ἀλλὰ ἀγοράσατε δαπάναις ἑαυτῶν ἃ μέλλετε φαγεῖν, ἕως οὗ περισσευθῇ αὐτῷ· ὑμῖν δὲ ἀρκέσει καὶ ἡ σκέπη ἣν εὕρατε.

14. Ἐὰν εἰσέλθῃς εἰς Μοναχοῦ κελλίον, ὃν οὐ γινώσκεις, ὅπου ἐὰν ἐάσῃ σε καθέζεσθαι, καθέζου, καὶ μὴ εἰσέλθῃς εἰς ἕτερον κελλίον, ἕως οὗ αὐτός σε καλέσῃ.

15. Ἐὰν περιπατῆτε μετ' ἀλλήλων ἐν ὁδῷ, προσέχετε ἐν ἅπασι τῷ λογισμῷ τοῦ ἐν ὑμῖν ἀσθενοῦς, κἄν τε χρήζῃ τοῦ καθίσαι ὀλίγον, κἄν τε γεύσασθαι πρὸ τῆς ὥρας μικρόν.

16. Ἐὰν εὑρεθῆτε ἐπὶ ξένης, μὴ παῤῥησιασθῆτε εἰς ὃν ἂν εἰσέλθητε τόπον ἐν μηδενὶ πράγματι, ἵνα ὠφεληθῶσιν ἐκ τοῦ τύπου ὑμῶν, καὶ μάλιστα ἐν τῇ κρυπτῇ καὶ φαινομένῃ σιωπῇ· ἡ γὰρ παῤῥησία, καὶ τὰ λοιπὰ πάντα πάθη, εὑρίσκεται ἐν τῷ ἀσθενεῖ διὰ τὴν ἀργίαν τῆς καρδίας αὐτοῦ, ὅτι οὐ βλέπει τὰς ἑαυτοῦ ἁμαρτίας.

17. Ἐὰν ἡσυχάζῃς ἐν τῷ κελλίῳ σου, καὶ ὥρισας σεαυτῷ τοῦ φαγεῖν εἰς ὥραν, ἢ μὴ ἐσθίειν ἑψητόν, ἢ ἄλλον οἱονδήποτε πρᾶγμα τοιοῦτον, καὶ ἐξέλθῃς ἐπὶ ξένης, φύλαξον μὴ εἰπεῖν τινι καθεζόμενος ἐπὶ τῆς τραπέζης, ὅτι συγχώρησόν μοι, οὐκ ἐσθίω τοῦτο, ἐπεὶ ὅλος σου ὁ κόπος εἰς χεῖρας τῶν ἐχθρῶν σου ἀπῆλθεν ἐν ματαιότητι· ὁ Δεσπότης γάρ σου ὁ Σωτὴρ εἶπεν, ὅτι ποίησον ἐν τῷ κρυπτῷ, ἵνα ὁ Πατήρ σου παράσχῃ σοι ἐν τῷ φανερῷ.

18. Ὁ ἀγαπῶν τοὺς κόπους αὐτοῦ, φυλάξει αὐτοὺς ἵνα μὴ ἀπόλλωνται.

Ἑρμηνεία

ΕΑΝ ΜΕΤΑΒΗΣ εἰς ξένον μέρος καὶ σὲ φιλοξενήσῃ κάποιος εἰς τὸν οἶκόν του, νὰ ἔχῃς ὑπ' ὄψιν σου τὰ ἑξῆς πράγματα: Ὅταν αὐτός, ποὺ σὲ φιλοξενεῖ, ἐξέλθῃ ἀπὸ τὸ σπίτι του καὶ σὲ ἀφήσῃ μόνον σου, νὰ μὴ σηκώσῃς τὸ πρόσωπόν σου διὰ νὰ ἐξετάσῃς τὰ ἀντικείμενα, ποὺ εὑρίσκονται εἰς τὸ σπίτι. Ἐπίσης νὰ μὴ ἀνοίξῃς τίποτε, εἴτε παράθυρον, εἴτε βιβλίον, εἴτε δοχεῖον. Ὅταν πρόκειται νὰ

ἐξέλθη ζήτησέ του μικρὸν ἐργόχειρον, διὰ νὰ ἀπασχολῆσαι μέχρις ὅτου ἐπανέλθη. Ὅ,τι δὲ σοῦ ὑποδείξη, κάμε το ἀκούραστα.

2. Ἐάν, εὑρισκόμενος ἔξω τοῦ ξένου οἴκου, ἀκούσης νὰ ὁμιλοῦν, μὴ δώσης προσοχὴν εἰς τοὺς λόγους αὐτούς, καὶ πρὸ παντὸς μὴ τοὺς συγκρατήσης, διὰ νὰ τοὺς μεταφέρης εἰς τὸν φιλοξενοῦντα σε οἰκοδεσπότην, μήπως καὶ ἐκεῖνον καὶ τὸν ἑαυτόν σου βλάψης.

3. Ἐφ' ὅσον εἶσαι ἀκόμη νέος, ποτὲ νὰ μὴ φορέσης καινούργιο ἔνδυμα καὶ ποτὲ νὰ μὴ γελάσης ἀδιάκριτα, ὥστε νὰ φανοῦν τὰ δόντια σου. Τὸ πρόσωπόν σου νὰ εἶναι πάντοτε κάτω σκυμμένον ἀπὸ ἐντροπήν. Ὅταν εὑρίσκεσαι εἰς ξένον μέρος, μακρὰν τοῦ κελλίου σου, νὰ φορᾷς σανδάλια· ὅταν ὅμως παραμένης μέσα εἰς τὸ κελλί σου, νὰ συνηθίσης νὰ περπατᾷς ξυπόλυτος, ἐκτὸς ἐὰν εἶσαι ἄρρωστος. Ὅταν βαδίζης, αἱ χεῖρες σου νὰ παραμένουν σταθεραὶ εἰς τὴν ζώνην σου καὶ νὰ μὴ τὰς κινῇς, ὅπως κάμνουν οἱ κοσμικοί· οὔτε νὰ στρέφης τὰ βλέμματά σου ἐδῶ καὶ ἐκεῖ. Ἡ σκέψις σου νὰ μὴ σκορπᾷ, ἀλλὰ νὰ εἶναι συγκεντρωμένη εἰς τὴν μελέτην καὶ ἡ καρδία σου νὰ προσεύχεται νοερῶς.

4. Ὅταν ἐπισκέπτεσαι μίαν πόλιν ἢ ἕνα χωρίον οἱ ὀφθαλμοί σου νὰ εἶναι κατεβασμένοι διὰ νὰ μὴ ἐξεγείρεται εἰς τὴν ψυχήν σου φιλήδονος πόλεμος, ὅταν ἐπιστρέφης εἰς τὸ κελλίον σου. Ἐὰν συμβῇ, ὅταν θὰ προχωρῇς, νὰ σὲ χαιρετήση γυνὴ καὶ νὰ σοῦ εἰπῇ· «Εἰρήνη εἰς σὲ» ἀπάντησέ της σιωπηλῶς εἰς τὴν καρδίαν σου, χωρὶς νὰ σηκώσης τοὺς ὀφθαλμούς σου νὰ τὴν ἴδης. Ἐὰν ἠμπορῇς οὔτε αὐτὰ τὰ ἐνδύματα τῶν γυναικῶν νὰ μὴ προσέχης· τόση νὰ εἶναι ἡ αὐτοσυγκέντρωσίς σου.

5. Ἐὰν συμβαδίζης μὲ ἄλλους Μοναχούς, νὰ ἀπομακρύνεσαι ὀλίγον, διὰ νὰ ἐφαρμόζης τὴν σιωπήν. Ἐὰν συμπορεύεσαι μὲ μεγαλυτέρους σου, πρόσεξε νὰ μὴ τοὺς προσπεράσης καθόλου. Ἐὰν συμβαδίζης μὲ γέροντα καὶ μεταφέρετε ἀντικείμενον, μὴ ἀνεχθῇς τὸ ἀντικείμενον αὐτό, ὅσον βαρὺ καὶ ἐὰν εἶναι, νὰ τὸ κρατήση ὁ γέρων· ἐὰν πάλιν εἶσθε νεώτεροι, τότε ὀλίγον ὁ ἕνας καὶ ὀλίγον ὁ ἄλλος ἂς τὸ κρατήσετε· πάντως ἐκεῖνος ποὺ τὸ κρατεῖ νὰ προπορεύεται. Ὅταν ἐπισκέπτεσαι ἕνα τόπον, νὰ μὴ ἀποκτᾷς θάρρος μὲ τοὺς ἐκεῖ ἀνθρώπους, ἀλλὰ νὰ εἶσαι πάντοτε κόσμιος εἰς ὅλα.

6. Εἰς τὸ ξένον μέρος, ὅπου θὰ εὑρίσκεσαι, μακρὰν τοῦ κελλίου σου, μὴ κοιμηθῇς εἰς οἶκον, ὅπου σὲ πληροφορεῖ ἡ καρδία σου, ὅτι θὰ ἁμαρτήσης. Ὅταν πληροφορηθῇς, ὅτι ἐκεῖ ποὺ θὰ καθήσης διὰ φαγητόν, πρόκειται νὰ συμφάγη καὶ γυνή, νὰ φύγης ἀμέσως. Εἶναι προτιμότερον διὰ σὲ νὰ στενοχωρήσης τὸν καλὸν ἄνθρωπον, ποὺ σὲ ἐκάλεσεν εἰς τὸ τραπέζι του, παρὰ νὰ μοιχεύσης κρυφίως εἰς τὴν καρδίαν σου (1). Ὅπου δὲ κοιμηθῇς, μὴ σκεπασθῇς μὲ τὸ ἴδιον σκέπασμα μαζὶ μὲ ἄλλον· πρὶν κοιμηθῇς νὰ εἴπης πολλὰς εὐχάς, διὰ νὰ ἐπικαλεσθῇς τὴν Θείαν Χάριν.

---

1) «Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ» (Ματθ. ε', 28).

7. Ἐὰν βαδίζετε καὶ ὑπάρχῃ εἰς τὴν συντροφιά σας ἀσθενής, ἀφήσατέ τον νὰ προπορεύεται, ὥστε, ὅταν θελήσῃ, νὰ καθίσῃ.

8. Ἐὰν συμβαδίζῃς μὲ ἀδελφὸν καὶ τὸν ἐγκαταλείψῃς ἐπ' ὀλίγον διὰ νὰ συναντήσῃς κάποιον φίλον σου, ποὺ εἶναι ἀνάγκη, καὶ ὁ ἀδελφὸς σὲ περιμένει εἰς τὸν δρόμον, νὰ μὴ βάλῃς οὔτε μπουκιὰ εἰς τὸ στόμα σου, ὅταν ὁ φίλος σου θὰ σοῦ προτείνῃ φαγητόν, ἐὰν προηγουμένως δὲν καλέσῃς ἀπὸ τὴν ὁδὸν καὶ τὸν ἀδελφόν, διὰ νὰ ἀναπαυθῆτε μαζὶ εἰς τὴν οἰκίαν τοῦ φίλου σου.

9. Ἐὰν πάλιν εἴσθε πολλοὶ καὶ ἐντρέπεσαι νὰ τοὺς πάρῃς ὅλους αὐτοὺς εἰς τὸν οἶκον τοῦ φίλου σου, νὰ μὴ τοὺς περιφρονήσῃς καὶ φάγῃς κρυφά, ἀδιαφορῶν ἐὰν σὲ περιμένουν· σκεφθῆτε μαζὶ τί πρέπει νὰ γίνῃ καὶ νὰ ἐκτελέσῃς μὲ ταπείνωσιν αὐτό, ποὺ θὰ σοῦ ὑποδείξουν. Συμπορευόμενος δὲ μετ' αὐτῶν, πρόσεξε νὰ μὴ ἀποφεύγῃς τὰς ταπεινὰς ὑπηρεσίας, ποὺ ἀπαιτοῦνται πρὸς ἐξυπηρέτησιν τῶν ἀδελφῶν.

10. Ἐὰν εὑρεθῆτε εἰς ξένον μέρος ἀδελφοί τινες, τοὺς ὁποίους δὲν γνωρίζεις, σὺ νὰ τοὺς ἀποδώσῃς τὴν πρώτην τιμήν, ἔστω καὶ ἐὰν εἶναι μικρότεροί σου. Ἐὰν δὲ ὅλοι μαζὶ φιλοξενηθῆτε ἀπὸ ἀγαπητόν σου πρόσωπον, ἄφησέ τους νὰ εἶναι πρῶτοι, εἴτε εἰς τὴν λεκάνην διὰ νὰ πλυθοῦν, εἴτε εἰς τὸ τραπέζι διὰ νὰ ἀρχίσουν πρῶτοι τὸ φαγητόν. πρόσεξε δὲ νὰ μὴ φανῇς εἰς αὐτούς, ὅτι τάχα ἐξ αἰτίας σου ἐφιλοξενήθησαν, ἀλλ' ἀπεναντίας τιμησέ τους, φρονῶν καὶ λέγων πρὸς αὐτούς, ὅτι διὰ σᾶς ὁ καλὸς αὐτὸς ἄνθρωπος ἐλυπήθη καὶ ἐμέ.

11. Ἐὰν συμπορεύεσαι μαζὶ μὲ ἀδελφοὺς καὶ εἰς τὴν συντροφιάν σας ὑπάρχῃ κάποιος, εἰς τὸν ὁποῖον τρέφεις ἰδιαιτέραν κατὰ Θεὸν ἀγάπην, μὴ ἐκδηλώσῃς πρὸς αὐτὸν τὰ αἰσθήματά σου αὐτά, διότι ὑπάρχει κίνδυνος νὰ εὑρεθῇ κάποιος ἀσθενὴς κατὰ τὴν συνείδησιν, καὶ νὰ φθονήσῃ, ὁπόταν σὺ θὰ ἔχῃς τὴν ἁμαρτίαν του, διότι σὺ τοῦ ἔδωσες εὐκαιρίαν νὰ ἁμαρτήσῃ.

12. Ὅταν πρόκειται νὰ μεταβῇς εἰς γνωστούς σου, νὰ μὴ περιμένῃς, ὅτι θὰ χαροῦν πάρα πολὺ ἀπὸ τὴν ἐπίσκεψίν σου αὐτήν· νὰ εὐχαριστήσῃς λοιπὸν τὸν Θεὸν ἐὰν σὲ δεχθοῦν.

13. Ἐὰν μεταβῆτε πολλοὶ εἰς ἕνα πτωχὸν ἀδελφόν σας, νὰ μὴ τὸν στενοχωρήσητε διὰ τίποτε· νὰ ἀγοράσετε μὲ ἔξοδά σας τὰς τροφάς, ποὺ θὰ σᾶς χρειασθοῦν, νὰ κανονίσετε δὲ νὰ μείνουν καὶ εἰς αὐτὸν περισσεύματα· ἂς σᾶς εἶναι ἀρκετὸν δέ, ὅτι εὑρήκατε σκέπην ὑπὸ τὴν ὁποίαν νὰ κοιμηθῆτε.

14. Ἐὰν εἰσέλθῃς εἰς κελλίον Μοναχοῦ, τὸν ὁποῖον δὲν γνωρίζεις, ὅπου σὲ βάλῃ νὰ καθίσῃς, κάθισε, καὶ μὴ εἰσέλθῃς εἰς ἄλλο κελλί, μέχρις ὅτου σὲ καλέσῃ ἐκεῖνος.

15. Ἐὰν μερικοὶ ἀδελφοὶ συμβαδίζητε, νὰ προσέχετε εἰς ὅλα τὰ σημεῖα τὸν λογισμὸν τοῦ ἀσθενοῦς συνοδοιπόρου σας· ἐὰν εἶναι ἀνάγκη, νὰ καθήσῃ ὀλίγον, καὶ ἐὰν πρέπει, νὰ φάγῃ ὀλίγον πρὸ τῆς καθωρισμένης ὥρας.

16. Ὅταν εὑρεθῆτε εἰς ξένον τόπον, νὰ μὴ ἀποκτήσετε εὐκόλως θάρρος δι' ὅ,τιδήποτε ζήτημα, ὥστε, βλέποντες οἱ ἄνθρωποι τὴν καλὴν συμπεριφοράν σας, ὠφεληθῶσιν· νὰ διατηρήσετε δὲ ἐπιμελῶς καὶ τὴν ἐσωτερικὴν σιωπὴν καὶ τὴν ἐξωτερικήν. Μὴ λησμονῆτε, ὅτι τὸ ἀναιδὲς θάρρος καὶ τὰ διάφορα πάθη ἀναπτύσσονται εἰς τὸν ἀσθενῆ κατὰ τὴν συνείδησιν, ποὺ ἔφθασεν εἰς τὴν κατάστασιν αὐτήν, διότι ἡ καρδία του δὲν ἐκινεῖτο εἰς εὐχὴν καὶ εὐσεβεῖς στοχασμούς. Ὁ ἄνθρωπος αὐτός, ποὺ ἡ καρδία του ἀργεῖ εἰς θεοφιλῆ κίνησιν, ποτὲ δὲν κατορθώνει νὰ ἴδῃ τὰς ἁμαρτίας του.

17. Ὅταν ἡσυχάζῃς εἰς τὸ κελλίον σου, εἶσαι ἐλεύθερος νὰ θέσῃς ὅρους εἰς τὸν ἑαυτόν σου· νὰ τρώγῃς εἰς ὡρισμένην ὥραν, νὰ ξηροφαγῇς καὶ νὰ ἀποφεύγῃς ψημένον φαγητόν, ὡς καὶ οἱονδήποτε ἄλλον σχετικὸν ὅρον· ἐφ' ὅσον ὅμως ἐξέλθῃς τοῦ κελλίου καὶ μεταβῇς εἰς ξένον μέρος, πρόσεξε ἐκεῖ ποὺ θὰ καθίσῃς, διὰ νὰ φάγῃς, μὴ φανερώσῃς τὸν κανόνα σου, λέγων, συγχωρήσατέ με, ἐγὼ δὲν τρώγω αὐτὸ τὸ φαγητόν· τότε ὅλον τὸν κόπον σου ἀπὸ τὴν ἄσκησιν τὸν ἔρριψες ἀσκόπως εἰς τὰς χεῖρας τοῦ ἐχθροῦ. Μὴ λησμονῇς, ὅτι ὁ Δεσπότης ἡμῶν Σωτὴρ διέταξε νὰ φυλάττωμεν τὴν νηστείαν μας ἐν τῷ κρυπτῷ, ἵνα ὁ Πατὴρ ἡμῶν ὁ οὐράνιος ἀποδώσῃ τὸν μισθὸν ἐν τῷ φανερῷ (1).

18. Ἐκεῖνος ποὺ ἀγαπᾷ τοὺς ἀσκητικούς του κόπους, φροντίζει νὰ τοὺς διασφαλίζῃ ἀπὸ ὑπερηφάνειαν καὶ ματαιοδοξίαν, διὰ νὰ μὴ χαθοῦν.

Β'. Ἐν τῷ Γεροντικῷ

ἈΠΗΛΘΕ ποτε ὁ Ἀββᾶς Ἰσίδωρος πρὸς τὸν Ἀββᾶν Θεόφιλον τὸν Ἀρχιεπίσκοπον Ἀλεξανδρείας· καὶ ὡς ὑπέστρεψεν εἰς τὴν σκῆτιν, ἠρώτησαν αὐτὸν οἱ ἀδελφοὶ πῶς ἡ πόλις; ὁ δὲ εἶπε· φύσει, ἀδελφοί, ἐγὼ πρόσωπον ἀνθρώπου ἄλλου οὐκ εἶδον, εἰ μὴ τοῦ Ἀρχιεπισκόπου.

2. Οἱ δὲ ἀκούσαντες ἐταράχθησαν, λέγοντες· ἄρα ἐχαώθησαν, Ἀββᾶ; ὁ δὲ ἀπεκρίθη· οὐχί, ἀλλ' οὐκ ἐνίκησέ με ὁ λογισμὸς τοῦ ἰδεῖν τινα· καὶ ἀκούσαντες ἐθαύμασαν τὴν προσοχὴν καὶ ἀκρίβειαν τοῦ Γέροντος. Καὶ ἡμεῖς οὖν ἀπὸ τοῦ μετεωρισμοῦ τοὺς ὀφθαλμοὺς φυλάττειν σπουδάζωμεν.

3. Ποτὲ εἰς τὰ κελλία ἑορτῆς γενομένης, ἤσθιον οἱ ἀδελφοὶ ἐν τῇ Ἐκκλησίᾳ· ἦν δὲ ἐκεῖ ἀδελφὸς καὶ εἶπε τῷ ὑπηρετοῦντι· οὐκ ἐσθίω ἕψημα, ἀλλὰ ἅλας· καὶ ἐφώνησεν ὁ διακονῶν ἄλλον ἀδελφὸν ἔμπροσθεν τοῦ λαοῦ λέγων· ὁ δεῖνα ὁ ἀδελφὸς οὐκ ἐσθίει ἕψημα, φέρε αὐτῷ ἅλας.

4. Καὶ ἀνέστη τις τῶν Γερόντων καὶ εἶπεν αὐτῷ· συνέφερέ σοι σήμερον ἐν τῷ κελλίῳ σου φαγεῖν κρέα ἢ ἀκοῦσαι τὴν φωνὴν ταύτην ἐνώπιον τοῦ λαοῦ.

---

1) «Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ» (Ματθ. ς', 16—18).

5. Ἀδελφὸς εἰς Σκῆτιν, μὴ ἐσθίων ἄρτον, παρέβαλέ τινι μεγάλῳ Γέροντι· εὐκαίρησαν δὲ καὶ ἄλλοι ξένοι ἐκεῖ· καὶ ἐποίησεν ὁ Γέρων μικρὸν ἕψημα δι' αὐτούς, καὶ ὡς ἐκάθησαν φαγεῖν, ὁ Ἀσκητὴς παρέθηκεν ἑαυτῷ μόνα ἐρεβίνθια βρεκτά, καὶ ἤσθιεν.

6. Ὡς οὖν ἀνέστησαν ἐκ τῆς τραπέζης, λαβὼν αὐτὸν ὁ Γέρων κατ' ἰδίαν, εἶπεν αὐτῷ· ἀδελφέ, ἐὰν παραβάλῃς τινί, μὴ ἐκφαίνῃς σου τὴν πολιτείαν· εἰ δὲ θέλεις κρατεῖν σου τὴν ἄσκησιν, κάθου ἐν τῷ κελλίῳ σου, καὶ μηδαμοῦ ἐξέρχου· ὁ δὲ παιδευθεὶς τῷ λόγῳ τοῦ Γέροντος, γέγονεν οἰκονομικὸς ἐν τῇ ἀπαντήσει τῶν ἀδελφῶν.

7. Εἶπε Γέρων· ἐὰν παραβάλῃς πούποτε, μὴ θελήσῃς δεῖξαι τὴν πολιτείαν σου, ἢ ὅτι οὐ τρώγεις ἔλαιον, ἢ ὀψάριον ἢ ἕψημα, μόνον δὲ τὸν οἶνον μὴ καταλύσῃς, ἐὰν φοβῇ τὸν πόλεμον, κἂν μέμψωνταί σε τινὲς μὴ μελήσῃ σοι.

8. Ἀδελφὸς ἠρώτησε Γέροντα λέγων· ἐὰν εὑρεθῶ εἰς ἀγάπην Πατέρων, τί ποιήσω; ἀπεκρίθη ὁ Γέρων· ἀντὶ νηστείας πῆξον ἄμετρον προσευχὴν ἐν ταπεινώσει· ἔφη ὁ ἀδελφός· καὶ πῶς δύναμαι τρώγειν καὶ λαλούντων ἀκούειν καὶ προσεύχεσθαι; λέγει αὐτῷ ὁ Γέρων· ἡ βία πάντα δύναται, καὶ εἰ θέλεις εἶναι Μοναχός, ταύτην ἀεὶ κράτει· ὁ γὰρ μὴ ἔχων αὐτήν, οὐκ ἔστι Μοναχός.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ἰσίδωρος μετέβη πρὸς συνάντησιν τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας, Ἀββᾶ Θεοφίλου.

Ὅταν ἐπέστρεψεν εἰς τὴν σκήτην, τὸν ἐπεσκέφθησαν οἱ ἀδελφοὶ καί, μεταξὺ ἄλλων, τὸν ἠρώτησαν:

— Πῶς εἶναι, Ἀββᾶ, ἡ πόλις τῆς Ἀλεξανδρείας;

— Σᾶς διαβεβαιῶ, ἀδελφοί, μου,—ἀπεκρίθη ὁ Γέρων,—ὅτι ἐγὼ κανενὸς ἄλλου ἀνθρώπου τὸ πρόσωπον δὲν εἶδον, ἐκτὸς τοῦ Ἀρχιεπισκόπου.

2. Ἡ πληροφορία αὐτὴ ἀνησύχησε τοὺς Πατέρας τῆς σκήτης, οἱ ὁποῖοι μὲ περιέργειαν ἠρώτησαν ἐκ δευτέρου.

— Μήπως ἤνοιξεν ἡ γῆ καὶ τοὺς κατέπιεν, Ἀββᾶ;

—Ὄχι,—ἀπεκρίθη ὁ Γέρων,—δὲν ἐχάθησαν οἱ ἄνθρωποι, ἀλλὰ δὲν μὲ ἐνίκησεν ὁ λογισμὸς νὰ ἴδω κανένα εἰς τὸ πρόσωπον.

Οἱ παριστάμενοι, μόλις ἤκουσαν αὐτὴν τὴν ἀπάντησιν, ἐθαύμασαν διὰ τὴν προσοχὴν καὶ ἀκρίβειαν τοῦ Γέροντος. Καὶ ἡμεῖς λοιπὸν πρέπει νὰ φροντίζωμεν νὰ προφυλάσσωμεν τοὺς ἑαυτούς μας ἀπὸ τὴν ἄσκοπον καὶ φιλοπερίεργον περιφορὰν τῶν ὀφθαλμῶν μας.

3. Κάποτε εἰς τὰ κελλία ἐγένετο ἑορτὴ καὶ οἱ ἀδελφοὶ συνέτρωγον εἰς τὴν τράπεζαν τοῦ καθολικοῦ (1) τῆς σκήτης. Μεταξὺ αὐτῶν παρευρίσκετο καὶ ἕνας Μοναχός· οὗτος εἰς μίαν στιγμὴν ἀπευθύνεται πρὸς τὸν τραπεζάρην καὶ τοῦ λέγει:

—Ἐγὼ δὲν τρώγω μαγειρευμένον φαγητόν· φέρε μου, σὲ παρακαλῶ, ἁλάτι.

---

1) Καθολικὸν=ὁ κεντρικὸς Ναὸς τῆς σκήτης μετὰ τῶν ἐξαρτημάτων του.

Ὁ τραπεζάρης τότε ἀπευθύνεται πρὸς ἄλλον Μοναχὸν καί, ἐνώπιον ὅλων, τοῦ φωνάζει:

—Ὁ τάδε ἀδελφὸς δὲν τρώγει μαγειρευμένον φαγητόν. Φέρε του ἁλάτι.

4. Ἀμέσως τότε ἐσηκώθη ἀπὸ τὴν ὁμήγυριν ἕνας ἐκ τῶν Γερόντων καὶ λέγει εἰς αὐτὸν τὸν ἀδελφόν, ποὺ ἐζήτουσεν ἁλάτι διὰ νὰ φάγῃ:

—Ἦτο προτιμότερον διὰ σέ, ἀδελφέ, νὰ καθήσῃς σήμερον εἰς τὸ κελλίον σου καὶ νὰ φάγῃς κρέας, παρὰ νὰ ἀκουσθῇ αὐτὴ ἡ φωνὴ ἐνώπιον αὐτῆς τῆς συνάξεως.

5. Ἔζη κάποτε εἰς τὴν σκήτην ἕνας Μοναχός, ποὺ δὲν ἔτρωγε, δι' ἄσκησιν, οὐδόλως ἄρτον. Μίαν λοιπὸν ἡμέραν ἐπεσκέφθη ἕνα μεγάλον καὶ ὀνομαστὸν Γέροντα· κατὰ σύμπτωσιν εἰς τὸ κελλὶ τοῦ Γέροντος εὑρίσκοντο, ὡς φιλοξενούμενοί του, καὶ μερικοὶ ἄλλοι ξένοι. Χάριν αὐτῶν ὁ Γέρων ἔψησεν ὀλίγον φαγητὸν καὶ τοὺς παρέθεσε. Μόλις ἐκάθισαν διὰ νὰ φάγουν, ὁ Ἀσκητής, ποὺ ἐπεσκέφθη τὸν Γέροντα, ἔβγαλεν ὀλίγα βρεγμένα ρεβίθια καὶ ἔτρωγεν ἐνώπιον ὅλων.

6. Ἀφοῦ ἐτελείωσαν τὸ φαγητὸν καὶ ἐσηκώθησαν ἀπὸ τὴν τράπεζαν, παραλαμβάνει ὁ Γέρων ἰδιαιτέρως τὸν Ἀσκητὴν καὶ τοῦ λέγει:

—Ἀδελφέ μου, ὅταν ἐπισκέπτεσαι κάποιον ἄλλον ἔξω ἀπὸ τὸ κελλί σου, μὴ τοῦ φανερώνῃς τὸν τρόπον τῆς ζωῆς σου· ἐὰν πάλιν ἐπιθυμῇς νὰ παραμένῃς εἰς τὰ μέτρα τῆς ἀσκήσεώς σου, τότε νὰ μὴ ἐξέρχεσαι καθόλου ἀπὸ τὸ κελλί σου.

Ὁ Ἀσκητὴς ἔδωσε προσοχὴν εἰς τοὺς λόγους τοῦ Γέροντος, ὠφελήθη ἀπὸ αὐτοὺς καὶ ἔκτοτε, ὁσάκις συνηντᾶτο μὲ ἄλλους ἀδελφούς, ἐπρόσεχε νὰ συμπεριφέρεται ὅπως ὅλοι οἱ ἄλλοι ἀδελφοί.

7. Ἕνας γέρων Ἀσκητὴς ἔδωσεν εἰς νεωτέρους τὴν ἑξῆς συμβουλήν: Ἐὰν ἐπισκεφθῇς κάποιον εἰς ἄλλο μέρος, μὴ θελήσῃς νὰ τοῦ φανερώσῃς τὸν τρόπον, μὲ τὸν ὁποῖον ζῇς εἰς τὸ κελλίον σου, ἢ ὅτι δὲν τρώγεις ἔλαιον, ἢ ψάρι, ἢ μαγειρευμένον φαγητόν. Ὅ,τι σοῦ προσφέρουν νὰ τὸ καταλύσῃς, ἐκτὸς ἀπὸ τὸν οἶνον, ἐὰν φοβᾶσαι τὸν πόλεμον τῆς μέθης· ἔστω καὶ ἐὰν ἀκόμη μερικοὶ σὲ κατηγορήσουν, σὺ νὰ μὴ σὲ ἐνδιαφέρῃ, ὥστε νὰ ὑποχωρήσῃς.

8. Ἕνας ἀδελφὸς ἠρώτησεν ἕνα Γέροντα:

—Ἐὰν συντρώγω μὲ ἄλλους Πατέρας, τί νὰ κάμω;

—Ἀντὶ νὰ νηστεύσῃς—ἀπήντησεν ὁ Γέρων—νὰ ἀποδυθῇς μὲ ταπείνωσιν εἰς ἰσχυρὰν καὶ ἀσταμάτητον προσευχήν.

— Πῶς εἶναι δυνατὸν — ἐπανέλαβε πάλιν ὁ ἀδελφὸς—νὰ τρώγω, νὰ προσέχω αὐτούς, ποὺ ὁμιλοῦν, καὶ συγχρόνως νὰ προσεύχωμαι;

—Ἡ ἐπίμονος προσπάθεια, ἡ βία — ἀπήντησεν ἐκ δευτέρου ὁ Γέρων — ὅλα τὰ κατορθώνει. Ἐὰν θέλῃς νὰ εἶσαι τέλειος Μοναχὸς ὀφείλεις νὰ ἔχῃς πάντοτε βίαν εἰς τὸν ἑαυτόν σου.

Αὐτός, ποὺ δὲν ἔχει βίαν, δὲν εἶναι τέλειος Μοναχός.

ΥΠΟΘΕΣΙΣ ΜϚʹ

Ὅτι δεῖ πάντα τὸν προσιόντα ἡμῖν ἐπὶ τὸ ἐλέους τυχεῖν μὴ ἀποστρέφειν κενόν, ἀλλ' ὡς ἐκ Θεοῦ πεμπόμενον προσδέχεσθαι προσηνῶς, καὶ μεταδιδόναι ὧν ἔχομεν, κἂν ἀναδεύηται, ἀνεξικακεῖν καὶ μὴ ὀργίζεσθαι κατὰ Θεοῦ μίμησιν, καὶ ὅτι τοὺς ἐλεήμονας ὁ Θεὸς μειζόνως πολλάκις ἀμείβεται· καὶ πῶς δεῖ καὶ παρὰ τίνων τὴν μετάδοσιν ἐν Κοινοβίοις ἐνεργεῖσθαι.

Πρέπει αὐτοὺς ποὺ μᾶς ἐπισκέπτονται, διὰ νὰ μᾶς ζητήσουν ἐλεημοσύνην, νὰ μὴ τοὺς ἀποδιώκωμεν μὲ κενὰς χεῖρας, ἀλλὰ νὰ τοὺς δεχώμεθα μὲ ἀγάπην ὡς ἀπεσταλμένους τοῦ Θεοῦ, καὶ νὰ τοὺς δίδωμεν ἀπὸ ὅ,τι ἔχομεν, ἔστω καὶ ἐὰν εἶναι ἀπαιτητικοί. Νὰ εἴμεθα ἀνεξίκακοι καὶ νὰ μὴ ὀργιζώμεθα, μιμούμενοι τὸν Θεόν. Ὁ Θεὸς ἀμείβει πολλὰς φορὰς τοὺς ἐλεήμονας μὲ πολὺ μεγάλας ἀμοιβάς· καὶ πῶς πρέπει καὶ ὑπὸ ποίων νὰ γίνεται ἡ ἐλεημοσύνη εἰς τὰ Κοινόβια.

Αʹ. Ἐν τῷ βίῳ Γρηγορίου τοῦ Διαλόγου

ΜΑΚΑΡΙΟΣ ΓΡΗΓΟΡΙΟΣ, ὁ καὶ τοὺς βίους τῶν ἐν Ἰταλίᾳ Ἁγίων συγγραψάμενος ἐν διαλόγου σχήματι καὶ Πατριάρχης ἐν Ῥώμῃ γενόμενος, πρὸ τῆς Ἀρχιερωσύνης Μοναχὸς ἦν καὶ Ἡγούμενος ἐν τῇ Μονῇ τοῦ Ἁγίου Ἀνδρέου, τῇ ἐπονομαζομένῃ Κλιοσκαίρῃ.

2. Ἐν μιᾷ οὖν καθημένου αὐτοῦ ἐν τῇ κέλλῃ καὶ καλλιγραφοῦντος, προσέρχεται αὐτῷ πτωχός, καὶ ὡς ἀληθῶς δοῦλος τοῦ Χριστοῦ ἐκάλεσε τὸν ὑπηρετοῦντα αὐτῷ, καὶ προσέταξε δοῦναι τῷ πένητι ἓξ νομίσματα· ὁ δὲ ἐποίησεν ὡς προσετάγη.

3. Πάλιν οὖν μετ' ὀλίγον τῇ αὐτῇ ὥρᾳ ἔρχεται ὁ αὐτὸς πένης πρὸς τὸν Ἅγιον λέγων· ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ τοῦ Ὑψίστου, ὅτι πολλὰ ἀπώλεσα, καὶ ὀλίγα μοι ἔδωκας· ὁ δὲ πάλιν ἐκάλεσε τὸν ὑπουργὸν αὐτοῦ, καὶ λέγει αὐτῷ· ὕπαγε, ἀδελφέ, δός αὐτῷ ἄλλα ἓξ νομίσματα· ἐποίησε δὲ ὁ ἀδελφὸς οὕτω· λαβὼν οὖν ὁ πτωχὸς τὰ δώδεκα νομίσματα, ἀνεχώρησε.

4. Πάλιν δὲ μετὰ μικρὸν ἐκ τρίτου, τῇ αὐτῇ ἡμέρᾳ, ἔρχεται πρὸς αὐτὸν λέγων· ἐλέησόν με, δοῦλε τοῦ Θεοῦ τοῦ Ὑψίστου, δός μοι καὶ ἄλλην εὐλογίαν, ὅτι πολλὰ ἀπώλεσα· ὁ δὲ πάλιν ἐκάλεσε τὸν βεστιαρίτην αὐτοῦ, καὶ λέγει αὐτῷ· δὸς αὐτῷ, ἀδελφέ, ἄλλα ἓξ νομίσματα· ὁ δὲ ἀδελφὸς ἀπεκρίνατο λέγων· πίστευσόν μοι, Πάτερ, ὅτι οὐ κατελείφθη οὐδὲ ἓν νόμισμα ἐν τῷ βεστιαρίῳ.

5. Λέγει πρὸς αὐτὸν ὁ μακάριος· οὐκ ἔχεις οὖν ἄλλο οἱονδήποτε σκεῦος ἢ ἱμάτιον ἵνα δώσῃς αὐτῷ; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἄλλο σκεῦος, τίμιε Πάτερ, οὐκ ἔχομεν, εἰμὴ τὸ ἀργυροῦν σκουτέλιον, ὅπερ μετὰ ὀλίγων βρεκτῶν ἡ κυρία ἡ μεγάλη κατὰ τὸ ἔθος ἀπέστειλε· λέγει αὐτῷ ὁ τοῦ Θεοῦ δοῦλος· ἄπελθε, ἀδελφέ, δὸς αὐτῷ τὸ σκουτέλιον· ὁ δὲ ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ μακάριος· ὁ δὲ ἀδελφὸς λαβὼν πρὸς τοῖς δώδεκα νομίσμασι καὶ τὸ ἀργυροῦν σκουτέλιον ἀνεχώρησεν.

6. Ὅτε οὖν ἐγένετο Πατριάρχης, κατὰ τὸ ἔθος τῶν Πατριαρχῶν, ἐν μιᾷ τῶν ἡμερῶν ἐπέτρεψε τῷ σακελλαρίῳ αὐτοῦ καλέσαι δώδεκα ὀνόματα, ἵνα μετ' αὐτοῦ ἀριστήσωσιν· ὁ δὲ ἐποίησεν ὡς προσετάγη· ὅτε οὖν ἐκαθέσθησαν, τῷ Πατριάρχῃ ὡράθησαν δεκατρεῖς.

7. Ἐκάλεσεν οὖν τὸν σακελλάριον καὶ λέγει αὐτῷ· οὐκ ἐπέτρεψά σοι δώδεκα ὀνόματα καλέσαι καὶ πῶς, παρὰ τὴν ἐμὴν γνώμην, δεκατρεῖς ἐκάλεσας; Ὁ δὲ ἀκούσας, καὶ ἔμφοβος γενόμενος, ἀποκριθεὶς εἶπε· πίστευσον, σεβάσμιε Δέσποτα, δώδεκά εἰσι· τὸν γὰρ τρισκαιδέκατον οὐκ ἐθεώρει ἄλλος, εἰμὴ ὁ Πατριάρχης μόνος.

8. Ἀριστούντων δὲ αὐτῶν ἐθεώρει ὁ Πατριάρχης τὸν τρισκαιδέκατον τὸν καθήμενον εἰς τὴν ἄκραν τοῦ σκαμνίου, καὶ ἰδοὺ τὸ πρόσωπον αὐτοῦ μορφὰς ἤλλασσε· ποτὲ μὲν γὰρ αὐτῷ ἐφαίνετο πολιός, ποτὲ δὲ νεανίσκος· ὅτε δὲ ἠγέρθησαν ἀπὸ τῆς τραπέζης, τοὺς μὲν ἄλλους ἅπαντας ἀπέλυσεν ὁ μακάριος, τὸν δὲ τρισκαιδέκατον, τὸν οὕτω φαινόμενον αὐτῷ θαυμαστόν, ἐκράτησε τῆς χειρός, καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸ κουβούκλιον αὐτοῦ, καὶ λέγει αὐτῷ· ὁρκίζω σε κατὰ τῆς μεγάλης δυνάμεως τοῦ Θεοῦ, τίς εἶ σύ; καὶ τί τὸ ὄνομά σου;

9. Ὁ δὲ εἶπεν αὐτῷ· καὶ ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου, καὶ τοῦτο ἐστὶ θαυμαστόν· πλὴν ἐγώ εἰμι ὁ πτωχὸς ὁ ἐλθὼν πρὸς σὲ εἰς τὴν Μονὴν τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρέου, ᾧ τινι δέδωκας τὰ δώδεκα νομίσματα, καὶ τὸ ἀργυροῦν σκουτέλιον, ὅπερ σοὶ ἀπέστειλε μετὰ βρεκτῶν ἡ μακαρία Συλβία ἡ μήτηρ σου.

10. Γίνωσκε οὖν, ὅτι ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς ταῦτά μοι παρέσχες μετὰ μακροθυμίας, ὥρισέ σε Κύριος γενέσθαι Πρόεδρον τῆς Ἑαυτοῦ Ἐκκλησίας, ὑπὲρ ἧς καὶ τὸ ἴδιον αἷμα ἐξέχεε, καὶ εἶναί σε διάδοχον τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου, οὗτινος καὶ τὴν ἀρετὴν ἐμιμήσω, ἡνίκα διεμοίραζε τὰς ὑπάρξεις τῶν προσφερομένων ἐν ἀφελότητι καρδίας, καθ' ὅ,τι ἄν τις χρείαν εἶχε.

11. Λέγει γοῦν πρὸς αὐτὸν ὁ μακάριος Γρηγόριος· καὶ πόθεν οἶδας σύ, ὅτι τότε με ὥρισεν ὁ Κύριος γενέσθαι Πατριάρχην; Ὁ δὲ εἶπεν· ἐπειδὴ Ἄγγελος Κυρίου Παντοκράτορος ἐγώ εἰμι, καὶ διὰ τοῦτο οἶδα· καὶ τότε γὰρ ὁ Κύριος ἀπέσταλκέ με πρὸς σὲ δοκιμάσαι τὴν πρόθεσίν σου, εἰ ἄρα φιλανθρώπως καὶ οὐκ ἐπιδεικτικῶς ποιεῖς τὴν ἐλεημοσύνην.

12. Ὁ δὲ μακάριος ἀκούσας ἐφοβήθη, οὔπω γὰρ ἦν ἕως τότε ἑωρακὼς Ἄγγελον· ὡς γὰρ ἀνθρώπῳ, οὕτως αὐτῷ προσεῖχε καὶ ἐλάλει αὐτῷ· εἶπε δὲ ὁ Ἄγγελος πρὸς αὐτόν· μὴ φοβηθῇς, ἰδοὺ ἀπέσταλκέ με Κύριος εἶναι μετὰ σοῦ, ἕως οὗ εἶ ἐν τῷ βίῳ τούτῳ, καὶ οἷον πρᾶγμα θέλεις αἰτήσασθαι, δι' ἐμοῦ ἀπόστειλον πρὸς Κύριον.

13. Ὁ δὲ ἀκούσας ταῦτα ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ εἰς τὴν γῆν, καὶ προσεκύνησε τῷ Κυρίῳ λέγων· εἰ διὰ τὴν μικρὰν ταύτην πρόθεσιν, καὶ μηδὲν οὖσαν, τοσοῦτον πλῆθος οἰκτιρμῶν ἐνεδείξατο ὁ Παντελεήμων Κύριος, ὥς τε τὸν Ἄγγελον Αὐτοῦ ἀποστεῖλαι τοῦ εἶναι σὺν ἐμοὶ διαπαντός, ποίας ἄρα δόξης ἀξιωθήσονται οἱ προσμένοντες ταῖς ἐντολαῖς αὐτοῦ καὶ ἐργαζόμενοι δικαιοσύνην; Ἀψευδὴς γὰρ ὁ εἰπὼν ὅτι ἔλεον κατακαυχᾶται κρίσεως, καὶ ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ.

Ἑρμηνεία

Ο ΑΓΙΟΣ ΓΡΗΓΟΡΙΟΣ, ὁ ὁποῖος ἔγραψε τοὺς βίους τῶν Ἁγίων τῆς Ἰταλίας ὑπὸ μορφὴν διαλόγου, καὶ μετὰ ἔγινε Πατριάρχης, ἦτο προηγουμένως Μοναχὸς εἰς τὴν Μονὴν τοῦ Ἁγίου

Ἀνδρέου, τὴν γνωστὴν ὑπὸ τὸ ὄνομα Κλισκαίρη· εἰς αὐτὴν διετέλεσε καὶ Ἡγούμενος!

2. Μίαν λοιπὸν ἡμέραν, ἐνῷ εὑρίσκετο εἰς τὸ κελλί του καὶ ἠσχολεῖτο μὲ τὴν καλλιγραφικὴν περιγραφὴν τοῦ βίου τῶν Ἁγίων, τὸν ἐπισκέπτεται ἕνας πτωχός. Ὁ Ἅγιος ἀντελήφθη ἀμέσως τί ἐζήτει· ἐκάλεσε λοιπὸν τὸν ὑπηρετοῦντα αὐτὸν ἀδελφὸν καὶ τὸν διατάσσει νὰ τοῦ δώσῃ ἓξ χρυσᾶ νομίσματα! Πράγματι ὁ διακονητὴς προσέφερε τὸ ποσὸν αὐτὸ εἰς τὸν πένητα, ὁ ὁποῖος ἔφυγε.

3. Δὲν παρῆλθεν ὅμως οὔτε ὥρα καὶ ὁ πένης ἐπανέρχεται καὶ πάλιν ἐνώπιον τοῦ Ἁγίου καὶ λέγει:

— Δοῦλε τοῦ ἀληθινοῦ Θεοῦ, σὲ παρακαλῶ, λυπήσου με καὶ δός μου καὶ ἄλλην ἐλεημοσύνην, διότι ἔχω χάσει πολλά, ἐνῷ σὺ μοῦ προσέφερες ἐλάχιστα.

Ὁ Ἅγιος δὲν ἠγανάκτησε καθόλου πρὸ τῆς περιέργου αὐτῆς ἐπιμονῆς. Ἐφώναξεν ἐκ δευτέρου τὸν ὑποτακτικόν του καὶ τοῦ λέγει:

— Δός, ἀδελφέ μου, εἰς τὸν ἄνθρωπον αὐτὸν ἄλλα ἓξ νομίσματα!

Ὁ ὑποτακτικὸς ἐξετέλεσεν ἀμέσως τὴν ἐντολὴν τοῦ Ἁγίου καὶ ἀνεχώρησεν ὁ πτωχὸς μὲ δώδεκα χρυσᾶ νομίσματα.

4. Ἀλλὰ καὶ διὰ τρίτην φοράν, μετὰ παρέλευσιν ὀλίγης ὥρας τὴν ἰδίαν ἡμέραν, ἐπανέρχεται ὁ ἴδιος πτωχὸς καὶ μὲ πόνον ἱκετεύει τὸν Ἅγιον, λέγων:

—Ἄνθρωπε τοῦ ἀληθινοῦ Θεοῦ, δός μου ἀκόμη μίαν εὐλογίαν, διότι ἔχω χάσει πάρα πολλά.

Ἀλλὰ καὶ τὴν τρίτην αὐτὴν φοράν, χωρὶς νὰ ἀγανακτήσῃ, ἐκάλεσε πάλιν τὸν οἰκονόμον τοῦ ὁ Ἅγιος καὶ τοῦ λέγει:

—Ἀδελφέ μου, δὸς ἐδῶ, εἰς τὸν ἄνθρωπον αὐτόν, ἓξ ἀκόμη χρυσᾶ νομίσματα.

— Σᾶς διαβεβαιῶ, Πάτερ μου,—ἀπήντησεν ὁ ὑποτακτικός,— δὲν ὑπάρχει οὔτε ἕνα νόμισμα πλέον εἰς τὸ ταμεῖον.

5. Λέγει πάλιν πρὸς αὐτὸν ὁ μακάριος Γρηγόριος:

— Μήπως ἔχεις τότε τίποτε ἐνδύματα ἢ ἄλλα σκεύη, διὰ νὰ τοῦ δώσωμεν, ὥστε νὰ μὴ φύγῃ χωρὶς βοήθειαν;

— Πάτερ μου,—ἀπήντησεν ὁ οἰκονόμος — δὲν ἔχομεν τίποτε, ἐκτὸς ἀπὸ τὴν ἀργυρᾶν ἐκείνην λεκανίτσα, μὲ τὴν ὁποίαν ἡ μεγάλη κυρία μᾶς ἔστειλε, κατὰ τὴν συνήθειάν της, ὀλίγα βρεγμένα ὄσπρια.

— Πήγαινε, ἀδελφέ μου—λέγει ὁ Ἅγιος—καὶ δὸς εἰς τὸν ἄνθρωπον, ποὺ ἔχει ἀνάγκην, τὴν λεκανίτσα.

Πράγματι ὁ ὑποτακτικὸς ἐξετέλεσε τὴν ἐντολὴν τοῦ μακαρίου Γρηγορίου. Ὁ πτωχὸς δὲ ἐκεῖνος, μόλις ἔλαβε καὶ τὴν λεκανίτσα μαζὶ μὲ τὰ δώδεκα νομίσματα, ἔφυγε.

6. Μετὰ ἀπὸ ἀρκετὰ ἔτη, ὅταν ἔγινε Πατριάρχης, ἔδωσε μίαν ἡμέραν ἐντολὴν εἰς τὸν Σακελλάριον (1) νὰ καλέσῃ δώδεκα ἀνθρώπους,

1) Σακελλάριος καλεῖται εἷς ἐκ τῶν βοηθῶν κληρικῶν τοῦ Πατριάρχου.

νὰ φάγουν μαζί. Αὐτὸ ἦτο παλαιὰ συνήθεια τῶν Πατριαρχῶν. Ὁ Σακελλάριος, συμφώνως μὲ τὴν ἐντολήν, ποὺ ἔλαβεν, ἐκάλεσε πράγματι δώδεκα ἀνθρώπους, διὰ νὰ συμφάγωσι μετὰ τοῦ Πατριάρχου, καὶ ἡτοίμασε καὶ τὴν τράπεζαν. Μόλις προσῆλθεν ὁ Πατριάρχης καὶ ἤρχισαν νὰ τρώγουν, εἰς τὸν Πατριάρχην ἐφαίνοντο δεκατρεῖς οἱ προσκεκλημένοι.

7. Τότε καλεῖ κοντά του τὸν Σακελλάριον καὶ τοῦ λέγει, κρυφίως μέν, ἀλλὰ κάπως ἐλεγκτικῶς:

— Εὐλογημένε, ἐγὼ σοῦ ἔδωσα ἐντολὴν νὰ καλέσῃς δώδεκα· σὺ διατί ἔφερες ἐδῶ, ἀντιθέτως πρὸς τὰς ὑποδείξεις μου, δεκατρεῖς;

Μόλις ἤκουσεν ὁ Σακελλάριος τὴν παρατήρησιν τοῦ Πατριάρχου, ἀπήντησε κατάπληκτος καὶ ὀλίγον φοβισμένος:

— Πίστευσέ με, Σεβάσμιε Δέσποτα, ὅτι δώδεκα κάθονται εἰς τὴν τράπεζαν.

Τὸν δέκατον τρίτον ἐπισκέπτην μόνον ὁ Ἅγιος ἔβλεπεν!

8. Ἐνῷ δὲ ἔτρωγον, παρετήρει ὁ Πατριάρχης τὸν δέκατον τρίτον φιλοξενούμενον, αὐτὸν ποὺ ἐκάθητο εἰς τὴν ἄκραν τῆς τραπέζης, καὶ ἔβλεπε τὸ πρόσωπόν του νὰ ἀλλάσσῃ διαρκῶς μορφάς· ἄλλοτε ἐφαίνετο γέρων καὶ ἄλλοτε νέος. Ἀφοῦ λοιπὸν ἐτελείωσεν ἡ τράπεζα καὶ ἐσηκώθησαν διὰ νὰ φύγουν, ὁ Πατριάρχης εἰς ὅλους ἐπέτρεψε τὴν ἀποχώρησιν, ἐκτὸς τοῦ περιέργου ἐπισκέπτου, ποὺ ἐφαίνετο τόσον θαυμαστὸς εἰς αὐτόν. Τὸν ἐκράτησεν ἀπὸ τὴν χεῖρα, τὸν ὡδήγησεν εἰς τὸ ἰδιαίτερον δωμάτιόν του καὶ ἐκεῖ τοῦ λέγει:

— Σὲ ὁρκίζω εἰς τὴν δύναμιν τοῦ Θεοῦ, νὰ μοῦ εἴπῃς ποῖος εἶσαι καὶ πῶς λέγεσαι;

9. Τότε ὁ φαινόμενος ὡς ἄνθρωπος, εἶπεν εἰς τὸν Ἅγιον:

— Διατί μὲ ἐρωτᾷς διὰ τὸ ὄνομά μου; Εἶναι θαυμαστὸν καὶ αὐτό! Μάθε ὅμως, ὅτι εἶμαι ὁ πτωχός, ποὺ σὲ ἐπεσκέφθη εἰς τὴν Μονὴν τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρέου καὶ εἰς τὸν ὁποῖον ἔδωσες σὺ τὰ δώδεκα νομίσματα καὶ τὴν ἀργυρᾶν λεκανίτσα, ποὺ σοῦ εἶχε στείλει μὲ τὰ βρεγμένα κουκκιὰ ἡ ἀείμνηστος μητέρα σου, ἡ Συλβία!

10. Μάθε λοιπόν, ὅτι ἀπὸ τὴν ἡμέραν ἐκείνην, ποὺ μοῦ προσέφερες αὐτὰ τὰ πράγματα, χωρὶς νὰ ἀγανακτήσῃς, παρὰ τὴν τριπλῆν ἐνόχλησιν, ὥρισεν ὁ Θεὸς νὰ γίνῃς πρόεδρος τῆς Ἐκκλησίας Του, χάριν τῆς ὁποίας ἔχυσε τὸ Πανάχραντον Αἷμα Του. Σὲ ἠθέλησεν ὁ Κύριος διάδοχον τοῦ Ἀποστόλου Πέτρου, διότι ἐμιμήθης τὴν ἀρετήν του, ὅταν καὶ ἐκεῖνος μὲ ἁπλότητα τῆς καρδίας του ἐσκόρπιζεν εἰς τοὺς πτωχούς, ἀναλόγως τῶν ἀναγκῶν ἑνὸς ἑκάστου, ἀπὸ αὐτὰ ποὺ τοῦ ἐνεπιστεύοντο οἱ πρῶτοι Χριστιανοὶ τῶν Ἱεροσολύμων [1].

11. Λέγει τότε πρὸς αὐτὸν ὁ μακάριος Γρηγόριος:

δεύτερος τῇ τάξει μετὰ τὸν Οἰκονόμον, ἐπιφορτισμένος μὲ τὴν ἐπίβλεψιν τῶν Μοναστηρίων καὶ μὲ ἄλλα τινὰ καθήκοντα.

1) Ὑπαινίσσεται τὴν πρᾶξιν τῆς Ἐκκλησίας, τὴν ὁποίαν περιγράφει ὁ Εὐαγγελιστὴς Λουκᾶς εἰς τὰς Πράξεις, ἔνθα μεταξὺ ἄλλων λέγει καὶ τὰ ἑξῆς·

— Καὶ ἀπὸ ποῦ γνωρίζεις σύ, ὅτι μὲ εἶχεν ἀπὸ τότε προορίσει ὁ Θεὸς νὰ γίνω Πατριάρχης;

—῎Ακουσε—ἀπεκρίθη ὁ φαινόμενος ὡς ἄνθρωπος—τὸ γνωρίζω, διότι εἶμαι ῎Αγγελος τοῦ Παντοκράτορος Κυρίου! Τότε δὲ μὲ εἶχε στείλει πρὸς σὲ ὁ Θεός, διὰ νὰ δοκιμάσῃ τὴν πρόθεσίν σου, ἐὰν πράγματι ἐλεῇς τὸν πτωχόν, ἀπὸ ἀγάπην πρὸς τὸν ἄνθρωπον ποὺ ὑποφέρει καὶ ὄχι διὰ νὰ ἐπιδειχθῇς ὅτι τάχα κάμνεις ἐλεημοσύνην!

12. Μετὰ ἀπὸ τὴν πληροφορίαν αὐτὴν ὁ ῞Αγιος Γρηγόριος πράγματι ἐφοβήθη! Διότι ποτὲ μέχρι τότε δὲν εἶχεν ἴδει ῎Αγγελον, τὸν δὲ συνομιλητήν του ἐνόμιζεν ἁπλοῦν ἄνθρωπον καὶ ὡς πρὸς ἄνθρωπον συμπεριεφέρετο.

— Μὴ τρομάζῃς! — τοῦ εἶπε τότε ὁ ῎Αγγελος — ὁ Κύριος μὲ ἔστειλε νὰ παραμένω κοντά σου ἐν ὅσῳ ζῇς καὶ ὅ,τι πρᾶγμα ἐπιθυμεῖς, νὰ τὸ ζητῇς ἀπὸ τὸν Κύριον δι᾽ ἐμοῦ!

13. Μόλις ἤκουσεν αὐτὰ τὰ καταπληκτικὰ πράγματα ὁ ῞Αγιος Γρηγόριος, ἔπεσε συγκεκινημένος κάτω, καὶ προσεκύνησε τὸν Κύριον λέγων μετὰ δακρύων· «Ὦ Κύριε! δι᾽ αὐτὴν τὴν ἐλαχίστην καὶ ἀναξίαν λόγου προαίρεσιν, ἐπέδειξες εἰς ἐμὲ τόσον πλῆθος οἰκτιρμῶν, ὥστε καὶ ῎Αγγελον νὰ μοῦ ἀποστείλῃς, διὰ νὰ μὲ συνοδεύῃ εἰς ὅλην μου τὴν ζωήν! Πόσον εἶσαι, πράγματι, ἐλεήμων καὶ ποίας ἀνυπολογίστου δόξης θὰ ἀξιωθοῦν οἱ ἐφαρμόζοντες τὰς ἐντολάς Σου καὶ ἐκτελοῦντες τὴν ἀρετήν; Τώρα πράγματι ἀποδεικνύεται πόσον ἀληθὴς εἶναι ἡ φράσις τῆς Γραφῆς· «Κατακαυχᾶται ἔλεος κρίσεως» (Ἰακ. β', 13) καὶ «Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχὸν» (Παροιμ. ιθ', 17).

Β'. Γρηγορίου τοῦ Διαλόγου

Ὁ τοῦ Θεοῦ ἄνθρωπος Βονιφάτιος, ὁ γενόμενος Ἐπίσκοπος καὶ μεγίσταις δυνάμεσι σημείων παρὰ Θεοῦ δοξασθείς, ἔτι νήπιος ὤν, ἐξερχόμενος ἐκ τοῦ οἴκου αὐτοῦ, ποτὲ μὲν ἄνευ ὑποκαμίσου ὑπέστρεφε, ποτὲ δὲ ἄνευ ἱματίου· πορευόμενος γὰρ ἡνίκα γυμνὸν ἐθεάσατο, ἀποδυόμενος ἅπερ ἠμφίεστο, τοῦτον ἐνέδυε, μόνοις τοῖς τοῦ Παντοδυνάμου ὀφθαλμοῖς τοῦτο κατοπτεύεσθαι θέλων, παρ᾽ Οὗ καὶ τὸν μισθὸν ἤλπιζε.

2. Συχνοτέρως οὖν τοῦτο ποιῶν παρὰ τῆς οἰκείας μητρὸς ἐπετιμᾶτο λεγούσης μὴ εἶναι δίκαιον, αὐτὸν ἐνδεῆ ὑπάρχοντα, ἑτέροις πτωχοῖς δωρεῖσθαι ἐνδύματα. Ποτὲ δὲ εἰς τὸ ὡρεῖον εἰσελθοῦσα, εὗρε τὸν σῖτον, ὃν εἰς διοίκησιν αὐτῆς ἐν ὅλῳ τῷ ἐνιαυτῷ ἡτοιμάσατο, τοῦτον σχεδὸν πάντα παρὰ τοῦ υἱοῦ αὐτῆς τοῖς πτωχοῖς διαδοθέντα.

3. Ἤρξατο οὖν θρηνεῖν τοῦτο θεασαμένη καὶ τὸ πρόσωπον αὐτῆς τύπτειν· ἐν τούτοις δὲ ὁ τοῦ Θεοῦ παῖς Βονιφάτιος κατέλαβεν, ὃς αὐτὴν λόγοις παραινετικοῖς καταπραΰνειν ἐπεχείρει· ἐκείνης δὲ εἰς οὐδὲν λογισαμένης τὴν τούτου παραίνεσιν, παρεκάλει αὐτὴν ὅπως ἐκ τοῦ ὡρείου ἐξέλθῃ, ἐν ᾧ ἦν σῖτος ὀλίγος ἐναπομείνας.

«Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· διεδίδοτο δὲ ἑκάστῳ, καθότι ἄν τις χρείαν εἶχε». (Πράξ. δ', 34—35).

4. Ἐξελθούσης οὖν ἐκείνης, ἑαυτὸν εἰς εὐχὴν ἐν αὐτῷ τῷ τόπῳ ὑπέστρωσε, καὶ μετ᾽ ὀλίγον ἐξελθὼν τὴν ἑαυτοῦ μητέρα ἐκάλεσε, καὶ σὺν αὐτῷ εἰσελθοῦσα εἰς τὸ ὡρεῖον εἶδεν αὐτὸ γέμον σίτου ὑπερπερισσοῦ τοῦ πρῴην· τοῦτο οὖν θεασαμένη, κατανυγεῖσα παρεκάλει αὐτὸν δοῦναι ὅπου βούλεται, ἐπειδὴ οὕτω συντόμως ὃ αἰτεῖται δύναται παρὰ τοῦ Θεοῦ λαμβάνειν.

Ἑρμηνεία

Ο ΑΝΘΡΩΠΟΣ τοῦ Θεοῦ Βονιφάτιος, ποὺ ἔγινεν Ἐπίσκοπος καὶ τὸν ἐδόξασεν ὁ Θεὸς μὲ πολλὰ θαύματα, ὅταν ἀκόμη ἦτο μικρός, ἔκαμνε τὸ ἑξῆς: Συνήθιζε νὰ ἐπιστρέφῃ εἰς τὸ σπίτι του ἄλλοτε χωρὶς ὑποκάμισον καὶ ἄλλοτε χωρὶς ἔνδυμα. Τί συνέβαινεν; Ἐνῷ ἐπροχωροῦσεν, ὁσάκις ἔβλεπε πτωχόν, ποὺ νὰ εἶναι σχεδὸν γυμνὸς ἀπὸ τὴν δυστυχίαν, ἔβγαζεν αὐτὰ ποὺ ἐφοροῦσεν ὁ ἴδιος καὶ μὲ αὐτὰ ἐνέδυε τὸν δυστυχῆ αὐτόν. Δὲν ἤθελε δὲ κανεὶς νὰ τὸν βλέπῃ, παρὰ μόνον ὁ πανταχοῦ καὶ πάντας ἀοράτως βλέπων, ἀπ᾽ Αὐτὸν δέ, τὸν Παντοκράτορα Θεὸν μόνον, ἐπεζήτει τὴν ἀξιομισθίαν τῶν ἔργων του.

2. Ἐπειδὴ λοιπὸν τὸ ἔκαμνε τακτικὰ αὐτό, ἡ μητέρα του τὸν ἐμάλωνε καὶ τοῦ ἔλεγεν, ὅτι δὲν εἶναι δίκαιον νὰ δίδῃ εἰς ἄλλους πτωχοὺς τὰ ἐνδύματά του, ἐφ᾽ ὅσον καὶ αὐτὸς εἶναι πτωχός. Κάποτε εἰσῆλθεν εἰς τὴν ἀποθήκην καὶ μετὰ καταπλήξεως διεπίστωσεν, ὅτι ὅλος σχεδὸν ὁ σῖτος, ποὺ εἶχε συναχθῆ διὰ τὰς ἀνάγκας τῆς οἰκογενείας, ἐξηφανίσθη! Ὁ υἱός της τὸν εἶχε διαμοιράσει εἰς τοὺς πτωχούς.

3. Μόλις ἀντελήφθη αὐτὸ τὸ πρᾶγμα ἤρχισε νὰ κλαίῃ καὶ νὰ τραβᾷ τὰ μαλλιά της, διότι δὲν εἶχεν ἄλλα χρήματα νὰ ἀναπληρώσῃ τὴν ἔλλειψιν. Ἐπάνω ἀκριβῶς εἰς αὐτὴν τὴν στιγμὴν εἰσέρχεται εἰς τὴν ἀποθήκην καὶ ὁ νεαρὸς Βονιφάτιος! Ἀμέσως προσεπάθησε νὰ τὴν μαλακώσῃ καὶ νὰ τὴν ἠρεμήσῃ μὲ διαφόρους συμβουλὰς καὶ πολυτίμους διδασκαλίας διὰ τὸ στοργικὸν ἐνδιαφέρον τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. Ἐκείνη ὅμως δὲν ἔδιδε καμμίαν σημασίαν εἰς τὰς συμβουλὰς τοῦ υἱοῦ της. Τότε τὴν παρεκάλεσε νὰ ἐξέλθῃ ἀπὸ τὴν ἀποθήκην καὶ νὰ τὸν ἀφήσῃ μόνον του, μὲ τὸν ὀλίγον σῖτον, ποὺ εἶχεν ἀπομείνει.

4. Μόλις ἔμεινε μόνος του ὁ νεαρὸς Βονιφάτιος ἤρχισε μετ᾽ ἐπιμονῆς μίαν δακρύβρεκτον καὶ πλήρη πίστεως προσευχήν! Καὶ τὸ θαῦμα ἔγινε! Μετ᾽ ὀλίγον ὁ νεαρὸς Βονιφάτιος ἐβγῆκεν ἀπὸ τὴν ἀποθήκην καὶ ἐφώναξε τὴν μητέρα του. Καὶ οἱ δύο μαζὶ εἰσῆλθον καὶ πάλιν εἰς τὴν ἀποθήκην. Τί νὰ ἰδῇ τότε ἡ μητέρα; Ἡ ἀποθήκη εἶχε γεμίσει ἀπὸ σῖτον, περισσότερον ἀπὸ προηγουμένως! Μόλις εἶδεν αὐτὸ τὸ πρᾶγμα συνεκινήθη καὶ ἤρχισε νὰ παρακαλῇ ἐπιμόνως τὸν υἱόν της νὰ διαθέσῃ τὸν σῖτον, ὅπως αὐτὸς ἤθελεν, ἀφοῦ τόσον συντόμως δύναται νὰ λάβῃ ἀπὸ τὸν Θεὸν αὐτὸ ποὺ ζητεῖ!

Γ'. Τοῦ αὐτοῦ

ΠΟΤΕ τὴν Καμπανίαν λιμοῦ βαρυτάτου καταλαβόντος, ὁ τοῦ Χριστοῦ πιστὸς καὶ φρόνιμος οἰκονόμος Βενέδικτος οὐκ ἐπαύετο πᾶσι τοῖς ἐνδεέσι τὴν πρέπουσαν συμπαθῶς διανομὴν τῶν ἀναγκαίων τοῦ σώμα-

τος χρειῶν ποιούμενος, ἕως οὗ πάντα ἐκ τοῦ Μοναστηρίου ἐξέλιπον καὶ οὐδὲν ἦν ἕτερον ὑπολειφθὲν ἐν τῷ κελλαρίῳ τῆς Μονῆς, εἰ μὴ βραχύ τι ἔλαιον ἐν ὑελίνῳ σκεύει. Ὑποδιάκονος δέ τις, τὴν προσηγορίαν Ἀγαπητός, ἦλθε πρὸς τὸν τοῦ Θεοῦ φίλον, δυσωπῶν αὐτόν, ὅπως ἔλαιον ὀλίγον ἐπιτρέψῃ δοθῆναι αὐτῷ.

2. Ὁ οὖν θεσπέσιος ἅτε ἐν τῇ διανοίᾳ θέμενος πάντα τὰ ἑαυτοῦ διανέμειν τε καὶ σκορπίζειν ἐν τῇ γῇ, ἐκέλευσε καὶ ἐκεῖνο τὸ βραχὺ ἔλαιον τῷ αἰτοῦντι δοθῆναι· ὁ δὲ Μοναχός, ὁ τὴν τοῦ κελλαρίου διακονίαν ἐγκεχειρισμένος, ὑπήκουσε μὲν τῆς τοῦ Πατρὸς κελεύσεως μερικῶς, πληρῶσαι δὲ ταύτην τελείως οὐχ εἵλετο· δέδωκε γὰρ τῷ ἀνθρώπῳ, οὐχὶ πᾶν τὸ ἔλαιον, ἀλλ' ἐξ αὐτοῦ βραχύ τι.

3. Μετ' ὀλίγον οὖν ἠρώτησεν ὁ Πατὴρ τὸν κελλαρίτην, ἐὰν τὸ ἔλαιον ἅπαν ἔδωκε τῷ αἰτήσαντι· ὁ δὲ ὡμολόγησε μὲν δεδωκέναι, οὐχὶ δὲ πᾶν, προσθείς, ὅτι εἰ ὅλον ἐκεῖνο τὸ ἔλαιον παρασχεθῆναι κελεύεις τῷ ἀνδρί, παντελῶς τοῖς ἀδελφοῖς οἵα δήποτ' οὖν παραμυθία οὐχ ὑπολειφθήσεται.

4. Τότε ὀργισθεὶς ὁ πρᾳότατος ἐκεῖνος ἀνὴρ προσέταξε τοῖς ἀδελφοῖς ἵνα τὸ ὑέλινον σκεῦος, ἐν ᾧ ἦν τὸ ἀπομεῖναν ἔλαιον, διὰ τῆς θυρίδος ῥίψωσιν, ὅπως μὴ ἐν τῷ Μοναστηρίῳ καταλειφθῇ τι τῶν ἐκ τῆς παρακοῆς· γέγονε τοίνυν ὡς ὁ Ἅγιος προσέταξε, καὶ ἐῤῥίφθη τὸ σκεῦος· ὑπὸ δὲ τὴν θυρίδα ἐκείνην σωρὸς ἦν λίθων πολλῶν μεγάλων, ἐφ' οὓς ῥιφθὲν τὸ ὑέλινον σκεῦος οὕτω διέμεινε σῶον, ὡς μηδὲ ῥιφέν· οὔτε γὰρ ὡς ἀπὸ ὕψους ῥιφὲν κἂν βραχύ τι συνετρίβη, οὔτε τὸ ἔλαιον ἐξεχύθη.

5. Ἐπέτρεψεν οὖν ὁ τίμιος Πατὴρ τοῦτο ἐνεχθῆναι, καὶ καθὼς ἦν ἀκέραιον τῷ αἰτοῦντι δοθῆναι· τὸν δὲ παρακούσαντα, συναχθέντων τῶν ἀδελφῶν, ἐνώπιον πάντων διὰ τὴν ἀπιστίαν καὶ τὴν παρακοὴν αὐτοῦ διήλεγξεν· εἶτα σὺν τοῖς ἀδελφοῖς ἑαυτὸν ὁ μακάριος εἰς προσευχὴν δέδωκεν· ἐν δὲ τῷ τόπῳ ἐκείνῳ, ἐν ᾧ προσηύχετο, ὑπῆρχε πίθος κενὸς σκεπάσματι κεκαλυμμένος.

6. Ἐν τῷ οὖν τὸν Ἅγιον προσεύχεσθαι, ἤρξατο τὸ πῶμα τοῦ πίθου κουφίζεσθαι ὑπὸ τοῦ ἐντὸς ἀναδιδομένου ἐλαίου· ἐπὶ πλεῖον δὲ ὑψωθέντος τοῦ πώματος, ὑπερβλύσαν ἐκ τοῦ πιθαρίου τὸ ἔλαιον, ἅπαν τὸ ἔδαφος ἐπλήρωσεν, ἐν ᾧ ἦν εἰς προσευχὴν ὁ Ὅσιος.

7. Τοῦτο δὲ θεασάμενος ὁ σεβάσμιος, τῇ εὐχῇ τέλος ἐπέθηκε, τὸν δὲ ἄπιστον ἐκεῖνον καὶ ἀνήκοον ἀδελφὸν πατρικῶς ἐνουθέτησεν εἰπών· τέκνον, κτῆσαι πίστιν ἀδίστακτον καὶ ταπεινοφροσύνην ἀξίαν τοῦ Μοναχικοῦ ἐπαγγέλματος· ὁ δὲ τοῖς αὐτοῦ ποσὶ προσπεσών, συγγνώμην ᾐτεῖτο ἐπὶ τῷ σφάλματι, ἧς καὶ τυχών, οὐκέτι ὑπὸ τοῦ τῆς ἀπιστίας πάθους ἡττήθη.

8. Καὶ ὁ Ὅσιος Λουκᾶς ὁ νέος, παῖς ἔτι ὤν, ὁμοίως ἐποίει, καὶ τοὺς γυμνητεύοντας τῶν ἀδελφῶν τὰ ἴδια ἱμάτια ἀποδυόμενος ἐνέδυε, καὶ γυμνὸς πρὸς τοὺς γονεῖς ἐπανερχόμενος, ὑβρίζετό τε καὶ ἐμαστίζετο πολλάκις, καὶ ἐπὶ πολὺ γυμνὸς μένειν ὑφίστατο, καὶ τῆς θαυμασίας καὶ φιλανθρώπου ἐργασίας οὐκ ἀφίστατο.

Ἑρμηνεία

ΚΑΠΟΤΕ εἰς τὴν Καμπανίαν ἔπεσε μεγάλη πεῖνα καὶ δυστυχία. Εἰς αὐτὴν τὴν περιοχὴν ὑπῆρχεν ἕνα Μοναστήριον, τὸ ὁποῖον εἶχεν Ἡγούμενον τὸν πιστὸν καὶ φρόνιμον οἰκονόμον τοῦ Χριστοῦ Βενέδικτον. Ὁ εὐλογημένος λοιπὸν αὐτὸς ἄνθρωπος οὔτε μίαν στιγμὴν δὲν ἐσταμάτησε νὰ μοιράζῃ τὰ τρόφιμα τοῦ Μοναστηρίου εἰς τοὺς πτωχοὺς μὲ συμπάθειαν καὶ χωρὶς γογγυσμόν. Ἡ προθυμία του αὐτὴ νὰ ἱκανοποιῇ τόσον πλουσιοπαρόχως τὰς ὑλικὰς ἀνάγκας τῶν δυστυχῶν ἐξήντλησε κάποτε ὅλα τὰ ἀποθέματα τροφίμων τοῦ

Μοναστηρίου. Μόνον ὀλίγον ἔλαιον ἀπέμεινεν εἰς μίαν ὑαλίνην φιάλην. Κατὰ σύμπτωσιν, μίαν ἡμέραν, ἦλθεν ἕνας Ὑποδιάκονος, ὁ Ἀγαπητός, καὶ τὸν παρεκάλει νὰ τοῦ δώσῃ ὀλίγον ἔλαιον.

2. Αὐτὸς λοιπὸν ὁ περίφημος ἄνθρωπος, ὁ Βενέδικτος, ἐπειδὴ εἶχεν εἰς τὸν νοῦν του νὰ σκορπίσῃ ὅλα τὰ ὑπάρχοντά του εἰς τὴν γῆν, διέταξε νὰ δοθῇ καὶ αὐτὸ ἀκόμη τὸ ὀλίγον ἔλαιον εἰς τὸν Ἀγαπητόν, ποὺ τὸ ἐζήτησεν. Ὁ ἀποθηκάριος Μοναχός, ποὺ ἔλαβε τὴν ἐντολὴν τοῦ Ἡγουμένου, ὑπήκουσε μὲν εἰς τὴν ἐντολὴν τοῦ Πατρὸς Βενεδίκτου, πλὴν ὅμως δὲν τὴν ἐξεπλήρωσεν ἀκεραίαν· πράγματι ἔδωσεν εἰς τὸν ἄνθρωπον ἔλαιον, ἀλλὰ ὄχι ὅλον, ὅπως τὸν διέταξεν ὁ Ἡγούμενος, ἀλλὰ μέρος μόνον αὐτοῦ.

3. Μετὰ ἀπὸ ὀλίγον ἠρώτησεν ὁ Ὅσιος τὸν ἀποθηκάριον, ἐὰν ἔδωσεν ὅλην τὴν ποσότητα τοῦ ἐλαίου εἰς αὐτὸν ποὺ τὴν ἐζήτησεν. Ὁ Μοναχὸς τότε ἀπεκάλυψε τὴν ἀλήθειαν, ὅτι μόνον μέρος εἶχε δώσει καὶ ἀπολογούμενος διὰ τὴν ἀνυπακοήν του αὐτὴν προσέθεσεν:

—Ἐὰν προστάζῃς νὰ δώσωμεν ὁλόκληρον τὴν ποσότητα τοῦ ἐλαίου εἰς τὸν προσελθόντα Ὑποδιάκονον, τότε δὲν θὰ παραμείνῃ τίποτε, διὰ μίαν ἐλαχίστην παρηγορίαν τῶν ἀδελφῶν.

4. Μόλις ἤκουσε τοὺς λόγους αὐτοὺς ὁ τόσον πρᾶος καὶ φιλήσυχος Βενέδικτος ὠργίσθη καὶ ἔδωσεν ἐντολὴν εἰς τοὺς Μοναχοὺς νὰ ρίψουν ἔξω, ἀπὸ τὸ παράθυρον, τὴν φιάλην μὲ τὸ ὀλίγον ἔλαιον, διὰ νὰ μὴ μείνῃ εἰς τὸ Μοναστήρι τίποτε, προερχόμενον ἐκ παρακοῆς. Ἀμέσως λοιπὸν τὰ πράγματα ἔγιναν, ὅπως διέταξεν ὁ Ἅγιος καὶ ἐρρίφθη ἡ φιάλη ἀπὸ τοῦ παραθύρου. Τότε συνέβη ἕνα καταπληκτικὸν γεγονός! Κάτω ἀπὸ τὸ παράθυρον ὑπῆρχαν πολλὲς καὶ μεγάλες πέτρες! Τί φυσικώτερον λοιπὸν ἀπὸ τοῦ νὰ σπάσῃ ἐπάνω εἰς αὐτὰς ἕνα ὑάλινον δοχεῖον; Καὶ ὅμως ὄχι μόνον δὲν ἔσπασεν, ἀλλὰ παρέμεινε σῶον καὶ ἀκέραιον, ὡς νὰ τὸ εἶχε σκοπίμως τοποθετήσει κανείς, χωρίς, οὔτε νὰ ραγίσῃ, οὔτε τὸ ἔλαιον νὰ χυθῇ!

5. Μόλις εἶδεν αὐτὸ τὸ πρᾶγμα ὁ τίμιος Πατήρ, ἔδωσεν ἀμέσως ἐντολὴν νὰ τὸ πάρουν, ὅπως ἦτο, καὶ νὰ τὸ δώσουν εἰς τὸν Ὑποδιάκονον! Ἐν συνεχείᾳ ἐπρόσταξε νὰ γίνῃ σύναξις τῶν ἀδελφῶν καὶ νὰ προσέλθῃ ὁ Μοναχός, ποὺ παρήκουσε· τότε ἐνώπιον ὅλων τὸν ἤλεγξε διὰ τὴν ἀπιστίαν καὶ παρακοήν του. Μετὰ ταῦτα προσηυχήθησαν ὅλοι οἱ ἀδελφοὶ τοῦ Μοναστηρίου μὲ τὸν Ἡγούμενον, νὰ τοὺς ἐσπλαγχνισθῇ ὁ Θεός. Εἰς τὸν τόπον, ποὺ προσηύχοντο, ὑπῆρχεν ἕνα μεγάλο ἄδειο πιθάρι, ποὺ ἦτο σκεπασμένον.

6. Καθὼς λοιπὸν προσηύχετο ὁ Ἅγιος μετὰ τῶν ὑποτακτικῶν του, ἤρχισε τὸ σκέπασμα νὰ ὑποχωρῇ σιγὰ - σιγά. Τί εἶχε συμβῆ; Τὸ πιθάρι ἀνέβλυσεν ἔλαιον, τόσον, ποὺ ἐν τῷ μεταξὺ ἐξεχείλισε καὶ ἐχύνετο εἰς τὸ δάπεδον, ἐκεῖ ὅπου προσηύχετο ὁ Ὅσιος.

7. Μόλις εἶδε τὸ θαῦμα αὐτὸ ὁ Ὅσιος Βενέδικτος ἐσταμάτησε τὴν προσευχὴν καὶ ἐκάλεσε πλησίον του τὸν ὀλιγόπιστον καὶ παρήκοον

ἀδελφόν, τὸν ὁποῖον ἐνουθέτησε πατρικῶς, εἰπὼν εἰς αὐτόν, μεταξὺ τῶν ἄλλων καὶ τὰ ἑξῆς:

— Τέκνον μου, πρόσεξε νὰ ἀποκτήσῃς σταθερὰν καὶ ἀκλόνητον πίστιν· τὴν πίστιν σου δὲ αὐτὴν νὰ συνοδεύῃ πάντοτε βαθεῖα ταπεινοφροσύνη, ποὺ εἶναι ἀξία τῆς μοναχικῆς ὑποσχέσεως.

Ὁ Μοναχός, ἀκούων τοὺς λόγους αὐτούς, ἔπεσεν εἰς τοὺς πόδας τοῦ Ὁσίου Βενεδίκτου καὶ ἐζήτει συγχώρησιν διὰ τὸ σφάλμα του αὐτό. Ὁ Ὅσιος Βενέδικτος εὐχαρίστως τὸν συνεχώρησε καὶ ἀπὸ τότε πλέον ὁ Μοναχὸς αὐτὸς οὐδέποτε ἐνικήθη ἀπὸ τὸ πάθος τῆς ἀπιστίας.

8. Καὶ ὁ Ὅσιος Λουκᾶς, ὅταν ἦτο ἀκόμη παιδί, διεκρίνετο διὰ τὴν συμπάθειάν του πρὸς τοὺς γυμνητεύοντας ἀδελφούς. Ἔβγαζε δηλαδὴ τὰ ἐνδύματά του καὶ ἐνέδυε μὲ αὐτὰ τοὺς δυστυχεῖς. Ἐπέστρεφε γυμνὸς εἰς τὸ σπίτι, ὅπου οἱ γονεῖς του τὸν ὕβριζον καὶ πολλάκις μάλιστα τὸν ἐμαστίγωναν. Καίτοι δὲ τὸν ἄφηναν συχνάκις καὶ γυμνόν, ἐν τούτοις τὸ εὐλογημένον αὐτὸ παιδὶ δὲν παρητεῖτο ἀπὸ τὴν ζηλευτὴν καὶ φιλάνθρωπον ἐνασχόλησίν του.

Δ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Εὐθυμίου

ΤΟΥ ΜΕΓΑΛΟΥ ΠΑΤΡΟΣ ΕΥΘΥΜΙΟΥ καὶ τῶν σὺν αὐτῷ ἀδελφῶν, πολλῇ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ κατὰ τὴν νέαν Λαύραν πιεζομένων, συμβαίνει πληθὺν Ἀρμενίων οὐκ ἐλάττω ἢ τετρακοσίων τὸν ἀριθμὸν ἐπὶ τὸν Ἰορδάνην ἀπὸ τῆς Ἁγίας Πόλεως κατιοῦσαν, ἐκκλῖναί τε τῆς ὁδοῦ δεξιὰ καθάπερ τινὸς αὐτῶν τὴν πορείαν καθοδηγοῦντος, καὶ εἰς τὴν Λαύραν ἐκείνην παραγενέσθαι.

2. Οὓς ἰδὼν ὁ μέγας ἐκεῖνος καταλύσαντας, ὥστε τὸν ἐκ τῆς ὁδοῦ κόπον διαναπαῦσαι, καλεῖ Δομετιανὸν οἰκονομεῖν τὰ τῆς Λαύρας ὑπ' αὐτοῦ προκεχειρισμένον, καὶ παραθεῖναι τούτοις παραγγέλλει· τοῦ δὲ προβαλλομένου τὴν ἔνδειαν, καὶ ὡς οὐδὲ ἐφήμερον ἔχειν τῶν ἀδελφῶν τροφὴν ἀποκρινομένου, θαῤῥῶν ἐκεῖνος τῷ καὶ χήρᾳ τροφὴν πλουσίαν δι' ἀφθονίαν πηγάσαντι προαιρέσεως, πορευθῆναι παρὰ τὸ ἀρτοφυλακεῖον ἐντέλλεται Δομετιανῷ· εἴσῃ γάρ, ἔφη, τί μὲν ἀνθρώπινοι λογισμοί, τί δὲ θεία δύναται Χάρις παραδόξως οἰκονομεῖν.

3. Καὶ ὃς εἴξας εὐθὺς καὶ παραγενόμενος, ὢ τῶν ἀνεκδιηγήτων σου, Χριστέ, θαυμασίων! εὑρίσκει Θείᾳ τινὶ Προνοίᾳ καὶ σοφῇ τὴν οἰκίαν οὕτως ἄρτων μεστήν, ὡς μηδὲ τὴν θύραν διανοῖξαι μικρόν τι ῥᾴδιον εἶναι, τῷ πλήθει τῶν ἔνδον ἀνειργομένην· καλέσας τοίνυν καὶ ἄλλους τῶν ἀδελφῶν καὶ τὴν θύραν σὺν αὐτοῖς ἀνατρέψας, ὁρᾷ τὰ ἔνδον, ἀμύθητόν τι πλῆθος ἄρτων, οἴνου τε καὶ ἐλαίου πολλὴν ἀφθονίαν καὶ ἀνάλογον τῇ περὶ τῷ διδόναι πάντως Εὐθυμίου φιλοτιμίᾳ.

4. Ταῦτα Δομετιανὸς ἰδών, καὶ τῆς Θείας Χάριτος συμβαλὼν τὴν ἐνέργειαν, πίπτει πρὸς τοῖς ποσὶ τοῦ μεγάλου συγγνώμην αἰτῶν, καὶ μικρολογίας ἀντιδιδοὺς μετανοίας θερμότητα.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ἀσκητικὸς Πατὴρ Εὐθύμιος, ἐστενοχωρεῖτο πάρα πολύ, μαζὶ μὲ τοὺς ὑποτακτικούς του, ἀπὸ ἔλλειψιν τῶν ἀναγκαίων τροφίμων, ὅταν ἐγκατεστάθησαν εἰς τὴν νέαν Λαύραν.

Ἐνῷ λοιπὸν ἐπιέζοντο ἀπὸ φοβερὰν ἔλλειψιν, ἐπισκέπτεται τὴν Λαύραν ἕνα ὁλόκληρον πλῆθος ἀπὸ Ἀρμενίους, περίπου τετρακόσια ἄτομα. Οἱ ἄνθρωποι αὐτοί, ἐνῷ κατηφόριζαν ἀπὸ τὰ Ἱεροσόλυμα πρὸς τὸν Ἰορδάνην, παρεξέκλιναν δεξιὰ ἀπὸ τὸν δρόμον καὶ ἐβάδιζαν, ὡς νὰ τοὺς ὡδήγει κανεὶς ἀσφαλῶς, πρὸς τὴν νέαν Λαύραν τοῦ Ἁγίου Εὐθυμίου.

2. Μόλις εἶδε τοὺς ἐπισκέπτας αὐτοὺς ὁ Ἅγιος καὶ ἐπιθυμῶν νὰ τοὺς ξεκουράσῃ ἀπὸ τὸν κόπον τῆς ὁδοιπορίας, φωνάζει τὸν Δομετιανόν, τὸν ὁποῖον εἶχε προχειρίσει οἰκονόμον τῆς Λαύρας, καὶ τοῦ παραγγέλλει νὰ τοὺς ἑτοιμάσῃ τράπεζαν.

— Μά, Γέροντά μου — ἀπήντησεν εἰς τὴν ἐντολὴν αὐτὴν τοῦ Μεγάλου Εὐθυμίου ὁ Δομετιανὸς—δὲν δυνάμεθα οὔτε τὴν καθημερινὴν τροφὴν τῶν ἀδελφῶν τῆς Λαύρας, νὰ ἐξοικονομήσωμεν.

Ἔχων δὲ ὁ Ὅσιος τὸ θάρρος καὶ τὰς ἐλπίδας του εἰς τὸν Θεόν, Ὅστις καὶ εἰς τὴν χήραν ἐκείνην, ποὺ ἔδειξε καλὴν προαίρεσιν εἰς τὸν Προφήτην Ἠλίαν [1] ἔδωκε πλουσίαν καὶ ἄφθονον τροφήν, λέγει πρὸς τὸν Δομετιανόν:

— Πήγαινε εἰς τὴν ἀποθήκην τῶν ἄρτων καὶ θὰ μάθῃς πόσον ἀσθενεῖς εἶναι οἱ ἀνθρώπινοι λογισμοί, ἀλλὰ καὶ τί δύναται νὰ οἰκονομήσῃ ἡ Θεία Χάρις θαυμαστῶς.

3. Πράγματι ὁ Δομετιανὸς μετέβη εἰς τὴν ἀποθήκην τῶν ἄρτων καὶ εὑρέθη πρὸ καταπληκτικοῦ θαύματος! Ὢ τῶν ἀνεκδιηγήτων σου Χριστὲ θαυμασίων! Διὰ θείας φροντίδος εὑρίσκει τὴν ἀποθήκην γεμάτην μὲ τόσους ἄρτους, ὥστε νὰ μὴ εἶναι εὔκολον νὰ ἀνοίξῃ οὔτε ἡ θύρα τῆς ἀποθήκης, ἐμποδιζομένη ἐσωτερικῶς ἀπὸ τὸ πλῆθος τῶν ἄρτων. Ἐκάλεσε λοιπὸν καὶ ἄλλους ἀδελφοὺς νὰ τὸν βοηθήσουν καὶ ἀπὸ κοινοῦ ἔβγαλαν τὴν θύραν.

Τότε βλέπουν μέσα εἰς τὴν ἀποθήκην ἀνωτέραν παντὸς ὑπολογισμοῦ ποσότητα ἄρτων, οἴνου καὶ ἐλαίου, ἀνάλογον τῆς φιλοτίμου πρὸς τοὺς πτωχοὺς μεταδοτικότητος τοῦ Ἁγίου Εὐθυμίου.

4. Μόλις εἶδεν αὐτὰ τὰ ἀξιοθαύμαστα γεγονότα ὁ Δομετιανὸς καὶ κατανοήσας, ὅτι εἶναι ἔργα τῆς Θείας Χάριτος, πίπτει εἰς τοὺς πόδας τοῦ Μεγάλου Εὐθυμίου καὶ ζητεῖ συγχώρησιν διὰ τὴν μικρολογίαν του, ἀντιπροσφέρων εἰλικρινῆ καὶ θερμὴν μετάνοιαν.

Ε΄. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Μαρκιανοῦ

Τελουμενων τῶν ἐγκαινίων τοῦ Ναοῦ τῆς Ἁγίας Μάρτυρος Ἀναστασίας, ὃν ἐκ βάθρων ὁ μέγας Μαρκιανὸς ἀνήγειρε, τῶν τε Βασιλέων καὶ τοῦ Πατριάρχου καὶ πάσης, ὡς εἰκός, συντρεχούσης τῆς πόλεως,

1) «Καὶ ἐπορεύθη ἡ γυνή, καὶ ἐποίησε· καὶ ἤσθιεν αὐτὴ καὶ αὐτὸς καὶ τὰ τέκνα αὐτῆς, καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιοῦ» (Γ΄ Βασιλ. ιζ΄, 15—16).

πένης τις, προσελθὼν τῷ Ἁγίῳ, ἐνέβλεψέ τε πρὸς τὴν αὐτοῦ δεξιάν, καὶ ᾔτει δέξασθαί τι λιμοῦ φάρμακον.

2. Ὁ δέ, καὶ γὰρ ἦν τότε πρὸς μὲν κόλπον φέρων οὐδέν, εἴσω δὲ τῶν τῆς ψυχῆς κόλπων πολλὴν ὄντως χρηστότητα καὶ φιλανθρωπίαν, ἐκ μέσου πάντων γενόμενος, καὶ ὡς μάλιστα λανθάνοντα ὅπου τόπον περιβλεψάμενος· ἐτύγχανε δὲ οὐδενὶ ἄλλῳ ἢ ἑνὶ χιτῶνι σκεπόμενος, ὅπερ καὶ σύνηθες αὐτῷ διὰ βίου δυσὶ χρήσασθαι ἱματίοις.

3. Οὕτως οὖν ἔχων ὁ θεῖος ἀνήρ, καίτοι ῥᾷον ὂν ἀπολογίᾳ τοῦ ἐνδεοῦς τὴν ἱκετείαν ἀφοσιώσασθαι, ἐπεὶ καὶ τοῦ μηδὲν ἐπάγεσθαι μάρτυρας εἶχε τοὺς πάντα βλέποντας τοῦ Θεοῦ ὀφθαλμούς, ἐκεῖνος ὥς περ φοβούμενος, ὅτι μὴ λυπήσῃ Θεόν, εἰ μὴ δοίη, καὶ αὐτὴν τὴν ἐσθῆτα, ἣν μόνην περιεβέβλητο, ἀποδύς, τῷ δεομένῳ προθύμως δίδωσι· καὶ λοιπὸν τὴν ἱερατικὴν μόνην εἶχε στολήν, καὶ τὸν φελώνην τὸ σῶμα κρύπτοντα, ὡς οἷόν τε λαθεῖν ἔσπευδεν.

4. Ἐπεὶ δὲ καὶ τὸ ἱερὸν αὐτοὺς ἔνδον εἶχεν, αὐτῷ δὲ τὴν θείαν ἐκτελέσαι μυσταγωγίαν ὁ τῶν ἱερέων πρῶτος ἐπέτρεπεν· ὁ μὲν ὁμοίως τὸν φελώνην συνῆγεν, ὡς ἔφημεν, λαθεῖν τὸ πρᾶγμα σπουδάζων.

5. Οἱ δέ γε παρεστῶτες καὶ σὺν αὐτοῖς ὁ Ἀρχιερεὺς πρὸς αὐτὸν ἀπιδόντες, ὁρῶσι τι θαῦμα καινὸν καὶ ἀπόῤῥητον, καὶ σχεδὸν αὐτοῖς μόνοις πιστὸν τοῖς θεασαμένοις· βασιλικήν τινα στολὴν καὶ χρυσίῳ λαμπρῷ κατάστικτον εἴσω περιβεβλημένον, ἥτις καὶ τότε φανερώτερον διὰ τῶν χειρῶν διεφαίνετο, ὅτε τοῦ θείου σώματος μετεδίδου τοῖς προσιοῦσι.


6. Ταῦτα ὁρῶντες, οἱ μὲν τὸ θαῦμα παρ' ἑαυτοῖς εἶχον, οἱ δὲ καὶ ἄλλοις ἐξήγγελλον, οἱ μὲν ὡς θαυμάζοντες, οἱ δὲ ὡς φθονοῦντες· οἳ καὶ αὐτῷ δήπου τῷ Ἀρχιερεῖ Γενναδίῳ προσελθόντες, ὡς ἀγνοεῖν οἰόμενοι ἅπερ εἰδέναι λίαν ἠβούλοντο, ἀπαγγέλλουσι, διασύροντες ἅμα τὸν Ἅγιον καὶ διαβάλλοντες· ὁ δὲ Πατριάρχης, ἑωρακέναι μὲν καὶ αὐτὸς ἔλεγε, τὸν τρόπον δὲ ἀγνοεῖν, καὶ ἀτεχνῶς ἐν τούτῳ διαπορεῖσθαι.

7. Ἐπεὶ δὲ καὶ τέλος εἶχε Μαρκιανῷ ἡ μυσταγωγία, μετακαλεῖται τοῦτον ὁ Πατριάρχης, ἰδίᾳ τε ἐντυχών, περὶ τῆς στολῆς ἐνεκάλει, καί, ὅτι βασιλεῦσι μᾶλλον, ἀλλ' οὐχὶ Ἱερεῦσι ταῦτα προσήκει· ὁ δὲ εἰς ἀποροῦντα μᾶλλον ἀπορηθείς, πίπτει πρὸς τοῖς ἐκείνου ποσί, καὶ πολλὰ τοῦτον δάκρυα καταχέων, ἀπηρνεῖτο παντάπασι τὸ λεχθέν, καὶ ἀπάτην ὀφθαλμῶν εἶναι τὸ πρᾶγμα διϊσχυρίζετο, τὸ γὰρ δὴ καὶ φρονῆσαι τοιοῦτον φησὶ μόνον, μανία σαφής.

8. Πρὸς ταῦτα ὁ Πατριάρχης, καὶ γὰρ εὔηθες εἶναι ᾤετο, καὶ φανερῶς ἄλογον, ὄμμασι τοῖς οἰκείοις διαπιστεῖν, ἁψάμενος ἰδίᾳ χειρί, εὐθὺς ἀναστέλλει τὸν φελώνην αὐτὸν τῇ ἱερατικῇ συνάμα στολῇ· καὶ τὸ λοιπὸν θαῦμα ἦν καὶ ὁρώμενον καὶ λεγόμενον· ὁ μὲν γὰρ χρυσοῦς ἐκεῖνος χιτών, ὁ μικρῷ πρόσθεν βλεπόμενος, οὐδαμοῦ, γυμνὸς δὲ ὁ Ἅγιος, ὥς περ ἄρα καὶ ἦν δίχα τῶν ἱερατικῶν τούτων ἐπιβλημάτων, ὡρᾶτο γυμνός, ὁ χρυσοῖς ὄντως τῆς ἀρετῆς χιτῶσι τοῖς ἀθεάτοις σκεπόμενος.

9. Τοῦτο ἐξίστησι μὲν τὸν Ἀρχιερέα, ἐξίστησι δὲ τοὺς κρατοῦντας, ἤδη τοῦ λόγου καὶ πρὸς αὐτοὺς διαβαίνοντος, καὶ διὰ πάντων Θεὸς καὶ ὁ αὐτοῦ θεράπων ἐμεγαλύνετο· ἦν μὲν γὰρ ὁ Ἅγιος καὶ ἐν τοῖς ἱεροῖς οἴκοις τὴν χεῖρα πολυαρκής· καὶ πολλῶν μὲν καὶ μεγίστων ναῶν δημιουργός, πολλῶν δὲ καὶ θεραπευτὴς ἐδείκνυτο, τῶν δὲ πενήτων πολλῷ πλέον ἐπεμελεῖτο· καὶ τοῦτο δῆλον καὶ ἐξ ἄλλων πολλῶν, μάλιστα δὲ ἐκ τοῦ ῥηθήσεσθαι μέλλοντος· ὅθεν δήλη γενήσεται οὐ μόνον ἡ ἐκείνου περὶ τοὺς δεομένους φιλανθρωπία, ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ φιλάνθρωπον οἷον ἄρα τοὺς ἐραστὰς ἐκείνου τῶν χαρισμάτων καταξιοῖ.

10. Νύκτωρ ὁ θαυμάσιος τάς τε πλατείας καὶ τοὺς στενωποὺς τῆς πόλεως περιϊὼν, ἐπιμελὲς ἐποιεῖτο, ποῦ ποτε ἂν καὶ εὕροι νεκρὸν ὑπὸ πολλῆς πενίας παρεῤῥιμμένον καὶ προνοίας ὑπ' οὐδενὸς ἀξιούμενον, καὶ οὗ ἂν ἴδοι τοιοῦτον, ὥς περ


Ο ΑΓΙΟΣ
ΜΑΡΚΙΑΝΟΣ

μεγάλου τινὸς κέρδους ἐπιτυχών, ἀσμένως ἑώρα, καὶ σπουδῇ λύσας καὶ ἀμφιάσας καὶ τῶν ἄλλων δὴ τῶν νενομισμένων ἀξιώσας αὐτόν.

11. Εἶτα καὶ ὡς περὶ ζῶντι τῷ νεκρῷ προσεφθέγγετο· δεῦρο λέγων, ἀδελφέ, καὶ τῆς ἐν Χριστῷ ἀγάπης ἡμῖν κοινώνησον· οὕτω λέγων, ὑπακούοντα τὸν κείμενον εἶχεν· ἀνίστατο γάρ, ὢ θαύματος ἀποῤῥήτου! καὶ Μαρκιανὸν ἠσπάζετο τὸν χρηστόν, τῆς προνοίας ὥς περ τῆς περὶ αὐτόν, οὐκ ἐκεῖνον, ἀλλὰ τὸν Χριστὸν μᾶλλον ὑποφαίνων ἀποδεχόμενον· εἶθ᾽ οὕτως ὁ νεκρὸς πάλιν νεκρὸς ἦν, καὶ τοιοῦτος ὑπὸ τῶν παρόντων ὁρώμενος.

Ἑ ρ μ η ν ε ί α

ΟΤΑΝ ΕΤΕΛΟΥΝΤΟ τὰ ἐγκαίνια τοῦ Ναοῦ τῆς Ἁγίας Μάρτυρος Ἀναστασίας, τὸν ὁποῖον ἐκ βάθρων ἀνῳκοδόμησεν ὁ μέγας ἐν ἀρεταῖς Μαρκιανός, ὁ οἰκονόμος τῆς Μεγάλης Ἐκκλησίας, προσῆλθεν ὅλη σχεδὸν ἡ πόλις, ὁ βασιλεύς, ὁ Πατριάρχης καὶ ἀρκετοὶ ἐπίσημοι. Μεταξὺ αὐτῶν παρευρίσκετο καὶ ὁ κτίτωρ τοῦ Ναοῦ, ὁ Ἅγιος Μαρκιανός.

Κάποιος λοιπὸν πτωχὸς προσῆλθεν εἰς τὸν Ἅγιον, τὸν ἐκοίταξε μὲ λυπημένην ὄψιν καὶ μὲ ἐπίμονον ἱκετευτικὸν βλέμμα πρὸς τὴν χεῖρα του, ἐζήτει κάτι σὰν φάρμακον τῆς πείνης του.

2. Ὁ Ἅγιος Μαρκιανὸς ἐκείνην τὴν στιγμὴν δὲν εἶχε τίποτε ἐπάνω του· μόνον ἡ ψυχή του ἐσωτερικῶς ἦτο γεμάτη ἀπὸ πολλὴν καλωσύνην καὶ ἀγάπην πρὸς τοὺς ἀνθρώπους. Μὲ τρόπον λοιπὸν ἀποσύρεται ἀπὸ τὸ πλῆθος καὶ ἀναζητεῖ τόπον, ποὺ νὰ προφυλάσσεται ἀπὸ τὰ βλέμματα τῶν ἀνθρώπων. Ἐπάνω του δὲν ἐφόρει τίποτε ἄλλο ἐκτὸς ἀπὸ ἕνα χιτῶνα, μὲ τὸν ὁποῖον ἐσκεπάζετο· εἰς ὅλην του ἄλλωστε τὴν ζωὴν μόνον δύο ἱμάτια ἐφόρει.

3. Εἰς τὴν κατάστασιν αὐτὴν τῆς ἀνεχείας εὑρισκόμενος ἠδύνατο εὐκόλως νὰ ἀπορρίψῃ τὴν παράκλησιν τοῦ πτωχοῦ, ἐπικαλούμενος τὴν ἰδικήν του κατάστασιν. Δὲν θὰ ἔλεγεν ἄλλωστε καὶ ψέμματα· μάρτυρα θὰ εἶχε τὸν Παντεπόπτην Θεόν! Καὶ ὅμως δὲν τὸ ἠθέλησε· φοβούμενος μὴ λυπήσῃ τὸν Θεόν, κωφεύων εἰς τὴν παράκλησιν τοῦ πτωχοῦ, ἔβγαλε τὴν μοναδικήν του ἐσθῆτα καὶ τὴν ἔδωσεν ὡς ἐλεημοσύνην εἰς αὐτόν, ποὺ τοῦ ἐζήτησε κάτι! Κατόπιν τῆς θυσίας αὐτῆς ἀπέμεινε μόνον μὲ τὴν ἱερατικὴν στολήν, τὴν ὁποίαν ἐφόρει κατὰ τὴν ὥραν ἐκείνην τῆς θείας λειτουργίας καὶ ἐτραβοῦσεν ἀπὸ παντοῦ τὸ φελώνιον, διὰ νὰ κρύψῃ τὸ σῶμα, φροντίζων, ὅσον τὸ δυνατόν, νὰ ἀποφύγῃ τὴν προσοχὴν τῶν ἀνθρώπων.

4. Ἀφοῦ δὲ—λόγῳ τῶν ἐγκαινίων—εἰσῆλθον εἰς τὸ ἱερόν, ὁ πρῶτος τῇ τάξει Ἱερεὺς τοῦ παρεχώρησε τὴν τιμὴν νὰ τελέσῃ τὴν Θείαν Μυσταγωγίαν. Τότε ὁ Ἅγιος Μαρκιανός, ὅπως εἴπωμεν, ἐτραβοῦσε τὸ φελώνιον, διὰ νὰ μὴ γίνῃ ἀντιληπτὴ ἡ πρᾶξις τῆς ἀγάπης, τὴν ὁποίαν θὰ συνεπέραινον ἀσφαλῶς ἐκ τῆς ἀπουσίας τῆς ἐσθῆτος.

5. Ἐν τῷ μεταξὺ οἱ παρευρισκόμενοι Ἱερεῖς καὶ μαζὶ μὲ αὐτοὺς ὁ παριστάμενος Ἀρχιερεύς, ὁσάκις παρετήρουν τὸν Ἅγιον Μαρκιανόν, ἔβλεπον ἕνα παράξενον καὶ σχεδὸν ἀπίθανον θαῦμα, πιστευτὸν μό-

νον εἰς αὐτούς, ποὺ τὸ ἐθεώρουν. Ἔβλεπαν, ὅτι ὁ Ἅγιος Μαρκιανὸς ἐφόρει μέσα ἀπὸ τὸ φελώνιον μίαν βαρύτιμον βασιλικὴν στολήν, ποὺ ἦτο κατάστικτος ἀπὸ λαμπρότατον χρυσάφι. Ἡ στολὴ αὐτὴ τότε ἐφαίνετο καλυτέρα καὶ λαμπροτέρα, ὅταν ὕψωνε τὰς χεῖρας του ὁ Ὅσιος, διὰ νὰ μεταδώσῃ εἰς τοὺς προσερχομένους πιστοὺς τὸ Θεῖον Σῶμα.

6. Ὅσοι ἔβλεπον τὸ καταπληκτικὸν αὐτὸ θαῦμα ἐτρόμαζον· καὶ ἄλλοι μὲν τὸ ἐσιώπων, ἀπὸ θρησκευτικὸν δέος συνεχόμενοι, ἄλλοι πάλιν τὸ ὑπεδείκνυον καὶ εἰς τοὺς ἄλλους. Ἄλλοι, τέλος, ᾐσθάνοντο θαυμασμὸν καὶ ἄλλοι φθόνον. Οἱ τελευταῖοι μάλιστα, νομίζοντες ὅτι ὁ παριστάμενος Ἀρχιερεὺς Γεννάδιος δὲν ἐγνώριζεν αὐτά, ποὺ ἐπεθύμουν πάρα πολὺ νὰ μάθῃ, ἤρχισαν νὰ διηγοῦνται πρὸς αὐτὸν ὅσα ἦτο δυνατὸν νὰ θίξουν τὴν ὑπόληψιν τοῦ Ἁγίου καὶ νὰ στηρίξουν κατ' αὐτοῦ κατηγορίαν. Βεβαίως οἱ περισσότεροι δὲν ὑπωπτεύθησαν, ὅτι ἐπρόκειτο περὶ θαύματος, ἀλλ' ἐνόμιζον, ὅτι ἡ στολὴ ἦτο ὑλική· δι' αὐτὸ καὶ ἐξετόξευσαν κατὰ τοῦ Ἁγίου συκοφαντικοὺς ψιθύρους. Ὁ Πατριάρχης λοιπὸν τοὺς ἐβεβαίωσεν, ὅτι καὶ αὐτὸς ἔβλεπε τὴν λαμπρὰν στολὴν τοῦ Μαρκιανοῦ, δὲν ἠδύνατο ὅμως νὰ ἐξηγήσῃ πῶς τὴν ἀπέκτησε.

7. Ἀφοῦ ἐτελείωσεν ἡ θεία λειτουργία καλεῖ πλησίον του ὁ Πατριάρχης τὸν Μαρκιανὸν καί, ἰδιαιτέρως, τὸν ἐπέπληττε διὰ τὴν λαμπρὰν στολήν, ποὺ ἐνόμιζεν, ὅτι ἐφόρει.

— Αὐτὴ ἡ στολὴ—τοῦ ἔλεγε—ταιριάζει μόνον εἰς βασιλεῖς καὶ ὄχι εἰς Ἱερεῖς.

Ὁ Μαρκιανὸς δὲν ἐκαταλάβαινε τί τοῦ ἔλεγεν ὁ Πατριάρχης καὶ περιέπεσεν εἰς μεγάλην ἀπορίαν. Πίπτει λοιπὸν εἰς τοὺς πόδας τοῦ Πατριάρχου καὶ μὲ δάκρυα πολλὰ ἠρνεῖτο τὰ λεγόμενα ὑπὸ τοῦ Πατριάρχου, λέγων ὅτι θὰ ὑπέστησαν ὀφθαλμαπάτην:

— Πῶς εἶναι δυνατὸν—ἔλεγε—νὰ φορέσω τοιαύτην βαρύτιμον στολήν; καὶ νὰ τὸ σκεφθῶ μονάχα εἶναι τρέλλα.

8. Τότε ὁ Πατριάρχης ἐθύμωσε καὶ ἐδοκίμασε δυσφορίαν δι' ὅσα τοῦ ἔλεγε ὁ Μαρκιανός σκεπτόμενος, ὅτι εἶναι ἀνόητον καὶ παράλογον νὰ ἀμφιβάλλῃ εἰς τοὺς ὀφθαλμούς του.

Πρὸς τοῦτο ἁπλώνει τὴν χεῖρα του καὶ σηκώνει τὸ φελώνιον καὶ τὴν ἄλλην ἱερατικὴν στολήν, ποὺ μόνην ἔφερεν ὁ Ἅγιος, διὰ νὰ τὸν διαψεύσῃ, ὅπως ἐνόμιζεν. Ἀκριβῶς ὅμως τὸ ἀντίθετον ἀπεδείχθη· ὅτι δηλαδὴ ἡ λαμπρὰ στολή, τὴν ὁποίαν ἔβλεπον καὶ περὶ τῆς ὁποίας ὡμίλουν, ἦτο ἕνα θαῦμα! Ὁ πρὸ ὀλίγου ἀπὸ ὅλους βλεπόμενος λαμπρὸς ἐκεῖνος χιτὼν δὲν ὑπῆρχεν· ὁ Ἅγιος δέ, κάτω ἀπὸ τὰ ἱερατικὰ ἄμφια, ἦτο γυμνός. Πράγματι ὅμως ἐκαλύπτετο ἀπὸ τοὺς ἀθεάτους χρυσοῦς χιτῶνας τῆς ἀρετῆς.

9. Ἡ διαπίστωσις αὐτὴ ἐξάφνιασε τὸν Πατριάρχην καὶ ὅλους ἐκείνους, ποὺ ἤρχισαν τὴν πολεμικὴν ἐναντίον τοῦ Ἁγίου. Τὰ γεγονότα μάλιστα αὐτὰ τὰ ἐπληροφοροῦντο καὶ οἱ κυβερνῶντες. Ἡ φήμη δὲ αὐτὴ ἐδόξαζε τὸ ὄνομα τοῦ Θεοῦ καὶ τοῦ πιστοῦ Του δούλου! Ἦτο

ἄλλωστε γνωστὸς ὁ Ἅγιος εἰς ὅλους, διότι μετὰ προθυμίας, ὅταν ἐλειτούργει εἰς τοὺς Ἱεροὺς Ναούς, ἱκανοποίει πολλὰς ἀνάγκας, εἴτε τῶν Ναῶν, εἴτε τῶν ἀνθρώπων. Οὕτω πολλοὺς καὶ μεγάλους Ναοὺς ἵδρυσεν, ἀλλὰ καὶ ἄλλους ἐπεδιώρθωσε. Περισσότερον ὅμως ἀπὸ ὅλα ἐφρόντιζε διὰ τοὺς πτωχούς. Ἡ στοργική του φροντὶς διὰ τοὺς πτωχοὺς καὶ ἀπὸ πολλὰ ἄλλα περιστατικὰ γίνεται φανερά, πρὸ παντὸς ὅμως ἀπὸ τὴν διήγησιν, τὴν ὁποίαν τώρα ἀμέσως θὰ ἐξιστορήσωμεν. Ἀπὸ τὸ περιστατικὸν μάλιστα αὐτὸ δὲν φαίνεται μόνον ἡ φιλανθρωπία τοῦ Ἁγίου Μαρκιανοῦ πρὸς τοὺς δυστυχεῖς, ἀλλὰ καὶ μὲ ποῖα χαρίσματα καταξιώνονται οἱ ἐρασταὶ τοῦ θεϊκοῦ ἔργου τῆς φιλανθρωπίας.

10. Κατὰ τὸ διάστημα τῆς νυκτὸς ὁ θαυμάσιος αὐτὸς ἄνθρωπος δὲν ἐκοιμᾶτο· περιήρχετο τὰς πλατείας καὶ τὰ στενὰ δρομάκια τῆς πόλεως καὶ ἐπρόσεχε, μήπως εὕρῃ κανένα νεκρόν, ποὺ ἀπέθανεν ἀπὸ τὴν πολλὴν δυστυχίαν καὶ δὲν εἶχε κανένα, διὰ νὰ φροντίσῃ τὰ τῆς ταφῆς του. Ἠσθάνετο δὲ μεγάλην χαράν, ὁσάκις εὕρισκε τοιοῦτον νεκρὸν καὶ τὸ ἐνόμιζεν ὡς μεγάλον κέρδος· ἀμέσως λοιπὸν τὸν ἔπλυνε, τὸν ἐνέδυε καὶ μὲ στοργικὴν φροντίδα τὸν ἡτοίμαζεν, ὡς στενὸς συγγενής, διὰ τὴν ταφήν!

11. Ἀφοῦ δὲ ἐτελείωνεν ὅλα τὰ ἐπιβεβλημένα πρὸς τὸν νεκρὸν καθήκοντα, τότε ὡμίλει πρὸς τὸν νεκρόν, ὡς νὰ ἦτο ζωντανός!

—Ἔλα τώρα, ἀδελφέ μου,—τοῦ ἔλεγε — νὰ ἀνταλλάξωμεν καὶ τὸν ἐν Χριστῷ ἀσπασμόν.

Μὲ τοὺς λόγους δὲ αὐτοὺς—ὢ τοῦ φοβεροῦ θαύματος!—ἀνίστατο πρὸς στιγμὴν ὁ νεκρὸς καὶ ἐφίλει τὸν καλὸν Μαρκιανόν. Ὁ ἴδιος ὁ Χριστός, ἡ δύναμις τοῦ Ὁποίου ἐθαυματούργει, ἀπεδέχετο τὰς περὶ τοῦ νεκροῦ φροντίδας τοῦ Μαρκιανοῦ! Μετὰ ταῦτα ὁ διὰ τοῦ θαύματος αὐτοῦ ἀνιστάμενος νεκρός, ἀπέθνησκε καὶ πάλιν καὶ νεκρὸν πλέον τὸν ἔβλεπον οἱ ἄλλοι.

ϛ'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Θεοδοσίου τοῦ Κοινοβιάρχου

Ο ΜΕΓΑΣ ΘΕΟΔΟΣΙΟΣ τὴν τῶν πενήτων ἔνδειαν τῇ χορηγίᾳ νικῶν, αὐτὴν πάλιν εἶχεν ἡττωμένην τῆς προαιρέσεως, ὥς περ τὴν προαίρεσιν τῇ μεγαλοδωρεᾷ τοῦ πνεύματος ἀεὶ νικωμένην, ὡς δηλώσει τὰ ἐπαγόμενα.

2. Ὅσας οὖν συμπαθείας ἐπὶ πᾶσιν ἔχων ἁπλῶς τοῖς ἐν ἐνδείᾳ πιεζομένοις, ἔτι μᾶλλον ἐπέτεινε τὴν συμπάθειαν, ἐφ' οὓς πάλεν ἡ κακοπάθεια ἐπετείνετο, καὶ μετὰ τῆς ἐνδείας ἔτι καὶ νόσος, ἢ μελῶν πήρωσις τρύχουσιν ἦν, καὶ αὐτή γε ἡ ἱερὰ τὸ βαρύτατον.

3. Τοιαύτη τοι καὶ ἦν ὀφθαλμὸς μὲν τυφλῶν, ποὺς δὲ χωλῶν, ἀμφίεσις γυμνῶν, ἀστέγων σκέπη, νοσούντων ἰατρός, χορηγός, ὑπουργός, οἰκέτης, πᾶσι τὰ πάντα διὰ τὸ περιὸν τῆς φιλανθρωπίας γενόμενος, αἵματα πλύνων, τραῦμα καθαίρων, χείλη προσάπτων χείλεσι τῶν τὴν σάρκα λελωβημένων, καὶ οὕτω λίαν σαφῶς ἐκείνους παραμυθούμενος καὶ πείθων πρᾴως φέρειν τὴν συμφοράν, ὥς τε

κοινὸν αὐτὸν εἴ τις εἴποι λιμένα, κοινὸν ἰατρεῖον, κοινὴν ἑστίαν, κοινὸν ταμεῖον, καλῶς ἐρεῖ καὶ συμφώνως τῇ ἀληθείᾳ. Πάντες γὰρ προνοίας ἀπέλαυον παρ᾽ αὐτοῦ τῆς δεούσης.

4. Ἀμελούμενον δὲ ἢ παραθεωρούμενον εἰκῇ, εἰ ἐζήτησας ἐκεῖ δι᾽ εὐτέλειαν, εὗρες ἂν τῶν πάντων οὐδένα· ἀλλὰ δι᾽ αὐτὸ μὲν οὖν τοῦτο τὸ εὐτελές φημι καὶ ἐλάχιστον, καὶ πλείονος ἀξιούμενον τῆς προνοίας, ἐπεὶ καὶ ὁ Χριστὸς ἐν τοῖς ἐλαχίστοις καὶ τὰ ἐκείνων μᾶλλον φανερῶς οἰκειούμενος.

5. Ὥς τε οὐδεὶς ἦν ἐκεῖ τῶν ἐκβαλλομένων· οὐδεὶς παροπτέος καὶ σπλάγχνων φιλανθρωπίνων ἄξιος, καὶ μέμνηνταί ποτε οἵ γε πρὸς ταῦτα διακονούμενοι πλείους ἢ ἑκατὸν μιᾶς ἡμέρας παραθεῖναι τραπέζας· ἀλλ᾽ ἡ μὲν ἀνθρωπίνη τοῦ ἐλέους πηγὴ τοιαύτη, καὶ οὕτω δαψιλῶς βρύουσα· ἡ δὲ τοῦ Θεοῦ ὁποία; ἢ δηλονότι, πολλῷ τῷ μέσῳ καὶ ἀπείρῳ τὸ ὑπερβάλλον ἔχουσα, ὡς ὁ λόγος δηλώσει.

6. Ἐπαίδευσέ ποτε τὴν γῆν ὁ Θεός, ἐπαίδευσε δὲ λιμῷ· καὶ ὁ λιμός, οὐκ ἐπὶ βραχύ, οὐδὲ τῶν μὲν ἐκράτει, τῶν δὲ οὔ· ἀλλ᾽ ἐποίει πᾶσιν ἡ μάστιξ ὁμοίως· οὕτω δὲ τῶν ἀνθρώπων πιεζομένων διὰ κακῶν ἔργων ἀντέκτισιν, ἐπεὶ καὶ πονηρῶν ἐπιτηδευμάτων Μιχαίας ὁ θεῖος φησὶν καρπὸν ταῦτα εἶναι, καὶ ἡ τῶν Βαΐων ἐφίστατο ἑορτή, καθ᾽ ἣν τὰ τῶν πενήτων καὶ ἀγροίκων πλήθη πρόφασιν λαβόντα τὴν πανήγυριν, ἐπεδήμει τῷ τόπῳ, ἤδη μὲν καὶ δι᾽ ἔθους τοῦτο ποιοῦντες, ἀλλὰ τότε καὶ πλέον ὑπὸ τοῦ λιμοῦ κελευόμενοι.

7. Οἱ γοῦν περὶ τὴν ἀριστοποιΐαν διακονούμενοι, πρὸς τὸ πλῆθος ἰλιγγιάσαντες ὑπὸ σταθμοῖς τισι καὶ ζυγοῖς τὴν τῆς τροφῆς ποιεῖσθαι διανομὴν ἐπειρῶντο, ὡς ἂν τῇ φειδοῖ ταύτῃ καὶ ἀκριβείᾳ πρὸς πλείονας ἀρκέσοι τὰ τῆς τροφῆς· ὁ δὲ σταθμὸς αὐτοῖς εἰς λίτραν ἄν τις εἴπῃ περιΐστατο.

8. Παριὼν δὲ ὁ Μέγας καὶ τὸ πραττόμενον πλήθει τε πολλῷ τὰς πύλας βιαζομένας, καὶ τὸ τοῦ Ἰὼβ ὥς περ καὶ αὐτὸς φρονεῖν καὶ λέγειν πεπαιδευμένος, ὅτι μὴ ἔξω ηὐλίζετο ξένος, καὶ ἡ θύρα μου παντὶ ὁδοιπόρῳ ἠνέῳκτο, κελεύει τὰς πύλας διαπετάσαντας εἰσιτητὰ θεῖναι τὰ ἐντὸς πᾶσι τοῖς βουλομένοις· εἶτα καὶ τὰς συνήθεις παραθεῖναι τραπέζας ἀνδράσιν, οὓς ἔργον καὶ ἀριθμῆσαι μήτοι γε ὅλως, καὶ τροφῆς κορέσαι.

9. Ὅσοι μέν τοι πρὸς τοῦτο ὑπηρετεῖν ἔμελλον, ἕως μὲν πρὸς μόνον ἁπλῶς τὸ πλῆθος ἑώρων, ἀπιστοῦντες μόνον ἦσαν, οὐχ ὅπως δή τι καὶ ἐνεργοῦντες διὰ τὴν ὑπερβολὴν τοῦ κελεύσματος· ἐπεὶ δὲ καὶ πρὸς τὴν ἀρετήν, καὶ τὴν Χάριν τοῦ κελεύοντος εἶδον, ἀπέστησάν τε τῶν ἀνθρωπίνων λογισμῶν, καὶ ὑψηλότερον ἔβλεψαν, ἤνοιγόν τε πύλας εὐθέως, καὶ ἀσμένως τοὺς εἰσιόντας ἐδέχοντο· εἶτα καὶ πρὸς τραπέζας διεπονοῦντο, καὶ ἱλαρῶς παρετίθουν αὐτὰ ταῦτά περ, ὅσα καὶ εἶχον.

10. Τί οὖν ὁ τῶν θαυμασίων Θεός; ἤρκει καὶ αὖθις δι᾽ ὀλίγων τρέφειν πλήθη πολλά, ὥς περ ἄρα καὶ τοῖς πέντε ἄρτοις τοὺς πεντακισχιλίους τὸ πρότερον· καὶ ἅμα γοῦν αὐτοί τε τὰς γαστέρας ἐμπίμπλαντο, καὶ αἱ ἀρτοθῆκαι κατάπλεῳ τῶν ἄρτων ἐδείκνυντο· καὶ οἱ μὲν πάντα ἐπιλιπεῖν ἐνόμιζον, αἱ δὲ πλήρεις ἦσαν, πλέον ὅπερ ἔσχον ἀντιλαβοῦσαι καὶ δι᾽ εὐχῆς, ὥς περ εἰς τὰς τῶν πενήτων γαστέρας, πολυγονώτατα γεωργήσασαι.

11. Οὕτως αὐτὸν ὁ Θεὸς ἠμείβετο τῆς προθέσεως, οὕτω περὶ τοὺς πένητας εὐποιΐας· οὐ μόνον ἣν ἀφθόνως ἄνωθεν ὑετίζων διὰ τὴν ἀφθονίαν τῆς προαιρέσεως, ἀλλὰ καὶ πανταχοῦ θαυμαζόμενόν τε καὶ περιᾳδόμενον τὸν ἄνδρα δεικνύων, διὰ τὸ ἄψευστον τῆς ἐπαγγελίας· δοξάζειν γὰρ ἐπηγγείλατο τοὺς διὰ τῶν ἔργων Αὐτὸν δοξάζειν ἐπισταμένους.

12. Καὶ ἄλλοτε δὲ πάλιν, ἑορτὴ ἦν καὶ ἑορτὴ τῆς Παρθένου καὶ Θεομήτορος, ἐν ᾗ διὰ τὸ λίαν ἐπίσημον, οὕτω τι πολὺ συνῆλθε πλῆθος, ὡς μηδὲ τοὺς ὑπ᾽ αὐτῷ τεταγμένους κατακλίνειν τοὺς εἰσιόντας ἀρκεῖν, μή τοι γε καὶ τὸ αὔταρκες εἰς τροφὴν χορηγεῖν, πλὴν εἰ κατὰ μίαν τῶν τραπεζῶν ἕνα ἔδει τὸν ἄρτον παρατιθέναι.

13. Ὁ δὲ πρὸ τούτου τὰς ἀποθήκας πληρῶν Κύριος, ἡ πολυαρκὴς καὶ ἄφθο-

νος δεξιά, ἡ ἀνοιγομένη καὶ πᾶν τὸ ὑπ' αὐτῆς κτισθὲν τρέφουσα, οὗτος δὴ καὶ τότε τὰς τραπέζας ἐπλήρου, ἢ καὶ τὰς γαστέρας μᾶλλον εἰπεῖν, ὥς τε τῆς μυριανθρώπου συναγωγῆς ἐκείνης εἰς κόρον πλησθείσης, τοσαῦται τῶν λειψάνων αἱ σπυρίδες ἦσαν, ὡς αὐτούς τε τοὺς κατακλιθέντας πολλὰ οἴκαδε ἀπενέγκασθαι, καὶ τοὺς Διακόνους ὕστερον συχνὰς ἐκ τούτων παραθεῖναι τραπέζας.

14. Ἀλλὰ τίς ἂν καὶ Αἰγυπτίους ὁρῶν εἰς ἔτι τοῖς ἐγκαινίοις πρὸς τὴν τοῦ μεγάλου Μονὴν συῤῥέοντας, οὐκ ἐπιλείψειν ἐν τοσούτῳ πλήθει πρὸς ποτὸν ἡγήσαιτο καὶ τὰ φρέατα; οἱ δὲ οὕτως εἰς κόρον ἀπολαύουσι τῶν παρακειμένων, ὥς τε καὶ τοῖς μετ' αὐτοὺς ἐπιοῦσι τὰ ὑπολελειμμένα πρὸς δευτέραν ἀρκεῖν ἑστίασιν.

15. Τίς οὖν ταῦτα μέχρι καὶ νῦν ἐν ἐρήμῳ διαπραττόμενα καθορῶν οὐκ εὐθὺς ἐχέγγυον ἕξει τὴν μαρτυρίαν, ὡς ὁ διὰ Μωσέως ἐπ' ἐρημίας πρότερον παράδοξον Ἑβραίοις ὀμβρίσας τροφήν, αὐτὸς οὗτος καὶ διὰ Θεοδοσίου τοῦ νῦν; καὶ γὰρ ὅς τις ἐν Χριστῷ ζῆν πιστεύεται, τὸ μέγα τοῦτο καὶ θαυμάσιον ἐκτελεῖ, καὶ τροφὴν ἀνδράσι τοσούτοις κατὰ τὸ δαψιλὲς χορηγεῖ· διὰ ταῦτα καὶ πολλοὺς πρὸς τόν δε τὸν τόπον ἴδοις ἐπειγομένους, αὐτὸν ἀτεχνῶς ἐκεῖνον εἶναι νομίζοντας, ἐφ' ὃν ἄρα καὶ ὁ Σωτὴρ τοὺς πέντε πρότερον ἄρτους εὐλόγησε καὶ τοσαύτας ἀνδρῶν χιλιάδας εἰς κόρον ἔθρεψεν.

Ἑρμηνεία

Ο ΜΕΓΑΣ ΘΕΟΔΟΣΙΟΣ διεκρίνετο διὰ τὴν συμπάθειάν του πρὸς τοὺς πτωχούς· τὰς ἀνάγκας τῶν πτωχῶν κατενίκα μὲ τὰς πλουσίας πρὸς αὐτοὺς χορηγίας. Αὐταὶ δὲ αἱ χορηγίαι ἦσαν πάντοτε κατώτεραι τῆς ἐπιθυμίας του νὰ βοηθῇ τοὺς πτωχούς, διότι τὸ πνεῦμα του ποτὲ δὲν ἐφειδωλεύετο εἰς συμπάθειαν, ἀλλ' ἦτο διαρκῶς μεγαλόδωρον. Αὐτὸ ἀκριβῶς θὰ διαπιστώσουν καὶ οἱ ἀναγνῶσται ἀπὸ τὴν διήγησιν τῶν ἑπομένων περιστατικῶν.

2. Ἡ συμπάθειά του πρὸς τοὺς δυστυχεῖς ἦτο ἀνάλογος τοῦ βαθμοῦ τῆς δυστυχίας τῶν ἀνθρώπων· οὕτω τὴν εἰλικρινῆ καὶ βαθεῖαν συμπάθειαν, τὴν ὁποίαν ᾐσθάνετο πρὸς τοὺς πτωχοὺς μόνον, τὴν ηὔξανεν ὅταν ἔβλεπε μαζὶ μὲ τὴν πτωχείαν καὶ τὴν ἀσθένειαν· ἡ συμπάθειά του ηὔξανε καὶ ἐκορυφοῦτο, κατατρώγουσα κυριολεκτικῶς αὐτόν, ὁσάκις ἔβλεπεν ὄχι μόνον δυστυχεῖς, ἀλλὰ τυφλοὺς καὶ ἀναπήρους, πρὸ παντὸς δὲ κατεχομένους ἀπὸ τὴν ἀποκορύφωσιν τῆς δυστυχίας, ποὺ εἶναι ἡ ἱερά [1].

3. Τοιουτοτρόπως ἀνεδεικνύετο ὁ ὀφθαλμὸς τῶν τυφλῶν, τὸ πόδι τῶν χωλῶν, ἡ ἐνδυμασία τῶν γυμνῶν, τὸ σπίτι τῶν ἀστέγων, ὁ ἰατρὸς τῶν ἀσθενῶν, ὁ χορηγός, ὁ ὑπηρέτης, ὁ δοῦλος, ἐν γένει δηλαδὴ ὁ πλοῦτος τῆς φιλανθρωπίας του τὸν ἔκαμνεν ἀπαραίτητον εἰς ὅλους. Μὲ αὐταπάρνησιν δὲ καὶ ἀγόγγυστον ὑπομονὴν ἔπλυνε τὰ αἵματα τῶν τραυματισμένων, ἐκαθάριζε τὰ τραύματα καὶ τὰς πληγάς, ἐφιλοῦσεν

---

1) Πρόκειται περὶ τῆς λοιμικῆς νόσου εὐλογίας, ἥτις τὸ πρῶτον τότε ἐνεφανίσθη εἰς τὴν Αἴγυπτον, τὴν Παλαιστίνην καὶ τὰς πέριξ χώρας καὶ τόσας συμφορὰς ἐπεσώρευσεν, ὥστε οἱ ἄνθρωποι καὶ ἐπὶ τῷ ἀκούσματι τοῦ ὀνόματος αὐτῆς κατελαμβάνοντο ὑπὸ δέους, διὸ καὶ κατ' εὐφημισμὸν τὴν ἀπεκάλουν ἱεράν. Ἀλλὰ καὶ τὸ ὄνομα εὐλογία κατ' εὐφημισμὸν ἐδόθη εἰς αὐτήν.

εἰς τὸ στόμα τοὺς λεπρούς· τοιουτοτρόπως τοὺς παρηγοροῦσε μὲ σύνεσιν, καὶ τοὺς ἔπειθε νὰ ὑπομένουν τὴν συμφοράν των μὲ πραότητα καὶ καρτερίαν. Θὰ ἔλεγε δὲ τὴν ἀλήθειαν ἐκεῖνος, ποὺ θὰ ἐχαρακτήριζε τὸν Μέγαν Θεοδόσιον ὡς λιμένα σωτηρίας ὅλων, ἰατρεῖον δι' ὅλους, ζεστὸ σπίτι δι' ὅλους, ταμεῖον διὰ τὰς ἀνάγκας ὅλων. Καὶ τοῦτο, διότι ὅλοι ἀπελάμβανον τοὺς καρποὺς τῶν φροντίδων του δι' ὅσα πράγματα εἶχον ἀνάγκην.

4. Εἰς τὸ Κοινόβιον τοῦ Μεγάλου Θεοδοσίου δὲν θὰ εὕρισκες κανένα, ποὺ νὰ παραπονῆται ὅτι τὸν παραβλέπουν καὶ δὲν τοῦ δίδουν σημασίαν, διότι εἶναι πτωχὸς καὶ ἄσημος. Ἀπ' ἐναντίας μάλιστα· ὅσον πτωχὸς καὶ ἐλάχιστος ἦτο ὁ προσερχόμενος δυστυχής, ἐπὶ τοσοῦτον ἠξιοῦτο μεγαλυτέρας φροντίδος, ὅπως ἀκριβῶς καὶ ὁ Χριστός, ὅταν διήρχετο ἐκ τοῦ κόσμου αὐτοῦ, τοὺς ἐλαχίστους προσήγγιζε καὶ τοὺς ἐθεώρει, ἐνώπιον ὅλων, ὡς ἰδικούς του, θεραπεύων πλουσιοπαρόχως τὰς ἀνάγκας των.

5. Κανεὶς λοιπόν, ἀπὸ ὅσους προσήρχοντο πρὸς τὸν Μέγαν Θεοδόσιον καὶ εἶχεν ἀνάγκας, δὲν ἀπεχώρει χωρὶς νὰ τὸν προσέξουν· κανένα δὲν παρέβλεπον, ὥστε νὰ παραμείνῃ ἀξιολύπητος, ὅπως ἦτο ὅταν ἀρχικῶς ἦλθεν. Ἐκεῖνοι, ποὺ ἐβοήθουν τὸν Μέγαν Θεοδόσιον εἰς τὸ ἔργον αὐτὸ τῆς διακονίας, ἐνθυμοῦνται, ὅτι ἦλθεν ἡμέρα, κατὰ τὴν ὁποίαν παρέθεσαν περισσότερα ἀπὸ ἑκατὸ τραπέζια διὰ τοὺς πτωχοὺς καὶ δυστυχεῖς. Αὐτὴ λοιπὸν ἦτο ἡ ἀνθρωπίνη πηγὴ τῆς ἐλεημοσύνης, ποὺ τόσον πλουσιοπαρόχως ἀνέβλυζεν εὐεργεσίαν πρὸς τοὺς δυστυχεῖς· ἡ διήγησις ὅμως, ἐν συνεχείᾳ, θὰ φανερώσῃ καὶ ποία ὑπῆρξεν ἡ θεϊκὴ πηγὴ τῶν θαυμάτων τῆς εὐσπλαγχνίας, ὑπερέχουσα, ὡς εἶναι ἑπόμενον, κατὰ πολὺ τὴν πρώτην, τὴν ἀνθρωπίνην.

6. Κάποτε ὁ Θεὸς ἐτιμώρησε φιλανθρώπως τοὺς ἀνθρώπους διὰ πείνης· ἡ πεῖνα αὐτὴ καὶ πολὺ ἐκράτησε καὶ δὲν ἔκαμεν οὐδεμίαν ἐξαίρεσιν, διότι ὅλοι ὑπέφερον. Ἐνῷ δὲ ὅλοι οἱ ἄνθρωποι ἐμαστίζοντο ἀπὸ τὴν πληγὴν τῆς πείνης, πληρώνοντες τὰς ἁμαρτίας των, διότι, ὅπως λέγει ὁ Προφήτης Μιχαίας, αἱ ἀπὸ Θεοῦ τιμωρίαι εἶναι καρποὶ τῶν πονηρῶν ἐπιτηδευμάτων [1], ἔφθασε καὶ ἡ ἑορτὴ τῶν Βαΐων. Κατὰ τὴν ἡμέραν λοιπὸν αὐτῆς τῆς ἑορτῆς πλήθη χωρικῶν καὶ πενήτων κατέφθασαν εἰς τὴν περιοχὴν τοῦ Κοινοβίου. Κάθε χρόνον βεβαίως εἶχον ὡς ἔθιμον τὴν προσέλευσιν εἰς τὸ Κοινόβιον, τότε ὅμως, ἐπὶ πλέον, τοὺς ἠνάγκαζε καὶ ἡ πεῖνα, διότι ἤλπιζον, ὅτι κάτι θὰ εὕρουν, διὰ νὰ φάγουν εἰς αὐτό.

7. Οἱ Μοναχοὶ λοιπόν, ποὺ εἶχον ὡς ἔργον τὴν προετοιμασίαν τοῦ φαγητοῦ, τὰ ἔχασαν μόλις εἶδον τόσον κόσμον καὶ προσεπάθησαν νὰ διαμοιράσουν τὴν τροφὴν μὲ ζυγαριὰ καὶ μέτρον, ὥστε, κατὰ τὸ δυ-

---

1) «Καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν σὺν τοῖς κατοικοῦσιν αὐτὴν ἀπὸ καρπῶν ἐπιτηδευμάτων αὐτῶν» (Μιχ. ζ', 13).

νατόν, νὰ φθάσῃ δι' ὅλους. Περίπου δὲ καθώρισαν ὡς ἀτομικὴν μερίδα ποσότητα μιᾶς λίτρας.

8. Διερχόμενος τότε, κατὰ σύμπτωσιν, καὶ ὁ Μέγας Θεοδόσιος, εἶδε τὸ πλῆθος νὰ προσπαθῇ νὰ παραβιάσῃ τὰς θύρας τοῦ Κοινοβίου διὰ νὰ εἰσέλθῃ· ἀμέσως ἔφερεν εἰς τὸν νοῦν του τὸν Ἰώβ, ὁ ὁποῖος ἔλεγε· «Ἔξω δέ οὐκ ηὐλίζετο ξένος, ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο» (Ἰὼβ λα', 32). Ἐπειδὴ δὲ καὶ ὁ ἴδιος εἶχε τὸ ἴδιον φρόνημα, ὡς ὁ Ἰώβ, καὶ τὴν αὐτὴν ἀγαθὴν πρόθεσιν, ἔδωσεν ἐντολήν, ἀφ' ἑνὸς μὲν νὰ σταματήσῃ ἡ χρῆσις τῆς ζυγαριᾶς, ἀφ' ἑτέρου δὲ νὰ ἀνοίξουν αἱ ἐξωτερικαὶ θύραι τοῦ Κοινοβίου καὶ νὰ εἰσέλθουν ὅλοι, εἰς ὅλους δὲ νὰ δοθοῦν κατὰ τὴν ἀνάγκην των. Ἀμέσως δὲ δίδει ἐντολὴν νὰ παραθέσουν τράπεζαν εἰς ἀνθρώπους, ποὺ καὶ νὰ τοὺς μετρήσῃς ἦτο δύσκολον, λόγῳ τοῦ πλήθους· τράπεζαν μάλιστα πλουσίαν, διὰ νὰ χορτάσουν.

9. Ὅσοι ἐκ τῶν Μοναχῶν ἐπρόκειτο νὰ ἀσχοληθοῦν μὲ τὴν περιποίησιν τοῦ πλήθους αὐτοῦ, ἀποβλέποντες εἰς τόσους ἀνθρώπους, ἀμφέβαλλον διὰ τὴν ἐπιτυχίαν τοῦ ἔργου, καὶ δὲν ἤξευραν πῶς νὰ ἐκπληρώσουν τὴν διαταγὴν ποὺ ἔλαβαν. Ὅταν ὅμως ἐσκέφθησαν τὴν ἀρετὴν καὶ τὴν δύναμιν τῆς Χάριτος αὐτοῦ ποὺ ἔδωσε τὴν ἐντολήν, τοῦ Μεγάλου Θεοδοσίου, ἀμέσως ἀπέβαλαν τοὺς ἀσθενεῖς λογισμούς, καὶ εἶδον τὴν πραγματικότητα ἀπὸ τὸ ὕψος τῆς πίστεως. Παραχρῆμα λοιπὸν ἤνοιξαν τὰς πύλας καὶ μὲ εὐχαρίστησιν ὑπεδέχοντο τοὺς εἰσερχομένους. Ἐν συνεχείᾳ ἔστρωσαν καὶ τραπέζας καὶ μὲ χαράν, χωρὶς γογγυσμὸν πλέον, προσέφερον εἰς τοὺς ἀνθρώπους αὐτοὺς αὐτά, ποὺ εὑρίσκοντο εἰς τὸ Κοινόβιον.

10. Αὐτὴ ἦτο ἡ ἀγαθὴ καὶ φιλάνθρωπος προαίρεσις τοῦ Μεγάλου Θεοδοσίου καὶ τῶν Μοναχῶν του, ἡ ὁποία τόσον προθύμως καὶ ἀγογγύστως ἐξεδηλώθη. Ἀλλὰ καὶ ὁ Θεὸς τί ἔκαμε, διὰ νὰ ἐπιβραβεύσῃ τὴν ἀγαθὴν καὶ φιλότιμον αὐτὴν προαίρεσιν; Μὲ τὴν εὐλογίαν Του καὶ τὴν Χάριν Του ἔκαμεν, ὥστε μὲ ὀλίγα μόνον τρόφιμα νὰ χορτάσουν τόσον πολλοὶ ἄνθρωποι, ὅπως ἀκριβῶς συνέβη καὶ μὲ τὸν χορτασμὸν ὑπὸ τοῦ Ἰησοῦ, διὰ πέντε ἄρτων, πέντε χιλιάδων εἰς τὴν ἔρημον. Τὸ θαῦμα δὲ δὲν ἦτο μόνον, ὅτι ἐχόρτασαν οἱ πεινασμένοι αὐτοὶ ἄνθρωποι, ἀλλὰ ὅτι καὶ αἱ ἀποθῆκαι τοῦ ἄρτου εὑρέθησαν γεμᾶται ἀπὸ ἄρτους! Καὶ οἱ μὲν Μοναχοί, ποὺ ἐπεριποιοῦντο τοὺς πτωχούς, ἐνόμιζον, ὅτι δὲν ὑπῆρχον πλέον ἄλλοι ἄρτοι, αἱ ἀποθῆκαι ὅμως εἶχον περισσοτέρους ἀπὸ προηγουμένως. Ἡ δύναμις τῆς εὐχῆς τοῦ Μεγάλου Θεοδοσίου ἦτο τοιαύτη, ὥστε καὶ αἱ ἀποθῆκαι νὰ γεμίσουν, ἀλλὰ καὶ τὰ στομάχια τῶν πτωχῶν νὰ χορτάσουν.

11. Μὲ αὐτὸν τὸν θαυματουργικὸν τρόπον ὁ Θεὸς ἐπεβράβευσε καὶ τὴν καλήν των πρόθεσιν καὶ τὴν καλωσύνην πρὸς τοὺς πτωχούς. Δὲν ἔστειλε δὲ μόνον τὴν ἐξ ὕψους βροχὴν τῆς εὐλογίας Του ἄφθονον, ἐπιβραβεύων τὴν ἀφθονίαν τῆς καλωσύνης τοῦ Μεγάλου Θεοδοσίου, ἀλλὰ καὶ τὸν ἴδιον, μετὰ τὸ θαῦμα αὐτό, κατέστησεν εἰς ὅλην τὴν περιο-

χὴν περισπούδαστον καὶ ἀξιοθαύμαστον. Ὁ ἴδιος ἄλλωστε ὁ Θεὸς ὑπεσχέθη, ὅτι θὰ δοξάζῃ αὐτούς, ποὺ γνωρίζουν νὰ τὸν δοξάζουν.

12. Ἄλλοτε πάλιν ἦτο ἑορτή· καὶ μάλιστα ἑορτὴ τῆς Παρθένου καὶ Θεομήτορος. Λόγῳ δὲ τῆς ἐπισήμου αὐτῆς ἑορτῆς τόσον πολλοὶ ἄνθρωποι προσῆλθον εἰς τὸ Κοινόβιον, ὥστε νὰ μὴ προφθάνουν οἱ διακονηταὶ Μοναχοὶ νὰ τοὺς περιποιοῦνται καὶ νὰ τοὺς ἑτοιμάζουν διὰ νὰ κοιμηθοῦν· οὔτε βεβαίως ὑπῆρχε καὶ τόση ἀφθονία τροφίμων διὰ νὰ χορτάσουν ὅλοι. Ἔπρεπεν ἕνα μόνον ἄρτον νὰ προσφέρουν εἰς κάθε τράπεζαν μὲ πολλὰ ἄτομα.

13. Καὶ ὅμως ὁ Κύριος ἐγέμισεν ἐνωρίτερον τὰς ἀποθήκας τοῦ Κοινοβίου διὰ θαυμαστοῦ τρόπου. Αὐτὴ ἡ Δεξιὰ τοῦ Κυρίου, ποὺ τόσον ἀφθόνως ἐπαρκεῖ εἰς ὅλας τὰς ἀνάγκας, ποὺ ἀνοίγει καὶ τρέφει ὅλα τὰ δημιουργήματά της (1). Αὐτὴ ἡ ἰδία καὶ τότε Δεξιὰ ἐγέμισε μὲ ἀγαθὰ τὰς τραπέζας, ἢ μᾶλλον τὰ στομάχια τῶν ἀνθρώπων ἐκείνων, ὥστε τὸ ἀμέτρητον ἐκεῖνο πλῆθος νὰ χορτάσῃ. Καὶ ὄχι ἁπλῶς νὰ χορτάσῃ, ἀλλὰ νὰ γεμίσουν ἀπὸ περισσεύματα τροφῶν τὰ κοφίνια καὶ οἱ προσκυνηταὶ νὰ πάρουν πολλὰ ἀπὸ αὐτὰ τὰ περισσεύματα εἰς τοὺς οἴκους των. Ἀπὸ τὸ περιεχόμενον δὲ τῶν κοφινιῶν αὐτῶν πολλὰς φορὰς οἱ Διάκονοι παρέθεσαν τράπεζαν εἰς ἐπισκέπτας.

14. Ποῖος δέ, ὅταν θὰ ἔβλεπε καὶ Αἰγυπτίους νὰ ἔρχωνται εἰς τὰ ἐγκαίνια τῆς Μονῆς τοῦ Μεγάλου Θεοδοσίου, δὲν θὰ ἔλεγε καθ᾽ ἑαυτόν: μὰ διὰ τόσον πλῆθος οὔτε τὰ πηγάδια δὲν θὰ φθάσουν διὰ νὰ πίουν νερό! Καὶ ὅμως τὸ πλῆθος αὐτὸ καὶ ἔφαγε καὶ ἐχόρτασε καὶ ἄφησε καὶ εἰς ἄλλους, ποὺ θὰ ἤρχοντο, τὰ ὑπολείμματα διὰ νὰ παρατεθῇ καὶ εἰς ἐκείνους πλουσία τράπεζα.

15. Ποῖος λοιπὸν ἀπὸ αὐτούς, ποὺ βλέπουν νὰ γίνωνται αὐτὰ τὰ θαυμαστὰ πράγματα εἰς τὴν ἔρημον, δὲν θὰ ἔχῃ ἰσχυρὰν τὴν ἀπόδειξιν, ὅτι Ἐκεῖνος ποὺ ἔβρεξε τροφὴν εἰς τοὺς Ἑβραίους εἰς τὴν ἔρημον, διὰ τῆς προσευχῆς τοῦ Μωϋσέως, ὁ ἴδιος τώρα δὲν τροφοδοτεῖ τόσα πλήθη διὰ τῶν δεήσεων τοῦ Θεοδοσίου; Εἶναι γεγονός, ὅτι ὅποιος ἀναθέσει τὴν φροντίδα τῆς ζωῆς του εἰς τὸν Χριστόν, θὰ ἠμπορέσῃ νὰ ἐκτελέσῃ αὐτὸ τὸ μεγάλον καὶ ἀξιοθαύμαστον ἔργον καὶ νὰ κατορθώσῃ νὰ προσφέρῃ τροφὴν καὶ περιποίησιν εἰς τόσους ἀνθρώπους. Δι᾽ αὐτὸ θὰ ἴδῃς πολλοὺς νὰ πηγαίνουν εἰς τὴν ἔρημον, διότι νομίζουν, ἀφελῶς βεβαίως, ὅτι ὁ Μέγας Θεοδόσιος εἶναι ὁ Μωϋσῆς ἢ ὁ Σωτὴρ ὁ ἴδιος, ποὺ εὐλόγησεν, ὅταν ἔζη ἐπὶ γῆς, τοὺς πέντε ἄρτους καὶ ἐχόρτασαν τόσοι ἄνθρωποι.

---

1) «Ἀνοίξαντος δέ Σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος» (Ψαλμ. ργ΄, 28)· «Ἀνοίγεις Σὺ τὰς χεῖρας σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας» (Ψαλμ. ρμδ΄, 16).

Ζ.´ Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος

ΠΟΤΕ προσελθόντων τῷ μακαρίῳ Ἰωάννῃ τῶν τὴν διανομὴν τῆς ἐλεημοσύνης πιστευθέντων, καί τι τοιοῦτον προσαγγειλάντων, ὅτι κόραι τινές, κόσμιά τε καὶ περιδέραια περιβεβλημέναι, συνέρχονται καὶ αὗται τῶν τοῖς πένησι διδομένων μεταλαβεῖν, καὶ εἰ χρὴ ταύταις ὀρέγειν, ὁ πρᾳότατος δριμύ τι πρὸς αὐτοὺς ἀποβλέψας, εἰ μὲν τοῦ ταπεινοῦ Ἰωάννου, ἔφη, μᾶλλον δὲ τοῦ Χριστοῦ ὑπηρέται καὶ διανομεῖς εἶναι βούλεσθε, τῷ θείῳ Τούτου προστάγματι πείθεσθε, ὃ παντὶ τῷ αἰτοῦντι διδόναι διακελεύεται.

2. Εἰ δὲ ἑτέρου τινὸς εἶναι λέγετε, ὃς ἐξετάζειν ὑμῖν καὶ διερευνᾶσθαι τοὺς τῶν προσαιτούντων βίους καὶ τὴν κατάστασιν ἐπιτάττει, ἴστε ὡς οὔτε Χριστός, οὔθ᾽ ὁ ταπεινὸς Ἰωάννης ὑπηρετῶν δεῖται φιλοπραγμόνων· εἰ μὲν γὰρ ἡμέτερα ἦν τὰ διδόμενα, ἴσως ἂν συγγνώμη τις ἦν τῷ φειδοῖ τούτοις χρωμένῳ· εἰ δὲ τοῦ Θεοῦ πάντα τυγχάνουσιν ὄντα, τὸ αὐτοῦ πρόσταγμα πάντως ἐν τοῖς αὐτοῦ προσήκει φυλάττεσθαι.

3. Εἰ δὲ καὶ φόβος ὑμῖν ἐπῆλθεν ἐξ ἀπιστίας, ὡς μήποτε τὸ τῶν ἀναλισκομένων πλῆθος τὰς ἐκκλησιαστικὰς εἰσόδους ὑπερβάλοι, ἐγὼ κοινωνεῖν ὑμῖν τῆς ὀλιγοπιστίας ταύτης οὐδαμῶς ἀνέξομαι· πέπεισμαι γάρ, ὅτι κἂν τὸν κόσμον εἰς τὴν Ἀλεξάνδρειαν ἐν ταὐτῷ γένοιτο συνελθεῖν εὐποιΐας δεόμενον, ἥκιστα ἂν τοῦτο τοὺς τοῦ Θεοῦ κενώσειε θησαυρούς. Ὡς δὲ πᾶσαν αὐτῶν ἀπιστίαν συνεταῖς παραινέσεσι θεραπεύσας ἐξέπεμψε, τοῖς συγκαθεζομένοις ἐπὶ τῷ μεγαλοδώρῳ τῆς αὐτοῦ προαιρέσεως ἐκπληττομένοις τοιοῦτόν τι ἀναλαβὼν ἐξηγεῖτο διήγημα.

4. Ἐμοί, λέγων, πέντε πρὸς τοῖς δέκα χρόνων ὑπάρχοντι κατὰ τὴν Κύπρον τε διατρίβοντι, μιᾶς τῶν νυκτῶν κόρη τις κατ᾽ ὄναρ ἐπιφαίνεται, κάλλος οἷον ἐξαίσιον καὶ ἀκήρατον· ἔσταλτο δὲ λαμπρῶς, καὶ τῷ ἐξ ἐλαιῶν στεφάνῳ τὴν κεφαλὴν ἔστεπτο· ἐγγὺς δέ μοι παραστᾶσα, καὶ τῇ χειρὶ κατὰ πλευρὰν νύξασα, θροηθέντα με διϋπνίζει, καὶ εὐθὺς οὐ κατ᾽ ὄναρ, ἀλλ᾽ ὕπαρ ἦν τὸ φαινόμενον, καὶ τὶς εἴη ἠρόμην αὐτήν, πόθεν τε παρίοι, καὶ πῶς ὑπνοῦντι μοι τολμήσειεν ἐπελθεῖν;

5. Ἡ δὲ γαλήνιόν τι καὶ ἱλαρὸν ἐνιδοῦσα, ἐγὼ πρώτη τῶν θυγατέρων τοῦ Μεγάλου Βασιλέως, φησίν, ἐμὲ φίλην εἰ αὐτὸς κτήσῃ, προσοικειῶσαί σε Αὐτῷ δύναμαι· ἐμοὶ γὰρ οὐδέ τῷ ἄλλῳ παῤῥησία πλείων τις ὡς Αὐτόν, ὅτι καὶ κατελθεῖν αὐτὸν οὐρανόθεν εἰς τὴν γῆν, καὶ σάρκα λαβεῖν ἀνθρωπίνην, ἐγὼ πείσαιμι. Ταῦτα εἶπε καὶ εὐθέως ἀπιοῦσα ᾤχετο· ἐγὼ δὲ ἐν ἐμαυτῷ γενόμενος, καὶ τὸ θεαθὲν ὅ,τι εἴη στρέφων κατὰ νοῦν, τὴν ἐλεημοσύνην αὐτὴν ἔκρινον εἶναι· διὰ ταύτην γὰρ καὶ ὁ Θεὸς ἐπὶ γῆς ἐλθεῖν καὶ ἀνθρώποις ὅμοιος ὀφθῆναι οὐκ ἀπηξίωσεν.

6. Εὐθέως οὖν ἀναστάς, ἐπὶ τὴν Ἐκκλησίαν ἐβάδιζον· ὄρθρος γὰρ ὑπηύγαζεν ἤδη· καὶ συναντῶ πένητι ἀνδρὶ γυμνῷ ὄντι, καὶ τῷ κρύει σφοδρῶς πηγνυμένῳ, τούτῳ ἀποδυσάμενος ὃ περιεβεβλήμην ἱμάτιον ἐπιδίδωμι, πρὸς ἐμαυτὸν εἰρηκώς, ὡς, εἴ περ ἀληθὲς εἴη καὶ μὴ ἀπάτη τὸ θεαθέν, εἴσομαι.

7. Πρότερον οὖν ἢ τὴν Ἐκκλησίαν καταλαβεῖν, προσελθών μοι τις ἀνὴρ λευκὰ περιβεβλημένος, ἐπιδίδωσί μοι χρυσίου ἀπόδεσμον ἑκατὸν νομισμάτων, δέξαι, φίλε, ταῦτα, εἰπών. Ἐμοὶ δέ, καίτοι ἀσμένως αὐτὰ δεξαμένῳ, μετέμελον εὐθύς, καὶ τὸ τάχος ἐπιστραφείς, ἀποδοῦναι τῷ δεδωκότι τὸ χρυσίον διενοούμην, ἅτε μηδὲ δεόμενος· καὶ ὁ δεδωκὼς εὐθὺς ἀφανὴς ἦν· τότε συνῆκα μὴ φαντασίαν εἶναι τὴν ὀπτασίαν, ἀλλὰ δήλην ἀλήθειαν.

8. Ἐξ ἐκείνου τοίνυν, ἐπειδὰν παρεῖχον τινί τι, ἴδοιμι ἔλεγον, εἴ γε δὴ κατὰ τὴν ὑπόσχεσιν ἑκατονταπλασίονά μοι ἀντιμετρήσειεν ὁ Χριστός· ὡς δὲ μυριάκις ποιῶν ἐπιστοποιούμην αὐτοῖς ἔργοις, παῦσαι πρὸς ἐμαυτὸν ἔφην, ἄχρι τίνος τὸν ἀπείραστον ἐκπειράσεις; τοσαύτας ἐναργεῖς τὰς πίστεις ἐμοῦ δεξαμένου, οἱ μικρό-

ψυχοι οὗτοι, φησί, σήμερον ἦλθον συναρπάσαι με, καὶ κοινωνὸν τῆς αὐτῶν ἀπιστίας με δεῖξαι, καὶ πρὸς ἀσπλαγχνίαν με ἐκκαλέσασθαι.

9. Τούτου τὴν πολλὴν χρηστότητα τῶν ἐπηλύδων τις κατανοήσας, πειράσαι διενοήθη τὸν πάσης πείρας ἀνώτερον. Ῥάκια τοίνυν ἀμφιασάμενος πρόσεισιν αὐτῷ προϊόντι ἐπισκέψασθαι ἐν τῷ νοσοκομείῳ· εἴθιστο γὰρ αὐτῷ δὶς καὶ τρὶς τοῦτο τῆς ἑβδομάδος ποιεῖν, καὶ ῥήμασι γοεροῖς, ἐλέησόν με, οὕτω φησί, Δέσποτα, τὸν αἰχμάλωτον· ὁ δὲ τῷ διανομεῖ ἓξ αὐτῷ δοῦναι νομίσματα κελεύει· καὶ ὃς ταῦτα λαβὼν καὶ ἀμείψας τὸ σχῆμα, πρόσεισι δι᾿ ἄλλης ὁμοίως αἰτούμενος, καὶ αὖθις ἐπιτρέπει δοθῆναι.

10. Ἐγγίσας οὖν τῷ μεγάλῳ πρὸς τὸ οὖς ὁ διδούς, τοῦτον αὐτὸν εἶναι τὸν πρὸ βραχέως εἰληφότα τὰ ἓξ νομίσματα γνωρίζει· ὡς δὲ ὑποκρινάμενος ἐκ τρίτου πάλιν ἔλθοι λαβεῖν, ὁ διανομεὺς νύττει τὸν Πατριάρχην τὸν αὐτὸν εἶναι σημαίνων· καὶ ὃς τὸ ἀοίδιμον ἐκεῖνο καὶ φθέγγεται καὶ ποιεῖ· δώδεκα δὸς αὐτῷ νομίσματα εἰρηκώς, μήποτε καὶ αὐτὸς ἐκεῖνος ὁ Κύριός μού ἐστι καὶ πειράζει με.

11. Ἄλλοτε πάλιν ἀπιόντι τῷ μεγάλῳ εἰς τὴν Ἐκκλησίαν πρόσεισί τις τῶν εὐγενῶν, ὑπὸ κλεπτῶν τὰ ὄντα σεσυλημένος, καὶ ταύτῃ πρὸς ἐσχάτην πενίαν συνελαθείς, ὃν ἐλεήσας τῆς ἐν βραχεῖ ταύτης ἐνδείας, πεντεκαίδεκα χρυσίου λίτρας διεκελεύσατο· ὁ μέν τοι δοῦναι προστεταγμένος, τοῦτο μὲν παρακοῇ εἴξας, τοῦτο δὲ καὶ ὑποβολῇ τῶν τῇ Ἐκκλησίᾳ διακονουμένων ὡς μὴ πολλῶν ὄντων τῶν ὑπολελειμμένων, ἅτε τοῦ μεγάλου μὴ θησαυρίζειν ἐπισταμένου, πέντε μόνας τῷ δεηθέντι παρέσχετο.

12. Ἐξιόντι δὲ τῷ μακαρίῳ τῆς Ἐκκλησίας, γυνή τις χήρα σφόδρα πλουσία χάρτην αὐτῷ ἐγχειρίζει, ᾧ δωρεὰ χρυσίου πεντακοσίων λιτρῶν ἐπεγέγραπτο, ὃν ἐπελθών, συνῆκεν ὑπὸ τῆς ἐν αὐτῷ ἐνοικούσης Χάριτος, ὃ μὴ κατὰ τὸ αὐτοῦ πρόσταγμα γέγονε· τοὺς οὖν διενεργήσαντας μετακαλεσάμενος, ἐπηρώτα εἰ τὰς δεκαπέντε τοῦ χρυσίου λίτρας τῷ ἀνθρώπῳ δεδώκασιν.

13. Ὡς δὲ αὐτοὶ τοσαύτας δοῦναι διϊσχυρίζοντο τοῦ πεπραγμένου καταψευδόμενοι, αὐτὸν τὸν δεηθέντα μεταπεμψάμενος ὁ μακάριος, καὶ μαθών, ὅτι πέντε μόνας εἰλήφει λίτρας χρυσίου, τὸν τῆς γυναικὸς χάρτην ἐκείνοις ὑποδεικνύων, ἐξ ὑμῶν, ἔφη, ὁ Κύριος τὰς ἑτέρας ἀπαιτεῖν μέλλει χιλίας· εἰ γὰρ ὑμεῖς τὰς δεκαπέντε λίτρας, ὥς γε διώριστο παρ᾿ ἡμῶν, τῷ δεηθέντι παρέσχετε, χιλίας ἂν καὶ πεντακοσίας ἡ γυνὴ τῷ Θεῷ παρέσχεν· ἵνα δὲ καὶ ἔργοις πιστωθῇ τὸ ὑμῶν ἄπιστον, καλεῖτέ μοι, ἔφη, τὴν θεοφιλῆ ταύτην γυναῖκα.

14. Τῇ δὲ παραστάσῃ καὶ τὸ ἐπαγγελθὲν χρυσίον διακομισαμένῃ, εἰπέ μοι, ἔφη ὁ Πατριάρχης, εἰ τοσαῦτα τῷ Θεῷ χρήματα ἐκ πρώτης ἔγνως προσενεγκεῖν; Ἡ δέ, ὡς ᾔσθετο μὴ διαλαθεῖν ἐκεῖνον, ἃ κατὰ μόνας αὐτῇ πέπρακτο, δέει πολλῷ ληφθεῖσα, πᾶν τὸ ἀπόῤῥητον ἐξηγόρευεν, ἐπειποῦσα· ὡς ταῖς ἀληθείαις, Δέσποτα, χιλίας πεντακοσίας λίτρας τῷ ἐπιδοθέντι σοι χάρτῃ ἐγγράψασα ἤμην· ὀλίγαις δὲ πρότερον ἡμέραις ἀνελίξασα τοῦτον, τὰς χιλίας, οὐκ οἶδ᾿ ὅπως, κατὰ τὸ αὐτόματον εὗρον ἀπηλειμμένας, κἀντεῦθεν ἔκρινα μὴ δοκοῦν εἶναι τῷ Θεῷ πάντως πλεῖόν με τῶν πεντακοσίων προσενεγκεῖν.

15. Ταῦτα ἐκείνοις ἀκούσασι πολὺν ἐμβέβληκε φόβον εἰς τὴν ψυχήν, καὶ προσπεσόντες ἅμα τοῖς ποσὶ τοῦ μεγάλου, ἀφεθῆναι τούτοις τὸ ἁμάρτημα τῆς παρακοῆς ᾐτήσαντο· τῇ μέντοι φιλοχρίστῳ πολλὴν ἀπὸ Θεοῦ τὴν εὐλογίαν ἐπευξάμενος ὁ μακάριος, ἀφῆκεν ἀπελθεῖν ἐν εἰρήνῃ.

16. Ἔθος δὲ ἦν τῷ μακαρίῳ Ἰωάννῃ, ὡς ἐπὶ τὸ πλεῖστον τῶν ἐπὶ ἐλεημοσύνῃ βεβοημένων Πατέρων ἀνιχνεύειν τοὺς βίους, ἅτε τὴν αὐτὴν ἐκείνοις ὁδεύειν προελομένῳ· ἐντυχὼν οὖν ποτε τῷ τοῦ θείου Σεραπίωνος βίῳ τοῦ Σιδωνίου, οὐ διέλιπε τὸν ἄνδρα ἐκπληττόμενος, καὶ τὰ ἐκείνου ἐκδιηγούμενος, ὅπως τε ἀποροῦντι

ἐντυχὼν πένητι, καὶ τὸ σύνηθες λεγόμενον ὠμοφόριον ἀποδύς, δέδωκεν· εἶτα συναντήσας ἑτέρῳ ῥιγοῦντι, τὸ στιχάριον ὁμοίως παρέσχετο· καὶ λοιπὸν ἐκάθητο γυμνὸς ἐπὶ τῆς ἀγκάλης κατέχων μόνον τὸ Εὐαγγέλιον.

17. Εἶτα πρός τινος ἐρωτηθεὶς τίς ὁ γυμνώσας εἴη; τοῦτο, ἔφη, δείξας τὸ Εὐαγγέλιον· ὡς δὲ καὶ τοῦτο πωλήσας τὴν αὐτοῦ τιμὴν τοῖς πένησι παρέσχετο, πυθομένῳ τῷ μαθητῇ ποῦ ἐστι, Πάτερ, τὸ μικρὸν Εὐαγγέλιον; πίστευσον, τέκνον, ἔφη, πειθόμενος τῷ λέγοντι πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, οὐδὲ αὐτοῦ τοῦ βιβλίου, ἐν ᾧ τοῦτο ἐγέγραπτο, φείσασθαι διενοησάμην.

Ἑ ρ μ η ν ε ί α

ΚΑΠΟΤΕ ἦλθον εἰς τὸν Ἅγιον Ἰωάννην τὸν Ἐλεήμονα μερικοὶ ἀπὸ αὐτούς, ποὺ ἀνέλαβον τὸ διακόνημα τῆς διανομῆς τῶν βοηθημάτων εἰς τοὺς πτωχούς.

Μεταξὺ λοιπὸν τῶν ἄλλων ἀνέφερον εἰς τὸν ἅγιον ἄνθρωπον, ὅτι συγκεντρώνονται εἰς τοὺς τόπους διανομῆς τῶν βοηθημάτων καὶ μερικὰ κορίτσια, ποὺ δὲν φαίνονται νὰ εἶναι πτωχά, διότι φοροῦν καλὰ ἐνδύματα καὶ περιδέραια καὶ τὸν ἠρώτων ἐὰν πρέπει νὰ δώσουν καὶ εἰς αὐτὰ ἐλεημοσύνην.

Μόλις τοὺς ἤκουσεν ὁ πρᾳότατος καὶ ἤρεμος Ἐπίσκοπος, τοὺς ἐκοίταξε μὲ αὐστηρότητα, ὡς νὰ τοὺς ἐπέπληττε, καὶ τοὺς εἶπεν:

—Ἐὰν θέλετε νὰ εἴσθε ὑπηρέται τοῦ ταπεινοῦ Ἰωάννου, ἢ μᾶλλον τοῦ Ἰησοῦ, καὶ διανομεῖς ἐλεημοσυνῶν, τότε θὰ πρέπει νὰ ἐκτελῆτε ἀπροφασίστως τὴν ἐντολὴν τοῦ Κυρίου, ποὺ λέγει· «τῷ αἰτοῦντι σε δίδου» (Ματθ. ε', 42).

2. Ἐὰν πάλιν λέγετε, ὅτι εἴσθε ὑπηρέται ἄλλου, ποὺ διατάσσει νὰ ἐξετάζετε καὶ νὰ ἐξακριβώνετε τὴν ζωὴν τῶν πτωχῶν, ποὺ ἐπαιτοῦν, τότε νὰ ξέρετε, ὅτι οὔτε ὁ ταπεινὸς Ἰωάννης, οὔτε ὁ Ἰησοῦς ἔχει ἀνάγκην τοιούτων σχολαστικῶν καὶ δυσπίστων ὑπηρετῶν, ποὺ περισσότερον ἐρευνοῦν καὶ ὀλιγώτερον βοηθοῦν.

Καί, ἐπὶ τέλους, ἐὰν τὰ προσφερόμενα ὡς ἐλεημοσύνη ἦσαν ἰδικά σας, θὰ σᾶς ἐσυγχωροῦσε κανεὶς τὴν οἰκονομίαν, κατὰ τὴν διαχείρισιν τῶν βοηθημάτων αὐτῶν· ἐφ' ὅσον ὅμως ὅλα αὐτὰ τὰ χορηγεῖ ἡ Πρόνοια τοῦ Θεοῦ, τότε ἐπιβάλλεται νὰ ἐφαρμόζωμεν, κατὰ τὴν διανομὴν τῶν ἀγαθῶν τοῦ Θεοῦ, καὶ τὴν διαταγὴν Ἐκείνου.

3. Ἐὰν πάλιν σᾶς ἠνώχλησαν λογισμοὶ ἀπιστίας μήπως, τάχα, τὸ πλῆθος τῶν πτωχῶν φέρει τὰς δαπάνας διὰ φιλανθρωπίαν εἰς ὑψηλότερον σημεῖον ἀπὸ τὰ ἔσοδα τῆς Ἐκκλησίας, ἐγὼ δὲν εἶμαι διατεθειμένος καθόλου νὰ συμμερισθῶ τὴν ἀπιστίαν σας αὐτήν. Εἶμαι ἀπολύτως βέβαιος, ὅτι καὶ ἐὰν ἀκόμη συγκεντρωθοῦν ὅλοι οἱ ἄνθρωποι τοῦ κόσμου εἰς τὴν Ἀλεξάνδρειαν καὶ ἔχουν ἀνάγκην βοηθείας, δὲν εἶναι ποτὲ δυνατὸν οἱ ἄνθρωποι αὐτοὶ νὰ ἐξαντλήσουν τοὺς θησαυροὺς τοῦ Θεοῦ. Μὲ αὐτὰς τὰς συμβουλάς, τὰς συνετὰς καὶ πλήρεις πίστεως, τοὺς ἐθεράπευσεν ἀπὸ τὴν ἀσθένειαν τῆς ἀπιστίας, καὶ τοὺς ἀπέστειλε νὰ ἐκτελέσουν τὸ καθῆκον των. Οἱ μεγαλόδωροι αὐτοὶ λό-

γοι, ποὺ ἀπεκάλυπτον μίαν τόσον εὐγενικὴν ὑπὲρ τῶν πτωχῶν πρόθεσιν, κατέπληξαν τοὺς παρισταμένους. Πρὸς αὐτοὺς ἐξιστόρησε καὶ τὸ ἑξῆς ὡραῖον διήγημα:

4. Ὅταν ἤμουν—ἤρχισε νὰ διηγῆται— δέκα πέντε ἐτῶν, εὑρισκόμουν εἰς τὴν Κύπρον. Μίαν λοιπὸν νύκτα βλέπω ἕνα καταπληκτικὸν ὄνειρον· ἐμφανίζεται ἐνώπιόν μου μία ὡραιοτάτη καὶ ἁγνοτάτη κόρη. Ἡ ἐξαισία αὐτὴ κόρη ἦτο στολισμένη μὲ λαμπρότητα καὶ στὸ κεφάλι της ἐφοροῦσεν ἕνα στεφάνι ἀπὸ ἐλαίαν. Ἡ κόρη αὐτὴ μὲ πλησιάζει καὶ μὲ σκουντᾷ μὲ τὴν χεῖρα της εἰς τὸ πλευρόν μου· ἐγὼ ἐφοβήθην καὶ ἐξύπνησα! Ἀλλ' ἐδῶ ἀκριβῶς ἦτο τὸ καταπληκτικόν· ἔβλεπα πλέον ὄχι εἰς ὄνειρον, ἀλλὰ εἰς τὴν πραγματικότητα τὴν νέαν αὐτήν. Τότε, κατάπληκτος, τὴν ἐρωτῶ ἀπὸ ποῦ ἔρχεται καὶ πῶς ἐτόλμησε νὰ μὲ πλησιάσῃ, ἐνῷ ἐγὼ ἐκοιμώμουν!

5. Ὅταν ἤκουσε τὰς ἐρωτήσεις μου αὐτάς, ἡ νέα ἤρχισε νὰ χαμογελᾷ καὶ γεμάτη γαλήνην μοῦ ἀπαντᾷ:

—Ἐγὼ εἶμαι ἡ πρώτη ἀπὸ τὰς θυγατέρας τοῦ Μεγάλου Βασιλέως· ἐὰν λοιπὸν μὲ κάμῃς φίλην σου, ἔχω τοσαύτην ἐπιρροὴν πλησίον τοῦ Πατρός μου, ὥστε νὰ δύναμαι νὰ σὲ καταστήσω πρόσωπον οἰκεῖον εἰς τὸν Βασιλέα· μοῦ τρέφει ἀπεριόριστον ἀγάπην καὶ ἀπέναντί Του αἰσθάνομαι ἀκατανίκητον θάρρος· ἀρκεῖ νὰ σκεφθῇς, ὅτι μόνον ἐγὼ τὸν ἔπεισα νὰ ἀναλάβῃ ἀνθρωπίνην σάρκα καὶ νὰ κατέλθῃ ἐξ οὐρανοῦ, χάριν τῆς σωτηρίας τῶν ἀνθρώπων.

Μὲ τοὺς λόγους αὐτοὺς ἐξηφανίσθη ἀπὸ ἐμπρός μου. Τότε συνῆλθα καὶ ἐγὼ καὶ ἤρχισα νὰ σκέπτωμαι τί σημαίνει αὐτὸ ποὺ εἶδα. Τὸ ἐξαίσιον αὐτὸ θέαμα ἐστριφογύριζεν εἰς τὸν νοῦν μου καὶ δὲν ἤργησα νὰ συμπεράνω, ὅτι ἡ νέα αὐτὴ εἶναι ἡ ἐλεημοσύνη. Τὸ συμπέρασμά μου αὐτὸ τὸ ἐστήριξα εἰς τὴν σκέψιν, ὅτι μόνον ἡ ἐλεημοσύνη ἐξησφάλισε τὴν δυνατότητα εἰς τὸν ἄνθρωπον νὰ ἴδῃ τὸν Θεὸν μὲ σάρκα ἐπὶ τῆς γῆς.

6. Ἀμέσως λοιπὸν ἐσηκώθην καὶ ἐβάδιζα διὰ τὴν Ἐκκλησίαν, διότι ἤδη ἐχάραζεν ἡ αὐγή. Ἐκεῖνο μάλιστα τὸ πρωϊνὸ ἔκαμνεν ὑπερβολικὸ κρύο. Εἰς τὸν δρόμον συνήντησα ἕνα πτωχόν, ποὺ εἶχε παγώσει ἀπὸ τὸ πολὺ κρύο. Ἀμέσως λοιπὸν τότε ἔβγαλα τὸ ἱμάτιόν μου καὶ τὸ προσέφερα εἰς τὸν δυστυχῆ αὐτὸν πτωχόν· ἐν τῷ μεταξὺ ἐμονολογοῦσα καὶ ἔλεγα, τώρα θὰ διαπιστώσω, ἐὰν αὐτό, ποὺ εἶδα, εἶναι πραγματικότης ἢ ἀπάτη τοῦ διαβόλου.

7. Δὲν ἐπρόφθασα νὰ καλοσκεφθῶ αὐτὰ τὰ πράγματα καὶ πρὶν ἀκόμη φθάσω εἰς τὴν Ἐκκλησίαν, πρὸς τὴν ὁποίαν μετέβαινον, μὲ πλησιάζει ἕνας ἄνθρωπος εἰς τὰ ὁλόλευκα ἐνδεδυμένος καὶ μοῦ προσφέρει ἕνα δεματάκι μὲ ἑκατὸ χρυσᾶ νομίσματα. Συγχρόνως μοῦ λέγει:

— Δέξου τα αὐτά, φίλε μου.

Ἐγώ, καίτοι μὲ εὐχαρίστησιν τὰ ἐπῆρα, ἐν τούτοις ἀμέσως με-

τενόησα διότι ἐκράτησα τὰ νομίσματα αὐτὰ καὶ ἐγύρισα, διὰ νὰ τὰ ἐπιστρέψω εἰς τὸν δωρητήν, ἐφ' ὅσον δὲν εἶχα ἀνάγκην τῶν χρημάτων αὐτῶν. Ἐν τῷ μεταξὺ ὅμως ὁ λευκοφόρος αὐτὸς ἄνθρωπος εἶχεν ἐξαφανισθῆ. Τότε κατάλαβα, ὅτι αὐτό, ποὺ εἶδα, δηλαδὴ τὴν κόρην, δὲν ἦτο ἀπατηλὴ φαντασία, ἀλλὰ ὁλοφάνερη πραγματικότης.

8. Ἀπὸ ἐκεῖνο τὸ περιστατικὸν πλέον, ὁσάκις προσέφερον κάτι εἰς κανένα πτωχόν, ἔλεγον μὲ τὸν νοῦν μου· τώρα θὰ ἰδῶ ἐὰν θὰ μοῦ τὰ ἐπιστρέψῃ ὁ Χριστὸς ἑκατὸ φορὲς περισσότερα, κατὰ τὴν θείαν Του ὑπόσχεσιν· «ἑκατονταπλασίονα λήψεται» (Ματθ. ιθ', 29).

Ἐπειδὴ δὲ ἀπείρους φορὰς μὲ ἔργα διεπίστωσα τὴν ἀλήθειαν αὐτήν, δι' αὐτό, ὅταν μοῦ ἤρχετο εἰς τὸν νοῦν ἡ ἰδέα αὐτή, ἐπέπληττα τὸν ἑαυτόν μου καὶ ἔλεγα: Παῦσε πλέον, μέχρι πότε θὰ προκαλῇς τὸν Ἀπείραστον; Δι' αὐτὸ λοιπὸν τώρα στενοχωροῦμαι διὰ τὴν μικροψυχίαν τῶν ἀνθρώπων αὐτῶν, ποὺ ἦλθον σήμερον νὰ μὲ παρασύρουν καὶ νὰ μὲ καταστήσουν μέτοχον τῆς ἀπιστίας των, ὥστε νὰ φανῶ ἔνοχος δι' ἀσπλαγχνίαν, ἐνῷ ἔχω τόσον ὁλοφάνερες ἀποδείξεις διὰ τὴν ἐλεημοσύνην.

9. Κάποιος ἀπὸ τοὺς ξένους, ποὺ εὑρίσκοντο εἰς τὴν Ἀλεξάνδρειαν, ἀντιληφθεὶς τὴν μεγάλην καλωσύνην τοῦ Ἁγίου, ἐσκέφθη νὰ δοκιμάσῃ τὸν βαθμὸν καὶ τὴν ἔκτασιν τῆς εὐσπλαγχνίας τοῦ Ἁγίου, καίτοι ὁ Ἅγιος ἦτο ἀνώτερος πάσης δοκιμασίας. Περιβάλλεται λοιπὸν μὲ πενιχρὰ ἐνδύματα καὶ ἀνέμενε νὰ περάσῃ ὁ Ἅγιος διὰ τὸ νοσοκομεῖον, διότι ὁ Ἅγιος ἐσυνήθιζε δύο ἢ τρεῖς φορὰς τὴν ἑβδομάδα νὰ ἐπισκέπτεται τοὺς ἀσθενεῖς.

Μόλις ἐπλησίασε ὁ Ἅγιος, ὁ ἐμφανιζόμενος ὡς ἐπαίτης ἤρχισε νὰ φωνάζῃ μὲ θλιμένην φωνήν:

— Δέσποτα, λυπήσου με, τὸν αἰχμάλωτον καὶ δυστυχισμένον.

Ὁ Ἅγιος ἀμέσως προστάσσει τὸν ταμίαν του, ποὺ τὸν συνώδευε, νὰ δώσῃ εἰς τὸν ἐπαιτοῦντα ἓξ νομίσματα. Τότε ἐκεῖνος, μόλις ἔλαβε τὰ νομίσματα, ἀμέσως τρέχει, ἀλλάζει ἐνδυμασίαν καὶ σχῆμα καὶ ἐμφανίζεται ἐκ νέου εἰς ἄλλο σημεῖον τῆς ὁδοῦ. Ὁ Ἅγιος καὶ πάλιν, μόλις ἐζήτησε, διατάσσει ἐκ νέου νὰ τοῦ δοθῇ ἐλεημοσύνη.

10. Ἐν τῷ μεταξὺ ὁ ὑποτακτικός του, ποὺ τὸν συνώδευε, τοῦ λέγει κρυφίως εἰς τὸ αὐτί, ὅτι ὁ ἐπαιτῶν καὶ βοηθηθεὶς εἶναι τὸ ἴδιον πρόσωπον, ποὺ προηγουμένως ἐζήτει. Ὁ Ἅγιος ὅμως δὲν ἔδωσεν οὐδεμίαν σημασίαν εἰς τὴν πληροφορίαν αὐτήν. Ἀλλὰ καὶ διὰ τρίτην φορὰν ἐμφανίζεται, δι' ἄλλου σχήματος, ὁ δῆθεν ἐπαίτης καὶ ζητεῖ βοήθειαν. Ὁ ὑποτακτικὸς σκουντᾷ τὸν Ἅγιον νὰ προσέξῃ, ὅτι εἶναι τὸ ἴδιον πρόσωπον καὶ νὰ τοῦ ἀρνηθῇ ἐλεημοσύνην.

Τότε ὁ Πατριάρχης εἶπε μίαν ἀξέχαστον καὶ πλήρη μεγαλείου φράσιν· «Καλλίτερα δῶσε εἰς αὐτὸν δώδεκα νομίσματα, ἀντὶ ἕξ, μὴ τυχὸν εἶναι ὁ ἴδιος ὁ Κύριός μου καὶ μὲ δοκιμάζει».

11. Ἀλλὰ καὶ ἡ κατωτέρω διήγησις εἶναι θαυμαστὴ καὶ φανερώνει ἀφ' ἑνὸς μὲν τὰ πνευματικὰ χαρίσματα τοῦ Ἁγίου Πατριάρχου, ἀλλὰ καὶ ἀφ' ἑτέρου τὴν δύναμιν, ποὺ ἔχει πλησίον τοῦ Θεοῦ, ἡ ἐλεημοσύνη!

Κάποτε λοιπόν, ἐνῷ ἐπήγαινεν ὁ Ἅγιος Πατριάρχης, Ἰωάννης ὁ Ἐλεήμων, εἰς τὴν Ἐκκλησίαν, τὸν συναντᾷ ἕνας εὐγενής. Αὐτὸς ὁ εὐγενὴς εἶχε περιέλθει εἰς τὴν ἐσχάτην πτωχείαν, διότι οἱ κλέπται τοῦ εἶχον ἁρπάσει ὅλα τὰ ἀγαθά. Ὁ εὐγενὴς αὐτὸς ἐζήτησε τὴν βοήθειαν τοῦ Ἁγίου. Τότε ὁ Ἅγιος διατάσσει νὰ δοθοῦν ἀμέσως, χωρὶς ἀναβολήν, εἰς τὸν πτωχεύσαντα αὐτὸν εὐγενῆ δεκαπέντε λίτραι χρυσοῦ.

Ὁ ἄνθρωπος ὅμως, ὁ ὁποῖος ἔλαβε τὴν ἐντολήν, εἴτε διότι ἐνικήθη ὑπὸ τῆς παρακοῆς, εἴτε διότι παρεκινήθη καὶ ἀπὸ τοὺς ἄλλους ἐν τῇ Ἀρχιεπισκοπῇ διακονοῦντας Κληρικούς, δὲν ἔδωσεν ὁλόκληρον τὸ ποσόν, ἐπειδὴ δὲν εἶχε καὶ πολλὰ χρήματα τὸ ταμεῖον, καὶ ἐπειδὴ ὁ Ἅγιος Πατριάρχης δὲν συνήθιζε νὰ θησαυρίζῃ. Ἀντὶ δηλαδὴ τοῦ διαταχθέντος ποσοῦ τῶν δέκα πέντε λιτρῶν, ἔδωσε μόνον πέντε λίτρας χρυσοῦ.

12. Ἰδοὺ ὅμως τί θαυμαστὸν συνέβη! Ὅταν ἐξήρχετο ὁ εὐλογημένος Πατριάρχης ἀπὸ τὴν Ἐκκλησίαν, τὸν πλησιάζει μία πλουσιωτάτη χήρα καὶ τοῦ παραδίδει ἔγγραφον προσφορὰν δωρεᾶς πεντακοσίων λιτρῶν χρυσοῦ. Ὁ Ἅγιος παρέλαβε τὸ ἔγγραφον, ἀφοῦ δὲ τὸ ἀνέγνωσεν ἐδέχθη ὑπὸ τῆς Θείας Χάριτος τὴν ἐσωτερικὴν πληροφορίαν, ὅτι δὲν ἐξετελέσθη ἡ ἐντολή του σχετικῶς μὲ τὴν καταβολὴν ὁλοκλήρου τοῦ ποσοῦ εἰς τὸν πτωχεύσαντα εὐγενῆ. Ἀμέσως καλεῖ αὐτούς, ποὺ διέταξε, καὶ τοὺς ἐρωτᾷ, ἐὰν πράγματι κατέβαλαν εἰς τὸν ἄνθρωπον ἐκεῖνον τὰς δέκα πέντε λίτρας χρυσοῦ.

13. Ἐκεῖνοι ἰσχυρίζοντο ψευδῶς, ὅτι ἔδωσαν πράγματι δέκα πέντε λίτρας! Τότε ὁ Ἅγιος στέλλει καὶ καλεῖ τὸν ἴδιον τὸν ἄνθρωπον, ποὺ τοῦ ἐζήτησε βοήθειαν καὶ ἔμαθεν ἀπὸ αὐτόν, ὅτι μόνον πέντε λίτρας τοῦ ἔδωσαν.

Κατόπιν αὐτοῦ ὁ Ἅγιος ἀπευθύνεται πρὸς τοὺς διακονητάς του, ποὺ τὸν ἐξυπηρέτουν εἰς τὸ ἔργον τῆς φιλανθρωπίας, καὶ τοὺς λέγει :

—Ἀπὸ σᾶς ὁ Κύριος θὰ ζητήσῃ, κατὰ τὴν ἡμέραν τῆς κρίσεως, τὰς ὑπολοίπους χιλίας λίτρας χρυσοῦ, τὰς ὁποίας εἶχε πρόθεσιν νὰ προσφέρῃ ἡ δωρήτρια αὐτη.

Λέγων δὲ αὐτὰ τοὺς ἐδείκνυε τὸ ἔγγραφον τῆς δωρεᾶς, εἰς τὸ ὁποῖον ἀνεγράφοντο μόνον αἱ πεντακόσιαι λίτραι!

—Ἐὰν σεῖς—συνέχισεν ὁ Ἅγιος Πατριάρχης—ἐδίδετε τὸ ποσὸν τῶν δέκα πέντε λιτρῶν, ποὺ σᾶς ὥρισα ἐξ ἀρχῆς, εἰς τὸν ἄνθρωπον, ποὺ εὑρέθη εἰς τὴν ἀνάγκην, τότε καὶ ἡ δωρήτρια αὔτη θὰ ἀφιέρωνεν εἰς τὸν Θεὸν χιλίας πεντακοσίας λίτρας. Διὰ νὰ ἀποδειχθῇ δὲ καὶ ἐμπράκτως ἡ ὀλιγοπιστία σας, φωνάξατε νὰ ἔλθῃ ἐδῶ ἡ θεοφιλὴς αὐτὴ γυνή.

14. Πράγματι ἐντὸς ὀλίγου κατέφθασεν ἡ γυνή, μεταφέρουσα μά-

λιστα καὶ τὴν ποσότητα τοῦ χρυσίου, τὴν ὁποίαν ἐγγράφως ὑπεσχέθη. Ἀφοῦ ἐδέχθη τὴν προσφοράν της ὁ Ἅγιος Ἰωάννης καὶ τὴν ηὐχαρίστησε, τὴν ἐρωτᾷ ἐνώπιον καὶ τῶν παρακουσάντων διακονητῶν του.

— Εἰπέ μου, σὲ παρακαλῶ, αὐτὴν τὴν ποσότητα εὐθὺς ἐξ ἀρχῆς εἶχες προορίσει ὡς δωρεάν;

Κατάπληκτος τότε ἡ γυνὴ ἀντελήφθη, ὅτι ὁ Ἅγιος, ἀπὸ προορατικὸν χάρισμα, ἐγνώριζεν αὐτό, ποὺ ἡ ἰδία ἔπραξε κατὰ μόνας. Τότε λοιπὸν συνεχομένη ἀπὸ φόβον ἐξωμολογήθη ὅλην τὴν ὑπόθεσιν, εἰποῦσα μεταξὺ ἄλλων καὶ τὰ ἑξῆς:

— Πράγματι, Πάτερ μου, εἰς τὸ χαρτὶ τῆς δωρεᾶς, ποὺ σᾶς παρέδωσα, εἶχον ἀναγράψει μόνη μου ἀρχικῶς χιλίας πεντακοσίας λίτρας χρυσοῦ. Πρὸ ὀλίγων ἡμερῶν, ἐνῷ ἠτοιμαζόμην νὰ σᾶς ἐπισκεφθῶ διὰ νὰ σᾶς ἐπιδώσω τὸ ἔγγραφον τῆς δωρεᾶς, τὸ ἐξετύλιξα, διὰ νὰ τὸ ἴδω. Τότε διεπίστωσα περιέργως, ὅτι αἱ χίλιαι λίτραι εἶχον διαγραφῆ, δὲν γνωρίζω πῶς, ἐντελῶς αὐτομάτως· κατόπιν αὐτοῦ τοῦ σημείου ἔκρινα, ὅτι δὲν θὰ ἦτο θέλημα Θεοῦ νὰ προσφερθοῦν περισσότεραι τῶν πεντακοσίων λιτρῶν.

15. Μόλις ἤκουσαν αὐτὰ οἱ διακονηταὶ τοῦ Πατριάρχου ἐφοβήθησαν πάρα πολὺ καὶ προσπεσόντες εἰς τοὺς πόδας τοῦ Ἁγίου ἐζήτησαν συγχώρησιν, διὰ τὸ ἁμάρτημα τῆς παρακοῆς. Εἰς τὴν φιλόχριστον δὲ ἐκείνην γυναῖκα, ἡ ὁποία ἐδώρησε τὴν ποσότητα τοῦ χρυσοῦ, ηὐχήθη τὴν ἀπὸ Θεοῦ εὐλογίαν καὶ αὐτὴ ἀνεχώρησεν ἐν εἰρήνῃ.

16. Ὁ Ἅγιος Ἰωάννης ὁ Ἐλεήμων συνήθιζε νὰ μελετᾷ τοὺς βίους τῶν Ἁγίων, ποὺ διεκρίθησαν εἰς τὸ ἔργον τῆς ἐλεημοσύνης, διότι ἐπεθύμει νὰ ἀκολουθήσῃ τὰ ἴχνη των. Μεταξὺ ἄλλων λοιπὸν ἀνέγνωσε καὶ τὸν βίον τοῦ θείου Σεραπίωνος τοῦ Σιδωνίου (1). Ἔκτοτε δὲ δὲν ἔπαυσε νὰ θαυμάζῃ τὸν Ἅγιον αὐτὸν ἄνθρωπον καὶ νὰ διηγῆται τὸ ἑξῆς περιστατικὸν ἀπὸ τὴν ζωήν του. Κάποτε ὁ Ἅγιος Σεραπίων συνήντησεν ἕνα δυστυχισμένον πτωχὸν καὶ ἄπορον, τόσον δὲ τὸν ἐλυπήθη, ὥστε ἔβγαλε τὸ ἐπανωφόρι του καὶ τοῦ τὸ ἔδωσεν. Ὅταν ὅμως ἐπροχώρησεν ὀλίγον διάστημα, συναντᾷ ἕνα ἄλλον, ὁ ὁποῖος ἔτρεμεν ἀπὸ τὸ κρύο. Τί νὰ κάμῃ; Χωρὶς νὰ τὸ σκεφθῇ, βγάζει καὶ τὸ ἐσωτερικόν του ἔνδυμα καὶ τοῦ τὸ προσφέρει. Τότε ἔμεινε γυμνὸς καὶ ἐκράτει εἰς τὰς χεῖρας του τὸ Ἱερὸν Εὐαγγέλιον.

17. Μόλις τὸν εἶδεν γυμνὸν ἕνας γνωστός του, τοῦ λέγει:

— Ποιὸς σὲ ἐγύμνωσεν;

— Αὐτὸ ἐδῶ,—ἀπήντησεν ὁ Σεραπίων, δεικνύων πρὸς αὐτὸν τὸ ἱερὸν Εὐαγγέλιον.

Ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ Εὐαγγέλιον τὸ ἐπώλησε, παρασχὼν τὰ

---

1) Βλέπε περὶ τοῦ Ἁγίου Σεραπίωνος καὶ ἐν σελ. 463—466 τοῦ ἀνὰ χεῖρας τόμου.

χρήματα, ποὺ εἰσέπραξεν, εἰς τοὺς πτωχούς. Κάποτε τὸν ἠρώτησεν ὁ μαθητής του:

— Πάτερ μου, ποῦ εἶναι τὸ μικρὸν Εὐαγγέλιον, ποὺ εἶχες;

— Τί νὰ σοῦ εἰπῶ, τέκνον μου;—εἶπεν—δὲν παρήγγειλε ὁ Κύριος «Πώλησόν σου τὰ ὑπάρχοντα»; (Ματθ. ιθ', 21). Εἰς αὐτὸ καὶ ἐγὼ ἐπειθάρχησα καὶ δι' αὐτὸ ἐσκέφθην οὔτε τὸ βιβλίον, εἰς τὸ ὁποῖον εἶναι γραμμένα τὰ παραγγέλματα αὐτά, νὰ μὴ λυπηθῶ, ἀλλὰ νὰ τὸ πωλήσω χάριν τῶν πτωχῶν.

Η'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀλυπίου

ΤΟ ΤΗΣ ΕΛΕΗΜΟΣΥΝΗΣ ΚΑΛΟΝ οὕτως ἀνέθαλλε τῇ τοῦ μεγάλου Ἀλυπίου ψυχῇ, ὥστε χαίρειν ἐκεῖνον διδόντα μᾶλλον, ἢ τὸν τοῦ ἐλέους ἠξιωμένον· καί ποτε τινὸς τῶν πενήτων ἔνδυμα δεηθέντος λαβεῖν, οὐδὲν τὸ παράπαν ἐπιδοιάσας, λαβὼν ἐκεῖνος ὃ ἐφόρει χιτώνιον, καθῆκεν εὐθὺς τοῦ κίονος· καὶ ὁ μὲν λαβὼν ἀπῄει χάριν ὁμολογῶν τῷ Θεῷ τῆς προνοίας· ὁ δὲ διεκαρτέρει οὕτω πηγνύμενος, ἄχρι τις τῶν ὑπ' αὐτοῦ ἐγκλείστων ἀτενίσας καὶ ὅπως εἶχεν ἰδών, περιβολαίῳ τινὶ σκεπασθῆναι πεποίηκεν.

Ἑρμηνεία

ΤΟ ΙΔΕΩΔΕΣ τῆς ἐλεημοσύνης τόσον πολὺ εἶχε καρποφορήσει εἰς τὴν ψυχὴν τοῦ Ὁσίου Ἀλυπίου, ὥστε, ὁσάκις ἠλέει πτωχόν, νὰ αἰσθάνεται αὐτὸς περισσοτέραν χαρὰν ἀπὸ τὸν λαμβάνοντα τὴν ἐλεημοσύνην. Χαρακτηριστικῶς μάλιστα ἀναφέρουν τὸ ἑξῆς περιστατικόν.

Κάποτε τὸν ἐπλησίασε κάποιος καὶ τοῦ ἐζήτει ἐνδύματα, διότι ἐκρύωνε. Τότε ὁ Ἀλύπιος, χωρὶς καθόλου νὰ τὸ σκεφθῇ, ὡς νὰ ᾐσθάνετο ὁ ἴδιος τὴν ἀνάγκην, ἐξεδύθη, ἐπῆρε τὸ ἔνδυμα ποὺ ἐφόρει, τὸ κατέβασεν ἀπὸ τὸν στῦλον καὶ τὸ προσέφερεν. Ὁ πτωχός, ποὺ ἐπῆρε τὸ ἔνδυμα, ἀνεχώρησεν εὐχαριστῶν τὸν Θεὸν διὰ τὴν πρόνοιάν του αὐτήν· ὁ Ἀλύπιος ὅμως ὑπέμενεν ἀγογγύστως τὸ κρύο, μέχρις ὅτου τὸν ἀντελήφθη ἐπὶ τέλους κάποιος ἀπὸ τοὺς ὑποτακτικούς του, ποὺ ἦσαν ἔγκλειστοι, καὶ τοῦ ἔδωσεν ἄλλο ἔνδυμα νὰ σκεπασθῇ.

Θ'. Ἐν τῷ Γεροντικῷ

ΑΔΕΛΦΟΣ εἶδε τὸν Ἀββᾶν Νισθερὼ φοροῦντα δύο κολόβια, καὶ εἶπεν αὐτῷ· ἐὰν πτωχὸς ἔλθῃ καὶ αἰτήσῃ ἱμάτιον, ποῖον δίδως αὐτῷ; καὶ ἀποκριθεὶς εἶπε· τὸ κάλλιον. Ἔφη ὁ ἀδελφός· ἐὰν δὲ καὶ ἄλλος αἰτήσῃ τι παρὰ σοῦ, τί ποιεῖς; Λέγει ὁ Γέρων· παρέχω αὐτῷ τὸ λοιπόν, καὶ παρευθὺς κάθημαι εἰς ἕνα τόπον, ἕως οὗ ὁ Θεὸς πέμψῃ καὶ σκεπάσῃ με· οὐ γὰρ ζητῶ παρ' ἄλλου τινός.

2. Γέρων τις ἐκάθητο μετὰ ἀδελφοῦ, καὶ εἶχον κοινόβιον· ὁ δὲ Γέρων ἦν ἐλεήμων, καὶ γενομένου λιμοῦ ἤρξαντό τινες ἔρχεσθαι εἰς τὴν θύραν αὐτοῦ λαβεῖν ἀγάπην· ὁ δὲ Γέρων παρεῖχε πᾶσι τοῖς ἐρχομένοις· ἰδὼν δὲ ὁ ἀδελφὸς τὸ γινόμε-

νον, λέγει τῷ Γέροντι· δός μοι τὸ μέρος τῶν ἄρτων, καὶ ὡς θέλεις σὺ ποίησον τὸ μέρος σου.

3. Διεμέρισεν οὖν ὁ Γέρων τοὺς ἄρτους αὐτοῦ καὶ ἐποίει τὴν ἐλεημοσύνην ἐκ τοῦ μέρους αὐτοῦ· πολλοὶ δὲ συνέτρεχον πρὸς τὸν Γέροντα, ἀκούσαντες, ὅτι πᾶσι παρέχει. Ἰδὼν δὲ ὁ Θεὸς τὴν ἀγαθὴν αὐτοῦ προαίρεσιν, ηὐλόγησε τοὺς ἄρτους, καὶ ὅσον παρεῖχε, τοσοῦτον ἐπληθύνοντο· ὁ δὲ ἀδελφός, καταφαγὼν τὰ ἑαυτοῦ ψωμία, λέγει τῷ Γέροντι· ἐπεὶ ἄλλα μικρὰ ἔχω ψωμία, Ἀββᾶ, λάβε με πάλιν κοινόβιον· καὶ εἶπεν αὐτῷ ὁ Γέρων· ὡς θέλεις ποιῶ, καὶ ἐκαθέσθησαν πάλιν κοινόβιον.

4. Πολλῶν δὲ πάλιν ὄντων τῶν προσιόντων καὶ μηδενὸς ἀποστρεφομένου κενοῦ, εἶδεν ὁ ἀδελφὸς τοὺς ἄρτους λείψαντας· ἦλθε δὲ κατὰ συγκυρίαν πτωχός, καὶ εἶπεν αὐτῷ ὁ Γέρων δοῦναι ἀγάπην· ὁ δὲ ἀδελφὸς ἔφη· οὐκέτι ἔνι, Πάτερ· λέγει ὁ Γέρων· ἄπελθε καὶ ζήτησον ἀκριβῶς· εἰσελθὼν οὖν ὁ ἀδελφός, εὗρε τὸ ἀρτοθέσιον πεπληρωμένον ἄρτων, καὶ τοῦτο ἑωρακὼς ἐφοβήθη, καὶ λαβὼν δέδωκε τῷ πτωχῷ· καὶ τὴν πίστιν καὶ τὴν ἀρετὴν τοῦ Γέροντος θαυμάσας ἐδόξασε τὸν Θεόν.

5. Μανιχαῖός τις ἀπιὼν πρός τινα ὁμόφυλον αὐτοῦ ὥδευε τὴν ἔρημον· ὡς δὲ ἑσπέρα κατέλαβε, μὴ ἔχων ποῦ καταλῦσαι, ἠπορεῖτο· κατῴκει δέ τις ἐν ἐκείνῳ τῷ τόπῳ Ἀναχωρητὴς Ὀρθόδοξος, ὃς τὸν Μανιχαῖον ἐγίνωσκεν, ἰδὼν αὐτὸν καὶ ἄλλοτε, καὶ μαθὼν οἵας ἐστὶν αἱρέσεως.

6. Τότε οὖν μὴ ἔχων ποῦ ἀπελθεῖν ὁ Μανιχαῖος, ἐδειλία μὲν αὐτῷ προσελθεῖν λογιζόμενος, ὡς οὐ δεχθήσεται παρ' αὐτοῦ διὰ τὸ διάφορον τῆς πίστεως, ὅμως ἀναγκασθείς, προσελθὼν ἔκρουσεν· ὁ δὲ Γέρων ἀνοίξας καὶ ἰδὼν αὐτὸν καὶ γνωρίσας, ἐδέξατο μετὰ χαρᾶς, καὶ ἠνάγκασε γεύσασθαι, καὶ ἀναπαύσας αὐτὸν ἐκοιμήθη.

7. Ὁ δὲ Μανιχαῖος, σκοπούμενος ἐν ἑαυτῷ τὸ συμπαθὲς τοῦ Γέροντος, εἶπε· πῶς ὁ ἄνθρωπος οὗτος οὐ διεκρίθη πρός με, καὶ ταῦτα γινώσκων ὅς τις εἰμί, ἀλλ' οὕτως ἐπιμελῶς με ἀνέπαυσεν; ὄντως τοῦ Θεοῦ ἐστι· καὶ ἀναστὰς τὸ πρωῒ ἐλθὼν προσέπεσε τῷ Γέροντι λέγων· ἐγὼ ἀπὸ τῆς σήμερον ὀρθόδοξός εἰμι, καὶ ἕως τέλους ἔμεινε μετ' αὐτοῦ.

8. Ἠρώτησεν ὁ Ἀββᾶς Θεόδωρος ὁ τῆς Φέρμης τὸν Ἀββᾶν Παμβώ, εἰπέ μοι ῥῆμα, καὶ μετὰ πολλοῦ κόπου εἶπεν αὐτῷ· Θεόδωρε, ὕπαγε, ἔχε τὸ ἔλεός σου ἐπὶ πάντας· τὸ γὰρ ἔλεος εὗρε παῤῥησίαν ἐνώπιον τοῦ Θεοῦ.

9. Μοναχός τις Θηβαῖος ἔσχε χάρισμα διακονίας παρὰ Θεοῦ, ἵνα ἑκάστῳ τῶν προσερχομένων οἰκονομῇ τὰ πρὸς τὴν χρείαν· ποτὲ οὖν εἰς κώμην τινὰ διδόντος αὐτοῦ ἀγάπην, ἦλθε πρὸς αὐτὸν καὶ γυνή τις αἰτουμένη ἀγάπην, φοροῦσα παλαιὰ καὶ ἰδὼν αὐτήν, ὅτι παλαιὰ φορεῖ, ἐχάλασε τὴν χεῖρα αὐτοῦ δοῦναι αὐτῇ πολλά· συνεστάλη δὲ ἡ χεὶρ αὐτοῦ καὶ ἀνήνεγκεν ὀλίγα· ἔπειτα ἦλθε πρὸς αὐτὸν ἑτέρα φοροῦσα καλῶς, καὶ ἰδὼν αὐτῆς τὰ ἱμάτια, ἐχάλασε δοῦναι αὐτῇ ὀλίγα, καὶ ἡπλώθη ἡ χεὶρ αὐτοῦ καὶ ἀνήνεγκε πολλά.

10. Ἠρώτησεν οὖν περὶ ἀμφοτέρων καὶ ἔμαθεν, ὅτι ἡ μὲν τὰ καλὰ φοροῦσα, ἀπὸ ἀξιολόγων οὖσα, ἐπτώχευσε, καὶ ὑπολήψεως χάριν ἐχρήσατο τοῖς ἱματίοις· ἡ δὲ ἄλλη χάριν τοῦ λαβεῖν ἐχρήσατο παλαιοῖς.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ἐπεσκέφθη κάποτε τὸν Ἀββᾶν Νισθερὼ καὶ τὸν εἶδε νὰ φορῇ δύο πλεκτὰ ἐνδύματα. Τὸν ἐρωτᾷ λοιπόν:

— Πάτερ μου, ἐὰν ἔλθῃ ἕνας πτωχὸς καὶ σοῦ ζητήσῃ ἔνδυμα, ποῖον ἐκ τῶν δύο θὰ τοῦ δώσῃς;

— Τὸ καλλίτερον—ἀπήντησεν ὁ Ἀββᾶς.

—Ἐάν, ἐν τῷ μεταξύ, ἔλθῃ καὶ ἄλλος καὶ σοῦ ζητήσῃ κάτι, τί θὰ κάμῃς;—ἐπανέλαβεν ὁ ἐπισκέπτης.

— Θὰ τοῦ δώσω καὶ τὸ ἄλλο—λέγει ὁ Γέρων—καὶ θὰ πάω νὰ καθήσω εἰς ἕνα μέρος, μέχρι ποὺ νὰ στείλῃ κάποιον ἄλλον ὁ Θεός, νὰ ἰδῇ τὴν γυμνότητά μου καὶ νὰ μοῦ προσφέρῃ ἔνδυμα, διότι ἐγὼ δὲν πρόκειται νὰ ζητήσω ἀπὸ κανένα.

2. Δύο Μοναχοί, ἕνας Γέρων καὶ ἕνας ὑποτακτικός, ἔζων ἀπὸ κοινοῦ καὶ ἐμόναζον κοινοβιακῶς. Ὁ Γέρων ἦτο πάρα πολὺ ἐλεήμων. Κάποτε λοιπὸν ἔπεσε πεῖνα καὶ δυστυχία εἰς τὴν περιοχὴν καὶ ἤρχοντο εἰς τὸ Κοινόβιον νὰ λάβουν βοήθειαν. Εἰς ὅλους, ὅσοι προσήρχοντο, ὁ Γέρων ἔδιδε προθύμως ἐλεημοσύνην. Ὁ ὑποτακτικός, βλέπων τὴν ἀφειδώλευτον αὐτὴν χειρονομίαν τοῦ Γέροντος καὶ φοβηθεὶς μήπως ἐξαντληθῶσι τὰ ἀποθέματα, λέγει εἰς τὸν Γέροντα:

— Δῶσε μου τὸ μερίδιον τῶν ἄρτων μου καὶ σὺ κάμε ὅ,τι θέλεις μὲ τοὺς ἰδικούς σου.

3. Ὁ Γέρων διεμοίρασε πράγματι τοὺς ἄρτους καὶ συνέχισε μετὰ τῆς αὐτῆς ἀγογγύστου προθυμίας τὴν ἐλεημοσύνην. Ἐν τῷ μεταξὺ πληροφορηθέντες τὸ φιλεύσπλαγχνον τοῦ Γέροντος προσήρχοντο ἀκόμη περισσότεροι. Ὁ Θεὸς βλέπων τὴν ἀγαθὴν προαίρεσιν τοῦ Ἀσκητοῦ εὐλόγησε τοὺς ἄρτους, εἰς τρόπον ὥστε, ὅσον διεμοίραζεν εἰς τοὺς πτωχούς, ἐπὶ τοσοῦτον ἐπληθύνοντο. Ὁ ὑποτακτικὸς κατέφαγεν ὅλους τοὺς ἄρτους του καὶ ἐπανῆλθεν εἰς τὸν Γέροντα, λέγων:

—Ἐπειδή, Γέροντα, ἔχω μόνον ὀλίγα ψωμάκια καὶ θὰ σωθοῦν καὶ αὐτὰ ἐντὸς ὀλίγου, πάρε με πάλιν, νὰ ζοῦμε μαζὶ κοινοβιακῶς.

—Ὅπως θέλεις, θὰ κάμω—ἀπήντησεν ὁ Γέρων.

Ἐκάθησαν λοιπὸν καὶ πάλιν ἀπὸ κοινοῦ.

4. Πάλιν ἤρχοντο πολλοὶ καὶ κανεὶς δὲν ἔφευγε, χωρὶς νὰ πάρῃ βοήθημα· ὁ ἀδελφὸς μὲ ἀγωνίαν ἔβλεπε νὰ ἐλαττώνωνται οἱ ἄρτοι, ἕως οὗ ἔλειψαν τελείως. Κατὰ σύμπτωσιν ἔρχεται τότε ἕνας πτωχός, διὰ νὰ ζητήσῃ ἐλεημοσύνην. Ὁ Γέρων ἀπευθυνόμενος πρὸς τὸν ὑποτακτικόν του λέγει:

—Ἀδελφέ μου, κάμε ἀγάπην καὶ δῶσε εἰς τὸν πτωχὸν αὐτὸν ἀδελφόν μας ἐλεημοσύνην.

— Δὲν ὑπάρχει τίποτε πλέον, Γέροντά μου, — τοῦ ἀπαντᾷ ὁ ὑποτακτικός.

— Τέκνον μου — ἐπανέλαβεν ὁ Γέρων — πήγαινε καὶ ἐρεύνησε μετὰ προσοχῆς.

Πράγματι λοιπὸν εἰσῆλθεν εἰς τὸ κελλίον, ποὺ ἐτοποθέτουν τοὺς ἄρτους, καὶ κατάπληκτος τὸ εἶδε γεμᾶτον ἄρτους. Μόλις εἶδε τὸ θαῦμα αὐτό, ἐφοβήθη καὶ ἐπῆρε καὶ ἔδωσεν εἰς τὸν πτωχόν. Ἐδόξασε δὲ τὸν Θεὸν διαπιστώσας τὴν ἀρετὴν καὶ τὴν πίστιν τοῦ Γέροντός του.

5. Κάποτε ἕνας Μανιχαῖος ἐβάδιζε πεζοπορῶν εἰς τὴν ἔρημον, διὰ νὰ μεταβῇ εἰς κάποιον συμπατριώτην του. Ἐν τῷ μεταξὺ ὅμως ἐνύκτωσεν εἰς τὴν ἔρημον καὶ δὲν εἶχε μέρος νὰ παραμείνῃ. Ἐστενοχωρεῖτο λοιπὸν καὶ δὲν ἤξευρε τί νὰ κάμῃ. Εἰς τὴν περιοχὴν ἐκείνην εἶχε τὸ ἀσκητήριόν του ἕνας ὀρθόδοξος Ἀσκητής. Ὁ Ἀσκητὴς αὐτὸς ἐγνώριζε τὸν Μανιχαῖον καθὼς καὶ τὴν αἵρεσιν τὴν ὁποίαν ἐπρέσβευε.

6. Ὁ Μανιχαῖος τότε ἐσκέφθη τὸ ἀσκητήριον τοῦ Ὀρθοδόξου, ὡς τὸ μόνον καταφύγιον. Πῶς ὅμως νὰ ζητήσῃ καταφύγιον ἀπὸ ἕνα ἀντίπαλόν του; Ἄραγε θὰ τὸν ἐδέχετο, ἢ μήπως, λόγῳ τῆς διαφορᾶς τῆς πίστεως, θὰ τὸν ἀπεδίωκε; Πιεζόμενος ὅμως ὑπὸ τῆς ἀδυσωπήτου ἀνάγκης καὶ μὴ ἔχων ποῦ νὰ καταφύγῃ, ἀπεφάσισεν ἐπὶ τέλους νὰ κτυπήσῃ τὸ κελλάκι τοῦ Ὀρθοδόξου Ἀναχωρητοῦ. Ὁ Γέρων ἤνοιξε καὶ μόλις τὸν εἶδε, τὸν ἐδέχθη μετὰ προθυμίας καὶ χαρᾶς, καίτοι τὸν ἀνεγνώρισεν, ὅτι ἦτο Μανιχαῖος. Τὸν ὑπεχρέωσε μάλιστα νὰ φάγῃ, νὰ ξεκουρασθῇ καὶ τὸν ἔβαλε νὰ κοιμηθῇ. Ὁ Μανιχαῖος ὄχι μόνον διέφυγε τὸν κίνδυνον τῆς ἐρήμου, ἐν ὥρᾳ νυκτός, ἀλλὰ καὶ ἀνεπαύθη σωματικῶς καὶ ψυχικῶς, χάρις εἰς τὴν ἀγάπην τοῦ Ὀρθοδόξου Ἀναχωρητοῦ.

7. Ἤρχισε λοιπὸν ὁ Μανιχαῖος νὰ σκέπτεται τὴν συμπάθειαν καὶ εὐγένειαν, ποὺ ἐπέδειξε πρὸς αὐτὸν ὁ Ὀρθόδοξος Γέρων Μοναχός, χωρὶς νὰ λάβῃ ὑπ' ὄψιν του τὴν θρησκευτικὴν διαφοράν, ποὺ τοὺς ἐχώριζε. Κατέληξε λοιπὸν εἰς τὸ συμπέρασμα, ὅτι ὁ Ὀρθόδοξος Ἀσκητής, διὰ νὰ τοῦ ἐπιδείξῃ τόσην ἀγάπην, ἦτο πράγματι ἄνθρωπος τοῦ Θεοῦ. Τὸ πρωῒ λοιπὸν ἔβαλε μετάνοιαν εἰς τὸν Ἀσκητήν, τὸνηὐχαρίστησε καὶ τοῦ εἶπε:

— Γέροντά μου, καὶ ἐγὼ ἀπὸ σήμερον ἐπιστρέφω εἰς τὴν Ἁγίαν Ὀρθοδοξίαν.

Ἀπὸ τότε δὲ παρέμεινε πλησίον του.

8. Ὁ Ἀββᾶς Θεόδωρος τῆς Φέρμης καὶ ὁ Ἀββᾶς Παμβὼ ἀντήλλαξαν κάποτε τὸν ἑξῆς διάλογον.


Ἀββᾶς Θεόδωρος: Εἰπέ μου λόγον σωτηρίας!

Ὁ Ἀββᾶς Παμβὼ μὲ μεγάλην δυσκολίαν τοῦ ἀπήντησε, διότι δὲν τοῦ ἤρεσεν νὰ κάμνῃ τὸν διδάσκαλον εἰς τοὺς ἄλλους.

Ἀββᾶς Παμβώ: Θεόδωρε, πήγαινε εἰς τὴν εὐχὴν τοῦ Θεοῦ καὶ νὰ ἐλεῇς ὅλους. Μὴ λησμονῇς, ὅτι ὁ ἐλεῶν ἀποκτᾷ ἠθικὸν θάρρος, διὰ νὰ πλησιάσῃ τὸν Θεόν.

9. Ἕνας Μοναχὸς ἀπὸ τὰς Θήβας τῆς Αἰγύπτου (ὄχι τῆς Βοιωτίας) ἔλαβεν ἀπὸ τὸν Θεὸν τὸ χάρισμα τῆς εὐσπλαγχνίας καὶ τῆς ἐξοικονομήσεως τῶν ἀναγκῶν τῶν πτωχῶν.

Κάποτε λοιπόν, εὑρισκόμενος εἰς ἕνα χωρίον, ἔδιδεν ἐξ ἀγάπης βοηθήματα εἰς τοὺς πτωχούς. Μεταξὺ ἄλλων προσῆλθε καὶ μία γυνὴ


Ὁ ἈΒΒᾶC ΘΕΟΔΩΡΟC
ὁ τῆς φέρμης

ἡ ὁποία ἐφοροῦσε παλαιὰ φορέματα. Ἡ ἐμφάνισίς της προεκάλεσε τὸν οἶκτον τοῦ Μοναχοῦ καὶ ἐκίνησε τὴν χεῖρα του, διὰ νὰ τῆς προσφέρῃ μεγαλυτέραν ποσότητα βοηθημάτων· ἀντιθέτως ὅμως πρὸς τὴν θέλησίν του, ἡ χείρ του συνέκλεισεν εἰς τὸν σάκκον μικρὰν ποσότητα, τὴν ὁποίαν καὶ προσέφερε. Μετ' ὀλίγον προσῆλθε πάλιν καὶ μία ἄλλη γυνή, ἡ ὁποία ἦτο ἐνδεδυμένη μᾶλλον πολυτελῶς, ὥστε νὰ μὴ δημιουργῇ τὴν ἐντύπωσιν, ὅτι εἶχεν ἀνάγκην βοηθείας. Ὁ Μοναχὸς μόλις ἐπρόσεξε τὴν καλὴν κατάστασιν τῶν ἱματίων της ἐκίνησε τὴν χεῖρα του, μὲ πρόθεσιν νὰ τῆς προσφέρῃ ἐλάχιστα. Περιέργως ὅμως, ἐνῷ ἤθελε νὰ τῆς προσφέρῃ ὀλίγα, ἡ χείρ του ἐξῆλθεν ἐκ τοῦ σάκκου συναποκομίζουσα μεγάλην ποσότητα βοηθημάτων.

10. Ἡ ἀνεξάρτητος ἀπὸ τὴν βούλησίν του κίνησις τῆς χειρός του, ὥστε νὰ προσφέρῃ εἰς τὰς δύο γυναῖκας ποσότητας βοηθημάτων ἀντιθέτους τῆς φαινομενικῆς καταστάσεώς των, ἐθεωρήθη ἀπὸ τὸν Μοναχόν, καὶ δικαίως, ὡς κρίσις τοῦ Θεοῦ. Δι' αὐτὸ ἐπεδίωξε νὰ πληροφορηθῇ τὴν πραγματικὴν κατάστασιν τῶν δύο αὐτῶν γυναικῶν! Τί ἔμαθε λοιπόν; Ἡ γυνή, ποὺ ἐφοροῦσε τὰ παλαιὰ ἐνδύματα, τὸ ἔκαμε διὰ νὰ τὴν λυποῦνται χωρὶς νὰ ἔχῃ καὶ τόσην ἀνάγκην.

Ἐνῷ ἡ γυνή, ποὺ ἔφερε καλὰ ἐνδύματα, προήρχετο ἀπὸ καλὴν οἰκογένειαν καὶ ἐπτώχευσεν, ἔχουσα ὡς ἐκ τούτου πραγματικὴν ἀνάγκην βοηθείας. Τὰ δὲ καλὰ ἐνδύματα τὰ ἐφοροῦσεν, ἀπὸ ὑπόληψιν πρὸς τὸν ἑαυτόν της καὶ τὸν Μοναχόν.

Ι'. Τοῦ Ἁγίου Ἡσαΐου

ΕΑΝ εὐεργετήσῃς πτωχόν, μὴ καλέσῃς αὐτὸν εἰς πάρεργόν σου, ἵνα μὴ ἀπολέσῃς τὴν εὐεργεσίαν, ἣν ἐποίησας μετ' αὐτοῦ.

Ἑρμηνεία

ΟΤΑΝ ἐλεήσῃς ἕνα πτωχόν, μὴ τοῦ ζητήσῃς νὰ σὲ βοηθήσῃ εἰς τὰς ἐργασίας σου, διὰ νὰ μὴ πάῃ χαμένον τὸ καλὸν τῆς ἐλεημοσύνης, ποὺ ἔκανες.

ΙΑ'. Τοῦ Ἀββᾶ Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· πῶς δύναμαι, Πάτερ, αἰτηθεὶς πρᾶγμα παρά τινος μετὰ ἱλαρότητος παρασχεῖν αὐτῷ, τὴν ἀρχὴν ἀμφιβάλλων; ὡς γὰρ μετὰ βίας παρέχω, καὶ εὑρίσκεται ἡ ψυχή μου σκληρὰ καὶ ἀπίαντος. Ἀπεκρίθη αὐτῷ ὁ Γέρων· ἐὰν μάθῃς ὅτι κατὰ χρείαν αἰτεῖ, δὸς αὐτῷ χαίρων ὡς ἐκ τῶν τοῦ Θεοῦ παρέχων, καὶ αὕτη ἐστὶν ἡ ἱλαρότης· ἐὰν δὲ μάθῃς, ὅτι οὐ χρείαν ἔχει, μὴ δῷς αὐτῷ, ἀλλὰ εἰπέ· ἐντολὴν ἔχω παρὰ τοῦ Ἀββᾶ μὴ δοῦναι τίποτε τῷ μὴ χρείαν ἔχοντι, καὶ οὐκ ἔστι τοῦτο σκληρότης.

2. Ἔφη ὁ ἀδελφός· ἐὰν διδῶ ποτέ τινι τὴν χρείαν αὐτοῦ, καὶ ὁρῶ, ὅτι σκνιφεία ὀχλεῖ μοι, ὥστε μὴ δοῦναι μικρὸν περισσόν, τί ποιήσω; δώσω πλεῖον τῆς χρείας διὰ τὴν σκνιφείαν, ἢ μόνον σπουδάσω μὴ δοῦναι ἔλαττον τῆς χρείας; ἐὰν δὲ κατ' αἰσχύνην ὡς ἀνθρωπαρεσκείας ἢ κενοδοξίας θέλῃ ὁ λογισμὸς δοῦναι μι-

κρὸν περισσόν, ἄρα διὰ τὸ πάθος δώσω παραμικρόν, ἤγουν ἔλαττον τῆς χρείας, ἢ τὴν χρείαν διὰ τὴν ἐντολήν.

3. Ἀπεκρίθη ὁ Γέρων· ἐὰν θλίβῃ σε ἡ σκνιφεία δοῦναι τὴν χρείαν τῷ πλησίον, πρὸς τὸ πρᾶγμα ποίησον· ἐὰν ἔχῃς πολύ, δὸς ὀλίγον περισσόν· ἐὰν δὲ ὀλίγον, τὴν χρείαν δὸς μετὰ ἀκριβείας· ἐὰν δὲ κατὰ κενοδοξίαν ἢ ἀνθρωπαρέσκειαν πολεμῇ σε ὁ λογισμὸς δοῦναι, μὴ δώσῃς παρά, ἤτοι πλέον ἢ ἔλαττον τῆς χρείας, ἀλλὰ τὴν χρείαν μετὰ ἀκριβείας.

Ἑρμηνεία

ΕΝΑΣ ἀδελφὸς ὑπέβαλεν εἰς ἕνα Γέροντα τὰς ἑξῆς ἐρωτήσεις.

— Πάτερ μου, ὅταν μοῦ ζητήσῃ κανεὶς ἕνα πρᾶγμα καὶ ἀμφιβάλλω, ὅτι ἔχει ἀνάγκην αὐτοῦ, αἰσθάνομαι μίαν ψυχικὴν σκληρότητα καὶ μετὰ βίας προσφέρω τὸ αἰτηθέν· εἰς τὴν περίπτωσιν αὐτὴν καλῶς ἐνεργῶ, ἢ πρέπει μὲ ἱλαρότητα νὰ τοῦ τὸ προσφέρω;

— Ἐὰν πληροφορηθῇς—ἀπήντησεν ὁ Γέρων—ὅτι ἔχει ἀνάγκην ὁ ἀδελφὸς αὐτός, τότε μὲ χαρὰν νὰ τοῦ δώσῃς αὐτὰ ποὺ σοῦ ἐζήτησεν· αὐτὸ εἶναι ἡ ἱλαρότης. Ἐὰν πάλιν μάθῃς, ὅτι δὲν ἔχει ἀνάγκην, μὴ τοῦ δώσῃς· νὰ τοῦ εἰπῇς ὅμως, ὅτι δὲν σοῦ δίδω, διότι ἔχω ἐντολὴν ἀπὸ τὸν Ἀββᾶν νὰ μὴ δίδω εἰς ἐκεῖνον, ποὺ δὲν ἔχει ἀνάγκην. Αὐτὸς ὁ τρόπος δὲν εἶναι σκληρότης.

2. Ἠρώτησε πάλιν ὁ ἀδελφός:

— Ἐὰν προσφέρω ἐλεημοσύνην εἰς αὐτόν, ποὺ πράγματι ἔχει ἀνάγκην, καὶ δοκιμάσω φιλαργυρίαν, ὥστε νὰ μὴ τοῦ δώσω κάτι περισσότερον, τί πρέπει νὰ κάμω; Νὰ δώσω περισσότερον, διὰ νὰ κατανικήσω τὴν φιλαργυρίαν ἢ νὰ προσπαθήσω νὰ μὴ δώσω ὀλιγώτερον τῆς ἀνάγκης τοῦ αἰτήσαντος; Ἐὰν πάλιν ὁ λογισμὸς τῆς κενοδοξίας μὲ προτρέπῃ νὰ δώσω περισσότερα καὶ ἐνεργῶ οὕτω ἢ ἀπὸ ἐντροπὴν ἢ διὰ νὰ φανῶ εὐχάριστος εἰς τοὺς ἀνθρώπους, τί νὰ κάμω; νὰ δώσω ὀλιγώτερα, διὰ νὰ κατανικήσω τὸ πάθος, ὁπόταν δὲν ἱκανοποιῶ τὰς ἀνάγκας τοῦ αἰτοῦντος, ἢ νὰ δώσω ὅσα χρειάζεται ὁ συνάνθρωπός μου, διὰ νὰ ἐφαρμόσω τὴν ἐντολήν;

3. Ἀπεκρίθη ἐκ δευτέρου ὁ Γέρων:

— Ἐὰν ἐνοχλεῖσαι ἀπὸ φιλαργυρίαν κατὰ τὴν ὥραν τῆς ἐλεημοσύνης πρὸς τὸν ἔχοντα τὴν ἀνάγκην σου πλησίον, νὰ ἐνεργήσῃς συμφώνως πρὸς τὴν δυνατότητα, ποὺ ἔχεις· δηλαδὴ ἐφ᾽ ὅσον ἔχεις περισσότερα, νὰ δώσῃς περισσότερα, ἐφ᾽ ὅσον ὅμως ἔχεις ὀλίγα, τότε νὰ περιορισθῇς νὰ προσφέρῃς μόνον αὐτά, ποὺ ἔχει ἀνάγκην. Ἐὰν πάλιν σὲ πολεμοῦν οἱ λογισμοὶ τῆς κενοδοξίας ἢ τῆς ἀνθρωπαρεσκείας, διὰ νὰ προσφέρῃς ὀλιγώτερα ἢ περισσότερα ποσά, σὺ νὰ περιορίσῃς τὴν ἐλεημοσύνην σου εἰς τὰ ὅρια τῆς πραγματικῆς ἀνάγκης τοῦ αἰτοῦντος, καὶ νὰ μὴ δώσῃς οὔτε περισσότερα οὔτε ὀλιγώτερα.

ΥΠΟΘΕΣΙΣ ΜϚ΄

Ὅτι οὐ δεῖ τὸν Μοναχὸν προφάσει ἐλεημοσύνης χρήματα ἔχειν, ἢ διδόμενα δέχεσθαι, καὶ τίς ἡ Μοναχῷ πρέπουσα ἐλεημοσύνη.

Δὲν πρέπει ὁ Μοναχός, μὲ τὴν πρόφασιν τῆς ἐλεημοσύνης, νὰ ἔχῃ χρήματα, ἀλλ᾽ οὔτε καὶ νὰ λαμβάνῃ προσφερόμενα διὰ τὸν σκοπὸν αὐτόν. Ποία ἐλεημοσύνη ταιριάζει εἰς τὸν Μοναχόν.

Α΄. Ἐν τῷ Βίῳ τῆς Ἁγίας Συγκλητικῆς

ΕΛΕΓΕΝ ἡ μακαρία Συγκλητική, ὅτι οὐ δεῖ τὸν Ἀσκητὴν ἀγωνίζεσθαι, ἵνα ἔχῃ ἐλεεῖν· ἡ γὰρ σωματικὴ αὕτη ἐλεημοσύνη κοσμικοῖς προστέτακται· ἄλλως τε δὲ οὐ τοσοῦτον ὥρισται ἡ ἐλεημοσύνη διὰ τὸ τραφῆναι τοὺς πένητας, ὅσον διὰ τὸ διδάξαι τοὺς ἀνθρώπους τὴν ἀγάπην καὶ τὸ φιλάλληλον.

2. Ὁ γὰρ Θεός, ὁ τὸν πλούσιον διοικῶν, καὶ τὸν πένητα τρέφειν δύναται· ὥσπερ γὰρ ἡ τῆς ἀκροβυστίας τοῦ σώματος περιτομή, τοῦ τῆς καρδίας καλύμματος τὴν ἀφαίρεσιν ἐδήλου συμβολικῶς, οὕτω καὶ ἡ ἐλεημοσύνη, διὰ τὸ ἐμποιῆσαι τοῖς ἀνθρώποις τὴν εἰς ἀλλήλους ἀγάπην ὡρίσθη· οἷς οὖν ἡ ἀγάπη ἐκ θείας Χάριτος προσεγένετο, περιττὴ ἡ ἐλεημοσύνη.

3. Οὐ διαβάλλουσα δὲ τὸν ἔλεον ταῦτα λέγω, ἀλλὰ τὸ καθαρὸν καὶ ὑψηλὸν τῆς ἀκτημοσύνης δεικνύουσα. Μὴ γὰρ τὸ μεῖζον ὑπὸ τοῦ ἐλάττονος κωλυέσθω; Ἐν ὀλίγῳ τὸ μικρὸν κατώρθωσας, πάντα γὰρ ὑφ᾽ ἓν δέδωκας, πρὸς τὸ μεῖζον λοιπὸν ἀνάνευσον τὴν ἀγάπην.

4. Σταυροφόρος γὰρ τυγχάνεις· σὺ τὴν ἐλευθέραν φωνὴν ὀφείλεις εἰπεῖν, τό, ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· σύ, τὴν ἀπαῤῥησίαστον γλῶσσαν τῶν Ἀποστόλων ἀναλαβεῖν καὶ εἰπεῖν· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι.

5. Καὶ τοὺς κοσμικοὺς δὲ οὐχ ἁπλῶς καὶ ἀδιακρίτως δεῖ τὴν ἐλεημοσύνην ἐνδείκνυσθαι, ἀλλὰ τὸν Ἀβραὰμ μιμεῖσθαι, καὶ δι᾽ ἑαυτῶν ἐνδείκνυσθαι τὸ φιλάνθρωπον· καὶ γὰρ καὶ ὁ δίκαιος ἐκεῖνος φιλοξενῶν, μετὰ τῆς ἑστίας καὶ τὴν γνώμην παρέθηκεν· ἕστη γάρ φησιν, ὑπηρετῶν, καὶ τὴν γυναῖκα ὁμοίως προσεκαλέσατο, καίπερ τοσούτους ἔχων οἰκέτας· ἀληθῶς καὶ οἱ τοιοῦτοι μισθὸν τῆς ἐλεημοσύνης ἕξουσι, καὶ ἐν τῷ δευτέρῳ τυγχάνουσι τάγματι.

6. Ὁ γὰρ Κύριος, δημιουργήσας τὴν οἰκουμένην, τοῖς ἐν αὐτῇ κατοικοῦσι δύο ἔθετο τάξεις· τοῖς μὲν γὰρ σεμνῶς βιοῦσι, διὰ τὴν παιδοποιΐαν τὸν γάμον προσέταξε, τοῖς δὲ διὰ καθαρότητα βίου τὴν ἁγνείαν παρέδωκεν, ἰσαγγέλους αὐτοὺς ποιῶν· καὶ τοῖς μὲν νόμους καὶ ἐκδικίας διδασκαλίας παρέθετο, τοῖς δὲ φη-

σιν, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω· καὶ πρὸς μὲν ἐκείνους φησίν· ἐργάση τὴν γῆν· πρὸς ἡμᾶς δὲ μὴ μεριμνήσητε περὶ τῆς αὔριον.

7. Καὶ ὥς περ οἱ κατὰ κόσμον δεσπόται διαφόρους οἰκετῶν ὑπηρεσίας κέκτηνται, καὶ τοὺς μὲν εἰς τοὺς ἀγροὺς πέμπουσι πρὸς τὸ τὴν γῆν ἐργάζεσθαι, καὶ τὴν τοῦ γένους διαδοχὴν φυλάττειν, τοὺς δὲ ἐξ αὐτῶν γενομένους; ὧν ἐπιεικεῖς καὶ περικαλλεῖς θεάσωνται, ἐν τοῖς ἰδίοις οἴκοις προσλαμβάνονται πρὸς τὴν ἑαυτῶν ὑπηρεσίαν, οὕτω καὶ ὁ Κύριος, τοὺς μὲν τὸν σεμνὸν γάμον ἑλομένους, ἐν τῷ τοῦ κόσμου χωρίῳ ἔθετο, τοὺς δὲ τούτων βελτίονας, ὅσοι δεξιᾶς τετυχήκασι προαιρέσεως, καὶ τῆς ἁγνείας ἐρῶσιν, Ἑαυτῷ παρέστησεν εἰς λειτουργίαν.

8 Οὗτοι πάντων τῶν γηΐνων πραγμάτων ἀλλότριοι τυγχάνουσι· τῆς γὰρ δεσποτικῆς τραπέζης ἠξίωνται· οὐ μεριμνῶσι περὶ ἀμφιέσεως ἢ τινος ἄλλου ὑλικοῦ· Χριστὸν γὰρ ἐνδέδυνται, κἀκεῖνον πάντων προνοητὴν κέκτηνται· καὶ τὸ ἐπάγγελμα αὐτῶν οὐδὲν ἄλλο ἐστίν, ἢ ἀποταγὴ βίου καὶ μελέτη θανάτου.

9. Ὥς περ οὖν οἱ νεκροὶ οὐκέτι ἐνεργοῦσι τῷ σώματι, οὕτω καὶ ἡμεῖς· ὅσα μὲν ἦν ἐπὶ τοῦ σώματος ἐπιτελέσαι, πεποιήκαμεν ὅτε ἦμεν νήπιοι· νῦν δέ, κατὰ τὸν Ἀπόστολον, ἑαυταῖς τὸν κόσμον σταυρώσασαι, καὶ ἑαυτὰς τῷ κόσμῳ, τῇ ψυχῇ ζῶμεν αὐτῇ. Ἐπιδείξωμεν οὖν τὰς ἀρετάς, καὶ κατὰ διάνοιαν ἐλεήσωμεν. Μακάριοι γὰρ οἱ ἐλεήμονες τῇ ψυχῇ.

10. Ὥς περ γὰρ ἀλλαχοῦ λέγει, ὅτι ὁ ἐπιθυμήσας κάλλους καὶ δίχα τῆς πράξεως ἀμάρτυρον τὴν ἁμαρτίαν εἰργάσατο, οὕτω κἀνταῦθα ἡ ἐλεημοσύνη κατὰ διάνοιαν ἔρρωται, τῆς γνώμης τὴν πρᾶξιν τελούσης, κἂν διὰ τὴν ἀπορίαν τοῦ σώματος οὐκ ἐπράχθη.

Ἑρμηνεία

Η ΜΑΚΑΡΙΑ ΣΥΓΚΛΗΤΙΚΗ ἔδιδε τὰς ἑξῆς συμβουλὰς διὰ τὴν ἐλεημοσύνην ποὺ πρέπει νὰ κάμνουν οἱ Μοναχοί.

Δὲν πρέπει—ἔλεγεν—ὁ Ἀσκητὴς νὰ ἀγωνίζεται νὰ ἀποκτήσῃ ὑλικὰ ἀγαθὰ διὰ νὰ προσφέρῃ ἐλεημοσύνην. Ἡ ἐλεημοσύνη, ποὺ ἔχει σκοπὸν τὴν θεραπείαν τῶν σωματικῶν ἀναγκῶν, πείνης, δίψης, γυμνότητος, ἔχει διαταχθῆ διὰ τοὺς κοσμικούς. Ἐκτὸς ὅμως αὐτοῦ ἡ ἐλεημοσύνη δὲν ἔχει ὁρισθῆ τόσον διὰ νὰ τρέφωνται οἱ πτωχοί, ὅσον διὰ νὰ διδαχθοῦν ἐμπράκτως οἱ ἄνθρωποι τὴν ἀγάπην καὶ τὴν μεταξύ των φιλίαν.

2. Ὁ Θεός, ποὺ διοικεῖ τὰ πλούτη τοῦ πλουσίου, εἶναι εἰς θέσιν νὰ διαθρέψῃ καὶ τὸν πτωχόν· ἀλλ' ὅπως ἀκριβῶς ἡ περιτομὴ τῶν Ἑβραίων ἦτο μία πρᾶξις συμβολικὴ διὰ τὴν ἀφαίρεσιν τοῦ καλύμματος τῆς ἁμαρτίας ἀπὸ τὴν καρδίαν, τοιουτοτρόπως καὶ ἡ ἐλεημοσύνη ἔχει σκοπὸν νὰ ἐμβάλῃ εἰς τὴν καρδίαν τῶν ἀνθρώπων τὴν πρὸς τὸν πλησίον ἀγάπην. Εἰς ὅσους λοιπὸν ἀνθρώπους ἡ ἀγάπη αὐτὴ ἔχει ἀναπτυχθῆ μὲ τὴν δύναμιν τῆς θείας Χάριτος εἶναι περιττὴ ἡ ἐλεημοσύνη.

3. Δὲν τὰ λέγω αὐτά, διὰ νὰ ὑποτιμήσω καὶ νὰ κατηγορήσω τὴν συμπάθειαν καὶ τὴν εὐσπλαγχνίαν πρὸς τοὺς πάσχοντας, μὴ γένοιτο! ἀλλὰ διὰ νὰ ἐξάρω τὴν ἀξίαν τῆς ἀκτημοσύνης διὰ τὸν Μοναχόν. Μήπως εἶναι ποτὲ δυνατὸν νὰ ἐμποδισθῇ τὸ μεγαλύτερον ἀπὸ τὸ μικρότερον; Δι' ὀλίγης προσπαθείας ἠδυνήθης νὰ κατορθώσῃς μικρὰν νίκην· ὅλον τὸν πόθον τῆς ψυχῆς σου τὸν ἔχεις ἀφιερώσει εἰς ἕνα σκο-

πόν, διὰ τὸν ὁποῖον προσέφερες τὰ πάντα· δι' αὐτὸ ὕψωσε τὸ βλέμμα τῆς ψυχῆς σου πρὸς τὸ θεῖον ἰδανικὸν τῆς ἀγάπης.

4. Σύ, ὁ Μοναχός, τὰ ἔχεις ἐγκαταλείψει ὅλα καὶ εἶσαι ἕνας σταυροφόρος διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ. Ὀφείλεις λοιπὸν νὰ διακηρύξῃς ὡς ἐλεύθερος καὶ ἀπηλλαγμένος ἀπὸ ὅλα· «Ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι» (Λουκ. ιη', 28). Σὺ πρέπει, ὡς ἐκ τοῦ σκοποῦ τὸν ὁποῖον ἐπιδιώκεις, νὰ ἐπαναλάβῃς τὴν θαρραλέαν διαβεβαίωσιν τῶν Ἁγίων Ἀποστόλων· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι» (Πράξ. γ', 6).

5. Καὶ οἱ κοσμικοὶ πάλιν δὲν πρέπει ἔτσι ἁπλῶς καὶ χωρὶς διάκρισιν νὰ ἀσκοῦν τὴν ἐλεημοσύνην, ἀλλ' ἐπιβάλλεται νὰ μιμηθοῦν τὸν Ἀβραὰμ καὶ διὰ τῆς ψυχικῆς των ἐν γένει διαθέσεως, ὄχι μόνον διὰ τῆς παγερᾶς προσφορᾶς ὑλικῶν βοηθημάτων, νὰ φανερώνουν τὴν ἀγάπην των πρὸς τὸν ἄνθρωπον.

Ὅπως εἶναι γνωστόν, ὁ εὐλογημένος ἐκεῖνος ἄνθρωπος, ὁ Ἀβραάμ, ὁσάκις ἐφιλοξένει τοὺς προσερχομένους εἰς αὐτόν, δὲν τοὺς προσέφερε μόνον φιλοστόργως τὰ ὑλικὰ ἀγαθὰ τοῦ οἴκου του, ἀλλὰ τοὺς περιέβαλλε καὶ μὲ μίαν εἰλικρινῆ καὶ βαθεῖαν καλωσύνην. Δι' αὐτό, ὅπως διηγεῖται ἡ Παλαιὰ Διαθήκη, ὁ ἴδιος μετὰ τῆς συζύγου του, τῆς Σάρρας, τοὺς ἐπεριποιεῖτο, ἂν καὶ εἶχεν ὑπὸ τὴν ἐξουσίαν του τόσους ὑπηρέτας. Πράγματι οἱ ἐλεοῦντες, ὅπως ὁ Ἀβραάμ, θὰ ἀπολαύσουν τὸν μισθὸν ἐκ τῆς ἐλεημοσύνης των καὶ εἶναι ἐντεταγμένοι εἰς τὸ δεύτερον τάγμα.

6. Ὅταν ὁ Θεὸς ἐδημιούργησε τὴν οἰκουμένην, κατέταξε τοὺς ἀνθρώπους εἰς δύο τάξεις. Ἡ πρώτη τάξις εἶναι οἱ ἄνθρωποι, ποὺ ζοῦν μὲ σεμνότητα καὶ τοὺς διώρισεν ὡς σκοπὸν ἐπὶ γῆς τὴν διὰ τοῦ γάμου παιδοποιΐαν. Ἡ δευτέρα τάξις εἶναι ἐκεῖνοι, ποὺ ζοῦν καθαρὸν καὶ ἁγνὸν βίον, οἱ Μοναχοί. Αὐτοὺς τοὺς κατέστησεν ἰσαγγέλους.

Εἰς τὴν πρώτην τάξιν τῶν ἀνθρώπων παρέδωσε τοὺς νόμους, τὰ μέσα νὰ ὑποστηρίζουν τὸ δίκαιόν των, τὰς διαφόρους ἠθικὰς διδασκαλίας. Τὴν ὑπεράσπισιν τῆς δευτέρας τάξεως καὶ ὅλας τὰς φροντίδας ἀνέλαβεν ὁ ἴδιος ὁ Θεός· «Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω» (Ρωμ. ιβ', 19). Εἰς τοὺς κοσμικούς, ποὺ ἀποτελοῦν τὴν πρώτην τάξιν, παραγγέλλει· «Ἐργάζεσθε τὴν γῆν» (Γεν. γ', 23)· ἐνῷ ἡμᾶς, τοὺς Μοναχούς, ποὺ ἀποτελοῦμεν τὴν δευτέραν τάξιν, διατάσσει νὰ μὴ μεριμνῶμεν περὶ τῆς αὔριον [1].

7. Ὅπως δὲ ἀκριβῶς οἱ κοσμικοὶ ἄρχοντες ἔχουν κατατάξει τοὺς δούλους των εἰς διαφόρους ὑπηρεσίας, ἄλλους δηλαδὴ τοὺς στέλλουν εἰς τοὺς ἀγροὺς διὰ νὰ ἐργάζωνται καὶ τοὺς ἐπιτρέπουν νὰ ὑπανδρεύωνται καὶ νὰ ἀποκτοῦν τέκνα, ἄλλους πάλιν ἐξ αὐτῶν, ὅταν τοὺς ἴδουν νὰ ἔχουν καλοὺς τρόπους καὶ νὰ εἶναι ἐμφανίσιμοι σωματικῶς,

1) «Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον» (Ματθ. ς', 34).

τοὺς κατατάσσουν εἰς τοὺς εὐνούχους καὶ τοὺς προσλαμβάνουν εἰς τοὺς οἴκους των, διὰ τὰς οἰκιακὰς ὑπηρεσίας, τοιουτοτρόπως καὶ ὁ Κύριος τῶν ὅλων κατέταξε τοὺς ἀνθρώπους· αὐτούς, ποὺ ἐλευθέρως ἐξέλεξαν τὸν σεμνὸν γάμον τοὺς ἐγκατέστησεν εἰς τὴν περιοχὴν τοῦ κόσμου· ὅσοι πάλιν προετίμησαν ἀνωτέραν καὶ πνευματικωτέραν ζωὴν καὶ ἐπέδειξαν φιλομόναχον προαίρεσιν, ὡς ἀγαπήσαντας τὴν σωματικὴν καὶ ψυχικὴν ἁγνότητα, τοὺς ἐγκατέστησε πλησίον Του, διὰ νὰ Τὸν ὑμνοῦν καὶ Τὸν ὑπηρετοῦν.

8. Αὐτοί, ποὺ ἐκάλεσε πλησίον Του διὰ τοῦ μοναχικοῦ βίου, ἔχουν ἀποξενωθῆ ἀπὸ ὅλα τὰ γήϊνα πράγματα, διότι ἔχουν ἀξιωθῆ νὰ λαμβάνουν μέρος εἰς τὴν δεσποτικὴν τράπεζαν. Δὲν φροντίζουν αἱ ἐκλεκταὶ αὐταὶ ψυχαὶ δι' ἐνδύματα ἢ ἄλλα ὑλικὰ πράγματα, διότι ἔχουν ἐνδυθῆ τὸν Χριστὸν καὶ ἔχουν ὡς φροντιστήν των δι' ὅλας τὰς ἀνάγκας τὸν Χριστόν. Ἡ διὰ βίου ἀποστολή των συνίσταται εἰς τὴν φυγὴν ἀπὸ τὴν ὑλικὴν ζωὴν καὶ τὴν συνεχῆ μελέτην τοῦ θανάτου.

9. Ὅπως λοιπὸν ἀκριβῶς οἱ νεκροὶ δὲν φροντίζουν πλέον διὰ τὸ σῶμα των, τοιουτοτρόπως καὶ ἡμεῖς δὲν πρέπει νὰ φροντίζωμεν διὰ τὰς ὑλικὰς ἀνάγκας. Ὅσα ἐπρόκειτο νὰ κάμωμεν διὰ τὸ σῶμα μας, τὰ ἔχομεν κάμει ὅταν εἴμεθα νήπια· τώρα πλέον ὅμως ζῶμεν διὰ τὴν ψυχήν μας, ἀφοῦ, κατὰ τὸν Ἀπόστολον Παῦλον, ἐσταυρώσαμεν τὸν κόσμον εἰς τοὺς ἑαυτούς μας, ἀλλὰ καὶ τοὺς ἑαυτούς μας εἰς τὸν κόσμον (1). Ἂς ἐμφανίσωμεν λοιπὸν ζωὴν μεστὴν ἀπὸ ἀρετὰς καὶ ἂς προσφέρωμεν τὴν πνευματικὴν ἐλεημοσύνην. Διότι εἶναι μακάριοι οἱ ἐλεήμονες (2) κατὰ τὴν ψυχήν, δηλαδὴ αὐτοὶ ποὺ αἰσθάνονται ἀγάπην διὰ τὸν πλησίον καὶ ἔχουν φιλόστοργον δι' αὐτὸν προαίρεσιν.

10. Τὴν ἀξίαν καὶ τὴν δύναμιν τῆς ψυχικῆς ἐλεημοσύνης τὴν συμπεραίνομεν καὶ ἀπὸ τὴν ἑξῆς ἀναλογίαν. Ὅπως λέγει εἰς ἄλλο μέρος ἡ Γραφή, ἐκεῖνος ποὺ φιληδόνως ἐπεθύμησε σωματικὸν κάλλος, καὶ χωρὶς ἀκόμη τὴν σωματικὴν μῖξιν, διέπραξε τὴν ἁμαρτίαν, τοιουτοτρόπως λοιπὸν καὶ εἰς τὴν περίπτωσιν τῆς ψυχικῆς ἐλεημοσύνης. Ἡ ἐλεημοσύνη, ποὺ ὁλοκληροῦται εἰς τὴν περιοχὴν τῆς διανοίας, εἶναι ἰσχυρά, διότι ἀπὸ τὴν ἀγαθὴν προαίρεσιν προέρχεται καὶ ἡ ἀγαθὴ πρᾶξις, ἔστω καὶ ἐὰν δὲν ἔλαβε χώραν ὑλικὴ προσφορὰ πρὸς τὸν πτωχόν, λόγῳ πτωχείας τοῦ ἐπιθυμοῦντος νὰ προσφέρῃ τὴν ἐλεημοσύνην.

Β'. Ἐν τῷ βίῳ τοῦ Ἁγίου Ἀρσενίου

ΤΟΥ ΜΕΓΑΛΟΥ ΑΡΣΕΝΙΟΥ τὸν κοσμικὸν βίον ἀποφυγόντος καὶ τοῖς ἐν σκήτει Μοναχοῖς συνασκοῦντος, ἐπεὶ Ἀρκάδιος, ὁ ὑπ' αὐτοῦ παιδευθείς, τὴν βασιλείαν, μετὰ τὴν τοῦ πατρὸς Θεοδοσίου τελευτήν, διεδέξατο, γράμμασιν ἀσπάζεται τὸν Ἀρσένιον, πολὺ τὸ ὑποχωρητικὸν καὶ μ·

---

1) «Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ» (Γαλ. ς', 14).

2) «Μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται». (Ματθ. ε', 7).

τριον ἔχουσι, δι' ὧν καὶ ἐδεῖτο εὐχαῖς αὐτῷ τὸν Ὅσιον συναίρεσθαι τῆς ἀρχῆς, ὥστε κατὰ τὸ φίλον Θεῷ ἰθύνειν αὐτήν.

2. Προέτεινε δὲ καὶ φιλότιμον αὐτῷ δωρεάν· ἡ δὲ ἦν: οἱ τῆς Αἰγύπτου ἅπαντες φόροι· καὶ ἡ πρόφασις εὐπρεπής, ὥστε πένησιν ὑπ' αὐτοῦ διανεμηθῆναι, καὶ ἱεροῖς σεμνείοις ἐν χρείᾳ οὖσι τῶν ἀναγκαίων. Οὕτως Ἀρκάδιός τε ἔγραφε καὶ ἀντιγράφων τυχεῖν ἐμμελῶς ἠξίου.

3 Ἀρσένιος δὲ ταύτην δεξάμενος τὴν ἐπιστολήν, ἀντιγράψαι μὲν ἐπένευσεν οὐδαμῶς, ἐγνώρισε δὲ ἀγράφως, ὅτι περὶ χρημάτων διανομῆς οὐδὲν ἐμοὶ προσῆκον, ὡς ἤδη τέθνηκα τῷ κόσμῳ· τεθνηκότος δέ, πρᾶξις οὐδὲ μία.

4. Ἔλεγε δὲ ὁ αὐτὸς Ἀρσένιος πρὸς τοὺς συνελθόντας Μοναχούς, ὅτι μὴ λανθανέτω ἡμᾶς, ἀδελφοί, ὅπως ὁ ἐχθρὸς ἡμῶν διάβολος πολλαῖς καὶ ποικίλαις ταῖς μηχαναῖς χρώμενος, ἐξαπατᾶν ἡμᾶς πειρᾶται, καὶ προφάσει τοῦ ἀγαθοῦ, τοῖς πονηροῖς ἐμπίπτειν παρασκευάζει· οἷον φιλοξενίαν ὑποτιθέμενος, καὶ τὴν τῶν παραβαλλόντων ἀδελφῶν φιλοφροσύνην, συνεσθίειν αὐτοῖς ἀκολούθως καὶ συμπίνειν παρασκευάζει· καὶ ἡ αἰτία, τὸ τῆς ἀγάπης καλόν.

5. Εἶθ' οὕτως ὑποκλέπτων ἠρέμα καὶ ὑποσπῶν εἰς τὸ τῇ γαστρὶ δουλεύειν ἡμᾶς λαθὼν εἵλκυσε, κἀντεῦθεν ἐμπαθείαις καὶ ἡδοναῖς εἰς κόρον ἐμόλυνεν· ἄλλοις πάλιν ἐλεημοσύνην ὑποβαλὼν καὶ τὴν περὶ τοὺς πένητας εὐποιΐαν, ἐντεῦθεν ἔρωτα χρημάτων αὐτοῖς ἐνῆκε, καὶ πρὸς φιλαργυρίαν ἐξέμηνεν.

Ἑ ρ μ η ν ε ί α

Ο ΜΕΓΑΣ ΑΡΣΕΝΙΟΣ, ὡς γνωστόν, ἐγκατέλειψε τὸν κοσμικὸν βίον, καίτοι κατεῖχεν ἐπίσημον ἀξίωμα εἰς τὰ ἀνάκτορα καὶ κατέφυγεν εἰς τὴν πλησίον τῆς Ἀλεξανδρείας σκήτην, ὅπου ἠσκήτευε μαζὶ μὲ ἄλλους Μοναχούς.

Ὅταν λοιπὸν ὁ Ἀρκάδιος, τὸν ὁποῖον εἶχε μαθητὴν ὁ Μέγας Ἀρσένιος εἰς τὸν κόσμον, διεδέχθη εἰς τὸν θρόνον τοῦ Βυζαντίου τὸν Θεοδόσιον, τὸν πατέρα του, στέλλει γράμματα πρὸς τὸν Ἀρσένιον καὶ τοῦ ὑποβάλλει τὰ σέβη του· τὰ γράμματα αὐτὰ διεκρίνοντο διὰ τὸ ταπεινὸν φρόνημά των καὶ δι' αὐτῶν ὁ Ἀρκάδιος ἐζήτει τὰς εὐχὰς τοῦ Ὁσίου, ὥστε νὰ τὸν βοηθήσῃ ὁ Θεὸς εἰς τὴν ἐξουσίαν ποὺ ἀνέλαβε, νὰ κυβερνήσῃ κατὰ τὸ θέλημά Του.

2. Εἰς ἔνδειξιν δὲ ἀγάπης καὶ σεβασμοῦ προσέφερεν ὁ Ἀρκάδιος εἰς τὸν Μέγαν Ἀρσένιον ἀξιόλογον δωρεάν. Παρεχώρει δηλαδὴ εἰς τὸν Ὅσιον, διὰ βασιλικοῦ διατάγματος, ὅλα τὰ ἐκ τῶν φόρων τῆς Αἰγύπτου εἰσοδήματα. Ἡ δωρεὰ αὐτὴ ἦτο διὰ τὸν Ὅσιον μία ἀξιοπρεπὴς εὐκαιρία νὰ μοιράσῃ βοηθήματα εἰς τοὺς πτωχούς, νὰ βοηθήσῃ Ἱεροὺς Ναοὺς καὶ Μοναστήρια, ποὺ εἶχον ἀνάγκην, καὶ ἐν γένει νὰ ἀσκήσῃ τὸ θεάρεστον ἔργον τῆς ἐλεημοσύνης. Ἔστειλε λοιπὸν τὴν ἐπιστολὴν αὐτὴν ὁ Ἀρκάδιος καὶ ἐζήτει νὰ τοῦ σταλῇ ἀπάντησις τὸ συντομώτερον.

3. Ὁ Μέγας ὅμως οὗτος Ἀσκητής, μόλις ἔλαβε τὴν αὐτοκρατορικὴν ἐπιστολήν, οὐδὲ κἂν ἔσπευσε νὰ ἀπαντήσῃ ἐγγράφως. Προφορικῶς δὲ μόνον διεμήνυσεν εἰς τὸν αὐτοκράτορα, ὅτι δὲν ἐταίριαζεν εἰς αὐτόν, καθὸ Μοναχόν, νὰ ἀσχοληθῇ μὲ τὴν διανομὴν τῶν χρημάτων.

—Ἐγὼ ἤδη—συνεπλήρωσεν ὁ Μέγας Ἀρσένιος—ἀπέθανον διὰ τὸν κόσμον. Ὁ δὲ νεκρὸς οὐδεμίαν πρᾶξιν ἐπιτελεῖ.

4. Ὁ ἴδιος ὁ Μέγας Ἀρσένιος ἔλεγε κάποτε πρὸς τοὺς συγκεντρωθέντας Μοναχούς: Ἀδελφοί μου, ἂς μὴ σᾶς διαφεύγῃ, ὅτι ὁ ἐχθρός μας ὁ διάβολος χρησιμοποιεῖ πολλὰς καὶ διαφόρους παγίδας καὶ δι' αὐτῶν προσπαθεῖ νὰ μᾶς ἐξαπατήσῃ. Τὰ καταφέρνει δέ, ὥστε, μὲ πρόφασιν τὴν ἐκτέλεσιν τοῦ ἀγαθοῦ, νὰ μᾶς ρίπτῃ εἰς τὰ πονηρὰ πράγματα. Παραδείγματος χάριν, χρησιμοποιεῖ τὴν φιλοξενίαν καὶ τὰς περιποιήσεις τῶν πνευματικῶν ἀδελφῶν, ποὺ μᾶς ἐπεσκέφθησαν· ἡμεῖς διὰ τὴν ἀγάπην τῶν ἀδελφῶν αὐτῶν τρώγομεν καὶ πίνομεν ἀπὸ κοινοῦ. Ἡ αἰτία τῆς τοιαύτης μας διαγωγῆς εἶναι τὸ ἰδανικὸν τῆς ἀγάπης!

5. Καὶ ὅμως· χωρὶς ἡμεῖς νὰ τὸ ὑποπτευθῶμεν, μᾶς παρασύρει σιγὰ - σιγὰ εἰς τὴν δουλείαν τῆς γαστρὸς καὶ μᾶς καθιστᾷ γαστριμάργους. Ἀπὸ τὸ ὀλίσθημα αὐτὸ μᾶς ὁδηγεῖ πλέον ὁ διάβολος ἀσφαλῶς εἰς τὰς ἡδονὰς καὶ τὰς ἐμπαθείας, διὰ τῶν ὁποίων ἀφθόνως μᾶς ἐμόλυνεν. Εἰς ἄλλους πάλιν, διὰ τῆς ἐλεημοσύνης καὶ τῆς εὐεργεσίας πρὸς τοὺς πτωχούς, ἐπέτυχεν ὁ διάβολος νὰ καλλιεργήσῃ τὴν ἀγάπην πρὸς τὰ χρήματα καὶ ἀπὸ ἐδῶ νὰ αἰχμαλωτίσῃ τὸν ἄνθρωπον διὰ τῆς φιλαργυρίας.

Γ'. Ἐν τῇ διηγήσει τῶν περιόδων τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου

ΕΝ ΠΑΤΜΩ τῇ νήσῳ, ἐν ᾗ ὑπερωρίσθη ὁ Ἀπόστολος Ἰωάννης, ἄνθρωπός τις ἦν, ὁ τῆς νήσου πρωτεύων, ᾧ τὸ ὄνομα Μύρων· τούτου τὸν υἱὸν Ἀπολλωνίδην, πνεῦμα πύθωνος ἔχοντα, ὁ Ἰωάννης ἰάσατο, ἄλλα τε πολλὰ εἰς Μύρωνα καὶ τὸν αὐτοῦ οἶκον ἀνεδείξατο· οὓς καὶ πιστεύσαντας πάντας ἐβάπτισεν.

2. Ἤνεγκεν οὖν ὁ Μύρων χρήματα πολλὰ τῷ Ἰωάννῃ καὶ εἶπε· λάβε ταῦτα, διδάσκαλε, καὶ διάδος πτωχοῖς· ὁ δὲ Ἰωάννης εἶπε· τὴν μὲν πρόθεσίν σου ἀπεδεξάμην, πειθομένην κατανοήσας Θεῷ μᾶλλον ἢ σχέσει χρημάτων, ᾧ ταῦτα προσήγαγες· δι' ἡμῶν ταῦτα οὐκ εὐδοκῶ, διὰ σοῦ δὲ μᾶλλον καὶ ταῖς σαῖς χερσὶν ἐπιχορηγηθῆναι τοῖς χρείαν ἔχουσιν.

3. Ἦν οὖν Μύρων μὲν τοῖς δεομένοις ἐπιχορηγῶν, ὁ Κύριος δὲ πληθύνων πάντα τὰ ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ πάντες ἔχαιρον ἐπὶ τῇ τοιαύτῃ μεταδόσει.

Ἑρμηνεία

ΕΙΣ ΤΗΝ νῆσον Πάτμον, ὅπου ἐξωρίσθη ὁ Ἀπόστολος Ἰωάννης, ἔζη κάποιος ἄρχων, ὅστις ἐλέγετο Μύρων. Ὁ Μύρων αὐτὸς εἶχεν ἕνα υἱόν, ποὺ τὸν ἔλεγαν Ἀπολλωνίδην. Ὁ Ἀπολλωνίδης λοιπὸν εἶχε δαιμόνιον πύθωνος καὶ ἐθεραπεύθη ὑπὸ τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου. Ἐκτὸς ὅμως τῆς θεραπείας αὐτῆς καὶ ἄλλας πολλὰς εὐεργεσίας ἐπετέλεσεν ὁ Εὐαγγελιστὴς εἰς τὸν οἶκον τοῦ Μύρωνος. Ἡ μεγαλυτέρα δὲ εὐεργεσία ἦτο ἡ προσέλευσις ὁλοκλήρου τῆς οἰκογενείας εἰς τὸν Χριστιανισμὸν καὶ ἡ βάπτισις τῶν μελῶν της ὑπὸ τοῦ Εὐαγγελιστοῦ Ἰωάννου.

2. Ἐξ αἰσθήματος λοιπὸν εὐγνωμοσύνης ὁ Μύρων προσέφερε μίαν ἡμέραν ἀρκετὰ χρήματα εἰς τὸν Ἀπόστολον Ἰωάννην καὶ τοῦ λέγει:

— Πάρε αὐτὰ τὰ χρήματα, διδάσκαλε, καὶ διαμοίρασέ τα εἰς τοὺς πτωχούς.

Εἰς τὴν ἀξιέπαινον αὐτὴν προσφορὰν ὁ Ἀπόστολος Ἰωάννης ἀπήντησεν ὡς ἑξῆς:

—Ἀποδέχομαι καὶ ἐπαινῶ τὴν καλήν σου προαίρεσιν, ἡ ὁποία φανερώνει ἀγάπην καὶ πειθαρχίαν εἰς τὸν Θεὸν καὶ ὄχι εἰς τὰ χρήματα, ἐφ' ὅσον τὰ χρήματα τὰ προσφέρεις εἰς τὸν Θεόν. Προτιμότερον ὅμως εἶναι σύ, μὲ τὰς ἰδικάς σου χεῖρας, νὰ τὰ μοιράσῃς εἰς αὐτούς, ποὺ ἔχουν ἀνάγκην καὶ ὄχι ἐγώ.

3. Πράγματι λοιπὸν ὁ Μύρων τὰ διεμοίρασεν εἰς τοὺς πτωχοὺς καὶ ὁ Κύριος εὐλογοῦσε καὶ ἐπλήθυνε τὰ ἀγαθὰ τοῦ οἴκου του. Ὅλη δὲ ἡ οἰκογένεια εὐχαριστεῖτο μὲ τὴν ἀγαθοεργίαν αὐτήν.

Δ'. Τοῦ Ἀββᾶ Μάρκου

ΑΔΕΛΦΕ, ἡ Γραφὴ λέγει· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι, καὶ τὰς ἀδικίας σου ἐν οἰκτιρμοῖς πενήτων· ἐρεῖς οὖν μοι ὅτι οὐκ ἔχω χρήματα, τούτοις ἐφ' ἅπαξ ἀποταξάμενος, καὶ πῶς οἰκτειρήσω τὸν πένητα;

2. Καὶ λέγω σοι· οὐκ ἔχεις χρήματα; ἀλλ' ἔχεις θελήματα· ἀπόταξαι αὐτοῖς, καὶ ἐν ἐκείνοις ἐργάζου τὸ ἀγαθόν· οὐ δύνασαι εὖ ποιῆσαι χειρὶ σωματικῇ, εὖ ποίησον δεξιᾷ προαιρέσει.

3. Ὅταν ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἄφες αὐτῷ κατὰ τὸν λόγον τοῦ Κυρίου, καὶ ἔστι σοι ἐλεημοσύνη μεγάλη· εἰ ζητοῦμεν ἄφεσιν παρὰ Θεοῦ, τοῦτο ποιεῖν ὀφείλομεν ἐν πάσῃ πλημμελείᾳ πρὸς ἕκαστον, ὅπως γένηται τὸ ἄφετε καὶ ἀφεθήσεται ὑμῖν.

4. Μέγα μὲν τῷ ἔχοντι χρήματα τὸ μεταδιδόναι τοῖς πένησιν, ἐλεεῖν δὲ τοὺς πλησίον ἐπὶ ἁμαρτήμασι τοσούτῳ μεῖζόν ἐστι πρὸς ἄφεσιν, ὅσῳ ψυχὴ τιμιωτέρα σώματος κατὰ φύσιν ὑπάρχει.

5. Ὅσοι δὲ αἰτήσαντες ἄφεσιν παρὰ Θεοῦ ἐλάβομεν, τὸ αὐτὸ δὲ τοῖς πλησίον παρέχειν οὐ καταδεχόμεθα, ὅμοιοί ἐσμεν τῷ δούλῳ ἐκείνῳ τῷ πονηρῷ, ὃς μυρίων ταλάντων ἄφεσιν λαβὼν παρὰ τοῦ Δεσπότου, τῷ συνδούλῳ ἑκατὸν δηνάρια δεομένῳ ἀφεθῆναι οὐ συνεχώρησεν, ᾧ καὶ νομίμως ὁ Κύριος διαλεγόμενος ἔφη· «δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι ἐπεὶ παρεκάλεσάς με, οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου ὡς καὶ ἐγὼ σὲ ἠλέησα;»

6. Καὶ ὀργισθείς, φησι, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον, καὶ ἐπάγει λέγων· «οὕτω ποιήσει ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ τὰ παραπτώματα ἀπὸ τῶν καρδιῶν ὑμῶν». Διὸ καὶ ἀλλαχοῦ τοὺς ποικίλαις εὐεργεσίαις παρ' αὐτοῦ πλουτισθέντας, ἀνελεήμονα δὲ καὶ ἀσυμπαθῆ τρόπον ἔχοντας, ταλανίζει λέγων· «οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν».

7. Δύναται οὖν τις καὶ ἐκτὸς χρημάτων πλουτεῖν, συνέχων ἐν πλεονεξίᾳ, ἤτοι λόγον, ἢ γνῶσιν, ἢ οἱανδήποτε συμπάθειαν τὰ κοινῇ πᾶσιν ἀνθρώποις κεχαρισμένα· λαμβάνει γάρ, ἵνα μεταδῷ ἑτέρῳ τῷ μὴ ἔχοντι· εἰ δὲ ἀνελεημόνως πρὸς τὸν πλησίον διάκειται, τὸ οὐαὶ προσλαμβάνει, ὅτι ἀπέχει τὴν παράκλησιν αὐτοῦ.

Ἑρμηνεία

ἈΔΕΛΦΕ ΜΟΥ, ἡ Ἁγία Γραφὴ μᾶς διδάσκει νὰ λυτρωθῶμεν μὲ τὰς ἐλεημοσύνας ἀπὸ τὸ βάρος τῶν ἁμαρτιῶν μας καὶ μὲ τὴν συμπάθειαν πρὸς τοὺς πένητας ἀπὸ τὴν εὐθύνην τῶν ἀδικιῶν μας (1). Βεβαίως θὰ μοῦ εἴπῃς, πῶς νὰ κάμω ἐλεημοσύνην, ἀφοῦ δὲν ἔχω χρήματα; Δὲν ἔχω δὲ χρήματα, διότι, κατὰ τὴν μοναχικήν μου ὁμολογίαν, τὰ ἐγκατέλειψα ἑκουσίως καὶ παρῃτήθην τῆς προσπαθείας νὰ ἀποκτήσω ἄλλα. Πῶς λοιπὸν νὰ ἐκδηλώσω ἐμπράκτως τὴν συμπάθειάν μου πρὸς τοὺς πτωχούς;

2. Θὰ σοῦ ἀπαντήσω εἰς τὴν παρατήρησίν σου αὐτήν· δὲν ἔχεις χρήματα, διότι ἔχεις ὑποχρέωσιν νὰ εἶσαι ἀκτήμων; Μάλιστα· ἀλλ' ἔχεις ὅμως θελήματα! Κόψε τὰ θελήματά σου καὶ φύλαξε τὴν ὑπακοὴν εἰς τὸν πνευματικόν σου Πατέρα καὶ τοιουτοτρόπως ἐργάζεσαι τὸ ἀγαθόν. Δὲν ἔχεις τὴν δύναμιν νὰ εὐεργετήσῃς τὸν πτωχὸν ὑλικῶς; Εὐεργέτησέ τον μὲ τὴν καλήν σου διάθεσιν!

3. Ὅταν ὁ ἀδελφός σου σὲ ἐνοχλήσῃ, σὲ βλάψῃ, σοῦ κάμῃ ἐν πάσῃ περιπτώσει κακόν, συγχώρησέ τον, σύμφωνα μὲ τὴν ἐντολὴν τοῦ Κυρίου· αὐτὸ θὰ εἶναι διὰ σὲ ἡ μεγαλυτέρα ἐλεημοσύνη. Ἐὰν ζητῶμεν εἰλικρινῶς ἀπὸ τὸν Θεὸν νὰ μᾶς συγχωρήσῃ διὰ τὰς ἁμαρτίας ἡμῶν, ἔχομεν καὶ ἡμεῖς ὑποχρέωσιν νὰ συγχωρῶμεν τὸν συνάνθρωπόν μας, δι' ὅ,τιδήποτε κακὸν μᾶς ἔκαμε· τότε μόνον θὰ συγχωρηθῶμεν ὑπὸ τοῦ Κυρίου, ὅταν καὶ ἡμεῖς συγχωρήσωμεν(2).

4. Εἶναι σπουδαῖον πρᾶγμα νὰ σκορπᾷ τὰ χρήματά του εἰς τοὺς πτωχοὺς αὐτὸς ποὺ ἔχει· τὸ νὰ συγχωρῇς ὅμως ἀπὸ καρδίας τοὺς ἀνθρώπους διὰ τὰ σφάλματά των, εἶναι τόσον ἀνώτερον τοῦ πρώτου, ὅσον καὶ ἡ ψυχή, κατὰ τὴν οὐσίαν της, εἶναι πολυτιμοτέρα ἀπὸ τὸ σῶμα· τὸ δεύτερον δὲ αὐτὸ ἰσχύει ἀποτελεσματικώτερον διὰ τὴν λύτρωσιν ἀπὸ τὴν ἁμαρτίαν.

5. Ὅσοι ἐζητήσαμεν ἀπὸ τὸν Θεὸν ἄφεσιν ἁμαρτιῶν καὶ τὴν ἐλάβομεν, ἔχομεν χρέος νὰ συγχωρῶμεν τὸν πλησίον μας· ἐὰν ὅμως δὲν τὸ κάμωμεν αὐτό, ἀλλὰ παραμένομεν ἀδιάφοροι καὶ ἐκδικητικοὶ ἀπέναντι αὐτῶν, ποὺ μᾶς ἐλύπησαν, τότε ὁμοιάζομεν μὲ τὸν πονηρὸν ἐκεῖνον δοῦλον τῆς Εὐαγγελικῆς περικοπῆς, ποὺ ἐνῷ ὁ ἴδιος ἐπῆρεν ἀπὸ τὸν Δεσπότην τὴν ἄφεσιν τοῦ χρέους τῶν μυρίων ταλάντων, ἐν τούτοις αὐτὸς δὲν ἐχάριζεν ἕνα παραμικρὸν χρέος ἑκατὸν δηναρίων εἰς

---

1) «Καὶ τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσαι καὶ τὰς ἀδικίας ἐν οἰκτιρμοῖς πενήτων» (Δανιὴλ δ', 24). «Πῦρ φλογιζόμενον ἀποσβέσει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας» (Σειρ. γ', 30). «Ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι, τῷ δὲ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ» (Παροιμ. ιε', 27).

2) «Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος» (Ματθ. ϛ', 14).

κάποιον σύνδουλόν του, πού τὸν παρεκάλει. Πόσον δικαία ἦτο ἡ κατηγορία, πού τοῦ ἀπηύθυνεν ὁ Κύριος· «Δοῦλε πονηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ παρεκάλεσάς με, οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι τὸν σύνδουλόν σου ὡς καὶ ἐγὼ σὲ ἠλέησα;» (Ματθ. ιη', 33).

6. Ὡς εἶναι γνωστόν, ὁ Κύριος ὠργίσθη ἐναντίον τοῦ ἀσπλάγχνου αὐτοῦ δούλου καὶ τὸν παρέδωσεν εἰς τοὺς βασανιστάς, μέχρις οὗ τὰ ἐξοφλήση ὅλα. Μὴ λησμονῆτε δὲ καὶ τὸ συμπέρασμα εἰς τὸ ὁποῖον κατέληξεν ὁ Κύριος εἰς τὸ τέλος τῆς παραβολῆς τοῦ ἀσπλάγχνου ἐκείνου δούλου. «Οὕτω καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν» (Ματθ. ιη', 35). Δι' αὐτὸ καὶ εἰς διαφόρους ἄλλας περιπτώσεις ὁ Κύριος ἐλεεινολογεῖ ὅσους ἐπιδεικνύουν ἀπέναντι τῶν συνανθρώπων των σκληρότητα καὶ ἀσπλαγχνίαν, ἐν ᾧ οἱ ἴδιοι ἔγιναν πλούσιοι ἀπὸ τὰς πρὸς αὐτοὺς εὐεργεσίας τοῦ Θεοῦ. Εἰς τοὺς ἀνθρώπους αὐτοὺς ἀπευθυνόμενος ὁ Κύριος λέγει· ἀλλοίμονον εἰς σᾶς τοὺς πλουσίους, διότι εὑρίσκεσθε πολὺ μακρὰν ἀπὸ τὴν θείαν βοήθειαν (1).

7. Δύναται λοιπὸν ἕνας ἄνθρωπος νὰ πλουτίση καὶ χωρὶς χρήματα· πλούσιος εἶναι καὶ ἐκεῖνος πού ὑπερέχει τῶν ἄλλων κατὰ τὴν ἱκανότητα τῆς ὁμιλίας, τοὺς θησαυροὺς τῶν γνώσεων, τὴν οἱανδήποτε πρὸς τὸν συνάνθρωπον φιλανθρωπίαν καὶ ἐν γένει κατὰ τὰ προσόντα ἐκεῖνα, τὰ ὁποῖα ἔχουν χαρισθῆ εἰς τοὺς ἀνθρώπους. Τὰ ἔλαβε δὲ αὐτὰ εἰς ηὐξημένον βαθμόν, διὰ νὰ τὰ μεταδώση καὶ εἰς ἄλλον, πού τὰ ὑστερεῖται. Ἐὰν ὅμως δὲν φροντίζη νὰ τὰ μεταδώση εἰς τοὺς συνανθρώπους του, ἀλλὰ ζηλοτύπως τὰ κρατεῖ ὅλα διὰ τὸν ἑαυτόν του, τότε ταιριάζει καὶ εἰς αὐτὸν ἡ ἰδία ἐπίπληξις τοῦ Κυρίου· ἀλλοίμονον εἰς σὲ διότι εὑρίσκεσαι μακρὰν ἀπὸ τὴν θείαν βοήθειαν (1).

Ε'. Τοῦ Ἁγίου Διαδόχου

ΤΙ ΑΝ ΑΡΜΟΔΙΟΝ καὶ διὰ πάντων ἐπωφελὲς τὸ ἐπιγνόντας ἡμᾶς τὴν ὁδὸν τῆς ἀληθείας, εὐθέως πάντα τὰ ἡμῖν προσόντα διαπωλῆσαι καὶ ἀπὸ τούτων χρήματα διοικῆσαι κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου, καὶ μὴ προφάσει τοῦ διαπαντὸς θέλειν ἐντολὰς ποιεῖν, παρακούειν τοῦ σωτηρίου κελεύσματος;

2. Ἔσται γὰρ ἡμῖν ἐκ τούτου πρῶτον ἡ καλὴ ἀμεριμνία, καὶ ἐντεῦθεν λοιπὸν ἡ ἀνεπιβούλευτος πενία, ἥτις πάσης ἀδικίας καὶ πάσης δίκης ἐπάνω φρονεῖ, διὰ τὸ μὴ ἔχειν ἡμᾶς μηκέτι τὴν τὸ πῦρ τῶν πλεονεκτῶν ἀνάπτουσαν ὕλην.

3. Περιθάλψει δὲ ἡμᾶς τότε τὸ πλέον τῶν ἄλλων ἀρετῶν, ἡ ταπεινοφροσύνη, καὶ ὡς γυμνοὺς ὑπάρχοντας εἰς τοὺς οἰκείους ἀναπαύσει κόλπους, οἷα μήτηρ τὸ ἑαυτῆς παιδίον εἰς τὰς οἰκείας προσλαμβανομένη καταθάλπει ἀγκάλας, ὅταν διὰ τὴν νηπιώδη ἁπλότητα τὴν ἑαυτοῦ ἐκδυσάμενον ἐσθῆτα, πόῤῥω που ἀποῤῥίψη, τῇ γυμνότητι μᾶλλον, διὰ τὴν πολλὴν ἀκακίαν, ἢ τῇ ποικιλίᾳ τῆς ἐσθῆτος τερπόμενον.

4. Φυλάσσων, γάρ φησι, τὰ νήπια ὁ Κύριος· ἐταπεινώθην καὶ ἔσωσέ με ὁ Κύριος. Καθ' ὃ ἔχομεν, πάντως ὁ Κύριος ἡμᾶς ἀπαιτεῖ τὸν λόγον τῆς ἐλεημοσύνης· οὐ καθ' ὃ οὐκ ἔχομεν.

---

1) «Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν» (Λουκ. ς', 24).

5. Ἐὰν οὖν ὅπερ εἶχον δοῦναι εἰς πολλοὺς χρόνους, ἐν ὀλίγῳ καιρῷ διὰ τὸν φόβον τοῦ Θεοῦ χρηστῶς διασπείρω, περὶ τίνος ὁ μηδὲν ἔχων ἐγκληθήσομαι; ἀλλ' ἐρεῖ τις· οἱ οὖν ἐκ τῶν ἡμετέρων ἐθισθέντες κατ' ὀλίγον διοικεῖσθαι πένητες, πόθεν ἐλεηθήσονται; μανθανέτω δὲ ὁ τοιοῦτος μὴ προφάσει τῆς ἰδίας φιλοχρηματίας ὀνειδίζειν τῷ Θεῷ· οὐχ ὑστερήσει γὰρ ὁ Θεὸς τὸ οἰκεῖον οἰκονομῶν, ὡς ἀπ' ἀρχῆς, κτίσμα· οὔτε γὰρ πρὶν οὗτος ἢ ἐκεῖνος εἰς τὴν ἐλεημοσύνην ἠγείροντο, ὑστεροῦντο τροφῆς ἢ σκεπασμάτων οἱ πτωχοί.

6. Καλὸν οὖν τὸ παρ' αὐτὴν τὴν ἐπίγνωσιν μετὰ χρηστῆς διακονίας ἀποῤῥίψαι τὸ ἐκ τοῦ πλούτου ἀλόγιστον καύχημα τῆς οἰκείας ἐπιθυμίας μισήσαντα, ὅπερ ἐστὶ μισῆσαι τὴν ἑαυτοῦ ψυχήν· ἵνα μηκέτι χαίροντες ἐπὶ τῇ τῶν χρημάτων διασπορᾷ, ἐξουδενώσωμεν τὴν ψυχὴν ἡμῶν σφόδρα, ὡς μηδὲν τῶν καλῶν ἐργαζόμενοι.

— 7. Ἕως μὲν γάρ που χρημάτων εὐποροῦμεν, χαίρομεν μεγάλως ἐπὶ τῷ τούτων σκορπισμῷ, εἴπερ ἐστὶν εἰς ἡμᾶς τοῦ ἀγαθοῦ ἡ ἐνέργεια, ὡς ἱλαρῶς ὑπηρετοῦντες τῷ θείῳ κελεύσματι· ἐπειδὰν δὲ πάντα ἐξαντλήσωμεν, λύπη ἡμῖν ἄπειρος καὶ ταπείνωσις συνεισέρχεται, ὡς μηδὲν δικαιοσύνης ἄξιον διαπραττομένοις· ὅθεν λοιπὸν ἐφ' ἑαυτὴν ἡ ψυχὴ ἐπιστρέφει ἐν πολλῇ ταπεινώσει, ἵνα ὅπερ οὐκ ἔχει κτᾶσθαι καθ' ἡμέραν διὰ τῆς ἐλεημοσύνης, τοῦτο ἐκ τῆς ἐπιπόνου εὐχῆς καὶ τῆς ὑπομονῆς καὶ ταπεινοφροσύνης ἑαυτῇ περιποιῇ.

8. Πτωχὸς γάρ, φησι, καὶ πένης αἰνέσουσί σε, Κύριε. Οὔτε γὰρ τὸ τῆς Θεολογίας χάρισμα ἑτοιμάζεταί τινι ὑπὸ τοῦ Θεοῦ, εἰ μή τις ἑτοιμάσῃ ἑαυτόν, ὥστε πάντα τὰ προσόντα αὐτῷ ἀποκτήσασθαι, ἕνεκεν δόξης τοῦ Εὐαγγελίου τοῦ Θεοῦ. Ὁ γὰρ εἰρηκὼς ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός, καὶ ἐπαγαγών, Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, ταῦτα σαφῶς σημαίνει.

Ἑρμηνεία

ΑΠΟ ΤΗΝ στιγμήν, ποὺ θὰ γνωρίσωμεν τὸν δρόμον τῆς ἀληθείας καὶ τῆς πραγματικῆς τελειότητος, τὸ πλέον ἁρμόδιον καὶ τὸ πλέον ὠφέλιμον ἀπὸ ὅλα εἶναι νὰ πωλήσωμεν ἀμέσως ὅλα τὰ ὑπάρχοντά μας καὶ νὰ τὰ διαμοιράσωμεν, συμφώνως πρὸς τὴν ἐντολὴν τοῦ Κυρίου (1). Ἐκεῖνος, ποὺ θέλει νὰ ἐφαρμόζῃ τὰς ἐντολὰς τοῦ Κυρίου, πρέπει ἀπροφασίστως νὰ πειθαρχῇ εἰς τὴν σωτήριον αὐτὴν ἐντολήν.

2. Τὸ κέρδος, ποὺ προκύπτει ἀπὸ τὴν ἐκτέλεσιν τῆς ἐντολῆς αὐτῆς, εἶναι πρῶτον ἡ εὐλογημένη ἀπουσία πάσης ὑλικῆς μερίμνης καὶ φροντίδος, ἐν συνεχείᾳ δὲ ἡ πενία, ποὺ δὲν ἐπιβουλεύεται τὰ ἀγαθὰ τοῦ πλησίον. Ἡ πενία αὐτὴ ἀναβιβάζει τὸν ἄνθρωπον ὑπεράνω τῶν ἐννοιῶν «δίκαιον» καὶ «ἄδικον», σχετικῶς μὲ τὴν διαρρύθμισιν τῶν χρημάτων, διότι, ἁπλούστατα, δὲν ὑπάρχει πλέον μέσα μας ἡ φωτιά, ποὺ ἀνάβει τὴν πλεονεξίαν.

3. Ἐφ' ὅσον δὲ ἀπαλλαγῶμεν ἀπὸ τὴν πνευματοκτόνον πλεονεξίαν, τότε θὰ μᾶς προστατεύσῃ στοργικὰ ἡ ταπεινοφροσύνη, ποὺ εἶναι ἡ κορωνὶς τῶν ἀρετῶν. Ἀπογυμνωμένους δὲ πάσης προσπαθείας

---

1) «Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. ιθ', 21, Μαρκ. ι', 21, Λουκ. ιη', 22).

καὶ οἰήσεως θὰ μᾶς ξεκουράσῃ εἰς τὴν ἀγκαλιά της, ὅπως ἀκριβῶς ἡ φιλόστοργος μητέρα παίρνει κοντὰ τὸ παιδί της καὶ τὸ ζεσταίνει εἰς τὴν ἀγκαλιά της, ὅταν τὸ παιδάκι αὐτὸ ἀπὸ νηπιακὴν ἀφέλειαν πετάξῃ τὸ φορεματάκι του κάπου μακριά, εὐχαριστούμενον περισσότερον, ἀπὸ τὸ πλῆθος τῆς πολλῆς ἀκακίας, εἰς τὴν γυμνότητα παρὰ μὲ τὸ πλουμιστό του φουστανάκι.

4. Ὁ Κύριος διαβεβαιοῖ, ὅτι προστατεύει τοὺς ἀνθρώπους, ποὺ ὁμοιάζουν μὲ τὰ νήπια κατὰ τὰς ψυχικὰς διαθέσεις καὶ τὴν ἀπονήρευτον καρδίαν, καὶ σῴζει τοὺς ταπεινούς, καθὼς καὶ ὁ Προφητάναξ Δαβὶδ τὸ μαρτυρεῖ λέγων· «Φυλάσσων τὰ νήπια ὁ Κύριος, ἐταπεινώθην καὶ ἔσωσέ με» (Ψαλ. ριδ', 6). Ἄλλωστε ὁ Κύριος θὰ μᾶς ζητήσῃ λόγον διὰ τὴν ἐλεημοσύνην, σύμφωνα μὲ αὐτὰ ποὺ διαθέτομεν καὶ ὄχι σύμφωνα μὲ αὐτά, ποὺ δὲν ἔχομεν.

5. Ἐὰν λοιπὸν τὴν ποσότητα τῶν ὑλικῶν ἀγαθῶν, ποὺ ἐπρόκειτο νὰ προσφέρω ὡς ἐλεημοσύνην εἰς διάστημα πολλῶν ἐτῶν, τὴν διαμοιράσω ἐπωφελῶς διὰ τοὺς πτωχοὺς ἐντὸς μικροῦ διαστήματος, ἀπὸ φόβον Θεοῦ, τότε, ἐφ' ὅσον δὲν θὰ ἔχω πλέον τίποτε, διατί νὰ κατηγορηθῶ; Ἴσως κανεὶς προβάλῃ τὴν ἑξῆς ἀντίρρησιν: Ἀλλὰ οἱ εὐλογημένοι πτωχοί, ποὺ ἔχουν συνηθίσει νὰ ἐξοικονομοῦν τὰ ψιχία τῆς συντηρήσεώς των σιγὰ - σιγὰ ἀπὸ ἡμᾶς, ἀπὸ ποῦ πλέον θὰ ἐλεηθοῦν; Ἂς μάθῃ αὐτός, ποὺ προβάλλει αὐτὴν τὴν ἀντίρρησιν, ὅτι ἡ σκέψις του αὐτὴ εἶναι μᾶλλον δικαιολογία τῆς ἀγάπης του πρὸς τὰ χρήματα, μὲ τὴν ὁποίαν ἐπιχειρεῖ νὰ ἐξαπατήσῃ τὸν Θεόν· ὁ Θεὸς εἶναι εἰς θέσιν νὰ φροντίσῃ διὰ τὸν ἄνθρωπόν του, διότι εἶναι τὸ τελειότερον δημιούργημά του. Ἄλλωστε, χάρις εἰς τὴν Πρόνοιαν τοῦ Θεοῦ οἱ πτωχοὶ εἶχον τὰ πενιχρά των σκεπάσματα καὶ τὴν ὀλίγην των τροφήν, πρὶν ἐκεῖνος ἢ ὁ ἄλλος παρακινηθοῦν εἰς ἐλεημοσύνην.

6. Εἶναι λοιπὸν καλὸν νὰ ἀντιληφθῶμεν κατὰ βάθος τὴν ἀλήθειαν αὐτὴν καὶ νὰ ἀπορρίψωμεν τὸν ἀπερίσκεπτον ἐγωϊσμόν, ποὺ γεννᾷ ὁ πλοῦτος, ἀφοῦ διανείμωμεν, ἅπαξ διὰ παντὸς τὰ ἀγαθά μας εἰς τοὺς πτωχούς. Θὰ πρέπει νὰ μισήσωμεν τὴν ἐπιθυμίαν αὐτὴν τῆς συνεχοῦς ἐλεημοσύνης, ἡ ὁποία στηρίζεται περισσότερον εἰς τὴν πεποίθησιν, ποὺ γεννᾷ ὁ πλοῦτος καὶ ὀλιγώτερον εἰς τὴν κατανόησιν τῶν ἀναγκῶν τοῦ πλησίον. Αὐτὸ δὲ εἶναι τὸ ἴδιον, ὡς νὰ μισήσωμεν τὴν ψυχήν μας [1], κατὰ τὴν εὐαγγελικὴν προτροπήν, ἐφ' ὅσον ἐξ αὐτῆς γεννῶνται αἱ διάφοροι ἐπιθυμίαι.

Τοιουτοτρόπως ἐπειδὴ δὲν θὰ χαιρώμεθα πλέον διὰ τὴν διανομὴν χρημάτων πρὸς τοὺς πτωχούς, θὰ ταπεινώσωμεν πάρα πολὺ τὸ φρόνημά μας καὶ θὰ φρονῶμεν, ὅτι δὲν εἴμεθα εἰς θέσιν νὰ πραγματοποιήσωμεν κανὲν ἀγαθόν.

---

1) «Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν». (Μάρκ. η', 35).

7. Μέχρις ὅτου μᾶς ἀπομένουν ἐλάχιστα χρήματα, χαιρόμεθα κατὰ τὴν διανομὴν τούτων εἰς τοὺς πτωχούς, διότι μὲ εὐχαρίστησιν πειθαρχοῦμεν εἰς τὴν ἐντολὴν τοῦ Κυρίου, ἂν καὶ ἡ ἐπιτέλεσις τοῦ ἀγαθοῦ ὀφείλεται κυρίως εἰς τὴν θείαν Χάριν (1). Ἀφοῦ ὅμως τὰ ἐξοδεύσωμεν ὅλα, τότε μᾶς καταλαμβάνει μία ἀπέραντος λύπη, τὴν ὁποίαν συνοδεύει βαθυτάτη ταπείνωσις, διότι πλέον δὲν ἔχομεν τὴν δύναμιν νὰ διαπράξωμεν κάτι, ποὺ νὰ εἶναι ἄξιον τοῦ ἐπαίνου τῆς ἀρετῆς. Ὡς ἐκ τούτου λοιπὸν ἡ ψυχὴ συγκεντρώνεται εἰς τὸν ἑαυτόν της μὲ μεγάλην ταπείνωσιν, ὥστε αὐτὸ ποὺ δὲν ἠμπορεῖ πλέον νὰ κερδίσῃ διὰ τῆς καθημερινῆς ἐλεημοσύνης, νὰ τὸ ἐπιτύχῃ διὰ τῆς ἀδιαλείπτου δεήσεως, τῆς ὑπομονῆς καὶ τῆς ταπεινοφροσύνης.

8. Αὐτὸ τὸ νόημα ἔχει καὶ τὸ ρητόν· «Πτωχὸς καὶ πένης αἰνέσουσι τὸ ὄνομά Σου» (Ψαλμ. ογ', 21). Διότι οὔτε καὶ αὐτὸ τὸ χάρισμα τῆς θεολογίας προσφέρεται εἰς τὸν ἄνθρωπον ὑπὸ τοῦ Θεοῦ ἀκόπως· πρέπει δι' ἐπιπόνου προσπαθείας νὰ ἑτοιμάσῃ κανεὶς τὴν ψυχήν του, ὥστε νὰ ἀποκτήσῃ τὰ ἀπαραίτητα ἐκεῖνα προσόντα, χάριν τῆς δόξης τοῦ Εὐαγγελίου τοῦ Θεοῦ. Τότε καὶ ἡ Χάρις τοῦ Θεοῦ εὐλογεῖ τὸν ἄνθρωπον αὐτὸν καὶ τὸν καταξιώνει διὰ τὸ ὑψηλὸν ὑπούργημα. Αὐτὴν τὴν ἔννοιαν μᾶς φανερώνουν οἱ λόγοι τοῦ Δαβίδ· «Ἡτοίμασας ἐν τῇ χρηστότητί Σου τῷ πτωχῷ ὁ Θεός, Κύριος δώσει ρῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ» (Ψαλμ. ξζ', 11—12).

ς'. Τοῦ Ἀββᾶ Κασσιανοῦ

ΕΠΕΙΔΗ τινες τὸ καλῶς εἰρημένον τῇ Γραφῇ, μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν, κακῶς ἑρμηνεύοντες, καὶ πρὸς τὴν ἰδίαν ἀπάτην καὶ πρὸς τὴν ἐπιθυμίαν τῆς φιλαργυρίας βιαζόμενοι τὴν ἔννοιαν τοῦ ῥητοῦ, κρίνουσι μακαριώτερον τὸ ἐξουσιάζειν τοῦ ἰδίου θελήματος διὰ τοῦ ἑαυτῶν πλούτου καὶ τῆς ἐκ τούτου περισσείας διδόναι τοῖς δεομένοις, παραλογιζόμενοι τὴν τοῦ Κυρίου διδασκαλίαν τὴν λέγουσαν· «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι», γινωσκέτωσαν οἱ τοιοῦτοι, μήπω ἀποτετάχθαι τῷ κόσμῳ, μηδὲ ἐπιβεβηκέναι τῆς μοναχικῆς τελειότητος, ἐφ' ὅσον ἐπαισχύνονται ὑπὲρ Χριστοῦ μετὰ τοῦ Ἀποστόλου ἀναλαβέσθαι ἔνδοξον πτωχείαν, καὶ τῇ τῶν χειρῶν ἐργασίᾳ ἑαυτοῖς καὶ τοῖς δεομένοις ὑπηρετεῖν.

2. Εἰ δὲ ἐπιθυμοῦσιν ἔργῳ πληρῶσαι τὴν μοναχικὴν ἐπαγγελίαν, καὶ μετὰ τοῦ Ἀποστόλου δοξασθῆναι, διασκορπίσαντες τὸν παλαιὸν πλοῦτον, ἐν λιμῷ καὶ δίψῃ καὶ γυμνότητι μετὰ τοῦ Παύλου ἀγωνιζέσθωσαν καὶ τρεχέτωσαν τὸν καλὸν ἀγῶνα.

3. Καὶ γὰρ εἰ τὸ ἔχειν παλαιὸν πλοῦτον ἀναγκαιότερον πρὸς τελείωσιν ἐγίνωσκεν ὁ αὐτὸς Ἀπόστολος, οὐκ ἂν κατεφρόνησε τῆς ἑαυτοῦ ἀξίας· ἐπίσημον γὰρ αὐτὸν λέγει γεγονέναι καὶ πολίτην Ῥωμαῖον.

4. Καὶ οἱ ἐν Ἱεροσολύμοις δέ, οἵτινες ἐπώλουν τὰς οἰκίας αὐτῶν καὶ τοὺς ἀγρούς, καὶ ἐτίθεσαν τὰς τιμὰς αὐτῶν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων, οὐκ

---

1) «Ὁ Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας» (Φιλιπ. β', 13).

ἂν τοῦτο ἔπραττον, εἰ κεκριμένον ἐγίνωσκον ὑπὸ τῶν Ἀποστόλων τὸ τοῖς ἰδίοις χρήμασι τρέφεσθαι μακαριώτερον εἶναι, καὶ μὴ καμάτῳ οἰκείῳ, καὶ τῇ τῶν ἐθνῶν προσφορᾷ.

5. Σαφέστερον δὲ περὶ τούτων διδάσκει ὁ εἰρημένος Ἀπόστολος Παῦλος, ἐν οἷς πρὸς Ῥωμαίους γράφων τάδε λέγει· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῆσαι τοῖς Ἁγίοις· εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν Ἁγίων τῶν ἐν Ἱερουσαλήμ· εὐδόκησαν γὰρ καὶ ὀφειλέται αὐτῶν εἰσι».

6. Καὶ αὐτὸς δὲ δεσμοῖς καὶ φυλακαῖς πολλάκις καὶ τῷ σκυλμῷ τῆς ὁδοιπορίας ὑποβληθείς, καὶ ἐμποδιζόμενος ἐκ τούτου, ὡς εἰώθει, ταῖς ἰδίαις χερσὶ πορίζειν ἑαυτῷ χρείας, ταῦτα εἰληφέναι διδάσκει παρὰ τῶν ἀδελφῶν τῶν ἀπὸ Μακεδονίας πρὸς αὐτὸν ἐλθόντων φάσκων· «Καὶ τὸ ὑστέρημά μου ἀνεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας».

7. Καὶ Φιλιππησίοις δὲ γράφει οὕτως· «Οἴδατε καὶ ὑμεῖς Φιλιππήσιοι, ὅτι ἐξελθόντος μου ἀπὸ Μακεδονίας, οὐδεμία μοι Ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς· ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε». Ἀλλ' οὐκ ἄν τις εἰς ἐσχάτην ἄνοιαν ἐλθών, εἰπεῖν τοῦτο τολμήσοι.

Ἑρμηνεία

ΜΕΡΙΚΟΙ παρερμηνεύουν αὐτὸ ποὺ ὀρθῶς ἔχει διατυπωθῆ εἰς τὴν Ἁγίαν Γραφήν· «Μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν» (Πράξ. κ', 35) καὶ προσπαθοῦν νὰ παραβιάσουν τὴν ἔννοιαν τοῦ ρητοῦ, ὥστε νὰ δικαιολογήσουν τὴν αὐταπάτην των καὶ τὴν ἐπιθυμίαν των. Τοιουτοτρόπως οἱ ἄνθρωποι αὐτοί, ἐν τῇ πλάνῃ των, θεωροῦν προτιμότερον νὰ εὑρίσκωνται εἰς τὸ θέλημά των καὶ νὰ διατηροῦν χρήματα, δίδοντες ἀπὸ τὸ περίσσευμα εἰς τοὺς πτωχούς, παρὰ νὰ ἐφαρμόσουν τὴν ἀπόλυτον ἀκτημοσύνην, καὶ νὰ ὑποταχθοῦν εἰς πνευματικὸν Πατέρα καὶ Γέροντα ὅπως συμβουλεύει ὁ Κύριος λέγων· «Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ καὶ δεῦρο ἀκολούθει μοι» (Ματθ. ιθ', 21, Μαρ. ι', 21, Λουκ. ιη', 22). Οἱ Μοναχοὶ αὐτοί, ποὺ διατηροῦν τὸ θέλημά των καὶ δὲν ὑποτάσσονται, ἂς γνωρίζουν, ὅτι δὲν ἔχουν ἀκόμη ἀποταχθῆ ἀπὸ τὸν κόσμον καὶ δὲν ἔχουν πλησιάσει τὰ ὅρια τῆς μοναχικῆς τελειότητος, ἐφ' ὅσον ἀκόμη ἐντρέπονται τὴν δοξασμένην κατὰ Χριστὸν πτωχείαν καὶ δὲν ἐπιδιώκουν, ὅπως ὁ Ἀπόστολος Παῦλος, νὰ ἐξοικονομοῦν μὲ τὴν προσωπικήν των ἐργασίαν καὶ τοὺς ἑαυτούς των καὶ αὐτοὺς ποὺ ἔχουν ἀνάγκην (1).

2. Ἐὰν ἐπιθυμοῦν πραγματικῶς τὴν μοναχικὴν τελειότητα καὶ νὰ δοξασθοῦν μαζὶ μὲ τὸν Ἀπόστολον, τότε πρέπει νὰ σκορπίσουν εἰς τοὺς πτωχοὺς τὰ ὑλικὰ ἀγαθά, ποὺ τυχὸν εἶχον ἀποκτήσει, καὶ νὰ ἀγωνισθοῦν, ὅπως ὁ Ἀπόστολος Παῦλος, πεινῶντες, διψῶντες καὶ γυ-

---

1) «Οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν» (Β' Θεσ. γ', 8).

μνητεύοντες (1)· τοιουτοτρόπως δὲ ὑπὸ σκληρὰς συνθήκας ἃς τρέχουν, ὡς ἐλπιδοφόροι ἀθληταί, εἰς τὸ στάδιον τῶν ἀσκητικῶν ἀρετῶν.

3. Ἐὰν ὁ Ἀπόστολος Παῦλος ἐθεώρει τὴν διατήρησιν τοῦ παλαιοῦ ὑλικοῦ πλούτου ὡς ἀναγκαίαν προϋπόθεσιν διὰ τὴν πνευματικήν του, κατὰ Χριστόν, τελειοποίησιν, ἀσφαλῶς δὲν θὰ περιφρονοῦσε τὴν ἀξίαν τὴν ὁποίαν εἶχεν, ὡς ἐπίσημος ἄνθρωπος ὅπου ἦτο, καὶ ὡς Ρωμαῖος πολίτης.

4. Ἀλλὰ καὶ οἱ πρῶτοι Χριστιανοὶ τῶν Ἱεροσολύμων, ποὺ ἐπώλουν τὰ ὑπάρχοντά των καὶ ἔθετον εἰς τὴν διάθεσιν τῶν Ἀποστόλων τὰ χρήματα τῆς πωλήσεως (2), δὲν θὰ τὸ ἔκαμναν αὐτό, ἐὰν εἶχον διδαχθῆ ἀπὸ τοὺς Ἀποστόλους, ὅτι εἶναι τελειότερον νὰ ζοῦν ἀπὸ τὰ χρήματά των, καὶ ὄχι ἀπὸ τὸν σκληρὸν κόπον των καὶ τὰς ἐλεημοσύνας τῶν εἰδωλολατρῶν, ποὺ ἐγίνοντο Χριστιανοί.

5. Αὐτὰ ὅλα μὲ σαφήνειαν τὰ διδάσκει ὁ Ἀπόστολος Παῦλος, περὶ τοῦ ὁποίου ὡμίλησα ἀνωτέρω, εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολήν. Ἰδοὺ λοιπὸν τί σχετικῶς γράφει· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱερουσαλὴμ διακονῶν τοῖς Ἁγίοις. Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν Ἁγίων τῶν ἐν Ἱερουσαλήμ. Εὐδόκησαν γὰρ καὶ ὀφειλέται αὐτῶν εἰσιν» (Ρωμ. ιε', 25—27).

6. Ἀλλὰ καὶ ὁ Ἀπόστολος Παῦλος φυλακισθεὶς πολλάκις καὶ καταδικασθείς, διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, καὶ κατεξαντληθεὶς ἀπὸ τὴν ὁδοιπορίαν, δὲν ἠδύνατο, ὅπως ἐσυνήθιζεν, ἐξ αἰτίας τῶν ἐμποδίων αὐτῶν, νὰ προσπορίζεται τὰ ἀναγκαῖα διὰ τὴν ζωήν του ἐφόδια διὰ τῆς προσωπικῆς του ἐργασίας. Τὰ ἀπαραίτητα αὐτὰ ἐφόδια, ὅπως μᾶς διδάσκει, τὰ ἐλάμβανεν, ὡς ἐλεημοσύνην, ἀπὸ τοὺς ἀδελφοὺς τῆς Μακεδονίας, ποὺ τὸν ἐπεσκέφθησαν. Ὁ ἴδιος μᾶς λέγει· «Τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας» (Β' Κορ. ια', 9).

7. Περὶ τοῦ αὐτοῦ θέματος γράφει καὶ πρὸς τοὺς Χριστιανοὺς τῶν Φιλίππων τὰ ἑξῆς· «Οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι Ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι, ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε» (Φιλιπ. δ', 15—16). Αὐτὰ ὅμως εἶναι ἀδύνατον νὰ τολμήσῃ νὰ τὰ εἴπῃ κανείς, ἐὰν προηγουμένως δὲν περιέλθῃ εἰς τὴν ἐσχάτην, κατὰ Χριστὸν καὶ διὰ Χριστόν, μωρίαν.

---

1) «Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν.... καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί» (Α' Κορινθ. δ', 11—12).

2) «Ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων» (Πράξ. δ', 34).

Ζ'. Τοῦ Ἁγίου Ἰσαὰκ τοῦ Σύρου

ΟΤΑΝ τῇ ψυχῇ σου ὅρους βάλῃς τοῦ δι' ἐλέους οἰκοδομηθῆναι σαυτόν, ἔθιζε τὴν ψυχήν σου μὴ ζητεῖν τὸ δικαίωμα ἐν ἑτέροις πράγμασιν, ἵνα μὴ εὑρεθῇς τῇ μὲν μιᾷ χειρὶ ἐργαζόμενος, τῇ δὲ ἑτέρᾳ σκορπίζων.

2. Ἐκεῖ μὲν γὰρ χρεία κηδεμονίας, ἐνταῦθα δὲ πλατυσμοῦ καρδίας· καὶ γὰρ ἐὰν μὴ γένηται ὁ ἐλεήμων ὑπεράνωθεν τῆς δικαιοσύνης, οὐκ ἔστι τέλειος ἐλεήμων· τουτέστιν, οὐ μόνον ἐκ τῶν οἰκείων ἐλεῶν τοὺς ἀνθρώπους, ἀλλὰ καὶ μετὰ χαρᾶς ὑπομένων τὴν ἀδικίαν ἐκ τῶν ἑτέρων καὶ ἐλεῶν αὐτούς.

3. Ὅταν δὲ νικήσῃ τὴν δικαιοσύνην τῇ ἐλεημοσύνῃ, τότε στεφανοῦται οὐ τοῖς στεφάνοις τῶν ἐν τῷ κόσμῳ δικαίων, ἀλλὰ τοῖς τῶν τελείων τῶν ἐν τῷ Εὐαγγελίῳ· τὸ γὰρ διδόναι τινὰ πτωχοῖς ἐκ τῶν οἰκείων, καὶ γυμνὸν ἐνδύειν, καὶ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτόν, καὶ μὴ ἀδικεῖν, μηδὲ ψεύδεσθαι, ταῦτα καὶ ὁ παλαιὸς Νόμος προηγόρευσεν.

4. Ἡ δὲ τελειότης τοῦ Εὐαγγελίου οὕτω λέγει· ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει· καὶ παντὶ τῷ αἰτοῦντι σε δίδου. Καὶ οὐ μόνον τὴν ἀδικίαν τῶν πραγμάτων καὶ τὰ λοιπὰ τὰ ἔξωθεν ἐπιόντα δεῖ ὑπομένειν μετὰ χαρᾶς, ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν τιθέναι ὑπὲρ τοῦ ἀδελφοῦ· οὗτος γάρ ἐστιν ὁ ἐλεήμων, καὶ οὐχ ὁ διὰ δόσεως μόνον ἐλεῶν τὸν ἀδελφὸν αὐτοῦ, καὶ μὴ ἀναιδευθῇ τοῦ ἀντιφθέγξασθαι καὶ ἀκοῦσαι καὶ λυπῆσαι αὐτοῦ τὴν καρδίαν.

5. Εἰ θέλεις κτήσασθαι τὴν ἐλεημοσύνην, πρῶτον ἔθιζε σαυτὸν καταπτύειν πάντων, ἵνα μὴ τῷ βάρει τούτων ὁ νοῦς ἑλκυσθῇ, καὶ τῶν ἰδίων ὅρων ἐκτὸς γένηται· τῆς γὰρ ἐλεημοσύνης ἡ ἀκρίβεια ἐν τῇ τοῦ ἀδικεῖσθαι ὑπομονῇ δείκνυται.

6. Εἰ ἐν ἀληθείᾳ ἐλεήμων εἶ, ὅταν ἀφαιρεθῇς τὰ σὰ ἀδίκως μὴ θλιβῇς ἔσωθεν, μηδὲ τὴν ζημίαν τοῖς ἔξω διηγοῦ, καταποθείτω δὲ μᾶλλον ἡ κακία τῶν ἠδικηκότων σε τῇ συμπαθείᾳ, ὥσπερ ἡ τοῦ οἴνου αὐστηρία τῷ πλήθει τοῦ ὕδατος, καὶ ἐπιδεῖξαι τῷ πλήθει τῆς ἐλεημοσύνης σου ἐν οἷς ἀγαθοῖς ἀμείβῃ τοὺς ἀδικοῦντάς σε, καθὼς καὶ ὁ μακάριος Ἐλισσαῖος ἐποίησε τοῖς ἐλθοῦσιν αἰχμαλωτίσαι αὐτόν.

7. Ὅτε μὲν γὰρ προσευχόμενος ἐτύφλωσεν αὐτοὺς τῇ ἀχλύϊ, ἐπεδείξατο τὴν ἐν αὐτῷ οὖσαν δύναμιν· ὅτε δὲ βρῶσιν καὶ πόσιν δέδωκεν αὐτοῖς καὶ εἴασεν ἀπιέναι, τὴν ἐλεημοσύνην ἐπεδείξατο.

Ἑρμηνεία

ΟΤΑΝ θέσῃς ὅρους εἰς τὴν ψυχήν σου, νὰ ἐπιτύχῃς τὴν πνευματικήν σου οἰκοδομὴν διὰ τῆς εὐσπλαγχνίας σου πρὸς τοὺς ἔχοντας ἀνάγκην περιθάλψεως, τότε νὰ συνηθίσῃς νὰ μὴ ἐπιζητῇς τὰ δικαιώματά σου εἰς διαφόρους ἄλλας περιστάσεις. Ἐὰν ἀπὸ τὸ ἕνα μέρος προσφέρῃς ἐλεημοσύνην καὶ ἀπὸ τὸ ἄλλο ἀναζητῇς τὰ δικαιώματά σου, τότε εἶναι ὡς νὰ κτίζῃς μὲ τὴν μίαν χεῖρα καὶ νὰ γκρεμίζῃς αὐτὸ ποὺ κτίζεις μὲ τὴν ἄλλην.

2. Ὑποστήριξις τοῦ δικαιώματος σημαίνει αὐστηρὰ κηδεμονία τῶν ἰδικῶν μας πραγμάτων, ἀδιαφορία διὰ τὴν ἀνέχειαν τῶν ὀφειλετῶν μας, ἐνίοτε δὲ καὶ σκληρότης. Διὰ τὴν ἄσκησιν τῆς ἀρετῆς τῆς ἐλεημοσύνης ἀπαιτεῖται νὰ εἶναι κανεὶς μεγαλόκαρδος καὶ μεγαλόψυχος. Καὶ τοῦτο διότι ἐὰν ὁ ἐλεήμων δὲν ὑψωθῇ ὑπεράνω καὶ αὐτῆς τῆς δικαιοσύνης, δὲν εἶναι ποτὲ δυνατὸν νὰ πραγματοποιήσῃ ἐπιτυχῶς καὶ κατὰ τρόπον τέλειον τὸ ἰδανικὸν τῆς ἐλεημοσύνης. Θὰ ἐπι-

τύχῃ δὲ αὐτό, ἐὰν δὲν περιορίζεται μόνον εἰς τὴν προσφορὰν ἐλεημοσύνης ἀπὸ αὐτὰ ποὺ ἔχει, ἀλλὰ καὶ ἐὰν ὑπομένῃ εὐχαρίστως τὴν ἀδικίαν τῶν ἀνθρώπων καὶ ἔχῃ μάλιστα τὴν δύναμιν νὰ βοηθῇ αὐτούς, ποὺ τὸν ἀδικοῦν.

3. Ὅταν δὲ κατορθώσῃ καὶ νικήσῃ τὴν δικαιοσύνην διὰ τῆς ἐλεημοσύνης, τότε ἀσφαλῶς θὰ στεφανωθῇ ὑπὸ τοῦ Θεοῦ ὄχι μὲ τοὺς στεφάνους τῶν κατὰ κόσμον δικαίων, ἀλλὰ μὲ ἐκείνους ποὺ στεφανώνονται ὅσοι ἠδυνήθησαν νὰ πραγματοποιήσουν τὴν εὐαγγελικὴν τελειότητα. Διότι ἡ ἐλεημοσύνη εἰς τοὺς πτωχούς, ἡ ἔνδυσις γυμνοῦ, τὸ νὰ ἀγαπῶμεν τὸν πλησίον μας ὡς τὸν ἑαυτόν μας, τὸ νὰ μὴ ἀδικῶμεν καὶ νὰ μὴ ψευδώμεθα, ὅλα αὐτὰ τὰ ἐπέβαλλε καὶ ὁ παλαιὸς νόμος, ποὺ εἶχε δοθῇ πρὸ Χριστοῦ.

4. Ἡ εὐαγγελικὴ ὅμως τελειότης ἰδοὺ τί συνιστᾷ· «Παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει» (Λουκ. ϛ', 30) Ἐκεῖνος ποὺ θέλει νὰ γίνῃ τέλειος, ἔχει ὑποχρέωσιν ὄχι μόνον νὰ ἀνέχεται τὴν ἀδικίαν εἰς ὑλικὰ πράγματα, ἀλλὰ καὶ μετὰ χαρᾶς νὰ ὑπομένῃ καὶ ὅλας τὰς συμφορὰς ποὺ προέρχονται ἀπὸ τοὺς ἄλλους ἀνθρώπους, ἢ καὶ ἀπὸ τὸν πειρασμόν. Ἐπὶ πλέον δὲ νὰ εἶναι πρόθυμος καὶ τὴν ψυχήν του ἀκόμη νὰ θυσιάσῃ χάριν τοῦ ἀδελφοῦ του [1]. Αὐτὸς εἶναι ὁ τέλειος ἐλεήμων καὶ ὄχι ἐκεῖνος μόνον, ποὺ περιορίζεται εἰς τὴν προσφορὰν ὑλικῶν βοηθημάτων πρὸς τὸν πτωχόν, καὶ ὁ ὁποῖος ἔχει ἐπίσης τὴν ἐγκαρτέρησιν νὰ μὴ ἀπαντήσῃ εἰς ὅσα ἀκούσει, ἀπὸ αὐτὰ ποὺ προκαλοῦν λύπην, διὰ νὰ μὴ λυπήσῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ.

5. Ἐὰν θέλῃς λοιπὸν νὰ ἀποκτήσῃς τὴν ἐλεημοσύνην αὐτήν, νὰ συνηθίσῃς πρῶτον νὰ καταφρονῇς ὅλα, ὥστε νὰ μὴ παρασυρθῇ ὁ νοῦς ἀπὸ τὸ βάρος αὐτῶν καὶ εὑρεθῇ ἔξαφνα ἔξω ἀπὸ τὴν κατὰ Θεὸν πραγματικότητα. Ὁ δείκτης καὶ τὸ κριτήριον τῆς πραγματικῆς ἐλεημοσύνης εὑρίσκονται εἰς τὴν ψυχικὴν δύναμιν, μὲ τὴν ὁποίαν ἀντιμετωπίζομεν τὴν ἐκ τῶν ἀνθρώπων ἀδικίαν.

6. Ἐὰν εἶσαι πραγματικὸς ἐλεήμων καὶ δὲν ὑποκρίνεσαι τὸν τοιοῦτον, δὲν θὰ πρέπει νὰ στενοχωρηθῇς, ὅταν ἀδίκως σοῦ ἀφαιρέσουν τὰ ὑπάρχοντά σου, οὔτε νὰ διηγηθῇς τὸ κακόν, ποὺ σοῦ ἔκαμαν, εἰς τοὺς ἄλλους. Ἀπ' ἐναντίας· ἐπιβάλλεται νὰ καταπιῇς τὴν ἀδικίαν ποὺ σοῦ ἔκαμαν καὶ νὰ τὴν διαλύσῃς, τρόπον τινά, μὲ τὴν συμπάθειαν πρὸς αὐτοὺς ποὺ σὲ ἠδίκησαν, ὅπως ἀκριβῶς ἐξουδετερώνομεν τὴν ἔντασιν τοῦ οἴνου, ἀναμειγνύοντες αὐτὸν μὲ πολὺ ὕδωρ. Ἀπόδειξε τὸν πλοῦτον τῆς ἐλεημοσύνης σου μὲ ὅσας εὐεργεσίας θὰ πλουτίσῃς τοὺς ἀδικοῦντάς σε, ὡς νὰ ἀμείβῃς αὐτοὺς δι' ὑπηρεσίαν, ποὺ σοῦ προσέφεραν, ὅπως ἔπραξε καὶ ὁ Προφήτης Ἐλισσαῖος εἰς τοὺς ἐλθόντας νὰ τὸν αἰχμαλωτίσουν.

---

1) «Ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ». (Ἰωάν. ιε', 13).

7. Οὗτος ὅταν ἦλθον οἱ στρατιῶται τοῦ βασιλέως τῆς Συρίας νὰ τὸν αἰχμαλωτίσουν, διὰ τῆς προσευχῆς του ἐτύφλωσεν αὐτοὺς ἐπιδείξας οὕτω τὴν εἰς αὐτὸν ἐνοικοῦσαν δύναμιν τοῦ ἀληθινοῦ Θεοῦ· ἀφοῦ δὲ τοὺς ἐβύθισεν εἰς τὸ σκότος καὶ τοὺς ὡδήγησε τυφλοὺς εἰς τὴν Σαμάρειαν, ἐπέδειξε τὴν εὐσπλαγχνίαν του καὶ πρῶτον μὲν προσηυχήθη εἰς τὸν Θεὸν καὶ τοὺς ἀπέδωκε τὸ φῶς τῶν ὀφθαλμῶν των, δεύτερον τοὺς ἐλύτρωσεν ἀπὸ τὰς χεῖρας τοῦ βασιλέως τοῦ Ἰσραήλ, ὁ ὁποῖος ἤθελε νὰ τοὺς φονεύσῃ, καὶ τρίτον τοὺς παρέθεσε πλουσίαν τράπεζαν καὶ τοὺς ἄφησε νὰ φύγουν ἀνενόχλητοι, ἐπιδεικνύων τοιουτοτρόπως τὸ μέγεθος τῆς ἐλεημοσύνης του (Βλέπε ἐν Δ' Βασιλ. ς', 8—23).

Η'. Τοῦ Ἁγίου Μαξίμου

ΟΥ ΜΟΝΟΝ διὰ μεταδόσεως χρημάτων ἡ διάθεσις τῆς ἀγάπης γνωρίζεται, ἀλλὰ πολλῷ μᾶλλον διὰ μεταδόσεως λόγου Θεοῦ καὶ σωματικῆς διακονίας.

2. Ὁ τοῖς τοῦ κόσμου πράγμασι γνησίως ἀποταξάμενος, καὶ τῷ πλησίον διὰ τῆς ἀγάπης ἀνυποκρίτως δουλεύων, παντὸς πάθους ταχέως ἐλευθεροῦται καὶ τῆς θείας ἀγάπης καὶ γνώσεως μέτοχος καθίσταται.

3. Ὁ τὸν Θεὸν ἀγαπῶν, καὶ τὸν πλησίον πάντως ἀγαπᾷ· ὁ δὲ τοιοῦτος χρήματα τηρεῖν οὐ δύναται, ἀλλ' οἰκονομεῖ θεοπρεπῶς, ἑκάστῳ τῶν δεομένων παρέχων.

Ἑρμηνεία

Η ΔΙΑΘΕΣΙΣ τῆς ἀγάπης πρὸς τὸν πλησίον διαπιστώνεται ὄχι μόνον μὲ τὴν προσφορὰν χρημάτων πρὸς τὸν πτωχόν, ἀλλὰ πολὺ περισσότερον μὲ τὴν μετάδοσιν τοῦ λόγου τοῦ Θεοῦ καὶ τὴν πρόθυμον ἐξυπηρέτησιν τῶν σωματικῶν ἀναγκῶν, εἰς περίπτωσιν π.χ. ἀσθενείας κ.λ.π.

2. Ἐκεῖνος, ποὺ πραγματικὰ ἐγκατέλειψε τὰ πράγματα τοῦ κόσμου, καὶ ἐξυπηρετεῖ χωρὶς ὑποκρισίαν τὸν πλησίον του διὰ τῆς ἀγάπης, γρήγορα ἐλευθερώνεται ἀπὸ τὰ διάφορα πάθη καὶ τοιουτοτρόπως γίνεται προσφιλὲς ἀντικείμενον τῆς ἀγάπης τοῦ Θεοῦ, ὅστις τὸν ἀξιώνει τῆς ὑψηλῆς καὶ ὑπερφυσικῆς γνώσεως τῶν θείων καὶ οὐρανίων ἀληθειῶν.

3. Ἐκεῖνος, ποὺ ἀγαπᾷ τὸν Θεόν, ἀγαπᾷ ὁπωσδήποτε καὶ τὸν πλησίον [1]. Αὐτὸς λοιπὸν ποτὲ δὲν ἠμπορεῖ νὰ κρατήσῃ χρήματα, ἀλλὰ τὰ διαθέτει, ὅπως παραγγέλλει ὁ Θεός, εἰς πάντα ἔχοντα ἀνάγκην.

Θ'. Τοῦ Ἁγίου Βαρσανουφίου

ΑΔΕΛΦΟΣ ἠρώτησε Γέροντα λέγων· τί ἐστι συμπάθεια, καὶ πῶς ἔρχεται τῷ ἀνθρώπῳ; καὶ ἀπεκρίθη ὁ Γέρων· συμπάθειά ἐστι τὸ οἰκτειρῆσαι τὸν ὄντα ἐν ἀνάγκῃ· τῷ δὲ θέλοντι κρατῆσαι τὸ ἴδιον θέλημα,

---

1) «Ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν» (Α' Ἰωάν. δ', 20).

τούτῳ μὴ συμπαθήσῃς· ἔρχεται δὲ τῷ ἀνθρώπῳ ἡ συμπάθεια ἐκ τοῦ μνημονεύειν πῶς οἰκτείρει αὐτὸν ὁ Θεός, ἵνα καὶ αὐτὸς οἰκτειρήσῃ τὸν πλησίον.

Ἑρμηνεία

ΕΝΑΣ νεώτερος Μοναχὸς ὑπέβαλεν εἰς ἕνα γέροντα Ἀσκητὴν τὴν ἑξῆς ἐρώτησιν.

— Τί εἶναι συμπάθεια πρὸς τὸν πλησίον, καὶ πῶς γεννᾶται εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου τὸν χριστιανικὸν αὐτὸ αἴσθημα;

Εἰς τὴν ἐρώτησιν αὐτὴν ὁ Γέρων ἀπήντησε:

— Συμπάθεια εἶναι τὸ νὰ εὐσπλαγχνισθῇς αὐτόν, ποὺ εὑρέθη εἰς μίαν δυσκολίαν καὶ ἔχει ἀνάγκη τῆς βοηθείας σου. Ἐκεῖνος ὅμως, ποὺ θέλει νὰ κάμῃ τὸ ἰδικόν του θέλημα, νὰ μὴ τὸν συμπαθήσῃς. Ἡ συμπάθεια γεννᾶται εἰς τὸν ἄνθρωπον, ὅταν ὁ ἴδιος ἐνθυμεῖται διαρκῶς πόσον καὶ ὁ Θεὸς τὸν λυπεῖται καὶ τὸν εὐσπλαγχνίζεται. Ἡ σκέψις αὐτὴ θὰ τὸν ὁδηγήσῃ εἰς τὴν εὐσπλαγχνίαν τοῦ πλησίον.

Ι'. Ἐν τῷ Γεροντικῷ

ΓΕΡΟΝΤΙ τὶς προσήνεγκε χρήματα καὶ παρεκάλει λαβεῖν, ἵνα ἔχῃ εἰς ἰδίαν χρείαν· ὁ δὲ οὐ κατεδέχετο, λέγων τῷ ἰδίῳ ἐργοχείρῳ ἀρκεῖσθαι· ὁ δὲ ἐπέμενε παρακαλῶν, κἂν διὰ τὴν χρείαν τῶν δεομένων δέξασθαι αὐτά· καὶ ἀπεκρίθη ὁ Γέρων· τοῦτο διπλῆ αἰσχύνη ἐστίν, ἀδελφέ, ὅτι καὶ μὴ χρῄζων λαμβάνω, καὶ τὰ ἀλλότρια παρέχων κενοδοξῶ.

2. Εἶπε Γέρων, ὅτι ἐὰν δώσῃς τινὶ ἀγάπην, καὶ θλιβῇ ὁ λογισμός σου ὅτι πολὺ αὐτῷ ἔδωκας, μὴ πρόσχῃς αὐτῷ· σατανικὸς γάρ ἐστι· πλὴν ὅσον δύνασαι μετὰ πτωχείας καὶ ταπεινώσεως ζῆσον, ἵνα σὺ μᾶλλον χρῄζῃς λαβεῖν ἀγάπην πάντοτε.

3. Ὁ γὰρ διδοὺς χαίρει, λογιζόμενος ὅτι καλὸν ἔργον ποιεῖ· ὁ δὲ μὴ ἔχων ἀλλ' ἐν πτωχείᾳ διάγων εἰς μεγάλην ταπείνωσιν ἔρχεται, λογιζόμενος ὅτι οὐδὲν καλὸν ποιεῖ, οὐδὲ δίδωσί τινί τι, ἀλλ' αὐτὸς μᾶλλον ἐντολῆς δέεται· οὕτως ἔζησαν οἱ Πατέρες ἡμῶν, οὕτως εὗρε τὸν Θεὸν ὁ Ἀββᾶς Ἀρσένιος.

Ἑρμηνεία

ΚΑΠΟΙΟΣ εὐλαβὴς ἄνθρωπος προσέφερε χρήματα εἰς ἕνα γέροντα Ἀσκητὴν καὶ τὸν παρεκάλει νὰ τὰ δεχθῇ. Ὁ Γέρων ὅμως δὲν κατεδέχετο νὰ τὰ πάρῃ, λέγων, ὅτι τοῦ ἀρκοῦν ὅσα κερδίζει ἀπὸ τὸ ἐργόχειρόν του. Ὁ εὐλαβὴς ἐπισκέπτης ἐπέμενεν εἰς τὰς παρακλήσεις καὶ τοῦ εἶπε:

— Τοὐλάχιστον, ἐὰν δὲν τὰ θέλῃς διὰ τὸν ἑαυτόν σου, νὰ τὰ δεχθῇς διὰ νὰ βοηθῇς αὐτούς, ποὺ ἔχουν ἀνάγκην.

Εἰς αὐτὴν τὴν πρότασιν ἀπήντησεν ὁ Ἀσκητής:

— Ἀδελφέ μου, αὐτὸ εἶναι διπλῆ ἐντροπή· διότι καὶ χωρὶς νὰ ἔχω ἀνάγκην χρημάτων θὰ κρατήσω τὴν προσφοράν σου, καὶ διανέμων τὰ ξένα χρήματα εἰς τοὺς πτωχοὺς περιπίπτω εἰς κενοδοξίαν.

2. Ἕνας ἄλλος γέρων Ἀσκητὴς ἔλεγεν: Ἐὰν προσφέρῃς σὲ κά-

ποιον βοήθημα ἐξ ἀγάπης καὶ σὲ ἐνοχλήσῃ ὁ λογισμός, σου, ὅτι, δῆθεν, τοῦ προσέφερες πολύ, μὴ δώσῃς προσοχήν, διότι εἶναι σατανικὴ ἡ σκέψις αὐτή. Πάντως καλὸν θὰ εἶναι νὰ ζῇς μὲ ταπείνωσιν καὶ πτωχείαν, ὥστε σὺ νὰ ἔχῃς ἀνάγκην νὰ σὲ βοηθοῦν οἱ ἄλλοι ἀπὸ ἀγάπην.

3. Ἐκεῖνος, ποὺ δίδει ἐλεημοσύνην, αἰσθάνεται χαράν, διότι σκέπτεται, ὅτι ἀσκεῖ καλὸν ἔργον· ἐκεῖνος ὅμως ποὺ δὲν ἔχει νὰ προσφέρῃ τίποτε, διότι εἶναι πτωχός, ἔρχεται εἰς βαθεῖαν ταπείνωσιν καὶ ἐσωτερικὴν συντριβήν, σκεπτόμενος, ὅτι δὲν εἶναι εἰς θέσιν νὰ κάμῃ καμμίαν καλωσύνην· οὔτε δίδει εἰς κανένα τίποτε, διότι αὐτὸς μᾶλλον ἔχει ἀνάγκην ἐλεημοσύνης.

Μὲ τὸν τρόπον αὐτὸν ἔζησαν οἱ πνευματικοί μας Πατέρες· ἔτσι ἠδυνήθη νὰ εὕρῃ τὸν Θεὸν ὁ Ἀββᾶς Ἀρσένιος.

ΙΑ'. Τοῦ Ἁγίου Ἐφραὶμ

ΚΡΕΙΣΣΟΝ Μοναχὸς πτωχὸς ἡσυχάζων μετὰ ταπεινοφροσύνης, ἢ πλούσιος Μοναχὸς ῥογεύων μετὰ ὑπερηφανίας καὶ φυσιώσεως.

2. Ἀκούσωμεν, ἀδελφοί, τοῦ λέγοντος· «ἔχοντες διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα· οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα τοῦ διαβόλου καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία».

Ἑρμηνεία

ΚΑΛΛΙΤΕΡΑ νὰ εἶσαι ταπεινὸς Μοναχὸς καὶ νὰ ἡσυχάζῃς μὲ ταπεινοφροσύνην, παρὰ νὰ εἶσαι πλούσιος καὶ νὰ μοιράζῃς ἐλεημοσύνας μὲ ὑπερηφάνειαν καὶ καυχησιολογίαν.

2. Ἀδελφοί μου, ἂς προσέξωμεν τὴν σύστασιν τοῦ Ἀποστόλου· «Ἔχοντες διατροφὰς καὶ σκεπάσματα τούτοις ἀρκεσθησόμεθα· οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν· ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία» (Α' Τιμ. ϛ', 8—10).



ὙΠΌΘΕΣΙΣ ΜΗ΄

Ὅτι πολλάκις τινὲς ἐν πτωχείᾳ ὄντες καὶ κατὰ δύναμιν ἐλεοῦντες, ἔπειτα χρημάτων εὐπορήσαντες, τῇ φιλαργυρίᾳ ἡττηθέντες, καὶ ἣν εἶχον ἐλεημοσύνην ἀπέβαλον.

Πολλάκις μερικοὶ πτωχοὶ ποὺ ἐλεοῦν, κατὰ δύναμιν, ὅταν ἀποκτήσουν χρήματα, νικῶνται ἀπὸ τὴν φιλαργυρίαν καὶ οὕτω καὶ αὐτὴν τὴν ὀλίγην ἐλεημοσύνην τὴν ὁποίαν προσέφερον πρότερον τὴν ἐσταμάτησαν.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΔΙΗΓΗΣΑΤΟ ὁ Ἀββᾶς Δανιήλ, ὁ Πρεσβύτερος τῆς σκήτεως, εἰπών· ὅτε ἤμην νεώτερος, ἦλθον εἰς Θηβαΐδα, καὶ κατῆλθον εἰς ἓν κτῆμα πωλῆσαι τὸ ἐργόχειρόν μου· ἦν δὲ ἐκεῖ ἄνθρωπος ὀνόματι Εὐλόγιος, τῇ τέχνῃ λατόμος, ὃς ἐκ νεαρᾶς ἡλικίας τοιαύτην εἶχε τὴν ἐργασίαν, ἐκ τοῦ ἐργοχείρου αὐτοῦ καταλύων καθ᾿ ἑκάστην κεράτιον νουμίων, καὶ ἕως ἑσπέρας διακαρτερῶν νῆστις.

2. Τῇ ἑσπέρᾳ ἐξήρχετο εἰς τὸ κτῆμα καὶ τοὺς εὑρεθέντας ξένους εἰς τὸν ἴδιον οἶκον ἐξενοδόχει, τούς τε πόδας αὐτῶν οἰκείαις χερσὶν ἀπονίπτων· οὐ γὰρ εἶχεν ἄλλον τινὰ σὺν αὐτῷ, καὶ κατὰ δύναμιν διατρέφων· τῶν δὲ περιττευόντων κλασμάτων, τοῖς μὲν αὐτὸς τὴν χρείαν παρεμυθεῖτο τῆς φύσεως, τὰ δὲ τοῖς κυναρίοις τοῦ χωρίου ἐῤῥίπτει· μέχρι γὰρ καὶ τούτων τὸ συμπαθὲς ὁ ἄνθρωπος ἐπεδείκνυτο.

3. Οὗτος οὖν κἀμέ, φησι, πολλάκις ξενοδοχήσας μετὰ καί τινων ἄλλων ἀδελφῶν, σφόδρα τὴν αὐτοῦ θαυμάζειν ἀρετὴν παρεσκεύασεν· ἐξέπληττε γάρ με τὸ συμπαθὲς αὐτοῦ καὶ φιλάνθρωπον καὶ τὸ πρᾶον καὶ τὸ ταπεινὸν τοῦ φρονήματος· ἐπανελθὼν δὲ εἰς τὴν σκῆτιν, καὶ τῇ κέλλῃ προσκαθεσθείς, ἐπὶ τρισὶν ἑβδομάσι νηστείᾳ ἐμαυτὸν δέδωκα, δεόμενος τοῦ Θεοῦ χορηγῆσαι αὐτῷ περισσὸν ἀνάλωμα, ἵνα καὶ ἄλλους δύνηται εὐεργετεῖν πλείονας.

4. Ἐκ τῆς νηστείας οὖν ἐπιλειπούσης μου τῆς δυνάμεως, ἐκείμην ἡμιθανής· καὶ ὡς εἰς ὕπνον κατενεχθείς, ὁρῶ τινα ἱεροπρεπεῖ τῷ σχήματι παραστάναι μοι, ὃς καὶ εἶπε μοι· Δανιήλ, τί ἔχεις; καὶ λέγω αὐτῷ· λόγον δέδωκα τῷ Χριστῷ μὴ γεύσασθαι ἄρτου, ἕως οὗ ἀκούσῃ μου περὶ Εὐλογίου τοῦ λατόμου, ἵνα ἐπιχορηγήσῃ αὐτῷ εὐλογίαν, ὡς ἂν εὐεργετῇ πλείονας.

5. Ὁ δὲ εἶπεν· οὐχί, βλαβήσεται γάρ· νῦν δὲ καλῶς ἔχει· εἰ δὲ θέλῃς ἵνα χορηγήσω αὐτῷ, ἐγγύησαι περὶ τῆς ψυχῆς αὐτοῦ ὅτι σῴζεται ἐν πλείοσι, κἀγὼ παρέχω αὐτῷ· ἐγὼ δὲ πάλιν· μᾶλλον, Κύριε, δὸς αὐτῷ, ἵνα πάντες δι᾿ αὐτοῦ δοξάζωσι τὸ ὄνομά Σου τὸ Ἅγιον· ἀπεκρίθη ἐκεῖνος· εἰπόν σοι ὅτι νῦν καλῶς ἔχει· ἐγὼ δὲ πρὸς αὐτόν· ἐκ τῶν χειρῶν μου ἐκζήτησον τὴν ψυχὴν αὐτοῦ.

6. Ἔδοξα οὖν εὐθὺς ὅτι εὑρέθην εἰς τὴν Ἁγίαν Ἀνάστασιν, καὶ βλέπω μειράκιον καθήμενον ἐπάνω τοῦ Ἁγίου Λίθου, τὸν δὲ Εὐλόγιον ἐκ δεξιῶν αὐτοῦ παριστάμενον· ἀπιδὼν δὲ πρός με τὸ μειράκιον, εἶπε πρὸς τοὺς παρεστῶτας· οὗτός ἐστιν ὁ ἐγγυησάμενος τὸν Εὐλόγιον; οἱ δὲ ἀπεκρίθησαν· ναί, Δέσποτα· καὶ πάλιν· εἴπατε αὐτῷ ὅτι τὴν ἐγγύην ἀπαιτῆσαι ἔχω.

7. Ἐγὼ δὲ ἔφην· ναί, Δέσποτα, ἀπ' ἐμοῦ ταύτην ἀπαίτησον, μόνον δὸς αὐτῷ· καὶ βλέπω ὅτι ἐκένουν εἰς τὸν κόλπον αὐτοῦ χρήματα πολλά, καὶ ὅσον ἐκεῖνοι ἐκένουν, τοσοῦτον ἐδέχετο ὁ κόλπος τοῦ Εὐλογίου· διϋπνισθεὶς οὖν ἔγνων ὅτι εἰσηκούσθην καὶ ἐδόξασα τὸν Θεόν.

8. Εὐλόγιος δὲ ἐξελθὼν εἰς τὸ ἐργόχειρον αὐτοῦ, καὶ κρούσας εἰς πέτραν, ἀκούει ὑπόκωφόν τινα ψόφον καὶ δὴ ὀρύξας εὑρίσκει σπήλαιον μεστὸν χρημάτων· καὶ ἐκπλαγείς, ἐλογίζετο ἐν ἑαυτῷ τί ποιήσω· ἐὰν λάβω αὐτὰ εἰς τὸ κτῆμα, ἀκούει ὁ ἄρχων καὶ ἔρχεται καὶ λαμβάνει αὐτά, κἀγὼ κινδυνεύω· μᾶλλον οὖν εἰς τὴν ἔξω χώραν, ὅπου οὐδείς με γινώσκει, ἀπέλθω.

9. Καὶ μισθωσάμενος ζῷα ἐπὶ τῷ μετενέγκαι δῆθεν λίθους, μετήνεγκε τὰ χρήματα ἐπὶ τὸν ποταμόν, καὶ ἐμβαλὼν αὐτὰ εἰς πλοῖον καταλαμβάνει τὸ Βυζάντιον· ἐβασίλευε δὲ Ἰουστῖνος ὁ γέρων· καὶ δίδωσι χρήματα πολλὰ τῷ βασιλεῖ καὶ τοῖς μεγιστᾶσιν αὐτοῦ· καὶ ἐντὸς ὀλίγου καιροῦ γέγονεν ὕπαρχος τῶν Πραιτωρίων· καὶ ἠγόρασεν οἰκίαν μεγάλην, ἣ καὶ μέχρι τοῦ νῦν τοῦ Αἰγυπτίου λέγεται.

10. Καὶ διελθόντων δύο ἐτῶν, ἐγὼ μηδὲν εἰδὼς τῶν γεγονότων, βλέπω κατ' ὄναρ ὅτι εὑρέθην εἰς τὴν Ἁγίαν Ἀνάστασιν, καὶ τὸ μειράκιον αὖθις εἶδον ἐπὶ τοῦ Ἁγίου Λίθου καθήμενον, καὶ ἀναμνησθεὶς τοῦ Εὐλογίου, εἶπον ἐν ἐμαυτῷ· ἄρα ποῦ ἐστιν ὁ Εὐλόγιος; καὶ μετὰ μικρὸν ὁρῶ τοῦτον ὑπὸ αἰθίοπος ἀπὸ προσώπου τοῦ μειρακίου ἔξω συρόμενον· καὶ διϋπνισθείς, ἔγνων τί βούλεται τὸ ὅραμα καὶ εἶπον πρὸς ἐμαυτόν· οὐαί μοι τῷ ἁμαρτωλῷ, ὅτι ἀπώλεσά μου τὴν ψυχήν.

11. Καὶ ἀναστὰς ἀπῆλθον εἰς τὸ κτῆμα ὡς δῆθεν πωλῆσαι τὸ ἐργόχειρόν μου· καὶ προσδοκῶντός μου εὑρεῖν τὸν Εὐλόγιον, ἑσπέρα βαθεῖα ἐγένετο, καὶ οὐδείς με προετρέψατο εἰς οἰκίαν ξενισθῆναι· ἐγείρομαι οὖν καὶ ἐπερωτῶ μίαν γραῦν· καὶ λέγω αὐτῇ· Ἀμμά, λάβε μοι τρία παξαμάτια ἵνα φάγω, ὅτι οὐκ ἔφαγον σήμερον.

12. Ἡ δὲ ἀπελθοῦσα ἤνεγκέ μοι καὶ παρακαθίσασα ἤρξατο λαλεῖν μοι ὠφελείας ῥήματα λέγουσα· κῦρι Ἀββᾶ, οὐκ οἶδας ὅτι νέος εἶ, καὶ οὐκ ὤφειλες εἰς κτῆμα ἀπέρχεσθαι, ἢ οὐκ οἶδας ὅτι τὸ μοναχικὸν σχῆμα ἡσυχίαν θέλει; καὶ ἄλλα τινά· καὶ λέγω αὐτῇ· τί οὖν κελεύεις ἵνα ποιήσω, ὅτι τὸ ἐργόχειρόν μου ἦλθον πωλῆσαι· ἡ δὲ εἶπε· κἂν τὸ ἐργόχειρόν σου πωλῇς, μὴ ὄψιζε οὕτως εἰς τὸ κτῆμα· ἐὰν γὰρ θέλῃς Μοναχὸς γενέσθαι, ὕπαγε εἰς σκῆτιν.

13. Καὶ λέγω αὐτῇ· οὐκ ἔστιν ἄνθρωπος εἰς τὸ κτῆμα τοῦτο φοβούμενος τὸν Θεόν, ἵνα ἐπισυνάξῃ τοὺς ξένους; καὶ λέγει μοι· ὤ! τί ἐλάλησας, κῦρι Ἀββᾶ· εἴχομεν ὧδε λατόμον τινά, καὶ πολλὰ καλὰ ἐποίει εἰς τοὺς ξένους· καὶ ἰδὼν ὁ Θεὸς τὰ ἔργα αὐτοῦ, ἔδωκεν αὐτῷ χάριν, καὶ ἔστιν, ὡς ἀκούω, Πατρίκιος σήμερον· ἐγὼ δὲ ταῦτα ἀκούσας, εἶπον ἐν ἐμαυτῷ· ἐγὼ τὸν φόνον τοῦτον ἐποίησα.

14. Καὶ εὐθὺς ἐμβὰς εἰς πλοῖον καταλαμβάνω τὸ Βυζάντιον, καὶ ἐρωτήσας, καὶ μαθὼν τὴν οἰκίαν Εὐλογίου, ἐκαθέσθην πρὸς τῷ πυλῶνι, θέλων ἰδεῖν αὐτὸν προερχόμενον· ὡς οὖν προῆλθε, μετὰ μικρὸν θεωρῶ αὐτὸν ἐν φαντασίᾳ καὶ δορυφορίᾳ πολλῇ καὶ λέγω πρὸς αὐτόν· ἐλέησόν με τί ποτε θέλω σε ἰδεάσαι· ὁ δὲ οὐ προσέσχεν, ἀλλ' οἱ προπορευόμενοι ἔτυπτόν με καὶ προελάμβανον, καὶ πάλιν ἔκραζον· καὶ οἱ ὀψικεύοντες πάλιν ἔτυπτόν με.

15. Καὶ τοῦτο ἐπὶ τέσσαρας ἑβδομάδας ποιῶν, οὐκ ἠδυνήθην αὐτῷ συντυχεῖν· ὕστερον δὲ κράξαντός μου πάλιν, ἐπιτρέχει τις τῶν ὑπηρετούντων αὐτῷ, ῥάβδον κατέχων καὶ ἐπὶ τοσοῦτόν με τῇ ῥάβδῳ ἔπληξεν, ἕως ἡμιθανῆ με σχεδὸν εἰργάσατο· ἔπειτα μετὰ ἱκανὴν ὥραν μικρὸν ἐνισχύσας, εἶπον ἐν ἐμαυτῷ· ἄγωμεν εἰς σκῆτιν, καὶ ἐὰν θέλῃ ὁ Θεός, σῴζει καὶ τὸν Εὐλόγιον· καὶ κατῆλθον εἰς τὴν θά-

λασσαν, καὶ εὑρὼν πλοῖον Ἀλεξανδρινὸν εὐθὺς ἀπαῖρον ἀνέβην εἰς αὐτό, καὶ ἀπὸ τῆς ἀθυμίας καὶ τῶν πληγῶν κατηνέχθην εἰς ὕπνον.

16. Καὶ βλέπω ἐμαυτὸν πάλιν ἐν τῇ Ἁγίᾳ Ἀναστάσει, καὶ τὸ μειράκιον ἐκεῖνο ὁμοίως καθήμενον καὶ προσέχον μοι μετὰ ἀπειλῆς καὶ λέγον· οὐχ ὑπάγεις πληροῖς τὴν ἐγγύην; ἐγὼ δὲ ἐκ τοῦ φόβου οὐδὲ τὸ στόμα ἠδυνήθην ἀνοῖξαι· καὶ κελεύει δύο τῶν παρισταμένων αὐτῷ, καὶ λαβόντες δεσμοῦσί μου τὰς χεῖρας ὄπισθεν, καὶ κρεμῶσί με κατὰ κεφαλῆς λέγοντές μοι· μὴ ὑπὲρ τὴν δύναμίν σου ἐγγυῶ, καὶ μὴ ἀντίλεγε Θεῷ· ἐγὼ δὲ ἀπὸ τῆς ἀθυμίας καὶ τῆς ἀνάγκης ἀπεκρινάμην οὐδέν.

17. Οὕτως οὖν κρεμαμένου μου, γέγονε φωνὴ λέγουσα· προέρχεται ἡ Αὐγοῦστα· καὶ ἰδὼν αὐτὴν ἔλαβον θάρσος, καὶ ἔκραξα· ἐλέησόν με, Δέσποινα τοῦ κόσμου. Ἡ δὲ ἐπιστραφεῖσα πρός με λέγει· τί θέλεις; ἔφην ἐγώ· περὶ τῆς ἐγγύης Εὐλογίου κρέμαμαι· καὶ εἶπέ μοι· ἐγὼ παρακαλῶ ὑπὲρ σοῦ· καὶ βλέπω, ὅτι ἀπῆλθε καὶ κατεφίλησε τοὺς πόδας τοῦ μειρακίου, καὶ λέγει μοι τὸ μειράκιον· μηκέτι ποιήσῃς τὸ πρᾶγμα τοῦτο· εἶπον δὲ ἐγὼ σύντρομος· οὐχί, Δέσποτα, συγχώρησόν μοι· καὶ κελεύει καὶ λύουσί με· καὶ λέγει· ὕπαγε εἰς τὸ κελλίον σου, βλέπε δὲ καὶ πῶς τὸν Εὐλόγιον φέρω εἰς τὴν τάξιν αὐτοῦ τὴν προτέραν.

18. Διϋπνισθεὶς οὖν ἐχάρην χαρὰν μεγάλην, ὅτι ἀπηλλάγην τῆς τοιαύτης ἐγγύης· καὶ διαπλεύσας, ἦλθον εἰς σκῆτιν εὐχαριστῶν τῷ Θεῷ.

19. Μετὰ δὲ τρεῖς ἡμέρας ἀκούω ὅτι ἐτελεύτησεν Ἰουστῖνος ὁ βασιλεύς, ἐβασίλευσε δὲ Ἰουστινιανός· εἶτα μετ' ὀλίγον μανθάνω, ὅτι ἀντῆραν τῷ βασιλεῖ τέσσαρές τινες μεγιστᾶνες, ὧν εἷς ἦν καὶ ὁ Εὐλόγιος· καὶ οἱ μὲν τρεῖς κρατηθέντες ἀπεκεφαλίσθησαν, ὁ δὲ Εὐλόγιος ἔφυγε νυκτός· προσέταξε δὲ ὁ βασιλεὺς ἵνα, ὅπου ἐὰν εὑρεθῇ, ἀναιρεθῇ καὶ αὐτός.

20. Ἐρωτῶν οὖν περὶ αὐτοῦ ἐπιμελῶς, ἔμαθον ὡς ἐπανῆλθεν εἰς τὴν ἰδίαν χώραν, καὶ πάλιν τῆς λατομικῆς ἔχεται, μὴ ὁμολογῶν πρὸς τοὺς ἐντοπίους, ὅτι ἐκεῖνός ἐστιν ὁ ἐν Κωνσταντινουπόλει γενόμενος Πατρίκιος, ἀλλὰ ἄλλος τις Αἰγύπτιος· αὐτὸς δὲ εἰς τοὺς Ἁγίους Τόπους εἶναι τοὺς τοσούτους χρόνους διεβεβαιοῦτο.

21. Κατῆλθον οὖν πάλιν εἰς τὸ κτῆμα μαθεῖν τὰ περὶ αὐτοῦ ἀκριβέστερον· καὶ γενομένης ἑσπέρας, ἰδοὺ Εὐλόγιος ἦλθε τοὺς ξένους ἐπὶ ξενοδοχίαν καλῶν· ἰδὼν δὲ αὐτὸν ἐστέναξα, καὶ δακρύσας εἶπον πρὸς τὸν Θεόν· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· ὄντως σύ, Κύριε, πτωχίζεις καὶ πλουτίζεις, ταπεινοῖς καὶ ἀνυψοῖς· καὶ τὰ κρίματά Σου ἀνεξιχνίαστα.

22. Καὶ λαβὼν κἀμὲ μετὰ ἄλλων ξένων, ἀπήγαγε πρὸς τὴν οἰκίαν, καὶ νίψας τοὺς πόδας ἡμῶν, παρέθηκε τράπεζαν· καὶ μετὰ τὸ γεύσασθαι ἡμᾶς, λαβὼν αὐτὸν κατ' ἰδίαν, λέγω αὐτῷ· πῶς ἔχεις, Ἀββᾶ Εὐλόγιε; ὁ δὲ εἶπεν· εὖξαι ὑπὲρ ἐμοῦ, κῦρι Ἀββᾶ, ὅτι ταπεινός εἰμι μὴ ἔχων μετὰ χεῖρας τίποτε· ἐγὼ δὲ πρὸς αὐτόν· εἴθε καὶ ἃ ἔχεις μὴ εἶχες· εἶπε δὲ ἐκεῖνος· διατί, κῦρι Ἀββᾶ; μή τι ποτέ σε ἐσκανδάλισα;

23. Τότε διηγούμην αὐτῷ ἅπαντα τὰ γενόμενα· καὶ κλαύσας ἱκανῶς εἶπεν· εὖξαι, κῦρι Ἀββᾶ, ἵνα πέμψῃ ὁ Θεὸς τὴν χρείαν, καὶ ἀπὸ τοῦ νῦν διορθοῦμαι· ἐγὼ δὲ εἶπον· ὄντως, τέκνον, μὴ προσδοκήσῃς πιστευθῆναι ἄλλο τι παρὰ τοῦ Χριστοῦ, ὅσον εἶ ἐν τῷ κόσμῳ τούτῳ, εἰμὴ τὸ κεράτιον τούτου τοῦ καμάτου σου· καὶ συνταξάμενος αὐτῷ, ὑπέστρεψα.

24. Διέμεινε δὲ ὁ Εὐλόγιος οὕτω λατομῶν, καὶ τοὺς ξένους ὑποδεχόμενος μέχρι τέλους ζωῆς αὐτοῦ· καὶ ἑκατονταετὴς γενόμενος, οὐκ ἀπέστη τῆς τοιαύτης ἐργασίας, ἀλλ' ἐχορήγει αὐτῷ ὁ Θεὸς δύναμιν, ἕως τοῦ παρόντος βίου τὸν δρόμον ἐπλήρωσεν.

Ἑρμηνεία

Ο ΑΒΒΑΣ ΔΑΝΙΗΛ, ὁ Πρεσβύτερος τῆς σκήτεως, μᾶς διηγήθη τὴν ἑξῆς διδακτικὴν ἱστορίαν.

—Ὅταν ἤμουν νεώτερος, ἐπήγαινα εἰς τὴν Θηβαΐδα, διὰ νὰ πωλῶ τὸ ἐργόχειρόν μου. Εἰς ἕνα συνοικισμὸν τῆς περιοχῆς ἔζη ἕνας ἄνθρωπος, ποὺ ἤσκει τὸ ἐπάγγελμα τοῦ λατόμου· τὸν ἔλεγαν Εὐλόγιον. Ὁ ἄνθρωπος αὐτός, ἀπὸ νεαρᾶς ἡλικίας, καίτοι πτωχὸς βιοπαλαιστής, ἐν τούτοις ἦτο πάρα πολὺ ἐλεήμων. Ἀπὸ αὐτὰ ποὺ εἰσέπραττε, ἐκ τοῦ πενιχροῦ ἡμερομισθίου του, ἐξώδευε ἐλάχιστα διὰ νὰ φάγῃ, μίαν μόνον φορὰν τὴν ἡμέραν, τὸ ἑσπέρας, παραμένων νηστικὸς καθ' ὅλον τὸ διάστημα τῆς ἡμέρας.

2. Τὸ ἑσπέρας, ὅταν ἐτελείωνε τὴν ἐργασίαν του, ἔβγαινεν εἰς τὸν συνοικισμὸν καὶ ἀνεζήτει πτωχοὺς ξένους, οἱ ὁποῖοι δὲν εἶχον ποῦ νὰ παραμείνουν καὶ τοὺς ἐφιλοξένει εἰς τὸν πτωχικόν του οἰκίσκον. Ἐκεῖ, ἀφοῦ ὡς ταπεινὸς ὑπηρέτης τοὺς ἔπλενε ὁ ἴδιος τοὺς πόδας, διότι δὲν εἶχε καὶ ἄλλους πλησίον του, τοὺς ἀνέπαυε μὲ τὰς πενιχρὰς δυνάμεις του καὶ τοὺς διέτρεφε. Μόνον δὲ ἀπὸ αὐτά, ποὺ ἐπερίσσευον, ἔτρωγε καὶ αὐτὸς ὀλίγον, κάθε βράδυ, διὰ παραμικρὰν παραμυθίαν τοῦ σαρκίου, τὰ δὲ ὑπόλοιπα ἔρριπτεν, ὡς τροφήν, εἰς τὰ σκυλάκια τοῦ συνοικισμοῦ. Ἕως τὰ μικρὰ αὐτὰ ζῷα ἔφθανεν ἡ εὐσπλαγχνία του.

3. Ὁ Εὐλόγιος αὐτὸς καὶ ἐμένα πολλάκις ἐφιλοξένησε καὶ ἐπεριποιήθη, μαζὶ μὲ ἄλλους ἀδελφούς. Τοιουτοτρόπως ἐσχημάτισα προσωπικὴν ἀντίληψιν τῆς ἀρετῆς του καὶ τὸν ἐθαύμαζα. Κατάπληξιν μοῦ ἐπροκαλοῦσεν ἡ φιλάνθρωπος συμπάθειά του, ἡ πραότης του, καὶ ἡ ταπεινοφροσύνη του.

Μίαν λοιπὸν ἀπὸ τὰς πολλὰς φοράς, ποὺ τὸν ἐπεσκέφθην καὶ ἐπέστρεψα εἰς τὴν σκήτην μου, ἐσκέφθην πόσον ὠφελιμώτερος εἰς τοὺς ἀνθρώπους θὰ ἦτο ὁ Εὐλόγιος, ἐὰν εἶχε πολλὰ χρήματα εἰς τὴν διάθεσίν του. Δι' αὐτὸ ἤρχισα ἔντονον ἀγῶνα νηστείας καὶ προσευχῆς, ἐπὶ τρεῖς ἑβδομάδας παρακαλῶν ἐπιμόνως τὸν Θεὸν νὰ δώσῃ εἰς τὸν Εὐλόγιον πλούτη, διὰ νὰ εὐεργετῇ περισσοτέρους πτωχούς.


4. Ἡ νηστεία καὶ ἡ ἐπίμονος δέησις μὲ ἐξήντλησαν σωματικῶς καὶ σχεδὸν παρέμεινα μισοπεθαμένος· καθὼς λοιπὸν ἀπεκοιμήθην ὀλίγον ἐκ τοῦ κόπου, βλέπω καὶ μὲ ἐπισκέπτεται κάποιος σοβαρὸς ἄνθρωπος μὲ ἱερατικὴν περιβολὴν καὶ μοῦ λέγει:

— Δανιήλ, τί ἔχεις;

—Ἔδωσα—εἶπον εἰς αὐτὸν — ὑπόσχεσιν εἰς τὸν Χριστόν μου, ὅτι δὲν θὰ βάλω ψωμὶ εἰς τὸ στόμα μου, ἐὰν δὲν ἱκανοποιήσῃ τὴν παράκλησίν μου, νὰ εὐλογήσῃ τὸν Εὐλόγιον τὸν λατόμον, νὰ πλουτήσῃ, ὥστε νὰ δύναται νὰ βοηθήσῃ πολλούς.

5. Τότε ὁ ἐπισκέπτης ἐκεῖνος μοῦ εἶπε:

— Μὴ ἐπιμένῃς, Δανιήλ· καλὰ εἶναι τώρα. Ἐὰν ἀποκτήσῃ περισσότερα, θὰ ζημιωθῇ ψυχικῶς. Ἐὰν θέλῃς ὅμως νὰ δώσω εἰς τὸν


Ὁ ἈΒΒᾶς
ΔΑΝΙΗΛ

Εὐλόγιον πολλὰ πλούτη, τότε νὰ ἐγγυηθῇς διὰ τὴν ψυχήν του, ὅτι δὲν θὰ ζημιωθῇ μὲ τὰ πολλά, καὶ ἐγὼ τοῦ δίδω.

— Κύριε,—λέγω πάλιν ἐγὼ — δὸς εἰς αὐτὸν ἀγαθὰ ὑλικά, διὰ νὰ εὐλογοῦν καὶ δοξάζουν ὅλοι, ὅσοι θὰ εὐεργετῶνται ὑπ' αὐτοῦ, τὸ ὄνομά Σου τὸ Ἅγιον.

— Σοῦ ἐπαναλαμβάνω,—ἀπεκρίθη ὁ ἱεροπρεπὴς ἐκεῖνος ἀνὴρ —ὅτι τώρα καλὰ εἶναι, ὅπως εἶναι.

—Ἐὰν ζημιωθῇ—ἔσπευσα νὰ ἀπαντήσω—ἐγὼ νὰ εἶμαι ὑπεύθυνος διὰ τὴν ψυχήν του.

6. Ἀμέσως λοιπὸν μοῦ ἐφάνη, ὅτι εὑρέθηκα εἰς τὸν Ναὸν τῆς Ἀναστάσεως. Ἐπὶ τοῦ Ἁγίου Λίθου ἐκάθητο ἕνα παιδίον ὡραιότατον, ποὺ εἶχεν εἰς τὰ δεξιά του τὸν Εὐλόγιον.

Μόλις μὲ εἶδε τὸ παιδίον αὐτό, στρέφεται πρὸς τοὺς παρισταμένους καὶ τοὺς λέγει:

— Αὐτὸς ἐδῶ εἶναι, ποὺ ἠγγυήθη διὰ τὴν ψυχὴν τοῦ Εὐλογίου;

— Μάλιστα, Δέσποτα—τοῦ ἀπήντησαν.

— Νὰ τοῦ εἰπῆτε καὶ πάλιν,—εἶπε τὸ παιδίον— ὅτι ἀπὸ αὐτὸν θὰ ζητήσω εὐθύνας, ἐὰν ζημιωθῇ ἡ ψυχὴ τοῦ Εὐλογίου.

7. Τότε ἀπήντησα ἐγὼ πρὸς τὸ παιδίον, ποὺ ἦτο αὐτὸς οὗτος ὁ Δεσπότης Χριστός.

— Ναί, Δέσποτα, δέχομαι εὐχαρίστως τὴν εὐθύνην αὐτήν. Δίδω εὐχαρίστως τὴν ἐγγύησιν, ποὺ μοῦ ζητεῖς, μόνον δῶσε του χρήματα, διὰ νὰ ἐργάζεται εἰς εὐρύτερον κύκλον τὸ ἀγαθόν.

Μετὰ βλέπω τοὺς παρισταμένους νὰ γεμίζουν μὲ χρήματα τὸν κόλπον τοῦ Εὐλογίου. Ὅσον δὲ ἔρριπτον χρήματα, τόσον δὲν ἐγέμιζεν ὁ κόλπος. Ὅταν ἐξύπνησα, ἀντελήφθην ὅτι μὲ ἤκουσεν ὁ Θεὸς καὶ τὸν εὐχαρίστησα θερμῶς. Καὶ αὐτὸ μὲν ὑπῆρξε τὸ ἀποκαλυπτικὸν ὄνειρον· τί συνέβη ὅμως μὲ τὸν Εὐλόγιον;

8. Ὁ Εὐλόγιος τὴν πρωΐαν, μετὰ τὸ ὄνειρον αὐτό, μετέβη εἰς τὸ λατομεῖον, διὰ νὰ ἐργασθῇ, ὡς συνήθως. Καθὼς λοιπὸν ἐκτυποῦσε μίαν πέτραν, ἤκουσεν ἕνα ὑπόκωφον κρόταν, ποὺ ἐφανέρωνεν, ὅτι κάτω ἀπὸ τὴν πέτραν αὐτὴν ὑπῆρχε σπηλιά. Πράγματι ἔβγαλε τὴν πέτραν, καὶ βλέπει κατάπληκτος μίαν σπηλιὰν γεμάτην ἀπὸ χρήματα. Ἐσάστισε τότε καὶ ἐσκέπτετο τί νὰ κάμῃ. Ἐὰν τὰ μεταφέρω εἰς τὸν συνοικισμὸν—ἔλεγε μόνος του—θὰ τὸ πληροφορηθῇ ὁ ἄρχων, ὁπόταν καὶ τὰ χρήματα θὰ μοῦ κατασχέσῃ καὶ ἐγὼ θὰ κινδυνεύσω. Προτιμότερον θὰ εἶναι νὰ φύγω, μακρὰν ἀπὸ τὸν τόπον αὐτόν, ὅπου δὲν μὲ γνωρίζει κανείς.

9. Καὶ ἀμέσως ἔθεσεν εἰς ἐφαρμογὴν τὸ σχέδιόν του· ἐνοικίασε ζῷα, ὑπὸ τὸ πρόσχημα νὰ μεταφέρῃ πέτρας. Πράγματι ὅμως μὲ τὰ ζῷα αὐτὰ μετέφερε τὰ εὑρεθέντα χρήματα πλησίον ἑνὸς μεγάλου ποταμοῦ, ἀπὸ ὅπου ἐπεβιβάσθη εἰς πλοῖον καὶ ἀνεχώρησε διὰ τὸ Βυζάντιον.

Εἰς τὸ Βυζάντιον τότε ἐβασίλευεν ὁ γέρων Ἰουστῖνος. Εἰς αὐτὸν

καὶ εἰς τοὺς μεγιστᾶνας του προσφέρει ὁ Εὐλόγιος πολλὰ χρήματα καί, ἐντὸς ὀλίγου, ἀνεδείχθη ὑπαρχηγὸς τοῦ αὐτοκρατορικοῦ οἴκου τοῦ Ἰουστίνου. Ἐν τῷ μεταξὺ ἠγόρασεν εἰς τὴν Κωνσταντινούπολιν πολυτελεστάτην καὶ εὐρύχωρον οἰκίαν, ἡ ὁποία καὶ μέχρι σήμερον ἀκόμη εἶναι γνωστὴ ὡς οἰκία τοῦ Αἰγυπτίου.

10. Μετὰ τὸν πλουτισμὸν τοῦ Εὐλογίου, παρῆλθον ἔκτοτε δύο ἔτη, χωρὶς ἐγὼ νὰ γνωρίζω τίποτε ἀπὸ ὅσα συνέβησαν.

Μία λοιπὸν νύκτα βλέπω, ὅτι εὑρέθην πάλιν εἰς τὸν χῶρον τοῦ Ναοῦ τῆς Ἀναστάσεως. Ἐπάνω εἰς τὸν Ἅγιον Λίθον ἐκάθητο, ὡς καὶ τότε, τὸ ὡραῖον ἐκεῖνο παιδίον, ποὺ ἦτο ὁ Δεσπότης Χριστός. Ἐσκέφθην τότε· ποῦ νὰ εἶναι ἄραγε ὁ Εὐλόγιος; Δὲν ἐπρόλαβα νὰ τελειώσω τὴν σκέψιν μου καὶ βλέπω ἕνα φοβερὸν καὶ ἀπαίσιον ἀράπην, ποὺ ἔτραβοῦσε μὲ βίαν ἔξω τὸν Εὐλόγιον καὶ τὸν ἀπεμάκρυνεν ἀπὸ τὸ πρόσωπον τοῦ παιδίου. Ἀμέσως ἐξύπνησα τρομαγμένος καὶ προσπαθοῦσα νὰ ἐξηγήσω τὸ ὄνειρον. Δὲν ἄργησα νὰ ἀντιληφθῶ τὴν σημασίαν του· ἀλλοίμονον εἰς ἐμέ, τὸν ἁμαρτωλὸν—ἐμονολόγησα—ἔχασα τὴν ψυχήν μου, διότι ὁ Εὐλόγιος ἐζημιώθη ἀπὸ τὰ πλούτη.

11. Χωρὶς οὐδεμίαν ἀναβολὴν ἔφυγα διὰ τὸν συνοικισμόν, διὰ νὰ πωλήσω, δῆθεν, τὸ ἐργόχειρόν μου. Ὅλην τὴν ἡμέραν, μέχρι ποὺ ἤρχισε νὰ νυκτώνῃ, ἐπερίμενα νὰ συναντήσω τὸν Εὐλόγιον. Κανεὶς ὅμως δὲν μὲ ἐπλησίασε, διὰ νὰ μὲ φιλοξενήσῃ. Σηκώνομαι λοιπὸν καὶ ἐγὼ καὶ συναντῶ μίαν γραῖαν καὶ τῆς λέγω:

— Σὲ παρακαλῶ, μητέρα μου, πάρε μου τρία παξιμάδια νὰ φάγω, διότι ὅλην τὴν ἡμέραν σήμερα εἶμαι νηστικός.

12. Πράγματι ἐκείνη ἐπῆγε καὶ μοῦ ἔφερεν ὀλίγον φαγητόν· ἀφοῦ δὲ ἐκάθισε πλησίον μου, ἤρχισε νὰ μὲ συμβουλεύῃ μὲ ὠφελίμους λόγους.

— Γέροντά μου,—μοῦ ἔλεγεν,—δὲν βλέπεις, ὅτι εἶσαι νέος καὶ δὲν ἔπρεπε νὰ ἐπισκέπτεσαι τὸν συνοικισμόν; Ἢ μήπως ἀγνοεῖς, ὅτι ὁ καλὸς Μοναχὸς ἔχει ἀνάγκην ἀπὸ ἡσυχίαν καὶ ὄχι ἀπὸ θορύβους;

Αὐτὰ καὶ ἄλλα μοῦ ἔλεγεν· εἰς ἀπάντησιν δὲ αὐτῶν τῆς λέγω:

— Τί μὲ προστάζεις νὰ κάμω τώρα; Διότι ἦλθον ἐδῶ νὰ πωλήσω τὸ ἐργόχειρον μου.

—Ἔστω καὶ τὸ ἐργόχειρόν σου νὰ πωλῇς—μοῦ εἶπεν ἐκείνη—ὅσον ἠμπορεῖς νὰ μὴ καθυστερῇς ἐδῶ εἰς τὸν συνοικισμόν, διότι ἐὰν θέλῃς νὰ γίνῃς πραγματικὸς καὶ τέλειος Μοναχός, πρέπει νὰ εὑρίσκεσαι πάντοτε εἰς τὴν σκήτην σου.

13. Λέγω τότε πρὸς αὐτήν:

—Ἐδῶ, εἰς τὸ μέρος αὐτό, δὲν ὑπάρχει κανεὶς ἄνθρωπος, ποὺ νὰ σέβεται τὸν Θεόν, διὰ νὰ φιλοξενῇ εἰς τὸν οἶκόν του τοὺς ξένους, ποὺ δὲν ἔχουν ποῦ νὰ μείνουν;

— Γέροντά μου—μοῦ λέγει ἐκείνη—τί μοῦ ἐθύμισες μὲ τὴν ἐρώτησίν σου αὐτήν; Ἔζη κάποτε ἐδῶ ἕνας λατόμος, ποὺ ἔκανε πολλὰ καλὰ εἰς τοὺς ξένους. Εἶδεν ὁ Θεὸς τὰ καλά του ἔργα καὶ τὸν εὐεργέ-

τησε μὲ τὴν Χάριν του. Καθὼς δὲ πληροφοροῦμαι, σήμερα κατέχει τὸ ἀξίωμα τοῦ πατρικίου εἰς τὴν Κωνσταντινούπολιν.

Μόλις ἤκουσα τὴν εἴδησιν αὐτήν, εἶπον εἰς τὸν ἑαυτόν μου· διὰ τὸν φόνον αὐτῆς τῆς ψυχῆς ἐγὼ εἶμαι ὁ αἴτιος.

14. Χωρὶς νὰ ἀργοπορῶ, ἐπιβιβάζομαι εἰς τὸ πρῶτον πλοῖον, ποὺ ἀνεχώρει ἀπὸ τὸν λιμένα, καὶ φεύγω διὰ τὴν πρωτεύουσαν τοῦ Βυζαντίου. Μόλις ἔφθασα, ἀνεζήτησα τὴν οἰκίαν τοῦ Εὐλογίου. Ἀφοῦ τὴν εὑρῆκα, ἐπὶ τέλους, ἐκάθησα εἰς τὴν ἐξώθυραν ἐπιθυμῶν νὰ τὸν ἰδῶ, ὅταν θὰ ἐπερνοῦσεν ἀπὸ ἐκεῖ. Μετ' ὀλίγην ὥραν, πράγματι, ἐπέρασε· ποῦ ὅμως νὰ τὸν ἀναγνωρίσῃ κανείς! περιεβάλλετο ἀπὸ πλούτη καὶ μεγαλεῖα καὶ συνωδεύετο ἀπὸ πολλοὺς ὑπηρέτας. Μὲ κάποιον φόβον τὸν πλησιάζω καὶ τοῦ λέγω:

— Εὐσπλαγχνίσου με, ἄρχοντά μου, θέλω νὰ σὲ ἰδῶ ὀλίγον.

Οὔτε μοῦ ἔδωσε σημασίαν· αὐτοὶ ποὺ ἐπροπορεύοντο μὲ ἐσταματοῦσαν, μὲ ἐκτυποῦσαν καὶ δὲν μὲ ἄφηναν νὰ ὁμιλήσω. Ἐγὼ ὅμως ἐπέμενα εἰς τὴν παράκλησίν μου καὶ ἐφώναζα πάλιν, ἕως ὅτου μὲ ἐπρολάμβανον οἱ ἀκολουθοῦντες τὸν Εὐλόγιον ὑπηρέται καὶ μὲ ἐκτυποῦσαν καὶ αὐτοί, διὰ νὰ σταματῶ.

15. Τέσσαρας ἑβδομάδας ἐπέμενα εἰς τὴν προσπάθειάν μου αὐτήν, χωρὶς νὰ ἠμπορέσω νὰ τὸν συναντήσω. Τελευταῖα ἐφώναξα ἀπελπισμένος ἔξω ἀπὸ τὴν οἰκίαν του διὰ νὰ τὸν συναντήσω, ἀλλὰ καὶ πάλιν χωρὶς ἀποτέλεσμα. Ἕνας μάλιστα ἀπὸ τοὺς ὑπηρέτας του τρέχει μὲ ὀργὴν κρατῶν μίαν ράβδον καὶ τόσον πολὺ μὲ ἐκτύπησε μὲ αὐτήν, ὥστε μὲ ἄφησε σχεδὸν μισοπεθαμένον. Μετὰ ἀπὸ ἀρκετὴν ὥραν, ὅταν συνῆλθα, λέγω εἰς τὸν ἑαυτόν μου.

—Ἂς ἐπιστρέψωμεν, Δανιήλ, εἰς τὴν σκήτην, καὶ μόνον ὅταν θελήσῃ ὁ Θεὸς θὰ σώσῃ τὸν Εὐλόγιον.

Λυπημένος καὶ κουρασμένος κατέβηκα εἰς τὸν λιμένα, καὶ εὑρῆκα πλοῖον τὸ ὁποῖον ἀνεχώρει διὰ τὴν Ἀλεξάνδρειαν· ἀμέσως ἐπεβιβάσθην εἰς αὐτό. Ἀπὸ τὴν ταλαιπωρίαν δέ, τὴν ἀπογοήτευσιν καὶ τὰς πληγὰς τοῦ ξυλοκοπήματος, μὲ ἐπῆρεν ὁ ὕπνος καὶ ἐκοιμήθηκα εἰς ἕνα μέρος τοῦ πλοίου.

16. Βλέπω τότε ἕνα φοβερὸν ὄνειρον! Εὑρέθην πάλιν εἰς τὸν Ναὸν τῆς Ἀναστάσεως, ὅπου ἐπάνω εἰς τὸν Ἱερὸν Λίθον ἐκάθητο ὁ Δεσπότης Χριστός, ὑπὸ τὸ σχῆμα τοῦ ὡραίου παιδίου. Μὲ βλέπει λοιπὸν μὲ αὐστηρότητα καὶ μοῦ λέγει ἀπειλητικά:

— Τί σκέπτεσαι; Δὲν θὰ ὑπάγῃς νὰ πληρώσῃς τὴν ἐγγύησιν, τὴν ὁποίαν ἀνέλαβες;

Ἐγὼ ἀπὸ τὸν φόβον μου, οὔτε τὸ στόμα μου δὲν ἠμπόρεσα νὰ ἀνοίξω. Ἀμέσως τότε τὸ παιδίον διατάσσει δύο ἀπὸ τὴν συνοδείαν του νὰ μὲ συλλάβουν καὶ νὰ μοῦ δέσουν ὄπισθεν τὰς χεῖρας. Ἐκεῖνοι ἀφοῦ ἐξετέλεσαν τὴν ἐντολὴν μὲ κρεμοῦν μὲ τὴν κεφαλὴν πρὸς τὰ κάτω καὶ μοῦ λέγουν μὲ αὐστηρότητα:

— Νὰ μὴ ἐγγυᾶσαι ποτὲ περισσότερον ἀπὸ τὴν δύναμίν σου καὶ νὰ μὴ ἀντιλέγῃς εἰς τὸν Θεόν.

Ἐγὼ ἀπὸ τὴν ὀδύνην τοῦ βασανισμοῦ καὶ τὴν στενοχώρια, τίποτε δὲν ἠμποροῦσα νὰ ἀπαντήσω.

17. Ἐνῷ λοιπὸν ἤμουν κρεμασμένος καὶ ἐπονοῦσα, ἠκούσθη φωνή: Περνᾷ ἡ Αὐγούστα!

Μόλις τὴν εἶδα, ἐπῆρα θάρρος καὶ ἐκραύγασα μὲ ὀδύνην.

— Λυπήσου με, Δέσποινα τοῦ κόσμου.

Τότε ἡ Θεοτόκος στρέφεται πρὸς ἐμὲ καὶ ἐρωτᾷ:

— Τί θέλεις;

— Μὲ ἐκρέμασαν—εἶπον ἐγὼ—διότι εἶχον ἐγγυηθῆ διὰ τὸν Εὐλόγιον, ὁ ὁποῖος ἐζημιώθη ψυχικῶς.

— Μὴ λυπῆσαι—μοῦ λέγει ἐκείνη—ἐγὼ θὰ παρακαλέσω διὰ σέ.

Πράγματι κατηυθύνθη πρὸς τὸ παιδίον, ποὺ ἦτο, ὅπως εἶπον, ὁ Δεσπότης Χριστὸς καὶ ἀσπασθεῖσα τοὺς πόδας Του τὸν παρεκάλεσε δι' ἐμέ. Τότε τὸ ὡραῖον παιδίον, ποὺ μὲ εἶδε μὲ τόσην αὐστηρότητα καὶ παρηκολούθει τὴν τιμωρίαν μου, μὲ κοιτᾷ μὲ γλυκύτητα καὶ μοῦ λέγει:

— Ποτὲ νὰ μὴ ξανακάμῃς αὐτὸ τὸ πρᾶγμα!

Ἐγὼ τρέμων καὶ φοβούμενος εἶπον:

—Ὄχι, Δέσποτα, συγχώρησόν μοι δι' αὐτό, ποὺ ἔκαμα.

Μετὰ τὴν διαβεβαίωσίν μου αὐτὴν τὸ παιδίον διατάσσει νὰ μὲ λύσουν καὶ μοῦ δίδει τὰς πρεπούσας συστάσεις.

— Πήγαινε τώρα εἰς τὸ κελλί σου,—μοῦ λέγει—καὶ πρόσεχε νὰ ἴδῃς μὲ ποιὸν τρόπον θὰ ἐπαναφέρω τὸν Εὐλόγιον εἰς τὴν προηγουμένην του σειράν.

18. Μόλις ἐξύπνησα ἀπὸ τὸ ἐφιαλτικὸν καὶ τρομακτικὸν αὐτὸ ὄνειρον, ἐχάρην πάρα πολύ, διότι ἐπὶ τέλους ἀπηλλάγην ἀπὸ τὴν εὐθύνην τῆς ἐγγυήσεως, ποὺ εἶχα δώσει. Ἀφοῦ δὲ ἐτελείωσε τὸ ταξίδι καὶ ἔφθασα ὑγιὴς εἰς Ἀλεξάνδρειαν, μετέβην εἰς τὴν σκήτην μου, εὐχαριστῶν τὸν Θεὸν διὰ τὴν ἀπαλλαγήν μου.

19. Μετὰ ἀπὸ τρεῖς ἡμέρας πληροφοροῦμαι, ὅτι ἀπέθανεν ὁ αὐτοκράτωρ Ἰουστῖνος καὶ τὸν διεδέχθη ὁ Ἰουστινιανός. Μετ' ὀλίγον μανθάνω ὅτι τέσσαρες μεγιστᾶνες ἐπανεστάτησαν ἐναντίον τοῦ νέου αὐτοκράτορος· μεταξὺ τῶν τεσσάρων αὐτῶν στασιαστῶν, συγκατελέγετο καὶ ὁ Εὐλόγιος. Οἱ τρεῖς στασιασταὶ συνελήφθησαν καὶ ἀπεκεφαλίσθησαν· ὁ Εὐλόγιος κατώρθωσε νὰ δραπετεύσῃ κατὰ τὸ διάστημα τῆς νυκτός. Ὁ αὐτοκράτωρ ἐξέδωκεν αὐστηροτάτην διαταγὴν νὰ συλληφθῇ, ὅπου καὶ ἐὰν εὑρεθῇ, καὶ νὰ ἀποκεφαλισθῇ καὶ αὐτός.

20. Κατόπιν τῆς εἰδήσεως αὐτῆς ἤρχισα πλέον συστηματικῶς νὰ ἐξετάζω τὰ περὶ αὐτοῦ. Ἔμαθα λοιπόν, ὅτι ἐπέστρεψεν εἰς τὸ χωριό του καὶ εἰργάζετο πάλιν εἰς τὸ λατομεῖον. Ἀπὸ τοὺς ἐντοπίους ἀπέκρυπτεν, ὅτι εἶναι ὁ ἴδιος ποὺ εἶχε γίνει Πατρίκιος εἰς τὴν Κωνσταντινούπολιν· ἔλεγεν ὅτι ὁ πατρίκιος αὐτὸς ἦτο ἄλλος Αἰγύπτιος. Διὰ

τὸν ἑαυτόν του ἰσχυρίζετο, ὅτι ὅλα αὐτὰ τὰ χρόνια διέμενεν εἰς τοὺς Ἁγίους Τόπους.

21. Κατόπιν τῶν πληροφοριῶν αὐτῶν κατέβηκα πάλιν ἀπὸ τὴν σκήτην εἰς τὸν συνοικισμόν, διὰ νὰ ἐξακριβώσω καὶ μόνος μου τὴν ἀλήθειαν. Ὅταν ἐβράδυασε, μὲ χαρὰν μεγάλην πλέον εἶδον τὸν Εὐλόγιον ταπεινωμένον νὰ προσκαλῇ τοὺς ξένους εἰς τὸν οἶκον του, διὰ νὰ τοὺς φιλοξενήσῃ. Ἐδάκρυσα τότε καὶ μὲ ἀναστεναγμὸν ἀνακουφίσεως ηὐχαρίστησα τὸν Θεὸν καὶ εἶπον· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας» (Ψαλμ. ργ', 24). Πράγματι, «Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ» (Α' Βασιλ. β', 7). Ἀνεξιχνίαστα εἶναι τὰ κρίματά σου Κύριε!(1).

22. Ὁ Εὐλόγιος λοιπὸν μᾶς ὡδήγησεν εἰς τὸν οἶκον του, μαζὶ μὲ ἄλλους ξένους, μᾶς ἔπλυνε τοὺς πόδας, μᾶς ἡτοίμασε τράπεζαν καὶ μᾶς προσέφερε νὰ φάγωμεν.

Ἀφοῦ ἐφάγαμεν, τὸν ἐπῆρα ἰδιαιτέρως καὶ τοῦ λέγω:

— Πῶς εἶσαι, Ἀββᾶ Εὐλόγιε;

— Νὰ εὔχεσαι — εἶπεν ἐκεῖνος—δι' ἐμέ, σεβαστέ μου Γέροντα, διότι εἶμαι ταπεινὸς καὶ δὲν ἔχω τίποτε ἄλλο, ἐκτὸς ἀπὸ ὅ,τι μοῦ ἀποφέρει ἡ ἐργασία τῶν χειρῶν μου.

— Εἴθε καὶ αὐτὰ ἀκόμη—τοῦ ἀπήντησα—τὰ μηδαμινὰ καὶ ἐλάχιστα νὰ μὴ τὰ εἶχες.

— Διατί μοῦ τὰ λέγεις αὐτά, Γέροντά μου· — εἶπεν ἐκεῖνος— μήπως σὲ ἐλύπησα ἢ σὲ ἐσκανδάλισα, χωρὶς νὰ τὸ ἀντιληφθῶ;

23. Λαβὼν τότε ἀφορμὴν ἀπὸ τὴν ἐρώτησίν του αὐτήν, τοῦ ἐξιστόρησα λεπτομερῶς τὰ γεγονότα. Κατεπλάγη ὁ Εὐλόγιος ἀπὸ τὴν διήγησιν αὐτὴν καὶ ἤρχισε συντετριμμένος νὰ κλαίῃ. Ἀφοῦ δὲ ἔκλαυσεν ἀρκετὰ μοῦ λέγει:

— Κάμε προσευχήν, Γέροντά μου, — μοῦ εἶπε, — νὰ χορηγῇ ὁ Θεὸς τὰ ἀπολύτως ἀναγκαῖα καὶ ἀπὸ τώρα καὶ εἰς τὸ ἑξῆς, μετὰ ἀπὸ ὅσα ἐπέρασα, θὰ διορθωθῶ.

— Πράγματι, τέκνον μου,—εἶπον ἐγὼ — μὴ περιμένῃς νὰ σοῦ χορηγήσῃ τίποτε ἄλλο ὁ Χριστός, ἐν ὅσῳ θὰ εὑρίσκεσαι εἰς τὸν κόσμον αὐτόν, παρὰ μόνον τοὺς ἐλαχίστους αὐτοὺς καρποὺς τοῦ ἡμερησίου μόχθου σου. Αὐτὸ εἶναι τὸ συμφέρον τῆς ψυχῆς σου.

Ἀφοῦ συνωμιλήσαμεν καὶ περὶ ἄλλων πνευματικῶν ζητημάτων, τὸν ἀπεχαιρέτησα καὶ ἀνεχώρησα διὰ τὴν σκήτην μου.

24. Ὁ Εὐλόγιος ἔμεινεν εἰς ὅλην του τὴν ζωὴν ἐργάτης εἰς τὸ λατομεῖον. Ἐν ὅσῳ δὲ ἔζη καὶ εἰργάζετο, ὑπεδέχετο μετὰ χαρᾶς τοὺς ξένους εἰς τὴν οἰκίαν του. Ἔφθασε δὲ νὰ γίνῃ ἑκατὸν ἐτῶν, χωρὶς νὰ κουρασθῇ εἰς αὐτὸ τὸ διακόνημα, διότι ὁ Θεὸς τοῦ ἔδιδε δύναμιν, ἕως ὅτου ἐτελείωσε τὸν δρόμον τῆς παρούσης ζωῆς.

---

1) «Ὡς ἀνεξιχνίαστα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ!» (Ρωμ. ια', 33).

ὙΠΟΘΕΣΙΣ ΜΘ΄.

Ὅτι οὐ δεῖ τὸν Μοναχὸν ἀδιακρίτως ἀπὸ παντὸς ἀνθρώπου λαμβάνειν οὐδὲ ὑπὲρ τὴν χρείαν· καὶ ὅτι ὀφείλει ὁ λαμβάνων ὑπὲρ τῶν διδόντων κοπιᾶν.

Ὁ Μοναχὸς δὲν πρέπει νὰ λαμβάνῃ ἀδιακρίτως ἀπὸ οἱονδήποτε ἄνθρωπον· οὔτε περισσότερα ἀπὸ ὅσα ἔχει ἀνάγκην. Αὐτὸς ποὺ δέχεται τὴν ἐλεημοσύνην ἢ δωρεὰν ὀφείλει νὰ κοπιάζῃ χάριν αὐτῶν, ποὺ δίδουν (εὐχόμενος καὶ νηστεύων).

Α΄. Ἐν τῷ Γεροντικῷ

ΗΛΘΕ ποτέ τις εἰς Ῥαϊθὼ ἄνθρωπος πλούσιος ἀπὸ ξένης, καὶ ἔδωκε τοῖς ἀδελφοῖς ἀγάπην ἀνὰ νομίσματος· ἔπεμψε δὲ καί τινι ἡσυχαστῇ καθημένῳ ἐκεῖσε ἐν κελλίῳ· καὶ τῇ νυκτὶ ἐκείνῃ θεωρεῖ ὁ Γέρων ἀγρὸν μεστωμένον ἀκανθῶν, καί τινα λέγοντα αὐτῷ· ἔξελθε, θέρισον εἰς τὸν ἀγρὸν τοῦ δόντος ἀγάπην.

2. Πρωΐας δὲ μετεστείλατο ὁ ἡσυχαστὴς τὸν ἀποστείλαντα αὐτῷ τὸ νόμισμα φιλόχριστον, καὶ δίδωσιν αὐτῷ τοῦτο λέγων· δέξαι σου, ἀδελφέ, τὸ νόμισμα· οὐ γὰρ ἀπαντᾷ μοι ἀλλοτρίας ἀκάνθας θερίσαι· εἴθε κἂν τὰς ἐμαυτοῦ ἀνασπάσω.

3. Εἶπε Γέρων· οἱ τέλειοι Ἀσκηταὶ οὐ ταχὺ δέχονται πρᾶγμα παρά τινος· οἱ δὲ μέσοι, οὐ λέγουσί τινι δοῦναι αὐτοῖς τίποτε· εἰ δὲ ἀφ' ἑαυτοῦ τις δώσῃ, δέχονται ὡς ἀπὸ Θεοῦ τὰ πεμφθέντα· εἰ δέ τις ἀσθενὴς λίαν ἐστὶ καὶ οὐκ ἰσχύει ἐργάσασθαι, τὴν χρείαν αὐτοῦ αἰτησάτω μετὰ πολλῆς ταπεινώσεως μεμφόμενος μέντοι ἑαυτῷ διαπαντός.

4. Εἶπεν ὁ Ἀββᾶς Μακάριος, ὅτι εἰ ἔχω πρᾶγμα τὸ ἀρκοῦν εἰς τὴν χρείαν μου, καὶ φέρει μοί τις αὐτό, καὶ μάλιστα κοσμικός, γινώσκων ὅτι τοῦτο ἐξ ἐνεργείας τοῦ διαβόλου ἐστίν, οὐ δέχομαι.

5. Ἐὰν δὲ χρῄζων τινὸς μὴ ἔχω, καὶ ὁ λογισμὸς ζητεῖ ἅπαξ καὶ δὶς εὑρεῖν αὐτό, τότε εἰδὼς ὁ Θεὸς ὅτι χρῄζω, φέρει διά τινος, ὥς περ τῷ Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων διὰ Ἀββακοὺμ τοῦ Προφήτου.

6. Εἰ δὲ ἔχω ὅθεν πορίσωμαι τὰ πρὸς τὴν χρείαν, οἷον ἀργύριον μικρὸν ἢ ὀβολούς, καὶ οὐκ ἐκβάλλω φειδόμενος τῶν ὀβολῶν, ἀλλὰ περιμένω ἵνα φέρῃ μοί τις τὴν χρείαν μου δωρεάν, τότε κοινωνὸς γίνομαι Ἰούδα τοῦ Ἰσκαριώτου, ὅς τις ἀφῆκε τὴν Χάριν τὴν δοθεῖσαν αὐτῷ, καὶ ἔδραμε πρὸς τὴν ἐπιθυμίαν τῆς φιλαργυρίας.

7. Ἠκούσαμεν περὶ ἐνδεοῦς ἀδελφοῦ καὶ χρῄζοντος, ὅτι εἰσενεγκόντος αὐτῷ τινος τῶν βρωμάτων τὴν χρείαν, μετὰ τοῦτο εἰ ἔτυχε καὶ ἄλλον ἐνεγκεῖν τι, οὐκ ἐδέχετο, αὐτῷ λέγων· ἤδη διέθρεψέ με ὁ Κύριός μου, καὶ ἀρκεῖ μοι.

8. Εἶπεν ὁ Ἀββᾶς Φορτᾶς· εἰ θέλῃ με ὁ Θεὸς ζῆν, οἶδε πῶς οἰκονομήσει με· εἰ δὲ οὐ θέλῃ, ἵνα τί μοι τὸ ζῆν; οὐ γὰρ παρὰ πάντων ἐδέχετο, καί τοι κλινήρης ὤν· ἔλεγε δέ· ἐὰν προσφέρῃ μοί τις τίποτε, καὶ οὐχὶ διὰ τὸν Θεόν, ἀλλὰ διά τι καθῆκον ἀνθρώπινον, εἰ λάβω αὐτό, ἀδικῶ τὸν προσενεγκόντα, οὔτε γὰρ ἔχω τι ἀντιδοῦναι αὐτῷ, οὔτε παρὰ τῷ Θεῷ λαμβάνω μισθόν.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ἦλθεν εἰς τὴν Ραϊθὼ ἕνας πλούσιος ἄνθρωπος ἀπὸ ξένον μέρος. Οὗτος λοιπὸν προσέφερεν εἰς τοὺς Μοναχοὺς ὡς ἐκδήλωσιν ἀγάπης ἀπὸ ἕνα νόμισμα. Ἐπίσης ἔστειλε καὶ εἰς ἕνα Ἡσυχαστήν, ποὺ ἐκάθητο μόνος του εἰς ἀπομεμακρυσμένον κελλίον, ἕνα νόμισμα.

Τὴν νύκτα ἐκείνην, ποὺ ἔλαβε τὸ νόμισμα ὁ Ἡσυχαστής, βλέπει ἐν ὁράματι ἕνα χωράφι γεμᾶτο ἀγκάθια· ἤκουσε δὲ καὶ κάποιον, ποὺ τοῦ ἔλεγεν· «Ἔβγα τώρα, διὰ νὰ θερίσῃς τὸ χωράφι αὐτοῦ, ποὺ σοῦ ἔδωσε τὸ φιλοδώρημα».

2. Μόλις ἐξημέρωσε, στέλλει ὁ Ἡσυχαστὴς καὶ καλεῖ πλησίον του αὐτὸν τὸν φιλόχριστον, ποὺ τοῦ ἀπέστειλε τὸ νόμισμα τῆς ἀγάπης. Ὅταν ἦλθε, τοῦ ἐπιστρέφει μὲ εὐγένειαν τὸ νόμισμα καὶ τοῦ λέγει:

— Πάρε, ἀδελφέ μου, ὀπίσω τὸ νόμισμα· διότι δὲν ἠμπορῶ νὰ θερίσω ξένα ἀγκάθια. Εἴθε νὰ ἠμπορέσω νὰ ξερριζώσω τὰ ἰδικά μου.

3. Ἕνας σεβαστὸς γέρων Ἀσκητής, εἶπε τὰ ἑξῆς σχετικῶς μὲ τοὺς Ἀσκητάς: Οἱ Ἀσκηταί, ποὺ ἔχουν πλέον τελειοποιηθῆ κατὰ Χριστόν, δὲν δέχονται εὔκολα δωρεὰς ἀπὸ τοὺς κοσμικούς. Ἀλλὰ καὶ ἐκεῖνοι οἱ Ἀσκηταί, ποὺ εὑρίσκονται ἀκόμη εἰς τὸ ἐπίπεδον τῆς μεσότητος, καὶ αὐτοὶ ἀκόμη δὲν ζητοῦν ποτὲ ἀπὸ τοὺς κοσμικούς· ἐὰν δὲ εὑρεθῇ κάποιος καὶ μόνος του προσφέρῃ κάτι, τὸ δέχονται ὡς νὰ τὸ ἔχῃ στείλει ὁ Θεός. Ἐὰν πάλιν εἶναι ἕνας Ἀσκητὴς ἀσθενὴς καὶ δὲν δύναται νὰ ἐργασθῇ, ἂς ζητήσῃ ἀπὸ τοὺς δυναμένους νὰ προσφέρουν τὰ πράγματα, ποὺ ἔχει ἀνάγκην, μὲ πολλὴν ταπείνωσιν, κατηγορῶν πάντοτε τὸν ἑαυτόν του διὰ τὴν ἀνάγκην, εἰς τὴν ὁποίαν περιῆλθεν.

4. Ὁ Ἀββᾶς Μακάριος εἶπε τὰ ἑξῆς ὠφέλιμα διδάγματα. Ἐὰν ἔχω ἕνα πρᾶγμα καὶ εἶναι ἀρκετὸν διὰ νὰ καλύψῃ τὰς ἀνάγκας μου, μοῦ προσφέρει δὲ κάποιος καὶ ἄλλο, δὲν θὰ τὸ δεχθῶ, ὅταν μάλιστα ἐκεῖνος ποὺ μοῦ τὸ προσφέρει εἶναι κοσμικός· ἡ ἀποδοχὴ τοῦ ἀντικειμένου αὐτοῦ, τοῦ ὁποίου δὲν ἔχω ἄμεσον ἀνάγκην, εἶμαι βέβαιος, ὅτι εἶναι διαβολικὴ ἐνέργεια.

5. Ἐὰν ὅμως ἔχω ἀνάγκην ἀπὸ ἕνα πρᾶγμα καὶ μὲ τὸν λογισμόν μου τὸ ἐπιζητήσω μίαν καὶ δύο φοράς, τότε εἶμαι βέβαιος, ὅτι ὁ Θεός, ποὺ γνωρίζει τὴν ἀνάγκην μου αὐτήν, θὰ μοῦ τὸ ἀποστείλῃ δι' ἑνὸς ἀνθρώπου, ὅπως ἀκριβῶς ἱκανοποίησε τὴν ἐπιθυμίαν τοῦ Δανιὴλ εἰς

τὸν λάκκον τῶν λεόντων, διὰ μέσου τοῦ Προφήτου Ἀββακοὺμ [1].

6. Ἐὰν ὅμως ἔχω χρήματα διὰ νὰ ἀγοράσω τὰ εἴδη αὐτά, τὰ ὁποῖα χρειάζομαι, καὶ δὲν τὸ κάμω, διότι λυποῦμαι νὰ τὰ ἐξοδεύσω καὶ περιμένω νὰ μοῦ τὰ προσφέρουν δωρεάν, τότε ὁμοιάζω μὲ τὸν Ἰούδαν τὸν Ἰσκαριώτην, ποὺ ἄφησε τὴν Χάριν τοῦ Ἀποστόλου, ποὺ τοῦ προσέφερεν ὁ Κύριος, καὶ ἔτρεξε νὰ ἱκανοποιήσῃ τὴν ἁμαρτωλὴν ἐπιθυμίαν τῆς φιλαργυρίας.

7. Ἐπληροφορήθημεν δι' ἕνα πάμπτωχον Μοναχὸν τὸ ἑξῆς. Οὗτος εἶχεν ἀνάγκην καὶ ἔζη ἀπὸ ἐλεημοσύνην. Ὅταν λοιπὸν κάποιος τοῦ ἔφερε τὴν ἀπαιτουμένην τροφὴν διὰ τὴν ἡμέραν ἐκείνην, κατόπιν δὲ ἤρχετο καὶ ἄλλος καὶ τοῦ ἔφερε κάτι, δὲν ἐδέχετο τὴν δευτέραν αὐτὴν ἐλεημοσύνην, καίτοι εἶχεν ἀνάγκας διὰ τὰς ἄλλας ἡμέρας, καὶ ἔλεγεν εἰς τὸν δεύτερον ἐπισκέπτην του:

— Σὲ εὐχαριστῶ· ἀλλὰ δὲν θὰ δεχθῶ τὴν προσφοράν σου, διότι ὁ Κύριος μὲ ἔθρεψε διὰ σήμερον· καὶ αὐτὸ μοῦ εἶναι ἀρκετόν.

8. Ἕνας ἄλλος ἅγιος Ἀσκητής, ὁ Ἀββᾶς Φορτᾶς, ἔλεγε τὰ ἑξῆς ἀξιομνημόνευτα:

— Ἐὰν ὁ Θεὸς θέλῃ νὰ ζῶ, γνωρίζει καλὰ πῶς νὰ μὲ ἐξοικονομήσῃ· ἐὰν πάλιν δὲν εἶναι θέλημά Του νὰ ζῶ, τί ἀποτέλεσμα θὰ φέρουν αἱ προσωπικαί μου φροντίδες;

Αὐτὸς λοιπόν, καίτοι ἦτο κλινήρης, ἐν τούτοις δὲν ἐδέχετο ἀπὸ ὅλους βοήθειαν. Ἐδικαιολόγει δὲ τὴν ἄρνησίν του αὐτὴν ὡς ἑξῆς: Ἐὰν μοῦ προσφέρῃ ἕνας ἄνθρωπος μίαν βοήθειαν, συναισθανόμενος μίαν ὑποχρέωσιν ἀπέναντί μου καὶ δὲν τὸ κάμει αὐτὸ διὰ τὸν Θεὸν καὶ μόνον, τελείως ἀπροσωπολήπτως, δὲν ἠμπορῶ νὰ τὴν δεχθῶ, διότι θὰ ἀδικήσω αὐτόν, ποὺ μοῦ τὴν προσέφερε. Καὶ θὰ τὸν ἀδικήσω, διότι δὲν δύναμαι νὰ τὴν ἀνταποδώσω· ἀλλὰ οὔτε καὶ ἀπὸ τὸν Θεὸν λαμβάνω τὸν μισθὸν τῆς ὑπομονῆς καὶ τῆς ἐγκαρτερήσεως.

Β'. Παλλαδίου

Ἐθεασάμεθα τὸν μέγαν Ἀσκητὴν Βησσαρίωνα, ὃς πάνυ πρᾳότατος ὤν, μεγάλην εἶχε κατάνυξιν. Καθημένων δὲ ἡμῶν καὶ ὁμιλούντων καὶ διδασκομένων ὑπ' αὐτοῦ τὰ ψυχωφελῆ καὶ σωτήρια, εἰσῆλθε πρὸς αὐτὸν ὁ Ἀββᾶς Μίλης, καὶ ἀσπασάμενος τὸν Γέροντα, ἔφη· ὁ δεῖνα, ὁ διακονητὴς ἡμῶν, ὁ ἐν τῇ ἐρήμῳ ταύτῃ συνεχῶς ἐπισκεπτόμενος ἡμᾶς, τέθνηκεν· ἀλλ' ὥς περ ἐπὶ τῆς ζωῆς αὐτοῦ καλῶς διῴκει τὰ ὑπάρχοντα αὐτοῦ, οὕτω καὶ ἐν τῷ θανάτῳ κάλλιον αὐτὰ διῴκησε· κατέλιπε γὰρ τὰ προάστεια αὐτοῦ τῷ γυναικείῳ Μοναστηρίῳ, ὅπερ ᾠκοδόμησεν Ἠλίας ὁ Ἀσκητής, συνάξας ἐν αὐτῷ ἀσκητρίας τριακοσίας.

---

1) «Καὶ εἶπεν ὁ Ἄγγελος Κυρίου τῷ Ἀμβακούμ· ἀπένεγκε τὸ ἄριστον, ὃ ἔχεις, εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων...» (Δαν. ιδ΄, 34).

2. Ἀκούσας δὲ ὁ Γέρων ἤρξατο θρηνεῖν καὶ τύπτειν τὸ ἑαυτοῦ πρόσωπον λέγων· οὐαί μοι τῷ ἁμαρτωλῷ! ἐχαροποίησε τὸν διάβολον, βλάψας οὐ μετρίως τὰς Ἀσκητρίας, καὶ ἀπώλεσε τὸν μισθὸν αὐτοῦ, καὶ λέγεις καλῶς διῴκησεν; ἡμῶν δὲ ἀμφισβητούντων καὶ λεγόντων, καὶ πῶς οὐ πλείονα μᾶλλον μισθὸν ἔχει ἐν τῷ ἐπικουρῆσαι ταῖς Ἀσκητρίαις ταῖς τῷ Χριστῷ νυμφευσαμέναις, καὶ Αὐτῷ μόνῳ δουλευούσαις; εἶπεν ὁ Γέρων· πιστεύσατέ μοι, τέκνα, ὅτι κἀγὼ τοιοῦτον ἔπαθον.

3. Θεασάμενος γὰρ τὸν Ἀββᾶν Γεράσιμον, περὶ οὗ καὶ ἐν τῷ Βίῳ τοῦ Μεγάλου Εὐθυμίου ἐμφέρεται, καὶ ἀνελθὼν εἰς Ἱεροσόλυμα καὶ εὐξάμενος, εἶτα ὑποστρέψας, ὢν εἰκοσιπέντε ἐτῶν, ὡς ἤκουσα περὶ τοῦ θανάτου αὐτοῦ, καὶ πῶς ὁ λέων εἰς τὸν τάφον αὐτοῦ ὠρυόμενος ἐτελεύτησεν ἐπάνω αὐτοῦ, ἐπλήγην τὴν καρδίαν τῷ πρὸς Θεὸν ἔρωτι, καὶ εὐθὺς διεσκόρπισα πάντα τὰ ὑπάρχοντά μοι, μηδὲν ἄλλο ἐάσας, εἰ μὴ προάστειον ἕν, λόγῳ τῶν Ἀσκητριῶν τῆς μεγάλης Μονῆς τῆς οὔσης ἐν Ἀλεξανδρείᾳ.

4. Καὶ ἀπῆλθον καὶ ἀνεθέμην τῷ Ἀββᾷ Ἰσιδώρῳ τῷ Πηλουσιώτῃ λέγων· Ἀββᾶ, βούλομαι, Θεοῦ θέλοντος, ἀποτάξασθαι, καὶ τὰ πάντα μου ἐσκόρπισα· εἴασα δὲ προάστειον ἐν λόγῳ τῶν Ἀσκητριῶν, ὃ ἐπιζητεῖ ἀγοράσαι ὁ ἡγεμὼν Αὐγουστάλιος διδούς μοι ὑπὲρ τιμῆς χρυσίου λίτρας ἑβδομήκοντα· δώσω οὖν αὐτῷ, ἢ οὔ; καὶ εἶπέ μοι ὁ Γέρων· ἐὰν ᾖ ἄξιον λιτρῶν ἑβδομήκοντα, δὸς αὐτὸ εἰς πεντήκοντα, καὶ λαβὼν τὸ χρυσίον πάρεσχε ταῖς Ἀσκητρίαις, καὶ πλείονα μισθὸν ἔχεις· εἰ δὲ δώσεις αὐταῖς τὸ προάστειον, εἰς πολλὴν ταραχὴν καὶ περισπασμούς, τάχα δὲ καὶ εἰς βόθρους πορνείας ἐμβάλλεις αὐτάς.

5. Ἐγὼ δὲ οὐκ ἐπείσθην τῷ Γέροντι, ἀλλ' ὑποστρέψας ἐποίησα λίβελλον τὴν δωρεὰν ἐγγράφως ἐκθέμενος, καὶ ἰδιοχείρῳ ὑπογραφῇ πιστωσάμενος, παρόντος καὶ τοῦ Πάπα Ἀλεξανδρείας σὺν τῷ κλήρῳ παντί, καὶ τοῦ Ἡγεμόνος, καὶ συμμαρτυρούντων τῇ δωρεᾷ· δούς τε ταῖς Μοναστρίαις τὸν χάρτην, εὐθὺς ἐξῆλθον εἰς σκῆτιν.

6. Καὶ διελθόντων μηνῶν δεκαέξ, θεωρῶ κατ' ὄναρ ὅτι εὑρέθην εἰς Βηθλεὲμ ἱστάμενος, ἀτενίσας δὲ εἰς τὸ Ἱερατεῖον, εἶδον αὐτὸ πεπληρωμένον θαυμαστοῦ τινος καὶ ἀῤῥήτου φωτός, καὶ ἄνδρας τινὰς ἱεροπρεπεῖς ψάλλοντας, καὶ γυναῖκα πορφυρᾶ περιβεβλημένην, ἧς τὸ κάλλος ἀμήχανον ἱστορηθῆναι.

7. Καταπλαγεὶς οὖν καὶ γενόμενος ἔμφοβος ἐκ τῆς φρικτῆς ἐκείνης ὁράσεως, ἤθελον ὑποχωρῆσαι, εἷς δὲ τῶν ἱεροπρεπῶν ἐκείνων ἀνδρῶν, ὁ τῶν ἄλλων διαφορώτερος, ἐξελθὼν πρός με, λέγει μοι αὐστηρᾷ τῇ φωνῇ καὶ βλοσυρῷ τῷ ὄμματι· Εἰπέ, Εὐστάθιε, τοῦτο γὰρ εἶχον τὸ κοσμικὸν ὄνομα, τί βούλει ἀπολογήσασθαι περὶ τῶν Ἀσκητριῶν, ὅτι ἀφ' ἧς ἡμέρας δέδωκας αὐταῖς τὸ προάστειον, παρώργισαν τὸν Κύριον; ἄρτι σε θανατώσω, εἰ μὴ εὐθὺς διορθώσῃς ὅπερ ἐσφάλης.

8. Ἐγὼ δὲ σύντρομος ἀπεκρίθην αὐτῷ· Κύριε, ἐγὼ πρὸς τὸ ἀναπαῦσαι αὐτὰς δέδωκα τὸ προάστειον σὺν τοῖς δούλοις καὶ τοῖς ζεύγεσι τῶν βοῶν, οὐχὶ πρὸς τὸ παροργίσαι τὸν Θεόν.

9. Ἀνοίξασα δὲ τὸ ἅγιον αὐτῆς στόμα ἡ πορφυροφοροῦσα λέγει μοι ἱλαρᾷ τῇ φωνῇ· ἀπεδεξάμεθά σου τὴν προαίρεσιν, τέκνον, ἀλλ' εὑρὼν ἐκ τούτου νομὴν ὁ διάβολος, ὁ τοῦ ἀνθρωπίνου γένους πολέμιος, ἔτρωσεν αὐτῶν σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα· ἠδύνατο δὲ ὁ προνοητὴς αὐτῶν Θεὸς ποταμοὺς ὅλους χρυσίου κατενέγκαι καὶ δοῦναι αὐταῖς, ἀλλ' οὐ συμφέρει· οἱ γὰρ ἀποταξάμενοι τῷ κόσμῳ διὰ τὴν Βασιλείαν τῶν οὐρανῶν, ἐν κόπῳ καὶ μόχθῳ καὶ πολλῇ ταπεινοφροσύνῃ καὶ πτωχείᾳ ὀφείλουσιν ἀπερισπάστως προσεδρεύειν τῷ Θεῷ, καὶ οὐχὶ ἐν σπατάλῃ καὶ κενοδοξίᾳ καὶ πλούτῳ.

10. Καὶ ἐκτείνασα τὴν χεῖρα αὐτῆς, καὶ δεικνύουσά μοι ἐκεῖνον τὸν πρὸ αὐτῆς μοι λαλήσαντα, εἶπεν· οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής, ὁ τῶν Μοναχῶν καθηγητής, καὶ οἱ θέλοντες σὺν αὐτῷ εἶναι ὀφείλουσι τὰς ἀρετὰς αὐτοῦ μιμεῖσθαι· πάλιν οὖν λέγει μοι· ἄπελθε, διόρθωσαί σου τὸ σφάλμα, ἔχων κἀμὲ συνερ-

γοῦσάν σοι· εἶτα φησὶ πρὸς τὸν Πρόδρομον ἀπιδοῦσα· Βαπτιστά, σφράγισον τὴν καρδίαν αὐτοῦ, ἵνα μὴ δόξῃ φάντασμα εἶναι τὰ ῥηθέντα αὐτῷ· ὁ δὲ ἐκτείνας τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐσφράγισέ μου τὴν καρδίαν.

11. Καὶ εὐθέως ἦλθον εἰς ἑαυτόν, καὶ αὐτῇ τῇ ὥρᾳ λαβὼν τὴν ῥάβδον μου, καὶ ὀλίγους ἄρτους διὰ τὸ μῆκος τῆς ὁδοῦ, ἀπῆλθον πρὸς τὸν Ἀββᾶν Ἰσίδωρον, καὶ διηγησάμην αὐτῷ τὴν ὀπτασίαν, καὶ λέγει μοι· οὐκ οἶδας ὅτι τὰ προάστεια φιλοκαλοῦνται, ἤτοι γεωργίας δέονται, καὶ ἐὰν ἄνδρες εἰσέρχωνται πρὸς τὰς Ἀσκητρίας, οὐκ ἐᾷ ὁ διάβολος οὔτε ἐκείνας οὔτε τοὺς ἄνδρας ἀπλήκτους; εἰ ξένον παντάπασι Μοναχοῖς τὸ ἐν γηΐνοις περισπᾶσθαι, πολλῷ μᾶλλον γυναιξί.

12. Λαβὼν οὖν τὸν Γέροντα, ἀπῆλθον πρὸς τὰς Ἀσκητρίας· καὶ ὡς εἰσήλθομεν ἐν τῇ Ἐκκλησίᾳ καὶ ηὐξάμεθα, προσεκαλεσάμεθα τὰς Γραῦς, καὶ ἐλέγομεν αὐταῖς· τί ποιοῦμεν; ὅτι ὁ βασιλικὸς ἔρχεται πρὸς τὸ ἆραι τὸ προάστειον, καὶ ποιῆσαι αὐτῷ Πατριαρχικόν; αἱ δὲ εἶπον· ὡς ἐπίστασθε, ὅ,τι καλόν ἐστι καὶ συμφέρον, οὕτω κελεύσατε καὶ ποιήσομεν.

13. Λέγω αὐταῖς· ἐγὼ πρὸς βασιλικὸν οὐ δύναμαι ἀντιβῆναι· εἰ οὖν θέλετε, πρὶν ἐκεῖνος ἔλθῃ, πωλήσωμεν αὐτὸ τῷ ἄρχοντι καὶ τὸ χρῆμα λάβετε ὑμεῖς· ἐκεῖνος δὲ ποιησάτω μετὰ τοῦ βασιλικοῦ ὡς βούλεται· ἀπεκρίθησαν ἐκεῖναι· καλῶς εἴπατε, γενέσθω.

14. Εὐθὺς οὖν ἀπελθὼν πέπρακα τοῦτο εἰς ἑξήκοντα λίτρας τῷ Αὐγουσταλίῳ, ἐλευθερώσας καὶ τὰ ἀνδράποδα· καὶ λαβὼν τὸ χρυσίον καὶ ἐπανελθὼν εἰς τὸ τῶν Ἀσκητριῶν Μοναστήριον, ἔθηκα αὐτὸ ἐν τῇ Ἐκκλησίᾳ ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ σὺν τῷ Ἀββᾷ Ἰσιδώρῳ συνταξάμενοι αὐταῖς, ἐξήλθομεν.

15. Καὶ λέγω τῷ Γέροντι· παρ' ὀλίγον ἂν ἀπωλόμην, Πάτερ· καλῶς εἶπον οἱ Πατέρες, εἰς γυναῖκας μὴ ποιήσῃς ἐλεημοσύνην· καὶ εἶπέ μοι ὁ Γέρων· μὴ οὕτω λέγε, τέκνον, ἐπεὶ ἁμαρτάνεις· ἀλήθειαν δὲ λέγω σοι, ὅτι ὁ ἔχων καὶ θέλων ποιῆσαι μισθόν, εἰς Ἀσκητρίας μᾶλλον ποιησάτω· ὁ γὰρ ποιῶν εἰς αὐτὰς ἔλεος, ὑπὲρ τοὺς τυφλοὺς καὶ λεπροὺς καὶ χωλοὺς καὶ λελωβημένους, πλείω κατὰ Θεὸν μισθὸν ἔχει, ὅτι καὶ αὗται ἀσθενέστερον μέρος οὖσαι τοῦ κοινοῦ σώματος, διὰ τὸν Θεὸν ἀπετάξαντο καὶ πτωχεύουσι, καὶ οὐ δύνανται ἐξελθεῖν, ὡς ἡμεῖς, πωλῆσαι τὸ ἐργόχειρον αὐτῶν, οὐδὲ διακονῆσαι ἑαυταῖς ἰσχύουσιν ἢ ὅλως ἐξελθεῖν τῆς Μονῆς.

16. Εἰ γάρ τις ἐξ αὐτῶν μόνον τοῦ πυλῶνος τοῦ Μοναστηρίου ἐξέλθῃ, εὐθύς, ὥς περ ἐλάφου φανείσης, πάντες οἱ θηρευταὶ τῶν κακῶν εἰς αὐτὴν σκοπεύουσι, καὶ πάντοθεν τοξεύειν ἐπιχειροῦσι· κἂν συμβῇ αὐτὴν μὴ τρωθῆναι, ὅπερ δυσχερές ἐστι καὶ σχεδὸν ἀδύνατον, ἀλλά γε διὰ τοὺς εἰς αὐτὴν τιτρωσκομένους οὐκ ὀλίγη ζημία παρακολουθεῖ· εἰ δὲ καὶ αὐτὴ τρωθεῖσα ἐν καιρίῳ τοῦ σώματος διαφύγῃ τὰς χεῖρας τῶν θηρευτῶν, οὐδὲν ἔλαττον κινδυνεύει· κἂν γὰρ τὸ βέλος καταλιποῦσα ἀπέλθῃ, ἤτοι τὸ πρόσωπον εἰς ὃ ἐπὶ τῇ ἀπροσεξίᾳ ἐτρώθη, ὑπὸ γοῦν τοῦ τραύματος διαφθείρεται, καὶ μάλιστα εἰ ἀνεπιμέλητον ἐάσῃ αὐτό, ὥς τε καὶ προσοζέσαι, καὶ σαπῆναι κατὰ τὴν τοῦ Προφήτου φωνήν.

17. Διὰ ταῦτα, ὁ δυνάμενος ταύταις διακονεῖν διὰ τὸν Θεόν, καὶ ἀπροΐτους αὐτὰς ποιεῖν, ἑκατονταπλασίονα τὸν μισθὸν παρὰ Θεοῦ λήψεται, ὑπὲρ τὸν ἄλλους πένητας καὶ ἀσθενεῖς ἐλεοῦντα· ὁμοίως καὶ ὁ τοῖς Μοναχοῖς διακονῶν, τοῖς διὰ Θεὸν πενομένοις, μεγάλην καὶ ἀνυπέρβλητον ἔχει τὴν ἀντιμισθίαν ἄνωθεν· «ὁ δεχόμενος γάρ, φησι, προφήτην εἰς ὄνομα προφήτου», καὶ τὰ ἑξῆς· καὶ πάλιν· «ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ».

18. Πλὴν προσέχειν ἄξιον καὶ οὐκ ἀδιαφόρως παρέχειν Μοναστηρίῳ, ἢ ἀνδρείῳ ἢ γυναικείῳ, τὰ εἰς περισπασμὸν καὶ φροντίδας καὶ ταραχὰς τοὺς κατὰ Θεὸν ζῆν βουλομένους ἐνάγοντα· οὕτω γὰρ οὐκ ὠφελῶν αὐτοὺς ἔσται, ἀλλὰ βλάπτων μᾶλλον καὶ τὰ μέγιστα ζημιῶν.

19. Ἀλλ' ὀφείλει ὁ θέλων τοῖς τοιούτοις διακονῆσαι καὶ ἀναπαῦσαι αὐτούς,

ἐκεῖνα διδόναι, ἃ πρὸς τὰ πνευματικὰ προσεδρίαν ἀπερίσπαστον αὐτοῖς προξενεῖ· οἷον σῖτον, ἢ ἄλευρον, ἢ ὄσπριον, ἢ κέρμα, ἢ ἱμάτιον, ἢ ἐρέαν, ἢ λινοῦν, ἤ τι τῶν τοιούτων, ὅσα ἐν χρείᾳ ὄντα ἀναγκαῖα αὐτοῖς ἀπόνως χορηγούμενα, αὔξει τὴν εἰς Θεὸν λατρείαν, τῆς εἰς Αὐτὸν σχολῆς καὶ μερίμνης μὴ ἀπάγοντα.

Ἑρμηνεία

ΚΑΠΟΤΕ συνέβη τὸ ἑξῆς περιστατικὸν μὲ τὸν Μεγάλον Ἀσκητὴν Βησσαρίωνα, ὁ ὁποῖος ἦτο εἰς τὸ ἔπακρον ἤρεμος καὶ ᾐσθάνετο μεγάλην κατάνυξιν.

Ἐκαθήμεθα καὶ συνωμιλούσαμεν, ἀκροώμενοι μετὰ σεβασμοῦ τὰς πολυτίμους καὶ ψυχωφελεῖς διδασκαλίας του. Ἐν τῷ μεταξὺ εἰσῆλθεν εἰς τὸ κελλίον ὁ Ἀββᾶς Μίλης καὶ ἀφοῦ ἐχαιρέτησε τὸν Γέροντα διὰ τοῦ ἐν Χριστῷ ἀσπασμοῦ, εἶπεν εἰς ἐπήκοον ὅλων.

— Ὁ ἄνθρωπος, ποὺ τόσον προθύμως μᾶς ἐξυπηρέτει εἰς τὴν ἔρημον αὐτὴν καὶ μᾶς ἐπεσκέπτετο συχνά, ἀπέθανεν. Ἀλλ' ὅπως ἀκριβῶς, ἐφ' ὅσον ἔζη, ἐρρύθμιζε καλῶς καὶ συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ τὰς ὑποθέσεις του, τοιουτοτρόπως καὶ κατὰ τὸν θάνατόν του τὰ ἐτακτοποίησεν ὅλα ἐπαινετῶς καὶ θεαρέστως. Οὕτω ὅλα τὰ κτήματά του, διὰ διαθήκης, τὰ ἄφησεν εἰς τὸ γυναικεῖον Μοναστήριον, ποὺ ἔκτισεν ὁ Ἀσκητὴς Ἠλίας, συγκεντρώσας εἰς αὐτὸ περὶ τὰς τριακοσίας Ἀσκητρίας.

2. Μόλις ἤκουσε τὴν εἴδησιν αὐτὴν ὁ Ἀσκητὴς Βησσαρίων ἤρχισε νὰ κλαίῃ καὶ νὰ κτυπᾷ τὸ πρόσωπόν του. Θρηνολογῶν δὲ ἔλεγεν:

— Ἀλλοίμονον εἰς ἐμὲ τὸν ἁμαρτωλὸν ποίαν θλιβερὰν εἴδησιν ἤκουσα! Ὁ καλὸς αὐτὸς ἄνθρωπος, ποὺ διέθεσε τὰ κτήματά του εἰς τὸ γυναικεῖον Μοναστήριον, ἔδωσε χαρὰν εἰς τὸν διάβολον, ἔβλαψε πάρα πολὺ τὰς Ἀσκητρίας, ἔχασε μὲ τὴν ἐνέργειάν του αὐτὴν τὴν ἀξιομισθίαν τῶν ἔργων του, καὶ σὺ μοῦ λέγεις, ὅτι ἐτακτοποίησε καλῶς τὰς ὑποθέσεις του;

Ἀκούσαντες ἡμεῖς τοὺς λόγους αὐτοὺς τοῦ Γέροντος ἠμφεσβητούσαμεν τὰ λεχθέντα καὶ ἐλέγομεν:

— Γέροντα, σχεδὸν ὅλοι ἔχομεν μίαν ἀπορίαν· δὲν ἔχει μεγαλυτέραν ἀξίαν ἐνώπιον τοῦ Θεοῦ ἡ βοήθεια πρὸς τὰς Ἀσκητρίας, ποὺ ἐνυμφεύθησαν τὸν Χριστὸν καὶ μόνον Αὐτὸν λατρεύουν;

— Σᾶς διαβεβαιῶ, τέκνα μου, — εἶπεν ὁ Γέρων — ὅτι καὶ ἐγὼ ἔπαθον κάποτε τὸ ἴδιον ποὺ ἔπαθεν αὐτός. Καὶ ἰδοὺ συγκεκριμένως.

3. Εἶχον ἴδει τὸν Ἀββᾶν Γεράσιμον, περὶ τοῦ ὁποίου γίνεται λόγος εἰς τὸν βίον τοῦ Μεγάλου Εὐθυμίου. Τότε, κατὰ τὴν ἐποχὴν ἐκείνην, ἀνῆλθον εἰς τὰ Ἱεροσόλυμα καὶ ἀφοῦ προσεκύνησα, ἐπέστρεψα. Ἤμουν τότε εἴκοσι πέντε ἐτῶν. Μόλις λοιπὸν ἤκουσα περὶ τοῦ θαυμαστοῦ θανάτου του, ὁπότε, ὡς γνωστόν, ὁ λέων τοῦ Ἁγίου, μὲ μελαγχολικοὺς βρυχηθμοὺς ἀπέθανεν ἐπάνω εἰς τὸν τάφον τοῦ Ἁγίου, ᾐσθάνθην εἰς τὴν καρδίαν μου τὴν νύξιν τοῦ θείου ἔρωτος. Ἀμέσως ἐσκόρπισα ὅλην τὴν περιουσίαν μου καὶ δὲν ἄφησα τίποτε, παρὰ ἕνα

κτῆμα μόνον, τὸ ὁποῖον διέθεσα εἰς τὴν μεγάλην Μονὴν τῶν Ἀσκητριῶν, ποὺ εὑρίσκεται πλησίον τῆς Ἀλεξανδρείας.

4. Μετὰ ταῦτα ἀνεχώρησα καὶ συνήντησα τὸν Ἀββᾶν Ἰσίδωρον τὸν Πηλουσιώτην εἰς τὸν ὁποῖον εἶπον:

—Ἀββᾶ Ἰσίδωρε, θέλω, μὲ τὴν βοήθειαν τοῦ Θεοῦ, νὰ φύγω ἀπὸ τὸν κόσμον καὶ πρὸς τὸν σκοπὸν αὐτὸν ἐμοίρασα εἰς τοὺς πτωχοὺς τὰ πράγματά μου· ἄφησα μονάχα ἕνα μεγάλο ἀγρόκτημα, τὸ ὁποῖον ὑπεσχέθην εἰς τὰς Ἀσκητρίας τοῦ τόπου. Τὸ ἀγρόκτημα αὐτὸ μοῦ τὸ ζητεῖ νὰ τὸ ἀγοράσῃ ὁ ἡγεμὼν Αὐγουστάλιος. Μοῦ προσφέρει μάλιστα ὡς τιμὴν ἑβδομήκοντα λίτρας χρυσοῦ. Τί μὲ συμβουλεύεις λοιπόν, νὰ τὸ δώσω εἰς αὐτὸν ἢ ὄχι;

—Ἐὰν ἡ ἀξία τοῦ ἀγροκτήματος — μοῦ ἀπήντησεν ὁ Ἀββᾶς Ἰσίδωρος—εἶναι πράγματι ἑβδομήκοντα λίτραι χρυσοῦ, νὰ τὸ πωλήσῃς πεντήκοντα καὶ νὰ προσφέρῃς τὰ χρήματα εἰς τὰς Ἀσκητρίας. Μὲ τὴν ἐλεημοσύνην αὐτὴν ὁ μισθός σου θὰ εἶναι μεγαλύτερος ἐνώπιον τοῦ Θεοῦ. Διότι, ἐὰν τοὺς δώσῃς τὸ ἀγρόκτημα, θὰ γίνῃς ἀφορμὴ νὰ περιπλακοῦν αἱ Ἀσκήτριαι εἰς κοσμικοὺς θορύβους καὶ περισπασμοὺς εἰς βάρος τῆς ἀσκήσεώς των· ἴσως μάλιστα διανοίξῃς καὶ βόθρους πορνείας, διὰ νὰ ἐμπέσουν εἰς αὐτούς, ἐφ' ὅσον θὰ εἶναι ὑποχρεωμέναι, διὰ τὴν περιποίησιν τοῦ κτήματος, νὰ συναναστρέφωνται μὲ κοσμικούς.

5. Αὐτὰ μοῦ εἶπεν ὁ Ἀββᾶς Ἰσίδωρος· ἐγὼ ὅμως δὲν τὸν ἤκουσα. Ἐπέστρεψα εἰς τὴν Ἀλεξάνδρειαν καὶ συνέταξα δωρητήριον συμβόλαιον, τὸ ὁποῖον ἐπεκύρωσα μὲ τὴν ὑπογραφήν μου. Εἰς τὴν σύνταξιν τοῦ συμβολαίου παρίσταντο ὡς μάρτυρες ὁ Πάπας καὶ Πατριάρχης Ἀλεξανδρείας μὲ ὅλους τοὺς Κληρικούς του, ὅπως ἐπίσης καὶ ὁ διοικητὴς τῆς πόλεως.

Ἀφοῦ δὲ παρέδωσα τὸ δωρητήριον συμβόλαιον εἰς τὰς Μοναχάς, ἀνεχώρησα πλέον ἀπὸ τὸν κόσμον καὶ ἐνεκλείσθην εἰς τὴν σκήτην.

6. Μετὰ δέκα ἓξ μῆνας, ἀπὸ τῆς ἐγκαταστάσεώς μου εἰς τὴν σκήτην, βλέπω ἕνα τρομακτικὸν ἀποκαλυπτικὸν ὄνειρον. Εὑρέθην ἔξαφνα εἰς τὸν ἱστορικὸν χῶρον τῆς Βηθλεέμ. Εἶδον τότε τὸν Ἱερὸν Ναὸν πλημμυρισμένον ἀπὸ ἕνα ὁλόλαμπρον καὶ ἀπερίγραπτον φῶς. Μέσα εἰς αὐτὴν τὴν πλήμμυραν τοῦ φωτὸς ἐστέκοντο μερικοὶ σοβαροὶ ἄνδρες, μὲ ἱεροπρέπειαν, καὶ ἔψαλλον διαφόρους ὕμνους. Τὸ κέντρον ὅμως τῆς θαυμασίας αὐτῆς σκηνῆς κατεῖχε μία ὡραιοτάτη γυνή, ποὺ ἦτο ἐνδεδυμένη μὲ ἐρυθρᾶν αὐτοκρατορικὴν ἐνδυμασίαν. Ἡ ὡραιότης της ἦτο ἀδύνατον νὰ περιγραφῇ. Μία ὡραιότης σεμνή, ὑπερκοσμία, θεία, χωρὶς καμμιὰν ὑλικὴν βαρύτητα.

7. Ἐγὼ ἐξεπλάγην ἀπὸ τὸ θέαμα αὐτὸ καὶ ἤρχισα, ἀπὸ φόβον, νὰ ἀπομακρύνωμαι. Τὴν στιγμὴν ἐκείνην μὲ πλησιάζει ἕνας ἀπὸ τοὺς ἱεροπρεπεῖς ἐκείνους ἄνδρας, ὁ πλέον ἐπιβλητικὸς ἀπὸ τοὺς ἄλλους, καὶ ἀφοῦ μὲ ἐκοίταξε κάπως συνωφρυωμένος, μοῦ εἶπε μὲ αὐστηρότητα.

— Εἰπέ μου, Εὐστάθιε, (αὐτὸ ἦτο τὸ κοσμικόν μου ὄνομα) τί

σκέπτεσαι νὰ ἀπολογηθῇς εἰς τὸν Θεόν; Διότι ἀπὸ τότε ποὺ ἐχάρισες τὸ ἀγρόκτημα εἰς τὰς Ἀσκητρίας, αὐταὶ παρώργισαν τὸν Θεόν! Ἡ ἀπόφασις εἶναι νὰ σὲ θανατώσω, ἐὰν δὲν ἐπανορθώσῃς ἀμέσως τὸ σφάλμα σου!

8. Τρομαγμένος ἀπὸ τὴν κατηγορηματικὴν αὐτὴν δήλωσιν ἐτόλμησα νὰ ἀπολογηθῶ.

— Κύριέ μου, ἐγὼ διὰ νὰ ἀναπαύσω τὰς Μοναχὰς αὐτάς, τοὺς ἐχάρισα τὸ ἀγρόκτημα, μαζὶ μὲ τοὺς δούλους, τὰ ζεύγη τῶν βοδιῶν καὶ ὅλα τὰ ἀναγκαῖα ἐφόδια· δὲν προσέφερα τὸν ὑλικὸν αὐτὸν θησαυρόν, διὰ νὰ παροργίσω τὸν Θεόν.

9. Εἰς τὸ σημεῖον αὐτὸ παρεμβαίνει ἡ παρισταμένη βασίλισσα, ποὺ ἐφόρει τὴν πορφύραν, καὶ μὲ γλυκεῖαν φωνὴν μοῦ λέγει:

— Τέκνον μου, ἡ ψυχική σου διάθεσις ἦτο καλὴ καὶ δι' αὐτὸ μετὰ χαρᾶς τὴν προσεδέχθημεν· ὁ ἐχθρὸς ὅμως τοῦ ἀνθρωπίνου γένους, ὁ διάβολος, εὑρῆκεν εὐκαιρίαν ἀπὸ τὴν δωρεὰν αὐτὴν καὶ ἐπλήγωσε μαζὶ μὲ τὰς ψυχάς των καὶ τὰ σώματά των ἀκόμη. Μήπως δὲν ἠμποροῦσεν ὁ Θεός, ποὺ προνοεῖ δι' αὐτάς, ὅπως καὶ δι' ὅλα τὰ πλάσματά Του, νὰ ἀναβλύσῃ ποταμοὺς ὁλοκλήρους χρυσοῦ καὶ νὰ τὸν δώσῃ εἰς αὐτάς; Αὐτὸ ὅμως δὲν θὰ ἦτο πρὸς τὸ συμφέρον τῆς ψυχῆς των! Καὶ τοῦτο, διότι αὐτοὶ ποὺ ἐγκατέλειψαν τὸν κόσμον, διὰ νὰ κληρονομήσουν τὴν Βασιλείαν τῶν οὐρανῶν, ἔχουν ὑποχρέωσιν νὰ παραμένουν ἀπερίσπαστοι ἀπὸ κάθε βιοτικὴν μέριμναν, καὶ νὰ εἶναι διαρκῶς ἡνωμένοι μὲ τὸν Θεόν, διερχόμενοι τὰς ἡμέρας τῆς ζωῆς των μὲ σκληραγωγίαν, μὲ μόχθον, μὲ πολλὴν ταπεινοφροσύνην καὶ πτωχείαν· δὲν πρέπει νὰ περνοῦν μὲ ὑπερηφάνειαν, μὲ σπατάλην, μὲ πλούτη.

10. Λέγουσα αὐτὰ πρὸς ἐμὲ ἡ βασίλισσα ὕψωσε τὴν χεῖρα της καὶ μοῦ ἔδειξεν ἐκεῖνον, ποὺ μοῦ ὡμίλει πρὸ αὐτῆς.


— Αὐτὸς εἶναι—συνέχισεν ὁμιλοῦσα— ὁ Ἰωάννης ὁ Βαπτιστής, ὁ καθηγητὴς τῶν Μοναχῶν. Αὐτοὶ λοιπὸν ποὺ θέλουν νὰ εὑρίσκωνται μαζί του εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν, ἔχουν ὑποχρέωσιν νὰ μιμηθοῦν τὰς ἀρετάς του. Πήγαινε λοιπὸν τώρα νὰ διορθώσῃς τὸ σφάλμα σου. Θὰ σὲ βοηθήσω καὶ ἐγὼ εἰς τὴν προσπάθειάν σου.

Ἀπευθυνομένη δὲ πρὸς τὸν Πρόδρομον τοῦ λέγει:

— Βαπτιστὰ τοῦ Κυρίου, σφράγισέ του τὴν καρδίαν, διὰ νὰ μὴ νομίσῃ, ὅτι αὐτά, ποὺ βλέπει καὶ ἀκούει, εἶναι φαντασία ἢ ὄνειρον.

Πράγματι λοιπὸν ὁ Πρόδρομος ἥπλωσε τὴν δεξιάν του χεῖρα καὶ μοῦ ἐσφράγισε μὲ τὸ σημεῖον τοῦ Σταυροῦ τὴν καρδίαν μου.

11. Ἀμέσως τότε συνῆλθα ἀπὸ αὐτά, ποὺ ἔβλεπα· ἐκείνην δὲ ἀκριβῶς τὴν στιγμὴν ἐπῆρα τὸ ῥαβδί μου καὶ ὀλίγους ἄρτους, διότι ὁ δρόμος ἦτο μακρινός, καὶ ἐπῆγα νὰ συναντήσω τὸν Ἀββᾶν Ἰσίδωρον. Ἀφοῦ τὸν συνήντησα, τοῦ διηγήθην λεπτομερῶς τὴν φοβερὰν ὀπτασίαν. Ὁ Ἀββᾶς Ἰσίδωρος μὲ ἤκουσε μὲ μεγάλην προσοχὴν καὶ μοῦ λέγει μὲ ἠρεμίαν.



Ὁ ἍΓΙΟΣ
ἸΣΙΔΩΡΟΣ
Ὁ ΠΗΛΟΥΣΙΩΤΗΣ

— Δὲν γνωρίζεις, εὐλογημένε, ὅτι τὰ ἀγροκτήματα ἔχουν ἀνάγκην ἀπὸ περιποίησιν καὶ καλλιέργειαν; Διὰ τὰ ἔργα δὲ αὐτὰ χρειάζονται ἀνδρικαὶ χεῖρες. Ὅταν λοιπὸν εἰς τὰ γυναικεῖα Μοναστήρια εἰσέρχωνται ἄνδρες, εἶναι ποτὲ δυνατὸν ὁ διάβολος νὰ ἀφήσῃ ἀνενοχλήτους καὶ τὰς Μοναχὰς καὶ τοὺς ἄνδρας; Ἐὰν λοιπὸν δὲν ἁρμόζῃ εἰς τοὺς Μοναχοὺς νὰ ἀσχολοῦνται μὲ γηΐνους περισπασμούς, πολὺ περισσότερον αὐτὴ ἡ ἐνασχόλησις δὲν ἁρμόζει εἰς τὰς Μοναχάς!

12. Ἀφοῦ λοιπὸν ἐπῆρα συντροφιά μου τὸν Γέροντα, ἀνεχωρήσαμεν διὰ τὸ μέρος τῶν Ἀσκητριῶν. Ἀμέσως εἰσήλθομεν εἰς τὴν Ἐκκλησίαν καὶ προσηυχήθημεν· μετὰ ταῦτα ἐκαλέσαμεν τὰς προϊσταμένας τῆς συνοδείας καὶ εἴπομεν πρὸς αὐτάς.

— Γερόντισσαι, ὁ ἀντιπρόσωπος τῆς βασιλικῆς ἐξουσίας πρόκειται νὰ ἔλθῃ εἰς ὀλίγας ἡμέρας, διὰ νὰ πάρῃ τὴν περιοχὴν αὐτὴν καὶ νὰ ἱδρύσῃ εἰς αὐτὴν πατριαρχικὰ κτίσματα (Ναόν, οἰκοδομὰς κ.λ.π.). Τί νομίζετε ὅτι πρέπει νὰ κάμωμεν;

—Ὅπως γνωρίζετε·—ἀπήντησαν ἐκεῖναι—ὅ,τι εἶναι τὸ καλύτερον καὶ συμφερώτερον διατάξετε νὰ γίνῃ, καὶ ἡμεῖς θὰ ἐκτελέσωμεν τὴν ἐντολήν σας.

13. Εὐθὺς τότε λέγω πρὸς αὐτάς:

—Ἐγὼ δὲν ἠμπορῶ νὰ ἀντιδράσω εἰς τὴν πρόθεσιν τοῦ ἀντιπροσώπου τῆς βασιλικῆς ἐξουσίας· ἐὰν λοιπὸν θέλετε, πρὶν ἀκόμη ἔλθῃ ἐκεῖνος, νὰ τὸ πωλήσωμεν εἰς τὸν ἄρχοντα καὶ νὰ πάρετε σεῖς τὴν εἰς χρῆμα ἀξίαν τοῦ κτήματος. Ἂς ἐνεργήσῃ δέ, ὅπως θέλει ὁ ἄρχων μετὰ τοῦ ἀντιπροσώπου τῆς βασιλικῆς ἐξουσίας.

— Καλὰ τὰ εἴπατε—ἀπεκρίθησαν ἐκεῖναι—ἂς γίνουν τὰ πράγματα, ὅπως προτείνετε.

14. Κατόπιν τῆς συγκαταθέσεως τῶν Ἀσκητριῶν ἀνεχώρησα ἀμέσως καὶ ἐπώλησα τὸ κτῆμα εἰς τὸν Αὐγουστάλιον, ἀντὶ τῆς ἀξίας τῶν ἑξήκοντα λιτρῶν χρυσίου. Συγχρόνως ἀπηλευθέρωσα καὶ τοὺς δούλους. Ἀφοῦ δὲ εἰσέπραξα τὸν χρυσόν, ἐπέστρεψα εἰς τὸ Μοναστήριον τῶν Ἀσκητριῶν καὶ τὸν ἄφησα ἔμπροσθεν τοῦ ἱεροῦ Βήματος. Ἐν συνεχείᾳ συνομιλήσαντες μὲ αὐτάς, ἐγὼ καὶ ὁ Ἀββᾶς Ἰσίδωρος, ἐπὶ τῶν ἀπαραιτήτων λεπτομερειῶν, ἀνεχωρήσαμεν.

15. Καθ' ὁδὸν ἔλεγα εἰς τὸν Γέροντα.

— Πάτερ μου, παρ' ὀλίγον θὰ ἔχανα τὴν ψυχήν μου· σωστὰ συνεβούλευσαν οἱ Πατέρες· εἰς γυναῖκας νὰ μὴ κάμῃς ἐλεημοσύνην.

Ὁ Γέρων, ἀφοῦ μὲ ἤκουσε, μοῦ εἶπε:

— Μὴ λέγῃς, τέκνον μου, αὐτὰ τὰ πράγματα, διότι ἁμαρτάνεις. Πρόσεξε τί θὰ σοῦ εἰπῶ· πραγματικῶς ἐκεῖνος, ποὺ ἔχει χρήματα καὶ τὴν ἀγαθὴν προαίρεσιν, εἶναι προτιμότερον νὰ δώσῃ ἐλεημοσύνην εἰς τὰς Ἀσκητρίας. Ἐκεῖνος, ποὺ προσφέρει ἐλεημοσύνην εἰς Ἀσκητρίας, λαμβάνει παρὰ Θεοῦ μισθὸν περισσότερον παρ' ὅ,τι ἐὰν ἔδιδεν ἐλεημοσύνην εἰς τυφλούς, λεπρούς, ἀναπήρους, πληγωμένους· διότι αἱ Ἀ-

σκήτριαι ἀποτελοῦν τὸ ἀσθενέστερον μέρος τοῦ κοινοῦ σώματος τῆς Ἐκκλησίας· χάριν τοῦ Θεοῦ ἐγκατέλειψαν τὸν κόσμον καὶ κατήντησαν πτωχαί. Δὲν ἔχουν δὲ τὴν δύναμιν, ὅπως ἡμεῖς, νὰ ἐξέρχωνται τῆς Μονῆς, διὰ νὰ πωλοῦν τὸ ἐργόχειρόν των, οὔτε ἔχουν τὴν ἀπαιτουμένην σκληραγωγίαν, διὰ νὰ ἀντιμετωπίσουν τὰς ἀνάγκας τῆς ζωῆς, ἀλλ' οὔτε καὶ πρέπει νὰ ἐξέρχωνται τοῦ Μοναστηρίου.

16. Ἐὰν καμμιὰ Μοναχὴ τολμήσῃ νὰ ἐξέλθῃ ἀπὸ τὴν μεγάλην πύλην τῆς Μονῆς, ἀμέσως, ὡς νὰ ἐνεφανίσθη ἔλαφος, ὅλοι οἱ κυνηγοὶ τῶν κακῶν τὴν σημαδεύουν καὶ ἀπὸ παντοῦ προσπαθοῦν νὰ ρίψουν ἀποτελεσματικῶς τὸ βέλος των ἐναντίον της. Εἰς τὴν περίπτωσιν αὐτήν, καὶ ἐὰν ἀκόμη δὲν πληγωθῇ, πρᾶγμα ποὺ εἶναι δύσκολον καὶ σχεδὸν ἀδύνατον, ἐν τούτοις μεγίστη ζημία προκαλεῖται, ἐξ αἰτίας τῶν πληγῶν, ποὺ προεκλήθησαν, ἀπὸ τὴν ἐμφάνισίν της, εἰς τὰς ψυχὰς τῶν κυνηγῶν. Ἀλλὰ καὶ ἡ ἰδία δὲν κινδυνεύει ὀλιγώτερον, ἐὰν κατορθώσῃ μὲν πρὸς στιγμὴν νὰ διαφύγῃ ἀπὸ τὰς χεῖρας τῶν κυνηγῶν, πλὴν ὅμως πληγωθῇ εἰς ἐπικίνδυνον σημεῖον τοῦ ἐσωτερικοῦ της ἀνθρώπου. Διότι καὶ ἐὰν ἀκόμη ἐγκαταλείψῃ τὸ βέλος καὶ φύγῃ, δηλαδὴ τὸ πρόσωπον, ἀπὸ τὸ ὁποῖον ἐξ ἀπροσεξίας ἐπληγώθη, ὡς τόσον καταστρέφεται ἀπὸ τὸ τραῦμα, ἐφ' ὅσον μάλιστα ἀφήσῃ τὴν πληγὴν ἀπεριποίητον· τότε μάλιστα ὑπάρχει καὶ κίνδυνος νὰ σαπίσῃ καὶ νὰ βρωμίσῃ ἡ πληγή, ὅπως λέγει ὁ Προφήτης Δαβίδ [1].

17. Δι' ὅλους αὐτοὺς τοὺς λόγους ἐκεῖνος, ποὺ ἔχει τὴν δύναμιν νὰ τὰς ὑπηρετῇ πρὸς δόξαν τοῦ Θεοῦ, καὶ οὕτω νὰ βοηθῇ αὐτὰς νὰ μὴ ἐξέρχωνται τοῦ Μοναστηρίου των, θὰ λάβῃ ἀπὸ τὸν Θεὸν ἑκατὸν φορὰς περισσότερον μισθόν, παρ' ὅσον ἐὰν ἐβοήθει πτωχοὺς καὶ ἀσθενεῖς. Ἐπίσης θὰ εἶναι ἀπὸ τὸν Θεὸν ἀξιόμισθος καὶ αὐτός, ποὺ βοηθεῖ Μοναχούς, δυστυχοῦντας διὰ τὸ Ὄνομα τοῦ Θεοῦ. Οὕτω θὰ ἔχῃ ὑπὸ τοῦ Θεοῦ μεγίστην καὶ ἀκατανίκητον, ἀπὸ πᾶσαν ἄλλην ἀγαθοεργίαν, ἀντιμισθίαν. Αὐτὸ μᾶς διδάσκει τὸ πνεῦμα τοῦ Θεοῦ· «Ὁ δεχόμενος Προφήτην εἰς ὄνομα Προφήτου μισθὸν Προφήτου λήψεται» (Ματθ. ι', 41)· καὶ «Ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ» (Ματθ. ι', 42).

18. Τὸ ἔργον ὅμως τῆς τοιαύτης ἐλεημοσύνης, εἴτε πρὸς ἀνδρικὸν εἴτε πρὸς γυναικεῖον Μοναστήριον, πρέπει νὰ γίνεται μετὰ διακρίσεως, ὥστε νὰ μὴ ρίπτωμεν αὐτούς, ποὺ ἐπιθυμοῦν νὰ ζοῦν κατὰ Θεόν, εἰς περισπασμοὺς καὶ βιοτικὰς μερίμνας καὶ ταραχάς. Ἐν τοιαύτῃ περιπτώσει δὲν θὰ τοὺς ὠφελήσῃ, ἀλλὰ περισσότερον θὰ τοὺς βλάψῃ καὶ πάρα πολὺ θὰ τοὺς ζημιώσῃ.

19. Ἐκεῖνος, ποὺ ἐπιθυμεῖ νὰ βοηθήσῃ Μοναχοὺς ἢ Μοναχὰς

---

1) «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου» (Ψαλμ. λζ', 6).

καὶ νὰ τοὺς ἀνακουφίσῃ, πρέπει νὰ προσφέρῃ ἐκεῖνα μόνον ποὺ δὲν θὰ διαταράξουν τὴν πνευματικήν των γαλήνην, μάλλιστα δὲ καὶ θὰ τὴν διατηρήσουν ἀπερίσπαστον. Τοιαῦτα δὲ ὑλικὰ ἀγαθά, π.χ., εἶναι: σιτάρι, ἀλεύρι, ὄσπρια, ὀλίγα νομίσματα, ἐνδύματα, μάλλινον ἢ λινὸν ὕφασμα, καί, ἐν γένει, ὅσα ἀναγκαῖα, τὰ ὁποῖα χορηγούμενα εἰς αὐτούς, θὰ ἐπαυξήσουν τὴν πρὸς τὸν Θεὸν λατρείαν τῶν Μοναχῶν, καὶ δὲν θὰ τοὺς ἀπομακρύνουν ἀπὸ τὴν πνευματικὴν ἡσυχίαν καὶ τὴν μέριμναν περὶ τῆς ψυχῆς των.



ΥΠΟΘΕΣΙΣ Ν΄

Ὅτι δεῖ τῶν μὴ διαφερόντων ἡμῖν ἢ ἀλλοτρίων, ὡς ὀλεθρίων ἀπέχεσθαι.

Πρέπει νὰ ἀπέχωμεν ἀπὸ ὅσα δὲν μᾶς ἐνδιαφέρουν πνευματικῶς καὶ εἶναι δι' ἡμᾶς ξένα, ὡς ἐπικίνδυνα καὶ καταστρεπτικά.

Α΄. Ἐν τῷ Γεροντικῷ

ΟΔΕΥΕ ποτε ὁ Ἀββᾶς Ἀγάθων μετὰ τῶν μαθητῶν αὐτοῦ, ἐξ ὧν εἷς εὗρεν ἐν τῇ ὁδῷ μικρὸν ἀράκιον χλωρόν, καὶ λέγει τῷ Γέροντι· Πάτερ, κελεύεις λάβω αὐτό; ὁ δὲ Γέρων, ἐμβλέψας αὐτῷ, προσέσχεν ἐφ' ἱκανὸν θαυμάζων ἐπὶ τῇ ἀτοπίᾳ τοῦ λόγου, οὗ εἶπεν ὁ ἀδελφός, καὶ λέγει· σὺ ἔθηκας αὐτὸ ἐνταῦθα; ἀπεκρίθη ὁ ἀδελφός· οὐχί· καὶ λέγει ὁ Γέρων· καὶ πῶς θέλεις λαβεῖν ὃ οὐκ ἔθηκας;

2. Ἔλεγον περὶ τοῦ Ἀββᾶ Ζήνωνος, ὅτι περιπατῶν ἐν τῇ Παλαιστίνῃ καὶ κοπιάσας, ἐκάθησε φαγεῖν ἐγγὺς σικυηλάτου· καὶ λέγει αὐτῷ ὁ λογισμός· ἆρον σεαυτῷ ἓν σικύδιον καὶ φάγε, τί γάρ ἐστιν; ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ λογισμῷ· οἱ κλέπται εἰς κόλασιν ἀπέρχονται· δοκίμασον οὖν σεαυτὸν ἐντεῦθεν, εἰ δύνασαι τὴν κόλασιν ὑπενεγκεῖν· καὶ ἤρξατο τύπτειν ἑαυτόν· εἶτα λέγει τῷ λογισμῷ· εἰ οὐ δύνασαι τὴν κόλασιν ὑπομεῖναι, μὴ κλέπτε καὶ τρῶγε.

3. Εἶπεν ὁ Ἀββᾶς Ἰσαάκ· οἶδα ἀδελφὸν θερίζοντα ἐν ἀγρῷ καὶ ἠθέλησε φαγεῖν στάχυν σίτου, καὶ εἶπε τῷ κυρίῳ τοῦ ἀγροῦ· θέλεις φάγω ἕνα στάχυν; ὁ δὲ ἀκούσας ἐθαύμασε τὴν τοῦ ἀδελφοῦ ἀκρίβειαν καὶ λέγει αὐτῷ· σός ἐστιν ὁ ἀγρός, Πάτερ, καὶ εἴ τι βούλει ἐξ αὐτοῦ λάμβανε.

4. Ἀδελφὸς ἦλθε πρὸς τὸν Ἀββᾶν Ἀγάθωνα λέγων· ἔασόν με οἰκεῖν μετὰ σοῦ· ἐπεφέρετο δὲ ὁ ἀδελφὸς μικρὸν νίτρον, ὃ ἐρχόμενος εὗρεν ἐν τῇ ὁδῷ, καὶ ἤνεγκε τῷ Γέροντι· ὁ δὲ Γέρων εἶπεν αὐτῷ· πόθεν εὗρες αὐτό; ἀπεκρίθη ὁ ἀδελφός· ἐν τῇ ὁδῷ εὗρον αὐτὸ περιπατῶν, καὶ λαβὼν ἤνεγκά σοι· λέγει αὐτῷ ὁ Γέρων· εἰ μετ' ἐμοῦ ἦλθες οἰκῆσαι, ὃ οὐκ ἔθηκας, πῶς ἔλαβες; ἄπελθε οὖν καὶ θὲς αὐτὸ ὅπου εὗρες, καὶ τότε ἐλθέ· ὁ δὲ ἐποίησεν οὕτω καὶ ὑπέστρεψε πρὸς τὸν Γέροντα.

5. Διηγήσατό τις τῶν Γερόντων περὶ τοῦ Ἀββᾶ Ἰωάννου τοῦ Πέρσου, ὅτι ἐκ τῆς πολλῆς αὐτοῦ ἀρετῆς εἰς βαθυτάτην ἤλασεν ἀκακίαν· ἔμενε δὲ ἐν Ἀραβίᾳ τῆς Αἰγύπτου· ποτὲ οὖν ἐδανείσατο παρὰ ἀδελφοῦ ἓν χρυσίον, ἤτοι νόμισμα, καὶ ἠγόρασε λινάρια, ἵνα ἐργάσηται· ἦλθε δὲ ἀδελφὸς παρακαλῶν αὐτὸν καὶ λέγων· χάρισαί μοι, Ἀββᾶ, ὀλίγα λινάρια ἵνα ποιήσω ἐμοὶ λέντιον· καὶ ἔδωκεν αὐτῷ μετὰ χαρᾶς.

6. Εἶτα καὶ ἕτερος ἦλθε παρακαλῶν αὐτὸν ὁμοίως καὶ λέγων· δός μοι ὀλίγα λινάρια, ἵνα ποιήσω ἐμαυτῷ λεβίτωνα· καὶ ἔδωκεν αὐτῷ μετὰ χαρᾶς· εἶτα καὶ ἕτερος ἦλθε παρακαλῶν αὐτὸν ὁμοίως, καὶ ἔδωκεν αὐτῷ· καὶ ἄλλοι παραγεγόνασιν αἰτοῦντες· καὶ πᾶσιν ἁπλῶς ἐδίδου ἕως οὐδὲ βραχὺ ἐκ τῶν λιναρίων κατελείφθη αὐτῷ.

7. Μετὰ οὖν ὀλίγας ἡμέρας ἔρχεται ὁ χρήσας αὐτῷ τὸ νόμισμα ζητῶν αὐτό. ὁ δὲ Γέρων λέγει αὐτῷ· ἄπελθε καὶ ἐγὼ φέρω σοι αὐτό· μὴ ἔχων δὲ πόθεν ἀποδοῦναι, ἀνέστη ἀπελθεῖν πρὸς τὸν Ἀββᾶν Ἰάκωβον τὸν τῆς διακονίας, ὡς ἂν παρακαλέσῃ αὐτὸν δοῦναι αὐτῷ νόμισμα, ἵνα ἀποδῷ τῷ ἀδελφῷ· καὶ ὑπάγων εὗρε νόμισμα κείμενον χαμαί, καὶ οὐχ ἥψατο αὐτοῦ· ποιήσας δὲ εὐχήν, ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ.

8. Ἦλθεν οὖν πάλιν ὁ ἀδελφὸς ὀχλῶν αὐτῷ καὶ τὸ νόμισμα ζητῶν· καὶ λέγει ὁ Γέρων· μακροθύμησον ἔτι μικρόν, καὶ ἐγὼ πάντως φροντίζω. Ἀπελθόντος οὖν ἐκείνου, ὥρμησε πάλιν ὁ Γέρων παραγενέσθαι πρὸς τὸν Ἀββᾶν Ἰάκωβον· καὶ γενόμενος ἐν τῷ τόπῳ, ἐν ᾧ εἶδε πρῶτον τὸ νόμισμα, εὗρε πάλιν αὐτὸ χαμαὶ κείμενον ὁμοίως· καὶ ποιήσας εὐχὴν πάλιν ὑπέστρεψεν εἰς τὸ κελλίον αὐτοῦ.

9. Μετὰ δὲ μικρόν, ἰδοὺ πάλιν ὁ ἀδελφὸς τὸ νόμισμα ἀπαιτῶν· καὶ λέγει ὁ Γέρων· πάντως τὸ ἅπαξ τοῦτο φέρω αὐτό· καὶ ἀναστὰς ἦλθε πάλιν εἰς ἐκεῖνον τὸν τόπον, καὶ εὗρε τὸ νόμισμα ὁμοίως κείμενον καὶ ποιήσας εὐχὴν ἔλαβεν αὐτό· καὶ ἀπῆλθε πρὸς τὸν Ἀββᾶν Ἰάκωβον καὶ λέγει αὐτῷ· Ἀββᾶ, ἐρχόμενος πρός σε, εὗρον τὸ νόμισμα τοῦτο ἐν τῇ ὁδῷ· ποίησον οὖν ἀγάπην καὶ κήρυξον ἐν τῇ ἐνορίᾳ μή τις ἀπώλεσεν αὐτό· καὶ ἐὰν εὑρεθῇ ὁ κύριος αὐτοῦ, δὸς αὐτό.

10. Ἀπελθὼν οὖν ὁ Γέρων, ἐπὶ τρεῖς ἡμέρας ἐκήρυξε, καὶ οὐδεὶς εὑρέθη ἀπολέσας τὸ νόμισμα· τότε οὖν λέγει ὁ Ἀββᾶς Ἰωάννης τῷ Ἀββᾷ Ἰακώβῳ· εἰ οὖν οὐδεὶς αὐτὸ ἀπώλεσε, δὸς αὐτὸ τῷδε τῷ ἀδελφῷ· χρεωστῶ γὰρ αὐτῷ· καὶ ἐρχόμενος λαβεῖν παρὰ τῆς σῆς ἀγάπης, εὗρον αὐτό· ἀκούσας ὁ Γέρων ἐθαύμασε πῶς χρεωστῶν καὶ εὑρών, οὐ ταχέως ἔλαβε καὶ ἀπέδωκεν αὐτό.

11. Εἶχε δὲ ὁ Γέρων καὶ ἑτέραν θαυμαστὴν ἐργασίαν· εἰ γὰρ ἦλθέ τις χρήσασθαι παρ' αὐτοῦ τίποτε, οὐ δι' ἑαυτοῦ παρεῖχεν ὃ ἐζήτει ὁ ἐλθών, ἀλλ' ἔλεγεν αὐτῷ· σεαυτῷ ἆρον οὗ χρῄζεις· καὶ εἰ μὲν ἔφερεν ἀποδιδοὺς πάλιν ὁ λαβών, ἔλεγεν αὐτῷ· ἀπόθες αὐτὸ πάλιν εἰς τὸν τόπον αὐτοῦ· εἰ δὲ οὐδὲν ἔφερεν, οὐκ ἀπῄτει αὐτὸν τὸ ληφθέν.

12. Ἦν τις Γέρων, Φιλάγριος ὀνόματι, οἰκῶν ἐν τῇ ἐρήμῳ Ἱεροσολύμων· καὶ ἐκοπία ἐν τῷ ἐργοχείρῳ ἵνα κομίζηται τὸν ἴδιον ἄρτον· οὗτος οὖν ἐν μιᾷ ἱστάμενος εἰς τὴν ἀγορὰν ἐπὶ τὸ πωλῆσαι τὸ ἑαυτοῦ ἐργόχειρον, περιτυγχάνει βαλαντίῳ χιλίων νομισμάτων, ὅ τις τῶν ἐκεῖσε διερχομένων βαστάζων ἀπώλεσεν.

13. Ὡς οὖν εὗρεν αὐτὸ ὁ Γέρων, ἄρας ἔστη ἐπὶ τοῦ τόπου λέγων· δεῖ τὸν ἀπολέσαντα ἐλθεῖν καὶ ζητῆσαι αὐτό· καὶ ἰδοὺ μετὰ μικρὸν ἔρχεταί τις ἄνθρωπος κλαίων καὶ περὶ αὐτοῦ ἐρωτῶν· ὁ δὲ Γέρων, λαβὼν αὐτὸν κατ' ἰδίαν, δέδωκεν αὐτῷ τὸ βαλάντιον σῶον.

14. Ὡς δὲ ἐκβαλὼν ἐξ αὐτοῦ μέρος τι ἐδίδου τῷ Γέροντι καὶ ἠξίου αὐτὸν λαβεῖν, ὁ Γέρων οὐ κατεδέξατο· ἐκεῖνος δὲ πολλὰ δυσωπήσας αὐτόν, ὡς οὐκ ἔπεισεν, ἤρξατο κράζειν· δεῦτε ἴδετε ἄνθρωπον τοῦ Θεοῦ, οἷον ἔργον ἐποίησεν εἰς ἐμέ· ὁ δὲ Γέρων λαθὼν ἔφυγε, καὶ ἐξῆλθεν ἐκ τῆς πόλεως ἵνα μὴ δοξασθῇ.

15. Ἀδελφός τις ὁδεύων εὗρε ξύλον ἐν τῇ ὁδῷ, ὃ ἦν πεπτωκὸς ἀπὸ καμήλου ξύλα ἀχθοφορούσης· καὶ λαβὼν αὐτό, ἤνεγκεν εἰς τὸ κελλίον· ἰδὼν δὲ ὁ Ἀββᾶς αὐτοῦ τὸ ξύλον, εἶπε τῷ ἀδελφῷ· πόθεν εὗρες αὐτό; ὁ δὲ ἔφη· ἐκ τῆς ὁδοῦ· λέγει αὐτῷ ὁ Γέρων· εἰ μὲν ἦν ἐλαυνόμενον ὑπὸ τοῦ ἀνέμου, ἤγουν εἰ οὐδεὶς ἀπώλεσεν αὐτό, ἀλλ' ὑπὸ ἀνέμου κατὰ τύχην φερόμενον ἐκ τῆς ὕλης ἐῤῥίφθη, φέρε αὐτὸ ἔσω· εἰ δὲ μή, ὕπαγε, θὲς αὐτὸ εἰς τὸν τόπον αὐτοῦ· καὶ ὑποστρέψας ὁ ἀδελφός, ἔῤῥιψεν αὐτὸ πάλιν ἐν τῇ ὁδῷ.

Ἑρμηνεία

ΚΑΠΟΤΕ ὁ Ἀββᾶς Ἀγάθων ἐβάδιζε μετὰ τῶν μαθητῶν του· καθ' ὁδὸν ἕνας ἐκ τῶν μαθητῶν του εὗρεν ἕνα μικρὸ χλωρὸ ἀρακὰ (μπιζέλι) καὶ λέγει εἰς τὸν Γέροντα.

— Πάτερ μου, μοῦ δίδεις εὐλογίαν νὰ τὸ πάρω;

Ὁ Γέρων, ἀφοῦ παρετήρησε μετὰ προσοχῆς τὸν μαθητήν του, παρέμεινεν ἀρκετὰ θαυμάζων διὰ τὴν ἀφέλειαν καὶ τὸ ἄτοπον τῆς ἐρωτήσεως· κατόπιν δὲ λέγει πρὸς αὐτόν:

— Σὺ ἐτοποθέτησας αὐτὸν τὸν ἀρακὰ ἐδῶ;

—Ὄχι,—ἀπήντησεν ὁ ἀδελφός.

— Τότε — λέγει ὁ Γέρων — πῶς θέλεις νὰ πάρῃς πρᾶγμα ποὺ δὲν ἄφησες καὶ ἑπομένως δὲν εἶναι ἰδικόν σου;

2. Διὰ τὸν Ἀββᾶν Ζήνωνα διηγοῦντο τὸ ἑξῆς διδακτικὸν περιστατικόν. Κάποτε ἐπεριπατοῦσεν εἰς τὴν Παλαιστίνην καὶ καθὼς ἦτο κουρασμένος, ἐκάθισε νὰ φάγῃ κοντὰ εἰς ἕνα λαχανόκηπον φυτευμένον μὲ ἀγγουριές. Ὁ λογισμός τοῦ εἶπε· πάρε ἕνα ἀγγουράκι καὶ φάγε το· δὲν εἶναι μεγάλο πρᾶγμα. Εἰς ἀπάντησιν αὐτῆς τῆς προσβολῆς τοῦ λογισμοῦ εἶπεν ὁ Ἀββᾶς Ζήνων: Οἱ κλέπται θὰ τιμωρηθοῦν εἰς τὴν αἰώνιον κόλασιν· δοκίμασε λοιπόν, ἐὰν ἔχῃς τὴν δύναμιν νὰ ὑποφέρῃς τὴν κόλασιν. Συγχρόνως δὲ ἤρχισε νὰ κτυπιέται. Αἰσθανόμενος δὲ πόνον ἐκ τῆς αὐτοτιμωρίας αὐτῆς εἶπε πάλιν εἰς τὸν λογισμόν του: Ἐφ' ὅσον λοιπὸν δὲν ἠμπορεῖς νὰ ὑπομένῃς τὴν τιμωρίαν, τότε νὰ μὴ κλέπτῃς, διὰ νὰ τρώγῃς.

3. Ὁ Ἀββᾶς Ἰσαὰκ εἶπεν: Ἐγνώρισα ἕνα ἀδελφόν, ποὺ ἐθέριζεν εἰς ἕνα χωράφι· εἰς μίαν στιγμὴν ἠθέλησε νὰ φάγῃ λίγο σιτάρι τρίβοντας ἕνα στάχυν· πρὸς τοῦτο ἀπηυθύνθη εἰς τὸν ἰδιοκτήτην τοῦ χωραφιοῦ καὶ τὸν ἠρώτησε:

— Μοῦ ἐπιτρέπεις νὰ φάγω ἕνα στάχυν;

Ὁ ἰδιοκτήτης ἐθαύμασε διὰ τὴν ἀκρίβειαν καὶ τὴν προσοχὴν αὐτοῦ τοῦ ἀδελφοῦ καὶ τοῦ ἀπήντησε:

— Πάτερ μου, δικό σου εἶναι τὸ χωράφι· ὅ,τι θέλεις ἀπὸ αὐτὸ νὰ παίρνῃς, ὁποτε θέλεις.

4. Ἕνας ἀδελφὸς ἦλθε πλησίον τοῦ Ἀββᾶ Ἀγάθωνος καὶ τοῦ λέγει:

—Ἄφησέ με, Πάτερ μου, νὰ κατοικήσω μαζί σου.

Ὁ ἀδελφὸς αὐτὸς εἶχε μαζί του ὀλίγην ποσότητα νίτρου (1), ποὺ τὸ εὗρεν εἰς τὸν δρόμον, καθὼς ἤρχετο· ἐνῷ λοιπὸν τὸν παρεκάλει,

1) Νίτρον =ἀνθρακικὴ σόδα. Τοῦτο ἀναμειγνύοντες, κατὰ τὴν ἐποχὴν ἐκείνην, μετ' ἐλαίου τὸ ἐχρησιμοποίουν ἀντὶ σάπωνος. Τὸ νεώτερον νίτρον εἶναι ἡ καυστικὴ ποτάσσα (potasse).

του προσέφερε καὶ τὸ νίτρον. Ὁ Ἀββᾶς Ἀγάθων τὸν ἠρώτησε:

— Ποῦ τὸ εὑρῆκες αὐτό;

— Εἰς τὸν δρόμον, — ἀπεκρίθη ὁ ἀδελφὸς — ἐνῷ ἠρχόμην ἐδῶ καὶ τὸ ἐπῆρα, διὰ νὰ σοῦ τὸ φέρω.

— Ἐὰν θέλῃς νὰ συγκατοικήσῃς μαζί μου, — λέγει ὁ Γέρων — πρέπει νὰ προσέχῃς· πῶς λοιπὸν παρέλαβες πρᾶγμα, ποὺ δὲν ἐτοποθέτησες ὁ ἴδιος; Πήγαινε καὶ ἄφησέ το ἐκεῖ, ποὺ τὸ εὑρῆκες, καὶ τότε ἔλα.

Ὁ ἀδελφὸς ἔκαμε, ὅπως τὸν διέταξεν ὁ Ἀββᾶς Ἀγάθων καὶ μετὰ ἐπέστρεψε, διὰ νὰ συγκατοικήσουν μαζί.

5. Κάποιος ἀπὸ τοὺς Γέροντας διηγήθη τὸ ἑξῆς διὰ τὸν Ἀββᾶν Ἰωάννην τὸν Πέρσην. Αὐτός, ὁ Ἀββᾶς Ἰωάννης, ἐξ αἰτίας τῆς πολλῆς του ἀρετῆς, ἔγινε πάρα πολὺ ἄκακος καὶ ἁπλός, ὡς παιδίον. Ἔμενε δὲ εἰς τὴν Ἀραβίαν τῆς Αἰγύπτου (1). Κάποτε λοιπὸν ἐδανείσθη ἀπὸ ἕνα ἀδελφὸν ἕνα χρυσοῦν νόμισμα καὶ ἠγόρασε λινάρια, διὰ νὰ ἐργασθῇ. Πρὶν ὅμως ἀκόμη τὰ χρησιμοποιήσῃ, τὸν ἐπεσκέφθη ἕνας ἀδελφὸς καὶ τὸν παρεκάλεσε, λέγων:

— Χάρισέ μου, Ἀββᾶ, ὀλίγα λινάρια, διὰ νὰ πλέξω μιὰ ποδιά!

Ὁ Ἀββᾶς Ἰωάννης προθύμως τοῦ ἐχάρισε τὸ αἰτηθέν.

6. Ἐντὸς ὀλίγου καταφθάνει ἕτερος πτωχὸς Μοναχὸς καὶ παρεκάλει καὶ αὐτὸς τὸν Γέροντα λέγων:

— Χάρισέ μου, Ἀββᾶ, ὀλίγα λινάρια, διὰ νὰ πλέξω ἕνα ροῦχο, ποὺ κρυώνω.

Ὁ Ἀββᾶς Ἰωάννης, χωρὶς νὰ γογγύσῃ, ἔδωσε καὶ εἰς αὐτὸν μὲ χαράν. Κατόπιν ἦλθε καὶ τρίτος καὶ τέταρτος καὶ πολλοὶ ἄλλοι ζητοῦντες λινάρια. Εἰς ὅλους μὲ προθυμίαν καὶ παιδικὴν ἁπλότητα προσέφερεν ὁ Γέρων, ἕως ὅτου δὲν τοῦ ἔμεινε τίποτε ἀπὸ τὰ λινάρια.

7. Μετὰ ἀπὸ ὀλίγας ἡμέρας τὸν ἐπεσκέφθη καὶ ὁ δανειστής του, ζητῶν τὴν ἐπιστροφὴν τοῦ νομίσματος. Ὁ Ἀββᾶς Ἰωάννης τοῦ λέγει:

— Πήγαινε καὶ ἐγὼ θὰ σοῦ τὸ φέρω.

Ἐπειδὴ δὲ δὲν ὑπῆρχε τρόπος νὰ τὸ ἐξοικονομήσῃ ἀπὸ ἀλλοῦ, ἐσηκώθη νὰ ἐπισκεφθῇ τὸν Ἀββᾶν Ἰάκωβον, ποὺ εἶχε τὸ διακόνημα τῆς οἰκονομικῆς διαχειρίσεως καὶ νὰ τὸν παρακαλέσῃ νὰ τοῦ δώσῃ ἕνα νόμισμα, διὰ νὰ τὸ ἐπιστρέψῃ εἰς τὸν δανειστήν. Ἐνῷ δὲ μετέβαινε πρὸς συνάντησιν τοῦ Ἀββᾶ Ἰακώβου, εὑρῆκε χάμω εἰς τὸν δρόμον ἕνα νόμισμα. Καίτοι δὲ εἶχε τόσον ἀνάγκην οὔτε κἂν τὸ ἤγγισεν· ἀφοῦ δὲ εἶπε τὴν εὐχήν· «Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ ἐλέησόν με» καὶ ἔκαμε τὸν σταυρόν του, ἐπέστρεψεν ἄπρακτος εἰς τὸ κελλίον του.

8. Μετ' ὀλίγον τὸν ἐπεσκέφθη ἐκ δευτέρου ὁ δανειστὴς καὶ ἐζήτει τὴν ἐπιστροφὴν τοῦ νομίσματος. Ὁ Γέρων καὶ πάλιν τοῦ λέγει:

---

1) Ἡ πλησίον τοῦ Σινᾶ περιοχή, ἡ Πετραία Ἀραβία.

— Κάμε ἀγάπην καὶ περίμενε ὀλίγον· νὰ εἶσαι βέβαιος, ὅτι φροντίζω νὰ σοῦ τὸ ἐπιστρέψω.

Μετὰ τὴν ἀναχώρησιν τοῦ ἀδελφοῦ, ἔτρεξε καὶ πάλιν ὁ Ἀββᾶς Ἰωάννης νὰ ἐπισκεφθῇ τὸν Ἀββᾶν Ἰάκωβον, διὰ νὰ τὸν βοηθήσῃ. Μόλις ἔφθασεν εἰς τὸ γνωστὸν σημεῖον εὑρῆκε πάλιν τὸ ἴδιον νόμισμα. Παρ' ὅλην δὲ τὴν ἀνάγκην, ποὺ εἶχεν, ἔκαμε τὴν εὐχὴν καὶ ἀνεχώρησεν, ἐκ δευτέρου, ἄπρακτος διὰ τὸ κελλίον του.

9. Μετ' ὀλίγον τὸν ἐπεσκέφθη, διὰ τρίτην φοράν, ὁ δανειστὴς ἀπαιτῶν τὴν ἐπιστροφὴν τοῦ νομίσματος.

— Νὰ εἶσαι βέβαιος, ὅτι αὐτὴν τὴν φορὰν ὁπωσδήποτε θὰ σοῦ τὸ ἐπιστρέψω—διεβεβαίωσεν ὁ Γέρων.

Πραγματικῶς ἦλθεν εἰς τὸ σημεῖον, ποὺ εἶχεν εὕρει ἀρχικῶς τὸ νόμισμα, καὶ ἐξηκολούθει νὰ ὑπάρχῃ ἐκεῖ. Αὐτὴν τὴν φορὰν ἔκαμε τὸν σταυρόν του, εἶπε τὸ «Κύριε, Ἰησοῦ Χριστέ...» καὶ τὸ παρέλαβεν. Ἀμέσως ἀνεχώρησε πρὸς τὸν Ἀββᾶν Ἰάκωβον καὶ ὅταν τὸν συνήντησε, τοῦ εἶπεν:

— Ἀββᾶ, ἐνῷ ἠρχόμην πρὸς ἐπίσκεψίν σου, εὑρῆκα εἰς τὸν δρόμον αὐτὸ τὸ νόμισμα. Σὲ παρακαλῶ, κάμε ἀγάπην καὶ κήρυξε εἰς τὴν ἐνορίαν, μήπως τὸ ἔχασε κανείς. Ἐὰν δὲ εὑρεθῇ ὁ κάτοχός του, νὰ τὸ δώσῃς.

10. Πράγματι ὁ Ἀββᾶς Ἰάκωβος ἐπὶ τρεῖς ἡμέρας τὸ ἐκήρυξεν εἰς τὴν ἐνορίαν καὶ κανεὶς δὲν εὑρέθη νὰ τὸ ζητήσῃ. Τότε ὁ Ἀββᾶς Ἰωάννης λέγει πρὸς τὸν Ἀββᾶν Ἰάκωβον:

— Ἐφ' ὅσον κανεὶς δὲν τὸ ἔχασε, σὲ παρακαλῶ νὰ τὸ δώσῃς εἰς τὸν τάδε ἀδελφόν, διότι τοῦ τὸ χρεωστῶ· ἐρχόμενος δὲ νὰ ζητήσω ἀπὸ τὴν ἀγάπην σου νὰ μὲ βοηθήσῃς, τὸ εὑρῆκα εἰς τὸν δρόμον.

Μόλις ἐπληροφορήθη αὐτὸ τὸ πρᾶγμα ὁ Ἀββᾶς Ἰάκωβος ἐθαύμασε, πῶς, ἐνῷ ἐχρεωστοῦσε καὶ τὸ εὑρῆκεν εἰς τὸν δρόμον, ἐν τούτοις δὲν τὸ ἔλαβε, διὰ νὰ τὸ ἐπιστρέψῃ εἰς τὸν δανειστήν του, ἀλλ' ἐπέδειξε τοσαύτην ἀκρίβειαν.

11. Ὁ ἴδιος Γέρων, δηλαδὴ ὁ Ἀββᾶς Ἰωάννης, εἶχε καὶ τὴν ἑξῆς ἀξιοθαύμαστον ἀρχήν: Ὁσάκις τὸν ἐπεσκέπτετο κανεὶς καὶ τοῦ ἐζήτει ἕνα πρᾶγμα, δὲν τοῦ τὸ ἔδιδε μόνος του, ἀλλὰ τοῦ ἔλεγε:

— Πάρε ὁ,τιδήποτε ἔχεις ἀνάγκην.

Καὶ ἐφ' ὅσον μέν, μετὰ καιρόν, τὸ ἐπέστρεφε, τοῦ ἔλεγε πάλιν:

— Ἄφησέ το ἐκεῖ, ἀπὸ ὅπου τὸ ἐπῆρες.

Ἐὰν δὲ δὲν ἐπανήρχετο νὰ ἐπιστρέψῃ αὐτὸ ποὺ ἐπῆρε, οὐδόλως τὸν ἠνώχλει νὰ τὸ φέρῃ.

12. Ἔζη κάποτε καὶ ἠσκήτευεν εἰς τὴν ἔξω τῶν Ἱεροσολύμων ἔρημον ἕνας γέρων Ἀσκητής, ὀνομαζόμενος Φιλάγριος. Ἐκοπίαζε δὲ εἰς τὸ ἐργόχειρον, διὰ νὰ ἐξασφαλίσῃ τὴν πενιχρὰν τροφήν του.

Αὐτὸς λοιπὸν ὁ γέρων καὶ πτωχὸς Ἀσκητὴς μίαν ἡμέραν προσῆλθεν εἰς τὴν ἀγορὰν τῆς πόλεως, διὰ νὰ πωλήσῃ τὸ ἐργόχειρόν του. Ἐκεῖ ποὺ πηγαινοήρχετο εὑρίσκει ἕνα σακκούλι μὲ χίλια χρυσᾶ νομίσματα, τὸ ὁποῖον, προφανῶς, ἀπώλεσε κάποιος περαστικός.

13. Μόλις τὸ εὕρηκεν ὁ Γέρων, τὸ ἐπῆρε καὶ ἔμεινεν εἰς τὸ μέρος ἐκεῖνο, ἐνῷ ἔλεγε μέσα του: «Ἀσφαλῶς αὐτὸς ποὺ τὸ ἔχασε πρέπει νὰ ἔλθῃ καὶ νὰ τὸ ἀναζητήσῃ».

Μετ' ὀλίγον ἔρχεται ἕνας ἄνθρωπος, κλαίων καὶ ἐρωτῶν μήπως εἶδε τὸ σακκούλι μὲ τὰ χρήματα. Ὁ γέρων Ἀσκητὴς τὸν ἐπῆρε τότε ἰδιαιτέρως, καὶ ἀφοῦ διεπίστωσεν ὅτι ἦτο ἰδικόν του τὸ σακκούλι, τοῦ τὸ ἐπιστρέφει σῶον καὶ ἀκέραιον.

14. Τότε ὁ ἐπανευρὼν τὰ χρήματά του, τὸ ἀνοίγει καὶ βγάζει ἕνα μέρος τῶν νομισμάτων, διὰ νὰ τὸ προσφέρῃ εἰς τὸν γέροντα Ἀσκητήν. Ὁ Ἀσκητὴς ἠρνεῖτο· ὁ ἄνθρωπος ἐπέμενε. Τέλος δὲν ἐπείσθη ὁ Ἀσκητὴς νὰ δεχθῇ. Μετὰ τὴν ἀποτυχίαν νὰ πείσῃ τὸν Ἀσκητήν, ὁ εὐγνώμων ἄνθρωπος ἤρχισε νὰ κραυγάζῃ, διὰ νὰ τὸν ἀκούσουν ὅλοι:

—Ἐλᾶτε νὰ ἴδητε ἕνα ἄνθρωπον τοῦ Θεοῦ, ποῖον ἀξιόλογον ἔργον ἐτέλεσεν· ἐπέστρεψεν εἰς ἐμὲ τὰ ἀπολεσθέντα χρήματά μου καὶ δὲν ἐδέχθη οὔτε ἓν νόμισμα ὡς εὑρετικά.

Ἐν τῷ μεταξὺ ὅμως κρυφὰ ἀνεχώρησεν ὁ Γέρων ἐκ τῆς ἀγορᾶς, διὰ νὰ μὴ τὸν ἐπαινέσουν οἱ ἄνθρωποι καὶ τοιουτοτρόπως κανεὶς δὲν τὸν εἶδεν.

15. Ἕνας ἀδελφός, ἐνῷ ἐβάδιζεν, εὑρῆκεν εἰς τὸν δρόμον ἕνα ξύλο, ποὺ ἔπεσεν ἀπὸ μίαν φορτωμένην καμήλαν. Τὸ ἐσήκωσε λοιπὸν καὶ τὸ μετέφερεν εἰς τὸ κελλίον. Μόλις τὸν εἶδεν ὁ Ἀββᾶς μὲ τὸ ξύλον, τὸν ἐρωτᾷ:

— Ποῦ τὸ εὑρῆκες αὐτό;

— Εἰς τὸν δρόμον—ἀπήντησεν ὁ ἀδελφός.

—Ἐάν, κατὰ τύχην, παρεσύρθη—λέγει ὁ Γέρων—ὑπὸ τοῦ ἀνέμου ἐκ τοῦ δάσους καὶ τὸ εὑρῆκες εἰς τὸν δρόμον σου, χωρὶς νὰ τὸ ἔχῃ χάσει κανείς, νὰ τὸ φέρῃς μέσα εἰς τὸ κελλί, διὰ νὰ τὸ κρατήσωμεν. Διαφορετικὰ νὰ πᾷς νὰ τὸ ἀφήσῃς ἐκεῖ, ποὺ τὸ εὑρῆκες.

Τότε ὁ ὑποτακτικὸς ὑπακούων μετέβη, πράγματι, καὶ τὸ ἔρριψεν ἐκεῖ, ποὺ τὸ εὑρῆκε.

Τέλος τοῦ τρίτου βιβλίου τοῦ Εὐεργετινοῦ καὶ τῷ Θεῷ Δόξα ※ Ἀμήν ※

ΠΙΝΑΞ
ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ ΤΟΥ ΕΥΕΡΓΕΤΙΝΟΥ

ΥΠΟΘΕΣΙΣ Α'

Δὲν πρέπει ἀπὸ ὑπονοίας νὰ κατακρίνῃ κανείς, οὔτε ἀκόμη καὶ νὰ δίδῃ ἐμπιστοσύνην εἰς τὰς ὑπονοίας. Σελ. 9

ΥΠΟΘΕΣΙΣ Β'

Δὲν πρέπει κανεὶς οὔτε τὸν ἀποδεδειγμένως ἁμαρτάνοντα νὰ κατακρίνῃ καὶ νὰ ἐξευτελίζῃ, ἀλλὰ νὰ προσέχῃ τὸν ἑαυτόν του, καὶ νὰ μὴ ἀσχολῆται φιλοπεριέργως μὲ ξένας ὑποθέσεις· διότι ἀσφαλῶς ἐκεῖνος, ὁ ὁποῖος προσέχει τὰ ἰδικά του σφάλματα, δὲν δύναται νὰ κατακρίνῃ τὸν πλησίον. » 22

ΥΠΟΘΕΣΙΣ Γ'

Δὲν πρέπει κανεὶς νὰ σκανδαλίζῃ μὲ πράξεις, ἐκτελουμένας χωρὶς ἐντολήν. Καὶ τί ἠμπορεῖ νὰ κάμῃ τὸ σκάνδαλον. Δὲν πρέπει κανεὶς νὰ σκανδαλίζεται· νὰ θεραπεύῃ δὲ τοὺς σκανδαλιζομένους. » 66

ΥΠΟΘΕΣΙΣ Δ'

Πρέπει ὁ Χριστιανὸς νὰ αἰχμαλωτίζῃ κάθε του σκέψιν εἰς τὸν Χριστόν· διότι οἱ Πνευματικοί, καὶ μερικοὶ ἀπὸ τοὺς κοσμικούς, καὶ ἀπὸ αἰσχρὰς ἀκόμη παραστάσεις ἐξάγουν ἀγαθὰς καὶ ὑψηλὰς ἐννοίας. » 74

ΥΠΟΘΕΣΙΣ Ε'

Περὶ δόλου καὶ πονηρίας, ἁπλότητος καὶ ἀκακίας. Ἀπὸ ποῦ γεννῶνται, καὶ ποία ἡ ἐξ αὐτῶν βλάβη καὶ ὠφέλεια. Καὶ περὶ φθόνου. » 80

ΥΠΟΘΕΣΙΣ ϛ'

Περὶ ἐκείνων, ποὺ εἰρωνεύονται καὶ περιφρονοῦν τοὺς ἀπονηρεύτους καὶ αὐτοταπεινουμένους ἀνθρώπους. Πόσον οὗτοι ἁμαρτάνουν. » 84

ΥΠΟΘΕΣΙΣ Ζ'

Πρέπει ὁ πιστὸς ὅ,τι κάνει νὰ τὸ κάνῃ ἀπὸ ἀγαθὴν συνείδησιν καὶ ὄχι ἀπὸ πονηράν, διότι ὁ Θεὸς κρίνει τὰς πράξεις ἑνὸς ἑκάστου ὄχι κατὰ τὸ φαινόμενον αὐτῶν, ἀλλὰ κατὰ τὴν προαίρεσιν καὶ τὸν σκοπὸν τοῦ πράττοντος. » 89

ΥΠΟΘΕΣΙΣ Η'

Μέγα ἀγαθὸν ἔχει δωρηθῆ εἰς ἡμᾶς ὑπὸ τοῦ Θεοῦ, ἡ συνείδησις. Πάρα πολὺ δὲ βοηθεῖ ἐκεῖνον ποὺ ὑπακούει εἰς αὐτήν. » 93

ΥΠΟΘΕΣΙΣ Θ'

Πρέπει πάντοτε νὰ προσέχωμεν καὶ νὰ περιφρουρῶμεν τοὺς ἑαυτούς μας ἀπὸ ὅλα τὰ σημεῖα, ἐπειδὴ ὁ ἐχθρὸς ἀπὸ παντοῦ καὶ δι' ὅλων τῶν μέσων προσβάλλει. » 96

ΥΠΟΘΕΣΙΣ Ι'

Πρέπει νὰ ἐξετάζωμεν μετὰ προσοχῆς τοὺς ἑαυτούς μας, ὥστε νὰ διορθώνωμεν τὰ σφάλματα καὶ νὰ πολλαπλασιάζωμεν τὰ καλά. Σελ. 118

ΥΠΟΘΕΣΙΣ ΙΑ'

Διὰ τὸν πιστὸν εἶναι ἐπικίνδυνος ἡ παράβασις καὶ μιᾶς ἔστω ἐντολῆς, ἐπειδὴ ἔλαβεν ἀπὸ τὸν Θεὸν τὴν δύναμιν νὰ τὰς ἐκτελῇ ὅλας· ἐπίσης καὶ ἡ μικρὰ κακία βλάπτει πάρα πολύ. » 124

ΥΠΟΘΕΣΙΣ ΙΒ'

Ἐκεῖνοι οἱ Μοναχοὶ καὶ εὐλαβεῖς λαϊκοί, ποὺ ἔλαβον παρὰ Θεοῦ τὴν θείαν γνῶσιν, τιμωροῦνται μὲ μεγάλας τιμωρίας καὶ διὰ τὰ παραμικρὰ πταίσματα. » 144

ΥΠΟΘΕΣΙΣ ΙΓ'

Πρέπει νὰ ἀντιστεκώμεθα μὲ γενναιότητα ἐναντίον τῆς ἀκηδίας, νὰ ἀντιμετωπίζωμεν τὴν ἐκ τοῦ δαίμονος λύπην, καὶ νὰ ἔχωμεν ὑπομονήν. » 149

ΥΠΟΘΕΣΙΣ ΙΔ'

Πρέπει ὁ ἀγωνιστής, καὶ ὅταν ἀκόμη εἶναι ἄρρωστος, νὰ μὴ ποθῇ καθόλου τὰς ἡδονὰς καὶ νὰ καταργῇ τὴν ἄσκησιν ἢ νὰ στηρίζῃ τὴν ἐλπίδα τῆς θεραπείας του εἰς ἰατρείας, ἀλλὰ μόνον εἰς τὸν Θεόν, ὁ ὁποῖος παραχωρεῖ καὶ τὰς ἀσθενείας. » 178

ΥΠΟΘΕΣΙΣ ΙΕ'

Πῶς καὶ πότε πρέπει νὰ ἐπιζητοῦμεν ἰατρείας καὶ ποίας ἰατρείας· δὲν πρέπει ὁ Μοναχὸς χάριν σωματικῆς ἰατρείας νὰ φεύγῃ ἀπὸ τὸ Μοναστήρι, ἀλλὰ καὶ ἄρρωστος νὰ μένῃ εἰς αὐτὸ ἀρκούμενος εἰς τὰς θεραπείας τῶν ἀδελφῶν. » 193

ΥΠΟΘΕΣΙΣ ΙΣΤ'

Δὲν πρέπει ὁ Μοναχός, χωρὶς σοβαρὰν ἀνάγκην, νὰ λούεται ἢ νὰ γυμνώνεται τελείως. » 202

ΥΠΟΘΕΣΙΣ ΙΖ'

Δὲν ὑπάρχει τίποτε ἀκαθόριστον ἀπὸ τὸν Θεόν· ὅλα ὅσα γίνονται, καὶ αὐτοὶ ἀκόμη οἱ αἰφνίδιοι θάνατοι, ἔχουν προκαθορισθῆ ὑπὸ τῆς προνοίας τοῦ Θεοῦ. » 215

ΥΠΟΘΕΣΙΣ ΙΗ'

Περὶ τῆς ὑπομονῆς, ποὺ πρέπει νὰ ἐπιδεικνύωμεν εἰς τὰς ἀσθενείας· εἰς μερικοὺς ἐναρέτους ἐπιτρέπονται καὶ οἰκονομικαὶ τιμωρίαι ἀπὸ τὸν Θεόν, διὰ τὴν ὁλοκληρωτικήν των κάθαρσιν. » 218

ΥΠΟΘΕΣΙΣ ΙΘ'

Ὁ Θεὸς ἐπιτρέπει, ὥστε καὶ οἱ δίκαιοι, πολλὰς φοράς, νὰ ἀποθνήσκουν μὲ βίαιον θάνατον. » 233

ΥΠΟΘΕΣΙΣ Κ'

Δὲν πρέπει νὰ παραξενευώμεθα, ὅταν συμβῇ κανὲν περιστατικὸν εἰς δικαίους ἀνθρώπους. » 244

ΥΠΟΘΕΣΙΣ ΚΑ'

Πρέπει ὁ πιστὸς καὶ ὅταν ἀκόμη κάποτε στερηθῇ, πρὸς τὸ συμφέρον του, τῶν ἀναγκαίων, νὰ μὴ λιποψυχήσῃ ἀμέσως, ἀλλὰ νὰ εὐχαριστῇ τὸν Κύριον καὶ νὰ ὑπομένῃ, καὶ νὰ ἐλπίζῃ, χωρὶς δισταν-

γμόν, ὅτι ὁπωσδήποτε ὁ καλὸς Θεὸς θὰ προνοήσῃ καὶ δι' αὐτόν. Εἶναι αἰσχρὸν διὰ τὸν Ἀσκητήν, ποὺ εἶναι ὑπηρέτης τοῦ Θεοῦ, νὰ συναναστρέφεται μὲ κοσμικοὺς καὶ νὰ ζητῇ παρ' αὐτῶν τὰ πρὸς συντήρησιν, ἔστω καὶ ἂν ὑποφέρῃ. Σελ. 254

ΥΠΟΘΕΣΙΣ ΚΒ'

Ποία ἐλπὶς εἰς τὸν Χριστὸν εἶναι παράλογος. » 274

ΥΠΟΘΕΣΙΣ ΚΓ'

Δὲν πρέπει ὁ ἄνθρωπος νὰ παραβαίνῃ καὶ τὴν παραμικροτέραν ἐντολὴν διὰ σωματικὴν ἀνάγκην, ὅσον σοβαρὰ καὶ νὰ εἶναι, ἢ διὰ φόβον ἀνθρώπινον. » 278

ΥΠΟΘΕΣΙΣ ΚΔ'

Πρέπει ὁ πιστός, καὶ ἐὰν ἀκόμη περιπέσῃ εἰς θορύβους, νὰ μὴ μεταβληθῇ ὑπὸ τῶν ἐξωτερικῶν συνθηκῶν, ἀλλὰ πάντοτε πρὸς τὸν Θεὸν νὰ ἀποβλέπῃ καὶ νὰ κάμῃ ἐκεῖνο, ποὺ ἀρέσει εἰς Αὐτόν. » 284

ΥΠΟΘΕΣΙΣ ΚΕ'

Αὐτός, ποὺ θέλει νὰ εὐαρεστῇ εἰς τὸν Θεόν, οὐδόλως πρέπει νὰ λαμβάνῃ ὑπ' ὄψιν του τοὺς ἐξευτελισμοὺς ἢ τὰς τιμὰς τῶν ἀνθρώπων. » 289

ΥΠΟΘΕΣΙΣ ΚΣΤ'

Πρέπει τὴν ἀρετὴν νὰ τὴν ἀσκῇ ὁ ἄνθρωπος κρυφά, χωρὶς ἐπιδείξεις ἢ καυχησιολογίας. Τί εἶναι κενοδοξία καὶ τί ἀνθρωπαρέσκεια· ἀπὸ ποῦ γεννᾶται ἡ κενοδοξία, ποῖα κακὰ ἐπιφέρει καὶ πῶς πολεμεῖται. » 294

ΥΠΟΘΕΣΙΣ ΚΖ'

Δὲν πρέπει νὰ ἐπιδιώκωμεν τὰς φιλίας τῶν κατὰ κόσμον ἐπιφανῶν. » 319

ΥΠΟΘΕΣΙΣ ΚΗ'

Δὲν πρέπει νὰ κάμνωμεν τίποτε περισσότερον ἀπὸ τοὺς ἄλλους ἀδελφοὺς τῆς Μονῆς, ἐξ αἰσθήματος αὐταρεσκείας. » 328

ΥΠΟΘΕΣΙΣ ΚΘ'

Καὶ μόνον ἡ ὑπερηφάνεια εἶναι ἱκανὴ νὰ καταστρέψῃ τὸν Χριστιανόν. Ἐκεῖνοι ποὺ φουσκώνουν ἀπὸ ὑπερηφάνειαν διά, δῆθεν, κατορθώματα, ἐγκαταλείπονται ἀπὸ τὴν Θείαν Χάριν καὶ πίπτουν θανασίμως. » 336

ΥΠΟΘΕΣΙΣ Λ'

Ἀπὸ ποῦ γεννᾶται ἡ βλασφημία καὶ πῶς θεραπεύεται. » 361

ΥΠΟΘΕΣΙΣ ΛΑ'

Μεταξὺ τῶν ἀρετῶν μεγαλυτέρα εἶναι ἡ διάκρισις· ὁ πιστὸς πρέπει νὰ ἐνεργῇ, ὅσα πράττει, μὲ διάκρισιν. Διότι ὅσα γίνονται ἀσκόπως καὶ χωρὶς διάκρισιν, καὶ ἐὰν ἀκόμη εἶναι καλά, δὲν ὠφελοῦν, κάποτε δὲ καὶ βλάπτουν. » 372

ΥΠΟΘΕΣΙΣ ΛΒ'

Χωρὶς τὴν βοήθειαν τοῦ Θεοῦ δὲν δύναται ὁ ἀγωνιζόμενος οὔτε ἀπὸ τὴν κακίαν νὰ ἀπαλλαγῇ, οὔτε τὴν ἀρετὴν νὰ πραγματοποιήσῃ. Ἡ υἱοθεσία δὲν εἶναι ἀποτέλεσμα τῶν ἔργων μας, ἀλλὰ τῆς Θείας Χάριτος. » 392

ΥΠΟΘΕΣΙΣ ΛΓ'

Ποία εἶναι ἡ αἰτία τῶν πειρασμῶν· ποία ἡ ἐξ αὐτῶν ὠφέλεια καὶ ποία ἡ μεταξύ των διαφορά. » 399

ΥΠΟΘΕΣΙΣ ΛΔ'

Πῶς πρέπει νὰ ἀντιμετωπίζωμεν τοὺς πειρασμούς· δὲν πρέπει νὰ ἐκτιθέμεθα εἰς τοὺς πειρασμούς. Εἰς ποίας περιπτώσεις πρέπει νὰ ἀποφεύγωμεν τὸν πειρασμὸν καὶ εἰς ποίας νὰ τὸν ὑφιστάμεθα. Σελ. 429

ΥΠΟΘΕΣΙΣ ΛΕ'

Δὲν πρέπει νὰ ἐπιδιώκῃ ὁ δυνάμενος θαυματουργίας. Προτιμότερον εἶναι νὰ παραιτεῖται αὐτοῦ ἐκ ταπεινώσεως. Ὡσαύτως δὲν πρέπει νὰ ἐπιζητῶμεν καὶ νὰ ἐπιθυμῶμεν διάφορα ἄλλα χαρίσματα. Ἀλλὰ καὶ ἐὰν ἀξιωθῶμεν τοιούτων χαρισμάτων, νὰ μὴ μεγαλοφρονῶμεν, ἀλλὰ νὰ περιφρουρούμεθα διὰ τῆς ταπεινώσεως. Ἐκεῖνοι ποὺ ζοῦν ὅπως θέλει ὁ Θεὸς δὲν εἶναι κατώτεροι ὅσων θαυματουργοῦν. Ἐκτὸς ἀπὸ τὴν θαυματουργίαν, ὑπάρχουν ἄλλα μεγαλύτερα χαρίσματα, ἀπὸ τὰ ὁποῖα γνωρίζονται οἱ πνευματικοὶ ἄνθρωποι. » 446

ΥΠΟΘΕΣΙΣ ΛϚ'

Ἡ μεγαλυτέρα ἀπὸ ὅλας τὰς ἀρετὰς εἶναι ἡ ἀγάπη· αὐτὸς ποὺ ἀγαπᾷ τὸν πλησίον του, ὅπως θέλει ὁ Θεός, προτιμᾷ καὶ ἐπιδιώκει, περισσότερον καὶ ἀπὸ τὰ προσωπικά του συμφέροντα, τὴν ὠφέλειαν ἢ τὴν ἀνάπαυσιν τοῦ πλησίον. » 463

ΥΠΟΘΕΣΙΣ ΛΖ'

Διὰ τὸν πλησίον πρέπει καὶ τὴν ζωήν μας ἀκόμη νὰ θυσιάζωμεν. » 484

ΥΠΟΘΕΣΙΣ ΛΗ'

Αὐτὸς ποὺ αἰσθάνεται τὴν ἐν Κυρίῳ ἀγάπην καὶ ταπείνωσιν, προσέχει νὰ μὴ λυπήσῃ τὸν πλησίον, ἀλλὰ μὲ κάθε τρόπον τὸν ἐξυπηρετεῖ, καὶ αἰσθάνεται ὡς ἰδικάς του τὰς ἀνάγκας του καὶ τὰ προβλήματά του. » 496

ΥΠΟΘΕΣΙΣ ΛΘ'

Ἐκεῖνος ποὺ ἀγαπᾷ τὸν πλησίον του, κατὰ τὸ θέλημα τοῦ Θεοῦ, τὸν εὐεργετεῖ ἀκόμη καὶ χωρὶς ἐκεῖνος νὰ γνωρίζῃ τὸν εὐεργέτην του. » 519

ΥΠΟΘΕΣΙΣ Μ'

Πρέπει ὁ πιστὸς καὶ ὅταν πωλῇ καὶ ὅταν ἀγοράζῃ, ἢ ὅ,τι σχετικὸν ἄλλο κάμνει, νὰ ἔχῃ πρὸ τῶν ὀφθαλμῶν του τὸν Θεὸν καὶ νὰ μὴ καταδέχεται τὴν ζημίαν τοῦ πλησίον, ἔστω καὶ ἂν ἐκεῖνος λέγῃ, ὅτι δὲν ζημιώνεται. Ἐπίσης πρέπει οἱ νέοι νὰ εἶναι σεμνοὶ καὶ νὰ μὴ ἀποκτοῦν εὔκολα θάρρος. Εἰς τὰ Κοινόβια δὲν πρέπει νὰ συνιστῶνται ἰδιαίτεραι ὁμάδες, διότι εἶναι καταστρεπτικαί. » 527

ΥΠΟΘΕΣΙΣ ΜΑ'

Τί πρέπει νὰ κάμνωμεν πρὸς τοὺς ἐπισκεπτομένους, καὶ πῶς νὰ ὑποδεχώμεθα καὶ νὰ ὁμιλῶμεν πρὸς αὐτούς. » 538

ΥΠΟΘΕΣΙΣ ΜΒ'

Κατὰ τὰς ἐπισκέψεις ἐναρέτων ἀδελφῶν, πολλοὶ τῶν Πατέρων, χάριν τῆς ἀναπαύσεως τῶν ἐπισκεπτῶν των, ἐχαλάρωναν ἐλαφρῶς τὴν ἄσκησίν των, χωρὶς νὰ βλάπτωνται ἐξ αὐτοῦ, ἐπειδὴ ἦσαν ἀπαθεῖς. Μερικοὶ πάλιν ἀπ' αὐτούς, διὰ τὴν ὀλίγην αὐτὴν ἄνεσιν, μετὰ ἐβασάνιζον τὸν ἑαυτόν των. Ἐκεῖνος ὅστις κατὰ τὰς ἐπισκέψεις καὶ τὰς παρηγόρους συναναστροφὰς διατηρεῖ τὴν ἄσκησίν του, ἢ τὴν χαλαρώνει κάπως, εἶναι ἀξιέπαινος ἀπὸ αὐτούς, ποὺ κρίνουν ὀρθῶς· δὲν πρέπει δὲ νὰ δίδωμεν ἐμπιστοσύνην εἰς

ἐκείνους ποὺ πιέζουν περισσότερον τοῦ δέοντος εἰς παρήγορον ἐπίσκεψιν. Σελ. 547

ΥΠΟΘΕΣΙΣ ΜΓ'

Δὲν πρέπει οἱ ἐπισκεπτόμενοι Κοινόβιον, ἔστω καὶ ἐὰν εἶναι Μοναχοί, νὰ ἐπικοινωνοῦν ἐλεύθερα καὶ νὰ συναναστρέφωνται τοὺς ἀδελφούς. Πῶς πρέπει οἱ ἀδελφοὶ τοῦ Κοινοβίου νὰ συμπεριφέρωνται πρὸς τοὺς ἐπισκέπτας. » 560

ΥΠΟΘΕΣΙΣ ΜΔ'

Δὲν πρέπει νὰ συντρώγωμεν μὲ ἀδιαφόρους ἀνθρώπους· αὐτούς, ποὺ ἐρωτοῦν καὶ δὲν ἐφαρμόζουν τὰς συμβουλάς, πρέπει νὰ τοὺς ἀποφεύγωμεν μετὰ ἀπὸ τὴν πρώτην ἢ δευτέραν συνάντησιν. » 566

ΥΠΟΘΕΣΙΣ ΜΕ'

Καὶ οἱ ἐπισκέπται πρέπει νὰ γνωρίζουν τὴν συμπεριφοράν των εἰς ξένον μέρος καὶ πῶς πρέπει νὰ περιπατοῦν καὶ νὰ συνοδεύουν τοὺς ἀδελφούς. » 571

ΥΠΟΘΕΣΙΣ ΜϚ'

Πρέπει αὐτοὺς ποὺ μᾶς ἐπισκέπτονται, διὰ νὰ μᾶς ζητήσουν ἐλεημοσύνην, νὰ μὴ τοὺς ἀποδιώκωμεν μὲ κενὰς χεῖρας, ἀλλὰ νὰ τοὺς δεχώμεθα μὲ ἀγάπην ὡς ἀπεσταλμένους τοῦ Θεοῦ, καὶ νὰ τοὺς δίδωμεν ἀπὸ ὅ,τι ἔχομεν, ἔστω καὶ ἐὰν εἶναι ἀπαιτητικοί. Νὰ εἴμεθα ἀνεξίκακοι καὶ νὰ μὴ ὀργιζώμεθα, μιμούμενοι τὸν Θεόν. Ὁ Θεὸς ἀμείβει πολλὰς φορὰς τοὺς ἐλεήμονας μὲ πολὺ μεγάλας ἀμοιβάς· καὶ πῶς πρέπει καὶ ὑπὸ ποίων νὰ γίνεται ἡ ἐλεημοσύνη εἰς τὰ Κοινόβια. » 578

ΥΠΟΘΕΣΙΣ ΜΖ'

Δὲν πρέπει ὁ Μοναχός, μὲ τὴν πρόφασιν τῆς ἐλεημοσύνης, νὰ ἔχῃ χρήματα, ἀλλ' οὔτε καὶ νὰ λαμβάνῃ προσφερόμενα διὰ τὸν σκοπὸν αὐτόν. Ποία ἐλεημοσύνη ταιριάζει εἰς τὸν Μοναχόν. » 612

ΥΠΟΘΕΣΙΣ ΜΗ'

Πολλάκις μερικοὶ πτωχοὶ ποὺ ἐλεοῦν, κατὰ δύναμιν, ὅταν ἀποκτήσουν χρήματα, νικῶνται ἀπὸ τὴν φιλαργυρίαν καὶ οὕτω καὶ αὐτὴν τὴν ὀλίγην ἐλεημοσύνην, τὴν ὁποίαν προσέφερον πρότερον, τὴν ἐσταμάτησαν. » 631

ΥΠΟΘΕΣΙΣ ΜΘ'

Ὁ Μοναχὸς δὲν πρέπει νὰ λαμβάνῃ ἀδιακρίτως ἀπὸ οἱονδήποτε ἄνθρωπον· οὔτε περισσότερα ἀπὸ ὅσα ἔχει ἀνάγκην. Αὐτὸς ποὺ δέχεται τὴν ἐλεημοσύνην ἢ δωρεὰν ὀφείλει νὰ κοπιάζῃ χάριν αὐτῶν, ποὺ δίδουν (εὐχόμενος καὶ νηστεύων). » 641

ΥΠΟΘΕΣΙΣ Ν'

Πρέπει νὰ ἀπέχωμεν ἀπὸ ὅσα δὲν μᾶς ἐνδιαφέρουν πνευματικῶς καὶ εἶναι δι' ἡμᾶς ξένα, ὡς ἐπικίνδυνα καὶ καταστρεπτικά. » 653

